Ὁ πρὸς Λεπτίνην λόγος ἐπιγραφὴν ἔχει τοιαύτην, ἐπειδήπερ παρελθόντος τοῦ χρόνου, ἐν ᾧ ὑπεύθυνος ἦν κρίσει καὶ τιμωρίᾳ γράφων τις νόμον, ἐφαίνετο Λεπτίνης ἀκίνδυνος· ὅθεν πρὸς αὐτὸν, ἀλλ' οὐ κατ' αὐτοῦ ὁ λόγος. Ἡ δὲ ὑπόθεσις οὕτως ἔχει. Σύνηθες ἦν τῇ πόλει τῶν Ἀθηναίων τιμᾶν τοὺς εὐεργέτας ἄλλαις τε πολλαῖς καὶ διαφόροις τιμαῖς καὶ δὴ καὶ ἀτελείᾳ. Πολλῶν δὲ εἰληφότων καὶ ἀστῶν καὶ ξένων, ἐπέλειψαν οἱ λειτουργήσοντες, καὶ διὰ τοῦτο σχεδὸν τῶν λειτουργιῶν περιισταμένων εἰς τοὺς ἀπόρους, Λεπτίνης τῶν πολιτευομένων ἀνὴρ οὐκ ἀδόκιμος ἔγραψε νόμον αὐτοῖς ῥήμασιν οὕτως ἔχοντα· « Ὅπως ἂν οἱ πλουσιώτατοι λειτουργῶσι, « μηδένα ἀτελῆ εἶναι πλὴν τῶν ἀφ' Ἁρμοδίου καὶ Ἀριστογείτονος « καὶ τῶν ἐννέα ἀρχόντων, μηδὲ τὸ λοιπὸν ἐξεῖναι τῷ δήμῳ αἰτη-
453 « θέντι διδόναι· εἰ δέ τις ἀλῷ αἰτῶν, ἄτιμον αὐτὸν εἶναι καὶ γένος « καὶ οἰκίαν, καὶ ὑποκεῖσθαι γραφαῖς καὶ ἐνδείξεσιν· εἰ δὲ καὶ ἐν « τούτοις ἀλῷ, ἔνοχον εἶναι τοῖς αὐτοῖς οἷσπερ οἱ δικάζοντες, ὅταν « ὀφείλοντες τῷ δημοσίῳ δικάζωσι. » Τοῦ νόμου οὖν οὕτως ἔχοντος ἐγράψατο μὲν τὸ πρότερον Βάθιππος Λεπτίνην, ὃς ἀπέθανε πρὶν εἰσελθεῖν τὴν γραφήν. Κᾆτα διετρίβη χρόνος, καὶ γέγονε Λεπτίνης ἀνεύθυνος· νόμος γὰρ ἦν τὸν γράψαντα νόμον ἢ ψήφισμα μετὰ ἐνιαυτὸν μὴ εἶναι ὑπεύθυνον. Ὅμως ἐπειδὴ καὶ οὕτω κατὰ τῶν νόμων ἐξῆν ποιεῖσθαι τὰς κατηγορίας, κἂν οἱ γράψαντες ἔξω κινδύνων ὦσι, μετὰ τὸν ἐνιαυτὸν ἐπέστη κατήγορος Ἀψεφίων υἱὸς Βαθίππου, ᾧ συνηγόρει Φορμίων ὁ ῥήτωρ, καὶ Κτήσιππος ὁ υἱὸς Χαβρίου, ᾧ συνηγόρει Δημοσθένης. Τούτων οὖν κατηγόρων ἐπιστάντων, κατὰ τοῦ νόμου πεποίηνται τὴν γραφήν. Ἡ δὲ στάσις πραγματικὴ ἔγγραφος. Κεφάλαια δὲ τοῦ λόγου τὸ νόμιμον, τὸ συμφέρον, τὸ δίκαιον.

1. **Le second argument est du rédacteur des scholies. Cela résulte des mots qu'on lit à la fin : Ἰτέον δὲ ἐπὶ τὴν μεταχείρισιν τοῦ λόγου. [Vœmel.] Cet argument est plus exact et plus instructif, quoique moins bien écrit, que celui de Libanios.**

6. **Ἄλλαις τε, bonne variante : cf. l'argument de Libanios. μάλιστα vulg.**

10-11. **Αὐτοῖς ῥήμασιν en dit trop.**

15. **Après καὶ οἰκίαν, Herwerden (*Hermès*, 1877, p. 479) insère καὶ δημοσίαν τὴν οὐσίαν. On pourrait substituer ces mots à καὶ οἰκίαν. Cf. § 156.**

26-27. **Πραγματικὴ ἔγγραφος. Cf. Schol. *ad Lept.*, p. 661 Dindorf : Πᾶσα.... κατηγορία νόμου ἢ ψηφίσματος ἤ τινος ἐγγράφου, περὶ μέλλοντος ἔχουσα τὴν σκέψιν, πραγματικὴν ποιεῖται τὴν στάσιν. Hermogène, III, p. 12 Walz : Πραγματικὴ γάρ ἐστιν ἀμφισβήτησις περὶ πράγματος μέλλοντος, εἰ δεῖ γενέσθαι τόδε τι ἢ μὴ γενέσθαι, δοῦναι ἢ μὴ δοῦναι.**

Ἀναγκαῖον δὲ εἰπεῖν τὰς δικαιολογίας ἑκατέρων. Καὶ ὁ μὲν Λεπτίνης ἰσχυρίζεται τῷ συμφέροντι διὰ τὸ περιποιεῖν λειτουργούς, ἀλλὰ καὶ τῷ δικαίῳ. Καὶ τῷ μὲν συμφέροντι, ὅτι ἀσύμφορον ὑμῖν γίνεται, ἐὰν οἱ πένητες μόνοι λειτουργῶσιν· ἀπορήσουσι γὰρ τῷ χρόνῳ, καὶ οὐχ ἕξετε τοὺς λειτουργοῦντας· τῷ δὲ δικαίῳ, ὅτι οὐκ ἔστι τοὺς μὲν ἀδεῶς πλουτεῖν, τοὺς δὲ λειτουργοῦντας ἀεὶ πένεσθαι. Ὁ δὲ κατήγορος ἰσχυρίζεται τῷ νομίμῳ καὶ τῷ δικαίῳ καὶ τῷ συμφέροντι. Καὶ ἔστι τὸ νόμιμον διπλοῦν, περί τε τὸ πρόσωπον καὶ 454 τὸ πρᾶγμα. Καὶ περὶ μὲν τὸ πρόσωπον, ἀφ' ὧν αὐτὸν ἐχρῆν ποιῆσαι, οὐκ ἐποίησε· παρέβη γὰρ τὸν θεσμόν. Θεσμὸς δέ ἐστι νόμος παρακελευόμενος πῶς δεῖ νομοθετεῖν. Ἔδει γὰρ αὐτὸν γράψαντα τιθέναι ἔμπροσθεν τῶν ἐπωνύμων καὶ ἐν νομοθέταις κυρῶσαι· τοῦτο οὐκ ἐποίησε. Περὶ δὲ τὸ πρᾶγμα, ὅτι παρέβη ὁ νόμος οὗτος παλαιὸν νόμον τὸν λέγοντα τὰς τοῦ δήμου δωρεὰς εἶναι βεβαίας· ὑπεναντίος οὖν τῶν νόμων οὗτός ἐστιν, ὅτι κελευόντων ἐκείνων, ὅσας ὁ δῆμος δέδωκε δωρεάς, κυρίας εἶναι, οὗτος ἀφαιρεῖσθαι τὰς δεδομένας βιάζεται. Τῷ δὲ δικαίῳ ἰσχυρίζεται, ὅτι οὐ δεῖ τοὺς εὐεργέτας ἀποστερεῖν ἀμοιβῶν. Τῷ δὲ συμφέροντι τριχῶς ἰσχυρίζεται, πρῶτον μέν, ὅτι ἀσύμφορον ὑμῖν γενήσεται, ἐὰν τοὺς εὐεργέτας ἀφαιρῆσθε τὴν δωρεάν· οὐκέτι γὰρ ὁ Λεύκων πέμψει ὑμῖν τὸν σῖτον ἐκ τοῦ Βοσπόρου. Δεύτερον δέ, ὅτι ἀσύμφορον ὑμῖν ἔσται· οὐκέτι γὰρ εὐεργετήσει τις τὴν πόλιν, στερουμένους τῆς δωρεᾶς ὁρῶν τοὺς ἄλλους. Τρίτον δέ, ὅτι ἀδοξήσετε· δόξετε γὰρ ἀγνώμονες εἶναι. Ἔστι δὲ ὁ λόγος οὗτος δευτερολογία· ὁ Ἀψεφίων γὰρ ὡς πρεσβύτερος ἔλαβε τὴν πρωτολογίαν.

Οὐκοῦν ὁ Λεπτίνης προηγουμένως τῷ συμφέροντι χρῆται, φάσκων ἐν σπάνει καθεστάναι τὴν πόλιν τῶν λειτουργούντων, δευτέρῳ δὲ τῷ δικαίῳ, ὅπερ ἀπὸ τῆς ἰσότητος θεωρεῖται· πάνυ γάρ, φησίν, ἐστὶ δεινὸν τινὰς μὲν πλουτεῖν ἀτελείας ἐπειλημμένους, τὴν πόλιν δὲ 455 μηδὲ τῶν λειτουργούντων εὐπορεῖν. Προβάλλεται δὲ ὁ ῥήτωρ τῷ μὲν δοκεῖν τὴν κατηγορίαν τοῦ νόμου, συνυποδύεται δὲ καὶ κατασκευάζει καὶ τὴν σύστασιν τοῦ οἰκείου νόμου. Ἐν γὰρ τῷ νομίμῳ

9-10. Ἀφ' ὧν αὐτὸν ἐχρῆν ποιῆσαι, οὐκ ἐποίησε, « non orsus est unde oportuit. » [G. H. Schæfer.]

11-12. Ἔδει.... κυρῶσαι. Cf. §§ 93-94.

31-32. Συνυποδύεται....τοῦ οἰκείου νόμου, mais, sous main, il prépare en même temps la recommandation de sa propre loi. Les scholies sur les premiers paragraphes du discours insistent longuement sur ce point de vue.

32. Ἐν γὰρ τῷ νομίμῳ κεφαλαίῳ. Cf. § 88 sqq.

κεφαλαίῳ καθίστησιν ἀνταναγινώσκων καὶ ἀντιτιθεὶς καὶ ἀντεξετάζων ἀμφοτέρους τοὺς νόμους, καὶ τὸ διάφορον ὅσον δεικνύς. Ἵνα δὲ μὴ ἐξαίφνης μηδὲ ἀναρμόστως παρέχηται τῶν νόμων τὴν σύστασιν, ἐκ πολλοῦ παρεσκεύασε. Καὶ ἡ πρώτη γε ἀντίθεσις τοῦ λόγου τῷ μὲν δοκεῖν ἐστι παρὰ Λεπτίνου, τῇ δ' ἀληθείᾳ πρὸς σύστασιν τοῦ οἰκείου συμφέροντος ἐξεύρηται, ἵνα φαίνηται ὁ ἀντίδικος τὸν Δημοσθένους εἰσάγων νόμον. Τί γὰρ ὁ Δημοσθένους βούλεται νόμος; τὰς δωρεὰς, ὅσας ὁ δῆμος ἔδωκε, κυρίας εἶναι, τοὺς δὲ ἔχοντας κρίνεσθαι, ἵν', εἰ μὲν ἄξιοι, ἔχωσιν, εἰ δὲ ἀναξίως ἔχειν δοκοῖεν, ἐλεγχθέντες ἀφαιρεθῶσιν. Οὐκοῦν αὐτὸς ὁ Λεπτίνης τὸν Δημοσθένους νόμον κεκύρωκεν. Τί γάρ; αἰτιᾶται κατ' ἀρχὰς εὐθὺς ὅτι πολλοὶ τῶν εἰληφότων εἰσὶν ἀνάξιοι· οὐκοῦν ἔχει τὸν Δημοσθένους νόμον τοὺς ἀναξίους ἐκκρίνοντα. Καὶ διὰ τοῦτο πανταχοῦ κατέσπαρται· ὁ γὰρ πολὺς περὶ αὐτοῦ λόγος ἐθίζει τοὺς δικαστὰς πρὸς τὴν τοῦ νόμου μετὰ μικρὸν ἀνάγνωσιν. Ἰδὼν δὲ ὅτι Λεπτίνης ἐκεῖνον ἔχει τὸν ἰσχυρότατον λόγον, ὡς ἂν οἱ πλουσιώτατοι λειτουργῶσιν, ἀτελῆ μηδένα
456 εἶναι, οὐ ταύτην ἔθηκε προηγουμένην ἀντίθεσιν, ἀλλὰ τὴν λυσιτελοῦσαν αὐτῷ καὶ τὴν μέλλουσαν εἰσφέρειν τὸν παρ' αὐτοῦ νόμον. Ὅταν γὰρ λέγῃ « καὶ τούτῳ πλείστῳ χρήσεται τῷ λόγῳ », σοφίζεται τοὺς ἀκούοντας· οὐ γὰρ τῷ περὶ τῶν ἀναξίων πολλῷ χρήσεται λόγῳ, ἀλλὰ τῷ δηλονότι σπανίζειν τὴν πόλιν τῶν λειτουργούντων, καὶ τῷ συμφέρειν μετατιθέναι τὰς λειτουργίας ἀπὸ τῶν ἀπόρων εἰς τοὺς εὐπόρους.

Ἔστι δὲ τὸ μὲν εἶδος τοῦ λόγου δικανικὸν, εἴ γε κρίσις ἐστὶν ἐπὶ τῷ νόμῳ, ἡ δέ γε ὕλη πᾶσά ἐστι διπλῆ, καὶ ταύτης ἡ μέν ἐστι δικανικὴ, ἡ δὲ συμβουλευτική. Εὕροις δ' ἂν οὐδὲ πανηγυρικῆς ἰδέας ἀμοιροῦντα τὸν λόγον, ἐν οἷς πειρᾶται σεμνύνειν ἕκαστον τῶν εὐεργετῶν· καὶ γὰρ ἐνταῦθα εὑρήσεις ἄξια τῶν ἀνδρῶν ἐγκώμια, καὶ λόγους εὐφήμως ἁρμόττοντας ταῖς ἐκείνων πράξεσιν, οἷον ὡς ὅταν ἐμπομπεύῃ τοῖς Κόνωνος καὶ Χαβρίου κατορθώμασι, καὶ τοῖς Ἐπικέρδους καὶ τῶν ἐκ Θάσου καὶ Κορίνθου, καὶ Λεύκωνος. Ἰτέον δὲ ἐπὶ τὴν μεταχείρισιν τοῦ λόγου.

4-5. Ἡ πρώτη γε ἀντίθεσις.... παρὰ Λεπτίνου, au début du discours, l'orateur s'occupe en apparence d'une objection faite par Leptine.

14. Τοῦ νόμου : la loi proposée par Démosthène et ses amis.

19. Καὶ.... λόγῳ. Voy. la fin du paragraphe 1.

Ἄνδρες δικασταί, μάλιστα μὲν εἵνεκα τοῦ νομίζειν συμφέρειν τῇ πόλει λελύσθαι τὸν νόμον, εἶτα καὶ τοῦ παιδὸς εἵνεκα τοῦ Χαβρίου ὡμολόγησα τούτοις, ὡς ἂν οἷός τ' ὦ, συνερεῖν. 45 Ἔστι δ' οὐκ ἄδηλον, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦθ', ὅτι Λεπτίνης, κἄν τις ἄλλος ὑπὲρ τοῦ νόμου λέγῃ, δίκαιον μὲν οὐδὲν ἐρεῖ [περὶ αὐτοῦ], φήσει δ' ἀναξίους τινὰς ἀνθρώπους εὑρομένους ἀτέλειαν ἐκδεδυκέναι τὰς λῃτουργίας, καὶ τούτῳ πλείστῳ χρήσεται τῷ λόγῳ. [2] Ἐγὼ δ' ὅτι μὲν τινῶν κατηγοροῦντα πάντας ἀφαιρεῖσθαι τὴν δωρειὰν τῶν ἀδίκων ἐστὶν, ἐάσω· καὶ γὰρ εἴρηται τρόπον τινὰ καὶ ὑφ' ὑμῶν ἴσως γιγνώσκεται· ἀλλ' ἐκεῖν' ἂν ἐροίμην ἡδέως αὐτόν, τίνος εἵνεκ', εἰ τὰ μάλιστα μὴ τινὲς, ἀλλὰ πάντες ἦσαν ἀνάξιοι, τῶν αὐτῶν ἠξίωσεν ὑμᾶς τε καὶ τούτους. Ἓν μὲν γὰρ τῷ γράψαι « μηδένα εἶναι ἀτελῆ » τοὺς

NC. (*Notes critiques.*) 3. ὡς ἂν mss. Avant Taylor αν. « Semel nomen professus in « oratoribus non potuit dicere ἂν οἷός τ' ὦ : debuit, si modestiæ laudem in ipso ora- « tionis exordio captare vellet, ὡς ἂν οἷός τ' ὦ.» [G. H. Schæfer.] — συναιρειν S[1]. — 6. J'écarte avec Blass περὶ αὐτοῦ, mots omis par Hermogène, p. 202, et par Apsinès, p. 506. — 9. ἀδίκων. Variante (mauvaise interprétation) : ἀδικούντων. — 10. ἐκεῖνο vulg. ἐκεῖνα S : erreur qui semble indiquer que le texte primitif portait ἐκεῖν'.

1. Συμφέρειν τῇ πόλει. La loi portée par Leptine est poursuivie comme étant contraire aux lois existantes (παρανόμων). Cependant Démosthène ne met en avant que l'intérêt public. La question de légalité, que notre orateur traitera plus bas, quoiqu'il ne l'annonce pas ici, avait sans doute été développée par Phormion.

2-3. Εἶτα καὶ.... Χαβρίου. Voyez la *Notice*. Quand un citoyen d'Athènes se chargeait volontairement du pénible devoir que remplit aujourd'hui le ministère public, il aimait à alléguer des motifs personnels à côté des motifs patriotiques. Cf. *Contre Androtion*, 1 : Ἅμα τῇ τε πόλει βοηθεῖν.... καὶ δίκην ὑπὲρ αὐτοῦ λαβεῖν. *Contre Timocrate*; Eschine, *Contre Timarque*, etc. Là, les accusateurs déclarent qu'ils sont mus par la haine, le ressentiment d'injures reçues; dans le cas présent, où la plainte est dirigée, moins contre l'auteur de la loi incriminée, que contre la loi elle-même, Démosthène invoque son amitié pour l'un des accusateurs.

3. Τούτοις. Ctésippe, Apséphion, Phormion. Construisez ce datif avec συνερεῖν. — La brièveté extrême de l'exorde s'explique par les mœurs oratoires d'Athènes, et par la circonstance que Démosthène ne parla qu'en second lieu. Πᾶσα δευτερολογία ἐπ' ἔλαττον ἀσχολεῖται περὶ τὰς προοιμιακὰς ἐννοίας. [Scholiaste.]

5-8. Δίκαιον μὲν οὐδὲν.... τῷ λόγῳ. Il convient à l'orateur de faire croire que l'indignité d'un certain nombre de privilégiés est le principal, et presque le seul, argument que Leptine puisse faire valoir en faveur de sa loi. On verra plus bas qu'il en avait d'autres et de meilleurs : dans le texte même de sa loi (cf. § 127), il avait invoqué une autre raison (ὅπως ἂν οἱ πλουσιώτατοι λειτουργῶσι). Le scholiaste (2ᵉ Argument, p. 16, l. 19-20) dit donc avec raison de Démosthène : Σοφίζεται τοὺς ἀκούοντας. Mais Aristide, dans sa déclamation *Contre Démosthène* (II, p. 612 sq. Dindorf), passe la mesure, en assurant que l'orateur mystifie le peuple et que Leptine ne songeait pas même à se servir d'un aussi faible argument.

9. Τῶν ἀδίκων. Au neutre. Cf. τῶν αἰσχίστων ἐστίν, § 65.

9-10. Εἴρηται : par Phormion.

12. Τῶν αὐτῶν ἠξίωσεν, il a cru devoir traiter de la même façon.

ἔχοντας ἀφείλετο τὴν ἀτέλειαν, ἐν δὲ τῷ προσγράψαι « μηδὲ τὸ λοιπὸν ἐξεῖναι δοῦναι » ὑμᾶς τὸ δοῦναι ὑμῖν ἐξεῖναι. Οὐ γὰρ ἐκεῖνό γ' ἔνεστιν εἰπεῖν, ὡς τὸν αὐτὸν τρόπον, ὅνπερ τοὺς ἔχοντας [ἀφείλετο] τὴν δωρειὰν ἀναξίους ἐνόμιζεν, οὕτω καὶ τὸν δῆμον ἀνάξιον ἡγεῖτο κύριον εἶναι τοῦ δοῦναι, ἐάν τῳ βούληται. [3] Ἀλλὰ νὴ Δί' ἐκεῖν' ἂν ἴσως εἴποι πρὸς ταῦτα, ὅτι 458 διὰ τὸ ῥᾳδίως ἐξαπατᾶσθαι τὸν δῆμον, διὰ τοῦθ' οὕτως ἔθηκε τὸν νόμον. Τί οὖν κωλύει πάντ' ἀφῃρῆσθαι καὶ ὅλως τὴν πολιτείαν ὑμᾶς κατὰ τοῦτον τὸν λόγον; οὐ γάρ ἔστιν ἐφ' ὅτου τοῦτ' οὐ πεπόνθατε τῶν πάντων, ἀλλὰ καὶ ψηφίσματα πολλὰ πολλάκις ἐξαπατηθέντες κεχειροτονήκατε, καὶ συμμάχους ἤδη τινὰς ἥττους ἀντὶ κρειττόνων ἐπείσθηθ' ἑλέσθαι, καὶ ὅλως ἐν οἶμαι πολλοῖς οἷς πράττετε καὶ τοιοῦτό τι συμβαίνειν ἀνάγκη. [4] Ἆρ' οὖν θησόμεθα νόμον διὰ ταῦτα, μηδὲ τὸ λοιπὸν ἐξεῖναι τῇ βουλῇ μηδὲ τῷ δήμῳ μήτε προβουλεύειν μήτε χειροτονεῖν μηδέν; Ἐγὼ μὲν οὐχ οἶμαι· οὐ γάρ ἐσμεν ἀφαιρεθῆναι δίκαιοι περὶ ὧν ἂν ἐξαπατηθῶμεν, ἀλλὰ διδαχθῆναι πῶς τοῦτο μὴ πεισόμεθα, καὶ θέσθαι νόμον οὐχ ὃς ἀφαιρήσεται τὸ κυρίους ἡμᾶς εἶναι, ἀλλὰ δι' οὗ τὸν ἐξαπατῶντα τιμωρησόμεθα.

NC. 2. ὑμῖν ἐξεῖναι. Ces mots sont retranchés par H. Wolf, A. F. Wolf et d'autres. Reiske supprimait à tort le premier δοῦναι; cf. § 160. — ἀφείλετο vient sans doute de la ligne 1. Dindorf et Vœmel ont retranché ce mot, déjà désigné dans S comme une répétition erronée. Westermann écrivait οὓς ἔχοντας ἀφείλετο. La variante νομίζων, pour ἐνόμιζεν, n'est qu'une mauvaise correction. — 5. δοῦναι S et L. δοῦναι τὰ ἑαυτοῦ vulg. Cf. § 102. — 7. ἔθηκε. Var. : ἔθηκα. — 9. ὅτου S et L². ὅτῳ vulg. — 17. πῶς S. ὅπως L et vulg. — 19. ἡμᾶς. Vulg. : ὑμᾶς. — εἶναι S et L. εἶναι τῆς δωρεᾶς vulg.

2. Ὑμᾶς (sous-ent. ἀφείλετο) τὸ δοῦναι ὑμῖν ἐξεῖναι, il vous a privé de votre droit d'accorder (cette faveur). L'hiatus et la répétition des mêmes mots ont choqué plusieurs éditeurs (cf. *NC*). Mais Démétrius, Περὶ ἑρμηνείας, § 246, fait observer que la cacophonie ajoute ici à la force. Δεινὸν γὰρ πολλαχοῦ καὶ τὸ δύσφθογγον, ὥσπερ οἱ ἀνώμαλοι ὁδοί. — L'orateur commence par une considération qui a dû faire impression sur les juges : la loi de Leptine, leur dit-il, porte atteinte à votre souveraineté. Scholiaste : Συγκρούει τοῖς δικασταῖς τὸν Λεπτίνην, πόλεμον αὐτῷ πρὸς τοὺς καθημένους ἐγείρων.... Οὐκέτι γὰρ πρὸς τὸ κέρδος ἀφορᾷ (ὁ ἀκροατής), ἀλλὰ ζητεῖ πρῶτον ὅπως ἂν φύγοι τὴν ἐπιβουλήν, τῆς ἐξουσίας ἀποστερούμενος.

8. Ἀφῃρῆσθαι a le sens actif, comme ἀφαιρεῖσθαι au paragraphe 2, et *passim*.

12-13. Ἐν οἶμαι πολλοῖς. Ayant perdu sa nature verbale, οἶμαι est, comme un adverbe, inséré entre la préposition et son cas, ou bien entre l'article et l'adjectif. Cf. *Ambass.*, § 80 : Οἱ μὲν οἶμαι βέλτιστοι.

16. Ἐσμεν ἀφαιρεθῆναι δίκαιοι. Construction personnelle. Cf. *Rhodiens*, § 16.

18. Θέσθαι νόμον. Telle était la loi pro-

[5] Εἰ τοίνυν τις, ἐάσας ταῦτα, αὐτὸ καθ' αὑτ' ἐξετάσειεν, πότερόν ποτε λυσιτελέστερόν ἐστι κυρίους μὲν ὑμᾶς εἶναι τῆς δωρειᾶς, ἐξαπατηθέντας δέ τι καὶ φαύλῳ τινὶ δοῦναι, ἢ διὰ τοῦ παντελῶς ἀκύρους γενέσθαι μηδ' ἂν ἄξιόν τιν' εἰδῆτ' ἐξεῖναι τιμῆσαι, εὕροιτ' ἂν μᾶλλον ἐκεῖνο λυσιτελοῦν. Διὰ τί; ὅτι ἐκ μὲν τοῦ πλείονας ἢ προσήκει τιμᾶν πολλοὺς εὖ ποιεῖν προκαλεῖσθ' ὑμᾶς, ἐκ δὲ τοῦ μηδενί, μηδ' ἂν ἄξιος ᾖ, διδόναι πάντας ἀπείρξετε τοῦ φιλοτιμεῖσθαι. [6] Πρὸς δὲ τούτῳ καὶ δι' ἐκεῖνο, ὅτι οἱ μὲν ἀνάξιόν τινα τιμήσαντες εὐηθείας τινὰ δόξαν ἔχοιεν ἄν, οἱ δὲ τοὺς ἀγαθόν τι ποιοῦντας ἑαυτοὺς μὴ τοῖς ὁμοίοις ἀμειβόμενοι, κακίας. Ὅσῳ δὴ κρεῖττον εὐήθη δοκεῖν ἢ πονηρὸν 460 εἶναι, τοσούτῳ λῦσαι τὸν νόμον κάλλιον ἢ θέσθαι.

[7] Οὐ τοίνυν ἔμοιγ' οὐδ' ἐκεῖν' εὔλογον, ὦ ἄνδρες Ἀθηναῖοι, σκοπουμένῳ φαίνεται, καταμεμφόμενόν τινας ἐπὶ ταῖς ὑπαρχούσαις δωρειαῖς τοὺς χρησίμους ὄντας τῶν τιμῶν ἀποστερεῖν. Εἰ γὰρ ὑπαρχουσῶν τούτων φαῦλοι καὶ ἀνάξιοί τινες κατὰ τὸν τούτων λόγον εἰσίν, τί χρὴ προσδοκᾶν ἔσεσθαι τόθ', ὅταν παντελῶς μηδὲ πλέον μέλλῃ μηδὲν εἶναι τοις χρηστοῖς οὖσιν;

NC. 3. τι S et L seuls, avec indication de la variante ποτε, laquelle est la vulgate. — διὰ τοῦ S. διὰ τὸ L et vulg. — 7. μηδενὶ μηδὲν, μηδ' A. — 8. καὶ, avant δι', est ajouté dans S par une main ancienne. — 14. τινας. S et L portent τοὺς, avec indication, par une main ancienne, de la vulgate. ὀλίγους τινὰς Cobet. — 15. Avant τοὺς χρησίμους, je voudrais insérer καὶ τὸ λοιπὸν, ou bien écrire τῶν μελλουσῶν ἀποστερεῖν : tout le raisonnement de l'orateur porte sur l'avenir. — 16. τούτων S et L, ainsi que la plupart des manuscrits. τούτου vulg. — 18. μηδὲ πλέον S et L seuls. πλέον vulg. μηδὲν πλέον μέλλῃ εἶναι (avec hiatus) Cobet, *Nov. Lect.*, p. 628.

posée par les amis de Démosthène. Voy. § 97.

2. Πότερόν ποτε, *utrum tandem*.

3. Τι (« en quelque chose ») équivaut ici à ποτε (cf. *NC*). Mais cet adverbe ne devait pas être répété à petite distance, et les pronoms τι.... τινὶ se répondent avec grâce.

6-7. Προκαλεῖσθ(ε) doit se prendre ici comme un futur. Car, dans tout ce passage, il est question de la partie de la loi de Leptine qui porte sur l'avenir.

9. Εὐηθείας, débonnaireté : caractère des hommes bons, et même trop bons, faciles à tromper. La traduction *stultitia*, « niaiserie, » serait ici déplacée.

11-12. Εὐήθη.... εἶναι. Construisez : δοκεῖν εἶναι εὐήθη ἢ (δοκεῖν εἶναι) πονηρόν. Il faut réciter ce passage de manière à faire sentir qu'il n'y a pas antithèse entre δοκεῖν et εἶναι.

14. Καταμεμφόμενόν τινας ἐπὶ ταῖς ὑπαρχούσαις δωρειαῖς, jugeant quelques-uns indignes des faveurs existantes, actuelles. L'antithèse et l'ensemble de l'argumentation indiquent que le sens des mots suivants devrait être : « de priver, *même à l'avenir*, les hommes utiles de leurs récompenses. » Cf. *NC*.

16-17. Κατὰ τὸν τούτων λόγον, à ce que disent Leptine et les défenseurs de sa loi. Le geste de l'orateur expliquait assez le sens de ce second τούτων. [Vœmel.]

[8] Ἔτι τοίνυν ὑμᾶς κἀκεῖν' ἐνθυμεῖσθαι δεῖ, ὅτι ἐκ τῶν νῦν ὑπαρχόντων νόμων καὶ πάλαι κυρίων, οὓς οὐδ' αὐτὸς οὗτος ἀντείποι ἂν μὴ οὐχὶ καλῶς ἔχειν, ἐνιαυτὸν διαλιπὼν ἕκαστος λειτουργεῖ, ὥστε τὸν ἥμισύν ἐστ' ἀτελὴς τοῦ χρόνου. Εἶθ' ἧς πᾶσι μέτεστι τὸ ἥμισυ καὶ τοῖς μηδ' ὁτιοῦν ἀγαθὸν πεποιηκόσιν ὑμᾶς, ταύτης τοὺς εὖ ποιήσαντας, ἃ προστεθείκαμεν αὐτοῖς, ταῦτ' ἀφελώμεθα; μηδαμῶς· οὔτε γὰρ ἄλλως καλὸν οὔθ' ὑμῖν πρέπον. [9] Πῶς γὰρ οὐκ αἰσχρόν, ὦ ἄνδρες Ἀθηναῖοι, κατὰ μὲν τὴν ἀγορὰν ἀψευδεῖν νόμον γεγράφθαι, ἐφ' οἷς οὐδέν ἐστι δημοσίᾳ βλάβος εἴ τις ψεύδεται, ἐν δὲ τῷ κοινῷ μὴ χρῆσθαι τῷ νόμῳ τούτῳ τὴν πόλιν τὴν αὐτὴν ἐπιτάξασαν τοῖς ἰδιώταις, ἀλλὰ τοὺς ἀγαθόν τι πεποιηκότας ἐξαπατῆσαι, καὶ ταῦτ' οὐ μικρὰν ζημίαν ὀφλήσειν μέλλουσαν; [10] Οὐ γὰρ εἰ μὴ χρήματ' ἀπόλλυτε μόνον σκεπτέον, ἀλλ' εἰ καὶ δόξαν χρηστήν, περὶ ἧς μᾶλλον σπουδάζετ' ἢ περὶ χρημάτων, καὶ οὐ μόνον ὑμεῖς, ἀλλὰ καὶ οἱ πρόγονοι. Τεκμήριον δέ· χρήματα
460 μὲν γὰρ πλεῖστά ποτε κτησάμενοι πάνθ' ὑπὲρ φιλοτιμίας ἀνήλωσαν, ὑπὲρ δὲ δόξης οὐδένα πώποτε κίνδυνον ἐξέστησαν,

NC. 2-3. οὐδ' ἂν.... ἀντείποι μὴ A et Benseler. — 6-7. ἃ (dans S par correction de la première main) et ταῦτ' S et L seuls. ὃ et τοῦτ' vulg. — 10. ψεύδεται S et L seuls. ψεύσεται vulg. — 11. Cobet écarte τὴν αὐτὴν.... ἰδιώταις : à tort. Cf. ci-dessous.

4. Τὸν ἥμισυν.... τοῦ χρόνου. Cf. *Rhod.*, § 16 : Τὸν λοιπὸν τοῦ χρόνου. *Phil.* I, § 16 : Τοὺς ἡμίσεας τῶν ἵππων.

4-7. Ἧς, c'est-à-dire ἀτελείας, idée qu'on tire d'autant plus facilement de l'adjectif ἀτελής, qu'elle revient sans cesse dans tout ce discours. — Ταύτης.... ἃ προστέθεικαμεν αὐτοῖς. Il plaît à l'orateur de présenter la faveur de l'immunité comme une simple extension de la loi suivant laquelle quiconque avait été chargé d'une liturgie s'en trouvait affranchi l'année suivante. — ἀφελώμεθα ; voulez-vous que nous ôtions ? — Ἄλλως, étant ici opposé à ὑμῖν, peut se rendre par « en général ».

9. Ἀψευδεῖν νόμον γεγράφθαι est construit d'après l'analogie de οἱ νόμοι κελεύουσιν ἀψευδεῖν. Du reste, il s'agit de la bonne foi dans les achats et les ventes. Harpocration, article : Κατὰ τὴν ἀγορὰν ἀψευδεῖν, dit : Ἔοικεν ὁ νόμος περὶ τῶν ὠνίων κεῖσθαι.

11. Quant à la place de αὐτήν, cf. *Amb.*, § 114 : Τὸν αὐτὸν ὁμολογοῦντα ; § 204 : Τοὺς αὐτοὺς ἑορακότας.

13-15. Οὐ γὰρ εἰ μή..., δόξαν χρηστήν. Le premier εἰ est suivi de μή, et le second ne l'est pas, parce que le sens est : « Il est vrai que vous n'y perdez pas d'argent, mais vous pourriez y perdre votre bonne renommée : et cela est surtout à considérer. » La particule καί fait ressortir l'idée de δόξαν. Il ne faut pas traduire comme s'il y avait ἀλλὰ καὶ τόδε, εἰ δόξαν χρηστήν. Cf. Τί καὶ καλόν, § 13.

17. Ποτε. Du temps de Périclès et de la première domination maritime d'Athènes. — Ὑπὲρ φιλοτιμίας ἀνήλωσαν. Ils consacrèrent l'excédant des revenus publics soit à des actions d'éclat, soit à l'érection de beaux monuments : c'est ce que dit Démosthène lui-même dans un autre endroit (*Androt.*, § 76), où il donne plus de développement à la même pensée.

ἀλλὰ καὶ τὰς ἰδίας οὐσίας προσαναλίσκοντες διετέλουν. Νῦν τοίνυν οὗτος ὁ νόμος ταύτην ἀντὶ καλῆς αἰσχρὰν τῇ πόλει περιάπτει, καὶ οὔτε τῶν προγόνων οὔθ' ὑμῶν ἀξίαν. Τρία γὰρ τὰ μέγιστ' ὀνείδη κτᾶται, φθονεροὺς, ἀπίστους, ἀχαρίστους εἶναι δοκεῖν.

[11] Ὅτι τοίνυν οὐδ' ἐστὶν ὅλως, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦ ἤθους τοῦ ὑμετέρου κύριον ποιῆσαι τοιοῦτον νόμον, καὶ τοῦτο πειράσομαι δεῖξαι διὰ βραχέων, ἕν τι τῶν πρότερον πεπραγμένων τῇ πόλει διεξελθών. Λέγονται χρήμαθ' οἱ τριάκοντα δανείσασθαι παρὰ Λακεδαιμονίων ἐπὶ τοὺς ἐν Πειραιεῖ. Ἐπειδὴ δ' ἡ πόλις εἰς ἓν ἦλθε καὶ τὰ πράγματ' ἐκεῖνα κατέστη, πρέσβεις πέμψαντες οἱ Λακεδαιμόνιοι τὰ χρήματα ταῦτ' ἀπῄτουν. [12] Λόγων δὲ γιγνομένων, καὶ τῶν μὲν τοὺς δανεισαμένους ἀποδοῦναι κελευόντων, τοὺς ἐξ ἄστεως, τῶν δὲ τοῦτο πρῶτον ὑπάρξαι τῆς ὁμονοίας σημεῖον ἀξιούντων, κοινῇ διαλῦσαι τὰ χρήματα, φασὶ τὸν δῆμον ἑλέσθαι συνεισενεγκεῖν αὐτὸν καὶ μετασχεῖν τῆς δαπάνης, ὥστε μὴ λῦσαι τῶν ὡμολογημένων

NC. 5. Nitsche (*De trajiciendis partibu in Dem. oratt.*, p. 92) veut transposer les §§ 8-10 après le § 17. — 10. ἐμ πειραιεῖ S. — 11. ἦλθεν S. — 14. τοὺς ἐξ ἄστεως. Ces mots peuvent être une glose. [F. A. Wolf.]

2. Ταύτην se réfère à δόξης.

3-5. Τρία γάρ.... εἶναι δοκεῖν. Le même tour dans Sophocle, *Électre*, 1088 : Δύο φέρειν ἐν ἑνὶ λόγῳ, σοφά τ' ἀρίστα τε παῖς κεκλῆσθαι.

9. Διεξελθών, participe de l'aoriste : le récit précède le raisonnement. [G. H. Schæfer.]

9-10. Λέγονται.... Xénophon (*Hell.* II, IV, 28) et Plutarque (*Lysandre*, 21) rapportent que les oligarques empruntèrent cent talents à Sparte. Lysias (*Contre Nicomaque*, § 22) fait allusion aux difficultés que rencontrait l'acquittement de cet emprunt. Démosthène et Isocrate (*Aréop.*, § 68) racontent la suite de cette affaire, mais en orateurs et en panégyristes. Sans contester la modération et le tact politique dont les chefs de la démocratie firent preuve en cette circonstance, on peut croire que les Lacédémoniens, alors tout-puissants, et leur roi Pausanias, qui avait présidé à la réconciliation des partis athéniens, exercèrent une certaine pression sur les résolutions du peuple. A propos des mots πρέσβεις πέμψαντες, le scholiaste fait observer : Ἁπλῶς τὸν λόγον πεποίηκεν, ἵνα μὴ φαίνηται παρὰ Λακεδαιμονίων τις φόβος. — Τοὺς ἐν Πειραιεῖ. Désignation du parti démocratique, qui s'était, sous la conduite de Thrasybule, emparé du Pirée.

11. Εἰς ἓν ἦλθε équivaut à μιᾶς ἐγένετο γνώμης. [Schol.] — Καὶ τὰ πράγματ' ἐκεῖνα κατέστη, et que ces troubles (que l'on connaît assez) se furent apaisés. Cf. Hérodote, III, 80 : Κατέστη ὁ θόρυβος.

13-14. Λόγων δὲ γιγνομένων. Dans l'assemblée du peuple. — Τοὺς ἐξ ἄστεως est plus exactement dit que οἱ τριάκοντα, ligne 9. En effet, l'emprunt avait été contracté par Phidon et les Dix, maîtres de la ville d'Athènes après le départ pour Éleusis des plus violents parmi les Trente. Cf. Isocrate, *l. c.* et Lysias, *Contre Ératosthène*, § 58 sq.

15-17. Τῆς ὁμονοίας.... τῶν ὡμολογημένων. Les partis avaient fait la paix en jurant l'oubli du passé (ἦ μὴν μὴ μνησικακεῖν), l'amnistie.

μηδέν. Πῶς οὖν οὐ δεινόν, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ τότε μὲν τοῖς ἠδικηκόσιν ὑμᾶς ὑπὲρ τοῦ μὴ ψεύσασθαι τὰ χρήματ' εἰσφέρειν ἠθελήσατε, νῦν δ' ἐξὸν ὑμῖν ἄνευ δαπάνης τὰ δίκαια ποιῆσαι τοῖς εὐεργέταις, λύσασι τὸν νόμον, ψεύδεσθαι μᾶλλον αἱρήσεσθε; Ἐγὼ μὲν οὐκ ἀξιῶ.

[13] Τὸ μὲν τοίνυν τῆς πόλεως ἦθος, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ἐπ' ἄλλων πολλῶν καὶ ἐφ' ὧν εἶπον ἴδοι τις ἂν τοιοῦτ' ὄν,
461 ἀψευδὲς καὶ χρηστόν, οὐ τὸ λυσιτελέστατον πρὸς ἀργύριον σκοποῦν, ἀλλὰ τί καὶ καλὸν πρᾶξαι· τὸ δὲ τοῦ θέντος τὸν νόμον, τὰ μὲν ἄλλ' ἔγωγ' οὐκ οἶδα, οὐδὲ λέγω φλαῦρον οὐδὲν οὐδὲ σύνοιδα, ἐκ δὲ τοῦ νόμου σκοπῶν εὑρίσκω πολὺ τούτου κεχωρισμένον. [14] Φημὶ τοίνυν ἐγὼ κάλλιον εἶναι τοῦτον ὑμῖν ἀκολουθῆσαι περὶ τοῦ λῦσαι τὸν νόμον ἢ ὑμᾶς τούτῳ περὶ τοῦ θέσθαι, καὶ λυσιτελέστερον εἶναι καὶ ὑμῖν καὶ τούτῳ τὴν πόλιν πεπεικέναι Λεπτίνην ὅμοιον αὐτῇ γενέσθαι δοκεῖν ἢ αὐτὴν ὑπὸ τούτου πεπεῖσθαι ὁμοίαν εἶναι τούτῳ· οὐδὲ γὰρ εἰ πάνυ χρηστός ἐσθ', ὡς ἐμοῦ γ' ἕνεκ' ἔστω, βελτίων ἐστὶ τῆς πόλεως τὸ ἦθος.

[15] Νομίζω τοίνυν ὑμᾶς, ὦ ἄνδρες δικασταί, ἄμεινον ἂν περὶ τοῦ παρόντος βουλεύσασθαι, εἰ κἀκεῖνο μάθοιτε, ὅτι ᾧ μόνῳ μείζους εἰσὶν αἱ παρὰ τῶν δήμων δωρειαὶ τῶν παρὰ τῶν ἄλλων πολιτειῶν [διδομένων], καὶ τοῦτ' ἀφαιρεῖται νῦν τῷ νόμῳ.

NC. 1-5. αἱρήσεσθαι S[1]. — 7. Je divise en deux mots la leçon τοιοῦτον. Cf., § 147. — 8. οὐ τί τὸ Dobree. — 9. ἀλλὰ τί Bekker. ἀλλά τι vulg. — 22. διδομένων est écarté par Cobet. ἀφαιρεῖτε L. ἀφερεῖτε (φ par correction) S. ἀναιρεῖται vulg. Cf. § 17.

4. Λύσασι. Ce datif se réfère à ὑμῖν.

5. Οὐκ ἀξιῶ, « indignum censeo. » [G. H. Schæfer.]

9. Ἀλλὰ τί καὶ καλόν n'équivaut pas à ἀλλὰ καὶ τί καλόν. Ici καὶ est intensif, comme dans : τί καὶ βούλεσθε ; τί χρὴ καὶ λέγειν ; et souvent dans les phrases interrogatives. Cf. § 40.

10-11. Φλαυρὸν οὐδὲν est le régime commun de λέγω et de σύνοιδα (αὐτῷ). [G. H. Schæfer.] — Τούτου, c'est-à-dire τοῦ τῆς πόλεως ἤθους, des principes de la république.

15. Γενέσθαι δοκεῖν. Si Leptine ne prend pas en effet des sentiments plus généraux, il suffit qu'il en fasse semblant. Ces mots ont la finesse qu'on remarque dans tout ce passage, où les traits ironiques se mêlent aux protestations d'une déférence apparente. Le scholiaste dit : Ὑφιεμένῳ ἔοικεν, οὐ μὴν ἀπήλλακται τοῦ πικρὸς εἶναι.

21. Τῶν δήμων, des démocraties.

22. Ἀφαιρεῖται, sous-ent. ὁ Λεπτίνης. Leptine n'enlève pas seulement leurs honneurs aux bienfaiteurs du peuple, il enlève aussi aux faveurs républicaines la seule supériorité qu'elles aient sur les faveurs accordées par les autres genres de gouvernement. Cette antithèse, indiquee par καὶ

Τῇ μὲν γὰρ χρείᾳ τῇ τῶν εὑρισκομένων τὰς δωρειὰς οἱ τύραννοὶ καὶ οἱ τὰς ὀλιγαρχίας ἔχοντες μάλιστα δύνανται τιμᾶν· πλούσιον γὰρ ὃν ἂν βούλωνται παραχρῆμ' ἐποίησαν· τῇ δὲ τιμῇ καὶ τῇ βεβαιότητι τὰς παρὰ τῶν δήμων δωρειὰς εὑρήσετ' οὔσας βελτίους. [16] Τό τε γὰρ μὴ μετ' αἰσχύνης ὡς κολακεύοντα λαμβάνειν, ἀλλ' ἐν ἰσηγορίᾳ δοκοῦντ' ἄξιόν τινος εἶναι τιμᾶσθαι, τῶν καλῶν ἐστι· τό θ' ὑπὸ τῶν ὁμοίων ἑκόντων θαυμάζεσθαι τοῦ παρὰ τοῦ δεσπότου λαμβάνειν ὁτιοῦν κρεῖττον εἶναι δοκεῖ. Παρὰ μὲν γὰρ ἐκείνοις μείζων ἐστὶν ὁ τοῦ μέλλοντος φόβος τῆς παρούσης χάριτος, παρὰ δ' ὑμῖν ἀδεῶς ἂν λάβῃ τις ἔχειν ὑπῆρχεν τὸν γοῦν ἄλλον χρόνον. [17] Ὁ τοίνυν 462
τὴν πίστιν ἀφαιρῶν τῶν δωρειῶν νόμος, οὗτος, ᾧ μόνῳ κρείττους εἰσὶν αἱ παρ' ὑμῶν δωρειαί, τοῦτ' ἀφαιρεῖται. Καίτοι τῶν ἁπασῶν ἧς ἄν τινος πολιτείας τὸ κομίζεσθαι τοὺς εὔνους τοῖς καθεστῶσιν χάριν ἐξέλῃς, οὐ μικρὰν φυλακὴν αὐτῶν ταύτην ἀφῃρηκὼς ἔσει.

Τάχα τοίνυν ἴσως ἐκεῖνο λέγειν ἂν ἐπιχειρήσειε Λεπτίνης, ἀπάγων ὑμᾶς ἀπὸ τούτων, ὡς αἱ λῃτουργίαι νῦν μὲν εἰς πένητας ἀνθρώπους ἔρχονται, ἐκ δὲ τοῦ νόμου τούτου λῃτουρ-

NC. 2. δύνανται ὑπ αντᾶν Heimsœth. Peut-être δύνανταί τι ou δ. τι δρᾶν. — 4. καὶ τῇ βεβαιότητι, mots omis par S[1] et plusieurs mss. Le sens les exige. καὶ τῇ γενναιότητι L[1]. — 10-11. ἃ ἂνα (cette dernière lettre pointée) λάβηι S. — ὑπῆρξε vulg. — 12. G. H. Schæfer a ponctué après νόμος. — 14. ἧστινοσοῦν vulg. — 15. ἐξέλῃς Dindorf. ἂν ἐξέλῃς mss.

τοῦτο, est obscurcie par la variante ἀναιρεῖται, « est détruit ». Cf. *NC*.

1-4. Τῇ μὲν γὰρ χρείᾳ, par le besoin, l'avantage matériel.—Τιμᾶν, distinguer. L'antithèse τιμῇ rend ce verbe suspect. Cf. *NC*.

6. Ἐν ἰσηγορίᾳ, dans l'égalité démocratique. Cf. *Rhod.*, § 18.

7-8. Ἑκόντων ne peut choquer que ceux qui ignorent que θαυμάζεσθαι équivaut à τιμᾶσθαι, « recevoir une marque d'estime. » Voy. la note sur *Amb.*, § 338, et Aristophane, *Nuées*, 1147 : Χρὴ γὰρ ἐπιθαυμάζειν τι τὸν διδάσκαλον.

11. Τὸν γοῦν ἄλλον χρόνον, c'est-à-dire avant la loi de Leptine.

12-16. Καίτοι τῶν ἁπασῶν.... ἀφῃρηκὼς ἔσει, cependant tous les gouvernements, quelle que soit leur forme, ôtez-leur les récompenses offertes aux amis du régime établi, ce n'est pas une petite sauvegarde que vous leur aurez en cela (ταύτην) ôtée. Dans le texte, τῶν ἁπασῶν dépend grammaticalement de ἧς ἄν τινος, locution qui équivaut à ἐάν τινος, et comme cette locution a le sens d'un pluriel, l'orateur grec a pu se servir, dans le second membre de phrase, de αὐτῶν, pour αὐτῆς.

18. Ἀπάγων ὑμᾶς ἀπὸ τούτων. C'est plutôt Démosthène qui, au moyen des considérations qui précèdent, a cherché à détourner l'esprit des juges de l'argument le plus fort de Leptine, celui qu'il va discuter maintenant. Scholiaste : Ταύτην δὲ (τὴν ἀντίθεσιν) μόνην χαλεπὴν καὶ ἀνταγωνιζομένην ἔχει· διόπερ οὐκ ἐθάρρησεν αὐτὴν πρωταγωνιστοῦσαν θεῖναι.

γήσουσιν οἱ πλουσιώτατοι. Ἔστι δὲ τοῦθ' οὑτωσὶ μὲν ἀκοῦσαι λόγον τιν' ἔχον· εἰ δέ τις αὔτ' ἀκριβῶς ἐξετάσειε, ψεῦδος ἂν φανείη. Εἰσὶ γὰρ δήπου παρ' ἡμῖν αἵ τε τῶν μετοίκων λῃτουργίαι καὶ αἱ πολιτικαί, ὧν ἑκατέρων ἐστὶ τοῖς εὑρημένοις ἡ ἀτέλεια ἣν οὗτος ἀφαιρεῖται· τῶν γὰρ εἰς τὸν πόλεμον καὶ τὴν σωτηρίαν τῆς πόλεως εἰσφορῶν καὶ τριηραρχιῶν ὀρθῶς καὶ δικαίως οὐδείς ἐστ' ἀτελὴς ἐκ τῶν παλαιῶν νόμων, οὐδ' οὓς οὗτος ἔγραψε, τοὺς ἀφ' Ἁρμοδίου καὶ Ἀριστογείτονος. [19] Σκεψώμεθα δὴ τίνας ἡμῖν εἰσποιεῖ χορηγοὺς εἰς ἐκείνας τὰς λῃτουργίας, καὶ πόσους, ἐὰν μὴ τούτῳ προσέχωμεν, ἀφήσει. Οἱ μὲν τοίνυν πλουσιώτατοι τριηραρχοῦντες ἀεὶ τῶν χορηγιῶν ἀτελεῖς ὑπάρχουσιν, οἱ δ' ἐλάττω τῶν ἱκανῶν κεκτημένοι, τὴν ἀναγκαίαν ἀτέλειαν ἔχοντες, ἔξω τοῦ τέλους εἰσὶ τούτου· οὐκοῦν τούτων μὲν οὐδετέρων οὐδεὶς διὰ τὸν νόμον ἡμῖν προσέσται χορηγός. [20] Ἀλλὰ νὴ Δί' εἰς τὰς τῶν μετοίκων λῃτουργίας

NC. 2. ἐξετάσειεν S. — ἂν les meilleurs manuscrits. ἂν ὂν vulg. — 8. καὶ Ἀριστογείτονος. Ces mots, omis par la première main de S, et dans d'autres manuscrits, sont à tort supprimés par Vœmel.

3-4. Αἵ τε τῶν μετοίκων.... αἱ πολιτικαί. Ces expressions prouvent que les liturgies des métèques s'appliquaient à certains cas particuliers, et ne se confondaient pas avec celles des citoyens (cf. Bœckh, *Staatshaushaltung* , t. I, p. 694).

4-5. Ὧν.... ἀφαιρεῖται, c'est à ces deux espèces de liturgies que s'applique, pour ceux qui l'ont obtenue, l'immunité abolie par Leptine.

5. Τῶν γάρ.... Outre les liturgies par excellence ou liturgies ordinaires (ἐγκύκλιοι λειτουργίαι), il y avait des charges extraordinaires en temps de guerre, l'impôt sur la fortune et la triérarchie. Cette dernière, qui ne frappait que les plus riches, est aussi au nombre des liturgies, en prenant ce terme dans son sens le plus général. Ni l'une ni l'autre ne sont en question : *car*, dit l'orateur, personne ne peut en être affranchi.

8. Ἔγραψε : sous-entendez ἀτελεῖς εἶναι. — Τούς, pour οἵ, l'apposition s'appuyant sur la phrase incidente qui la précède immédiatement.

9. Χορηγούς. Ce terme comprend ici, à côté des choréges proprement dits, ceux qui faisaient les frais d'un concours gymnique (γυμνασίαρχοι) ou d'un repas public offert aux membres de la même tribu (ἑστιάτορες). Cf. § 21 et la *Notice*, p. 3.

10. Πόσους.... ἀφήσει, combien il sera obligé de lâcher, si nous rejetons sa loi.

11-12. Τριηραρχοῦντες ἀεὶ.... ὑπάρχουσιν, étant triérarques, ils sont toujours dispensés des liturgies, c'est-à-dire ils s'en trouvent dispensés toutes les fois qu'ils sont triérarques. Il est inutile de discuter avec les éditeurs, si ἀεὶ doit être rapporté au participe ou au verbe : cet adverbe, qui signifie ici « chaque fois, » se rattache à l'un et à l'autre.

12-13. Ἐλάττω τῶν ἱκανῶν. Les fortunes au-dessous de trois talents n'étaient pas astreintes aux liturgies. Voy. Bœckh, *Staatshaushaltung*, t. I, p. 598. — Τὴν ἀναγκαίαν ἀτέλειαν, l'immunité forcée de l'indigence. — Ἔξω τοῦ τέλους εἰσὶ τούτου, « in hunc censum referri non possunt : non pertinent ad eum hominum ordinem qui munera publica obire potest. « [F. A. Wolf.]

εἰσποιεῖ πολλούς. Ἀλλ' ἐὰν δείξῃ πέντε, ἐγὼ ληρεῖν ὁμολογῶ.
Θήσω τοίνυν ἐγὼ μὴ τοιοῦτον εἶναι τοῦτο, ἀλλὰ καὶ τῶν μετοί- 463
κων πλείονας ἢ τοσούτους, ἐὰν ὁ νόμος τεθῇ, τοὺς λητουργοῦν-
τας ἔσεσθαι, καὶ τῶν πολιτῶν μηδέν' ἐκ τριηραρχίας ὑπάρξειν
ἀτελῆ. Σκεψώμεθα δὴ τί τοῦτο τῇ πόλει, ἐὰν ἅπαντες οὗτοι λη-
τουργῶσιν· φανήσεται γὰρ οὐδὲ πολλοῦ δεῖ τῆς γενησομένης
ἄξιον αἰσχύνης. [21] Ὅρα δ' οὑτωσί. Εἰσὶ τῶν ξένων ἀτελεῖς —
δέκα θήσω· καὶ μὰ τοὺς θεούς, ὅπερ εἶπον ἀρτίως, οὐκ οἶμαι
πέντ' εἶναι. Καὶ μὴν τῶν γε πολιτῶν οὐκ εἰσὶ <πλείους ἢ>
πέντ' ἢ ἕξ. Οὐκοῦν ἀμφοτέρων ἑκκαίδεκα. Ποιήσωμεν αὐτοὺς
εἴκοσιν, εἰ δὲ βούλεσθε, τριάκοντα. Πόσοι δήποτ' εἰσὶν οἱ κατ'
ἐνιαυτὸν τὰς ἐγκυκλίους λητουργίας λητουργοῦντες, χορηγοὶ καὶ
γυμνασίαρχοι καὶ ἑστιάτορες; ἑξήκοντ' ἴσως ἢ μικρῷ πλείους
σύμπαντες οὗτοι. [22] Ἵν' οὖν τριάκοντ' ἄνθρωποι πλείους παρὰ
πάντα τὸν χρόνον λητουργήσωσιν ἡμῖν, τοὺς ἅπαντας ἀπίστως

NC. 3-4. τοὺς λειτουργοῦντας S, L, A. τοὺς ἀεὶ λειτουργοῦντας vulg. — 5. τοῦτο τῇ πόλει S seul. τοῦτο τῇ πόλει ἔσται L. τοῦτ' ἔσται τῇ πόλει vulg. — 7. ὅρα S. ὁρᾶτε L et vulg. — 9. οὐκ εἰσὶ. La négation a choqué Markland et Westermann. Elle ne s'accorde bien ni avec ἢ ἕξ, ni avec la phrase suivante (où Vœmel écrit, sans probabilité, οὐκ οὖν). Cependant, si le texte primitif avait porté πολιτῶν εἰσι, personne n'aurait eu l'idée d'ajouter la négation. J'ai donc inséré les mots πλείους ἢ, qui pouvaient se perdre facilement avant πέντε ἢ. — 12. Variante : λειτουργοῦντες ὑμῖν. Cf. ligne 15. — 14. πλείους A et Reiske. ἢ πλείους S, L et vulg. — 15. ancienne vulgate : ἀπίστους.

3. Πλείονας ἢ τοσούτους, plus de cinq.

4-5. Μηδέν' ἐκ τριηραρχίας.... ἀτελῆ. Supposons, dit l'orateur, que, par une paix profonde, il n'y ait pas de vaisseau à armer, et que, délivrés ainsi des charges de la triérarchie, les citoyens riches, dont la loi de Leptine aura aboli l'immunité, prennent leur part des liturgies ordinaires. [Benseler.]

6. Οὐδὲ πολλοῦ δεῖ. Voyez, sur cette locution, la note sur *Cherson.*, § 42. Ici, comme l'orateur n'a pas écrit οὐ γὰρ φανήσεται (ce qui serait conforme à l'usage), cette locution sert de négation à la phrase principale.

7. Ὅρα. L'apostrophe individuelle a quelque chose de plus vif et de plus familier que l'apostrophe collective. On rapproche § 55, et *Phil.* I, § 10 : Εἰπέ μοι.

9-10. Πλείους ἢ πέντ' ἢ ἕξ. Les deux ἢ n'ont pas le même sens. Cf. § 43.

12-13. Χορηγοὶ.... ἑστιάτορες. Cf. la note sur le paragraphe 19. — Ἑξήκοντ(α). Bœckh, *l. c.*, p. 598, pense que ce chiffre est trop petit. Il en est probablement de même des chiffres qui précèdent. L'orateur arrange quelque peu les choses en faveur de la thèse qu'il soutient.

14-15. Πλείους (sous-ent. ἢ νῦν), de plus, en sus. — Παρὰ πάντα τὸν χρόνον, *per omne tempus*. Comme il n'y avait, suivant Démosthène, qu'environ soixante liturgies par an, le nombre des personnes obligées à ces prestations n'était épuisé qu'après un certain laps de temps, et les autres s'en trouvaient peu soulagées. — Ἀπίστως.... διαθῶμεν; devons-nous mettre en défiance? Cf. Lysias, *Contre Agoratos*, 11 : Εἰ διαθείη ὑμᾶς ἀπόρως, et les locutions correspondantes ἀπίστως διακεῖσθαι, ἀπόρως ἔχειν, dans lesquelles l'emploi de l'adverbe est familier à tout le monde. [F. A. Wolf.]

πρὸς ἡμᾶς αὐτοὺς διαθῶμεν; Ἀλλ' ἴσμεν ἐκεῖνο δήπου, ὅτι λῃτουργήσουσι μέν, ἄνπερ ἡ πόλις ᾖ, πολλοί, καὶ οὐκ ἐπιλείψουσιν, εὖ δὲ ποιεῖν ἡμᾶς οὐδεὶς ἐθελήσει, τοὺς πρότερον ποιήσαντας ἐὰν ἠδικημένους ἴδῃ. [23] Εἶεν· εἰ δὲ δὴ τὰ μάλιστ' ἐπέλειπον οἱ χορηγεῖν οἷοί τε, πρὸς Διὸς πότερον κρεῖττον ἦν εἰς συντέλειαν ἀγαγεῖν τὰς χορηγίας ὥσπερ τὰς τριηραρχίας, ἢ τοὺς εὐεργέτας ἀφελέσθαι τὰ δοθέντα; Ἐγὼ μὲν ἐκεῖν' οἶμαι. Νῦν μέν γε τὸν χρόνον, ὃν ἂν τούτων ἕκαστος λῃτουργῇ, δίδωσι τὴν ἀνάπαυσιν αὐτοῖς μόνον, μετὰ ταῦτα δ' οὐδὲν ἔλαττον
464 ἕκαστος αὐτῶν ἀναλώσει· τότε δ' ἄν, μικρᾶς συντελείας ἀπὸ τῶν ὑπαρχόντων ἑκάστῳ γιγνομένης, οὐδὲν ἔπασχε δεινὸν οὐδεὶς οὐδ' εἰ πάνυ μικρὰ κεκτημένος ἦν.

[24] Οὕτω τοίνυν τινές, ὦ ἄνδρες Ἀθηναῖοι, σφόδρ' ἔχουσιν ἀλογίστως ὥστ' ἐπιχειροῦσι λέγειν πρὸς μὲν ταῦτ' οὐδέν, ἄλλα δὲ τοιαδί· ὡς ἄρα δεινόν, εἰ ἐν κοινῷ μὲν μηδ' ὁτιοῦν ὑπάρχει τῇ πόλει, ἰδίᾳ δέ τινες πλουτήσουσιν ἀτελείας ἐπειλημμένοι. Ἔστι δὲ ταῦτ' ἀμφότερ' οὐχὶ δίκαιον λέγειν. Εἰ μὲν γάρ τις

NC. 2. ἅπερ S[1]. — 4. ειδηι S[1]. εἰδῇ L. — 5. ἐπέλειπον S seul. ἐπέλιπον L et vulg. — 8. δίδωσιν S. — 15. Ancienne vulgate ὑπάρξει. — 17. ἀμφότερα S et L. ἅμα ἀμφότερα vulg.

2. Ἄνπερ ἡ πόλις ᾖ, pourvu que notre ville subsiste. On rapproche *Phil.* III, § 56 : Ὅτ' ἦν ἡ πόλις; *Ambass.*, § 64 : Οὔσης τῆς Ἀθηναίων πόλεως. — Οὐκ ἐπιλείψουσιν. Quoi qu'en dise et quoi qu'en pense le patriotique orateur, on pouvait craindre alors que les choréges ne vinssent à manquer. Les désastres de la guerre du Péloponnèse, et tout récemment la défection des alliés et l'issue malheureuse de la guerre Sociale avaient porté des coups funestes à la prospérité d'Athènes. Déjà depuis plus de trente ans les choréges pour le chœur comique avaient fait défaut (ἐπέλιπον οἱ χορηγοί, Platonios, *De la comédie*, p. xɪ) : circonstance qui amena une modification de la comédie. Bientôt Démosthène (cf. *Mid.*, § 13) verra, par l'exemple de sa propre tribu, qu'il pouvait être difficile de trouver des choréges. Voy. Bœckh, *l. c.*, p. 607 sq.

6. Συντέλειαν, prestation commune, association de plusieurs contribuables pour une prestation commune. Au besoin, dit l'orateur, on pourrait organiser entre les choréges ces associations qui existent déjà pour la triérarchie. Cf. *Harangues*, p. 5.

8-11. Νῦν μέν γε.... ἀναλώσει. Maintenant (d'après la loi de Leptine) c'est seulement pendant le temps que chacun d'eux (les bienfaiteurs dont l'immunité est abolie) s'acquitte d'une liturgie, qu'il permet aux autres (αὐτοῖς) de se reposer; ce temps passé, ils auront à faire chacun des dépenses aussi grandes que d'habitude. Nous croyons, avec G. H. Schæfer, que le sujet de δίδωσι n'est pas Leptine, mais ἕκαστος. — Τότε δ' ἄν, en supposant qu'on ait recours au système de l'association. — Ἀπὸ τῶν ὑπαρχόντων, « de sa fortune, » ce qui implique ici « en proportion de sa fortune ». Car les mots ἑκάστῳ γιγνομένης indiquent la part de dépense qui revient de droit à chacun des sociétaires. Cf. *Couronne*, § 104 : Τὸ γιγνόμενον κατὰ τὴν οὐσίαν ἕκαστον τιθέναι.

15-16. Ἐν κοινῷ.... τῇ πόλει. Par suite de la guerre Sociale. Voy. la *Notice*.

17. Ἀμφότερ(α), en rapprochant les deux faits.

ἔχει πολλὰ μηδὲν ὑμᾶς ἀδικῶν, οὐχὶ δεῖ δήπου τούτῳ βασκαίνειν· εἰ δ' ὑφῃρημένον φήσουσιν ἤ τιν' ἄλλον οὐχ ὃν προσήκει τρόπον κεκτῆσθαι, εἰσὶ νόμοι καθ' οὓς προσήκει κολάζειν. Ὅτε δὲ τοῦτο μὴ ποιοῦσιν, οὐδὲ τὸν λόγον αὐτοῖς τοῦτον λεκτέον. [25] Καὶ μὴν περὶ τοῦ γε μὴ εἶναι χρήματα κοινὰ τῇ πόλει, ἐκεῖν' ὑμᾶς δεῖ σκοπεῖν, ὅτι οὐδὲν ἔσεσθ' εὐπορώτεροι, τὰς ἀτελείας ἐὰν ἀφέλησθε· οὐ γὰρ κοινωνεῖ ταῖς δημοσίαις προσόδοις καὶ περιουσίαις ταῦτα τἀναλώματ' οὐδέν. Χωρὶς δὲ τούτων, νυνὶ τῇ πόλει, δυοῖν ἀγαθοῖν ὄντοιν, πλούτου καὶ τοῦ πρὸς ἅπαντας πιστεύεσθαι, ἐστὶ τὸ τῆς πίστεως ὑπάρχον. Εἰ δέ τις οἴεται δεῖν, ὅτι χρήματ' οὐκ ἔχομεν, μηδὲ δόξαν ἔχειν ἡμᾶς χρηστήν, οὐ καλῶς φρονεῖ. Ἐγὼ μὲν γὰρ εὔχομαι τοῖς θεοῖς, μάλιστα μὲν ἡμῖν καὶ χρήματα πολλὰ γενέσθαι, εἰ δὲ μή, τό γε πιστοῖς εἶναι καὶ βεβαίοις δοκεῖν διαμεῖναι.

[26] Φέρε δὴ καὶ τὰς εὐπορίας, ἃς ἀναπαυομένους τινὰς εὐπορήσειν οὗτοι φήσουσιν, εἰς δέον ὑμῖν γιγνομένας δείξω. Ἴστε

NC. 1. τούτῳ L et vulg. τοῦτο S seul. Le datif de la personne convient mieux à l'antithèse que l'accusatif de la chose. — 2-3. ἢ et κεκτῆσθαι sont omis dans S et A, ainsi que par Vœmel. Bekker et Dindorf se bornent à conserver ἤ. J'ai pensé qu'il valait mieux suivre jusqu'au bout la leçon de L et de F, et que κεκτῆσθαι terminait bien et arrondissait ce membre de phrase. — 9. Ὄντοιν, ajouté par une main ancienne dans S, est omis par Vœmel et par Westermann. Il est vrai que cette correction rend la phrase plus claire. Mais l'omission de ὄντοιν, après δυοῖν ἀγαθοῖν, n'est sans doute que l'erreur accidentelle d'un copiste. — Variante : πλούτου τε καὶ. — 10. ἅπαντα S[1]. Cf. § 164. — ἐστι S[1]. μεῖζόν ἐστι ou κρεῖττόν ἐστι vulg. On pourrait tirer du scholiaste ἐστὶ τὸ κρεῖττον ὑπάρχον. — ὑπάρχον S. ὑπάρχον ἡμῖν vulg. — 14. διαμεῖναι S, L, A. διαμένειν vulg. — 16. Ancienne vulgate (mauvaise correction) : εἰς μέσον.

9-10. Τῇ πόλει. Ce datif se rattache à ἐστι.... ὑπάρχον, et non à ὄντοιν. Ce passage, qui a beaucoup embarrassé les éditeurs, est bien expliqué dans la scholie : Ἔχει δέ τινα καὶ κατὰ τὴν λέξιν ἀσάφειαν. Οὐ γὰρ ὅτι τῇ πόλει πρόσεστι δύο, καὶ ὁ πλοῦτος καὶ τὸ θαυμάζεσθαι· ἀλλὰ δυοῖν ὄντοιν ἀγαθοῖν παρὰ πᾶσιν ἀνθρώποις, τῇ πόλει τὸ κρεῖττον ὑπάρχει. Le participe ὄντοιν n'indique que l'existence et la possession possible; ἐστι.... ὑπάρχον exprime la propriété réelle. Ὄντοιν se trouve avec le même sens dans le passage parallèle, *Aristocr.*, § 113 : Δυοῖν ἀγαθοῖν ὄντοιν πᾶσιν ἀνθρώποις, τοῦ μὲν ἡγουμένου καὶ μεγίστου πάντων, τοῦ εὐτυχεῖν, τοῦ δ' ἐλάττονος μὲν τούτου τῶν δ' ἄλλων μεγίστου, τοῦ καλῶς βουλεύεσθαι, οὐχ ἅμ' ἡ κτῆσις παραγίγνεται τοῖς ἀνθρώποις. — Πρὸς ἅπαντας, dans ses rapports avec tout le monde. On s'attendrait à ὑφ' ἁπάντων. Cf. la locution πιστεύεσθαι παρά τινι, *Aristocr.*, § 4.

14. Πιστοῖς s'accorde par attraction avec ἡμῖν, datif commun à γενέσθαι et à διαμεῖναι. — Εἶναι est gouverné par δοκεῖν. Cf. § 6.

15-16. Ἀναπαυομένους, en se reposant, en économisant, grâce à l'immunité. Cf. § 23 : Δίδωσι τὴν ἀνάπαυσιν. — Εἰς δέον ὑμῖν γιγνομένας, qu'elles vous viennent à point, à propos.

465 γὰρ δήπου τοῦθ', ὅτι τῶν τριηραρχιῶν οὐδείς ἐστ' ἀτελὴς οὐδὲ τῶν εἰσφορῶν τῶν εἰς τὸν πόλεμον. Οὐκοῦν ὁ πολλὰ κεκτημένος, οὗτος, ὅστις ἂν ᾖ, πόλλ' εἰς ταῦτα συντελεῖ· πᾶσ' ἀνάγκη. Καὶ μὴν ὅτι δεῖ τὴν εὐπορίαν εἰς ταῦθ' ὑπάρχειν πλείστην τῇ πόλει, πάντες ἂν ὁμολογήσειαν· παρὰ μὲν γὰρ τὰς ἐπὶ τῶν χορηγιῶν δαπάνας ἡμέρας μέρος μικρὸν ἡ χάρις τοῖς θεωμένοις ἡμῶν, παρὰ δὲ τὰς τῶν εἰς τὸν πόλεμον παρασκευῶν ἀφθονίας πάντα τὸν χρόνον ἡ σωτηρία πάσῃ τῇ πόλει. [27] Ὥσθ' ὅσον ἐνθάδ' ἀφίετε, ἐκεῖ κομίζεσθε, καὶ δίδοτ' ἐν τιμῆς μέρει ταῦθ' ἃ καὶ μὴ λαβοῦσιν ἔστιν ἔχειν τοῖς τοῦ τριηραρχεῖν ἄξια κεκτημένοις. Ἀλλὰ μὴν ὅτι τῶν τριηραρχιῶν οὐδείς ἐστ' ἀτελής, οἶμαι μὲν ὑμᾶς εἰδέναι πάντας, ὅμως δὲ καὶ τὸν νόμον ὑμῖν αὐτὸν ἀναγνώσεται. Λαβὲ τὸν περὶ τῶν τριηραρχιῶν νόμον, καὶ λέγε τοῦτ' αὐτό.

ΝΟΜΟΣ.

Ἀτελῆ δὲ μηδένα εἶναι τριηραρχίας πλὴν τῶν ἐννέα ἀρχόντων.

[28] Ὁρᾶθ' ὡς σαφῶς, ὦ ἄνδρες Ἀθηναῖοι, μηδέν' εἶναι τρι-

NC. 5. παντας S. — 6. μέρος μικρὸν S et L seuls. μικρὸν μέρος vulg. Quelques manuscrits omettent μικρόν, peut-être avec raison. [Vœmel.] — 7. ἡμῶν S. ἡμῶν ἐστι L et vulg. Hermogène (t. III, p. 273 Walz) omet ἡμῶν et plus bas (ligne 8) πάσῃ. Ce dernier mot manque dans A ; mais les deux omissions se tiennent. — παρασκευῶν est suspecté par Hirschig (*Philologus*, V, p. 332). — 10. τους, pour τοῖς τοῦ, S et L. — 14. τοῦτο αὐτο S, L, A. τοῦτον αὐτοῖς vulg. Dindorf propose τοῦτο αὐτοῦ.

1-2. Τῶν τριηραρχιῶν.... εἰς τὸν πόλεμον. L'orateur l'a déjà dit au paragraphe 18 : il aime à insister sur un point aussi essentiel. Aussi fera-t-il tout à l'heure lire le texte même de la loi.

3-4. Οὗτος reprend l'idée de ὁ πολλὰ κεκτημένος : tournure expressive, empruntée au langage familier. Cf. διὰ τοῦτ(ο), § 3, et *passim*. — Ὅστις ἂν ᾖ, qu'il soit exempté de certaines charges ou non.

5-6. Παρὰ.... δαπάνας, par les dépenses. Voy. la note sur παρὰ τὴν αὑτοῦ ῥώμην, *Phil.* I, § 11.

8-9. Ὅσον ἐνθάδ' ἀφίετε, ἐκεῖ κομίζεσθε. Ce que l'État perd d'un côté, il le retrouve de l'autre : s'il dispense quelques riches des liturgies ordinaires, les fortunes ainsi augmentées devront contribuer d'autant plus aux frais de la guerre. Quelque spécieux que soit cet argument, il n'est pas sans réplique. Est-il bien sûr que tous les exemptés thésaurisent? Ne peuvent-ils pas profiter de l'exemption pour faire plus de dépenses et vivre plus largement ?

9-10. Ταῦθ' ἃ καὶ μὴ λαβοῦσιν..., c'est-à-dire ἀτέλειαν. En effet, on a vu, au paragraphe 19, que les triérarques étaient affranchis des chorégies.

13. Ἀναγνώσεται : sous-ent. ὁ ἀναγνώστης, c'est-à-dire ὁ γραμματεύς. Cf. § 44, etc.

14. Τοῦτ' αὐτό, cette clause même de la loi. Cf. *Amb.*, § 40; *Théocr.*, § 14 : Καί μοι λέγε τοῦτ' αὐτὸ τοῦ νόμου. [F. A. Wolf.]

16-17. Ἀτελῆ.... ἀρχόντων. Il était facile de tirer ces mots du texte de l'orateur.

ηραρχίας ἀτελῆ διείρηκεν ὁ νόμος πλὴν τῶν ἐννέα ἀρχόντων. Οὐκοῦν οἱ μὲν ἐλάττω κεκτημένοι τοῦ τριηραρχίας ἄξι' ἔχειν ἐν ταῖς εἰσφοραῖς συντελοῦσιν εἰς τὸν πόλεμον, οἱ δ' ἐφικνούμενοι τοῦ τριηραρχεῖν εἰς ἀμφότερ' ὑμῖν ὑπάρξουσι χρήσιμοι, καὶ τριηραρχεῖν καὶ εἰσφέρειν. Τίν' οὖν ῥᾳστώνην τοῖς πολλοῖς ὁ σός, ὦ Λεπτίνη, ποιεῖ νόμος, εἰ μιᾶς ἢ δυοῖν φυλαῖν ἕνα χορηγὸν καθίστησιν, ὃς ἀνθ' ἑνὸς ἄλλου τοῦθ' ἅπαξ ποιήσας ἀπηλλάξεται; Ἐγὼ μὲν οὐχ ὁρῶ. Τῆς δέ γ' αἰσχύνης ὅλην 488 ἀναπίμπλησι τὴν πόλιν καὶ τῆς ἀπιστίας. Οὔκουν ὅτε πολλῷ μείζονα βλάψει τῶν ὠφελειῶν ὧν ἔχει, προσήκει λελύσθαι παρὰ τοῖσδ' αὐτόν; Ἔγωγ' ἂν φαίην.

[29] Ἔτι δ', ὦ ἄνδρες δικασταί, διὰ τὸ γεγράφθαι ἐν τῷ νόμῳ διαρρήδην αὐτοῦ « μηδένα μήτε τῶν πολιτῶν μήτε τῶν ἰσοτελῶν μήτε τῶν ξένων εἶναι ἀτελῆ, » μὴ διῃρῆσθαι δὲ ἔτου ἀτελῆ, χορηγίας ἢ τίνος ἄλλου τέλους, ἀλλ' ἁπλῶς « ἀτελῆ

NC. 1. διείρηκεν. Variante, adoptée par Dindorf : διήρηκεν. — 2. τριηραρχίας, sur un endroit gratté, dans S. Variante vicieuse : λειτουργίας. — 4. ὑπάρξουσιν S. — 6. ποιεῖ. Variante : ποιήσει. — 8. ἀπηλλάξεται, correction de Cobet. ἀπαλλάξεται manuscrits. — 9-10. Ancienne vulgate : οὐκοῦν, et βλάπτει. — 10. ὠφελιῶν S. — 14. διῃρῆσθαι L. διειρῆσθαι S. Ici j'ai préféré le verbe qui veut dire « distinguer, définir », et que recommande le synonyme διορίζειν, page 30, ligne 8.

1. Διείρηκεν équivaut à διαρρήδην εἴρηκεν. [Scholiaste.]

3-4. Οἱ δ' ἐφικνούμενοι τοῦ τριηραρχεῖν, ceux dont la fortune atteint le chiffre qui oblige à la triérarchie.

6-7. Μιᾶς ἢ δυοῖν φυλαῖν ἕνα χορηγόν. D'après le paragraphe 21, cinq ou six citoyens jouissent de l'immunité. Or le nombre des tribus était de dix. L'abolition de l'immunité pour cinq citoyens n'aurait donc ajouté qu'un chorége par deux tribus; pour six, elle n'en aurait pas donné un de plus par tribu. La vérité est donc entre ces deux proportions : μιᾶς ἢ δυοῖν. [G. H. Schæfer.] Encore ce soulagement n'aurait pas eu lieu annuellement, mais une fois dans le laps de temps qu'il fallait pour épuiser la série de tous les choréges. Cf. § 22, avec la note. C'est ce qu'indique le mot ἅπαξ. [F. A. Wolf.] D'un autre côté, les exemptés contribuaient d'autant plus aux dépenses de la guerre. Démosthène en conclut que le soulagement que Leptine prétend procurer aux pauvres est illusoire.

8. Ἀπηλλάξεται, *liberatus erit*, il se trouvera libéré.

11. Τοῖσδ(ε) désigne le juges. Démosthène continue d'adresser la parole à Leptine, comme s'il s'attendait à son assentiment. Comme Leptine ne répond pas, l'orateur dit : Ἔγωγ' ἂν φαίην.

12. Ἔτι δ(έ)... L'orateur va passer en revue les bienfaiteurs d'Athènes qu'il serait particulièrement injuste ou impolitique de priver de leurs récompenses.

13-14. Τῶν ἰσοτελῶν. Les Isotèles étaient des étrangers domiciliés à Athènes, qui ne supportaient pas d'autres charges que les citoyens, jouissaient des droits civils et n'avaient pas, comme les autres métèques, besoin d'un patron (προστάτης), sans avoir toutefois les droits politiques, partage exclusif du peuple souverain. Cf. Schœmann, *Antiq. juris publ. Gr.*, p. 191.

15. Ἄλλου τέλους. Faut-il entendre d'autres liturgies? Cette explication, avancée par Benseler, Westermann et d'autres, est inadmissible. Démosthène dit que Leu-

μηδένα πλὴν τῶν ἀφ' Ἁρμοδίου καὶ Ἀριστογείτονος, » καὶ ἐν μὲν τῷ « μηδένα » πάντας περιλαμβάνειν τοὺς ἄλλους, ἐν δὲ τῷ « τῶν ξένων » μὴ διορίζειν « τῶν οἰκούντων Ἀθήνησιν, » ἀφαιρεῖται καὶ Λεύκωνα τὸν ἄρχοντα Βοσπόρου καὶ τοὺς παῖδας αὐτοῦ τὴν δωρειὰν ἣν ὑμεῖς ἔδοτ' αὐτοῖς. [30] Ἔστι γὰρ γένει μὲν δήπου ὁ Λεύκων ξένος, τῇ δὲ παρ' ὑμῶν ποιήσει πολίτης· κατ' οὐδέτερον δ' αὐτῷ τὴν ἀτέλειαν ἔστ' ἔχειν ἐκ τούτου τοῦ νόμου. Καίτοι τῶν μὲν ἄλλων εὐεργετῶν χρόνον τιν' ἕκαστος ἡμῖν χρήσιμον αὑτὸν παρέσχεν, οὗτος δ', ἂν σκοπῆτε, φανήσεται συνεχῶς ἡμᾶς εὖ ποιῶν, καὶ ταῦθ' ὧν μάλισθ' ἡμῶν ἡ πόλις δεῖται. [31] Ἴστε γὰρ δήπου τοῦθ', ὅτι πλείστῳ τῶν πάντων ἀνθρώπων ἡμεῖς ἐπεισάκτῳ σίτῳ χρώμεθα. Πρὸς τοίνυν

NC. 2. περιλαμβάνει S[1] et L. — 5. ἔστι μεν (μεν pointé de la même encre) S. ἔστι μὲν (en omettant μέν après γένει) L[1]. La particule semble avoir été transposée par erreur. Car, quoi qu'en disent Vœmel et Westermann, je ne crois pas que deux μέν soient de mise ici. — 6. ὁ Λεύκων δήπου A.

con ne se trouverait pas atteint par la loi de Leptine, si cette loi n'abolissait que l'exemption de la chorégie. Évidemment, il n'y a pas lieu de distinguer ici entre la chorégie proprement dite et les autres liturgies ordinaires; *chorége* est pris ici dans le sens moins étroit qu'il a au § 19 : comme prince étranger, Leucon n'était astreint à aucune liturgie. Les mots ἄλλου τέλους visent les droits de douane dont Leucon était affranchi à Athènes, comme les Athéniens l'étaient dans les ports de Leucon. Telle est l'interprétation commune, déjà donnée par le scholiaste, et qu'on n'aurait pas dû contester. Il est vrai que Leptine ne voulait abolir que les immunités relatives aux liturgies : les premiers mots de sa loi (cf. § 127) le disent assez. Démosthène lui cherche chicane en s'attachant à la lettre d'une phrase isolée.

2-3. Περιλαμβάνειν.... διορίζειν. La tournure active succède à la tournure passive; mais ces deux infinitifs dépendent, comme les deux précédents, de διὰ τὸ, p. 29, l. 12. — Τῶν οἰκούντων Ἀθήνησιν. C'étaient là les métèques.

4. Καὶ Λεύκωνα. Personne n'a dû être plus étonné que Leptine, en apprenant que sa loi lésait les droits de ce prince étranger. En effet, il n'est pas à croire que, en réalité, il en eût pu jamais résulter rien de fâcheux pour Leucon. Mais, formellement, la déduction de Démosthène est concluante : il découvre une conséquence imprévue de la loi qu'il combat, et il tire un excellent parti de cette découverte. — Τὸν ἄρχοντα Βοσπόρου. Le royaume de Bosporos s'étendait des deux côtés du détroit Cimmérien, dans la presqu'île Taurique et sur la côte de l'Asie. Leucon y régna de 393 à 353. F. A. Wolf a remarqué que Démosthène évite de donner le nom de tyran ou de roi à ce prince libéral, grand ami des Grecs et, en particulier, des Athéniens. Depuis, les inscriptions nous ont appris que Leucon et les autres souverains de la maison des Spartocides ne prenaient eux-mêmes le titre de βασιλεύς que par rapport à leurs sujets barbares, et s'appelaient ἄρχοντες des Hellènes établis dans les villes de Bosporos ou de Panticapæon (aujourd'hui, Kertsch), et de Théodosie (Kaffa). Cf. *Corp. Inscr. Græc.*, II, 2119 et 2134 a.

5-6. Γένει.... ποιήσει. Ces termes, synonymes de φύσει et de θέσει, désignent, tant dans la famille que dans l'État, d'un côté, les rapports naturels donnés par la naissance, de l'autre, les rapports conventionnels établis par l'adoption ou la naturalisation.

11-12. Πλείστῳ.... ἐπεισάκτῳ σίτῳ. La même assertion dans les mêmes termes

ἅπαντα τὸν ἐκ τῶν ἄλλων ἐμπορίων ἀφικνούμενον ὁ ἐκ τοῦ Πόντου σῖτος εἰσπλέων ἐστίν. Εἰκότως· οὐ γὰρ μόνον διὰ τὸ τὸν τόπον τοῦτον σῖτον ἔχειν πλεῖστον τοῦτο γίγνεται, ἀλλὰ διὰ τὸ κύριον ὄντα τὸν Λεύκωνα αὐτοῦ τοῖς ἄγουσιν Ἀθήναζε ἀτέλειαν δεδωκέναι, καὶ κηρύττειν πρώτους γεμίζεσθαι τοὺς ὡς ὑμᾶς πλέοντας. Ἔχων γὰρ ἐκεῖνος ἑαυτῷ καὶ τοῖς παισὶ τὴν ἀτέλειαν ἅπασι δέδωκεν ὑμῖν. [32] Τοῦτο δ' ἡλίκον ἐστὶ 467 θεωρήσατε. Ἐκεῖνος πράττεται τοὺς παρ' αὐτοῦ σῖτον ἐξάγοντας τριακοστήν. Αἱ τοίνυν παρ' ἐκείνου δεῦρ' ἀφικνούμεναι σίτου μυριάδες περὶ τετταράκοντ' εἰσίν· καὶ τοῦτ' ἐκ τῆς παρὰ τοῖς σιτοφύλαξιν ἀπογραφῆς ἄν τις ἴδοι. Οὐκοῦν παρὰ μὲν τὰς τριάκοντα μυριάδας μυρίους δίδωσι μεδίμνους ἡμῖν, παρὰ δὲ τὰς δέκα ὡσπερανεὶ τρισχιλίους. [33] Τοσούτου τοίνυν δεῖ ταύτην ἀποστερῆσαι τὴν δωρειὰν τὴν πόλιν, ὥστε προσκατασκευάσας ἐμπόριον Θευδοσίαν, ὅ φασιν οἱ πλέοντες οὐδ' ὁτιοῦν χεῖρον εἶναι τοῦ Βοσπόρου, κἀνταῦθ' ἔδωκε τὴν ἀτέλειαν ἡμῖν. Καὶ τὰ μὲν ἄλλα σιωπῶ, πόλλ' ἂν ἔχων εἰπεῖν, ὅσ' εὐηργέτηκεν ὑμᾶς οὗτος ἀνὴρ καὶ αὐτὸς καὶ οἱ πρόγονοι· ἀλλὰ προπέρυσι σιτοδείας παρὰ πᾶσιν ἀνθρώποις γενομένης οὐ μόνον ὑμῖν

NC. 3. ἀλλὰ S et L. ἀλλὰ καὶ vulg. — 4. Ancienne vulgate : τοῖς ἄγουσι τὸν σῖτον. — 12. δὲ, après παρὰ, est ajouté dans S par une main ancienne. — 13. ὡσπερανεὶς S[1]. ὥσπερ ἂν εἰς L. — 15. Θευδασίαν S et L. — 16. δέδωκε F.

Cour., § 87. Bœckh (*Staatshaus.*, I, p. 115) évalue l'importation de blé étranger, dont l'Attique avait besoin, dans les années ordinaires, à un tiers de la consommation. — Πρὸς.... ἅπαντα.... ἐστίν, il peut être comparé à tout le reste, c'est-à-dire il égale à peu près tous les autres ensemble. Cf. *Symmories*, § 25. Hérodote (VIII, 44) se sert de la même locution, en opposant les cent quatre-vingts vaisseaux que les Athéniens avaient à Salamine aux cent quatre-vingt-dix-huit vaisseaux des autres Grecs. Cf. Bœckh, *l. c.*, p. 114.

4-5. Τοῖς ἄγουσιν.... δεδωκέναι. Ce privilége subsista encore sous Parisadès, fils de Leucon, et roi de Bosporos depuis 349. Cf. *Contre Phormion*, § 36. [Westermann.] — Πρώτους γεμίζεσθαι. Déjà Satyros, le père de Leucon, avait plus d'une fois, quand le blé n'était pas abondant, permis aux Athéniens d'en exporter seuls, à l'exclusion des autres marchands. Cf. Isocrate, *Trapez.*, § 57.

7. Τὴν ἀτέλειαν. Cette immunité était évidemment de même nature de côté et d'autre.

10. Μυριάδες, sous-ent. μεδίμνων. Le médimne peut être évalué, suivant Hultsch (*Gr. und Rœm. Metrologie*, p. 87), à 52 litres et demi.

11. Σιτοφύλαξιν. Harpocration, art. Σιτοφύλακες· ἀρχή τις ἦν Ἀθήνησιν ἥτις ἐπεμελεῖτο ὅπως ὁ σῖτος δικαίως πραθήσεται καὶ τὰ ἄλφιτα καὶ οἱ ἄρτοι. Ἦσαν δὲ τὸν ἀριθμὸν ιε', ι' μὲν ἐν ἄστει, ε' δ' ἐν Πειραιεῖ, ὡς Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ. — Παρὰ μέν, sur. Cf. *Androt.*, § 41.

ἱκανὸν σῖτον ἀπέστειλεν, ἀλλὰ τοσοῦτον ὥστε πεντεκαίδεκ' ἀργυρίου τάλαντα, ἃ Καλλισθένης διῴκησε, προσπεριγενέσθαι. [34] Τί οὖν οἴεσθ', ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτον τὸν τοιοῦτον περὶ ὑμᾶς γεγενημένον, ἐὰν ἀκούσῃ νόμῳ τὴν ἀτέλειαν ὑμᾶς ἀφῃρημένους αὐτὸν καὶ μηδ' ἂν μεταδόξῃ ποτὲ ψηφισαμένους ἐξεῖναι δοῦναι; ἆρ' ἀγνοεῖθ' ὅτι ὁ αὐτὸς νόμος οὗτος ἐκεῖνόν τ' ἀφαιρήσεται τὴν ἀτέλειαν, κύριος ἂν γένηται, καὶ ὑμῶν τοὺς παρ' ἐκείνου σιτηγοῦντας; [35] Οὐ γὰρ δήπου τοῦτό γ' ὑπείληφεν οὐδείς, ὡς ἐκεῖνος ὑπομενεῖ ἑαυτῷ μὲν ἀκύρους εἶναι τὰς παρ' ὑμῶν δωρειάς, ὑμῖν δὲ μένειν τὰς παρ' ἑαυτῷ. Οὐκοῦν πρὸς πολλοῖς οἷς ὁ νόμος βλάψειν ὑμᾶς φαίνεται, καὶ προσ-
468 αφαιρεῖταί τι τῶν ὑπαρχόντων ἤδη. Εἶθ' ὑμεῖς ἔτι σκοπεῖτ' εἰ χρὴ τοῦτον ἐξαλεῖψαι, καὶ οὐ πάλαι βεβούλευσθε; Ἀνάγνωθι λαβὼν αὐτοῖς τὰ ψηφίσματα τὰ περὶ τοῦ Λεύκωνος.

NC. 1. τοσούτου H. et F. A. Wolf. Voy. la note explicative. — 10. ἑαυτῷ les bons manuscrits. ἑαυτοῦ vulg. Voy. la note explicative. — 11. οἷς ἂν S, L et vulg. ἂν, omis dans A, a été supprimé par Cobet (*Var. Lect.*, p. 267 sq.) et Dindorf. — 14. ψηφίσματα αὐτὰ τὰ F.

1-2. Σῖτον ἀπέστειλεν. Strabon (VII, p. 311) parle de plus de deux millions de médimnes envoyés par Leucon aux Athéniens. Il fait probablement allusion au fait mentionné par Démosthène. Bœckh (*l. c.*, p. 125) estime que ce chiffre n'est pas trop élevé pour avoir été fourni en une seule année. — Τοσοῦτον προσπεριγενέσθαι. L'orateur dit que le blé envoyé par Leucon ne suffisait pas seulement aux besoins de l'Attique, mais qu'en outre les Athéniens purent retirer quinze talents, évidemment de ce qu'ils revendaient à l'étranger au-dessus du prix de revient. Ceux qui écrivent τοσούτου (cf. *NC.*) entendent que Leucon laissa le blé à si bas prix que l'État gagna quinze talents en le revendant aux citoyens. L'économie eût été peu démocratique, et G. H. Schæfer a fait remarquer que l'antithèse indiquée par les mots οὐ μόνον ὑμῖν ἱκανόν, ainsi que le composé προσπεριγενέσθαι, s'oppose à cette dernière explication, et est tout en faveur de la leçon des manuscrits.

3. Τί οὖν οἴεσθ(ε).... τοῦτον, que pensez-vous qu'il fera? Ellipse usuelle, et qui serait encore plus facile, si l'orateur continuait : οὐ τὴν ἀτέλειαν ἀφαιρήσεσθαι ὑμῶν τοὺς παρ' ἐκείνου σιτηγοῦντας;

5-6. Καὶ μηδ' ἄν.... δοῦναι équivaut à καὶ ψηφισαμένους μὴ ἐξεῖναι δοῦναι, μηδ' ἂν μεταδόξῃ ποτέ. [Reiske.]

7-8. Κύριος ἂν γένηται, si la loi est ratifiée par l'assemblée judiciaire devant laquelle est plaidée cette affaire. — Ὑμῶν.... σιτηγοῦντας. L'abolition de l'immunité dont Leucon jouissait à Athènes aura pour effet de faire révoquer par ce prince les priviléges qu'il avait accordés aux marchands en destination d'Athènes.

9-10. Τὰς παρ' ὑμῶν.... τὰς παρ' ἑαυτῷ. Le datif dans le second membre de phrase s'explique par l'influence du verbe μένειν. La plupart des éditeurs, même Bekker et Dindorf, ont, à tort, effacé un hellénisme dont on peut rendre compte par la périphrase μένειν παρ' ἑαυτῷ τὰς παρ' ἑαυτοῦ τιμάς. Cf. § 71 ; *Phil.* III, § 15 : Τοὺς ἐκ Σερρείου τείχους.... στρατιώτας ἐξέβαλλεν, et *passim*.

ΨΗΦΙΣΜΑΤΑ.

[36] Ὡς μὲν εἰκότως καὶ δικαίως τετύχηκεν τῆς ἀτελείας παρ' ὑμῶν ὁ Λεύκων, ἀκηκόατ' ἐκ τῶν ψηφισμάτων, ὦ ἄνδρες δικασταί. Τούτων δ' ἁπάντων στήλας ἀντιγράφους ἐστήσαθ' ὑμεῖς κἀκεῖνος, τὴν μὲν ἐν Βοσπόρῳ, τὴν δ' ἐν Πειραιεῖ, τὴν δ' ἐφ' Ἱερῷ. Σκοπεῖτε δὴ πρὸς ὅσης κακίας ὑπερβολὴν ὑμᾶς ὁ νόμος προάγει, ὃς ἀπιστότερον τὸν δῆμον καθίστησιν ἑνὸς ἀνδρός. [37] Μὴ γὰρ οἴεσθ' ὑμῖν ἄλλο τι τὰς στήλας ἑστάναι ταύτας ἢ τούτων πάντων ὧν ἔχετ' ἢ δεδώκατε συνθήκας, αἷς ὁ μὲν Λεύκων ἐμμένων φανεῖται καὶ ποιεῖν ἀεί τι προθυμούμενος ὑμᾶς εὖ, ὑμεῖς δ' ἑστώσας ἀκύρους πεποιηκότες, ὃ πολὺ δεινότερον τοῦ καθελεῖν· αὗται γὰρ οὑτωσὶ τοῖς βουλομένοις κατὰ τῆς πόλεως βλασφημεῖν τεκμήριον ὡς ἀληθῆ λέγουσιν ἑστήξουσιν. [38] Φέρ', ἐὰν δὲ δὴ πέμψας ὡς ἡμᾶς ὁ Λεύκων ἐρωτᾷ τί ἔχοντες ἐγκαλέσαι καὶ τί μεμφόμενοι τὴν ἀτέλειαν αὐτὸν ἀφῄρησθε, τί πρὸς θεῶν ἐροῦμεν ἢ τί γράψει ποθ' ὁ τὸ ψήφισμ' ὑπὲρ ἡμῶν γράφων; Ὅτι νὴ Δί' ἦσαν τῶν εὑρημένων τινὲς ἀνάξιοι. [39] Ἐὰν οὖν εἴπῃ πρὸς ταῦτ' ἐκεῖνος « καὶ γὰρ « Ἀθηναίων τινὲς ἴσως φαῦλοι, καὶ οὐ διὰ ταῦτ' ἐγὼ τοὺς

NC. 2. τετυχηκεν S. — 5. Variante : ὑμεῖς τε κἀκεῖνος. — 11. πεποίηκότες S¹. ἑστῶσας πεποιηκότες L et vulg. — 12. καθελεῖν S et L. καθελεῖν ἐστίν vulg. — 14. ἡμᾶς manuscrits, ὑμᾶς vulg. — 16. ἀφῄρησθαι S. — ποτε ὅτε τὸ S, avant correction. ποτε ὅ γε τὸ L. — 17. ἡμῶν L. ὑμῶν S. — τινες τῶν εὑρημένων A, F. — 19. φαῦλοι S. φαῦλοι εἰσ·, ou εἰσὶ φαῦλοι, ou εἰσὶν ἴσως φαῦλοι vulg.

3. Τούτων.... ἀντιγράφους, qui en sont l'exacte reproduction.

6. Ἱερῷ. On donnait le nom de Hiéron par excellence à un lieu situé sur la côte asiatique du Bosphore de Thrace, où il y avait un temple de Zeus Ourios, fondé, disait-on, par les Argonautes. Dans les premières années du règne de Leucon, époque à laquelle furent rendus les décrets, les Athéniens percevaient des droits sur les marchandises, non-seulement au Pirée, mais aussi au Bosphore de Thrace (Cf. § 60). Leucon en percevait d'analogues à Bosporos du Pont. Les endroits où les copies des décrets furent exposées en public indiquent bien que, de côté et d'autre, il s'agit, comme nous l'avons dit, d'immunités commerciales.

8-9. Τὰς στήλας ἑστάναι.... συνθήκας: belle expression, plus expressive que τὰ στήλας εἶναι συνθήκας. Cf. μέγας ηὐξήθη, pour μέγας ἐγένετο, *Olynth*. II, § 5.

12. Τοῦ καθελεῖν. On renversait la colonne en signe de rupture ouverte du traité. Cf. *Mégalop*., § 27.

16-17. Τὸ ψήφισμ(α), le décret, c.-à-d. la réponse que le peuple votera.—Ὅτι.... ἀνάξιοι. C'est là, suivant Démosthène, le grand argument de Leptine. Cf. § 17.

« χρηστοὺς ἀφειλόμην, ἀλλὰ τὸν δῆμον νομίζων χρηστὸν « πάντας ἔχειν ἐῶ, » οὐ δικαιότερ' ἡμῶν ἐρεῖ; Ἐμοὶ γοῦν
469 δοκεῖ. Παρὰ πᾶσι γὰρ ἀνθρώποις μᾶλλόν ἐστιν ἔθος διὰ τοὺς εὐεργέτας καὶ ἄλλους τινὰς εὖ ποιεῖν τῶν μὴ χρηστῶν ἢ διὰ τοὺς φαύλους τοὺς ὁμολογουμένως ἀξίους χάριτος τὰ δοθέντ' ἀφαιρεῖσθαι. [40] Καὶ μὴν οὐδ' ὅπως οὐκ ἀντιδώσει τῷ Λεύκωνί τις, ἂν βούληται, δύναμαι σκοπούμενος εὑρεῖν. Χρήματα μὲν γάρ ἐστιν ἀεὶ παρ' ὑμῖν αὐτοῦ, κατὰ δὲ τὸν νόμον τοῦτον, ἐάν τις ἐπ' αὔτ' ἔλθῃ, ἢ στερήσεται τούτων ἢ λῃτουργεῖν ἀναγκασθήσεται. Ἔστι δ' οὐ τὸ τῆς δαπάνης μέγιστον ἐκείνῳ, ἀλλ' ὅτι τὴν δωρειὰν ὑμᾶς αὐτὸν ἀφῃρῆσθαι νομιεῖ.

[41] Οὐ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, μὴ Λεύκων ἀδικηθῇ μόνον δεῖ σκοπεῖν, ᾧ φιλοτιμίας εἵνεχ' ἡ περὶ τῆς δωρειᾶς σπουδὴ γένοιτ' ἄν, οὐ χρείας, ἀλλὰ καὶ εἴ τις ἄλλος εὖ μὲν ἐποίησεν ὑμᾶς εὖ πράττων, εἰς δέον δὲ νῦν γέγονεν αὐτῷ τὸ παρ' ὑμῶν λαβεῖν τότε τὴν ἀτέλειαν. Τίς οὖν οὗτός ἐστιν; Ἐπικέρδης ὁ Κυρηναῖος, ὃς, εἴπερ τις ἄλλος τῶν εἰληφότων, δικαίως ἠξιώθη ταύτης τῆς τιμῆς, οὐ τῷ μεγάλ' ἢ θαυμάσι' ἡλίκα δοῦναι, ἀλλὰ τῷ παρὰ τοιοῦτον καιρὸν ἐν ᾧ καὶ τῶν εὖ πεπονθότων ἔργον ἦν εὑρεῖν ἐθέλοντά τιν' ὧν εὐηργέτητο μεμνῆσθαι. [42] Οὗτος γὰρ ἀνὴρ, ὡς τὸ ψήφισμα τοῦτο δηλοῖ τὸ τότ' αὐτῷ γραφὲν, τοῖς ἁλοῦσι τότ' ἐν Σικελίᾳ τῶν πολιτῶν, ἐν τοιαύτῃ συμφορᾷ καθεστηκόσιν, ἔδωκε μνᾶς ἑκατὸν καὶ τοῦ

NC. 17. Mauvaise variante : ὁ Κερκυραῖος.— 20. τινα ὧ S [1]. — 22. ἁλοῦσιν S.

6. Καὶ μήν.... Jusqu'ici Démosthène avait implicitement admis dans ses raisonnements une chose incontestable, à savoir que le prince de Bosporos n'était pas astreint aux liturgies d'Athènes. Mais sa subtile sagacité ne laisse échapper aucun argument. Puisque Leucon est citoyen, je ne vois pas, ajoute-t-il, pourquoi un autre citoyen, désigné pour une liturgie, ne pourrait le sommer de faire avec lui un échange de fortune, ou bien de fournir lui-même la liturgie.

8-9. Ἐάν τις ἐπ' αὔτ(ὰ) ἔλθῃ, si quelqu'un essayait de s'emparer de ces fonds, en offrant l'antidose à ce concitoyen princier, privé de l'immunité par la loi de Leptine (κατὰ τὸν νόμον τοῦτον).

15. Εἰς δέον, à propos. Cf. § 44.

19-20. Καὶ τῶν εὖ πεπονθότων.... εὑρεῖν, il était difficile de trouver même parmi ceux qui avaient reçu des bienfaits, qui avaient été honorés par le peuple....

21. Τὸ ψήφισμα τοῦτο. L'orateur montre la copie du décret, en attendant de la faire lire.

22. Τότ(ε), alors « illo tempore, insigni, noto omnibus ». [F. A. Wolf.] Cinquante-huit ans s'étaient écoulés depuis le désastre de Syracuse (413 av. J. C.).

μὴ τῷ λιμῷ πάντας αὐτοὺς ἀποθανεῖν αἰτιώτατος ἐγένετο. Καὶ μετὰ ταῦτα, δοθείσης ἀτελείας αὐτῷ διὰ ταῦτα παρ' ὑμῶν, ὁρῶν ἐν τῷ πολέμῳ [πρὸ τῶν τριάκοντα μικρὸν] σπανίζοντα τὸν δῆμον χρημάτων, τάλαντον ἔδωκεν αὐτὸς ἐπαγγειλάμενος. [43] Σκέψασθε δὴ πρὸς Διὸς καὶ θεῶν, ἄνδρες Ἀθηναῖοι, πῶς ἂν ἄνθρωπος μᾶλλον φανερὸς γένοιτ' εὔνους ὢν ὑμῖν, ἢ πῶς ἧττον ἄξιος ἀδικηθῆναι, ἢ πρῶτον μὲν εἰ παρὼν τῷ τῆς πόλεως ἀτυχήματι μᾶλλον ἕλοιτο τοὺς ἀτυχοῦντας καὶ τὴν παρὰ τούτων χάριν, ἥτις ποτ' ἔμελλεν ἔσεσθαι, ἢ τοὺς ἐν ἐκείνῳ τῷ χρόνῳ κεκρατηκότας καὶ παρ' οἷς ἦν, δεύτερον δ', ἑτέραν χρείαν ἰδών, εἰ φαίνοιτο διδοὺς καὶ μὴ ὅπως ἰδίᾳ τὰ ὄντα σώσει προνοούμενος, ἀλλ' ὅπως τῶν ὑμετέρων μηδὲν ἐνδεῶς ἕξει τὸ καθ' αὑτόν. [44] Τοῦτον μέντοι τὸν τῷ μὲν ἔργῳ παρὰ τοὺς μεγίστους καιροὺς οὑτωσὶ κοινὰ τὰ ὄντα τῷ δήμῳ κεκτημένον, τῷ δὲ ῥήματι καὶ τῇ τιμῇ τὴν ἀτέλειαν ἔχοντα, οὐχὶ τὴν ἀτέλειαν ἀφαιρήσεσθε (οὐδὲ γὰρ οὔσῃ χρώμενος φαίνεται), ἀλλὰ τὸ πιστεύειν ὑμῖν, οὗ τί γένοιτ' ἂν αἴσχιον; Τὸ τοίνυν ψήφισμ' ὑμῖν αὔτ' ἀναγνώσεται τὸ τότε ψηφισθὲν τῷ ἀνδρί. Καὶ θεωρεῖτ', ὦ ἄνδρες Ἀθηναῖοι, ὅσα ψηφίσματ' ἄκυρα ποιεῖ ὁ νόμος, καὶ ὅσους ἀνθρώπους ἀδικεῖ, καὶ ἐν ὁποίοις καιροῖς

NC. 3. πρὸ S[1]. τῷ πρὸ L et vulg. Je mets entre crochets les quatre ou cinq mots interpolés. — 4. αὐτοῖς S[1], à ce qu'il paraît. — 6. ἂν, avant ἄνθρωπος, et μᾶλλον sont ajoutés dans S par une main ancienne. Vœmel s'est vainement efforcé de justifier l'omission de μᾶλλον. — 11. πως, précédé d'un ο ajouté par la même main, S. — σώσει L. σώσῃ S. — 20. οἵους Dobree.

4. Αὐτὸς ἐπαγγειλάμενος équivaut à αὐτεπάγγελτος. Cf. *Cour.*, § 68. [F. A. Wolf.]

7. Παρών. Épicerde se trouvait donc à Syracuse en 413.

9. Ἥτις ποτ' ἔμελλεν ἔσεσθαι. Il se pouvait que la reconnaissance des Athéniens n'eût que de faibles effets : on ne savait pas en ces temps si leur puissance se relèverait.

14. Κοινὰ τὰ ὄντα τῷ δήμῳ κεκτημένον, qui possédait ses biens à lui en commun avec le peuple. En remplaçant κεκτημένον par ἡγούμενον, on effacerait l'alliance de mots.

15. Τῷ δὲ ῥήματι καὶ τῇ τιμῇ... Pour Épicerde l'immunité n'est qu'une distinction nominale : il n'en use pas. Au paragraphe 41, on a lu que, ayant perdu son ancienne aisance, Épicerde trouvait dans l'immunité un avantage matériel. Les deux passages semblent se contredire. Pour les concilier, il faut dire, avec le scholiaste, que le vieillard habitait Cyrène, mais que ses fils (cf. § 46), établis à Athènes, profitaient du privilége accordé à leur famille.

19-20. Ὅσα ψηφίσματ(α).... ὅσους ἀνθρώπους.... Jusqu'ici l'orateur n'a parlé que de Leucon et d'Épicerde. Peut-on penser à ceux qu'il nommera plus bas, ou que Phormion avait nommé avant lui (cf. § 51)? — Fragments du décret en faveur d'Épicerde dans *C. I. A.*, II, 85, et Ἀθήναιον, VI, p. 480.

χρησίμους ὑμῖν παρασχόντας ἑαυτούς· εὑρήσετε γὰρ τούτους, οὓς ἥκιστα προσῆκεν, ἀδικοῦντα. Λέγε.

ΨΗΦΙΣΜΑ.

[45] Τὰς μὲν εὐεργεσίας, ἀνθ' ὧν εὕρετο τὴν ἀτέλειαν ὁ Ἐπικέρδης, ἀκηκόατ' ἐκ τῶν ψηφισμάτων, ὦ ἄνδρες δικασταί. Σκοπεῖτε δὲ, μὴ τοῦτο, εἰ μνᾶς ἑκατὸν καὶ πάλιν τάλαντον ἔδωκεν (οὐδὲ γὰρ τοὺς λαβόντας ἔγωγ' ἡγοῦμαι τὸ πλῆθος τῶν
471 χρημάτων θαυμάσαι), ἀλλὰ τὴν προθυμίαν καὶ τὸ αὐτὸν ἐπαγγειλάμενον ποιεῖν καὶ τοὺς καιροὺς ἐν οἷς. [46] Πάντες μὲν γάρ εἰσιν ἴσως ἄξιοι χάριν ἀνταπολαμβάνειν οἱ προϋπάρχοντες τῷ ποιεῖν εὖ, μάλιστα δ' οἱ παρὰ τὰς χρείας, ὧν εἷς οὗτος ἀνὴρ ὢν φαίνεται. Εἶτ' οὐκ αἰσχυνόμεθ', ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς τοῦ τοιούτου παῖδας εἰ, μηδεμίαν ποιησάμενοι τούτων μηδενὸς μνείαν, ἀφῃρημένοι φανούμεθα τὴν δωρειὰν, μηδὲν ἔχοντες ἐγκαλέσαι; [47] Οὐ γὰρ εἰ ἕτεροι μὲν ἦσαν οἱ τότε σωθέντες ὑπ' αὐτοῦ καὶ δόντες τὴν ἀτέλειαν, ἕτεροι δ' ὑμεῖς οἱ νῦν ἀφαιρούμενοι, ἀπολύει τοῦτο τὴν αἰσχύνην, ἀλλ' αὐτὸ δὴ τοῦτο καὶ τὸ δεινόν ἐστιν. Εἰ γὰρ οἱ μὲν εἰδότες καὶ παθόντες ἄξια τούτων ἐνόμιζον εὖ πάσχειν, ἡμεῖς δ' οἱ λόγῳ ταῦτ' ἀκούοντες

NC. 3. ΨΗΦΙΣΜΑΤΑ Aldine. En effet, le pluriel τῶν ψηφισμάτων (ligne 5) indique la lecture d'au moins deux décrets. Mais, comme l'orateur n'en avait annoncé qu'un seul (p. 35, l. 18), il vaut mieux supposer avec G. H. Schæfer l'omission de quelques mots, comme Λέγε καὶ τουτὶ τὸ ψήφισμα. ΨΗΦΙΣΜΑ. La seconde munificence d'Épicerde (p. 35, ligne 4 sqq.) a dû être reconnue par un autre décret, confirmant ou étendant les privilèges accordés par le décret principal. — 10. τῷ. Seager et Dobree demandaient τοῦ. — 11. ποιεῖν S. ποιεῖν ὑμᾶς L et vulg. — 18. Variante suivie par le scholiaste : ἰδόντες καὶ παθόντες. — 19. H. Wachendorf (*Rhein. Museum*, XXVI, p. 411 sqq.) propose : ἐνόμιζον παρασχεῖν.

5. Ψηφισμάτων. Voy. *NC*.

8. Θαυμάσαι, attacher un grand prix.

10-11. Οἱ προϋπάρχοντες τῷ.... Le génitif serait plus conforme à l'usage. Cf. *NC*. — Παρὰ τὰς χρείας. Cf. παρὰ τοὺς μεγίστους καιρούς, § 44.

12-13. Τοὺς τοῦ τοιούτου παῖδας. Ces mots, mis en évidence avant εἰ, sont gouvernés par ἀφῃρημένοι. — Τούτων μηδενός, de rien de tout cela, d'aucune des circonstances qui donnent tant de prix aux libéralités d'Épicerde.

17-18. Αὐτὸ δὴ.... καὶ τὸ δεινόν ἐστιν, voilà précisément le point grave, ce qu'il y a de plus grave. Vœmel cite Platon, *Gorg.*, p. 511 B : Οὐκοῦν τοῦτο δὴ καὶ τὸ ἀγανακτητόν;

18-19. Ἄξια τούτων.... εὖ πάσχειν, recevoir des bienfaits dignes de ces récompenses.

ὡς ἀναξίων ἀφαιρησόμεθα, πῶς οὐχ ὑπέρδεινον ποιήσομεν; [48] Ὁ αὐτός τοίνυν ἐστί μοι λόγος οὗτος καὶ περὶ τῶν τοὺς τετρακοσίους καταλυσάντων, καὶ περὶ τῶν ὅτ' ἔφευγεν ὁ δῆμος χρησίμους αὑτοὺς παρασχόντων· πάντας γὰρ αὐτοὺς ἡγοῦμαι δεινότατ' ἂν παθεῖν, εἴ τι τῶν τότε ψηφισθέντων αὐτοῖς λυθείη.

[49] Εἰ τοίνυν τις ὑμῶν ἐκεῖνο πέπεισται, πολὺ τοῦ δεηθῆναί τινος τοιούτου νῦν ἀπέχειν τὴν πόλιν, ταῦτα μὲν εὐχέσθω τοῖς θεοῖς, κἀγὼ συνεύχομαι, λογιζέσθω δέ, πρῶτον μὲν ὅτι περὶ νόμου μέλλει φέρειν τὴν ψῆφον, ᾧ μὴ λυθέντι δεήσει χρῆσθαι, δεύτερον δ' ὅτι βλάπτουσιν οἱ πονηροὶ νόμοι καὶ τὰς ἀσφαλῶς οἰκεῖν οἰομένας πόλεις. Οὐ γὰρ ἂν μετέπιπτε τὰ πράγματ' ἐπ' ἀμφότερ', εἰ μὴ τοὺς μὲν ἐν κινδύνῳ καθεστηκότας καὶ πράξεις χρησταὶ καὶ νόμοι καὶ ἄνδρες χρηστοὶ καὶ πάντ' ἐξητασμέν' ἐπὶ τὸ βέλτιον προῆγε, τοὺς δ' ἐν ἁπάσῃ καθεστάναι δοκοῦντας εὐδαιμονίᾳ πάντα ταῦτ' ἀμελούμεν' ὑπέρρει κατὰ μικρόν. 472
[50] Τῶν γὰρ ἀνθρώπων οἱ πλεῖστοι κτῶνται μὲν τἀγαθὰ τῷ

NC. 2. αὐτὸς vulg. — 9. χρῆσθαι ἀεὶ Cobet. — 15. ὑπήρρεικε Herwerden.

1. Ὡς ἀναξίων. F. A. Wolf sous-entend ὄντων, et explique « quasi illa beneficia tali mercede digna non sint. » L'antithèse ne permet guère d'entendre ces mots autrement. Si on pouvait faire abstraction du membre de phrase qui précède, il serait plus naturel de rapporter l'adjectif ἀναξίων aux personnes privées de l'immunité. Cf. *NC*.

2-3. Τοὺς τετρακοσίους : gouvernement oligarchique établi passagèrement, et renversé, en l'an 411. Cf. Thucydide, VIII, 63 sq.; Diodore XIII, 36 sqq. — Ὅτ' ἔφυγεν ὁ δῆμος. Du temps des Trente, en 404. Du reste, il n'est question ici que d'étrangers (non de citoyens) ayant rendu des services dans ces deux conjunctures. Comme Démosthène ne parle d'eux qu'en passant, on peut supposer qu'ils sont au nombre de ceux dont Phormion avait traité plus longuement. Cf. § 51.

6-7. Δεηθῆναί τινος τοιούτου, avoir besoin d'un tel service. Plus exactement : « d'hommes qui lui rendent de pareils services. »

8-9. Περὶ νόμου. Une loi engage l'avenir, à la différence d'une mesure passagère.

11. Οἰκεῖν (habiter, administrer sa maison ou sa ville) doit se traduire ici par « s'administrer, être constituées. » Mais, comme πόλις désigne l'ensemble des citoyens, le verbe garde sa signification première. Cf. Thucydide, VI, 18 : Τῶν ἀνθρώπων ἀσφαλέστατα τούτους οἰκεῖν, οἳ ἄν...; II, 37 : Διὰ τὸ μὴ ἐς ὀλίγους, ἀλλ' ἐς πλείονας οἰκεῖν. Platon, *Rép.*, IV, p. 423 A : Ἕως ἂν ἡ πόλις σοι οἰκῇ σωφρόνως.

11-12. Ἐπ' ἀμφότερ(α), en bien comme en mal.

13. Ἐξητασμέν(α), *exacta*, soigné au point d'être en bon état et à l'épreuve. Cf. *Symmories*, § 7.

15. Ὑπέρρει, minait, faisait insensiblement déchoir. Ailleurs ce verbe a le sens intransitif, « s'écrouler, dépérir. » Mais F. A. Wolf fait remarquer : « Bene et ad « analogiam sermonis apte res dici potest « ὑπορρεῖν τι (h. e. ῥεῖν ὑπό τι), quæ « aliam rem *subterlabitur* et ita facit ut « ea subsidat deque statu suo dejiciatur. » Cf. *Ambassade*, § 228.

καλῶς βουλεύεσθαι καὶ μηδενὸς καταφρονεῖν, φυλάττειν δ' οὐκ ἐθέλουσι τοῖς αὐτοῖς τούτοις. Ὃ μὴ πάθητε νῦν ὑμεῖς, μηδ' οἴεσθε νόμον τοιοῦτον θέσθαι δεῖν, ὃς καλῶς τε πράττουσαν τὴν πόλιν ἡμῶν πονηρᾶς δόξης ἀναπλήσει, ἐάν τέ τι συμβῇ ποτέ, ἔρημον τῶν ἐθελησόντων ἀγαθόν τι ποιεῖν καταστήσει.

[51] Οὐ τοίνυν μόνον, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς ἰδίᾳ γνόντας εὖ ποιεῖν ὑμᾶς καὶ παρασχόντας χρησίμους αὐτοὺς ἐπὶ τηλικούτων καὶ τοιούτων καιρῶν, οἵων μικρῷ πρότερον Φορμίων διεξελήλυθε κἀγὼ νῦν εἴρηκα, ἄξιόν ἐστιν εὐλαβηθῆναι ἀδικῆσαι, ἀλλὰ καὶ πολλοὺς ἄλλους, οἳ πόλεις ὅλας, τὰς ἑαυτῶν πατρίδας, συμμάχους ὑμῖν ἐπὶ τοῦ πρὸς Λακεδαιμονίους πολέμου παρέσχον, καὶ λέγοντες ἃ συμφέρει τῇ πόλει τῇ ὑμετέρᾳ καὶ πράττοντες· ὧν ἔνιοι διὰ τὴν πρὸς ὑμᾶς εὔνοιαν στέρονται τῆς πατρίδος. [52] Ὧν ἐπέρχεταί μοι πρώτους ἐξετάσαι τοὺς ἐκ Κορίνθου φεύγοντας. Ἀναγκάζομαι δὲ λέγειν πρὸς ὑμᾶς ταῦθ' ἃ παρ' ὑμῶν τῶν πρεσβυτέρων αὐτὸς ἀκήκοα. Τὰ μὲν οὖν ἄλλ' ὅσα χρησίμους ὑμῖν ἑαυτοὺς ἐκεῖνοι παρέσχον ἐάσω· ἀλλ' ὅθ' ἡ μεγάλη μάχη πρὸς Λακεδαιμονίους ἐγένεθ' ἡ ἐν Κορίνθῳ, τῶν ἐν τῇ πόλει βουλευσαμένων μετὰ τὴν μάχην μὴ δέχεσθαι τῷ τείχει τοὺς στρατιώτας, ἀλλὰ πρὸς Λακεδαιμονίους ἐπικηρυ-

NC. 4. πόλιν ὑμῖν Feliciano. — 5. ποιεῖν S. ποιεῖν αὐτὴν L et vulg. — 11. ὑμῖν G. H. Schæfer. ἡμῖν S, L et vulg. De même l. 15, et p. 39, l. 4. — 15. φεύγοντας Cobet. φυγόντας mss. Cf. § 55.

1. Μηδενὸς est au neutre. Cf. πάντα ταῦτ' ἀμελούμενα, p. 37, l. 15. — Φυλάττειν δ' οὐκ ἐθέλουσι.... Cf. *Olynth.* I, 23.

4. Τι συμβῇ ποτε. Euphémisme usuel.

11. Ἐπὶ τοῦ.... πολέμου. Ces mots doivent s'entendre d'une manière générale. On ne peut les rapporter exclusivement à la guerre de Corinthe (395-387), à laquelle appartient le fait mentionné dans les paragraphes suivants : d'abord parce que ces mots ne sont pas assez précis pour désigner une guerre qui n'avait pas été la dernière entre Athènes et Sparte ; ensuite, parce que, au § 59, l'orateur remontera à la guerre du Péloponnèse.

12-13. Καὶ λέγοντες.... καὶ πράττοντες. Formule usuelle. On n'a qu'à se rappeler les termes du décret en l'honneur de Démosthène, sur lequel roule le discours de la *Couronne*. — Ἃ συμφέρει (malgré l'aoriste παρέσχον) équivaut à τὰ συμφέροντα. [Westermann.]

14-16. Ἐξετάσαι, littéralement : passer en revue. Cf. § 58. — Ἀναγκάζομαι.... ἀκήκοα. Le jeune orateur fait semblant de s'excuser ; mais il aime à invoquer l'autorité des vieillards : cela est conforme aux mœurs oratoires.

17-18. Ἡ μεγάλη μάχη.... ἡ ἐν Κορίνθῳ. En 394. Voyez Xénophon, *Hellén.*, IV, II, 14 sqq. ; Diodore, XIV, 82 sq. — Τῶν ἐν τῇ πόλει. Le parti aristocratique, qui avait vu de mauvais œil l'alliance athénienne, encouragé par le succès des Lacédémoniens, ferma les portes de Corinthe à l'armée battue.

κεύεσθαι, [53] ὁρῶντες ἠτυχηκυῖαν τὴν πόλιν καὶ τῆς παρόδου κρατοῦντας Λακεδαιμονίους, οὐχὶ προὔδωκαν οὐδ' ἐβουλεύσαντ' 473
ἰδίᾳ περὶ τῆς αὑτῶν σωτηρίας, ἀλλὰ πλησίον ὄντων μεθ' ὅπλων ἁπάντων Πελοποννησίων ἀνέῳξαν τὰς πύλας ὑμῖν βίᾳ τῶν πολιτῶν, καὶ μᾶλλον εἵλοντο μεθ' ὑμῶν τῶν τότε στρατευσαμένων, εἴ τι δέοι, πάσχειν ἢ χωρὶς ὑμῶν ἀκινδύνως σεσῶσθαι, καὶ εἰσέφρου τὸ στράτευμα, καὶ διέσωσαν καὶ ὑμᾶς καὶ τοὺς συμμάχους. [54] Ἐπειδὴ δὲ πρὸς Λακεδαιμονίους εἰρήνη μετὰ ταῦτ' ἐγένετο [ἡ ἐπ' Ἀνταλκίδου], ἀντὶ τῶν ἔργων τούτων ὑπὸ Λακεδαιμονίων ἐξέπεσον. Ὑποδεξάμενοι δ' ὑμεῖς αὐτοὺς ἐποιήσατ' ἔργον ἀνθρώπων καλῶν κἀγαθῶν· ἐψηφίσασθε γὰρ αὐτοῖς ἅπανθ' ὧν ἐδέοντο. Εἶτα ταῦτα νῦν εἰ χρὴ κύρι' εἶναι σκοποῦμεν; Ἀλλ' ὁ λόγος πρῶτον αἰσχρὸς τοῖς σκοπουμένοις, εἴ τις

NC. 4-5. Je corrige la leçon τῶν πολλῶν, qui fait un faux sens. — 7. F : εἰσέφερον. Cobet : εἰσεφροῦντο. — 8-9. ἡ πρὸς L, A. — [ἡ ἐπ' Ἀνταλκίδου] Cobet. αντιαλκίδου S[1], L[1]. — 13. πρῶτον. Plusieurs critiques ont suspecté ce mot, sans trouver une correction probable. Cf. la note explicative. — Dobree voulait supprimer τοῖς σκοπουμένοις. Faut-il écrire τοῖς οὑτωσὶ σκοπουμένοις? Cf. § 18.

1. Ὁρῶντες, tout en voyant. — Τῆς παρόδου, l'accès, le chemin de la ville.

4-5. Ἁπάντων Πελοποννησίων. Hyperbole oratoire. Xénophon énumère (§ 16) les cités du Péloponnèse qui avaient envoyé des contingents à l'armée de Sparte. — Ἀνέῳξαν τὰς πύλας. Xénophon n'en dit rien; il rapporte (§ 23), au contraire, que les Corinthiens et leurs alliés, exclus de la ville, reprirent leur ancien campement, et que les Lacédémoniens revinrent en arrière jusque sur les lieux où la bataille avait commencé. C'est sans doute le lendemain ou les jours suivants que le parti démocratique, remis de sa frayeur, reprit le dessus dans la ville et rouvrit les portes à l'armée. Grote (XIV, p. 30, trad. fr.) pense, au contraire, que quelques Athéniens entrèrent avant la fermeture des portes. — Βίᾳ τῶν πολιτῶν, malgré leurs concitoyens. Entendez ceux du parti aristocratique, qui étaient alors les maîtres de Corinthe. — Ὑμῶν n'est pas gouverné par μετά, mais par τῶν τότε στρατευσαμένων.

9. Ἡ ἐπ' Ἀνταλκίδου : comme on dit ἐπὶ μαρτύρων, ἐπ' ἐγγυητῶν. « Ἐπὶ auctoritatem notat. » [Markland.]

10. Ἐξέπεσον. Les verbes ἐκπίπτειν, φεύγειν, θνήσκειν, equivalent souvent à ἐκβάλλεσθαι, φυγαδεύεσθαι, ἀποκτείνεσθαι, et se construisent, comme ces passifs, avec la préposition ὑπό.

12. Ἅπανθ' ὧν ἐδέοντο. Il faut sans doute entendre l'immunité, le rang de proxènes, le titre de bienfaiteurs. Cf. § 60. [Westermann.]

13-14. Ἀλλ' ὁ λόγος πρῶτον αἰσχρὸς τοῖς σκοπουμένοις, mais qu'une telle chose se dise, c'est là tout d'abord une honte aux yeux de ceux qui y réfléchissent (ou bien : « qui en jugent à la première vue, sans connaître les circonstances, » τοῖς οὑτωσὶ σκοπ. Cf. *NC.*). Le second point qu'on attend après πρῶτον ne se trouve pas, comme on l'a dit, aussi bas que le § 57, aux mots Καὶ μὴν οὐδ' ἐκεῖνο; il se lit dès le § 55, aux mots Ὅρα δ' εἴ τις.... Les Athéniens délibèrent s'il faut laisser aux hommes qui ont bien mérité d'eux le prix des services rendus. Voilà qui est déjà honteux. Mais, continue l'orateur, ceux qui connaissent toute l'étendue de ces services trouveront la chose doublement honteuse. — Εἴ τις ἀκούσειεν.... Ces mots développent l'idée indiquée par ὁ λόγος.

ἀκούσειεν ὡς Ἀθηναῖοι σκοποῦσιν εἰ χρὴ τοὺς εὐεργέτας ἐᾶν τὰ δοθέντ' ἔχειν· πάλαι γὰρ ἐσκέφθαι ταῦτα καὶ ἐγνῶσθαι προσῆκεν. Ἀνάγνωθι καὶ τοῦτο τὸ ψήφισμ' αὐτοῖς.

ΨΗΦΙΣΜΑ.

[55] Ἃ μὲν ἐψηφίσασθε τοῖς φεύγουσι δι' ὑμᾶς Κορινθίων, ταῦτ' ἐστὶν, ὦ ἄνδρες δικασταί. Ὅρα δ', εἴ τις ἐκείνους τοὺς καιροὺς εἰδὼς, ἢ παρὼν ἤ τινος εἰδότος διεξιόντος ἀκούσας, ἀκούσαι τοῦ νόμου τούτου τὰς τότε δωρειὰς δοθείσας ἀφαιρουμένου, ὅσην ἂν κακίαν τῶν θεμένων τὸν νόμον καταγνοίη, οἳ παρὰ μὲν τὰς χρείας οὕτω φιλάνθρωποι καὶ πάντα ποιοῦντες, ἐπειδὴ δ' ἐπράξαμεν πάνθ' ὅσ' ἂν εὐξαίμεθ', οὕτως ἀχάριστοι καὶ κακοὶ, ὥστε τούς τ' ἔχοντας ἀφῃρήμεθα καὶ τὸ λοιπὸν μηδενὶ δοῦναι ταῦτ' ἐξεῖναι νόμον τεθείκαμεν. [56] Νὴ Δί' ἀνάξιοι
474 γάρ τινες τῶν εὑρημένων ταῦτ' ἦσαν· τουτὶ γὰρ παρὰ πάντ' ἔσται τὸν λόγον αὐτοῖς. Ἔπειτ' ἐκεῖν' ἀγνοεῖν φήσομεν, ὅτι τὴν ἀξίαν, ὅταν διδῶμεν, δεῖ σκοπεῖν, οὐ μετὰ ταῦθ' ὕστερον χρόνῳ παμπληθεῖ. Τὸ μὲν γὰρ ἐξ ἀρχῆς τι μὴ δοῦναι γνώμῃ χρησαμένων ἔργον ἀνθρώπων ἐστὶ, τὸ δὲ τοὺς ἔχοντας ἀφαιρεῖσθαι φθονούντων· τοῦτο δ' οὐ δεῖ δοκεῖν ὑμᾶς

NC. 2-3. προσῆκεν vulg. προσήκει S et L. — ἀνάγνωθι S et L. ἀνάγνωθι δέ μοι vulg. — 5. φεύγουσιν S. — 6. ὅρα S seul. ὁρᾶτε L et vulg. — 7. εἰδὼς A. ἰδὼν S, L et vulg. ἰδὼν παρὼν ou ἢ ἰδὼν παρὼν Sauppe et Baiter. Nous avons adopté εἰδώς, conjecture d'un grammairien, mais bonne conjecture. Cf. § 47, *NC*. Dobree demandait aussi ἰδόντος pour εἰδότος. — 12. κακοὶ S, A. κακοὶ φανησόμεθα L et vulg. — 16. ὀυμεταυθ' S. — 19. οὐ S seul. οὐχὶ L et vulg.

5. Τοῖς φεύγουσι, aux exilés, à ceux qui vivent dans l'exil.

6. Ὅρα. Cf. § 21, avec la note.

7-8. Ἀκούσας, ἀκούσαι. La répétition du même mot a choqué Reiske et Dobree; mais l'orateur insiste sur l'idée que ceux qui ont entendu parler du bienfait entendent également parler de l'ingratitude.

9-12. Οἳ.... ἀχάριστοι καὶ κακοί, sous-ent. ἐσμέν. Cf. *Olynth*. III, § 17 : Τοὺς αἰτίους οἵτινες ζητήσομεν; et quant à la première personne du verbe εἰμί à suppléer dans une phrase relative, cf. *Cour*., § 268.

13-15. Νὴ Δί' ἀνάξιοι γὰρ (c'est que).... αὐτοῖς. Après s'être fait à lui-même une objection de peu de valeur, Démosthène assure que c'est là le grand argument de Leptine et de ses amis, et qu'ils ne diront que cela tout le long de leurs discours, παρὰ πάντα τὸν λόγον. Cf. § 1, et *passim*.

15-17. Ἔπειτ(α).... φήσομεν, puis nous avouerons. L'orateur continue sur le même ton ironique : aussi vaut-il mieux ne pas mettre de point d'interrogation à la fin de cette phrase.

ΨΗΦΙΣΜΑΤΑ.

[36] Ὡς μὲν εἰκότως καὶ δικαίως τετύχηκεν τῆς ἀτελείας παρ' ὑμῶν ὁ Λεύκων, ἀκηκόατ' ἐκ τῶν ψηφισμάτων, ὦ ἄνδρες δικασταί. Τούτων δ' ἁπάντων στήλας ἀντιγράφους ἐστήσαθ' ὑμεῖς κἀκεῖνος, τὴν μὲν ἐν Βοσπόρῳ, τὴν δ' ἐν Πειραιεῖ, τὴν δ' ἐφ' Ἱερῷ. Σκοπεῖτε δὴ πρὸς ὅσης κακίας ὑπερβολὴν ὑμᾶς ὁ νόμος προάγει, ὃς ἀπιστότερον τὸν δῆμον καθίστησιν ἑνὸς ἀνδρός. [37] Μὴ γὰρ οἴεσθ' ὑμῖν ἄλλο τι τὰς στήλας ἑστάναι ταύτας ἢ τούτων πάντων ὧν ἔχετ' ἢ δεδώκατε συνθήκας, αἷς ὁ μὲν Λεύκων ἐμμένων φανεῖται καὶ ποιεῖν ἀεί τι προθυμούμενος ὑμᾶς εὖ, ὑμεῖς δ' ἑστώσας ἀκύρους πεποιηκότες, ὃ πολὺ δεινότερον τοῦ καθελεῖν· αὗται γὰρ οὑτωσὶ τοῖς βουλομένοις κατὰ τῆς πόλεως βλασφημεῖν τεκμήριον ὡς ἀληθῆ λέγουσιν ἑστήξουσιν. [38] Φέρ', ἐὰν δὲ δὴ πέμψας ὡς ἡμᾶς ὁ Λεύκων ἐρωτᾷ τί ἔχοντες ἐγκαλέσαι καὶ τί μεμφόμενοι τὴν ἀτέλειαν αὐτὸν ἀφῄρησθε, τί πρὸς θεῶν ἐροῦμεν ἢ τί γράψει ποθ' ὁ τὸ ψήφισμ' ὑπὲρ ἡμῶν γράφων; Ὅτι νὴ Δί' ἦσαν τῶν εὑρημένων τινὲς ἀνάξιοι. [39] Ἐὰν οὖν εἴπῃ πρὸς ταῦτ' ἐκεῖνος « καὶ γὰρ « Ἀθηναίων τινὲς ἴσως φαῦλοι, καὶ οὐ διὰ ταῦτ' ἐγὼ τοὺς

NC. 2. τετυχηκεν S. — 5. Variante : ὑμεῖς τε κἀκεῖνος. — 11. πεποίηκότες S¹. ἔσεσθε πεποιηκότες L et vulg. — 12. καθελεῖν S et L. καθελεῖν ἐστίν vulg. — 14. ἡμᾶς manuscrits, ὑμᾶς vulg. — 16. ἀφῄρησθαι S. — ποτε ὅτε τὸ S, avant correction. ποτε ὅ γε τὸ L. — 17. ἡμῶν L. ὑμῶν S. — τινες τῶν εὑρημένων A, F. — 19. φαῦλοι S. φαῦλοι εἰσί, ou εἰσὶ φαῦλοι, ou εἰσὶν ἴσως φαῦλοι vulg.

3. Τούτων.... ἀντιγράφους, qui en sont l'exacte reproduction.

6. Ἱερῷ. On donnait le nom de Hiéron par excellence à un lieu situé sur la côte asiatique du Bosphore de Thrace, où il y avait un temple de Zeus Ourios, fondé, disait-on, par les Argonautes. Dans les premières années du règne de Leucon, époque à laquelle furent rendus les décrets, les Athéniens percevaient des droits sur les marchandises, non-seulement au Pirée, mais aussi au Bosphore de Thrace (Cf. § 60). Leucon en percevait d'analogues à Bosporos du Pont. Les endroits où les copies des décrets furent exposées en public indiquent bien que, de côté et d'autre, il s'agit, comme nous l'avons dit, d'immunités commerciales.

8-9. Τὰς στήλας ἑστάναι.... συνθήκας : belle expression, plus expressive que τὰ στήλας εἶναι συνθήκας. Cf. μέγας ηὐξήθη, pour μέγας ἐγένετο, *Olynth*. II, § 5.

12. Τοῦ καθελεῖν. On renversait la colonne en signe de rupture ouverte du traité. Cf. *Mégalop*., § 27.

16-17. Τὸ ψήφισμ(α), le décret, c.-à-d. la réponse que le peuple votera.—Ὅτι.... ἀνάξιοι. C'est là, suivant Démosthène, le grand argument de Leptine. Cf. § 17.

475 ρασχόντες φίλην ὑμῖν τὴν αὑτῶν πατρίδα, αἴτιοι τοῦ γενέσθαι σύμμαχον τὸν περὶ Θρᾴκην τόπον ὑμῖν ἐγένοντο; [60] Τοῦτο δ' Ἀρχέβιον καὶ Ἡρακλείδην, οἳ Βυζάντιον παραδόντες Θρασυβούλῳ κυρίους ὑμᾶς ἐποίησαν τοῦ Ἑλλησπόντου, ὥστε τὴν δεκάτην ἀποδόσθαι καὶ χρημάτων εὐπορήσαντας Λακεδαιμονίους ἀναγκάσαι τοιαύτην, οἵαν ὑμῖν ἐδόκει, ποιήσασθαι τὴν εἰρήνην; Ὧν, ὦ ἄνδρες Ἀθηναῖοι, μετὰ ταῦτ' ἐκπεσόντων ἐψηφίσασθε, ἅπερ, οἶμαι, φεύγουσιν εὐεργέταις δι' ὑμᾶς προσῆκε, προξενίαν, εὐεργεσίαν, ἀτέλειαν ἁπάντων. Εἶτα τοὺς δι' ὑμᾶς φεύγοντας καὶ δικαίως τι παρ' ὑμῶν εὑρομένους ἐάσωμεν ἀφαιρεθῆναι ταῦτα, μηδὲν ἔχοντες ἐγκαλέσαι; Ἀλλ' αἰσχρὸν ἂν εἴη. [61] Μάθοιτε δὲ τοῦτο μάλιστ' ἄν, ἐκείνως εἰ λογίσαισθε πρὸς ὑμᾶς αὐτούς· εἴ τινες νυνὶ τῶν ἐχόντων Πύδναν ἢ Ποτείδαιαν ἤ τι τῶν ἄλλων χωρίων, ἃ Φιλίππῳ μέν ἐστιν ὑπήκοα,

NC. 10. Variante · ἐάσομεν. — 11. ταῦτα S et L[1], τὰ δοθέντα vulg. — 12. Ancienne ponctuation : ἂν ἐκείνως, εἰ.... — 13. νυνὶ τῶν S et L. τῶν νυνὶ vulg.

eurent lieu vers la fin de la guerre du Péloponnèse, de 410 à 408.

3-5. Ἀρχέβιον. Le même personnage est mentionné comme ami des Athéniens dans le discours *Contre Aristocrate*, § 189. — Βυζάντιον παραδόντες.... τὴν δεκάτην ἀποδόσθαι. Cf. Xénophon, *Hellén.*, IV, VIII, 27 : (Ὁ Θρασύβουλος) πλεύσας εἰς Βυζάντιον ἀπέδοτο τὴν δεκάτην τῶν ἐκ τοῦ Πόντου πλεόντων. C'est en 390 que Thrasybule rétablit ainsi les droits que les Athéniens avaient prélevés, vers la fin de la guerre du Péloponnèse, sur les marchandises qui passaient par le Bosphore. D'après les coutumes financières de ce temps, il donna ces droits à ferme, ἀπέδοτο.

6-7. Ἀναγκάσαι.... εἰρήνην. C'est beaucoup dire. Mais il est vrai que la paix d'Antalcide garantit à Athènes la possession qu'elle réclamait, de Lemnos, d'Imbros et de Scyros, en dérogation au principe, proclamé par la même paix, de l'indépendance de toutes les cités grecques (Xénophon, *Hell.*, V, I, 31), tandis que les réclamations analogues de Thèbes et d'Argos restèrent sans effet (Xén., *ib.*, IV, VIII, 15).

9. Προξενίαν, le titre d'hôte de l'État. Établis en dehors d'Athènes, dans leur ville natale, les proxènes remplissaient à peu près les fonctions de nos consuls modernes : domiciliés à Athènes, ils formaient une classe de privilégiés parmi les métèques, et se rapprochaient des isotèles : cf. § 29. [Westermann.] — Εὐεργεσίαν, le titre honorifique de bienfaiteur de l'État, titre que les Athéniens ne conféraient pas seulement à des particuliers, mais aussi à des villes. Cf. Xénophon, *Des revenus*, III, 11. — Ἀτέλειαν. D'après le scholiaste, Archébios et Héraclide n'avaient pas obtenu l'immunité. Démosthène altérerait donc les faits en confondant, comme il fait, les récompenses des Thasiens avec celles des Byzantins. Fragments du décret relatif aux Thasiens dans *C. I. A.*, II, 4.

13-14. Πύδναν ἢ Ποτείδαιαν. Villes conquises par Philippe dans les deux années précédentes. Voy. *Harangues*, p. 74. Le présent passage contredit l'opinion, défendue par A. Schæfer, II, p. 23 sq., que Philippe détruisit alors Potidée. Diodore (XVI, 8) rapporte que les habitants furent réduits en esclavage, et les expressions dont se sert Pausanias (V, XXIII, 3); ἀναστάτους ἐκ τῆς σφετέρας ὑπὸ Φιλίππου γενέσθαι, n'en disent pas plus. Il y a peut-être une erreur dans Strabon, VII, p. 330, fragm. 25. Sinon il faudra croire

μὴ τῷ λιμῷ πάντας αὐτοὺς ἀποθανεῖν αἰτιώτατος ἐγένετο. Καὶ μετὰ ταῦτα, δοθείσης ἀτελείας αὐτῷ διὰ ταῦτα παρ' ὑμῶν, ὁρῶν ἐν τῷ πολέμῳ [πρὸ τῶν τριάκοντα μικρὸν] σπανίζοντα τὸν δῆμον χρημάτων, τάλαντον ἔδωκεν αὐτὸς ἐπαγγειλάμενος. [43] Σκέψασθε δὴ πρὸς Διὸς καὶ θεῶν, ἄνδρες Ἀθηναῖοι, πῶς ἂν ἄνθρωπος μᾶλλον φανερὸς γένοιτ' εὔνους ὢν ὑμῖν, ἢ πῶς ἧττον ἄξιος ἀδικηθῆναι, ἢ πρῶτον μὲν εἰ παρὼν τῷ τῆς πόλεως ἀτυχήματι μᾶλλον ἕλοιτο τοὺς ἀτυχοῦντας καὶ τὴν παρὰ τούτων χάριν, ἥτις ποτ' ἔμελλεν ἔσεσθαι, ἢ τοὺς ἐν ἐκείνῳ τῷ χρόνῳ κεκρατηκότας καὶ παρ' οἷς ἦν, δεύτερον δ', ἑτέραν χρείαν ἰδών, εἰ φαίνοιτο διδοὺς καὶ μὴ ὅπως ἰδίᾳ τὰ ὄντα σώσει προνοούμενος, ἀλλ' ὅπως τῶν ὑμετέρων μηδὲν ἐνδεῶς ἕξει τὸ καθ' αὑτόν. [44] Τοῦτον μέντοι τὸν τῷ μὲν ἔργῳ παρὰ τοὺς μεγίστους καιροὺς οὑτωσὶ κοινὰ τὰ ὄντα τῷ δήμῳ κεκτημένον, τῷ δὲ ῥήματι καὶ τῇ τιμῇ τὴν ἀτέλειαν ἔχοντα, οὐχὶ τὴν ἀτέλειαν ἀφαιρήσεσθε (οὐδὲ γὰρ οὔσῃ χρώμενος φαίνεται), ἀλλὰ τὸ πιστεύειν ὑμῖν, οὗ τί γένοιτ' ἂν αἴσχιον; Τὸ τοίνυν ψήφισμ' ὑμῖν αὐτ' ἀναγνώσεται τὸ τότε ψηφισθὲν τῷ ἀνδρί. Καὶ θεωρεῖτ', ὦ ἄνδρες Ἀθηναῖοι, ὅσα ψηφίσματ' ἄκυρα ποιεῖ ὁ νόμος, καὶ ὅσους ἀνθρώπους ἀδικεῖ, καὶ ἐν ὁποίοις καιροῖς

NC. 3. πρὸ S[1]. τῷ πρὸ L et vulg. Je mets entre crochets les quatre ou cinq mots interpolés. — 4. αὐτοῖς S[1], à ce qu'il paraît. — 6. ἂν, avant ἄνθρωπος, et μᾶλλον sont ajoutés dans S par une main ancienne. Vœmel s'est vainement efforcé de justifier l'omission de μᾶλλον. — 11. πως, précédé d'un ο ajouté par la même main, S. — σώσει L. σώσῃ S. — 20. οἵους Dobree.

4. Αὐτὸς ἐπαγγειλάμενος équivaut à αὐτεπάγγελτος. Cf. *Conr.*, § 68. [F. A. Wolf.]

7. Παρών. Épicerde se trouvait donc à Syracuse en 413.

9. Ἥτις ποτ' ἔμελλεν ἔσεσθαι. Il se pouvait que la reconnaissance des Athéniens n'eût que de faibles effets : on ne savait pas en ces temps si leur puissance se relèverait.

14. Κοινὰ τὰ ὄντα τῷ δήμῳ κεκτημένον, qui possédait ses biens à lui en commun avec le peuple. En remplaçant κεκτημένον par ἡγούμενον, on effacerait l'alliance de mots.

15. Τῷ δὲ ῥήματι καὶ τῇ τιμῇ... Pour Épicerde l'immunité n'est qu'une distinction nominale : il n'en use pas. Au paragraphe 41, on a lu que, ayant perdu son ancienne aisance, Épicerde trouvait dans l'immunité un avantage matériel. Les deux passages semblent se contredire. Pour les concilier, il faut dire, avec le scholiaste, que le vieillard habitait Cyrène, mais que ses fils (cf. § 46), établis à Athènes, profitaient du privilége accordé à leur famille.

19-20. Ὅσα ψηφίσματ(α).... ὅσους ἀνθρώπους.... Jusqu'ici l'orateur n'a parlé que de Leucon et d'Épicerde. Peut-on penser à ceux qu'il nommera plus bas, ou que Phormion avait nommé avant lui (cf. § 51)? — Fragments du décret en faveur d'Épicerde dans *C. I. A.*, II, 85, et Ἀθήναιον, VI, p. 480.

τὰ πραχθέντ' ἔστιν, ἐπειδήπερ ἅπαξ ἐπράχθη. Προσήκει τοίνυν τὰς στήλας ταύτας κυρίας ἐᾶν τὸν πάντα χρόνον, ἵν', ἕως μὲν ἄν τινες ζῶσι, μηδὲν ὑφ' ὑμῶν ἀδικῶνται, ἐπειδὰν δὲ τελευτήσωσιν, ἐκεῖναι τοῦ τῆς πόλεως ἤθους μνημεῖον ὦσι, καὶ παραδείγμαθ' ἑστῶσι τοῖς βουλομένοις τι ποιεῖν ὑμᾶς ἀγαθόν, ὅσους εὖ ποιήσαντας ἡ πόλις ἀντευπεποίηκεν. [65] Καὶ μὴν μηδ' ἐκεῖν' ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, λανθανέτω, ὅτι τῶν αἰσχίστων ἐστὶ πάντας ἀνθρώπους ἰδεῖν καὶ ἀκοῦσαι τὰς μὲν συμφοράς, αἷς δι' ὑμᾶς ἐχρήσανθ' οἱ ἄνδρες οὗτοι, πάντα τὸν χρόνον κυρίας αὐτοῖς γεγενημένας, τὰς δὲ δωρειάς, ἃς ἀντὶ τούτων ἔλαβον παρ' ὑμῶν, καὶ δὴ λελυμένας. [66] Πολὺ γὰρ μᾶλλον ἥρμοττεν τὰ δοθέντ' ἐῶντας τῶν ἀτυχημάτων ἀφαιρεῖν
477 ἢ τούτων μενόντων τὰς δωρειὰς ἀφαιρεῖσθαι. Φέρε γὰρ πρὸς Διός, τίς ἔστιν ὅστις εὖ ποιεῖν ὑμᾶς βουλήσεται, μέλλων, ἂν μὲν ἀποτύχῃ, παραχρῆμα δίκην δώσειν τοῖς ἐχθροῖς, ἂν δὲ κατορθώσῃ, τὰς χάριτας παρ' ὑμῶν ἀπίστους ἕξειν;

[67] Πάνυ τοίνυν ἀχθοίμην ἄν, ὦ ἄνδρες δικασταί, εἰ τοῦτο μόνον δόξαιμι δίκαιον κατηγορεῖν τοῦ νόμου, ὅτι πολλοὺς ξένους εὐεργέτας ἀφαιρεῖται τὴν ἀτέλειαν, τῶν δὲ πολιτῶν μηδέν' ἄξιον δοκοίην ἔχειν δεῖξαι τῶν εὑρημένων ταύτην τὴν

NC. 3. ἂν, après μὲν, avait été omis par la première main de S. — 6. ὅσους S seul. ὅτι τοὺς, ou ὡς τοὺς, vulg. — ἀντ' εὖ πεποίηκεν Dindorf, quoique ἀντί ne se trouve pas ailleurs employé comme adverbe. — 7. Ancienne vulgate : ἐκεῖνό γε. — 16. < τὰς παρ' > ὑμῶν Cobet.

ceux qui deviennent leurs bienfaiteurs à raison du tort qu'ils nous font.

2. Τὰς στήλας, les colonnes, les monuments commémoratifs du bienfait et de la récompense. Cf. § 36.

5. Παραδείγμαθ' ἑστῶσι. Cf. la note sur ἑστάναι.... συνθήκας, § 37.

7-11. Τῶν αἰσχίστων. Voy. la note sur τῶν ἀδίκων, § 2. — Τὰς μὲν συμφοράς.... κυρίας αὐτοῖς γεγενημένας, que leurs malheurs sont en vigueur, n'ont pas été abolis. — Καὶ δὴ est un δή renforcé, et équivaut à ἤδη. Cf. *Phil.* I, § 13.

12-13. Ἐῶντας n'est pas pour ἐῶντας ἔχειν (leur laissant), mais veut dire : « laissant subsister. » Voy. l'antithèse τούτων μενόντων, et κυρίας ἐᾶν à la ligne 2. — Τῶν ἀτυχημάτων ἀφαιρεῖν, ôter (quelque chose) de leurs malheurs. Le génitif partitif indique que les faveurs accordées à ces hommes ne peuvent que compenser en partie, que faiblement soulager leurs malheurs. L'actif ἀφαιρεῖν veut simplement dire « ôter »; le moyen ἀφαιρεῖσθαι, « ôter dans son propre intérêt, retirer, reprendre ». [G. H. Schæfer.]

16. Ἀπίστους, « sur lesquels on ne peut compter, incertains, » se dit, en ce sens, plus souvent des personnes que des choses.

18. Δίκαιον κατηγορεῖν équivaut à ἄξιον κατηγορεῖν.

τιμήν. Καὶ γὰρ τἄλλ' ἀγάθ' εὐξαίμην ἂν ἔγωγε παρ' ἡμῖν εἶναι πλεῖστα, καὶ ἄνδρας ἀρίστους καὶ πλείστους εὐεργέτας τῆς πόλεως πολίτας εἶναι. [68] Πρῶτον μὲν τοίνυν Κόνωνα σκοπεῖτ', εἰ ἄρ' ἄξιον, καταμεμψαμένους ἢ τὸν ἄνδρα ἢ τὰ πεπραγμένα, ἄκυρόν τι ποιῆσαι τῶν ἐκείνῳ δοθέντων. Οὗτος γὰρ, ὡς ὑμῶν τινῶν ἔστιν ἀκοῦσαι τῶν κατὰ τὴν αὐτὴν ἡλικίαν ὄντων, μετὰ τὴν τοῦ δήμου κάθοδον τὴν ἐκ Πειραιῶς ἀσθενοῦς ἡμῶν τῆς πόλεως οὔσης καὶ ναῦν οὐδεμίαν κεκτημένης, στρατηγῶν βασιλεῖ, παρ' ὑμῶν οὐδ' ἡντινοῦν ἀφορμὴν λαβὼν, κατεναυμάχησε Λακεδαιμονίους, καὶ πρότερον τοῖς ἄλλοις ἐπιτάττοντας εἴθισεν ἀκούειν ὑμῶν, καὶ τοὺς ἁρμοστὰς ἐξήλασεν ἐκ τῶν νήσων, καὶ μετὰ ταῦτα δεῦρ' ἐλθὼν ἀνέστησε τὰ τείχη, καὶ πρῶτος πάλιν περὶ τῆς ἡγεμονίας ἐποίησε τῇ πόλει τὸν λόγον πρὸς Λακεδαιμονίους εἶναι. [69] Καὶ γάρ τοι

NC. 1. Variante : καὶ γὰρ καί. — 2. καὶ πιστούς S[1] seul. καὶ πλείστους πιστοὺς L seul. — 5. πεπραγμένα S, A. πεπραγμένα αὐτῷ L et vulg. — 5-6. οὗτος γὰρ S et L. οὗτος γὰρ ἀνὴρ vulg.

2-3. Καὶ ἄνδρας.... εἶναι. On lie ordinairement καὶ πλείστους εὐεργέτας. Nous aimons mieux construire : καὶ πολίτας ἄνδρας (ἄνδρας πολίτας) ἀρίστους καὶ πλείστους εἶναι εὐεργέτας τῆς πόλεως. Le mot πολίτας est réservé pour la fin, à cause de son importance.

3. Κόνωνα. Il convenait de faire précéder l'éloge de Chabrias, auquel l'orateur en voulait venir, de celui d'un autre citoyen. Cependant Westermann et A. Schæfer ont pensé que Démosthène avait un motif particulier d'exalter les services rendus par Conon. Aristophon et Charès préparaient alors même une accusation de haute trahison contre Timothée, fils de Conon, ainsi que contre Ménesthée et Iphicrate, les collègues de Timothée dans la guerre contre les alliés. En louant le père, Démosthène aurait indirectement plaidé la cause du fils

7-8. Μετὰ τὴν.... ἐκ Πειραιῶς : c'est-à-dire après le renversement des Trente. Cf. § 11. — Ναῦν οὐδεμίαν. Le traité qui mit fin à la guerre du Péloponnèse ne laissa aux Athéniens que douze vaisseaux de guerre : cf. Xénophon, *Hellén.*, II, II, 20. Voy. le tableau saisissant que trace le discours de la *Couronne* (§ 96) de l'impuissance où se trouvait alors Athènes.

9-10. Παρ' ὑμῶν οὐδ' ἡντινοῦν ἀφορμὴν λαβών. Isocrate dit de Conon, en renchérissant sur Démosthène (*Phil.*, § 63) : Ἀφορμὴν οὐδεμίαν ἄλλην ἔχων πλὴν τὸ σῶμα καὶ τὴν διάνοιαν. — Κατεναυμάχησε Λακεδαιμονίους. Conon, à la tête des forces navales de la Perse, défit la flotte des Péloponnésiens à Cnidos, en 394. Cf. Diodore, XIV, 83 sq., et la mention incidente que Xénophon fait de cette bataille décisive, *Hellén.*, IV, III, 10 sqq.

11-13. Ἀκούειν, « écouter ». Le scholiaste fait observer que ἐπιτάττοντας semblait demander l'antithèse ὑπακούειν « obéir », mais que l'orateur évite de se servir d'une expression trop ouvertement exagérée. Le fait est qu'il n'y a qu'une nuance entre les deux verbes. — Ἁρμοστάς : nom que portaient les commissaires envoyés par Sparte dans les villes qu'elle voulait contenir. — Τὰ τείχη : les murs de la ville, ainsi que ceux qui la reliaient au Pirée, murs détruits par Lysandre après la reddition d'Athènes.

μόνῳ τῶν πάντων αὐτῷ τοῦτ' ἐν τῇ στήλῃ γέγραπται· « ἐπειδὴ Κόνων » φησὶν « ἠλευθέρωσε τοὺς Ἀθηναίων συμμάχους. » Ἔστι δὲ τοῦτο τὸ γράμμα, ὦ ἄνδρες δικασταί, ἐκείνῳ μὲν 478 φιλοτιμία πρὸς ὑμᾶς αὐτούς, ὑμῖν δὲ πρὸς πάντας τοὺς Ἕλληνας· ὅτου γὰρ ἄν τις παρ' ὑμῶν ἀγαθοῦ τοῖς ἄλλοις αἴτιος γένηται, τούτου τὴν δόξαν τὸ τῆς πόλεως ὄνομα καρποῦται. [70] Διόπερ οὐ μόνον αὐτῷ τὴν ἀτέλειαν ἔδωκαν οἱ τότε, ἀλλὰ καὶ χαλκῆν εἰκόνα, ὥσπερ Ἁρμοδίου καὶ Ἀριστογείτονος, ἔστησαν πρώτου· ἡγοῦντο γὰρ οὐ μικρὰν τυραννίδα καὶ τοῦτον, τὴν Λακεδαιμονίων ἀρχὴν καταλύσαντα, πεπαυκέναι. Ἵν' οὖν μᾶλλον οἷς λέγω προσέχητε, τὰ ψηφίσμαθ' ὑμῖν αὔτ' ἀναγνώσεται τὰ τότε ψηφισθέντα τῷ Κόνωνι. Λέγε.

ΨΗΦΙΣΜΑΤΑ.

[71] Οὐ τοίνυν ὑφ' ὑμῶν μόνον ὁ Κόνων, ὦ ἄνδρες Ἀθηναῖοι, τότ' ἐτιμήθη πράξας ἃ διεξῆλθον ἐγώ, ἀλλὰ καὶ ὑπ' ἄλλων πολλῶν, οἳ δικαίως ὧν εὐηργέτηντο χάριν ᾤοντο δεῖν ἀποδιδόναι. Οὐκοῦν αἰσχρόν, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ αἱ μὲν

NC. 1. τῶν πάντων L et vulg. πάντων S. — 4. Ancienne vulgate : πρὸς ἅπαντας. — 5. παρ' ὑμῶν S, par correction récente, et Vœmel. παρ' ἡμῶν S, L et vulg. — 15. ἐτιμήθη vulg. ἐπετιμήθη S, L et la plupart des manuscrits. Vœmel croit justifier cette leçon en traduisant : « auctis honoribus ornatus est. » La faute vient, sans doute, de la répétition des trois premières lettres de ετιμηθη. — 17. οὐκουν, interrogatif, Vœmel. οὐκοῦν, sans interrogation, vulg.

2. Φησίν, dit l'inscription. Cf. *Phil.* III, 42.

3. Τὸ γράμμα équivaut à τὰ γεγραμμένα, « les termes de l'inscription ».

4. Φιλοτιμία, objet d'ambition, gloire. Cf. *Olynth.* II, §§ 3 et 16.

5-6. Ὅτου.... καρποῦται. Un citoyen ne peut s'illustrer sans illustrer toute la cité. Démosthène revendique en quelque sorte pour Athènes tout ce que Conon avait fait comme général du roi de Perse. Ailleurs (*Aristocr.*, § 198; cf. *Réformes*, § 22) Démosthène trouve mauvais qu'on ait pris, contrairement aux vieilles traditions, l'habitude d'attribuer les victoires d'Athènes aux généraux, au lieu d'en faire honneur au peuple tout entier. Mais cette critique ne saurait s'appliquer au cas présent : les Athéniens n'avaient aucune part à la victoire de Conon. — Τις παρ' ὑμῶν, un de vos concitoyens. Cf. *Phil.* I, § 27. — Καρποῦται : d'un style plus relevé, plus poétique, que κομίζεται.

7-9. Διόπερ se réfère à ἠλευθέρωσε, ligne 2 : la période ἔστι δὲ.... καρποῦται forme une sorte de parenthèse. C'est à titre de libérateur que Conon eut sa statue érigée par décret du peuple, comme Harmodios et Aristogiton. L'orateur ajoute πρώτου (le premier après Harmodios et Aristogiton), et non μόνου, parce que Chabrias, Iphicrate et Timothée avaient depuis obtenu le même honneur. Cf. Eschine, *Ctésiph.*, § 243. — Καὶ τοῦτον, lui aussi, de même que les deux tyrannicides.

παρὰ τοῖς ἄλλοις δωρειαὶ βέβαιοι μενοῦσιν αὐτῷ, τῆς δὲ παρ' ὑμῶν μόνης τοῦτ' ἀφαιρεθήσεται. [72] Καὶ μὴν οὐδ' ἐκεῖνο καλὸν, ζῶντα μὲν αὐτὸν οὕτω τιμᾶν ὥστε τοσούτων ὅσων ἀκηκόατ' ἀξιοῦν, ἐπειδὴ δὲ τετελεύτηκεν, [μηδεμίαν ποιησαμένους τούτων μνείαν] ἀφελέσθαι τι τῶν δοθέντων τότε. Πολλὰ μὲν γάρ ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν ὑπ' ἐκείνου πραχθέντων ἄξι' ἐπαίνου, δι' ἃ πάντα προσήκει μὴ λύειν τὰς ἐπὶ τούτοις δοθείσας δωρειάς, κάλλιστον δὲ πάντων ἡ τῶν τειχῶν ἀνάστασις. [73] Γνοίη δ' ἄν τις, εἰ παραθείη πῶς Θεμιστοκλῆς, ὁ τῶν καθ' ἑαυτὸν ἁπάντων ἀνδρῶν ἐνδοξότατος, ταὐτὸ τοῦτ' ἐποίησεν. Λέγεται τοίνυν ἐκεῖνος, τειχίζειν εἰπὼν τοῖς πολίταις, κἂν ἀφικνῆταί τις ἐκ Λακεδαίμονος, κατέχειν κελεύσας, οἴχεσθαι πρεσβεύων αὐτὸς ὡς τοὺς Λακεδαιμονίους, λόγων δὲ γιγνομέ- 478
νων ἐκεῖ, καί τινων ἀπαγγελλόντων ὡς Ἀθηναῖοι τειχίζουσιν, ἀρνεῖσθαι καὶ πρέσβεις πέμπειν σκεψομένους κελεύειν, ἐπειδὴ δ' οὐχ ἧκον οὗτοι, πέμπειν ἑτέρους παραινεῖν. Καὶ πάντες ἴσως ἀκηκόαθ' ὃν τρόπον ἐξαπατῆσαι λέγεται. [74] Φημὶ τοίνυν ἐγώ (καὶ πρὸς Διός, ἄνδρες Ἀθηναῖοι, μηδεὶς φθόνῳ τὸ μέλλον ἀκούσῃ, ἀλλ' ἂν ἀληθὲς ᾖ σκοπείτω), ὅσῳ τὸ φανερῶς τοῦ λάθρα κρεῖττον καὶ τὸ νικῶντας τοῦ παρακρουσαμένους πράτ-

NC. 1. μενοῦσιν Tournier, *Ex. crit.*, p. 99. μένουσιν mss. — 4. δὲ τετελεύτηκε(ν) S et L. δ' ἐτελεύτησε vulg. — μηδεμίαν.... μνείαν : mots suspectés par Dobree : ils semblent tirés du paragraphe 46. — 12. [κελεύσας] Cobet. — 15. σκεψομένους S et L. τοὺς σκεψομένους vulg. — 17. λέγεται S, A, ainsi que Hermogène (III, p. 171 Walz) et Aristide (IX, p. 404). λέγεται Λακεδαιμονίους L et vulg — 18. Variante : ὦ ἄνδρες Ἀθηναῖοι. — Cobet demande qu'on écrive τὸ μέλλον ῥηθήσεσθαι.

1-2. Παρὰ τοῖς ἄλλοις.... παρ' ὑμῶν.... Cf. § 35, avec la note. — Τοῦτ(ο), cette partie des honneurs accordés, c'est-à-dire l'immunité.

5. Τούτων devrait être rapporté non à τοσούτων, mais à ἃ διεξῆλθον ἐγώ (p. 40, l. 15), ce qui est fort obscur. Cf. *NC*.

11-16. Λέγεται.... παραινεῖν. Les faits racontés par Thucydide (I, 90 sq.) sont résumés ici, non toutefois sans quelque variation dans les détails. — Τειχίζειν dépend de εἰπών, comme κατέχειν de κελεύσας. Les infinitifs gouvernés par λέγεται sont οἴχεσθαι, ἀρνεῖσθαι καὶ.... κελεύειν, enfin παραινεῖν. — Ἧκον. Ce verbe, ainsi que ἀφικνεῖσθαι, prend quelquefois le sens de « revenir, rentrer ».

18. Τὸ μέλλον, sous-ent. ἀκουσθήσεσθαι. Westermann rapproche, *Ambass.*, § 179 : Ὁ μέλλων λόγος; Thucydide, VI, 76 : Οὐ τὴν παροῦσαν δύναμιν τῶν Ἀθηναίων.... ἀλλὰ μᾶλλον τοὺς μέλλοντας ἀπ' αὐτῶν λόγους.

19-20. Τὸ φανερῶς τοῦ λάθρα. Quoique l'article puisse se construire avec des adverbes, la suite montre que les mots πράττειν ὁτιοῦν portent aussi sur le premier membre de phrase.

τειν ὁτιοῦν ἐντιμότερον, τοσούτῳ κάλλιον Κόνωνα τὰ τείχη στῆσαι Θεμιστοκλέους· ὁ μὲν γὰρ λαθών, ὁ δὲ νικήσας τοὺς κωλύσοντας αὔτ' ἐποίησεν. Οὐ τοίνυν ἄξιον τὸν τοιοῦτον ὑφ' ὑμῶν ἀδικηθῆναι, οὐδ' ἔλαττον σχεῖν τῶν ῥητόρων τῶν διδαξόντων ὡς ἀφελέσθαι τι χρὴ τῶν ἐκείνῳ δοθέντων.

[75] Εἶεν· ἀλλὰ νὴ Δία τὸν παῖδα τὸν Χαβρίου περιίδωμεν ἀφαιρεθέντα τὴν ἀτέλειαν, ἣν ὁ πατὴρ αὐτῷ δικαίως παρ' ὑμῶν λαβὼν κατέλιπεν. Ἀλλ' οὐδέν' ἀνθρώπων εὖ φρονοῦντ' οἶμαι ταῦτ' ἂν φῆσαι καλῶς ἔχειν. Ἴστε μὲν οὖν ἴσως, καὶ ἄνευ τοῦ παρ' ἐμοῦ λόγου, ὅτι σπουδαῖος Χαβρίας ἦν ἀνήρ, οὐ μὴν κωλύει γ' οὐδὲν κἀμὲ διὰ βραχέων ἐπιμνησθῆναι τῶν πεπραγμένων αὐτῷ. [76] Ὃν μὲν οὖν τρόπον ὑμᾶς ἔχων πρὸς ἅπαντας Πελοποννησίους παρετάξατ' ἐν Θήβαις, καὶ ὡς Γοργώπαν ἀπέκτεινεν ἐν Αἰγίνῃ, καὶ ὅσ' ἐν Κύπρῳ τρόπαι' ἔστησε καὶ μετὰ ταῦτ' ἐν Αἰγύπτῳ, καὶ ὅτι πᾶσαν ἐπελθὼν ὀλίγου δέω

NC. 3. αὔτ' S. ταῦτ' A. ταὐτὸ τοῦτ' L et vulg. Cf. page 47, ligne 10. — 4-5. τῶν διδαξόντων ἡμᾶς vulg. — 6. τὸν Χαβρίου L et A. τοῦ Χαβρίου S et vulg. τὸν vaut mieux, parce que Chabrias est opposé à Timothée. — 8. κατέλιπεν; (point d'interrogation) vulg. — 8-9. φρονοῦντ' ἂν οἶμαι ταῦτα F. — 14. ἔστησεν S.

1-2. Κάλλιον Κόνωνα.... Θεμιστοκλέους. Démosthène fait un raisonnement oratoire; il n'écrit pas l'histoire. Scholiaste : Τὸν καιρὸν κλέψας ἐν ᾧ τούτων τὴν πόλιν ἑκάτερος τειχίζειν ἔδοξεν, αὔξει τὸ κατὰ Κόνωνα.

6. Εἶεν· ἀλλὰ νὴ Δία.... Le scholiaste fait remarquer l'aisance de la transition par laquelle l'orateur arrive au morceau qui couronne l'énumération des bienfaiteurs d'Athènes et qui lui tenait tout particulièrement à cœur, l'éloge du père de Ctésippe. Τὸ μὲν σχῆμα τῆς μεταβάσεως πάνυ θαυμαστόν. Τὸ γὰρ μὴ ἐκ περιβολῆς μηδὲ πεφροντισμένως ποιήσασθαι τὴν ἀρχὴν ἀφείλετο τὴν ὑπόνοιαν τοῦ δοκεῖν πρὸς χάριν ὑπὲρ τοῦ Χαβρίου παιδὸς λέγειν.

12-13. Ὃν μὲν οὖν τρόπον.... παρετάξατ' ἐν Θήβαις, dans quel ordre de bataille (παράταξις) il sut, avec vous, près de Thèbes, tenir tête à tous les Péloponnésiens. Il s'agit de la belle résistance que Thébains et Athéniens firent en 376 à l'armée d'Agésilas. La tactique de Chabrias est exposée par Diodore, XV, 32, et par C. Népos, *Chabr.*, 1. Les mots ὑμᾶς ἔχων ne présentent aucune difficulté : il était glorieux pour les Athéniens de contenir les hoplites de Sparte et de ses alliés. G. H. Schæfer et d'autres veulent que ce succès de Chabrias soit opposé à la victoire que Conon avait remportée à la tête de Barbares : il me semble que c'est prêter à l'orateur des intentions qu'il n'a pas marquées.

διαφέρουσιν οἱ νόμοι, ἀλλὰ νεώτεροι οἱ νόμοι, καθ' οὓς τὰ ψηφίσματα δεῖ γράφεσθαι, τῶν ψηφισμάτων αὐτῶν ὑμῖν εἰσίν. Ἵν' οὖν μὴ λόγον λέγω μόνον, ἀλλὰ καὶ τὸν νόμον αὐτὸν ὅν φημι δείξω, λαβέ μοι τὸν νόμον καθ' ὃν ἦσαν οἱ πρότερον νομοθέται. Λέγε.

ΝΟΜΟΣ.

[93] Συνίεθ' ὃν τρόπον, ὦ ἄνδρες Ἀθηναῖοι, ὁ Σόλων τοὺς νόμους ὡς καλῶς κελεύει τιθέναι, πρῶτον μὲν παρ' ὑμῖν, ἐν τοῖς ὀμωμοκόσιν, παρ' οἷσπερ καὶ τἄλλα κυροῦται, ἔπειτα λύοντα τοὺς ἐναντίους, ἵν' εἷς ᾖ περὶ τῶν ὄντων ἑκάστου νόμος καὶ μὴ τοὺς ἰδιώτας αὐτὸ τοῦτο ταράττῃ καὶ ποιῇ τῶν ἅπαντας εἰδότων τοὺς νόμους ἔλαττον ἔχειν, ἀλλὰ πᾶσιν ᾖ ταὔτ' ἀναγνῶναι καὶ μαθεῖν ἁπλᾶ καὶ σαφῆ τὰ δίκαια. [94] Καὶ πρὸ τούτων γ' ἐπέταξεν ἐκθεῖναι πρόσθε τῶν ἐπωνύμων καὶ τῷ

NC. 4. ἀλλὰ κενώτεροι Bake. ἀλλ' ἀκυρότεροι [Cobet] satisfait au sens, mai s'éloigne beaucoup de la leçon des mss. — 7. Ancienne vulgate : καθ' ὃν τρόπον.— 8. [ὡς καλῶς] Cobet.— ἐν, rétabli par Vœmel d'après les mss, avait été, depuis Markland, supprimé dans la plupart des éditions. — 12. ταὔτ'. Variante : ταῦτ'.

4. Νεώτεροι, « plus récentes », n'offre pas de sens satisfaisant. On s'attend à « plus mobiles », ou « plus vaines ». — « Le décret pourvoit, en général, à l'application d'une loi : il faut donc, en bonne règle, que la loi précède le décret ; mais, par abus, on fait souvent le décret avant que la loi ait pu être votée, par anticipation ». [Dareste.] Cette ingénieuse explication substitue une simple irrégularité à l'abus grave signalé par l'orateur ; je l'admettrais cependant si les Athéniens avaient eu coutume de préciser les lois par des arrêtés administratifs.

4. Καθ' ὃν.... d'après laquelle se faisaient les assemblées législatives d'autrefois. Le verbe ἦσαν, qui a embarrassé les interprètes, s'explique, si on donne à νομοθέται ce sens spécial. Cf. § 137 : Ὅταν.... γένωνται νομοθέται. On pourrait dire de même ὅταν ὦσι τραγῳδοί. — Du reste, cette loi avait fini par ne plus être observée. Mais il ne faut pas croire qu'elle ait jamais été abolie ou remplacée par une autre.

7-8. Ὃν τρόπον. Ces mots sont repris sous une autre forme et développés par ὡς καλῶς. Cf. Eschine, *Timarque*, § 20 : Ἵν' εἰδῆθ' οἵων νόμων ἡμῖν κειμένων, ὡς καλῶν καὶ σωφρόνων.... [Westermann.]

8. Παρ' ὑμῖν, ἐν τοῖς ὀμωμοκόσι. Les nomothètes étaient pris parmi les jurés de l'année : voy. la note, p. 55, l. 9. L'orateur fait ressortir cette circonstance en disant : devant vous, Athéniens, parmi des juges assermentés. » Vœmel dit avec raison : « Gravior locus cum præpositione. »

11. Αὐτὸ τοῦτο, c'est-à-dire τὸ εἶναι νόμους ἐναντίους.

14. Τῶν ἐπωνύμων. Ce sont les héros d'après lesquels avaient été nommées les dix tribus de l'Attique. Leurs statues se trouvaient dans l'*agora*, près du palais des Cinq-cents et de la Θόλος (Pausanias, I, 5). Dans ce lieu fréquenté, on affichait aussi les actes d'accusation : cf. *Midienne*, § 103.

παρὰ τοῖς ἄλλοις δωρειαὶ βέβαιοι μενοῦσιν αὐτῷ, τῆς δὲ παρ' ὑμῶν μόνης τοῦτ' ἀφαιρεθήσεται. [72] Καὶ μὴν οὐδ' ἐκεῖνο καλὸν, ζῶντα μὲν αὐτὸν οὕτω τιμᾶν ὥστε τοσούτων ὅσων ἀκηκόατ' ἀξιοῦν, ἐπειδὴ δὲ τετελεύτηκεν, [μηδεμίαν ποιησαμένους τούτων μνείαν] ἀφελέσθαι τι τῶν δοθέντων τότε. Πολλὰ μὲν γάρ ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν ὑπ' ἐκείνου πραχθέντων ἄξι' ἐπαίνου, δι' ἃ πάντα προσήκει μὴ λύειν τὰς ἐπὶ τούτοις δοθείσας δωρειάς, κάλλιστον δὲ πάντων ἡ τῶν τειχῶν ἀνάστασις. [73] Γνοίη δ' ἄν τις, εἰ παραθείη πῶς Θεμιστοκλῆς, ὁ τῶν καθ' ἑαυτὸν ἁπάντων ἀνδρῶν ἐνδοξότατος, ταὐτὸ τοῦτ' ἐποίησεν. Λέγεται τοίνυν ἐκεῖνος, τειχίζειν εἰπὼν τοῖς πολίταις, κἂν ἀφικνῆταί τις ἐκ Λακεδαίμονος, κατέχειν κελεύσας, οἴχεσθαι πρεσβεύων αὐτὸς ὡς τοὺς Λακεδαιμονίους, λόγων δὲ γιγνομέ- 479 νων ἐκεῖ, καί τινων ἀπαγγελλόντων ὡς Ἀθηναῖοι τειχίζουσιν, ἀρνεῖσθαι καὶ πρέσβεις πέμπειν σκεψομένους κελεύειν, ἐπειδὴ δ' οὐχ ἧκον οὗτοι, πέμπειν ἑτέρους παραινεῖν. Καὶ πάντες ἴσως ἀκηκόαθ' ὃν τρόπον ἐξαπατῆσαι λέγεται. [74] Φημὶ τοίνυν ἐγώ (καὶ πρὸς Διός, ἄνδρες Ἀθηναῖοι, μηδεὶς φθόνῳ τὸ μέλλον ἀκούσῃ, ἀλλ' ἂν ἀληθὲς ᾖ σκοπείτω), ὅσῳ τὸ φανερῶς τοῦ λάθρα κρεῖττον καὶ τὸ νικῶντας τοῦ παρακρουσαμένους πράτ-

NC. 1. μενοῦσιν Tournier, *Ex. crit.*, p. 99. μένουσιν mss.— 4. δὲ τετελεύτηκε(ν) S et L. δ' ἐτελεύτησε vulg. — μηδεμίαν.... μνείαν : mots suspectés par Dobree : ils semblent tirés du paragraphe 46.— 12. [κελεύσας] Cobet. — 15. σκεψομένους S et L. τοὺς σκεψομένους vulg.— 17. λέγεται S, A, ainsi que Hermogène (III, p. 171 Walz) et Aristide (IX, p. 404). λέγεται Λακεδαιμονίους L et vulg — 18. Variante : ὦ ἄνδρες Ἀθηναῖοι.— Cobet demande qu'on écrive τὸ μέλλον ῥηθήσεσθαι.

1-2. Παρὰ τοῖς ἄλλοις.... παρ' ὑμῶν.... Cf. § 35, avec la note. — Τοῦτ(ο), cette partie des honneurs accordés, c'est-à-dire l'immunité.

5. Τούτων devrait être rapporté non à τοσούτων, mais à ἃ διεξῆλθον ἐγώ (p. 40, l. 16), ce qui est fort obscur. Cf. *NC*.

11-16. Λέγεται.... παραινεῖν. Les faits racontés par Thucydide (I, 90 sq.) sont résumés ici, non toutefois sans quelque variation dans les détails. — Τειχίζειν dépend de εἰπών, comme κατέχειν de κελεύσας. Les infinitifs gouvernés par λέγεται sont οἴχεσθαι, ἀρνεῖσθαι καὶ.... κελεύειν, enfin παραινεῖν. — Ἧκον. Ce verbe, ainsi que ἀφικνεῖσθαι, prend quelquefois le sens de « revenir, rentrer ».

18. Τὸ μέλλον, sous-ent. ἀκουσθήσεσθαι. Westermann rapproche, *Ambass.*, § 179 : Ὁ μέλλων λόγος; Thucydide, VI, 76 : Οὐ τὴν παροῦσαν δύναμιν τῶν Ἀθηναίων.... ἀλλὰ μᾶλλον τοὺς μέλλοντας ἀπ' αὐτῶν λόγους.

19-20. Τὸ φανερῶς τοῦ λάθρα. Quoique l'article puisse se construire avec des adverbes, la suite montre que les mots πράττειν ὁτιοῦν portent aussi sur le premier membre de phrase.

ὑπάρχον καλὸν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ σαφές· « τὰς δωρειὰς, ὅσας ὁ δῆμος ἔδωκεν, κυρίας εἶναι, » <καὶ> δίκαιον, ὦ γῆ καὶ θεοί. Χρῆν τοίνυν Λεπτίνην μὴ πρότερον τιθέναι τὸν ἑαυτοῦ νόμον, πρὶν τοῦτον ἔλυσε γραψάμενος. Νῦν δὲ μαρτυρίαν καθ' ἑαυτοῦ καταλείπων ὅτι παρανομεῖ τουτονὶ τὸν νόμον, ὅμως ἐνομοθέτει, καὶ ταῦθ' ἑτέρου κελεύοντος νόμου καὶ καθ' αὐτὸ τοῦτο ἔνοχον εἶναι τῇ γραφῇ, ἐὰν ἐναντίος ᾖ τοῖς πρότερον κειμένοις νόμοις. Λαβὲ δ' αὐτὸν τὸν νόμον.

ΝΟΜΟΣ.

[97] Οὔκουν ἐναντίον, ὦ ἄνδρες Ἀθηναῖοι, τῷ κυρίας εἶναι τὰς δωρειὰς, ὅσας ὁ δῆμος ἔδωκε, τὸ μηδέν' εἶναι ἀτελῆ τούτων οἷς ὁ δῆμος ἔδωκεν; Σαφῶς γ' οὑτωσί. Ἀλλ' οὐκ ἐν ᾧ νῦν ὅδ' ἀντεισφέρει νόμῳ, ἀλλ' ἅ τ' ἐδώκατε, κύρια, καὶ πρόφασις δικαία κατὰ τῶν ἢ παρακρουσαμένων ἢ μετὰ ταῦτ' ἀδικούντων ἢ ὅλως ἀναξίων, δι' ἣν ὃν ἂν ὑμῖν δοκῇ κωλύσετ' ἔχειν τὴν δωρειάν. Λέγε τὸν νόμον.

NC. 2. ὅσας. F et anc. vulgate : ἅς. — ἔδωκεν S. — 2. <καὶ>. Ce mot, que nous avons inséré, pouvait facilement échapper aux copistes entre εἶναι et δίκαιον. Cf. *Rhodiens*, § 21, où καὶ manque avant δίκαιον dans S, et où Vœmel dit : « Sæpe omissam « esse hanc particulam observavi etiam ante δικαι. » On ne peut guère prendre δίκαιον pour une apposition, ayant le sens que δικαίως a souvent à la fin d'une phrase. D'un autre côté, l'explication de Westermann, qui veut que δίκαιον joue ici le rôle d'un substantif, accompagné des adjectifs καλόν et *σαφές*, ne tient pas compte de la place que les mots τάς δωρεάς.... εἶναι occupent entre σαφές et δίκαιον, ni de l'exclamation ὦ γῆ καὶ θεοί, laquelle doit porter sur un mot de nature attributive. — 4. τὸν παλαιὸν τοῦτον L, F — 10. οὔκουν Bekker. οὐκοῦν vulg. — 11. ὅσας S et L. ἅς vulg. — ἔδωκεν (ν barré) S. — Variante : τούτων ἀτελῆ. — 13. Variante : ἅτε δεδώκατε.

prescriptions qui sont en vigueur : voilà ce que l'orateur fait ressortir.

1-2. Τὰς δωρειὰς.... εἶναι. La citation textuelle est à sa place après *σαφές* : elle fait voir que la loi est claire et précise.

2-3. Ὦ γῆ καὶ θεοί. Cf. Nægelsbach, *Nachhomerische Theologie*, p. 104.

6-7. Καταλείπων a pour régime τουτονὶ τὸν νόμον. — Ἔνοχον εἶναι : sous-entendez τὸν νόμον, pour que ἐναντίος ᾖ ait le sujet qui convient. [F. A. Wolf.]

8. Αὐτὸν τὸν νόμον : la loi qui interdit de faire des lois contraires à la législation existante.

12. Ἔδωκεν : sous-ent. τὸ εἶναι ἀτελεῖς. — Σαφῶς γ' οὑτωσί. Cf. *Olynth.* III, § 10.

12-13. Ἀλλ' οὐκ.... νόμῳ, c'est-à-dire ἀλλ' οὐκ ἔνεστι τοῦτο ἐν τῷ νόμῳ ὃν νῦν ὅδε ἀντεισφέρει. Par ὅδε, il faut entendre Apséphion : cf. § 144. [F. A. Wolf.]

13. Πρόφασις, une occasion, une chose (un texte de loi) à alléguer.

14. Παρακρουσαμένων, ceux qui avaient obtenu l'immunité par fraude.

λέγειν χώραν οὐδαμοῦ τὸ τῆς πόλεως ὄνομ' οὐδ' αὐτὸν κατῄσχυνεν, οὔτε πάνυ ῥᾴδιον κατὰ τὴν ἀξίαν εἰπεῖν, πολλὴ τ' αἰ- 480
σχύνη λέγοντος ἐμοῦ ταῦτ' ἐλάττω φανῆναι τῆς ἐν ἑκάστῳ νῦν περὶ αὐτοῦ δόξης ὑπαρχούσης· ἃ δ' οὐδαμῶς ἂν εἰπὼν οἶμαι μικρὰ ποιῆσαι, ταῦθ' ὑπομνῆσαι πειράσομαι. [77] Ἐνίκησε μὲν τοίνυν Λακεδαιμονίους ναυμαχίᾳ καὶ πεντήκοντα μιᾶς δεούσας ἔλαβεν αἰχμαλώτους τριήρεις, εἷλε δὲ τῶν νήσων τούτων τὰς πολλὰς καὶ παρέδωκεν ὑμῖν καὶ φιλίας ἐποίησεν ἐχθρῶς ἐχούσας πρότερον, τρισχίλια δ' αἰχμάλωτα σώματα δεῦρ' ἤγαγεν, καὶ πλέον ἢ δέκα καὶ ἑκατὸν τάλαντ' ἀπέφηνεν ἀπὸ τῶν πολεμίων. Καὶ τούτων πάντων ὑμῶν τινες [οἱ πρεσβύτατοι] μάρτυρές εἰσί μοι. Πρὸς δὲ τούτοις ἄλλας τριήρεις πλέον ἢ εἴκοσιν εἷλε, κατὰ μίαν καὶ δύο λαμβάνων, ἃς ἁπάσας εἰς τοὺς ὑμετέρους λιμένας κατήγαγεν. [78] Ἑνὶ δὲ κεφαλαίῳ, μόνος τῶν πάντων στρατηγῶν οὐ πόλιν, οὐ φρούριον, οὐ ναῦν, οὐ στρατιώτην ἀπώλεσεν οὐδέν' ἡγούμενος ὑμῶν, οὐδ' ἔστιν οὐδενὶ τῶν ὑμε-

NC. 5. ἐνίκησεν S. — 6. Variante vicieuse : δεούσης. — 7. τούτων manque dans Aristide, IX, p. 388 Walz. — 8. φιλίας S et L. φίλας vulg.— 11. οἱ πρεσβύτατοι (var. οἱ πρεσβύτεροι) : mots écartés par Cobet. Démosthène aurait pu écrire ὑμῶν οἱ πρεσβύτεροι : cf. § 52.

en 361, Chabrias se mit, personnellement et sans mission publique, au service des princes égyptiens en rébellion contre les rois de Perse. Cf. Diodore, XV, 29 et 92.

1. Οὐδ' *αὐτόν*. La note précédente explique pourquoi l'orateur ajoute ces deux mots.

2-4. Οὔτε a pour corrélatif τ(ε). Cf. *Phil.* I, § 51, avec la note. — Ταῦτ' ἐλάττω.... δόξης ὑπαρχούσης. Voici comment Thucydide (II, 35) avait exprimé la même pensée : Ὅ τε γὰρ ξυνειδὼς καὶ εὔνους ἀκροατὴς τάχ' ἄν τι ἐνδεεστέρως πρὸς ἃ βούλεταί τε καὶ ἐπίσταται νομίσειε δηλοῦσθαι. — Ἐν ἑκάστῳ équivaut à ἐν ἑκάστου ψυχῇ. Aristide (IX, p. 374 Walz) remplace cette locution par παρ' ἑκάστῳ. « Pour chaque fait » serait en grec ἐφ' ἑκάστῳ.

6. Ναυμαχίᾳ. Il n'était pas nécessaire d'ajouter τῇ περὶ Νάξον : les Athéniens se souvenaient de cette bataille, qui rétablit leur domination maritime et qui était le grand titre de Chabrias (cf. Eschine, *Ctésiphon*, § 243). Elle eut lieu en 376. Voy. Diodore, XV, 34 sq.; Plutarque, *Phocion*, 6. Xénophon (*Hell.*, V, IV, 61) ne la raconte pas plus longuement que les autres batailles navales. Népos oublie d'en parler.

6-7. Πεντήκοντα.... τριήρεις. Diodore dit que les Lacédémoniens eurent vingt-quatre galères coulées et huit prises avec l'équipage. — Τῶν νήσων τούτων. Mots obscurs. Faut-il entendre « les îles de ces parages, voisines de Naxos, » ou bien « les îles soumises aux Lacédémoniens » ? Le démonstratif est suspect. Cf. NC.

11. Τούτων πάντων. Ces mots se réfèrent à toutes les actions de Chabrias.

12. Πρὸς δὲ τούτοις.... On voit, par le paragraphe 80, que l'orateur parle ici des autres vaisseaux pris par Chabrias durant sa carrière militaire.

15-16. Στρατιώτην peut désigner ici un soldat citoyen; mais ἀπώλεσεν ne doit pas être expliqué « il perdit par sa faute ». Admettons une hyperbole plutôt que de sous-entendre gratuitement une restriction qui ne saurait s'appliquer à οὐ πόλιν, οὐ φρούριον sans ôter toute valeur à cet éloge.

τοίνυν εἰσὶν αὐτῷ κατὰ τοῦ παρεισφέροντος πολλοὶ τρόποι, δι' ὧν, ἂν βούληται, θεῖναι τὸν νόμον αὐτὸν ἀναγκάσει· ἔπειτ' ἐγγυώμεθ' ἡμεῖς, ἐγὼ, Φορμίων, ἄλλον εἴ τινα βούλεται, θήσειν τὸν νόμον. Ἔστι δὲ δήπου νόμος ὑμῖν, ἐάν τις ὑποσχόμενός τι τὸν δῆμον ἢ βουλὴν ἢ δικαστήριον ἐξαπατήσῃ, τὰ ἔσχατα πάσχειν. Ἐγγυώμεθα, ὑπισχνούμεθα· οἱ θεσμοθέται ταῦτα γραφόντων, ἐπὶ τούτοις τὸ πρᾶγμα γιγνέσθω. [101] Μήθ' ὑμεῖς ποιήσητε μηδὲν ἀνάξιον ὑμῶν αὐτῶν, μήτ', εἴ τις φαῦ-
438 λός ἐστι τῶν εὑρημένων τὴν δωρεὰν, ἐχέτω, ἀλλ' ἰδίᾳ κατὰ τόνδε κριθήτω τὸν νόμον. Εἰ δὲ ταῦτα λόγους καὶ φλυαρίας εἶναι φήσει, ἐκεῖνό γ' οὐ λόγος· αὐτὸς θέτω, καὶ μὴ λεγέτω τοῦτο, ὡς οὐ θήσομεν ἡμεῖς. Κάλλιον δὲ δήπου τὸν ὑφ' ὑμῶν κριθέντα καλῶς ἔχειν νόμον εἰσφέρειν ἢ ὃν νῦν ἀφ' αὑτοῦ τίθησιν.

[102] Ἐμοὶ δ', ὦ ἄνδρες Ἀθηναῖοι, δοκεῖ Λεπτίνης (καί μοι μηδὲν ὀργισθῇς· οὐδὲν γὰρ φλαῦρον ἐρῶ σε) ἢ οὐκ ἀνεγνωκέναι τοὺς Σόλωνος νόμους ἢ οὐ συνιέναι. Εἰ γὰρ ὁ μὲν Σόλων ἔθηκε νόμον ἐξεῖναι δοῦναι τὰ ἑαυτοῦ ᾧ ἄν τις βούληται, ἐὰν μὴ

NC. 2. ἂν μὴ βούληται ancienne vulgate. — 13. ἐφ' ἑαυτοῦ ancienne vulgate. — 14-15. μοι πρὸς Διὸς L et vulg. — 16. ἔθηκεν S. — 17. ᾧ. Ancienne vulgate : ὅτῳ.

obtenir que la contre-proposition soit en effet convertie en loi.

3. Ἄλλον εἴ τινα βούλεται équivaut à ἄλλος, εἴ τινα βούλεται ἄλλον.

5. Ἢ βουλήν, soit le sénat annuel des Cinq-cents, soit l'Aréopage, ἡ ἐν Ἀρείῳ πάγῳ βουλή.

6-7. Οἱ θεσμοθέται.... γιγνέσθω, que les thesmothètes qui président l'audience prennent note de cette promesse et que l'affaire soit remise entre leurs mains. Τούτοις est au masculin, non au neutre : Westermann le fait observer avec raison.

7-8. Μήθ' ὑμεῖς.... Cf. § 88 : Καὶ ὅπως ὑμεῖς μηδὲν αἰσχρὸν κτλ.

9. Ἰδίᾳ, par un jugement particulier, non par une mesure générale, qui frappe les dignes avec les indignes.

11. Αὐτὸς θέτω. Puisque vous vous intéressez tant, dit Démosthène, au sort de notre motion, portez-la vous-même. C'est se moquer de Leptine.

12-13. Τὸν ὑφ' ὑμῶν κριθέντα. L'orateur déclare hardiment que les Athéniens jugent sa loi supérieure à celle de Leptine. C'est ainsi que, au § 99, il a soutenu que Leptine lui-même accorde cette supériorité. — Ἀφ' αὑτοῦ, de sa propre autorité, en suivant ses propres vues. Il faut dire, cependant, que la loi de Leptine avait été votée par le peuple. Mais l'assertion hasardée qui précède amène une antithèse contraire à la vérité ; et l'auditeur, entraîné par la logique apparente d'un discours qui se suit si bien, ne s'aperçoit pas du chemin qu'on lui fait faire. Stiévenart était si dérouté par cette rouerie oratoire, qu'il supposait je ne sais quelle nouvelle proposition de Leptine, ou bien une altération du texte.

17-1. Ἐξεῖναι δοῦναι.... Solon donna aux individus le droit de tester, de disposer de leur fortune (τὰ χρήματα κτήματα τῶν ἐχόντων ἐποίησεν, dit Plutarque, *Solon*, 21) ; autrefois cette fortune avait appartenu à la famille et ne pouvait en sortir. — Ἐὰν.... γνήσιοι. Isée (*Hérit. de Pyrrhos*, § 68) rapporte les dispositions de

βίου πεποιημένος οὐχ ὑπὲρ ἄλλου τινός, ὥστε δικαίως ἂν οὐ μόνον διὰ τὰ ζῶντι πεπραγμένα φαίνοισθ' εὐνοϊκῶς διακείμενοι πρὸς τὸν υἱὸν αὐτοῦ, ἀλλὰ καὶ διὰ ταύτην. [81] Ἄξιον τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, κἀκεῖνο σκοπεῖν, ὅπως μὴ φανούμεθα φαυλότεροι Χίων περὶ τοὺς εὐεργέτας γεγενημένοι. Εἰ γὰρ ἐκεῖνοι μέν, ἐφ' οὓς μεθ' ὅπλων ἦλθεν ἐν ἐχθροῦ τάξει, μηδὲν ὧν ἔδοσαν πρότερον νῦν ἀφῄρηνται, ἀλλὰ τὰς πάλαι χάριτας μείζους τῶν καινῶν ἐγκλημάτων πεποίηνται, ὑμεῖς δ', ὑπὲρ ὧν ἐπ' ἐκείνους ἐλθὼν ἐτελεύτησεν, ἀντὶ τοῦ διὰ ταῦτ' ἔτι μᾶλλον αὐτὸν τιμᾶν καὶ τῶν ἐπὶ ταῖς πρότερον εὐεργεσίαις τι δοθέντων ἀφῃρημένοι φανήσεσθε, πῶς οὐκ εἰκότως αἰσχύνην ἕξετε; [82] Καὶ μὴν καὶ κατ' ἐκεῖν' ἀνάξι' ἂν εἴη πεπονθὼς ὁ παῖς, εἰ τῆς δωρειᾶς ἀφαιρεθείη, καθ' ὃ πολλάκις ὑμῶν στρατηγήσαντος 482 Χαβρίου οὐδενὸς πώποθ' υἱὸς ὀρφανὸς δι' ἐκεῖνον ἐγένετο, αὐτὸς δ' ἐν ὀρφανίᾳ τέθραπται διὰ τὴν πρὸς ὑμᾶς φιλοτιμίαν τοῦ πατρός. Οὕτω γὰρ ὡς ἀληθῶς ἔμοιγε φαίνεται βεβαίως πως ἐκεῖνος φιλόπολις, ὥστε δοκῶν καὶ ὢν ἀσφαλέστατος στρατηγὸς ἁπάντων ὑπὲρ μὲν ὑμῶν, ὁπόθ' ἡγοῖτο, ἐχρῆτο τούτῳ, ὑπὲρ αὑτοῦ δέ, ἐπειδὴ τὸ καθ' αὑτὸν ἐτάχθη κινδυνεύειν, παρεῖδε, καὶ μᾶλλον εἵλετο μὴ ζῆν ἢ καταισχῦναι τὰς παρ' ὑμῶν ὑπαρχούσας αὐτῷ τιμάς. [83] Εἶθ' ὑπὲρ ὧν ἐκεῖνος ᾤετο δεῖν ἀποθνῄσκειν ἢ νικᾶν, ταῦθ' ἡμεῖς ἀφελώμεθα τὸν υἱὸν αὐτοῦ; Καὶ τί φήσομεν, ὦ ἄνδρες Ἀθηναῖοι, ὅταν τὰ μὲν τρόπαι' ἑστήκῃ δῆλα πᾶσιν ἀνθρώποις, ἃ ὑπὲρ ὑμῶν στρατηγῶν ἐκεῖνος

NC. 7. τὰς παλαιὰς vulg. De même, ligne 10, variante : ταῖς προτέραις. — 12-13. εἰ... ἀφαιρεθείη : mots suspects à Dobree. — 16. πως : suspect à G. H. Schæfer. — 17. φιλόπολις S et L. ἐγένετο φιλόπολις (en prenant ὡς.... φαίνεται pour une parenthèse) vulg. — 19. παρεῖδεν S.

arque. Cf. Plutarque, *Phoc.*, 6 ; Cornélius Népos, *Chabr.*, 4, ainsi que le récit inexact de Diodore, XVI, 7.

12-13. Εἰ τῆς δορειᾶς ἀφαιρεθείη, si quelque chose était ôtée du don. Génitif partitif : cf. § 66. Voyez cependant *NC*.

16-17. Πως n'affaiblit pas βεβαίως. La phrase équivaut à οὕτω βέβαιός τις ἦν ἐκείνου τῆς πατρίδος ἔρως.

18-19. Τούτῳ, c'est-à-dire τῷ ἀσφαλέστατος στρατηγὸς εἶναι. — Τὸ καθ' αὑτὸν ἐτάχθη κινδυνεύειν. On voit que Diodore dit à tort que Chabrias commandait la flotte attique devant Chios.

24. Ὑπὲρ ὑμῶν, « pour vous, dans votre intérêt », porte sur l'ensemble de la phrase. F. A. Wolf, qui lie ὑπὲρ ὑμῶν στρατηγήσας (« tum quum imperator erat « vestri exercitus »), s'est laissé induire en erreur par Isocrate, *Panég.*, § 154 : Ὑπὲρ

δενὶ δεῖν μηδὲν διδόναι, μηδ' ἂν ὁτιοῦν πράξῃ, τοιοῦτόν τι λέγειν αὐτοὺς παρεσκευάσθαι, ὡς ἄρ' οἱ Λακεδαιμόνιοι καλῶς 489 πολιτευόμενοι καὶ Θηβαῖοι οὐδενὶ τῶν παρ' ἑαυτοῖς διδόασι τοιαύτην οὐδεμίαν τιμήν· καίτοι καὶ παρ' ἐκείνοις τινές εἰσιν ἴσως ἀγαθοί. Ἐμοὶ δὴ δοκοῦσιν, ὦ ἄνδρες Ἀθηναῖοι, πάντες οἱ τοιοῦτοι λόγοι παροξυντικοὶ μὲν εἶναι πρὸς τὸ τὰς ἀτελείας ὑμᾶς ἀφελέσθαι πεῖσαι, οὐ μέντοι δίκαιοί γ' οὐδαμῇ. Οὐ γὰρ ἀγνοῶ τοῦθ', ὅτι Θηβαῖοι καὶ Λακεδαιμόνιοι καὶ ἡμεῖς οὔτε νόμοις οὔτ' ἔθεσι χρώμεθα τοῖς αὐτοῖς οὔτε πολιτείᾳ. [106] Αὐτὸ γὰρ τοῦτο πρῶτον, ὃ νῦν οὗτοι ποιήσουσιν, ἐὰν ταῦτα λέγωσιν, οὐκ ἔξεστι ποιεῖν παρὰ τοῖς Λακεδαιμονίοις, τὰ τῶν Ἀθηναίων ἐπαινεῖν νόμιμα οὐδὲ τὰ τῶν δείνων, πολλοῦ γε καὶ δεῖ, ἀλλ' ἃ τῇ παρ' ἐκείνοις πολιτείᾳ συμφέρει, ταῦτ' ἐπαινεῖν ἀνάγκη [καὶ ποιεῖν]. Εἶτα καὶ Λακεδαιμόνιοι τῶν μὲν τοιούτων ἀφεστᾶσιν, ἄλλαι δέ τινες παρ' ἐκείνοις εἰσὶ τιμαί, ἃς ἀπεύξαιτ' ἂν ἅπας ὁ δῆμος ἐνταυθοῖ γενέσθαι. [107] Τίνες οὖν εἰσιν αὗται; τὰς μὲν καθ' ἕκαστον ἐάσω, μίαν δ', ἣ συλλαβοῦσα τὰς ἄλλας ἔχει,

NC. 2. G. H. Schæfer proposait : ὡς ἄρα Λακεδαιμόνιοι. — 5. δή. Variante sans autorité : δὲ. — 9. ἔθεσιν S. — 11. Ancienne vulgate : ἢ ἐπαινεῖν. F. A. Wolf supprimait τὰ τῶν Ἀθηναίων.... δείνων. — 13-14. Nous regardons, avec Hirschig (*Phil.*, V, p. 383), les mots καὶ ποιεῖν comme interpolés. Cobet (*Nov. Lectt.*, p. 228) avait proposé : ταῦτ' ἀνάγκη καὶ ἐπαινεῖν. Au commencement de ce paragraphe, les mots ποιήσουσιν et ποιεῖν ne sont que des expressions générales pour λέξουσιν et ἐπαινεῖν. — τοιούτων S, A. τοιούτων ἐθῶν vulg. ἐθῶν au-dessus de la ligne L[1]. — 15. Ancienne vulgate : ἅπαξ. — 16. Dindorf : ἐνταυθὶ.

mots se rattachent à λέγειν παρεσκευάσθαι. [Shilleto.] — Μηδενὶ δεῖν μηδὲν διδόναι. Hyperbole. Cf. § 120.

2-3. Καλῶς πολιτευόμενοι. C'était assez l'opinion générale au sujet de la constitution de Sparte. L'orateur athénien l'admet, parce qu'Athènes était alors en bons termes avec Sparte; il traite, au contraire, Thèbes, puissance ennemie, de la manière la plus haineuse. Ἐοίκασι γὰρ, dit le scholiaste, πρὸς μὲν Θηβαίους δυσμενῶς ἔχειν, πρὸς δὲ τοὺς Λακεδαιμονίους οἰκείως.

3-4. Τοιαύτην οὐδεμίαν τιμήν. C'est trop dire. Les Lacédémoniens venaient d'accorder l'immunité aux descendants du guerrier qui avait tué Épaminondas à Mantinée (Plutarque, *Agés.*, 35); les Spartiates pères de quatre fils en jouissaient de droit (Aristote, *Polit.*, II, 9, p. 1270). Voy. aussi *Corp. inscr. gr.*, 1335. Cependant on peut croire que les immunités ainsi que les liturgies n'étaient nulle part aussi nombreuses qu'à Athènes. Cf. Thumser, *De civium Athen. muneribus*, p. 111 sq.

14. Τοιούτων au neutre. Cf. τοιαύτην οὐδεμίαν τιμήν, ligne 4.

16. Ἐνταυθοῖ γενέσθαι équivaut à εἰσαχθῆναι ἐνταυθοῖ. Cf. *Phil.* I, § 40 : Ἐκεῖσ' εἰσὶν αἱ χεῖρες, avec la note.

17. Καθ' ἕκαστον : au neutre. Les philosophes, et particulièrement Aristote, opposent souvent τὸ καθόλου à τὰ καθ' ἕκαστα.

δίειμι. Ἐπειδάν τις εἰς τὴν καλουμένην γερουσίαν ἐγκριθῇ παρασχὼν αὑτὸν οἷον χρή, δεσπότης ἐστὶ τῶν πολλῶν. Ἐκεῖ μὲν γάρ ἐστι τῆς ἀρετῆς ἆθλον τῆς πολιτείας κυρίῳ γενέσθαι μετὰ τῶν ὁμοίων, παρὰ δ' ἡμῖν ταύτης μὲν ὁ δῆμος κύριος, καὶ ἀραὶ καὶ νόμοι καὶ φυλακαὶ ὅπως μηδεὶς ἄλλος κύριος γενήσεται, στέφανοι δὲ καὶ ἀτέλειαι καὶ σιτήσεις καὶ τοιαῦτ' ἐστὶν, ὧν ἄν τις ἀνὴρ ἀγαθὸς ὢν τύχοι. [108] Καὶ ταῦτ' ἀμφότερ' ὀρθῶς ἔχει, καὶ τἀκεῖ καὶ τὰ παρ' ἡμῖν. Διὰ τί; ὅτι τὰς μὲν διὰ τῶν ὀλίγων πολιτείας τὸ πάντας ἔχειν ἴσον ἀλλήλοις τοὺς τῶν κοινῶν κυρίους ὁμονοεῖν ποιεῖ, τὴν δὲ τῶν δήμων 490

NC. 4. ἡμῖν. Var. : ὑμῖν. — 5. Variante vicieuse : ἀρχαί. — 6. Mauvaise variante : στέφανοί τε. — 8-9. τὰς μὲν τῶν διὰ τῶν S.

1-2. Γερουσίαν. A Sparte, les vingt-huit sénateurs (γέροντες) jugeaient en matière criminelle et avaient la haute main sur tout l'État. Élus à vie parmi les citoyens les plus notables âgés de plus de soixante ans, et n'ayant à rendre aucun compte (ἀνεύθυνοι), si ce n'est qu'ils étaient, comme tout le monde, soumis au pouvoir arbitraire des éphores (Aristote, *Polit.*, II, 9, p. 1271), ils formaient l'élément oligarchique de la constitution de Sparte (*ib.*, II, 6, p. 1265). Aussi Démosthène appelle-t-il le sénateur lacédémonien maître (δεσπότης) du peuple : mot malsonnant aux oreilles athéniennes (ἀντὶ τοῦ ἄρχων δεσπότης εἶπεν, ἐξ οὗ ἐμφαίνει δουλείαν. Schol.).

3-4. Τῆς ἀρετῆς ἆθλον. Cf. Xénophon, *Const. de Sparte*, X, 3 : Ὁ δὲ περὶ γεροντίας ἀγὼν ψυχῶν ἀγαθῶν κρίσιν παρέχει. On rapproche Aristote, *Polit.*, II, 9, p. 1270, lequel dit, comme Démosthène : Ἆθλον γὰρ ἡ ἀρχὴ αὕτη τῆς ἀρετῆς ἐστιν; et Plutarque, *Lycurgue*, 26 : Ἐν ἀγαθοῖς καὶ σώφροσιν ἄριστον καὶ σωφρονέστατον ἔδει κριθέντα νικητήριον ἔχειν τῆς ἀρετῆς διὰ βίου τὸ σύμπαν, ὡς εἰπεῖν, κράτος ἐν τῇ πολιτείᾳ, κύριον ὄντα καὶ θανάτου καὶ ἀτιμίας καὶ ὅλως τῶν μεγίστων. — Μετὰ τῶν ὁμοίων, avec ses pairs. On ne peut guère entendre ici que les autres γέροντες. Il est vrai qu'à Lacédémone le terme ὅμοιοι désignait tous les Spartiates jouissant de la totalité des droits politiques.

5. Ἀραί. Reiske a vu qu'il s'agissait des imprécations prononcées par le héraut dans chaque assemblée populaire, ainsi que dans le sénat, et auxquelles font allusion Démosthène, *Ambass.*, § 70; *Couronne*, §§ 130 et 282; *Aristocr.*, § 97; Dinarque, *Aristog.*, § 16; Aristophane, *Thesmoph.*, 331 sqq. Relevons dans la parodie du poëte comique : Εἴ τις ἐπιβουλεύει τι τῷ δήμῳ κακόν.... ἢ τυραννεῖν ἐπινοεῖ. — Καὶ φυλακαί, et (d'autres) sauvegardes. Reiske entendait les magistrats chargés de veiller au maintien de la liberté publique. Sans adopter cette interprétation trop étroite, on comprend que Markland et F. A. Wolf avaient tort de supprimer καὶ avant φυλακαί, au détriment de la symétrie des deux membres de phrases opposés.

6. Σιτήσεις.... Dans le Prytanée.

7-8. Καὶ ταῦτ' ἀμφότερ' ὀρθῶς ἔχει. Démosthène a pu trouver dans le pamphlet attribué à Xénophon, *Sur la constitution d'Athènes*, l'idée que les institutions d'un État ne doivent pas être jugées en elles-mêmes, mais par rapport à la forme générale du gouvernement. On y lit, III, 1 : Καὶ περὶ τῆς Ἀθηναίων πολιτείας τὸν μὲν τρόπον οὐκ ἐπαινῶ· ἐπειδήπερ δ' ἔδοξεν αὐτοῖς δημοκρατεῖσθαι, εὖ μοι δοκοῦσι διασῴζεσθαι τὴν δημοκρατίαν τούτῳ τῷ τρόπῳ χρώμενοι ᾧ ἐγὼ ἐπέδειξα. En substituant Λακεδαιμονίων à Ἀθηναίων, ὀλιγαρχεῖσθαι et ὀλιγαρχίαν à δημοκρατεῖσθαι et δημοκρατίαν, on aura la pensée de Démosthène.

8-10. Τὰς μὲν.. . ποιεῖ. Construisez : τὸ πάντας τοὺς τῶν κοινῶν κυρίους ἔχειν ἴσον ἀλλήλοις ποιεῖ ὁμονοεῖν τὰς διὰ τῶν ὀλίγων πολιτείας. [F. A. Wolf.] Montes-

ἐλευθερίαν ἡ τῶν ἀγαθῶν ἀνδρῶν ἅμιλλα, ἣν ἐπὶ ταῖς παρὰ τοῦ δήμου δωρειαῖς πρὸς ἑαυτοὺς ποιοῦνται, φυλάττει. [109] Καὶ μὴν περὶ τοῦ γε μηδὲ Θηβαίους μηδένα τιμᾶν, ἐκεῖν' ἂν ἔχειν εἰπεῖν ἀληθὲς οἴομαι. Μεῖζον, ὦ ἄνδρες Ἀθηναῖοι, Θηβαῖοι φρονοῦσιν ἐπ' ὠμότητι καὶ πονηρίᾳ ἢ ὑμεῖς ἐπὶ φιλανθρωπίᾳ καὶ τῷ τὰ δίκαια βούλεσθαι. Μήτ' οὖν ἐκεῖνοί ποτε παύσαιντο, εἰ ἄρ' εὔξασθαι δεῖ, τοὺς μὲν ἑαυτοὺς ἀγαθόν τι ποιοῦντας μήτε τιμῶντες μήτε θαυμάζοντες, τοὺς δὲ συγγενεῖς (ἴστε γὰρ ὃν τρόπον Ὀρχομενὸν διέθηκαν) οὕτω μεταχειριζόμενοι, μήθ' ὑμεῖς τἀναντία τούτοις τοὺς μὲν εὐεργέτας τιμῶντες, παρὰ δὲ τῶν πολιτῶν λόγῳ μετὰ τῶν νόμων τὰ δίκαια λαμβάνοντες. [110] Ὅλως δ' οἶμαι τότε δεῖν τοὺς ἑτέρων ἐπαινεῖν τρόπους καὶ ἔθη τοῖς ὑμετέροις ἐπιτιμῶντας, ὅταν ᾖ δεῖξαι βέλτιον ἐκείνους πράττοντας ὑμῶν. Ὅτε δ' ὑμεῖς, καλῶς ποιοῦντες, καὶ κατὰ τὰς κοινὰς πράξεις καὶ κατὰ τὴν ὁμόνοιαν καὶ κατὰ τἄλλα πάντ' ἄμεινον ἐκείνων πράττετε, τοῦ χάριν ἂν τῶν ὑμε-

NC. 3. περὶ τοῦ γε S, L, A. περί γε τοῦ vulg. — 4. θηβαιου S[1]. θῆβαι οὐ marge de S. — 9. ορχομενον S et L. ὀρχομενίους vulg. — ἡμεῖς S. — 12. τρόπους S et L. νόμους vulg.

quieu (*Esprit des lois*, V, VIII) désigne comme l'une des « deux sources principales de désordres dans les États aristocratiques ... l'inégalité entre les différents membres du corps qui gouverne.... Quand les lois ont égalisé les familles, il leur reste à maintenir l'union entre elles. Les différends des nobles doivent être promptement décidés.... Il ne faut point que les lois favorisent les distinctions que la vanité met entre les familles. »

1-2. Ἡ τῶν ἀγαθῶν ἀνδρῶν ἅμιλλα. Montesquieu (*ib.*, II, II) : « Le malheur d'une république, c'est lorsqu'il n'y a plus de brigues. » — Πρὸς ἑαυτούς équivaut à πρὸς ἀλλήλους. Cf *Phil.* I, § 10 : Αὐτῶν πυνθάνεσθαι, et *passim*.

6-8. Μήτ' οὖν ἐκεῖνοι.... θαυμάζοντες. Cf. Euripide, *Hécube*, 328 : Οἱ βάρβαροι δὲ μήτε τοὺς φίλους φίλους Ἡγεῖσθε, μήτε τοὺς καλῶς τεθνηκότας Θαυμάζεθ', ὡς ἂν ἡ μὲν Ἑλλὰς εὐτυχῇ, Ὑμεῖς δ' ἔχηθ' ὅμοια τοῖς βουλεύμασιν. [F. A Wolf.]

9. Ὀρχομενόν. Les Thébains détruisirent Orchomène, leur ancienne rivale, massacrèrent les hommes, vendirent femmes et enfants comme esclaves, suivan Diodore, XV, 79, en 364 av. J. C. Cf. *Mégalop.*, § 4. Quelques années auparavant (Diodore, *ib.*, 57) les Thébains avaient déjà voulu exécuter un acte aussi cruel; mais Épaminondas les en avait empêchés, et avait fait entrer Orchomène dans la confédération béotienne. C'est peut-être à cause de cette alliance, ou bien comme habitant aussi la Béotie, ou simplement pour rendre les Thébains plus odieux, que Démosthène appelle les Orchoméniens leurs συγγενεῖς.

10. Τἀναντία τούτοις : brachylogie pour τἀναντία τοῖς ὑπὸ τούτων ποιουμένοις.

11. Λόγῳ μετὰ τῶν νόμων. Scholiaste: Ὅτι Θηβαῖοι μὲν ὅπλοις ἀπαιτοῦσι τὰς δίκας, ἡμεῖς δὲ λόγῳ καὶ τῷ δικαίῳ.

14. Καλῶς ποιοῦντες. Cf. *Olynth.* I, § 28, avec la note.

τέρων αὐτῶν ἐθῶν ὀλιγωροῦντες ἐκεῖνα διώκοιτε; Εἰ γὰρ καὶ κατὰ τὸν λογισμὸν ἐκεῖνα φανείη βελτίω, τῆς γε τύχης ἕνεκα, ᾗ παρὰ ταῦτ' ἀγαθῇ κέχρησθε, ἐπὶ τούτων ἄξιον μεῖναι. [111] Εἰ δὲ δεῖ παρὰ πάντα ταῦτ' εἰπεῖν, ὃ δίκαιον ἡγοῦμαι, ἐκεῖν' ἂν ἔγωγ' εἴποιμι. Οὐκ ἔστι δίκαιον, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς Λακεδαιμονίων νόμους οὐδὲ τοὺς Θηβαίων λέγειν ἐπὶ τῷ τοὺς ἐνθάδε λυμαίνεσθαι, οὐδὲ δι' ὧν μὲν ἐκεῖνοι μεγάλοι [τῆς ὀλιγαρχίας καὶ δεσποτείας εἰσί], κἂν ἀποκτεῖναι βούλεσθαι τὸν παρ' ἡμῖν τούτων τι κατασκευάσαντα, διὰ δ' ὧν ὁ παρ' ἡμῖν δῆμος εὐδαίμων, ταῦθ' ὡς ἀνελεῖν δεῖ λεγόντων τινῶν ἐθέλειν ἀκούειν.

[112] Ἔστι τοίνυν τις πρόχειρος λόγος, ὡς ἄρα καὶ παρ' 491
ἡμῖν ἐπὶ τῶν προγόνων πόλλ' ἀγάθ' εἰργασμένοι τινὲς οὐδενὸς ἠξιοῦντο τοιούτου, ἀλλ' ἀγαπητῶς ἐπιγράμματος ἐν τοῖς Ἑρμαῖς ἔτυχον· καὶ ἴσως τοῦθ' ὑμῖν ἀναγνώσεται τοὐπίγραμμα. Ἐγὼ δ' ἡγοῦμαι τοῦτον τὸν λόγον, ὦ ἄνδρες Ἀθηναῖοι, κατὰ πόλλ' ἀσύμφορον εἶναι τῇ πόλει λέγεσθαι, πρὸς δὲ καὶ οὐδὲ δίκαιον. [113] Εἰ μὲν γὰρ ἀναξίους εἶναί τις φήσει κἀκείνους τιμᾶσθαι, τίς

NC. 5. ἐκεῖν' ἂν ἔγωγε S et L. ἐκεῖνο ἔγωγ' ἂν vulg. — 7-8. Les mots τῆς ὀλιγαρχίας καὶ δεσποτείας ont été avec raison regardés comme une glose par Lambin et d'autres critiques. Westermann a, de plus, supprimé εἰσί, afin d'éviter l'hiatus. Vœmel s'est vainement efforcé de défendre une leçon évidemment vicieuse. On pourrait écrire : ἐκείνοις μεγάλα τὰ τῆς ὀλιγαρχίας καὶ δεσποτείας ἐστί. — 13. ὡς ἄρα. S[1] : ὥρα. — 15. ἔτυχον. Variante vicieuse : ἐτύγχανον. Il ne s'agit que d'un seul fait : aussi la conjecture de F. A Wolf : τοιοῦθ'.... τὶ ἐπίγραμμα, est-elle aussi inutile que celle de Dobree et de Cobet : ταῦθ'... τἀπιγράμματα. — 17. οὐδὲ S et L. οὐ vulg.

2-3. Τῆς τύχης ἕνεκα. Cf. Lysias, *Contre Nicomaque*, § 18 : Ἄξιον ἡμῖν τὰς αὐτὰς ἐκείνοις (*i. e.* τοῖς προγόνοις) θυσίας ποιεῖσθαι καὶ εἰ μηδὲν δι' ἄλλο, τῆς τύχης ἕνεκα τῆς ἐξ ἐκείνων τῶν ἱερῶν γεγενημένης. [Markland.] — Παρὰ ταῦτ(α), pendant que vous suiviez ces usages.

7-11. Οὐδὲ.... ἀκούειν. Construisez : Οὐδὲ (δίκαιόν ἐστι) βούλεσθαι μὲν κἂν ἀποκτεῖναι τὸν παρ' ἡμῖν κατασκευάσαντά τι τούτων δι' ὧν ἐκεῖνοι μεγάλοι (εἰσί), ἐθέλειν δὲ ἀκούειν τινῶν λεγόντων ὡς δεῖ ἀνελεῖν ταῦτα δι' ὧν ὁ παρ' ἡμῖν δῆμος εὐδαίμων (ἐστίν). Les hyperbates font ressortir l'antithèse.

14-15. Ἐν τοῖς Ἑρμαῖς. On donnait ce nom à un portique d'Athènes dans lequel se trouvaient un grand nombre d'Hermès. Cf. Harpocration, article Ἑρμαῖ. Eschine (*Ctésiph.*, § 183) dit ἐν τῇ στοᾷ τῇ τῶν Ἑρμῶν. — Τοὐπίγραμμα. C'est l'inscription, bien connue alors, en l'honneur des guerriers athéniens qui avaient, sous la conduite de Cimon, vaincu les Perses près du Strymon, dans la Thrace, et conquis le port d'Éion. Cf. Eschine, *l. c.*; Plutarque, *Cimon*, 7 [Reiske.]

ἄξιος, εἰπάτω, εἰ μήτε τῶν πρότερον μηδεὶς μήτε τῶν ὕστερον· εἰ δὲ μηδένα φήσει, συναχθεσθείην ἂν ἔγωγε τῇ πόλει, εἰ μηδεὶς ἐν ἅπαντι τῷ χρόνῳ γέγονεν ἄξιος εὖ παθεῖν. Καὶ μὴν εἴ γ' ὁμολογῶν ἐκείνους εἶναι σπουδαίους μὴ τετυχηκότας δείξει μηδενός, τῆς πόλεως ὡς ἀχαρίστου δήπου κατηγορεῖ. Ἔστι δ' οὐχ οὕτω ταῦτ' ἔχοντα, οὐδ' ὀλίγου δεῖ. Ἀλλ' ἐπειδάν τις, οἶμαι, κακουργῶν ἐπὶ μὴ προσήκοντα πράγματα τοὺς λόγους μεταφέρῃ, δυσχερεῖς ἀνάγκη φαίνεσθαι. [114] Ὡς δὲ τἀληθές τ' ἔχει καὶ δίκαιόν ἐστι λέγειν, ἐγὼ πρὸς ὑμᾶς ἐρῶ. Ἦσαν, ὦ ἄνδρες Ἀθηναῖοι, πολλοὶ τῶν πρότερον σπουδαῖοι, καὶ ἡ πόλις ἡμῶν ἐτίμα καὶ τότε τοὺς ἀγαθούς· αἱ μέντοι τιμαὶ καὶ τἄλλα πάντα τὰ μὲν τότ' ἦν ἐπὶ τοῖς τότ' ἔθεσι, τὰ δὲ νῦν ἐπὶ τοῖς νῦν. Πρὸς οὖν τί τοῦτο λέγω; ὅτι φήσαιμ' ἂν ἔγωγ' ἐκείνους οὐκ ἔστιν ὅτου παρὰ τῆς πόλεως οὐ τυχεῖν ὧν ἐβουλήθησαν. [115] Τίνι χρώμενος τεκμηρίῳ; ὅτι Λυσιμάχῳ δωρειάν, ἑνὶ τῶν τότε χρησίμων, ἑκατὸν μὲν ἐν Εὐβοίᾳ πλέθρα γῆς πεφυτευμένης ἔδοσαν, ἑκατὸν δὲ ψιλῆς, ἔτι δ' ἀργυρίου μνᾶς ἑκατόν,

NC. 1. προτέρων et ὑστέρων S. Cf. § 114 et *passim*. Markland et F. A. Wolf retranchaient εἰ μήτε.... ὕστερον. Mais ce membre de phrase développe et précise la pensée, et il sert surtout à la symétrie de la période. — 6. δεῖ H. Wolf. δεῖν manuscrits. — 7. ἐπεὶ μὴ S.

1. **Μήτε τῶν πρότερον** : cela serait la conséquence de l'assertion que les soldats de Cimon en étaient indignes. — Μήτε τῶν ὕστερον : conséquence à tirer de la motion de Leptine.

2. **Εἰ δὲ μηδένα φήσει**, or s'il déclare que personne n'en a été digne. Ce membre de phrase n'est pas opposé à εἰ μὲν γάρ.... La seconde partie du dilemme ne commence qu'aux mots : Καὶ μὴν εἴ γε.

6-8. **Κακουργῶν**, en se servant de chicanes, de roueries oratoires. F. A. Wolf rapproche, entre autres passages, Platon, *Rép.*, I, p. 341 B : Πρὸς ταῦτα κακούργει καὶ συκοφάντει. En y regardant de plus près, on trouve, ce me semble, que c'est Démosthène lui-même qui a recours à des raisonnements captieux. Son dilemme repose sur la supposition que les vainqueurs d'Éion n'ont pas été récompensés; mais Leptine disait sans doute que, dans les beaux temps de la république, une inscription commémorative était regardée comme le plus grand honneur et la plus belle récompense. — Μὴ προσήκοντα πράγματα, des choses étrangères au sujet, et qui ne doivent pas y être mêlées. — Δυσχερεῖς. Le scholiaste explique bien ce mot : δυσφήμους καὶ κακούς. En effet, il est odieux d'accuser Athènes d'ingratitude. Les autres interprétations qu'on a données de cet adjectif sont erronées.

12. **Ἦν ἐπὶ τοῖς.... ἔθεσι**, « pendebant « e moribus. » [G. H. Schæfer.]

14. **Οὐκ ἔστιν ὅτου.... οὐ τυχεῖν, ὧν....** équivaut à ἁπάντων τυχεῖν ἅ....

15-16. **Λυσιμάχῳ.... χρησίμων.** A vrai dire, Lysimaque reçut cette largesse, non pour son propre mérite, mais par égard pour la mémoire d'Aristide, son père (scholiaste; Platon, *Ménon*, p. 94 A; *Lachès*, p. 179 C). Mais l'orateur n'avait que faire de mentionner cela ici. Cf. Plutarque, *Aristide*, 27.

17. **Ψιλῆς**, terre dégarnie d'arbres et

γραμματεῖ παραδοῦναι, τοῦτον δ' ἐν ταῖς ἐκκλησίαις ἀναγιγνώσκειν, ἵν' ἕκαστος ὑμῶν ἀκούσας πολλάκις καὶ κατὰ σχολὴν σκεψάμενος, ἂν ᾖ καὶ δίκαια καὶ συμφέροντα, ταῦτα νομοθετῇ. Τούτων τοίνυν τοσούτων ὄντων [δικαίων] τὸ πλῆθος οὑτοσὶ μὲν οὐδ' ὁτιοῦν ἐποίησεν [Λεπτίνης]· οὐδὲ γὰρ ἂν ὑμεῖς ποτ' ἐπείσθητε, ὡς ἐγὼ νομίζω, θέσθαι τὸν νόμον· ἡμεῖς δ', ὦ ἄνδρες Ἀθηναῖοι, πάντα, καὶ παρεισφέρομεν πολλῷ καὶ κρείττω καὶ δικαιότερον τοῦ τούτου νόμον. Γνώσεσθε δ' ἀκούοντες. [95] Λαβὲ καὶ λέγε πρῶτον μὲν ἃ τοῦ τούτου νόμου γεγράμμεθα, εἶθ' ἅ 481 φαμεν δεῖν ἀντὶ τούτων τεθῆναι. Λέγε.

ΝΟΜΟΣ.

Ταῦτα μέν ἐστιν ἃ τοῦ τούτου νόμου διώκομεν ὡς οὐκ ἐπιτήδεια. Τὰ δ' ἑξῆς λέγε, ἃ τούτων εἶναι βελτίω φαμέν. Προσέχετ', ἄνδρες δικασταί, τούτοις ἀναγιγνωσκομένοις τὸν νοῦν. Λέγε.

ΝΟΜΟΣ.

[96] Ἐπίσχες. Τοῦτο μέν ἐστιν ἐν τοῖς οὖσι νόμοις κυρίοις

NC. 1. ἐν τρισὶν ἐκκ. Dobree. — 4-5. [δικαίων] et [Λεπτίνης] Cobet.— 7. πολλῷ κρείττω vulg. — 8. τοῦ τούτου Reiske et L. τούτου του (ce dernier mot pointé) S. τούτου vulg.— ἀκουόντες S et L. ἀκούσαντες vulg. — 9. τοῦ τούτου Dindorf. τούτου τοῦ vulg. — 10. τεθεῖναι S. — 11. Νόμος. Reiske demandait Γραφή. F. A. Wolf : Κατηγορήματα νόμου. Voy. la note explicative.— 12. τοῦ τούτου A et Reiske. τούτου τοῦ S, L, vulg.— 13. ἐφεξῆς, anc. vulg. — 14. ἄνδρες S. ὦ ἄνδρες L et vulg. — 16. Νόμος ἀντεισφερόμενος F. A. Wolf, ici et à la fin du paragraphe 97.

1. Τῷ γραμματεῖ. C'est celui que Thucydide (VII, 10) appelle ὁ γραμματεὺς ὁ τῆς πόλεως. Cf. Bœckh, *Staatshaushaltung*, t. I, p. 259. — Ἐν ταῖς ἐκκλησίαις. Il faut entendre la deuxième et la troisième assemblée de l'année. Dans la première, le peuple se prononçait sur la question générale de savoir s'il convenait de modifier les anciennes lois. Ensuite les projets de lois nouvelles étaient exposés. Dans la troisième assemblée, on votait sur la désignation des nomothètes. Voy. *Timocrate*, § 25.

7. Πάντα : c'est-à-dire πάντα τὰ δίκαια ἐποιήσαμεν.

9. Γεγράμμεθα équivaut à διώκομεν. Cf. γράφεσθαι, § 89.

11. Νόμος. L'acte désigné sous ce titre avait un double préambule. Démosthène et ses amis signalaient d'abord les vices de la loi de Leptine : voilà ce que le greffier lit en cet endroit. Ils motivaient ensuite leur contre-proposition : lecture est donnée de ces motifs à la fin de ce paragraphe. Enfin, après avoir fait lire incidemment, au paragraphe 96, une loi ancienne, l'orateur fait connaître, au paragraphe 97, la formule même de la loi destinée à remplacer celle de Leptine. [G. H. Schæfer et Westermann.]

17. Ἐστιν.... οὖσι.... κυρίοις ὑπάρχον. La contre-proposition est conforme aux lois établies, qui existent, à de belles

ποιῆσαι, καίτοι τοῦτό γ' αἰσχρὸν ὁμοίως· εἰ δὲ μηδ' ἂν εἷς ἐν ἅπαντι τῷ χρόνῳ τοῦτ' ἔχοι δεῖξαι γεγονός, τίνος εἵνεκ' ἐφ' ἡμῶν πρῶτον καταδειχθῇ τοιοῦτον ἔργον;

[118] Χρὴ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, κἀκεῖν' ἐνθυμεῖσθαι καὶ ὁρᾶν, ὅτι νῦν ὀμωμοκότες κατὰ τοὺς νόμους δικάσειν ἥκετε, οὐχὶ τοὺς Λακεδαιμονίων οὐδὲ Θηβαίων, οὐδ' οἷς ποτ' ἐχρήσανθ' οἱ πρῶτοι τῶν προγόνων, ἀλλὰ καθ' οὓς ἔλαβον τὰς ἀτελείας οὓς ἀφαιρεῖται νῦν οὗτος τῷ νόμῳ, καὶ περὶ ὧν ἂν 493 νόμοι μὴ ὦσι, γνώμῃ τῇ δικαιοτάτῃ κρινεῖν. Καλῶς. Τὸ τοίνυν τῆς γνώμης πρὸς ἅπαντ' ἀνενέγκατε τὸν νόμον. [119] Ἆρ' οὖν δίκαιον, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς εὐεργέτας τιμᾶν; Δίκαιον. Τί δ', ὅσ' ἂν δῷ τις ἅπαξ, δίκαιον ἔχειν ἐᾶν; Δίκαιον. Ταῦτα τοίνυν αὐτοί τε ποιεῖτε, ἵν' εὐορκῆτε, καὶ τοὺς προγόνους ὀργίζεσθ' ἂν μή τις φῇ ποιεῖν, καὶ τοὺς τὰ τοιαῦτα λέγοντας παραδείγματα, ὡς ἄρ' ἐκεῖνοι μεγάλ' εὖ παθόντες οὐδὲν' ἐτίμησαν, καὶ πονηροὺς καὶ ἀπαιδεύτους ἡγεῖσθ' εἶναι, πονηροὺς μὲν διότι καταψεύδονται τῶν προγόνων ὑμῶν ὡς ἀχαρίστων, ἀμαθεῖς δὲ διότι ἐκεῖν' ἀγνοοῦσιν, ὅτι, εἰ τὰ μάλιστα ταῦθ' οὕτως εἶχεν, ἀρνεῖσθαι μᾶλλον ἢ λέγειν αὐτοῖς προσῆκεν.

[120] Οἴομαι τοίνυν καὶ τοῦτον τὸν λόγον Λεπτίνην ἐρεῖν, ὡς τὰς εἰκόνας καὶ τὴν σίτησιν οὐκ ἀφαιρεῖται τῶν εἰληφότων δ

NC. 1. καίτοι τοῦτό γε H. Wolf. καὶ τοιοῦτό γ' S. καὶ τοιοῦτον marge de L. καίτοι τό γ' L et vulg. καίτοι γ' Dobree. — μηδ' ἂν εἷς S et L. μηδεὶς (et, en partie, ἔχει) vulg. — 3. καταδειχθῇ S et L. καταδειχθείη vulgate (vicieuse). — 6. οὐδέ. Variante : οὐδὲ τούς. — 7. Dobree : οἱ πρὸ τοῦ, sans τῶν προγόνων. — 10-11. Variante : ἆρ' οὐ.

ne fait point partie de la phrase incidente ὧν ἔδοσάν τῳ, mais dépend nécessairement de ἀφῃρημένους, soit immédiatement suivi du démonstratif τοῦτο, qui en reprend l'idée (cf. *NC.*). Cependant la même construction revient au paragraphe 120. On a aussi rapproché, § 136 : Μηδὲν ὧν..., τοῦτο. [Dobree.]

1. Ὁμοίως, tout de même..., non moins.

3. Καταδειχθῇ, doit-il être montré, donné en exemple?

6. Οὐχὶ τοὺς.... Θηβαίων. Cf. § 105 sqq. On voit que les paragraphes 118-119 servent de péroraison aux deux morceaux, §§ 105-111 et 112-117.

7. Οἱ πρῶτοι τῶν προγόνων. Ces mots n'offrent pas de sens satisfaisant.

8. Τῷ νόμῳ, par sa loi (la loi de Leptine).

9. Κρινεῖν est, comme δικάσειν, gouverné par ὀμωμοκότες.

9-10. Τὸ τοίνυν.... τὸν νόμον, appliquez donc votre conscience (vos idées de justice) à la loi (de Leptine) tout entière.

14-15. Λέγοντας παραδείγματα, ὡς..., qui citent des exemples pour prouver que....

18. Ἀμαθεῖς (synonymes de ἀπαιδεύτους), mal appris, grossiers et sans éducation.

21. Τὴν σίτησιν : sous-ent. τὴν ἐν πρυτανείῳ.

ΝΟΜΟΣ.

487

[98] Ἀκούετ', ὦ ἄνδρες Ἀθηναῖοι, καὶ καταμανθάνετε, ὅτι ἐνταῦθ' ἔνι καὶ τοὺς ἀξίους ἔχειν τὰ δοθέντα καὶ τοὺς μὴ τοιούτους κριθέντας, ἂν ἀδίκως τι λάβωσιν, ἀφαιρεθῆναι, καὶ τὸ λοιπὸν ἐφ' ὑμῖν εἶναι πάνθ', ὥσπερ ἐστὶ δίκαιον, καὶ δοῦναι καὶ μή. Ὡς μὲν τοίνυν οὐχὶ καλῶς οὗτος ἔχει καὶ δικαίως ὁ νόμος, οὔτ' ἐρεῖν οἴομαι Λεπτίνην οὔτ', ἐὰν λέγῃ, δεῖξαι δυνήσεσθαι· ἃ δὲ πρὸς τοῖς θεσμοθέταις ἔλεγεν, ταῦτ' ἴσως λέγων παράγειν ὑμᾶς ζητήσει. Ἔφη γὰρ ἐξαπάτης εἵνεκα παραγεγράφθαι τοῦτον τὸν νόμον, ἐὰν δ' ὃν αὐτὸς ἔθηκεν λυθῇ, τοῦτον οὐ τεθήσεσθαι. [99] Ἐγὼ δ', ὅτι μὲν τῇ ὑμετέρᾳ ψήφῳ τοῦ τούτου νόμου λυθέντος τὸν παρεισενεχθέντα κύριον εἶναι σαφῶς ὁ παλαιὸς κελεύει νόμος, καθ' ὃν οἱ θεσμοθέται τοῦτον ὑμῖν παρέγραψαν, ἐάσω, ἵνα μὴ περὶ τούτου τις ἀντιλέγῃ μοι, ἀλλ' ἐπ' ἐκεῖν' εἶμι. Ὅταν ταῦτα λέγῃ δήπου, ὁμολογεῖ μὲν εἶναι βελτίω καὶ δικαιότερον τόνδε τὸν νόμον οὗ τέθεικεν αὐτός, ὑπὲρ δὲ τοῦ πῶς τεθήσεται ποιεῖται τὸν λόγον. [100] Πρῶτον μὲν

NC. 3. Herwerden écarte les mots ἂν (ἐὰν mss) ἀδίκως τι λάβωσιν.— 7. οὔτε, ἂν S seul. — 11-12. τοῦ τούτου Westermann. τούτου τοῦ manuscrits. Cf. §§ 94 et 95.— 13. ὑμῖν L. ἡμῖν S. Cette dernière leçon (« à notre demande ») ne convient pas après ὁ παλαιὸς κελεύει νόμος.

2-3. Ἐνταῦθ' ἔνι, il y a dans cette loi. Ἔνι n'a pas ici le sens de *licet*. Cf. §§ 96 et 131. [G. H. Schæfer.] — Les mots ἂν ἀδίκως τι λάβωσιν remettent en question ce qui est affirmé par τοὺς μὴ τοιούτους. Je voudrais insérer δοκοῦντας (omis avant κριθέντας).

8. Πρὸς τοῖς θεσμοθέταις, devant les thesmothètes. Cf. *Mid.*, § 18 : Πρὸς τοῖς κριταῖς. Avant d'être plaidés devant les juges, tous les procès étaient instruits devant les mêmes magistrats qui avaient à présider le tribunal. Dans le cas présent, l'instruction (ἀνάκρισις) ainsi que la présidence regardait les thesmothètes.

9-10. Παραγεγράφθαι équivaut ici à παρενηνέχθαι. Cf. §§ 88 et 99. Le verbe παραγράφειν, qui s'applique ici au projet de loi opposé à celui de Leptine, s'emploie aussi par rapport aux anciennes lois invoquées par l'auteur d'une γραφὴ παρανόμων : cf. *Couronne*, § 111. C'est que ces deux espèces de documents étaient, par les soins des magistrats présidents (cf. l. 13), publiquement exposées en regard de la loi incriminée.

14. Ἵνα μὴ.... ἀντιλέγῃ μοι. Si cette affaire avait été débattue devant une assemblée de nomothètes, le rejet de la motion de Leptine eût, suivant la loi ancienne alléguée par Démosthène, impliqué l'acceptation de la contre-proposition d'Aphepsion. Mais, par le fait, ce procès παρανόμων se plaide devant un jury ordinaire, et la contre-proposition a besoin, pour avoir force de loi, d'être sanctionnée par des nomothètes. Cf. § 137. [Westermann, Schœmann.]

15-17. Ὁμολογεῖ. Leptine se sera sans doute inscrit en faux contre cette assertion. — Ὑπὲρ δὲ τοῦ πῶς τεθήσεται; mais sur la question de savoir comment on pourra

τοίνυν εἰσὶν αὐτῷ κατὰ τοῦ παρεισφέροντος πολλοὶ τρόποι, δι' ὧν, ἂν βούληται, θεῖναι τὸν νόμον αὐτὸν ἀναγκάσει· ἔπειτ' ἐγγυώμεθ' ἡμεῖς, ἐγὼ, Φορμίων, ἄλλον εἴ τινα βούλεται, θήσειν τὸν νόμον. Ἔστι δὲ δήπου νόμος ὑμῖν, ἐάν τις ὑποσχόμενός τι τὸν δῆμον ἢ βουλὴν ἢ δικαστήριον ἐξαπατήσῃ, τὰ ἔσχατα πάσχειν. Ἐγγυώμεθα, ὑπισχνούμεθα· οἱ θεσμοθέται ταῦτα γραφόντων, ἐπὶ τούτοις τὸ πρᾶγμα γιγνέσθω. [101] Μήθ' ὑμεῖς ποιήσητε μηδὲν ἀνάξιον ὑμῶν αὐτῶν, μήτ', εἴ τις φαῦ-
438 λός ἐστι τῶν εὑρημένων τὴν δωρεὰν, ἐχέτω, ἀλλ' ἰδίᾳ κατὰ τόνδε κριθήτω τὸν νόμον. Εἰ δὲ ταῦτα λόγους καὶ φλυαρίας εἶναι φήσει, ἐκεῖνό γ' οὐ λόγος· αὐτὸς θέτω, καὶ μὴ λεγέτω τοῦτο, ὡς οὐ θήσομεν ἡμεῖς. Κάλλιον δὲ δήπου τὸν ὑφ' ὑμῶν κριθέντα καλῶς ἔχειν νόμον εἰσφέρειν ἢ ὃν νῦν ἀφ' αὑτοῦ τίθησιν.

[102] Ἐμοὶ δ', ὦ ἄνδρες Ἀθηναῖοι, δοκεῖ Λεπτίνης (καί μο μηδὲν ὀργισθῇς· οὐδὲν γὰρ φλαῦρον ἐρῶ σε) ἢ οὐκ ἀνεγνωκέναι τοὺς Σόλωνος νόμους ἢ οὐ συνιέναι. Εἰ γὰρ ὁ μὲν Σόλων ἔθηκε νόμον ἐξεῖναι δοῦναι τὰ ἑαυτοῦ ᾧ ἄν τις βούληται, ἐὰν μὴ

NC. 2. ἂν μὴ βούληται ancienne vulgate. — 13. ἐφ' ἑαυτοῦ ancienne vulgate. — 14-15. μοι πρὸς Διός L et vulg. — 16. ἔθηκεν S. — 17. ᾧ. Ancienne vulgate : ὅτῳ.

obtenir que la contre-proposition soit en effet convertie en loi.

3. Ἄλλον εἴ τινα βούλεται équivaut à ἄλλος, εἴ τινα βούλεται ἄλλον.

5. Ἢ βουλήν, soit le sénat annuel des Cinq-cents, soit l'Aréopage, ἡ ἐν Ἀρείῳ πάγῳ βουλή.

6-7. Οἱ θεσμοθέται.... γιγνέσθω, que les thesmothètes qui président l'audience prennent note de cette promesse et que l'affaire soit remise entre leurs mains. Τούτοις est au masculin, non au neutre : Westermann le fait observer avec raison.

7-8. Μήθ' ὑμεῖς.... Cf. § 88 : Καὶ ὅπως ὑμεῖς μηδὲν αἰσχρὸν κτλ.

9. Ἰδίᾳ, par un jugement particulier, non par une mesure générale, qui frappe les dignes avec les indignes.

11. Αὐτὸς θέτω. Puisque vous vous intéressez tant, dit Démosthène, au sort de notre motion, portez-la vous-même. C'est se moquer de Leptine.

12-13. Τόν ὑφ' ὑμῶν κριθέντα. L'orateur déclare hardiment que les Athéniens jugent sa loi supérieure à celle de Leptine. C'est ainsi que, au § 99, il a soutenu que Leptine lui-même accorde cette supériorité. — Ἀφ' αὑτοῦ, de sa propre autorité, en suivant ses propres vues. Il faut dire, cependant, que la loi de Leptine avait été votée par le peuple. Mais l'assertion hasardée qui précède amène une antithèse contraire à la vérité; et l'auditeur, entraîné par la logique apparente d'un discours qui se suit si bien, ne s'aperçoit pas du chemin qu'on lui fait faire. Stiévenart était si dérouté par cette rouerie oratoire, qu'il supposait je ne sais quelle nouvelle proposition de Leptine, ou bien une altération du texte.

17-1. Ἐξεῖναι δοῦναι.... Solon donna aux individus le droit de tester, de disposer de leur fortune (τὰ χρήματα κτήματα τῶν ἐχόντων ἐποίησεν, dit Plutarque, *Solon*, 21) ; autrefois cette fortune avait appartenu à la famille et ne pouvait en sortir. — Ἐὰν.... γνήσιοι. Isée (*Hérit. de Pyrrhos*, § 68) rapporte les dispositions de

παῖδες ὦσι γνήσιοι, οὐχ ἵν' ἀποστερήσῃ τοὺς ἐγγυτάτω γένει τῆς ἀγχιστείας, ἀλλ' ἵν' εἰς τὸ μέσον καταθεὶς τὴν ὠφέλειαν ἐφάμιλλον ποιήσῃ τὸ ποιεῖν ἀλλήλους εὖ, [103] σὺ δὲ τοὐναντίον εἰσενήνοχας μὴ ἐξεῖναι τῷ δήμῳ τῶν ἑαυτοῦ δοῦναι μηδενὶ μηδέν, πῶς σέ τις φήσει τοὺς Σόλωνος ἀνεγνωκέναι νόμους ἢ συνιέναι; ὃς ἔρημον ποιεῖς τὸν δῆμον τῶν φιλοτιμησομένων, προλέγων καὶ δεικνὺς ὅτι τοῖς ἀγαθόν τι ποιοῦσιν οὐδ' ὁτιοῦν ἔσται πλέον. [104] Καὶ μὴν κἀκεῖνος τῶν καλῶς δοκούντων ἔχειν νόμων Σόλωνός ἐστι, μὴ λέγειν κακῶς τὸν τεθνεῶτα, μηδ' ἂν ὑπὸ τῶν ἐκείνου τις ἀκούῃ παίδων αὐτός· σὺ δὲ ποιεῖς, οὐ λέγεις κακῶς τοὺς τετελευτηκότας τῶν εὐεργετῶν, τῷ δεῖνι μεμφόμενος καὶ τὸν δεῖν' ἀνάξιον εἶναι φάσκων, ὧν <οὐδεὶς> οὐδὲν ἐκείνοις προσήκει. Ἆρ' οὐ πολὺ τοῦ Σόλωνος ἀποστατεῖς τῇ γνώμῃ;

[105] Πάνυ τοίνυν σπουδῇ τις ἀπήγγελλέ μοι περὶ τοῦ μη-

NC. 1. ὦσιν S. — Ancienne vulgate : ἐγγύτατα τῷ γένει. — 10. τεθνῶτα S. — 11. τοὺς εὖ τετελευτηκότας S seul. Les éditeurs qui adoptent cette leçon, en mettant, comme de raison, la virgule après ces mots, gâtent le texte. L'interpolation vient peut-être d'une glose : τοὺς εὐεργέτας τετελευτηκότας. — 13. L'insertion de οὐδεὶς et la substitution de προσήκει à προσῆκεν sont dus à Dobree. Dans la leçon des manuscrits, ὧν ne peut être qu'un neutre, et c'est ainsi qu'on l'entendait généralement. G. H. Schæfer avait compris le sens que demandent l'antithèse et la suite du raisonnement. Mais il a, ainsi que les derniers éditeurs, fait violence aux mots en voulant que ὧν οὐδὲν αὐτοῖς προσῆκεν signifiât « gens qui n'ont rien de commun avec eux ». Dans cette locution, le génitif est toujours celui d'une chose. La correction de Dobree est donc nécessaire. — 15. ἀπήγγειλε L et peut-être S de première main. L'imparfait se retrouve dans les passages parallèles : *Mid.*, § 36 ; *Conon*, § 38.

la loi plus complétement : Ὁ γὰρ νόμος διαρρήδην λέγει ἐξεῖναι διαθέσθαι ὅπως ἂν ἐθέλῃ τις τὰ αὑτοῦ, ἐὰν μὴ παῖδας γνησίους καταλίπῃ ἄρρενας· ἂν δὲ θηλείας καταλίπῃ, σὺν ταύταις.

2. Τῆς ἀγχιστείας, de l'agnation, du droit de succéder.

6-7. Τῶν φιλοτιμησομένων, de ceux qui auront l'ambition de le servir.

8. Οὐδ' ὁτιοῦν ἔσται πλέον. Exagération oratoire. Il restait au peuple d'autres moyens d'honorer ses bienfaiteurs : cf. § 120 sqq.

10. Ἀκούῃ : sous-ent. κακῶς.

13. Ὧν.... προσήκει, aucun desquels n'a aucun lien de parenté avec ceux-là. Voici le raisonnement de l'orateur : Solon a défendu d'outrager un mort en paroles, quand même on serait outragé par ses enfants. Tu outrages, non en paroles, mais en fait, non les premiers venus, mais les bienfaiteurs d'Athènes qui ne sont plus, en alléguant l'indignité, non de leurs enfants, mais de je ne sais quelles gens qui ne leur sont rien.

15. Ici l'orateur commence à réfuter d'avance certains arguments dont il prétend que Leptine compte se servir. Démosthène pourrait bien en avoir imaginé quelques-uns, afin d'avoir l'occasion d'accabler son adversaire. Quant au premier, après l'éloquente réfutation qu'on va lire, il semble difficile que Leptine en ait fait usage, si tant est qu'il en ait eu jamais l'intention. — Πάνυ σπουδῇ, très-sérieusement. Ces

ΑΝΤΙΓΡΑΦΑ ΣΤΗΛΗΣ.

[128] Ἀκούετε τῶν ἀντιγράφων τῆς στήλης, ὦ ἄνδρες Ἀθηναῖοι, ἀτελεῖς αὐτοὺς εἶναι κελευόντων πλὴν ἱερῶν. Λέγε δὴ τὴν ἀρχὴν τοῦ νόμου τοῦ Λεπτίνου.

496

ΝΟΜΟΣ.

Καλῶς· κατάθες. Γράψας, « ὅπως ἂν οἱ πλουσιώτατοι λητουργῶσι, μηδένα εἶναι ἀτελῆ » προσέγραψε « πλὴν τῶν ἀφ' Ἁρμοδίου καὶ Ἀριστογείτονος ». Τίνος εἵνεχ', εἴ γε τὸ τῶν ἱερῶν τέλος ἐστὶ λητουργεῖν; Αὐτὸς γὰρ οὑτωσὶ τἀναντία τῇ στήλῃ γεγραφὼς, ἂν τοῦτο λέγῃ, φανήσεται. [129] Ἡδέως δ' ἂν ἔγωγ' ἐροίμην Λεπτίνην, τίνος αὐτοῖς τὴν ἀτέλειαν ἢ σὺ νῦν καταλείπειν φήσεις ἢ ἐκείνους τότε δοῦναι, τὰς λητουργίας ὅταν εἶναι φῇς ἱερῶν. Τῶν μὲν γὰρ εἰς τὸν πόλεμον πασῶν εἰσφορῶν καὶ τριηραρχιῶν ἐκ τῶν παλαιῶν νόμων οὐκ εἰσὶν ἀτελεῖς· τῶν δὲ λητουργιῶν, εἴπερ εἰσὶν ἱερῶν, οὐδ' ἀρχήν. [130] Ἀλλὰ μὴν γέγραπταί γ' ἀτελεῖς αὐτοὺς εἶναι. Τίνος; ἢ τοῦ μετοικίου; τοῦτο γὰρ λοιπόν. Οὐ δήπου, ἀλλὰ τῶν ἐγκυκλίων λητουργιῶν, ὡς ἥ τε στήλη δηλοῖ καὶ σὺ προσδιώρισας ἐν τῷ νόμῳ καὶ μαρτυρεῖ πᾶς ὁ πρὸ τοῦ χρόνος γεγονὼς, ἐν ᾧ τοσούτῳ τὸ πλῆθος ὄντι οὔτε φυλὴ πώποτ' ἐνεγκεῖν ἐτόλμησεν

NC. 7. προσέγραψεν ἀτελῆ S et L.— 10. Ancienne vulgate : ταῦτα λέγῃ. — 12. Vulg. : καταλιπεῖν. — 15. Ancienne vulgate : τῶν δέ γε.— J'écris οὐδ' ἀρχήν. Filiation probable des fautes : ΑΡΧΗΝ, ΑΙΧΗΝ, εχιν, d'où, par correction, ἔχουσιν. οὐδ' ἔχουσιν mss. οὐδὲ τούτων ἔχουσιν Sauppe. οὐδ' εἰπεῖν ἔχουσιν Hirschig.

8-9. Εἴ γε... λητουργεῖν, si payer pour le culte c'est faire une liturgie.

13-14. Τῶν μὲν γάρ... οὐκ εἰσὶν ἀτελεῖς. Cf. § 18.

15. Εἴπερ εἰσὶν ἱερῶν, si elles se rapportent aux choses sacrées. — Οὐδ' ἀρχήν, sous-ent. ἀτελεῖς εἰσιν. Ils n'ont pas même reçu cette immunité dans l'origine, puisque le décret porte πλὴν ἱερῶν.

16. Ἢ τοῦ μετοικίου; serait-ce du tribut imposé aux étrangers domiciliés? L'orateur se moque. Quant à ἤ, voy. Krüger, *Griech. Sprachl.*, § 69, 29, 2.

18. Σὺ προσδιώρισας. L'orateur fait allusion, suivant nous, aux mots de la loi de Leptine cités au paragraphe 128 : Ὅπως ἂν οἱ πλουσιώτατοι λητουργῶσιν, mots qui ne peuvent se rapporter qu'aux liturgies ordinaires; car les extraordinaires sont hors de cause, à ce qu'on vient de voir au paragraphe 129. Cette explication nous paraît plus simple que celles qui ont été essayées par A. Schæfer et par Sauppe.

20-2. Τὸ πλῆθος. On dit en grec χρόνου πλῆθος (cf. Thucydide, I, 1; Platon, *Théét.*, p. 158 D) aussi bien que χρόνος

δίειμι. Ἐπειδάν τις εἰς τὴν καλουμένην γερουσίαν ἐγκριθῇ παρασχὼν αὑτὸν οἷον χρή, δεσπότης ἐστὶ τῶν πολλῶν. Ἐκεῖ μὲν γάρ ἐστι τῆς ἀρετῆς ἆθλον τῆς πολιτείας κυρίῳ γενέσθαι μετὰ τῶν ὁμοίων, παρὰ δ' ἡμῖν ταύτης μὲν ὁ δῆμος κύριος, καὶ ἀραὶ καὶ νόμοι καὶ φυλακαὶ ὅπως μηδεὶς ἄλλος κύριος γενήσεται, στέφανοι δὲ καὶ ἀτέλειαι καὶ σιτήσεις καὶ τοιαῦτ' ἐστὶν, ὧν ἄν τις ἀνὴρ ἀγαθὸς ὢν τύχοι. [108] Καὶ ταῦτ' ἀμφότερ' ὀρθῶς ἔχει, καὶ τἀκεῖ καὶ τὰ παρ' ἡμῖν. Διὰ τί; ὅτι τὰς μὲν διὰ τῶν ὀλίγων πολιτείας τὸ πάντας ἔχειν ἴσον ἀλλήλοις τοὺς τῶν κοινῶν κυρίους ὁμονοεῖν ποιεῖ, τὴν δὲ τῶν δήμων 490

NC. 4. ἡμῖν. Var. : ὑμῖν. — 5. Variante vicieuse : ἀρχαί. — 6. Mauvaise variante : στέφανοί τε. — 8-9. τὰς μὲν τῶν διὰ τῶν S.

1-2. Γερουσίαν. A Sparte, les vingt-huit sénateurs (γέροντες) jugeaient en matière criminelle et avaient la haute main sur tout l'État. Élus à vie parmi les citoyens les plus notables âgés de plus de soixante ans, et n'ayant à rendre aucun compte (ἀνεύθυνοι), si ce n'est qu'ils étaient, comme tout le monde, soumis au pouvoir arbitraire des éphores (Aristote, *Polit.*, II, 9, p. 1271), ils formaient l'élément oligarchique de la constitution de Sparte (*ib.*, II, 6, p. 1265). Aussi Démosthène appelle-t-il le sénateur lacédémonien maître (δεσπότης) du peuple : mot malsonnant aux oreilles athéniennes (ἀντὶ τοῦ ἄρχων δεσπότης εἶπεν, ἐξ οὗ ἐμφαίνει δουλείαν. Schol.).

3-4. Τῆς ἀρετῆς ἆθλον. Cf. Xénophon, *Const. de Sparte*, X, 3 : Ὁ δὲ περὶ γεροντίας ἀγὼν ψυχῶν ἀγαθῶν κρίσιν παρέχει. On rapproche Aristote, *Polit.*, II, 9, p. 1270, lequel dit, comme Démosthène : Ἆθλον γὰρ ἡ ἀρχὴ αὕτη τῆς ἀρετῆς ἐστιν; et Plutarque, *Lycurgue*, 26 : Ἐν ἀγαθοῖς καὶ σώφροσιν ἄριστον καὶ σωφρονέστατον ἔδει κριθέντα νικητήριον ἔχειν τῆς ἀρετῆς διὰ βίου τὸ σύμπαν, ὡς εἰπεῖν, κράτος ἐν τῇ πολιτείᾳ, κύριον ὄντα καὶ θανάτου καὶ ἀτιμίας καὶ ὅλως τῶν μεγίστων. — Μετὰ τῶν ὁμοίων, avec ses pairs. On ne peut guère entendre ici que les autres γέροντες. Il est vrai qu'à Lacédémone le terme ὅμοιοι désignait tous les Spartiates jouissant de la totalité des droits politiques.

5. Ἀραί. Reiske a vu qu'il s'agissait des imprécations prononcées par le héraut dans chaque assemblée populaire, ainsi que dans le sénat, et auxquelles font allusion Démosthène, *Ambass.*, § 70; *Couronne*, §§ 130 et 282; *Aristocr.*, § 97; Dinarque, *Aristog.*, § 16; Aristophane, *Thesmoph.*, 331 sqq. Relevons dans la parodie du poëte comique : Εἴ τις ἐπιβουλεύει τι τῷ δήμῳ κακόν.... ἢ τυραννεῖν ἐπινοεῖ. — Καὶ φυλακαί, et (d'autres) sauvegardes. Reiske entendait les magistrats chargés de veiller au maintien de la liberté publique. Sans adopter cette interprétation trop étroite, on comprend que Markland et F. A. Wolf avaient tort de supprimer καὶ avant φυλακαί, au détriment de la symétrie des deux membres de phrases opposés.

6. Σιτήσεις.... Dans le Prytanée.

7-8. Καὶ ταῦτ' ἀμφότερ' ὀρθῶς ἔχει. Démosthène a pu trouver dans le pamphlet attribué à Xénophon, *Sur la constitution d'Athènes*, l'idée que les institutions d'un État ne doivent pas être jugées en elles-mêmes, mais par rapport à la forme générale du gouvernement. On y lit, III, 1 : Καὶ περὶ τῆς Ἀθηναίων πολιτείας τὸν μὲν τρόπον οὐκ ἐπαινῶ· ἐπειδήπερ δ' ἔδοξεν αὐτοῖς δημοκρατεῖσθαι, εὖ μοι δοκοῦσι διασῴζεσθαι τὴν δημοκρατίαν τούτῳ τῷ τρόπῳ χρώμενοι ᾧ ἐγὼ ἐπέδειξα. En substituant Λακεδαιμονίων à Ἀθηναίων, ὀλιγαρχεῖσθαι et ὀλιγαρχίαν à δημοκρατεῖσθαι et δημοκρατίαν, on aura la pensée de Démosthène.

8-10. Τὰς μὲν... ποιεῖ. Construisez : τὸ πάντας τοὺς τῶν κοινῶν κυρίους ἔχειν ἴσον ἀλλήλοις ποιεῖ ὁμονοεῖν τὰς διὰ τῶν ὀλίγων πολιτείας. [F. A. Wolf.] Montes-

Χαβρίας φανείη, εἰ μὴ μόνον ἐξαρκέσει τοῖς τὰ τοιαῦτα πολιτευομένοις τὸν ἐκείνου δοῦλον Λυκίδαν πρόξενον ὑμέτερον πεποιηκέναι, ἀλλ' εἰ καὶ διὰ τοῦτον πάλιν τῶν ἐκείνῳ τι δοθέντων ἀφέλοιντο, καὶ ταῦτ' αἰτίαν λέγοντες ψευδῆ; Οὐ γάρ ἐστιν οὔθ' οὗτος οὔτ' ἄλλος οὐδεὶς πρόξενος ὢν ἀτελής, ὅτῳ μὴ διαρρήδην ἀτέλειαν ἔδωκεν ὁ δῆμος. Τούτοις δ' οὐκ ἔδωκεν, οὐδ' ἕξουσιν οὗτοι δεικνύναι, λόγῳ δ' ἂν ἀναισχυντῶσιν, οὐχὶ καλῶς ποιήσουσιν.

[134] Ὃ τοίνυν μάλιστα πάντων οἶμαι δεῖν ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, φυλάξασθαι, τοῦτ' εἰπεῖν ἔτι βούλομαι. Εἰ γάρ τις πάνθ', ὅσα Λεπτίνης ἐρεῖ περὶ τοῦ νόμου διδάσκων ὑμᾶς ὡς καλῶς κεῖται, συγχωρήσειεν ἀληθῆ λέγειν αὐτόν, ἕν γ' αἰσχρὸν οὐδ' ἂν εἴ τι γένοιτ' ἀναιρεθείη, ὃ συμβήσεται διὰ τοῦ νόμου κυρίου γενομένου τῇ πόλει. Τί οὖν τοῦτ' ἔστιν; τὸ
498 δοκεῖν ἐξηπατηκέναι τοὺς ἀγαθόν τι ποιήσαντας. [135] Ὅτι μὲν τοίνυν τοῦθ' ἕν τι τῶν αἰσχρῶν ἐστιν, πάντας ἂν ἡγοῦμαι φῆσαι· ὅσῳ δ' ὑμῖν αἴσχιον τῶν ἄλλων, ἀκούσατέ μου. Ἔστιν ὑμῖν νόμος ἀρχαῖος, τῶν καλῶς δοκούντων ἔχειν, ἄν τις ὑποσχόμενός τι τὸν δῆμον ἐξαπατήσῃ, κρίνειν, κἂν ἁλῷ, θανάτῳ ζημιοῦν. Εἶτ' οὐκ αἰσχύνεσθ', ὦ ἄνδρες Ἀθηναῖοι, εἰ ἐφ' ᾧ τοῖς ἄλλοις θάνατον ζημίαν ἐτάξατε, τοῦτ' αὐτοὶ ποιοῦντες φανήσεσθε; Καὶ μὴν πάντα μὲν εὐλαβεῖσθαι δεῖ ποιεῖν τὰ δοκοῦντα

NC. 1. ἐξαρκέσειε F. — 6. δ' οὐδ' ἔδωκεν S et L. — 7. ἄν, avant ἀναισχυντῶσιν, a été ajouté dans S par une main ancienne. — 17. τῶν ἄλλων αἴσχιον F. — 18. καλῶς τῶν δοκούντων (sans ἔχειν) S seul : peut-être pour καλῶς ἔχειν δοκούντων. Quoi qu'il en soit, nous n'oserions pas placer, avec quelques éditeurs, καλῶς avant l'article. — 21. τὴν ζημίαν F. — τοῦτο αὐτὸ S[1] : l'iota est ajouté par une main ancienne. — 22. Ancienne vulgate : καὶ τὰ δοκοῦντα.

1-3. Ὁ Χαβρίας. Démosthène revient d'une manière aussi ingénieuse qu'imprévue à son héros. Ce serait une indignité, dit-il, si, non contents d'avoir fait proxène athénien un esclave de Chabrias, ces gens se servaient de cette distinction mal placée, et encore en la dénaturant, pour rogner les honneurs mérités par Chabrias. — Εἰ μὴ μόνον ἐξαρκέσει.... πεποιηκέναι équivaut à εἰ μὴ ἐξαρκέσει.... πεποιηκέναι μόνον.

6. Πρόξενος ὤν, par la raison qu'il est proxène.

13. Οὐδ' ἂν εἴ τι γένοιτ(ο), non, quoiqu'il arrive, c'est-à-dire au grand jamais, d'aucune façon. On rapproche *Couronne*, § 168, où se trouve le même idiotisme.

14. Κυρίου γενομένου équivaut à κύριος ἂν γένηται, § 34.

17. Τῶν ἄλλων équivaut à ἢ τοῖς ἄλλοις. Cf. *Olynth.* III, § 32; *Phil.* III, § 40.

18. Νόμος ἀρχαῖος. C'est la même loi dont il a été question au paragraphe 100.

τέρων αὐτῶν ἐθῶν ὀλιγωροῦντες ἐκεῖνα διώκοιτε; Εἰ γὰρ καὶ κατὰ τὸν λογισμὸν ἐκεῖνα φανείη βελτίω, τῆς γε τύχης ἕνεκα, ᾗ παρὰ ταῦτ' ἀγαθῇ κέχρησθε, ἐπὶ τούτων ἄξιον μεῖναι. [111] Εἰ δὲ δεῖ παρὰ πάντα ταῦτ' εἰπεῖν, ὃ δίκαιον ἡγοῦμαι, ἐκεῖν' ἂν ἔγωγ' εἴποιμι. Οὐκ ἔστι δίκαιον, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς Λακεδαιμονίων νόμους οὐδὲ τοὺς Θηβαίων λέγειν ἐπὶ τῷ τοὺς ἐνθάδε λυμαίνεσθαι, οὐδὲ δι' ὧν μὲν ἐκεῖνοι μεγάλοι [τῆς ὀλιγαρχίας καὶ δεσποτείας εἰσὶ], κἂν ἀποκτεῖναι βούλεσθαι τὸν παρ' ἡμῖν τούτων τι κατασκευάσαντα, διὰ δ' ὧν ὁ παρ' ἡμῖν δῆμος εὐδαίμων, ταῦθ' ὡς ἀνελεῖν δεῖ λεγόντων τινῶν ἐθέλειν ἀκούειν.

[112] Ἔστι τοίνυν τις πρόχειρος λόγος, ὡς ἄρα καὶ παρ' 491
ἡμῖν ἐπὶ τῶν προγόνων πόλλ' ἀγάθ' εἰργασμένοι τινὲς οὐδενὸς ἠξιοῦντο τοιούτου, ἀλλ' ἀγαπητῶς ἐπιγράμματος ἐν τοῖς Ἑρμαῖς ἔτυχον· καὶ ἴσως τοῦθ' ὑμῖν ἀναγνώσεται τοὐπίγραμμα. Ἐγὼ δ' ἡγοῦμαι τοῦτον τὸν λόγον, ὦ ἄνδρες Ἀθηναῖοι, κατὰ πόλλ' ἀσύμφορον εἶναι τῇ πόλει λέγεσθαι, πρὸς δὲ καὶ οὐδὲ δίκαιον. [113] Εἰ μὲν γὰρ ἀναξίους εἶναί τις φήσει κἀκείνους τιμᾶσθαι, τίς

NC. 5. ἐκεῖν' ἂν ἔγωγε S et L. ἐκεῖνο ἔγωγ' ἂν vulg. — 7-8. Les mots τῆς ὀλιγαρχίας καὶ δεσποτείας ont été avec raison regardés comme une glose par Lambin et d'autres critiques. Westermann a, de plus, supprimé εἰσί, afin d'éviter l'hiatus. Vœmel s'est vainement efforcé de défendre une leçon évidemment vicieuse. On pourrait écrire : ἐκείνοις μεγάλα τὰ τῆς ὀλιγαρχίας καὶ δεσποτείας ἐστί. — 12. ὡς ἄρα. S[1] : ὥρα. — 15. ἔτυχον. Variante vicieuse : ἐτύγχανον. Il ne s'agit que d'un seul fait : aussi la conjecture de F. A Wolf : τοιοῦθ'.... τὸ ἐπίγραμμα, est-elle aussi inutile que celle de Dobree et de Cobet : ταῦθ'... τἀπιγράμματα. — 17. οὐδὲ S et L. οὐ vulg.

2-3. Τῆς τύχης ἕνεκα. Cf. Lysias, *Contre Nicomaque*, § 18 : Ἄξιον ἡμῖν τὰς αὐτὰς ἐκείνοις (*i. e.* τοῖς προγόνοις) θυσίας ποιεῖσθαι καὶ εἰ μηδὲν δι' ἄλλο, τῆς τύχης ἕνεκα τῆς ἐξ ἐκείνων τῶν ἱερῶν γεγενημένης. [Markland.] — Παρὰ ταῦτ(α), pendant que vous suiviez ces usages.

7-11. Οὐδὲ.... ἀκούειν. Construisez : Οὐδὲ (δίκαιόν ἐστι) βούλεσθαι μὲν κἂν ἀποκτεῖναι τὸν παρ' ἡμῖν κατασκευάσαντά τι τούτων δι' ὧν ἐκεῖνοι μεγάλοι (εἰσί), ἐθέλειν δὲ ἀκούειν τινῶν λεγόντων ὡς δεῖ ἀνελεῖν ταῦτα δι' ὧν ὁ παρ' ἡμῖν δῆμος εὐδαίμων (ἐστίν). Les hyperbates font ressortir l'antithèse.

14-15. Ἐν τοῖς Ἑρμαῖς. On donnait ce nom à un portique d'Athènes dans lequel se trouvaient un grand nombre d'Hermès. Cf. Harpocration, article Ἑρμαῖ. Eschine (*Ctésiph.*, § 183) dit ἐν τῇ στοᾷ τῇ τῶν Ἑρμῶν. — Τοὐπίγραμμα. C'est l'inscription, bien connue alors, en l'honneur des guerriers athéniens qui avaient, sous la conduite de Cimon, vaincu les Perses près du Strymon, dans la Thrace, et conquis le port d'Éion. Cf. Eschine, *l. c.*; Plutarque, *Cimon*, 7 [Reiske.]

γραφῇ διὰ τούτων ταὐτὸ τοῦτο παθεῖν κατ' ἄνδρα κριθέντας. Ἐγὼ μὲν γὰρ οὐχ ὑπολαμβάνω ταῦτα καλῶς ἔχειν οὐδέ γ' ἀξίως ὑμῶν.

[139] [Σκοπῶ δὲ καὶ τοῦτο.] Καὶ μὴν οὐδ' ἐκείνου γ' ἀποστατέον τοῦ λόγου, ὅτι τῆς μὲν ἀξίας, ὅτ' ἐδώκαμεν, ἦν δίκαιον τὴν ἐξέτασιν λαμβάνειν, ὅτε τούτων οὐδεὶς ἀντεῖπεν, μετὰ ταῦτα δ' ἐᾶν, εἴ τι μὴ πεπόνθαθ' ὑπ' αὐτῶν ὕστερον κακόν. Εἰ δ' οὗτοι τοῦτο φήσουσι (δεῖξαι μὲν γὰρ οὐκ ἔχουσιν), δεῖ κεκολασμένους αὐτοὺς παρ' αὐτὰ τἀδικήματα φαίνεσθαι. Εἰ δὲ μηδενὸς ὄντος τοιούτου τὸν νόμον ποιήσετε κύριον, δόξετε φθονήσαντες, οὐχὶ πονηροὺς λαβόντες ἀφῃρῆσθαι. [140] Ἔστι δὲ πάντα μὲν ὡς ἔπος εἰπεῖν ὀνείδη φευκτέον, τοῦτο δὲ πάντων μάλιστ', ὦ ἄνδρες Ἀθηναῖοι. Διὰ τί; Ὅτι παντάπασι φύσεως κακίας σημεῖόν ἐστιν ὁ φθόνος, καὶ οὐκ ἔχει πρόφασιν δι' ἣν ἂν τύχοι συγγνώμης ὁ τοῦτο πεπονθώς. Εἶτα καὶ οὐδ' ἔστιν ὄνειδος ὅτου πορρώτερόν ἐστιν ἡ πόλις ἡμῶν ἢ τοῦ φθονερὰ δοκεῖν εἶναι, ἁπάντων ἀπέχουσα τῶν αἰσχρῶν. [141] Τεκμήρια δ' ἡλίκα τούτου, θεωρήσατε. Πρῶτον μὲν μόνοι τῶν πάντων ἀνθρώπων ἐπὶ τοῖς <ὑπὲρ αὐτῆς> τελευτήσασι δημοσίᾳ ποιεῖτε
500 λόγους ἐπιταφίους, ἐν οἷς κοσμεῖτε τὰ τῶν ἀγαθῶν ἀνδρῶν

NC. 1. κριθέντα S, L, A : leçon vicieuse adoptée par Vœmel.— 4. σκοπῶ δὲ καὶ τοῦτο : glose évidente, écartée par Reiske.— 6. τὴν ἐξέτασιν ἦν δίκαιον F. — 7. πηι (ou πῇ) πεπόνθατε S et L seuls.— 8. οὐχ ἕξουσι vulg.— 9. παρ' αὐτὰ τἀδικήματα L et vulg. παρὰ τἀδικήματα S : omission accidentelle.— 12. ὅσα ἐστὶ τὰ ὀνείδη vulg. — 15. οὐδ' S et L. οὐδὲν vulg.— 16. πορρώτερον S et L seuls, ainsi que *Bekkeri Anecd.*, p. 111. πορρωτέρω vulg.— ἡ πόλις ἡμῶν vulg. ἡμῶν ἡ πόλις S, avec des signes de transposition, et L seuls. — 17. πάντων vulg. — 18. μὲν γὰρ F. —19-20. Après ἐπὶ τοῖς, j'insère ὑπὲρ αὐτῆς (cf. Aristide, cité ci-dessous). Lambin voulait ἐν πολέμῳ. — Après δημοσίᾳ, S, L, Y portent καὶ ταῖς ταφαῖς ταῖς δημοσίαις, mots écartés par Dindorf. δημοσίᾳ ταφὰς (ou τὰς ταφὰς) ποιεῖσθε (ou ποιεῖτε) καὶ λόγους ἐπιταφίους marge ancienne de S, A, F. Des funérailles publiques se faisaient aussi ailleurs; l'éloge public était particulier à Athènes.— 20. κοσμεῖται S seul.

1. Γραφῇ est opposé à νόμῳ, διὰ τούτων (par Leptine et ses amis) à δι' ὑμῶν, κατ' ἄνδρα à ἀθρόους.

4. Καὶ μὴν... L'orateur développe ici des idées déjà émises au paragraphe 56.

8-9. Τοῦτο, c'est-à-dire ὑμᾶς πεπονθέναι ὑπ' αὐτῶν ὕστερον κακόν. — Δεῖ... φαίνεσθαι. Leur culpabilité ne peut être établie que s'il est prouvé qu'ils ont été condamnés judiciairement dans le temps même où ils ont mal agi.

19. Ἐπὶ τοῖς.... Paraphrase d'Aristide,

καὶ τέτταρας τῆς ἡμέρας δραχμάς. Καὶ τούτων ψήφισμ' ἔστιν 492 Ἀλκιβιάδου, ἐν ᾧ ταῦτα γέγραπται. Τότε μὲν γὰρ ἡ πόλις ἡμῶν καὶ γῆς ηὐπόρει καὶ χρημάτων, νῦν δ' εὐπορήσει· δεῖ γὰρ οὕτω λέγειν καὶ μὴ βλασφημεῖν. Καίτοι τίν' οὐκ ἂν οἴεσθε νῦν τὸ τρίτον μέρος τούτων ἀντὶ τῆς ἀτελείας ἑλέσθαι; Ὅτι τοίνυν ἀληθῆ λέγω, λαβέ μοι τὸ ψήφισμα τουτί.

ΨΗΦΙΣΜΑ.

[116] Ὅτι μὲν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τοῖς προγόνοις ὑμῶν ἔθος ἦν τοὺς χρηστοὺς τιμᾶν, δηλοῖ τὸ ψήφισμα τουτί· εἰ δὲ μὴ τοῖς αὐτοῖς οἷσπερ ἡμεῖς νῦν, ἕτερόν τι τοῦτ' ἂν εἴη. Εἰ τοίνυν μήτε Λυσίμαχον μήτ' ἄλλον μηδένα μηδὲν εὑρῆσθαι παρὰ τῶν προγόνων ἡμῶν συγχωρήσαιμεν, τί μᾶλλον, οἷς ἔδομεν νῦν ἡμεῖς, διὰ τοῦτο δικαίως ἂν ἀφαιρεθεῖεν; [117] Οὐ γάρ οἱ μὴ δόντες ἃ μὴ 'δόκει δεινόν εἰσιν οὐδὲν εἰργασμένοι, ἀλλ' οἱ δόντες μέν, πάλιν δ' ὕστερον μηδὲν ἐγκαλοῦντες ἀφαιρούμενοι. Εἰ μὲν γάρ τις ἔχει δεῖξαι κἀκείνους ὧν ἔδοσάν τῴ τι τοῦτ' ἀφῃρημένους, συγχωρῶ καὶ ὑμᾶς ταὐτὸ τοῦτο

NC. 1. Τούτων. Comme ce démonstratif semble faire double emploi avec les mots ἐν ᾧ ταῦτα γέγραπται, Tournier (*Exercices critiques*, p. 99) propose : τούτῳ. Mais l'orateur insiste sur la récompense, non sur la personne récompensée, et je ne sais si la locution τούτῳ ψήφισμ' ἔστιν peut s'appliquer à un homme qui n'est plus. — 5. τοίνυν S. τοίνυν ταῦτ' L et vulg. — 6. τουτί S, L, A. τουτί. λέγε vulg. — 10. ἕτερον τί S, erreur que Bake et Vœmel approuvent. — 14. μὴ 'δόκει est notre rectification, pour μὴ δοκεῖ. — 16. ὡς ἔδοσαν Sauppe. — 17. τοῦτον ἀφῃρημένους Bake et Madvig.

bonne à labourer. Suidas, art. πλέθρον, oppose ἀροσίμη à πεφυτευμένη.

1-2. Καὶ τούτων.... γέγραπται, et, à ce sujet, il existe un décret d'Alcibiade dans lequel ces choses se trouvent consignées. Le génitif objectif τούτων est expliqué par les mots ἐν ᾧ ταῦτα γέγραπται.

3. Νῦν δ' εὐπορήσει. Démosthène évite de dire ἀπορεῖ, mot malsonnant et irrespectueux (βλάσφημον). Pour ne pas dire ce qui est, l'orateur dit ce qui pourra être. L'euphémisme *vixit* dit, au contraire, ce qui a été.

5. Ὅτι équivaut à ἴν' εἰδῆθ' ὅτι : ellipse usuelle.

10-11. Ἕτερόν τι τοῦτ' ἂν εἴη équivaut à ἄλλος ἂν εἴη λόγος, ou bien λόγος ἕτερος οὗτος, « c'est là une autre question, qu'il n'importe de traiter ici ». [F. A. Wolf.]

12-13. Τί μᾶλλον.... ἀφαιρεθεῖεν; comment y aurait-il, pour cela, plus de justice à dépouiller ceux à qui nous avons, nous, à présent donné des récompenses?

15-16. Μηδὲν ἐγκαλοῦντες ἀφαιρούμενοι, retirant sans avoir à se plaindre. Démosthène revient ici sur une pensée déjà exprimée au paragraphe 56.

16-17. Ὧν ἔδοσάν τῴ τι τοῦτ' ἀφῃρημένους, c'est-à-dire τὶ ὧν ἔδοσάν τῳ, τοῦτ' ἀφῃρημένους. On est choqué que τι, qui

ποιῆσαι, καίτοι τοῦτό γ' αἰσχρὸν ὁμοίως· εἰ δὲ μηδ' ἂν εἷς ἐν ἅπαντι τῷ χρόνῳ τοῦτ' ἔχοι δεῖξαι γεγονός, τίνος εἵνεκ' ἐφ' ἡμῶν πρῶτον καταδειχθῇ τοιοῦτον ἔργον;

[118] Χρὴ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, κἀκεῖν' ἐνθυμεῖσθαι καὶ ὁρᾶν, ὅτι νῦν ὀμωμοκότες κατὰ τοὺς νόμους δικάσειν ἥκετε, οὐχὶ τοὺς Λακεδαιμονίων οὐδὲ Θηβαίων, οὐδ' οἷς ποτ' ἐχρήσανθ' οἱ πρῶτοι τῶν προγόνων, ἀλλὰ καθ' οὓς ἔλαβον τὰς ἀτελείας οὓς ἀφαιρεῖται νῦν οὗτος τῷ νόμῳ, καὶ περὶ ὧν ἂν
493 νόμοι μὴ ὦσι, γνώμῃ τῇ δικαιοτάτῃ κρινεῖν. Καλῶς. Τὸ τοίνυν τῆς γνώμης πρὸς ἅπαντ' ἀνενέγκατε τὸν νόμον. [119] Ἆρ' οὖν δίκαιον, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς εὐεργέτας τιμᾶν; Δίκαιον. Τί δ', ὅσ' ἂν δῷ τις ἅπαξ, δίκαιον ἔχειν ἐᾶν; Δίκαιον. Ταῦτα τοίνυν αὐτοί τε ποιεῖτε, ἵν' εὐορκῆτε, καὶ τοὺς προγόνους ὀργίζεσθ' ἂν μή τις φῇ ποιεῖν, καὶ τοὺς τὰ τοιαῦτα λέγοντας παραδείγματα, ὡς ἄρ' ἐκεῖνοι μεγάλ' εὖ παθόντες οὐδέν' ἐτίμησαν, καὶ πονηροὺς καὶ ἀπαιδεύτους ἡγεῖσθ' εἶναι, πονηροὺς μὲν διότι καταψεύδονται τῶν προγόνων ὑμῶν ὡς ἀχαρίστων, ἀμαθεῖς δὲ διότι ἐκεῖν' ἀγνοοῦσιν, ὅτι, εἰ τὰ μάλιστα ταῦθ' οὕτως εἶχεν, ἀρνεῖσθαι μᾶλλον ἢ λέγειν αὐτοῖς προσῆκεν.

[120] Οἴομαι τοίνυν καὶ τοῦτον τὸν λόγον Λεπτίνην ἐρεῖν, ὡς τὰς εἰκόνας καὶ τὴν σίτησιν οὐκ ἀφαιρεῖται τῶν εἰληφότων δ

NC. 1. καίτοι τοῦτό γε H. Wolf. καὶ τοιοῦτό γ' S. καὶ τοιοῦτον marge de L. καίτοι τό γ' L et vulg. καίτοι γ' Dobree. — μηδ' ἂν εἷς S et L. μηδεὶς (et, en partie, ἔχει) vulg. — 3. καταδειχθῇ S et L. καταδειχθείη vulgate (vicieuse). — 6. οὐδὲ. Variante : οὐδὲ τοὺς. — 7. Dobree : οἱ πρὸ τοῦ, sans τῶν προγόνων. — 10-11. Variante : ἆρ' οὐ.

ne fait point partie de la phrase incidente ὧν ἔδοσάν τῳ, mais dépend nécessairement de ἀφῃρημένους, soit immédiatement suivi du démonstratif τοῦτο, qui en reprend l'idée (cf. *NC.*). Cependant la même construction revient au paragraphe 120. On a aussi rapproché, § 136 : Μηδὲν ὧν..., τοῦτο. [Dobree.]

1. Ὁμοίως, tout de même..., non moins.

3. Καταδειχθῇ, doit-il être montré, donné en exemple?

6. Οὐχὶ τοὺς.... Θηβαίων. Cf. § 105 sqq. On voit que les paragraphes 118-119 servent de péroraison aux deux morceaux, §§ 105-111 et 112-117.

7. Οἱ πρῶτοι τῶν προγόνων. Ces mots n'offrent pas de sens satisfaisant.

8. Τῷ νόμῳ, par sa loi (la loi de Leptine).

9. Κρινεῖν est, comme δικάσειν, gouverné par ὀμωμοκότες.

9-10. Τὸ τοίνυν.... τὸν νόμον, appliquez donc votre conscience (vos idées de justice) à la loi (de Leptine) tout entière.

14-15. Λέγοντας παραδείγματα, ὡς..., qui citent des exemples pour prouver que....

18. Ἀμαθεῖς (synonymes de ἀπαιδεύτους), mal appris, grossiers et sans éducation.

21. Τὴν σίτησιν : sous-ent. τὴν ἐν πρυτανείῳ.

νόμος, οὐδὲ τῆς πόλεως τὸ τιμᾶν τοὺς ὄντας ἀξίους, ἀλλ' ἔσται χαλκοῦς ἱστάναι καὶ σίτησιν διδόναι καὶ ἄλλ' ὅ τι ἂν βούλησθε, πλὴν τούτου. Ἐγὼ δ' ὑπὲρ ὧν μὲν τῇ πόλει καταλείπειν φήσει, τοσοῦτο λέγω· ὅταν ὧν ἐδώκατέ τῳ πρότερόν τι, τοῦτ' ἀφέλησθε, καὶ τὰς ὑπολοίπους ἀπίστους ποιήσετε πάσας δωρειάς. Τί γὰρ ἔσται πιστότερον τὸ τῆς εἰκόνος ἢ [τὸ] τῆς σιτήσεως ἢ τὸ τῆς ἀτελείας, ἣν πρότερόν τισι δόντες ἀφῃρημένοι φανεῖσθε; [121] Ἔτι δ' εἰ μηδὲν ἔμελλε τοῦτ' ἔσεσθαι δυσχερές, οὐδ' ἐκεῖνο καλῶς ἔχειν ἡγοῦμαι, εἰς τοιαύτην ἄγειν ἀνάγκην τὴν πόλιν δι' ἧς ἅπαντας ἐξ ἴσου τῶν αὐτῶν ἀξιώσει τοῖς τὰ μέγιστ' εὐεργετοῦσιν, ἢ μὴ τοῦτο ποιοῦσα χάριν τισὶν οὐκ ἀποδώσει. Μεγάλων μὲν οὖν εὐεργεσιῶν οὔθ' ἡμῖν συμφέρει συμβαίνειν πολλάκις καιρὸν οὔτ' ἴσως ῥᾴδιον αἰτίῳ γενέσθαι· 494
[122] μετρίων δὲ καὶ ὧν ἐν εἰρήνῃ τις καὶ πολιτείᾳ δύναιτ' ἂν ἐφικέσθαι, εὐνοίας, δικαιοσύνης, ἐπιμελείας, τῶν τοιούτων, καὶ συμφέρειν ἔμοιγε δοκεῖ καὶ χρῆναι διδόναι τὰς τιμάς. Δεῖ τοίνυν μεμερίσθαι καὶ τὰ τῶν δωρειῶν, ἵν', ἧς ἂν ἄξιος ὢν ἕκαστος φαίνηται, ταύτην παρὰ τοῦ δήμου λαμβάνῃ τὴν δωρειάν. [123] Ἀλλὰ μὴν ὑπὲρ ὧν γε τοῖς εὑρημένοις τὰς τιμὰς καταλείπειν φήσει, οἱ μὲν ἁπλᾶ πάνυ καὶ δίκαι' ἂν εἴποιεν, πάνθ', ὅσα τῶν αὐτῶν ἕνεχ' αὐτοῖς ἔδοτ' εὐεργεσιῶν, ἀξιοῦντες ἔχειν,

NC. 2. ἔσται S [1]. ἐξέσται L et vulg. — καὶ χαλκοῦς L et vulg. — 4. Var. : καταλιπεῖν. — ὅτ' ἂν S. ὅτι ἂν ancienne marge de S, L et vulg. — 6-7. ἢ τῆς σιτήσεως A ἢ τὸ τῆς σιτήσεως S, L et vulg. G. H. Schæfer (et Madvig) : καὶ τὸ τῆς σιτήσεως. — 8. φανεῖσθαι S. — 18. [τὴν δωρ.] Cobet. — 19-20. Var. : καταλιπεῖν. De même, p. 70, l. 6.

2. Χαλκοῦς ἱστάναι. Cf. *Réformes*, § 20, avec la note, et § 21.

3. Πλὴν τούτου, excepté la récompense dont il est question, l'immunité. Cf. τοῦτ' ἀφαιρεθήσεται, § 71. [Westermann.]

4-5. Ὧν.... ἀφέλησθε. Cf. § 117, avec la note.

6. Τί, en quoi, comment. — Le premier ἢ est *aut*, le second est *quam*.

8-9. Εἰ μηδὲν.... δυσχερές, quand même ce que je viens de dire ne serait nullement fâcheux.

11. Τοῖς.... εὐεργετοῦσιν. Ce datif dépend de τῶν αὐτῶν.

12-13. Οὔθ' ἡμῖν συμφέρει. Il n'est pas dans l'intérêt du peuple que l'occasion de lui rendre de grands services s'offre souvent. L'orateur a en vue des services rendus en temps de guerre : on le voit par l'antithèse : ἐν εἰρήνῃ καὶ πολιτείᾳ, dans la paix et dans l'administration politique. — Αἰτίῳ γενέσθαι. Cf. la note sur κυρίῳ γενέσθαι, § 107.

17. Μεμερίσθαι, être répartis (suivant le mérite de chacun).

20-1. Οἱ μὲν.... Ce sont ceux qui, outre l'immunité, ont reçu d'autres honneurs plus considérables. — Τῶν αὐτῶν ἕνεχ'.... εὐεργεσιῶν, en considération des mêmes services. Leur immunité repose donc sur

οἱ δὲ φενακίζειν τὸν ὡς καταλείπεται λέγοντά τι αὐτοῖς. Ὁ γὰρ ἄξια τῆς ἀτελείας εὖ πεποιηκέναι δόξας καὶ ταύτην παρ' ὑμῶν λαβὼν τὴν τιμὴν μόνην, ἢ ξένος ἢ καί τις πολίτης, ἐπειδὰν ἀφαιρεθῇ ταύτην, τίν' ἔχει λοιπὴν δωρειάν, Λεπτίνη; Οὐδεμίαν δήπου. Μὴ τοίνυν διὰ μὲν τοῦ τῶνδε κατηγορεῖν ὡς φαύλων ἐκείνους ἀφαιροῦ, δι' ἃ δ' αὖ καταλείπειν ἐκείνοις φήσεις, τούσδ' ὃ μόνον λαβόντες ἔχουσι, τοῦτ' ἀφέλῃ. [124] Ὡς δ' ἁπλῶς εἰπεῖν, οὐχ εἴ τῶν πάντων ἀδικήσομέν τινα μεῖζον' ἢ ἐλάττονα, δεινόν ἐστιν, ἀλλ' εἰ τὰς τιμάς, αἷς ἂν ἀντευποιήσωμέν τινας, ἀπίστους καταστήσομεν· οὐδ' ὁ πλεῖστος ἔμοιγε λόγος περὶ τῆς ἀτελείας ἐστίν, ἀλλ' ὑπὲρ τοῦ πονηρὸν ἔθος τὸν νόμον εἰσάγειν καὶ τοιοῦτον δι' οὗ πάντ' ἄπισθ' ὅσ' ὁ δῆμος δίδωσιν ἔσται.

[125] Ὃν τοίνυν κακουργότατον οἴονται λόγον εὑρηκέναι πρὸς τὸ τὰς ἀτελείας ὑμᾶς ἀφελέσθαι πεῖσαι, βέλτιόν ἐστι προειπεῖν, ἵνα μὴ λάθητ' ἐξαπατηθέντες. Ἐροῦσι γὰρ ὅτι ταῦθ' ἱερῶν
495 ἐστιν ἅπαντα τἀναλώματα [αἱ χορηγίαι καὶ αἱ γυμνασιαρχίαι]·

NC. 1. La variante καταλείπεσθαι suppose la suppression de ὡς. — 5. δήπου est omis dans S seul. — 8. Variante : ἢ μείζονα. — 11. ὑπὲρ τοῦ S. ὑπὲρ τοῦ μὴ L et vulg. La négation a été ajoutée par ceux qui donnaient à ὑπὲρ un sens qu'il n'a pas nécessairement. [Vœmel.]— 12. L'ancienne vulgate place ἄπιστα avant ἔσται. — 16. ἐροῦσιν, pour ἐροῦσι γὰρ, L et, d'abord, S.— 17. γυμνασίαι S[1] et L[1]. F. A. Wolf et d'autres ont écarté les mots αἱ χορηγίαι καὶ αἱ γυμνασιαρχίαι (énumération incomplète).

les mêmes titres que les autres honneurs, que Leptine leur laisse. L'explication de F. A Wolf : « propter beneficia a se pro« fecta » a été avec raison abandonnée. — Οἱ δὲ.... Ce sont ceux qui n'ont obtenu d'autre récompense que l'immunité.

5. Ὡς φαύλων. Démosthène prête à Leptine la pensée que ceux qui jouissaient de la simple immunité l'avaient obtenue pour des services peu importants (cf. § 122) et pouvaient en être privés sans injustice. Westermann et d'autres prennent τῶνδε et ἐκείνους d'une manière générale pour ἐνίων et τοὺς ἄλλους. Mais on ne peut guère donner à ces démonstratifs, dans la première partie de la période, un autre sens que dans la seconde partie.

11. Ὑπὲρ est synonyme de περὶ, avec lequel il alterne. Cf. *Symmories*, § 32; *Olynth*. I, § 5, et *passim*.

14-15. Κακουργότατον, le plus malin. Cf. κακουργῶν, § 143. L'orateur fait penser ses adversaires tout haut, et place dans leur bouche l'aveu de leur rouerie. — Ὑμᾶς dépend de πεῖσαι.

16-17. Ὅτι ταῦτ(α).... τἀναλώματα, que toutes ces dépenses (ces prestations) se rapportent aux choses sacrées, font partie du culte. En effet, les chœurs, dont il fallait faire les frais, paraissaient aux fêtes des dieux, et les choréges jouissaient de l'inviolabilité que leur donnait leur caractère religieux (*Mid.*, §§ 54-55). Cependant Démosthène établira que les lois d'Athènes ne confondaient pas les chorégies et les autres prestations analogues avec les charges strictement religieuses.

δεινὸν οὖν, εἰ τῶν ἱερῶν ἀτελής τις ἀφεθήσεται. Ἐγὼ δὲ τὸ μέν τινας, οἷς ὁ δῆμος ἔδωκεν, ἀτελεῖς εἶναι τούτων δίκαιον ἡγοῦμαι, ὃ δὲ νῦν οὗτοι ποιήσουσιν, ἐὰν ἄρα ταῦτα λέγωσι, τοῦτ' εἶναι δεινὸν νομίζω. [126] Εἰ γὰρ ἃ [κατὰ] μηδέν' ἄλλον ἔχουσι τρόπον δεῖξαι δίκαιον ὑμᾶς ἀφελέσθαι, ταῦτ' ἐπὶ τῷ τῶν θεῶν ὀνόματι ποιεῖν ζητήσουσιν, πῶς οὐκ ἀσεβέστατον ἔργον καὶ δεινότατον πράξουσιν; Χρὴ γάρ, ὥς γοῦν ἐμοὶ δοκεῖ, ὅσα τις πράττει τοὺς θεοὺς ἐπιφημίζων, τοιαῦτα φαίνεσθαι οἷα μηδ' ἂν ἐπ' ἀνθρώπου πραχθέντα πονηρὰ φανείη. Ὅτι δ' οὐκ ἔστι ταὐτὸν ἱερῶν ἀτέλειαν ἔχειν καὶ λῃτουργιῶν, ἀλλ' οὗτοι τὸ τῶν λῃτουργιῶν ὄνομα ἐπὶ τὸ τῶν ἱερῶν μεταφέροντες ἐξαπατᾶν ζητοῦσι, Λεπτίνην ὑμῖν αὐτὸν ἐγὼ παρασχήσομαι μάρτυρα. [127] Γράφων γὰρ ἀρχὴν τοῦ νόμου « Λεπτίνης εἶπεν » φησίν, « ὅπως ἂν οἱ πλουσιώτατοι λῃτουργῶσιν, ἀτελῆ μη- « δένα εἶναι πλὴν τῶν ἀφ' Ἁρμοδίου καὶ Ἀριστογείτονος. » Καίτοι εἰ ἦν ἱερῶν ἀτέλειαν ἔχειν ταὐτὸ καὶ λῃτουργιῶν, τί τοῦτο μαθὼν προσέγραψεν; οὐδὲ γὰρ τούτοις ἀτέλεια τῶν γ' ἱερῶν ἐστι δεδομένη. Ἵνα δ' εἰδῆθ' ὅτι ταῦτα τοῦτον ἔχει τὸν τρόπον, λαβέ μοι πρῶτον μὲν τῆς στήλης τἀντίγραφα, εἶτα τὴν ἀρχὴν τοῦ νόμου τοῦ Λεπτίνου. Λέγε.

NC. 4. J'écarte κατὰ, qui donne quatre brèves consécutives. Cf. p. 56, 7 NC.— 6-7. ζητήσουσιν et πράξουσιν S. — γοῦν ἐμοί. Variante : ἔμοιγε.— Variante : πάνθ' ὅσα. — 9-10. οὐκ εσταυτὸ S[1].— 13. ἀρχὴν τοῦ νόμου. Dobree regardait ces mots comme interpolés. — 14. Ancienne vulgate : μηδένα ἀτελῆ.— 16-17. Plusieurs critiques veulent qu'on écrive τί... παθών, ici et ailleurs. τί παθὼν τοῦτο πρ. Cobet.

2. Τούτων se réfère évidemment, non pas à τῶν ἱερῶν, mais aux prestations en question et dont le peuple exemptait quelquefois. [F. A. Wolf.]

3. Ἐὰν ἄρα, si tant est que. Cf. *Symm.*, § 5, avec la note.

4. Δεινόν. Cf. ligne 1. L'orateur reprend ce mot avec force, et renvoie à ses adversaires l'accusation qu'il contient.

5-6. Ὑμᾶς est le sujet d'ἀφελέσθαι. Voy. cependant *NC*.—Ποιεῖν tient lieu de δεῖξαι δίκαιον... ἀφέλεσθαι. [G. H. Schæfer.]

8-9. Τοὺς θεοὺς ἐπιφημίζων, « prætexens honestum et speciosum deorum « nomen », équivaut à ἐπὶ τῷ θεῶν ὀνόματι, ligne 5. [Reiske.] — Ἐπ' ἀνθρώπου, l'antithèse le prouve, veut dire : « d'après une autorité humaine, d'après des considérations de l'ordre humain. »

13. Ἀρχὴν τοῦ νόμου, comme commencement de sa loi. S'il était employé adverbialement, pour κατ' ἀρχήν, l'accusatif ἀρχὴν ne pourrait avoir le sens local. [Westermann.] Il ne pourrait pas non plus, ce me semble, être suivi d'un complément.

17. Τοῦτο dépend de προσέγραψεν.

19. Τῆς στήλης. Le monument sur lequel étaient inscrits les honneurs décrétés aux descendants d'Harmodios et d'Aristogiton.

ΑΝΤΙΓΡΑΦΑ ΣΤΗΛΗΣ.

[128] Ἀκούετε τῶν ἀντιγράφων τῆς στήλης, ὦ ἄνδρες Ἀθηναῖοι, ἀτελεῖς αὐτοὺς εἶναι κελευόντων πλὴν ἱερῶν. Λέγε δὴ τὴν ἀρχὴν τοῦ νόμου τοῦ Λεπτίνου.

496

ΝΟΜΟΣ.

Καλῶς· κατάθες. Γράψας, « ὅπως ἂν οἱ πλουσιώτατοι λητουργῶσι, μηδένα εἶναι ἀτελῆ » προσέγραψε « πλὴν τῶν ἀφ' Ἁρμοδίου καὶ Ἀριστογείτονος ». Τίνος εἵνεκ', εἴ γε τὸ τῶν ἱερῶν τέλος ἐστὶ λητουργεῖν; Αὐτὸς γὰρ οὑτωσὶ τἀναντία τῇ στήλῃ γεγραφώς, ἂν τοῦτο λέγῃ, φανήσεται. [129] Ἡδέως δ' ἂν ἔγωγ' ἐροίμην Λεπτίνην, τίνος αὐτοῖς τὴν ἀτέλειαν ἢ σὺ νῦν καταλείπειν φήσεις ἢ ἐκείνους τότε δοῦναι, τὰς ληιτουργίας ὅταν εἶναι φῇς ἱερῶν. Τῶν μὲν γὰρ εἰς τὸν πόλεμον πασῶν εἰσφορῶν καὶ τριηραρχιῶν ἐκ τῶν παλαιῶν νόμων οὐκ εἰσὶν ἀτελεῖς· τῶν δὲ ληιτουργιῶν, εἴπερ εἰσὶν ἱερῶν, οὐδ' ἀρχήν. [130] Ἀλλὰ μὴν γέγραπταί γ' ἀτελεῖς αὐτοὺς εἶναι. Τίνος; ἢ τοῦ μετοικίου; τοῦτο γὰρ λοιπόν. Οὐ δήπου, ἀλλὰ τῶν ἐγκυκλίων ληιτουργιῶν, ὡς ἥ τε στήλη δηλοῖ καὶ σὺ προσδιώρισας ἐν τῷ νόμῳ καὶ μαρτυρεῖ πᾶς ὁ πρὸ τοῦ χρόνος γεγονώς, ἐν ᾧ τοσούτῳ τὸ πλῆθος ὄντι οὔτε φυλὴ πώποτ' ἐνεγκεῖν ἐτόλμησεν

NC. 7. προσέγραψεν ἀτελῆ S et L.— 10. Ancienne vulgate : ταῦτα λέγῃ. — 12. Vulg. : καταλιπεῖν. — 15. Ancienne vulgate : τῶν δέ γε.— J'écris οὐδ' ἀρχήν. Filiation probable des fautes : ΑΡΧΗΝ, ΑΙΧΗΝ, εχιν, d'où, par correction, ἔχουσιν. οὐδ' ἔχουσιν mss. οὐδὲ τούτων ἔχουσιν Sauppe. οὐδ' εἰπεῖν ἔχουσιν Hirschig.

8-9. Εἴ γε... ληιτουργεῖν, si payer pour le culte c'est faire une liturgie.

13-14. Τῶν μὲν γὰρ... οὐκ εἰσὶν ἀτελεῖς. Cf. § 18.

15. Εἴπερ εἰσὶν ἱερῶν, si elles se rapportent aux choses sacrées. — Οὐδ' ἀρχήν, sous-ent. ἀτελεῖς εἰσιν. Ils n'ont pas même reçu cette immunité dans l'origine, puisque le décret porte πλὴν ἱερῶν.

16. Ἢ τοῦ μετοικίου ; serait-ce du tribut imposé aux étrangers domiciliés ? L'orateur se moque. Quant à ἤ, voy. Krüger, *Griech. Sprachl.*, § 69, 29, 2.

18. Σὺ προσδιώρισας. L'orateur fait allusion, suivant nous, aux mots de la loi de Leptine cités au paragraphe 128 : Ὅπως ἂν οἱ πλουσιώτατοι ληιτουργῶσιν, mots qui ne peuvent se rapporter qu'aux liturgies ordinaires ; car les extraordinaires sont hors de cause, à ce qu'on vient de voir au paragraphe 129. Cette explication nous paraît plus simple que celles qui ont été essayées par A. Schæfer et par Sauppe.

20-2. Τὸ πλῆθος. On dit en grec χρόνου πλῆθος (cf. Thucydide, I, 1 ; Platon, *Théét.*, p. 158 D) aussi bien que χρόνου

οὐδεμία οὐδένα τῶν ἀπ' ἐκείνων χορηγὸν οὔτ' ἐνεχθεὶς αὐτοῖς ἄλλος οὐδεὶς ἀντιδοῦναι. Οἷς οὐκ ἀκουστέον ἂν ἐναντία τολμᾷ λέγειν.

[131] Ἔτι τοίνυν ἴσως ἐπισύροντες ἐροῦσιν ὡς Μεγαρεῖς καὶ Μεσσήνιοί τινες, εἶναι φάσκοντες, ἔπειτ' ἀτελεῖς εἰσιν, ἀθρόοι παμπληθεῖς ἄνθρωποι, καί τινες ἄλλοι δοῦλοι καὶ μαστιγίαι, Λυκίδας καὶ Διονυσίους καὶ τοιούτους τινὰς ἐξειλεγμένοι. Ὑπὲρ δὴ τούτων ὡδὶ ποιήσαθ', ὅταν ταῦτα λέγωσιν· κελεύετ', εἴπερ ἀληθῆ λέγουσι πρὸς ὑμᾶς, τὰ ψηφίσματ' ἐν οἷς ἀτελεῖς εἰσιν 497 αὐτοὶ δεῖξαι. Οὐ γάρ ἐστ' οὐδεὶς ἀτελὴς παρ' ὑμῖν, ὅτῳ μὴ ψήφισμ' ἢ νόμος δέδωκε τὴν ἀτέλειαν. [132] Πρόξενοι μέντοι πολλοὶ διὰ τῶν πολιτευομένων γεγόνασι παρ' ὑμῖν τοιοῦτοι, ὧν εἷς ἐστιν ὁ Λυκίδας. Ἀλλ' ἕτερον πρόξενόν ἐστ' εἶναι καὶ ἀτέλειαν εὑρῆσθαι. Μὴ δὴ παραγόντων ὑμᾶς, μηδ', ὅτι δοῦλος ὢν ὁ Λυκίδας καὶ Διονύσιος καί τις ἴσως ἄλλος διὰ τοὺς μισθοῦ τὰ τοιαῦτα γράφοντας ἑτοίμως πρόξενοι γεγόνασιν, διὰ τοῦθ' ἑτέρους ἀξίους καὶ ἐλευθέρους καὶ πολλῶν ἀγαθῶν αἰτίους, ἃς ἔλαβον δικαίως παρ' ὑμῶν δωρειάς, ἀφελέσθαι ζητούντων. [133] Πῶς γὰρ οὐχὶ καὶ κατὰ τοῦτο δεινότατ' ἂν πεπονθὼς ὁ

NC. 5-6. εἰσιν ἀθρόοι, παμπληθεῖς Bekker et Dindorf. — 7. Διονυσίους, correction de Reiske, pour Διονύσιος. — 8. D'autres mettent le point en haut avant ὅταν. — 10. δεικνύναι F. — 15. Variante : καὶ ὁ Διονύσιος. — ἄλλος ἴσως F. — 17. [ἀξίους] Dobree. — 19. Ancienne vulgate : καὶ κατὰ τοῦτο οὐχὶ.

μῆκος; et cela est logique, puisque πολὺς χρόνος et μακρὸς χρόνος sont également usités. — Ἐνεγκεῖν.... χορηγόν. Chaque tribu à son tour portait (ἔφερεν), c'est-à-dire offrait à l'État un chorége pris dans son sein. — Τῶν ἀπ' ἐκείνων, des descendants des deux libérateurs. — Αὐτοῖς.... ἀντιδοῦναι. Voy., sur l'antidose, *Phil.* I, § 36, avec la note.

4. Ἐπισύροντες équivaut, suivant le scholiaste, à διασύροντες. Cependant l'usage des bons auteurs donne à ἐπισύρειν le sens de « effleurer, se tenir à la superficie des choses ». On rapproche Lysias, *Contre Évandre*, § 3 : Ἐπισύροντα τὰ πράγματα καὶ διακλέπτοντα τῇ ἀπολογίᾳ τὴν κατηγορίαν.

5-6. Après εἶναι je voudrais insérer πρόξενοι. Sous-entendre ἀτελεῖς ne me satisfait ni pour le sens ni pour le tour de l'expression. — Ἀθρόοι παμπληθεῖς. Ces mots font corps. Cf. *Mid.*, § 131 : Πολλοὺς ἀθρόους, et *passim*. [G. H. Schæfer.]

7. Λυκίδας καὶ Διονυσίους, des Lycidas et des Denys. Lycidas était un affranchi de Chabrias (§ 133), et avait, d'après le scholiaste, commandé des troupes mercenaires à la solde d'Athènes. On ne sait rien sur Denys. — Ἐξειλεγμένοι, ayant choisi à leur usage, ayant été déterrer dans l'intérêt de leur thèse.

9. Ἐν οἷς.... εἰσιν, dans lesquels ils figurent, ils sont désignés comme...

11. Πρόξενοι. Cf. § 60, avec la note.

15-16. Διὰ τοὺς. . γράφοντας ἑτοίμως, grâce aux gens (aux orateurs) prêts à proposer, pour de l'argent, de tels décrets.

Χαβρίας φανείη, εἰ μὴ μόνον ἐξαρκέσει τοῖς τὰ τοιαῦτα πολιτευομένοις τὸν ἐκείνου δοῦλον Λυκίδαν πρόξενον ὑμέτερον πεποιηκέναι, ἀλλ' εἰ καὶ διὰ τοῦτον πάλιν τῶν ἐκείνῳ τι δοθέντων ἀφέλοιντο, καὶ ταῦτ' αἰτίαν λέγοντες ψευδῆ; Οὐ γάρ ἐστιν οὔθ' οὗτος οὔτ' ἄλλος οὐδεὶς πρόξενος ὢν ἀτελής, ὅτῳ μὴ διαρρήδην ἀτέλειαν ἔδωκεν ὁ δῆμος. Τούτοις δ' οὐκ ἔδωκεν, οὐδ' ἕξουσιν οὗτοι δεικνύναι, λόγῳ δ' ἂν ἀναισχυντῶσιν, οὐχὶ καλῶς ποιήσουσιν.

[134] Ὃ τοίνυν μάλιστα πάντων οἶμαι δεῖν ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, φυλάξασθαι, τοῦτ' εἰπεῖν ἔτι βούλομαι. Εἰ γάρ τις πάνθ', ὅσα Λεπτίνης ἐρεῖ περὶ τοῦ νόμου διδάσκων ὑμᾶς ὡς καλῶς κεῖται, συγχωρήσειεν ἀληθῆ λέγειν αὐτόν, ἕν γ' αἰσχρὸν οὐδ' ἂν εἴ τι γένοιτ' ἀναιρεθείη, ὃ συμβήσεται διὰ τοῦ νόμου κυρίου γενομένου τῇ πόλει. Τί οὖν τοῦτ' ἔστιν; τὸ
498 δοκεῖν ἐξηπατηκέναι τοὺς ἀγαθόν τι ποιήσαντας. [135] Ὅτι μὲν τοίνυν τοῦθ' ἕν τι τῶν αἰσχρῶν ἐστιν, πάντας ἂν ἡγοῦμαι φῆσαι· ὅσῳ δ' ὑμῖν αἴσχιον τῶν ἄλλων, ἀκούσατέ μου. Ἔστιν ὑμῖν νόμος ἀρχαῖος, τῶν καλῶς δοκούντων ἔχειν, ἄν τις ὑποσχόμενός τι τὸν δῆμον ἐξαπατήσῃ, κρίνειν, κἂν ἁλῷ, θανάτῳ ζημιοῦν. Εἶτ' οὐκ αἰσχύνεσθ', ὦ ἄνδρες Ἀθηναῖοι, εἰ ἐφ' ᾧ τοῖς ἄλλοις θάνατον ζημίαν ἐτάξατε, τοῦτ' αὐτοὶ ποιοῦντες φανήσεσθε; Καὶ μὴν πάντα μὲν εὐλαβεῖσθαι δεῖ ποιεῖν τὰ δοκοῦντα

NC. 1. ἐξαρκέσειε F. — 6. δ' οὐδ' ἔδωκεν S et L. — 7. ἄν, avant ἀναισχυντῶσιν, a été ajouté dans S par une main ancienne. — 17. τῶν ἄλλων αἴσχιον F. — 18. καλῶς τῶν δοκούντων (sans ἔχειν) S seul : peut-être pour καλῶς ἔχειν δοκούντων. Quoi qu'il en soit, nous n'oserions pas placer, avec quelques éditeurs, καλῶς avant l'article. — 21. τὴν ζημίαν F. — τοῦτο αὐτὸ S[1] : l'iota est ajouté par une main ancienne. — 22. Ancienne vulgate : καὶ τὰ δοκοῦντα.

1-3. Ὁ Χαβρίας. Démosthène revient d'une manière aussi ingénieuse qu'imprévue à son héros. Ce serait une indignité, dit-il, si, non contents d'avoir fait proxène athénien un esclave de Chabrias, ces gens se servaient de cette distinction mal placée, et encore en la dénaturant, pour rogner les honneurs mérités par Chabrias. — Εἰ μὴ μόνον ἐξαρκέσει.... πεποιηκέναι équivaut à εἰ μὴ ἐξαρκέσει.... πεποιηκέναι μόνον.

5. Πρόξενος ὤν, par la raison qu'il est proxène.

13. Οὐδ' ἂν εἴ τι γένοιτ(ο), non, quoiqu'il arrive, c'est-à-dire au grand jamais, d'aucune façon. On rapproche *Couronne*, § 168, où se trouve le même idiotisme.

14. Κυρίου γενομένου équivaut à κύριος ἂν γένηται, § 34.

17. Τῶν ἄλλων équivaut à ἢ τοῖς ἄλλοις. Cf. *Olynth.* III, § 32; *Phil.* III, § 40.

18. Νόμος ἀρχαῖος. C'est la même loi dont il a été question au paragraphe 100.

καὶ ὄντ' αἰσχρὰ, μάλιστα δὲ ταῦτ' ἐφ' οἷς τοῖς ἄλλοις χαλεπῶς τις ἔχων ὁρᾶται· οὐδὲ γὰρ ἀμφισϐήτησις καταλείπεται τὸ μὴ ταῦτα ποιεῖν ἃ πονήρ' αὐτὸς ἔκρινεν εἶναι πρότερον.

[136] Ἔτι τοίνυν ὑμᾶς κἀκεῖν' εὐλαϐεῖσθαι δεῖ, ὅπως μηδὲν ὧν ἰδίᾳ φυλάξαισθ' ἂν, τοῦτο δημοσίᾳ ποιοῦντες φανήσεσθε. Ὑμῶν τοίνυν οὐδ' ἂν εἷς οὐδὲν ὧν ἰδίᾳ τινὶ δοίη, τοῦτ' ἀφέλοιτο πάλιν, ἀλλ' οὐδ' ἐπιχειρήσειεν ἄν. [137] Μὴ τοίνυν μηδὲ δημοσίᾳ τοῦτο ποιήσητε, ἀλλὰ κελεύετε τούτους τοὺς ἐροῦντας ὑπὲρ τοῦ νόμου, εἴ τινα τῶν εὑρημένων τὴν δωρεὰν ἀνάξιον εἶναί φασιν ἢ μὴ πεποιηκότ' ἐφ' οἷς εὕρετ' ἔχειν, ἢ ἄλλ' ὁτιοῦν ἐγκαλοῦσί τινι, γράφεσθαι κατὰ τὸν νόμον ὃν παρεισφέρομεν νῦν ἡμεῖς, ἢ θέντων ἡμῶν, ὥσπερ ἐγγυώμεθα καὶ φαμὲν θήσειν, ἢ θέντας αὐτοὺς, ὅταν πρῶτον γένωνται νομοθέται. Ἔστι δ' ἑκάστῳ τις αὐτῶν, ὡς ἔοικεν, ἐχθρὸς, τῷ μὲν Διόφαντος, τῷ δ' Εὔϐουλος, τῷ δ' ἴσως ἄλλος τις. [138] Εἰ δὲ τοῦτο φεύξονται καὶ μὴ 'θελήσουσι ποιεῖν, σκοπεῖτ', ὦ ἄνδρες Ἀθηναῖοι, εἰ καλῶς ὑμῖν ἔχει, ἃ τούτων ἕκαστος ὀκνεῖ τοὺς 499 ἐχθροὺς ἀφαιρούμενος ὀφθῆναι, ταῦθ' ὑμᾶς τοὺς εὐεργέτας ἀφῃρημένους φαίνεσθαι, καὶ τοὺς εὖ τι πεποιηκότας ὑμᾶς, οἷς οὐδεὶς ἂν ἐγκαλέσαι, νόμῳ τὰ δοθέντ' ἀπολωλεκέναι δι' ὑμῶν ἀθρόους, παρὸν, εἴ τις ἄρ' ἐστὶν ἀνάξιος, εἷς ἢ δύο ἢ πλείους,

NC. 1. ταῦτ' ἐφ' οἷς. Cobet demande : τὰ ἐφ' οἷς. — 2. ἔτι καταλείπεται L, F. — 3. πονηρά τις αὐτὸς F et A. — 10. Cobet demande : πεποιηκότα τὰ ἐφ' οἷς. — 13. θέντας αὐτοὺς. Ancienne vulgate vicieuse : θέντων αὐτῶν.

2. Τὸ μὴ équivaut à ὥστε μή. Cf. Krüger, *Gr. Spr.*, § 55, 1, 7.

5. Τοῦτ(ο) se réfère à μηδέν, ou plutôt à ἕν, qui est renfermé dans cette négation. De même, dans la phrase suivante, οὐδὲν..., τοῦτο. On peut comparer, jusqu'à un certain point, οὐδὲν μὴ δεινὸν πάθητε, pour οὐ μὴ πάθητε δεινόν τι, *Phil.* II, § 24.

10. Ἢ μὴ πεποιηκότ(α).... ἔχειν, ou qu'il possède la récompense sans avoir fait ce pour quoi (sans avoir rendu les services pour lesquels) il l'a obtenue.

11-12. Παρεισφέρομεν. Cf. § 99. — Ἢ θέντων ἡμῶν.... νομοθέται. La loi plus équitable, qui permettra de poursuivre en justice les hommes indignes de l'immunité dont ils jouissent, doit être portée soit par les amis de Démosthène, soit par Leptine et ses amis (voy. § 101), dès qu'un jury législatif (νομοθέται) se trouvera réuni. Scholiaste : Λέγει δὲ, ἐπειδὰν πρῶτον ἡ πόλις νομοθέτας καθίσῃ, τότε πρῶτον εἰσαχθήτω ὁ νόμος.

14-15. Διόφαντος. Diophante de Sphettos, homme d'État considérable. Cf. *Ambass.*, § 297. — Εὔϐουλος. C'est le fameux Eubule d'Anaphlyste, financier habile, politique pusillanime. Cf. *Harangues*, p. 76 et 157.

15-16. Εἰ δὲ τοῦτο φεύξονται, s'ils reculent devant l'idée de faire ces poursuites judiciaires.

γραφῇ διὰ τούτων ταὐτὸ τοῦτο παθεῖν κατ' ἄνδρα κριθέντας. Ἐγὼ μὲν γὰρ οὐχ ὑπολαμβάνω ταῦτα καλῶς ἔχειν οὐδέ γ' ἀξίως ὑμῶν.

[139] [Σκοπῶ δὲ καὶ τοῦτο.] Καὶ μὴν οὐδ' ἐκείνου γ' ἀποστατέον τοῦ λόγου, ὅτι τῆς μὲν ἀξίας, ὅτ' ἐδώκαμεν, ἦν δίκαιον τὴν ἐξέτασιν λαμβάνειν, ὅτε τούτων οὐδεὶς ἀντεῖπεν, μετὰ ταῦτα δ' ἐᾶν, εἴ τι μὴ πεπόνθαθ' ὑπ' αὐτῶν ὕστερον κακόν. Εἰ δ' οὗτοι τοῦτο φήσουσι (δεῖξαι μὲν γὰρ οὐκ ἔχουσιν), δεῖ κεκολασμένους αὐτοὺς παρ' αὐτὰ τἀδικήματα φαίνεσθαι. Εἰ δὲ μηδενὸς ὄντος τοιούτου τὸν νόμον ποιήσετε κύριον, δόξετε φθονήσαντες, οὐχὶ πονηροὺς λαβόντες ἀφῃρῆσθαι. [140] Ἔστι δὲ πάντα μὲν ὡς ἔπος εἰπεῖν ὀνείδη φευκτέον, τοῦτο δὲ πάντων μάλιστ', ὦ ἄνδρες Ἀθηναῖοι. Διὰ τί; Ὅτι παντάπασι φύσεως κακίας σημεῖόν ἐστιν ὁ φθόνος, καὶ οὐκ ἔχει πρόφασιν δι' ἣν ἂν τύχοι συγγνώμης ὁ τοῦτο πεπονθώς. Εἶτα καὶ οὐδ' ἔστιν ὄνειδος ὅτου πορρώτερόν ἐστιν ἡ πόλις ἡμῶν ἢ τοῦ φθονερὰ δοκεῖν εἶναι, ἁπάντων ἀπέχουσα τῶν αἰσχρῶν. [141] Τεκμήρια δ' ἡλίκα τούτου, θεωρήσατε. Πρῶτον μὲν μόνοι τῶν πάντων ἀνθρώπων ἐπὶ τοῖς ⟨ὑπὲρ αὐτῆς⟩ τελευτήσασι δημοσίᾳ ποιεῖτε
500 λόγους ἐπιταφίους, ἐν οἷς κοσμεῖτε τὰ τῶν ἀγαθῶν ἀνδρῶν

NC. 1. κριθέντα S, L, A : leçon vicieuse adoptée par Vœmel. — 4. σκοπῶ δὲ καὶ τοῦτο : glose évidente, écartée par Reiske. — 6. τὴν ἐξέτασιν ἦν δίκαιον F. — 7. πηι (ou πῇ) πεπόνθατε S et L seuls. — 8. οὐχ ἕξουσι vulg. — 9. παρ' αὐτὰ τἀδικήματα L et vulg. παρὰ τἀδικήματα S : omission accidentelle. — 12. ὅσα ἐστὶ τὰ ὀνείδη vulg. — 15. οὐδ' S et L. οὐδὲν vulg. — 16. πορρώτερον S et L seuls, ainsi que *Bekkeri Anecd.*, p. 111. πορρωτέρω vulg. — ἡ πόλις ἡμῶν vulg. ἡμῶν ἡ πόλις S, avec des signes de transposition, et L seuls. — 17. πάντων vulg. — 18. μὲν γὰρ F. — 19-20. Après ἐπὶ τοῖς, j'insère ὑπὲρ αὐτῆς (cf. Aristide, cité ci-dessous). Lambin voulait ἐν πολέμῳ. — Après δημοσίᾳ, S, L, Y portent καὶ ταῖς ταφαῖς ταῖς δημοσίαις, mots écartés par Dindorf. δημοσίᾳ ταφὰς (ou τὰς ταφὰς) ποιεῖσθε (ou ποιεῖτε) καὶ λόγους ἐπιταφίους marge ancienne de S, A, F. Des funérailles publiques se faisaient aussi ailleurs; l'éloge public était particulier à Athènes. — 20. κοσμεῖται S seul.

1. Γραφῇ est opposé à νόμῳ, διὰ τούτων (par Leptine et ses amis) à δι' ὑμῶν, κατ' ἄνδρα à ἀθρόους.

4. Καὶ μὴν... L'orateur développe ici des idées déjà émises au paragraphe 56.

8-9. Τοῦτο, c'est-à-dire ὑμᾶς πεπονθέναι ὑπ' αὐτῶν ὕστερον κακόν. — Δεῖ.... φαίνεσθαι. Leur culpabilité ne peut être établie que s'il est prouvé qu'ils ont été condamnés judiciairement dans le temps même où ils ont mal agi.

19. Ἐπὶ τοῖς.... Paraphrase d'Aristide,

ἔργα. Καίτοι τοῦτ' ἔστι τὸ ἐπιτήδευμα ζηλούντων ἀρετὴν, οὐ τοῖς ἐπὶ ταύτῃ τιμωμένοις φθονούντων. Εἶτα μεγίστας δίδοτ' ἐκ παντὸς τοῦ χρόνου δωρειὰς τοῖς τοὺς γυμνικοὺς νικῶσιν ἀγῶνας τοὺς στεφανίτας, καὶ οὐχ, ὅτι τῇ φύσει τούτων ὀλίγοις μέτεστιν, ἐφθονήσατε τοῖς ἔχουσιν, οὐδ' ἐλάττους ἐνείματε τὰς τιμὰς διὰ ταῦτα. Πρὸς δὲ τούτοις τοιούτοις οὖσιν οὐδεὶς πώποτε τὴν πόλιν ἡμῶν εὖ ποιῶν δοκεῖ νικῆσαι· τοσαύτας ὑπερβολὰς τῶν δωρειῶν αἷς ἀντευποιεῖ παρέσχηται. [142] Ἔστι τοίνυν πάντα ταῦτ', ὦ ἄνδρες Ἀθηναῖοι, δικαιοσύνης, ἀρετῆς, μεγαλοψυχίας ἐπιδείγματα. Μὴ τοίνυν δι' ἃ πάλαι παρὰ πάντα τὸν χρόνον ἡ πόλις εὐδοξεῖ, ταῦτ' ἀνέλητε νῦν· μηδ' ἵνα Λεπτίνης ἰδίᾳ τισὶν, οἷς ἀηδῶς ἔχει, ἐπηρεάσῃ, τῆς πόλεως ἀφέλησθε καὶ ὑμῶν αὐτῶν ἣν διὰ παντὸς ἀεὶ τοῦ χρόνου δόξαν κέκτησθε καλήν· μηδ' ὑπολαμβάνετ' εἶναι τὸν ἀγῶνα τόνδ' ὑπὲρ ἄλλου τινὸς ἢ τοῦ τῆς πόλεως ἀξιώματος, πότερον αὐτὸ δεῖ σῶν εἶναι καὶ ὅμοιον τῷ προτέρῳ, ἢ μεθεστάναι καὶ λελυμάνθαι.

[143] Πολλὰ δὲ θαυμάζων Λεπτίνου κατὰ τὸν νόμον ἓν μάλιστα τεθαύμακα πάντων, εἰ ἐκεῖν' ἠγνόηκεν, ὅτι ὥσπερ ἄν, εἴ τις μεγάλας τὰς τιμωρίας τῶν ἀδικημάτων τάττοι, οὐκ ἂν αὐτός γ' ἀδικεῖν παρεσκευάσθαι δόξαι, οὕτως, ἄν τις ἀναιρῇ τὰς

NC. 3-4. ἀγῶνας νικῶσι F. — 4. τοὺς στεφανίτας, mots suspects à Westermann. — 9. ἅπαντα ταῦτα F. — 20. παρασκευάσθαι S[1]. — ἀναιρεῖ S[1].

Panath., I, p. 310 Dind. : Τῶν μὲν ὑπὲρ τῆς πόλεως τελευτησάντων... ἐπαίνους ἐπὶ ταῖς ταφαῖς καθ' ἕκαστον ἔτος λέγειν.

3-4. Δωρειὰς τοῖς.... τοὺς στεφανίτας. Les concours dans lesquels le prix du vainqueur était, comme aux Olympiques et aux autres grandes fêtes nationales, une simple couronne de feuillage, étaient beaucoup plus estimés que les concours, rares à l'époque de Démosthène, où l'on donnait de l'argent ou des objets précieux (ἀγῶνες θεματικοί, ἀργυρῖται, δωρῖται). De retour chez eux, les vainqueurs recevaient des honneurs et des récompenses de leur cité, dont le nom avait été proclamé à côté du leur. Cet usage n'était nullement particulier à la ville d'Athènes. Cf. Hermann, *Gr. Alterth.*, Th. II, § 30, 4, et § 50, 30 sqq. Schœmann, *Gr. Alterth.*, t. II, p. 57 sq.

4. Τούτων : c'est-à-dire τῶν νικῶν ou τῶν στεφάνων, idées renfermées dans νικῶσιν et στεφανίτας. On entend généralement τῶν δωρεῶν. Mais que signifie alors τοῖς ἔχουσιν?

7-8. Ὑπερβολὰς τῶν δωρειῶν, des récompenses qui dépassent la mesure ordinaire. Cf. τῶν τιμῶν ταῖς ὑπερβολαῖς, *Aristocrate*, § 198. Ce dernier passage prouve qu'il ne faut pas entendre « des récompenses supérieures aux bienfaits. » [G. H. Schæfer.]

9. Ἀρετῆς. Ce mot semble avoir ici plus particulièrement le sens de « bonté ».

12. Οἷς ἀηδῶς ἔχει. Cf. § 137. Aristide (II, p. 636 sqq. Dindorf) réfute cette insinuation.

14-15. Μηδ' ὑπολαμβάνετ(ε). Voyez une pensée analogue au paragraphe 83.

τιμὰς τῶν εὐεργεσιῶν, οὐδὲν αὐτὸς ποιεῖν ἀγαθὸν παρεσκευάσθαι δόξει. Εἰ μὲν τοίνυν ἠγνόησε ταῦτα (γένοιτο γὰρ ἂν καὶ τοῦτο),
501 αὐτίκα δηλώσει· συγχωρήσεται γὰρ ὑμῖν λῦσαι περὶ ὧν αὐτὸς ἥμαρτεν. Εἰ δὲ φανήσεται σπουδάζων καὶ διατεινόμενος κύριον ποιεῖν τὸν νόμον, ἐγὼ μὲν οὐκ ἔχω πῶς ἐπαινέσω, ψέγειν δ' οὐ βούλομαι. [144] Μηδὲν οὖν φιλονίκει, Λεπτίνη, μηδὲ βιάζου τοιοῦτον, δι' οὗ μήτ' αὐτὸς δόξεις βελτίων εἶναι μήθ' οἱ πεισθέντες σοι, ἄλλως τε καὶ γεγενημένου σοι τοῦ ἀγῶνος ἀκινδύνου. Διὰ γὰρ τὸ τελευτῆσαι Βάθιππον τὸν τουτουὶ πατέρ' Ἀψεφίωνος, ὃς αὐτὸν ἔτ' ὄντα ὑπεύθυνον ἐγράψατο, ἐξῆλθον οἱ χρόνοι, καὶ νυνὶ περὶ αὐτοῦ τοῦ νόμου πᾶς ἐστιν ὁ λόγος, τούτῳ δ' οὐδείς ἐστι κίνδυνος.

[145] Καίτοι καὶ τοῦτ' ἀκούω σε λέγειν, ὡς ἄρα τρεῖς σέ τινες γραψάμενοι πρότεροι τοῦδε οὐκ ἐπεξῆλθον. Εἰ μὲν τοίνυν ἐγκαλῶν αὐτοῖς λέγεις ὅτι σ' οὐ κατέστησαν εἰς κίνδυνον, φιλοκινδυνότατος πάντων ἀνθρώπων εἶ· εἰ δὲ τεκμήριον ποιεῖ τοῦ τὰ δίκαι' εἰρηκέναι, λίαν εὔηθες ποιεῖς. Τί γὰρ εἵνεκα τούτου βελτίων ἔσθ' ὁ νόμος, εἴ τις ἢ τετελεύτηκε τῶν γραψαμένων πρὶν εἰσελθεῖν, ἢ πεισθεὶς ὑπὸ σοῦ διεγράψατο, ἢ καὶ ὅλως ὑπὸ σοῦ παρεσκευάσθη; ἀλλὰ ταῦτα μὲν οὐδὲ λέγειν καλόν.

NC. 1. τῶν εὐεργετῶν F. — 4. ὑπερδιατεινόμενος L et F. Cf. *Aristog.* I, § 1. — 5. ποιῆσαι vulg. — 6. φιλονείκει mss. — 7. τοιοῦτον μηδὲν vulg. — εἶναι βελτίων F. — 9. τουτουὶ L et vulg. τούτου S. — 10. αψεφίωνος S et L. ἀφεψίωνος vulg. La première forme est mieux autorisée; on peut toutefois hésiter entre Ἀψεφίων et Ἀψηφίων. Cf. Bœckh, *C. I. G.*, II, p. 340. — 10-11. οἱ τῆς κρίσεως χρόνοι F. — 11. νῦν F. — 14-15. εἰ μὲν οὖν ἐγκαλῶν F. — 16. εἶ πάντων ἀνθρώπων vulg. — ποιῇ manuscrits.

5. Ἐπαινέσω : subjonctif de l'aoriste premier. Le futur serait ἐπαινέσομαι. — Ψέγειν δ' οὐ βούλομαι. Ici, comme ailleurs dans ce discours, le jeune orateur est plus mesuré dans la forme que pour le fond. Toute cette insinuation maligne ne repose que sur un paralogisme.

10-11. Αὐτόν. L'orateur s'adresse de nouveau aux juges. — Ἐξῆλθον οἱ χρόνοι. Voy. la *Notice*.

13-14. Τρεῖς.... τινες, certaines personnes au nombre de trois. Westermann rapproche *Aristocrate*, § 142 : Ἐν δὴ Λαμψάκῳ τινὲς ἄνθρωποι γίγνονται δύο. Cependant τινὲς, après un nom de nombre, prend souvent le sens de « environ ». Exemple : Thuc., VII, 87 : Ἡμέρας.... ἑβδομήκοντά τινας. — Τοῦδε : Apsephion, l'accusateur principal.

17. Εἰρηκέναι, avoir proposé. On connaît la formule : ὁ δεῖνα εἶπεν.

19-20. Εἰσελθεῖν, sous-ent. εἰς τὸ δικαστήριον. — Διεγράψατο, a fait effacer, biffer, a laissé tomber. — Παρεσκευάσθη, a été suborné, afin d'accuser pour la forme et de prévariquer. Comme τετελεύτηκε se réfère au père d'Apsephion, on croit que les insinuations injurieuses des deux der-

[146] Ἤρηνται δὲ τῷ νόμῳ σύνδικοι καὶ μάλισθ' οἱ δεινοὶ λέγειν ἄνδρες, Λεωδάμας Ἀχαρνεὺς καὶ Ἀριστοφῶν Ἀζηνιεὺς καὶ Κηφισόδοτος ἐκ Κεραμέων καὶ Δεινίας Ἐρχιεύς. Ἃ δὴ πρὸς τούτους ὑπολαμβάνοιτ' ἂν εἰκότως, ἀκούσατε, καὶ σκοπεῖθ' ἂν ὑμῖν δίκαια φαίνηται. Πρῶτον μὲν πρὸς Λεωδάμαντα. Οὗτος ἐγράψατο τὴν Χαβρίου δωρειάν, ἐν ᾗ τοῦτ' ἔνεστιν τὸ τῆς ἀτελείας τῶν ἐκείνῳ τι δοθέντων, καὶ πρὸς ὑμᾶς εἰσελθὼν ἡττήθη· 502
[147] οἱ νόμοι δ' οὐκ ἐῶσι δὶς πρὸς τὸν αὐτὸν περὶ τῶν αὐτῶν οὔτε δίκας οὔτ' εὐθύνας οὔτε διαδικασίαν οὔτ' ἄλλο τοιοῦτ' οὐδὲν εἶναι. Χωρὶς δὲ τούτων ἀτοπώτατον ἂν πάντων συμβαίη, εἰ τότε μὲν τὰ Χαβρίου παρ' ὑμῖν ἔργα μεῖζον ἴσχυε τῶν Λεωδάμαντος λόγων, ἐπειδὴ δὲ ταῦτά θ' ὑπάρχει καὶ τὰ τῶν ἄλλων εὐεργετῶν προσγέγονεν, τηνικαῦτα σύμπαντα ταῦτ' ἀσθενέστερα τῶν τούτου λόγων γένοιτο. [148] Καὶ μὴν πρός γ' Ἀριστοφῶντα πολλὰ καὶ δίκαι' ἂν ἔχειν εἰπεῖν οἶμαι. Οὗτος εὕρετο τὴν δωρειὰν παρ' ὑμῖν, ἐν ᾗ τοῦτ' ἐνῆν. Καὶ οὐ τοῦτ' ἐπιτιμῶ· δεῖ γὰρ ἐφ' ὑμῖν εἶναι διδόναι τὰ ὑμέτερ' αὐτῶν οἷς ἂν βούλησθε. Ἀλλ' ἐκεῖνό γ' οὐχὶ δίκαιον εἶναί φημι, τό, ὅτε μὲν τούτῳ

NC. 2. ἀζηνιεὺς A. ἀξηνιεὺς S, L et vulg. — 4. τούτοις S et L. — 6. ἔνεστιν S. — 7. τῶν ἐκείνῳ τι δοθέντων : mots supprimés par F. A. Wolf. Taylor avait aussi condamné τὸ τῆς ἀτελείας. Dobree retranchait ἐν ᾗ... δοθέντων.— εἰς ὑμᾶς Cobet. — 8. περὶ. Ancienne vulgate : ὑπὲρ. — 11. μειζων S.— 14. λόγων γίγνοιτο anc. vulg.

niers membres de phrase portent sur les deux autres accusateurs, dont nous ignorons les noms.

1. Σύνδικοι : défenseurs nommés d'office par le peuple pour soutenir une loi que ce dernier avait votée. Cf. § 152, et la note sur νομοθέτας, *Olynth.* III, § 10. — Καὶ μάλισθ' οἱ δεινοί équivaut à οἱ καὶ (intensif) μάλιστα δεινοί.

3-4. Ἃ.... ὑπολαμβάνοιτ' ἄν, les objections tacites que vous pouvez élever contre eux. Cf. *Androt.*, § 4 : Ἵν' ἀκούσαντες ἐμοῦ πρὸς ἕκαστον τῶν ὑπὸ τούτου ῥηθησομένων ἔχηθ' ὑπολαμβάνειν ἃ δεῖ. — Σκοπεῖτ(ε). En engageant ses auditeurs à réfléchir, Démosthène savait qu'ils n'en auraient pas le temps. Le lecteur trouve que les insinuations produites contre les quatre σύνδικοι ont quelque apparence, mais s'évanouissent au plus léger examen.

5. Λεωδάμαντα : orateur considérable et appartenant, de même qu'Aristophon, au parti béotien. Cf. Eschine, *Ctésiph.*, § 138 sq.

6-7. Τὴν Χαβρίου δωρειάν, Cf. § 84. Léodamas avait aussi porté la parole contre Chabrias, ainsi que contre Callistrate, dans l'affaire d'Oropos: cf. Aristote, *Rhétor.*, I, 7. — Ἐν ᾗ.... δοθέντων, dans laquelle figure ce dont il s'agit (τοῦτο), l'immunité, comme une partie des faveurs accordées. Cf. *NC.*

9. Δίκας, procès civils. — Εὐθύνας, poursuites judiciaires au sujet d'actes commis pendant l'exercice de fonctions publiques. — Διαδικασίαν, procès pour un objet en contestation. Cf. *Halonn.*, § 7, avec la note.

14. Ἀριστοφῶντα. Cf. *Cherson.*, § 30, avec la note.

16. Τοῦτ' ἐνῆν : c'est-à-dire τὸ τῆς ἀτελείας. Cf. § 146.

ταῦτ' ἔμελλεν ὑπάρχειν λαβόντι, μηδὲν ἡγεῖσθαι δεινόν, ἐπειδὴ δ' ἑτέροις δέδοται, τηνικαῦτ' ἀγανακτεῖν καὶ πείθειν ὑμᾶς ἀφελέσθαι. [149] Καὶ μὴν καὶ Γελάρχῳ πέντε τάλαντ' ἀποδοῦναι γέγραφεν οὗτος ὡς παρασχόντι τοῖς ἐν Πειραιεῖ τοῦ δήμου, καὶ καλῶς ἐποίει. Μὴ τοίνυν ἃ μὲν ἦν ἀμάρτυρα, ταῦτ' ἐπὶ τῇ τοῦ δήμου προφάσει διὰ σοῦ δεδόσθω, ὧν δ' αὐτὸς ὁ δῆμος μαρτυρίας ἔστησεν ἐν τοῖς ἱεροῖς ἀναγράψας καὶ πάντες συνίσασιν, ταῦτ' ἀφελέσθαι παραίνει· μηδ' αὐτὸς φαίνου τά τ' ὀφειλόμεν' ὡς ἀποδοῦναι δεῖ γράφων, καὶ ἅ τις παρὰ τοῦ δήμου κεκόμισται, ταῦτ' ἀφελέσθαι παραινῶν. [150] Καὶ μὴν πρός γε Κηφισόδοτον τοσοῦτ' ἂν εἴποιμι. Οὗτός ἐστιν οὐδενὸς ἧττον, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν λεγόντων δεινὸς εἰπεῖν. Πολὺ τοίνυν
503 κάλλιον τῇ δεινότητι ταύτῃ χρῆσθαι ἐπὶ τὸ τοὺς ἀδικοῦντας ὑμᾶς κολάζειν ἢ τοὺς ἀγαθοῦ τινὸς αἰτίους ἀδικεῖν. Εἰ γὰρ ἀπεχθάνεσθαί τισι δεῖ, τοῖς ἀδικοῦσι τὸν δῆμον, οὐ τοῖς ἀγαθόν τι ποιοῦσιν ἔγωγε νομίζω δεῖν. [151] Πρὸς τοίνυν Δεινίαν· οὗτος ἴσως ἐρεῖ τριηραρχίας αὑτοῦ καὶ λῃτουργίας. Ἐγὼ δ', εἰ πολλοῦ τῇ πόλει Δεινίας ἄξιον αὑτὸν παρέσχηκεν, ὡς ἔμοιγε δοκεῖ νὴ τοὺς θεούς, μᾶλλον ἂν παραινέσαιμ' αὐτῷ τινὰ τιμὴν ὑμᾶς ἀξιοῦν δοῦναι ἢ τὰς ἑτέροις πρότερον δοθείσας ἀφελέσθαι κελεύειν· πολὺ γὰρ βελτίονος ἀνδρός ἐστιν ἐφ' οἷς αὐτὸς εὖ πεποίηκεν ἀξιοῦν τιμᾶσθαι ἢ ἐφ' οἷς ἕτεροι ποιήσαντες ἐτιμή-

NC. 1. ὑπάρξειν vulg. — 3. Γελάρχῳ. Peut-être Τελάρχῳ ou Ἀγελάρχῳ. [Reiske.] — 4. γ' ἔγραφεν Vœmel. — τοῦ δήμου. Mots suspects. [Taylor.] — 6. διδόσθω Bekker.

1. Μηδὲν ἡγεῖσθαι δεινόν, penser qu'il n'y avait pas de mal (à jouir de ce privilége).

4. Τοῖς ἐν Πειραιεῖ. Cf. § 11, avec la note. Gélarque, ou quel qu'ait été le nom de cet individu (cf. *NC.*), avait avancé de l'argent aux démocrates fugitifs du temps des Trente. Aristophon se porta garant de cette dette qui n'était attestée par aucun témoin (ἀμάρτυρα), et en obtint la restitution en invoquant l'intérêt et l'honneur du peuple (ἐπὶ τῇ τοῦ δήμου προφάσει).

5. Μὴ porte sur l'ensemble des deux membres de phrase. Cf. *Cour.*, § 179.

8. Αὐτός, *idem*, à la fois.

11. Κηφισόδοτον. Ruhnken (*Hist. crit. or. gr.*, p. 60) pense avec raison que c'est le même Céphisodote qui figure parmi les négociateurs de la paix avec Sparte en 371. Cf. Xénophon, *Hell.*, VI, III, 2; VII, I, 12 sqq.; A. Schæfer, III, II, p. 155 sq.

17. Ἐρεῖ, il dira. C'est le mot le plus simple qui soit de mise ici : il ne faut donc pas y chercher les finesses et les malices cachées que F. A. Wolf et d'autres y ont vues.

22. Ἐφ' οἷς.... φθονεῖν. Le génitif ὧν serait plus conforme à l'usage; la symétrie des deux membres de phrase a amené ἐφ' οἷς. [G. H. Schæfer.]

θησαν φθονεῖν. [152] Ὃ δὲ δὴ μέγιστον ἁπάντων καὶ κοινὸν ὑπάρχει κατὰ πάντων τῶν συνδίκων· τούτων πολλάκις εἷς ἕκαστος πρότερόν τισι πράγμασι σύνδικος γέγονεν. Ἔστι δὲ καὶ μάλ' ἔχων νόμος ὑμῖν καλῶς, οὐκ ἐπὶ τούτοις τεθείς, ἀλλ' ἵνα μὴ τὸ πρᾶγμ' ὥσπερ ἐργασία τισὶν ᾖ καὶ συκοφαντία, μὴ ἐξεῖναι ὑπὸ τοῦ δήμου χειροτονηθέντα πλεῖν ἢ ἅπαξ συνδικῆσαι. [153] Τοὺς δὴ συνεροῦντας νόμῳ, καὶ διδάξοντας ὑμᾶς ὡς ἐπιτήδειός ἐστιν, αὐτοὺς τοῖς ὑπάρχουσι νόμοις δεῖ πειθομένους φαίνεσθαι· εἰ δὲ μή, γελοῖον νόμῳ μὲν συνδικεῖν, νόμον δ' αὐτοὺς παραβαίνειν ἕτερον. Ἀνάγνωθι λαβὼν τὸν νόμον αὐτοῖς ὃν λέγω.

ΝΟΜΟΣ.

Οὗτος, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ παλαιός ἐσθ' ὁ νόμος καὶ καλῶς ἔχων, ὅν, ἐὰν σωφρονῶσι, φυλάξονται παραβαίνειν οὗτοι.

[154] Ἐγὼ δ' ἔτι μικρὰ πρὸς ὑμᾶς εἰπὼν καταβήσομαι. Ἔστι γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, πάντας μὲν τοὺς νόμους ὑμῖν, ὡς ἐγὼ νομίζω, σπουδαστέον ὡς κάλλιστ' ἔχειν, μάλιστα δὲ 504
τούτους δι' ὧν ἢ μικρὰν ἢ μεγάλην ἔστ' εἶναι τὴν πόλιν. Εἰσὶ δ' οὗτοι τίνες; οἵ τε τοῖς ἀγαθόν τι ποιοῦσι τὰς τιμὰς διδόντες καὶ οἱ τοῖς τἀναντία πράττουσι τὰς τιμωρίας. Εἰ γὰρ

NC. 2. Ponctuation vicieuse : τῶν συνδίκων τούτων· πολλάκις.... — 6. χειροτονηθέντα ὑπὸ τοῦ δήμου F et A. — πλεῖν Dindorf. πλεῖον S et L. πλέον vulg. — 7. δὴ S. δὲ L et vulg. — συναιροῦντας S. — 9. μὲν, après νόμῳ, a été omis par la première main de S à la fin d'une ligne. — 18. κάλλισστ' S[1].

3. Τισὶ πράγμασι, certaines affaires, certains intérêts publics.

4. Οὐκ ἐπὶ τούτοις τεθείς, ἀλλ' ἵνα.... La loi, dit Démosthène, n'a pas été faite, il est vrai, en vue d'hommes aussi honorables et qui n'abuseront pas de la confiance du peuple pour se créer un honteux métier (ἐργασία).

δημοσίῳ; Καὶ πάλιν τί δήποτ', ἂν μὲν ἑκὼν παρ' ἑκόντος τις λάβῃ τάλαντον ἓν ἢ δύο ἢ δέκα καὶ ταῦτ' ἀποστερήσῃ, οὐδὲν αὐτῷ πρὸς τὴν πόλιν ἐστίν, ἂν δὲ μικροῦ πάνυ τιμήματος ἄξιόν τις λάβῃ, βίᾳ δὲ τοῦτ' ἀφέληται, τὸ ἴσον τῷ δημοσίῳ προστιμᾶν οἱ νόμοι κελεύουσιν ὅσον περ δὴ τῷ ἰδιώτῃ; [45] Ὅτι πάνθ', ὅσα τις βιαζόμενος πράττει, κοίν' ἀδικήματα καὶ κατὰ τῶν ἔξω τοῦ πράγματος ὄντων ἡγεῖθ' ὁ νομοθέτης· τὴν μὲν γὰρ ἰσχὺν ὀλίγων, τοὺς δὲ νόμους ἁπάντων εἶναι, καὶ τὸν μὲν πεισθέντ' ἰδίας, τὸν δὲ βιασθέντα δημοσίας δεῖσθαι βοηθείας. Διόπερ καὶ τῆς ὕβρεως αὐτῆς τὰς μὲν γραφὰς ἔδωκεν ἅπαντι τῷ βουλομένῳ, τὸ δὲ τίμημ' ἐποίησεν ὅλον δημόσιον· τὴν γὰρ πόλιν ἡγεῖτ' ἀδικεῖν, οὐ τὸν παθόντα μόνον, τὸν ὑβρίζειν ἐπι-
529 χειροῦντα, καὶ δίκην ἱκανὴν τὴν τιμωρίαν εἶναι τῷ παθόντι, χρήματα δ' οὐ προσήκειν τῶν τοιούτων ἐφ' ἑαυτῷ λαμβάνειν. [46] Καὶ τοσαύτῃ γ' ἐχρήσαθ' ὑπερβολῇ, ὥστε κἂν εἰς δοῦλον ὑβρίζῃ τις, ὁμοίως ἔδωκεν ὑπὲρ τούτου γραφήν. Οὐ γὰρ ὅστις ὁ πάσχων ᾤετο δεῖν σκοπεῖν, ἀλλὰ τὸ πρᾶγμ' ὁποῖόν τι τὸ γιγνόμενον· ἐπειδὴ δ' εὗρεν οὐκ ἐπιτήδειον, μήτε πρὸς δοῦλον μήθ' ὅλως ἐξεῖναι πράττειν ἐπέτρεψεν. Οὐ γάρ ἐστιν, οὐκ ἔστιν, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν πάντων οὐδὲν ὕβρεως ἀφορητότερον, οὐδ' ἐφ' ὅτῳ μᾶλλον ὑμῖν ὀργίζεσθαι προσήκει. Ἀνάγνωθι δ' αὐ-

NC. 5. δή. A : ἄν. — ἰδιώτῃ; διὰ τί; ὅτι vulg. — 12. οὐ S seul. οὐχὶ vulg.— 13. τὴν, entre ἱκανὴν et τιμωρίαν, est omis dans S seul.— 19. Variante : ἐπέταξεν.

tung, p. 496. Du reste, l'action prenait plus de gravité, parce qu'il y avait mépris de la chose jugée, et non par la raison que Démosthene imagine pour le besoin de sa thèse.

2-4. Ταῦτ' ἀποστερήσῃ, ne les a pas rendus. — Μικροῦ πάνυ τιμήματος ἄξιόν τις λάβῃ, si quelqu'un prend un objet dont la valeur n'entraîne qu'une amende minime. On voit que le mot τιμήματος n'est pas superflu.

7-9. Τὴν μὲν γὰρ ἰσχὺν.... εἶναι, la violence (pensait le législateur) est dans l'intérêt d'un petit nombre (des puissants, des riches insolents, des oligarques), la loi est dans l'intérêt de tous. Tel est, ce me semble, le sens de ces mots. — Πεισθέντ(α). Il s'agit du créancier qui a prêté de l'argent volontairement; cf. ligne 2.

10. Τὰς μὲν γραφὰς ἔδωκεν ἅπαντι, il donne à tout citoyen (non-seulement à l'outragé) le droit d'intenter la poursuite, de s'ériger en ministère public, comme nous dirions. C'est un des caractères distinctifs de la cause publique, γραφή.

14. Ἐφ' ἑαυτῷ, pour soi-même, pour son injure personnelle. La traduction de G. H. Schæfer « ad semet ipsum vindicare » me semble difficile à justifier.

15. Τοσαύτῃ γ' ἐχρήσαθ' ὑπερβολῇ, il alla jusqu'à.

18. Οὐκ ἐπιτήδειον. A propos de la même loi, Eschine, *Timarque*, § 17, dit avec plus de force : Ἐν τῇ δημοκρατίᾳ

τόν μοι λαβὼν τὸν τῆς ὕβρεως νόμον· οὐδὲν γὰρ οἷον ἀκούειν αὐτοῦ τοῦ νόμου.

ΝΟΜΟΣ.

[47] « Ἐάν τις ὑβρίσῃ εἴς τινα, ἢ παῖδα ἢ γυναῖκα ἢ ἄνδρα, τῶν ἐλευθέρων ἢ τῶν δούλων, ἢ παράνομόν τι ποιήσῃ εἰς τούτων τινά, γραφέσθω πρὸς τοὺς θεσμοθέτας ὁ βουλόμενος Ἀθηναίων οἷς ἔξεστιν, οἱ δὲ θεσμοθέται εἰσαγόντων εἰς τὴν ἡλιαίαν τριάκοντα ἡμερῶν ἀφ' ἧς ἂν <ἣ> ἡ γραφή, ἐὰν μή τι δημόσιον κωλύῃ, εἰ δὲ μή, ὅταν ᾖ πρῶτον οἷόν τε. Ὅτου δ' ἂν καταγνῷ ἡ ἡλιαία, τιμάτω περὶ αὐτοῦ παραχρῆμα, ὅτου ἂν δοκῇ ἄξιος εἶναι παθεῖν ἢ ἀποτεῖσαι. Ὅσοι δ' ἂν γράφωνται γραφὰς ἰδίας κατὰ τὸν νόμον, ἐάν τις μὴ ἐπεξέλθῃ ἢ ἐπεξιὼν μὴ μεταλάβῃ τὸ πέμπτον μέρος τῶν ψήφων, ἀποτεισάτω χιλίας

NC. 1. λαβὼν est omis dans S, A et d'autres manuscrits. — 4. ὑβρίζῃ S et vulg. — 8. ἣ, avant ἡ, est dû à Markland. — 10. καταγνῷ Lambin, καταγνῶτε manuscrits. καταγνωσθῇ H. Wolf. — ἡ est ajouté dans S, peut-être par le réviseur. — τιμάτω S.

τὸν εἰς ὁτιοῦν ὑβριστὴν, τοῦτον οὐκ ἐπιτήδειον εἶναι ἡγήσατο συμπολιτεύεσθαι.

1. Οὐδὲν γὰρ οἷον, rien n'est tel que.

4-6. Ἐάν τις ὑβρίσῃ.... εἰς τούτων τινά. Eschine (*Timarque*, § 15) atteste que la loi contenait ces mots; et c'est là une grande présomption d'authenticité en faveur du document présent. Il est vrai que Westermann (*l. c.*, p. 25) retourne l'argument : il prétend qu'un faussaire a pris ces mots dans Eschine. Cela n'est guère probable. On voit du moins que celui qui s'est amusé à insérer des documents de fantaisie dans le discours de la *Couronne* n'a pas même pris la peine de consulter le discours correspondant d'Eschine.

7. Οἷς ἔξεστιν : ceux qui ne sont pas privés de ce droit par l'*atimie*. [G. H. Schæfer.]

8-9. Τριάκοντα ἡμερῶν. Westermann objecte que la γραφὴ ὕβρεως n'était certainement pas du nombre des causes d'une nature toute spéciale qui devaient être jugées dans le délai d'un mois. Mais l'institution de ce qu'on appelait ἔμμηνοι δίκαι ne date que du temps de Démosthène. Anciennement, quand les procès étaient moins nombreux, le terme de trente jours pouvait être prescrit pour d'autres affaires ; la restriction ajoutée permettait toujours de dépasser ce terme. — Εἰ δὲ μή, sinon, c'est-à-dire si les thesmothètes ne peuvent observer ce délai.

10. Παραχρῆμα. A quoi bon ajouter « aussitôt », puisque ce second arrêt était toujours rendu immédiatement après le premier? [Westermann.]

11-1. Ὅσοι δ' ἂν γράφωνται γραφὰς ἰδίας.... τῷ δημοσίῳ. Il en était ainsi dans toutes les γραφαί. Mais, comme la ὕβρις, à la différence de beaucoup d'autres délits, est toujours commise sur un individu, cet article statue que les pénalités encourues dans certains cas par l'accusateur, frapperont aussi ceux qui poursuivront la punition de leur propre injure. Voy. Bœckh, *l. c.*, p. 493. — Il faut accorder à Westermann que cet article se trouverait mieux placé plus haut ou plus bas.

δραχμὰς τῷ δημοσίῳ. Ἐὰν δὲ ἀργυρίου τιμηθῇ τῆς ὕβρεως, δεδέσθω, ἐὰν ἐλεύθερον ὑβρίσῃ, μέχρι ἂν ἐκτείσῃ. »

[48] Ἀκούετ', ὦ ἄνδρες Ἀθηναῖοι, τοῦ νόμου τῆς φιλανθρω-
530 πίας, ὃς οὐδὲ τοὺς δούλους ὑβρίζεσθαι ἀξιοῖ. Τί οὖν πρὸς θεῶν; εἴ τις εἰς τοὺς βαρβάρους ἐνεγκὼν τὸν νόμον τοῦτον, παρ' ὧν τἀνδράποδ' εἰς τοὺς Ἕλληνας κομίζεται, ἐπαινῶν ὑμᾶς καὶ διεξιὼν περὶ τῆς πόλεως εἴποι πρὸς αὐτοὺς ὅτι [49] « εἰσὶν « Ἕλληνές τινες ἄνθρωποι οὕτως ἥμεροι καὶ φιλάνθρωποι τοὺς « τρόπους ὥστε πόλλ' ὑφ' ὑμῶν ἠδικημένοι, καὶ φύσει τῆς « πρὸς ὑμᾶς ἔχθρας αὐτοῖς ὑπαρχούσης πατρικῆς, ὅμως « οὐδ' ὅσων ἂν τιμὴν καταθέντες δούλους κτήσωνται, οὐδὲ « τούτους ὑβρίζειν ἀξιοῦσιν, ἀλλὰ νόμον δημοσίᾳ τὸν ταῦτα « κωλύσοντα τέθεινται τουτονὶ καὶ πολλοὺς ἤδη παραβάντας « τὸν νόμον τοῦτον ἐζημιώκασι θανάτῳ, » [50] εἰ ταῦτ' ἀκούσαιεν καὶ συνεῖεν οἱ βάρβαροι, οὐκ ἂν οἴεσθε δημοσίᾳ πάντας ὑμᾶς προξένους αὐτῶν ποιήσασθαι; Τὸν τοίνυν οὐ παρὰ τοῖς Ἕλλησι μόνον εὐδοκιμοῦντα νόμον, ἀλλὰ καὶ παρὰ τοῖς βαρβάροις εὖ δόξαντ' ἂν ἔχειν, σκοπεῖσθ' ὁ παραβὰς ἥντινα δοὺς δίκην ἀξίαν ἔσται δεδωκώς.

[51] Εἰ μὲν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, μὴ χορηγὸς ὢν ταῦτ' ἐπεπόνθειν ὑπὸ Μειδίου, ὕβριν ἄν τις μόνον κατέγνω τῶν πεπραγμένων αὐτῷ· νῦν δέ μοι δοκεῖ, κἂν ἀσέβειαν εἰ

NC. 1. τῆς ὕβρεως. Ces mots sont supprimés par Taylor. Westermann propose τις ὑβρίσας. On pourrait aussi ajouter τῷ αἰτίῳ. — ἐαν δὲ ελεύθερον S, F. — 8. τινες Ἕλληνες F. — 11. [δούλους] Cobet. — 13. ἤδη est omis dans S seul. — 15-16. συνιεν et αὐτῷ S¹, l'un et l'autre corrigés par le réviseur. — ἡμᾶς ancienne vulgate.

2. Ἐὰν ἐλεύθερον ὑβρίσῃ. Ces mots disent assez que celui qui avait outragé un esclave était moins rigoureusement traité.

5. Εἰς τοὺς βαρβάρους ἐνεγκών. Dans Euripide (*Héc.*, 291), la Troyenne Hécube invoque en faveur de sa fille devenue esclave l'égalité entre l'esclave et l'homme libre admise par la loi athénienne sur l'homicide : Νόμος δ' ἐν ὑμῖν τοῖς τ' ἐλευθέροις ἴσος ‖ καὶ τοῖσι δούλοις αἵματος κεῖται πέρι.

9-10. Φύσει.... ἔχθρας. Cf. Euripide, *Héc.*, 1199 : Οὔποτ' ἂν φίλον ‖ τὸ βάρβαρον γένοιτ' ἂν Ἕλλησιν γένος, ‖ οὐδ' ἂν δύναιτο.

11. Ὅσων ἄν.... κτήσωνται. Le verbe demanderait ὅσους; mais, d'après l'usage grec, le relatif est construit avec les mots les plus proches, τιμὴν καταθέντες

18. Δόξαντ' ἄν. Il leur semblerait tel, s'ils en entendaient parler et s'ils le comprenaient.

22. Κἂν.... εἰ. La particule ἄν, fondue par un long usage avec καὶ εἰ, doit être rapportée à l'infinitif ποιεῖν. [Ph. Buttmann.] — La tournure de ces mots indique

καταγιγνώσκοι, τὰ προσήκοντα ποιεῖν. Ἴστε γὰρ δήπου τοῦθ', ὅτι τοὺς χοροὺς ὑμεῖς ἅπαντας τούτους καὶ τοὺς ὕμνους τῷ θεῷ ποιεῖτ', οὐ μόνον κατὰ τοὺς νόμους τοὺς περὶ τῶν Διονυσίων, ἀλλὰ καὶ κατὰ τὰς μαντείας, ἐν αἷς ἁπάσαις ἀνῃρημένον εὑρήσετε τῇ πόλει, ὁμοίως ἐκ Δελφῶν καὶ ἐκ Δωδώνης, χοροὺς ἱστάναι κατὰ τὰ πάτρια καὶ κνισᾶν ἀγυιὰς καὶ στεφανηφορεῖν. [52] Ἀνάγνωθι δέ μοι λαβὼν αὐτὰς τὰς μαντείας.

ΜΑΝΤΕΙΑΙ. 531

« Αὐδῶ Ἐρεχθείδῃσιν, ὅσοι Πανδίονος ἄστυ
ναίετε καὶ πατρίοισι νόμοις ἰθύνεθ' ἑορτάς,
μεμνῆσθαι Βάκχοιο, καὶ εὐρυχόρους κατ' ἀγυιὰς
ἱστάναι ὡραίων Βρομίῳ χάριν ἄμμιγα πάντας,
καὶ κνισᾶν βωμοῖσι, κάρη στεφάνοις πυκάσαντας. »

« Περὶ ὑγιείας θύειν καὶ εὔχεσθαι Διὶ ὑπάτῳ, Ἡρακλεῖ, Ἀπόλλωνι προστατηρίῳ· περὶ τύχας ἀγαθᾶς Ἀπόλλωνι ἀγυιεῖ,

NC. 1. καταγιγνώσκοι (καταγιγνώσκει ancienne vulgate) τις F. — 2. τούτους καὶ τοὺς ὕμνους : οὓς (ce dernier mot biffé par la première main) S. τούτους ὕμνους A, F. — 3. ποιεῖσθε F. — 6. ἀγυιάς. Harpocration préfère l'accentuation ἀγυιᾶς, en ajoutant : Ἀγυιεὺς δέ ἐστι κίων εἰς ὀξὺ λήγων ὃν ἱστᾶσι πρὸ τῶν θυρῶν.... Εἶεν δ' ἂν οἱ παρὰ τοῖς Ἀττικοῖς λεγόμενοι ἀγυιεῖς οἱ πρὸ τῶν οἰκιῶν βωμοί. Dans la scholie : ἀγυίας (ἀγυιὰς Dindorf) γὰρ τοὺς Ἑρμᾶς ἐκάλουν, il faut aussi écrire ἀγυιᾶς. — 9. Ἐρεχθείδῃσιν Meier. ερεχθιδεσσι S. — πανδειονος, corrigé par la première main, S. — 11. βάκχοο S[1], βάκχοιο, réviseur. — 13. κνισᾶιν et πυκνάσαντας S. — 14. διει S[1]. — καὶ ηρακλεῖ, S, F. — 15. αγυειλατου S[1], le premier υ biffé et ω écrit au-dessus de ου par le réviseur.

assez que Démosthène ne formule pas contre Midias une poursuite ἀσεβείας. Le scholiaste l'a déjà fait remarquer. Il n'en est pas moins vrai qu'il l'accuse formellement d'avoir violé la loi Dionysiaque, ce qui ne constitue pas (la suite de ce paragraphe le prouve) une ἀσέβεια proprement dite, mais un περὶ τὴν ἑορτὴν ἀδίκημα.

4. Ἁπάσαις. Cf. § 54.

12. Ὡραίων.... χάριν, « gratiam sacrorum solemnium ». Cf. Hesychios : Ὡραῖα.... καὶ ἐπὶ τῶν καθ' ὥραν συντελουμένων ἱερῶν. Le verbe ἱστάναι dit assez que cette périphrase désigne des chœurs dansant dans les rues. [G. H. Schæfer.] — Ἄμμιγα πάντας. Cf. ἐλευθέρους καὶ δούλους, dans l'oracle de Dodone. Voilà bien le caractère populaire, démocratique, des fêtes de Bacchus.

14. Περὶ ὑγιείας. Si cet oracle était cité en entier, on verrait peut-être qu'il fut rendu à propos d'une épidémie. Dans un oracle analogue, qu'on lit dans le *Contre Macartatos*, § 66, l'occasion qui le provoqua (un signe dans le ciel) est indiquée.

15. Προστατηρίῳ. Hesychios : Τὸν Ἀπόλλωνα οὕτω λέγουσι, παρόσον πρὸ τῶν θυρῶν αὐτὸν ἀφιδρύοντο. Cf. Sophocle, *Électre*, 637. — Ἀγυιεῖ. Cf. l. 6, NC.

Λατοῖ, Ἀρτέμιδι, καὶ κατ' ἀγυιὰς κρατῆρας ἱστάμεν καὶ χοροὺς καὶ στεφανηφορεῖν καττὰ πάτρια θεοῖς Ὀλυμπίοις πάντεσσι καὶ πάσαις, λιτὰς δεξιὰς καὶ ἀριστερὰς ἀνίσχοντες, καὶ μνασιδωρεῖν. »

ΕΚ ΔΩΔΩΝΗΣ ΜΑΝΤΕΙΑΙ.

[53] « Τῷ δήμῳ τῷ Ἀθηναίων ὁ τοῦ Διὸς σημαίνει, ὅτι τὰς ὥρας παρηνέγκατε τῆς θυσίας καὶ τῆς θεωρίας, αἱρετοὺς πέμπειν [κελεύει] θεωροὺς εἵνεκα τούτου διὰ ταχέων, <καὶ> τῷ Διὶ τῷ Ναΐῳ τρεῖς βοῦς καὶ πρὸς ἑκάστῳ βοὶ δύο οἶς, τῇ Διώνῃ βοῦν καὶ ἄρνα ἱερεῖα, καὶ τράπεζαν χαλκῆν [καὶ] πρὸς τὸ ἀνάθημα ὃ ἀνέθηκεν ὁ δῆμος ὁ Ἀθηναίων.

NC. 2. καττὰ Ph. Buttmann : cf. *Macart.*, § 66. κατατά S. κατὰ un groupe de manuscrits.— 3. λιτὰς est notre correction. ἰδίας manuscrits. ΛΙΤΑΣ, écrit par erreur ΔΙΙΑΣ, aura donné lieu à cette mauvaise leçon. ὁσίας H. Wolf. ἰθείας Ph. Buttmann. — ἀνισχοντες, les deux dernières lettres sur un grattage, S. — 5. μαντεία P (*Laurentianus* LIX, n° 9), d'après Bekker.— 7. παρήκατε Cobet. —θεωρείας S[1]. — 8. [κελεύει] Cobet.— ἕνεκα (nous avons écrit εἵνεκα) τούτου Ph. Buttmann. ἐννέα καὶ τούτου τοὺς manuscrits. ἐννέα καὶ τούτους vulg. — καὶ est dû à Bœckh, *C. Inscr.*, II, p. 679.— 8-9. τῷ Ναΐῳ τρεῖς Ph. Buttmann. των αρω τρις S. τῶν ἄρω, τρις F τῷ Ναρῷ τρεῖς Bekker. — 9. βοὶ δύο οἶς Dobree. δύο βοησεις, avec un ι (de première main) entre ο et η dans l'interligne, S. δύο βοιήσεις manuscrits. δύο ὄϊς Taylor.— τῆι διωνη S, F. τῇ δὲ Διώνῃ vulg. La conjonction ne nous semble pas nécessaire dans une pièce de ce genre. — 10. καὶ ἄρνα ἱερεῖα Bœckh. καὶ ἄλλα ἱερεῖα manuscrits. καλλιερεῖν Sauppe. — χαλχην S[1]. καὶ, avant πρός, a été écarté par Reiske.

3-4. Λιτάς, suppliantes. Cf. Pindare, *Ol.* VI, 78 : Ἐδώρησαν θεῶν κάρυκα λιταῖς θυσίαις ; *Pyth*, IV, 217 : Λιτάς τ' ἐπαοιδὰς ἐκδιδάσκησεν. Pindare pourrait avoir emprunté cet adjectif au vocabulaire des oracles de Delphes. On peut aussi comparer la locution, plus conforme à l'usage, χειροτόνους λιτάς (substantif), Eschyle, *Sept Chefs*, 172.

4. Μνασιδωρεῖν signifie, je crois, promettre des offrandes. Δωροτελεῖν y est opposé dans *Macart.*, l. c.

6. Ὁ τοῦ Διός : sous-ent. προφήτης. C'est le prêtre qui transmet la réponse du dieu. Voy. Valckenaer, *ad Herodot.*, VII, 111.

7. Παρηνέγκατε, Cf. NC. La leçon des mss. ne veut pas dire « vous avez laissé passer », mais « vous avez transposé. » Cela est peut-être arrivé, par suite d'une réforme du calendrier. Cf. Aristophane, *Nuées*, 607 sqq.

8-9. Τῷ Διὶ τῷ Ναΐῳ. A Dodone, Jupiter était adoré comme dieu des eaux fécondes, Νάϊος. Cf. Stephanus Byz., art. Δωδώνη ; Scholies d'Homère, *Iliad.*, XVI, 233 ; *Anecdota græca* Bekkeri, p. 283, 22 ; *Corpus inscriptionum græcarum*, t. II, p. 679. Un buste du musée de Berlin représente ce dieu couronné de chêne, les cheveux et la barbe humides. Voyez les nombreuses inscriptions publiées en 1878 par M. Carapanos, *Dodone et ses ruines*. — Καὶ... δύο οἶς. On rapproche la glose de Festus : « Ambegni « bos et vervex appellabantur, quum ad « eorum utraque latera agni in sacrificium « ducebantur. »

10. Τὸ ἀνάθημα a peut-être ici le sens collectif, et équivaut à ce qui s'appelle ordinairement θησαυρός, l'endroit du sanctuaire où sont déposées les offrandes d'une ville.

Ὁ τοῦ Διὸς σημαίνει ἐν Δωδώνῃ, Διονύσῳ δημοτελῆ ἱερὰ τελεῖν καὶ κρατῆρα κεράσαι καὶ χοροὺς ἱστάναι, Ἀπόλλωνι ἀποτροπαίῳ βοῦν θῦσαι, καὶ στεφανηφορεῖν ἐλευθέρους καὶ δούλους, καὶ ἐλινύειν μίαν ἡμέραν. Διὶ κτησίῳ βοῦν λευκόν. »

[54] Εἰσὶν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ αὗται καὶ ἄλλαι πολλαὶ μαντεῖαι τῇ πόλει κἀγαθαί. Τί οὖν ἐκ τούτων ὑμᾶς ἐνθυμεῖσθαι 532 δεῖ; ὅτι τὰς μὲν ἄλλας θυσίας τοῖς ἐφ' ἑκάστης μαντείας προφαινομένοις θεοῖς προστάττουσι θύειν, ἱστάναι δὲ χοροὺς καὶ στεφανηφορεῖν κατὰ τὰ πάτρια πρὸς ἁπάσαις ταῖς ἀφικνουμέναις μαντείαις προσαναιροῦσιν ὑμῖν. [55] Οἱ τοίνυν χοροὶ πάντες οἱ γιγνόμενοι καὶ οἱ χορηγοὶ δῆλον ὅτι τὰς μὲν ἡμέρας ἐκείνας, ἃς συνερχόμεθ' ἐπὶ τὸν ἀγῶνα, κατὰ τὰς μαντείας ταύτας ὑπὲρ ἁπάντων ἐστεφανώμεθα, ὁμοίως ὅ τε μέλλων νικᾶν καὶ ὁ πάντων ὕστατος γενήσεσθαι, τῇ δὲ τῶν ἐπινικίων ὑπὲρ αὑτοῦ τότ' ἤδη στεφανοῦται ὁ νικῶν. Τὸν οὖν εἴς τινα τούτων τῶν χορευτῶν ἢ τῶν χορηγῶν ὑβρίζοντ' ἐπ' ἔχθρᾳ, καὶ ταῦτ' ἐν

NC. 1. Avant ὁ τοῦ Διός, il faut peut-être insérer καὶ πρός : cf. p. 126, l. 10. Les deux oracles n'en font probablement qu'un seul. Dobree voulait supprimer les mots : Ὁ.... Δωδώνῃ. — σημαίνει Lambin. σημαίν' (S) ou σήμαιν' manuscrits. — 1-2. δημοτελῆ ἱερὰ τελεῖν Ph. Buttmann. δημοτελεῖ ἱερεῖον τέλειον manuscrits. — 2-3. Les mots Ἀπόλλωνι.... θῦσαι se placeraient mieux après ἡμέραν. Car καὶ στεφανηφορεῖν κτλ. se rattache à καὶ χοροὺς ἱστάναι. Dobree voulait, au contraire, transposer Διί.... λευκόν après θῦσαι. — 4. ελεεινυειν S. ἐλεεῖν θύειν vulg. — 5. πολλαι deux fois, le second pointé de première main, S. — 6. ἐν τῇ F. — καὶ ἀγαθαί S. καλαὶ κἀγαθαί vulg. — 9. ἁπάσαις ἀεὶ A. — 12. Nous avons placé après ἀγῶνα la virgule qu'on mettait, en dépit du sens, après ταύτας. — 13. ἁπάντων est notre correction. αὐτῶν (erreur) S. ὑμῶν (glose) A, F. περὶ αὐτῶν vulg. τῶν θεῶν δηλονότι ἁπάντων schol. — ἐστεφανώμεθα A et schol. στεφανούμεθα vulg. ἐστεφανουμεθα S, F : leçon qui indique les deux variantes. — 14. τῇ Herwerden. τὴν mss.

1. Ὁ τοῦ Διός.... Ceci n'est probablement pas un autre oracle, mais la suite du précédent. Autrement la citation de ce dernier n'aurait aucun à-propos. Cf. *NC*. — Δημοτελῆ ἱερά, c'est-à-dire, suivant Hésychios, εἰς ἃ θύματα δίδωσιν ἡ πόλις· δημοτικὰ δὲ, εἰς ἃ ὁ δῆμος. Cf. Hérodote, VI, 57; Thucydide, II, 15. [Ph. Buttmann.]

4. Ἐλινύειν, chômer. Cf. Plutarque, *Numa*, 14. — Διὶ κτησίῳ. Suidas : Κτήσιον Δία ἐν τοῖς ταμείοις ἵδρυντο ὡς πλουτοδότην.

6-8. Ἐκ τούτων, d'après ces oracles. — Προφαινομένοις équivaut à προενεχθεῖσι, révélés, désignés par la révélation.—Προστάττουσι a pour sujet les oracles, les prophètes, de Delphes et de Dodone.

12-15. Κατὰ.... ταύτας. Ces mots essentiels justifient le reproche d'impiété. Cf *NC*. — Ὑπὲρ ἁπάντων, pour toute la cité. — Ἐστεφανώμεθα, nous (chœurs et

αὐτῷ τῷ ἀγῶνι καὶ ἐν τῷ τοῦ θεοῦ ἱερῷ, τοῦτον ἄλλο τι πλὴν ἀσεβεῖν φήσομεν;

[56] Καὶ μὴν ἴστε γε τοῦθ', ὅτι, βουλόμενοι μηδέν' ἀγωνίζεσθαι ξένον, οὐκ ἐδώκαθ' ἁπλῶς τῶν χορηγῶν οὐδενὶ προσκαλέσαντι τοὺς χορευτὰς σκοπεῖν, ἀλλ' ἐὰν μὲν καλέσῃ, πεντήκοντα δραχμάς, ἐὰν δὲ καθίζεσθαι κελεύσῃ, χιλίας ἀποτίνειν ἐτάξατε. Τίνος ἕνεκα; ὅπως μὴ τὸν ἐστεφανωμένον καὶ λῃτουργοῦντα τῷ θεῷ ταύτην τὴν ἡμέραν καλῇ μηδ' ἐπηρεάζῃ μηδ' ὑβρίζῃ μηδεὶς ἐξεπίτηδες. [57] Εἶτα τὸν μὲν χορευτὴν οὐδ' ὁ προσκαλέσας κατὰ τὸν νόμον ἀζήμιος ἔσται, τὸν δὲ χορηγὸν οὐδ' ὁ συγκόψας παρὰ πάντας τοὺς νόμους οὕτω φανερῶς δώσει δίκην; Ἀλλὰ μὴν οὐδέν ἐστ' ὄφελος καλῶς καὶ φιλανθρώπως τοὺς νόμους ὑπὲρ τῶν πολλῶν κεῖσθαι, εἰ τοῖς
533 ἀπειθοῦσι καὶ βιαζομένοις αὐτοὺς ἡ παρ' ὑμῶν ὀργὴ τῶν ἀεὶ κυρίων μὴ γενήσεται.

[58] Φέρε δὴ πρὸς θεῶν κἀκεῖνο σκέψασθε. Παραιτήσομαι δ' ὑμᾶς μηδὲν ἀχθεσθῆναί μοι, ἂν ἐπὶ συμφοραῖς τινων γεγονυίαις ὀνομαστὶ μνησθῶ· οὐ γὰρ ὀνειδίσαι μὰ τοὺς θεοὺς οὐδενὶ

NC. 1. αλλ' ὅτι (imparfaitement corrigé par le réviseur) S[1]. — 3. μηδὲν S. — 10-11. χορηγὸν αὐτὸν, A, F — 12. δώσει S seul. οὐ δώσει vulg. « Quod ipsum quoque dici poterat, » dit Dindorf. J'en doute fort. — 14. απειθουσιν S. — ὀργηι, avant grattage, S. — 17-18. ἐὰν S. — J'écris γεγονυίαις pour γεγονότων. Cobet voulait ἐν συμφοραῖς. — ὀνομαστὶ Reiske. ὀνόματι mss.

choréges) paraissons couronnés. Mais le vainqueur reçoit la couronne, στεφανοῦται [Ph. Buttmann.]

3-9. Βουλόμενοι, tout en voulant. Bien que la loi d'Athènes exclût les étrangers du droit de concourir aux jeux publics, elle n'autorisait cependant pas les choréges d'une manière absolue (ἁπλῶς) à citer devant l'archonte (cf. § 60) les choreutes d'un chœur rival, afin d'examiner s'ils étaient vraiment citoyens. Appeler à cet examen un choreute qui pendant ce jour fonctionnait en l'honneur du dieu et qui, à ce titre, portait une couronne (ἐστεφανωμένον καὶ ...ταύτην τὴν ἡμ.), c'était un délit puni d'une amende de cinquante drachmes; le forcer à quitter l'orchestre et à s'asseoir parmi les spectateurs, de mille drachmes. [Scholiaste.] Comme Démosthène se sert quatre fois de l'actif προσκαλέσαντι, καλέσῃ, etc., au lieu du moyen usité en pareil cas (cf. § 60), Dobree entend ici un examen fait par le chorége lui-même en vertu de ses fonctions.

10. Ὁ προσκαλέσας κατὰ τὸν νόμον. L'orateur s'exprime ainsi pour faire une antithèse oratoire, κακούργως, dit le scholiaste (ce qui est un éloge, non une critique). La loi sur le privilége des citoyens permettait ces citations d'une manière générale; mais il s'entend qu'une autre loi les interdisait pendant la fête.

13-15. Ὑπὲρ τῶν πολλῶν, dans l'intérêt du grand nombre, pour protéger les faibles contre les forts et les puissants. Cf. § 45 : Τὴν μὲν γὰρ ἰσχὺν ὀλίγων.... εἶναι, et *passim*. L'orateur insiste souvent sur cette considération. — Τῶν ἀεὶ κυρίων, les juges souverains qui ont à décider dans chaque cas particulier. Scholiaste: τῶν λαχόντων δικάζειν.

17-18. Ἐπὶ ...γεγονυίαις, à propos des

δυσχερὲς οὐδὲν βουλόμενος τοῦτο ποιήσω, ἀλλὰ δεῖξαι τὸ βιάζεσθαι καὶ ὑβρίζειν καὶ τὰ τοιαῦτα ποιεῖν ὡς ἅπαντες ὑμεῖς οἱ ἄλλοι φεύγετε. Σαννίων ἐστὶ δήπου τις ὁ τοὺς τραγικοὺς χοροὺς διδάσκων· οὗτος ἀστρατείας ἥλω καὶ κέχρηται συμφορᾷ. [59] Τοῦτον μετὰ τὴν ἀτυχίαν ταύτην ἐμισθώσατό τις φιλονεικῶν χορηγὸς τραγῳδῶν, οἶμαι, Θεοζοτίδης. Τὸ μὲν οὖν πρῶτον ἠγανάκτουν οἱ ἀντιχορηγοὶ καὶ κωλύσειν ἔφασαν, ὡς δ' ἐπληρώθη τὸ θέατρον καὶ τὸν ὄχλον συνειλεγμένον εἶδον ἐπὶ τὸν ἀγῶνα, ὤκνησαν, εἴασαν, οὐδεὶς ἥψατο, ἀλλὰ τοσοῦτον τῆς εὐσεβείας ἐν ἑκάστῳ τις ἂν ὑμῶν ἴδοι τὸ συγκεχωρηκὸς ὥστε πάντα τὸν μετὰ ταῦτα χρόνον διδάσκει τοὺς χοροὺς καὶ οὐδὲ τῶν ἰδίων ἐχθρῶν οὐδεὶς κωλύει· τοσοῦτ' ἀπέχει τῶν χορηγῶν. [60] Ἄλλος ἐστὶν Ἀριστείδης Οἰνηΐδος φυλῆς, ἠτυχηκώς τι καὶ οὗτος τοιοῦτον, ὃς νῦν μὲν καὶ γέρων ἐστὶν ἤδη καὶ ἴσως ἥττων χορευτής, ἦν δέ ποθ' ἡγεμὼν τῆς φυλῆς [κορυφαῖος]. Ἴστε δὲ δήπου τοῦθ', ὅτι τὸν ἡγεμόν' ἂν ἀφέλῃ τις, οἴχεται ὁ λοιπὸς χορός. Ἀλλ' ὅμως πολλῶν χορηγῶν φιλονεικησάντων

NC. 3. εστιν S. — 4. εαλω S. — 5. φιλονικων S. — 6. θεο(grattage de première main)ζοτίδης S. Dindorf cite *Corp. inscr. gr.*, I, p. 307, et Platon, *Apol.*, p. 33 E. Θεοσδοτίδης vulgo. — 10. τὸ συγκεχωρηκὸς A. συγκεχωρηκὸς S et vulg. — 12. τῶν χορηγῶν S seul, et schol. τοῦ (ou τῶν, ou τοῦ τῶν, ou τοῦ τὸν) χορηγῶν (ou χορηγὸν) τινὸς ἅψασθαι vulg. — 15. κορυφαῖος. Nous pensons, avec Dobree, que ce mot est une glose. Pollux, IV, 106, donne ἡγεμὼν χοροῦ, κορυφαῖος χοροῦ, évidemment comme synonymes. — 16. ἀφέληται A.

malheurs qui leur sont arrivés. Τινων dépend de μνησθῶ.

3-4. Σαννίων. Vrai nom de comédien, probablement un sobriquet. — Ἀστρατείας ἥλω. Dégradé, par suite de cette condamnation, de ses droits de citoyen, devenu ἄτιμος, Sannion ne pouvait plus exercer les fonctions de χοροδιδάσκαλος.

5-6. Φιλονεικῶν, par grand désir de vaincre. — Θεοζοτίδης, pour Θεοσδοτίδης, comme Ἀθήναζε pour Ἀθήνασδε.

9-10. Τοσοῦτον.... Construisez : Ἴδοι τις ἂν ἐν ἑκάστῳ ὑμῶν τοσοῦτον τὸ συγκεχωρηκὸς τῆς εὐσεβείας, on peut voir dans chacun de vous un si grand fond de pieuse condescendance, une si grande disposition à renoncer à son droit strict par scrupule religieux. Le participe avec l'article est employé substantivement : cf. τὸ δεδιὸς αὐτοῦ et τὸ θαρσοῦν (Thucydide, I, 36), τὸ ἀνειμένον, etc. Dindorf cite Aristide, t. II, p. 151 : Τότε τοίνυν αὐτὸν προσεῖπον Ὀλύμπιον· τοσοῦτον ἦν τὸ συγκεχωρηκός, et autres passages de ce rhéteur, qui savait son Démosthène par cœur.

12. Τοσοῦτ' ἀπέχει τῶν χορηγῶν, s.-ent. τινα κωλύειν. [G. H. Schæfer.] Comme les ennemis personnels ne l'en empêchent pas, à plus forte raison les choréges (qui n'auraient que des motifs de rivalité) n'en font-ils rien. Scholiaste : Οὐδεὶς ἐχθρῶν ἐκώλυσε· πόσῳ γε μὴν (lisez : μεῖον) χορηγῶν τις;

13-14. Ἠτυχηκώς τι.... τοιοῦτον. Il avait subi une condamnation entraînant la dégradation civique.

15. Ἦν.... ἡγεμὼν τῆς φυλῆς, il conduisait sa tribu, c'est-à-dire le chœur fourni par sa tribu.

οὐδεὶς πώποτε τοῦτ' εἶδε τὸ πλεονέκτημα, οὐδ' ἐτόλμησε τοῦτον ἐξαγαγεῖν οὐδὲ κωλῦσαι· διὰ γὰρ τὸ δεῖν αὐτὸν ἐπιλαβό-
534 μενον τῇ χειρὶ τοῦτο ποιῆσαι καὶ μὴ προσκαλέσασθαι πρὸς τὸν ἄρχοντα ἐξεῖναι, ὥσπερ ἂν εἰ ξένον τις ἐξαγαγεῖν ἐβούλετο, ἅπας τις ὤκνει τῆς ἀσελγείας ταύτης αὐτόχειρ ὀφθῆναι γιγνόμενος. [61] Οὔκουν δεινὸν, ὦ ἄνδρες δικασταὶ, καὶ σχέτλιον τῶν μὲν νικᾶν ἂν [ταυτὶ] παρὰ τοῦτ' οἰομένων χορηγῶν, τῶν ἀνηλωκότων πολλάκις πάντα τὰ ὄντ' εἰς τὰς λειτουργίας, μηδένα τολμῆσαι πώποτε μηδ' ὧν οἱ νόμοι διδόασιν ἅψασθαι, ἀλλ' οὕτως εὐλαβῶς, οὕτως εὐσεβῶς, οὕτω μετρίως διακεῖσθαι ὥστε ἀναλίσκοντας, ἀγωνιῶντας ὅμως ἀπέχεσθαι καὶ προορᾶσθαι τὰς ὑμετέρας βουλήσεις καὶ τὴν περὶ τὴν ἑορτὴν σπουδήν, Μειδίαν δ' ἰδιώτην ὄντα, μηδὲν ἀνηλωκότα, ὅτι τῳ προσέκρουσεν καὶ ἐχθρὸς ὑπῆρχεν, τοῦτον ἀναλίσκοντα, χορηγοῦντα, ἐπίτιμον ὄντα προπηλακίζειν καὶ τύπτειν, καὶ μήτε τῆς ἑορτῆς μήτε τῶν νόμων μήτε τί ὑμεῖς ἐρεῖτε μήτε τοῦ θεοῦ φροντίζειν;

[62] Πολλῶν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, γεγενημένων ἐχθρῶν ἀλλήλοις, οὐ μόνον ἐξ ἰδίων, ἀλλὰ καὶ ἐκ κοινῶν πραγμάτων, οὐδεὶς πώποτ' εἰς τοσοῦτ' ἀναιδείας ἀφίκεθ', ὥστε τοιοῦτόν τι τολμῆσαι ποιεῖν. Καίτοι φασὶν Ἰφικράτην ποτ' ἐκεῖνον Διοκλεῖ τῷ Πιτθεῖ τὰ μάλιστ' ἐλθεῖν εἰς ἔχθραν, καὶ ἔτι

NC. 3. Ancienne vulgate : προκαλέσασθαι. — 5-6. Variante : γενόμενος. — 6. Avant δικασται S porte ,αθη, pointé par la quatrième main. — 7. ταυτὶ est omis par A (qui porte παρὰ ταῦτ') et F. Il provient peut-être de ταύτη, variante de παρὰ τοῦτο. [Dobree.] — 10. οὕτως εὐσεβῶς : mots ajoutés à la marge de S par le réviseur. — 13-14. προσέκρουσεν et ὑπηρχεν S. — Avant χορηγοῦντα, S seul porte καὶ de la main du réviseur. Dindorf l'a admis. — 21. πιτθεῖ (τ dans l'interligne) S[1].

1. Τοῦτ' εἶδε τὸ πλεονέκτημα, imagina ce moyen de se donner l'avantage. Buttmann rapproche *Lettre*, III, 16 : Τί δήποτε οὐχ ἑώρα τὰ δίκαια ταῦτα ;

5. Αὐτόχειρ. Scholiaste : Ὅρα ὅπως τὸ τῶν ἀνδροφόνων ὄνομα ἔθηκεν ἐπὶ τῶν ὑβριστῶν. Je crains qu'il n'y ait vu trop de finesse. Isocrate (*Phil.*, § 1, 50) dit bien αὐτόχειρες.... τῶν ἀγαθῶν, « auteurs directs des biens ».

7. Παρὰ τοῦτ(ο), par là. Cf. la note sur *Phil.* I, 11.

9. Ἅψασθαι. Cet infinitif dépend de τολμῆσαι, et se sous-entend avec ὧν.

11-12. Ἀγωνιῶντας équivaut à σὺν φιλονεικίᾳ ἀγωνιζομένους. Voy. Buttmann, *Index*. — Τὴν.... σπουδήν : sous-ent. ὑμετέραν.

14-15. Ἐπίτιμον ὄντα, jouissant de la plénitude des droits du citoyen. Par opposition à Aristide, qui était ἄτιμος.

21. Διοκλεῖ τῷ Πιτθεῖ. Ce Dioclès est mentionné dans Isée, *Ciron*, § 19 sq., et dans les *Seeurkunden* de Bœckh, II, 91.

πρὸς τούτῳ συμβῆναι Τεισίαν τὸν Ἰφικράτους ἀδελφὸν ἀντιχορηγῆσαι τῷ Διοκλεῖ. Ἀλλ' ὅμως πολλοὺς μὲν ἔχων φίλους Ἰφικράτης, πολλὰ δὲ χρήματα κεκτημένος, φρονῶν δ' ἐφ' αὑτῷ τηλικοῦτον ἡλίκον εἰκὸς ἄνδρα καὶ δόξης καὶ τιμῶν τετυχηκόθ' ὧν ἐκεῖνος ἠξίωτο παρ' ὑμῶν, [63] οὐκ ἐβάδιζεν ἐπὶ τὰς 533 τῶν χρυσοχόων οἰκίας νύκτωρ, οὐδὲ κατερρήγνυε τὰ παρασκευαζόμεν' ἱμάτι' εἰς τὴν ἑορτήν, οὐδὲ διέφθειρε διδάσκαλον, οὐδὲ χορὸν μανθάνειν ἐκώλυεν, οὐδὲ τῶν ἄλλων οὐδὲν ὧν οὗτος διεπράττετ' ἐποίει, ἀλλὰ τοῖς νόμοις καὶ τῇ τῶν ἄλλων βουλήσει συγχωρῶν ἠνείχετο καὶ νικῶντα καὶ στεφανούμενον τὸν ἐχθρὸν ὁρῶν, εἰκότως· ἐν ᾗ γὰρ αὐτὸς εὐδαίμων ᾔδει γεγονὼς πολιτείᾳ, ταύτῃ συγχωρεῖν τὰ τοιαῦτ' ἠξίου. [64] Πάλιν Φιλόστρατον πάντες ἴσμεν τὸν Κολωνῆθεν Χαβρίου κατηγοροῦντα, ὅτ' ἐκρίνετο τὴν περὶ Ὠρωποῦ κρίσιν θανάτου, καὶ πάντων τῶν κατηγόρων πικρότατον γενόμενον, καὶ μετὰ ταῦτα χορηγοῦντα παισὶν Διονύσια καὶ νικῶντα, καὶ Χαβρίαν οὔτε τύπτοντ', οὔτ' ἀφαρπάζοντα τὸν στέφανον, οὔθ' ὅλως προσιόνθ' ὅποι μὴ προσῆκεν αὐτῷ. [65] Πολλοὺς δ' ἂν ἔχων εἰπεῖν ἔτι καὶ διὰ πολλὰς προφάσεις ἐχθροὺς γεγενημένους ἀλλήλοις, οὐδένα πώποτ' οὔτ' ἀκήκο' οὔθ' ἑόρακ' ὅστις εἰς τοσοῦτον ἐλήλυθεν ὕβρεως ὥστε τοιοῦτόν τι ποιεῖν. Οὐδέ γ' ἐκεῖν' οὐδεὶς ὑμῶν οἶδ' ὅτι μνημονεύει πρότερον, τῶν ἐπὶ τοῖς ἰδίοις ἢ καὶ τοῖς κοινοῖς ἐχθρῶν ἀλλήλοις οὐδέν' οὔτε καλουμένων τῶν κριτῶν παρεστηκότα, οὔθ' ὅταν ὀμνύωσιν ἐξορκοῦντα, οὔθ' ὅλως ἐπ' οὐ-

NC. 1. τισίαν (d'abord τεισίαν) S[1]. — 7. διέφθειρεν S. — 9. τῶν πολλῶν A. — 12. ταύτῃ. Ancienne vulgate : ταύτην. — 13. ἅπαντες A, F. — 14. ὠροποῦ S. — 15. Variantes : γεγενημένον et γιγνομένον. — 16. παισιν S. — 21. τοιοῦτό τι Cobet, *Nov. Lect.*, p. 436. — 23. ἀλλήλοις γενομένων A, vulg. — κληρουμένων Herwerden, l. c., p. 308.

9. Τῇ.... βουλήσει. Cf. p. 140, l. 12.

12-14. Φιλόστρατον. Cf. *Neère*, § 22. Bœckh, *l. c.* X, f, 37. — Περὶ Ὠρωποῦ. C'est le fameux procès dans lequel Lycoléon plaida pour Chabrias (Aristote, *Rhét.*, III, 10), et Callistrate se défendit lui-même. Voy. la note sur *Cour.*, § 99.

24. Οὔθ'.... ἐξορκοῦντα, ni leur dictant la formule du serment. L'auteur du second argument dit que Midias ajouta au serment que, dans aucun cas, les juges n'accorderaient le prix à Démosthène. Cela me paraît incroyable. Il a pu suggérer une formule qui excluait Démosthène indirectement. Nous saurions à quoi nous en tenir, si la *narration* n'était pas incomplète.

δενὶ τῶν τοιούτων ἐχθρὸν ἐξεταζόμενον. [66] Ταῦτα γὰρ πάντα καὶ τὰ τοιαῦτ', ὦ ἄνδρες Ἀθηναῖοι, φιλονεικίᾳ μὲν ὑπαχθέντα χορηγὸν ὄντα ποιεῖν ἔχει τινὰ συγγνώμην· ἔχθρᾳ δ' ἐλαύνοντά τιν', ἐκ προαιρέσεως, ἐφ' ἅπασι, καὶ τὴν ἰδίαν δύναμιν κρείττω τῶν νόμων οὖσαν ἐνδεικνύμενον, Ἡράκλεις, βαρὺ καὶ
536 οὐχὶ δίκαιόν ἐστιν οὐδὲ συμφέρον ὑμῖν. Εἰ γὰρ ἑκάστῳ τῶν χορηγούντων τοῦτο πρόδηλον γένοιτο, ὅτι ἂν ὁ δεῖν' ἐχθρὸς ᾖ μοι, Μειδίας ἤ τις ἄλλος θρασὺς οὕτω καὶ πλούσιος, πρῶτον μὲν ἀφαιρεθήσομαι τὴν νίκην, κἂν ἄμεινον ἀγωνίσωμαί τινος, ἔπειτ' ἐφ' ἅπασιν ἐλαττωθήσομαι καὶ προπηλακιζόμενος διατελέσω, τίς οὕτως ἀλόγιστος, ἢ τίς οὕτως ἄθλιός ἐστιν, ὅστις ἑκὼν ἂν μίαν δραχμὴν ἐθελήσειεν ἀναλῶσαι; οὐδεὶς δήπου. [67] Ἀλλ', οἶμαι, τὸ πάντας ποιοῦν καὶ φιλοτιμεῖσθαι καὶ ἀναλίσκειν ἐθέλειν ἐκεῖν' ἐστὶν, ὅτι τῶν ἴσων καὶ τῶν δικαίων ἕκαστος ἡγεῖται ἑαυτῷ μετεῖναι ἐν δημοκρατίᾳ. Ἐγὼ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, τούτων οὐκ ἔτυχον διὰ τοῦτον, ἀλλὰ χωρὶς ὧν ὑβρίσθην, καὶ τῆς νίκης προσαπεστερήθην. Καίτοι πᾶσιν ὑμιν ἐγὼ τοῦτο δείξω σαφῶς, ὅτι μηδὲν ἀσελγὲς ἐξῆν ποιοῦντι Μειδίᾳ μηδ' ὑβρίζοντι μηδὲ τύπτοντι καὶ λυπεῖν ἐμὲ καὶ κατὰ τοὺς νόμους αὐτῷ φιλοτιμεῖσθαι πρὸς ὑμᾶς, καὶ μηδὲ διᾶραι τὸ στόμα περὶ αὐτοῦ νῦν ἔχειν ἐμέ. [68] Ἐχρῆν γὰρ αὐτὸν, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτ' ἐγὼ τῆς Πανδιονίδος χορηγὸς ὑπέστην ἐν

NC. 4-5. δύναμιν κρείττω S. δύναμιν καὶ βίαν κρείττω A. δύναμιν κρείττω καὶ βίαν F. — 8. οὕτω καὶ. Ancienne vulgate καὶ οὕτω. — 10-11. διατελῶ Cobet. — 11. οὗτος ἀλόγιστος· η τις αθλιος S. οὗτος.... οὗτος.... A. — 16-17. χωρις ων première main, χορηγὸς ὢν réviseur ancien, χωρὶς ὧν réviseur en marge de S. — 18. ὑμῖν τοῦτο ancienne vulg. — 21. νῦν est omis dans S.

3-5. Ἐλαύνοντά τινα.... ἐφ' ἅπασι, en maltraitant quelqu'un en toute occasion. Il faut sous-entendre ποιεῖν ταῦτα. Quant à ἐλαύνειν, cf. § 111 et *passim*. — Ἐνδεικνύμενον, en montrant avec une certaine ostentation.

9. Ἄμεινον.... τινος, mieux qu'un autre, que mes rivaux.

15. Ἐν δημοκρατίᾳ. Ces mots, séparés des précédents par un hiatus et une pause, sont mis avec insistance à la fin de la phrase.

20. Αὐτῷ φιλοτιμεῖσθαι πρὸς ὑμᾶς, se faire, lui-même, près de vous un titre de sa munificence. Αὐτῷ (au datif à cause de ἐξῆν) fait antithèse à ἐμέ. La conjecture κατὰ τοὺς νόμους ἀντιφιλοτιμεῖσθαι gâte le texte.

22-1. Χορηγὸς ὑπέστην équivaut à ὑπεσχόμην χορηγήσειν ἐθελοντής, § 13. — Τότε τῆς Ἐρεχθηΐδος.... La tribu de Midias ne se trouvait pas dans le même cas que celle de Démosthène : elle avait déjà son chorége, et, quoi qu'en dise l'orateur, il eût été fort extraordinaire qu'un autre

τῷ δήμῳ, τότε τῆς Ἐρεχθηΐδος ἀναστάντα, τῆς ἑαυτοῦ φυλῆς, ἀνθυποστῆναι, καὶ καταστήσανθ' ἑαυτὸν ἐξ ἴσου καὶ τἀντ' ἀναλίσκονθ' ὥσπερ ἐγὼ, οὕτω μ' ἀφαιρεῖσθαι τὴν νίκην, ὑβρίζειν δὲ τοιαῦτα καὶ τύπτειν μηδὲ τότε. [69] Νῦν δὲ τοῦτο μὲν οὐκ ἐποίησεν, ἐν ᾧ τὸν δῆμον ἐτίμησεν ἄν, οὐδ' ἐνεανιεύσατο τοιοῦτον οὐδέν· ἐμοὶ δ', ὅς, εἴτε τις, ὦ ἄνδρες Ἀθηναῖοι, βούλεται νομίσαι μανίαν (μανία γὰρ ἴσως ἐστὶν ὑπὲρ δύναμίν τι ποιεῖν), εἴτε καὶ φιλοτιμίᾳ χορηγὸς ὑπέστην, οὕτω φανερῶς καὶ 537
μιαρῶς ἐπηρεάζων παρηκολούθησεν, ὥστε μηδὲ τῶν ἱερῶν ἱματίων μηδὲ τοῦ χοροῦ μηδὲ τοῦ σώματος τὼ χεῖρε τελευτῶν ἀποσχέσθαι μου.

[70] Εἰ τοίνυν τις ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, ἄλλως πως ἔχει τὴν ὀργὴν ἐπὶ Μειδίαν ἢ ὡς δέον αὐτὸν τεθνάναι, οὐκ ὀρθῶς ἔχει. Οὐ γάρ ἐστι δίκαιον οὐδὲ προσῆκον τὴν τοῦ παθόντος εὐλάβειαν τῷ μηδὲν ὑποστειλαμένῳ πρὸς ὕβριν μερίδ' εἰς σωτηρίαν ὑπάρχειν, ἀλλὰ τὸν μὲν ὡς ἁπάντων τῶν ἀνηκέστων αἴτιον κολάζειν προσήκει, τῷ δ' ἐπὶ τοῦ βοηθεῖν ἀποδιδόναι τὴν χάριν. [71] Οὐδὲ γὰρ αὖ τοῦτ' ἔστιν εἰπεῖν, ὡς οὐ γεγενημένου πώποτ' οὐδενὸς ἐκ τῶν τοιούτων δεινοῦ τῷ λόγῳ τὸ πρᾶγμ' ἐγὼ

NC. 4. οὐδὲ τότε ancienne vulg. — 6. τοιοῦτόν vulg. et réviseur de S en marge. τοῦτο texte de S seul. — 7-8. μανίαν.... φιλοτιμίᾳ F, Y et (avec omission de l'ι souscrit) réviseur de S en marge. μανίαν.... φιλότιμίαν vulg.; Denys, t. VI, p. 979; Alexandre, *De fig.*, § 2; Tibère, § 3. μανίᾳ.... φιλοτιμίᾳ A. μανεις.... φιλοτιμίαι texte de S seul. Toutes ces tournures sont admissibles; nous avons préféré celle dont la variété semble appartenir à un texte original, non encore corrigé. — 9. ἐπαρηκολούθησεν (indication de la variante ἐπηκολούθησεν) S. — 10. τῶ, sur grattage, réviseur de S. — 13. ὡς δέον S seul. ὡς οὐ δέον vulg. et Ph. Buttmann, qui voulait insérer après τεθνάναι les mots : διὰ τὸ μηδὲν ἀνήκεστον γεγονέναι. — 17. τῷ δὲ τοῦ < μὴ αὐτῷ > βοηθεῖν? — 18. οὐδὲ γεγενημένου (δὲ γε dans l'interligne, réviseur) S.

itoyen eût demandé à remplacer le chorége désigné et consentant.

7-8. L'accusatif μανίαν est construit avec νομίσαι; le datif φιλοτιμίᾳ se rattache à ὑπέστην. Cette inégalité est peu régulière à notre sens, mais elle est conforme au parler naturel d'une époque encore peu régentée par les grammairiens. Quant à la figure, Tibère, § 3, dit : Καινῶς ἐφ' ἑαυτοῦ εἰρωνείᾳ κέχρηται, et Alexandre, § 2 : Διὰ τῆς εἰρωνείας μᾶλλον, ἢ εἰ ἐξ εὐθείας ἐλέγετο, ηὔξηται ὁ λόγος.

13. Ἔχει τὴν ὀργήν. Cf. § 127; *Cour.*, § 99.

14-17. Τὴν τοῦ παθόντος.... ὑπάρχειν, que la réserve de l'offensé contribue à sauver celui qui n'a reculé devant aucun outrage. Quant à μερίς, « secours », cf. § 184 et *Olynth.* II, 14. — Ἁπάντων τῶν ἀνηκέστων, de tous les malheurs irréparables qui auraient pu arriver si l'offensé ne s'était pas contenu. — Ἐπὶ τοῦ βοηθεῖν, quand l'heure de la réparation (βοήθεια, §§ 45, 76) est venue. Cf. NC.

δημοσίῳ; Καὶ πάλιν τί δήποτ', ἂν μὲν ἑκὼν παρ' ἑκόντος τις λάβῃ τάλαντον ἓν ἢ δύο ἢ δέκα καὶ ταῦτ' ἀποστερήσῃ, οὐδὲν αὐτῷ πρὸς τὴν πόλιν ἐστίν, ἂν δὲ μικροῦ πάνυ τιμήματος ἄξιόν τις λάβῃ, βίᾳ δὲ τοῦτ' ἀφέληται, τὸ ἴσον τῷ δημοσίῳ προστιμᾶν οἱ νόμοι κελεύουσιν ὅσον περ δὴ τῷ ἰδιώτῃ; [45] Ὅτι πάνθ', ὅσα τις βιαζόμενος πράττει, κοίν' ἀδικήματα καὶ κατὰ τῶν ἔξω τοῦ πράγματος ὄντων ἡγεῖθ' ὁ νομοθέτης· τὴν μὲν γὰρ ἰσχὺν ὀλίγων, τοὺς δὲ νόμους ἁπάντων εἶναι, καὶ τὸν μὲν πεισθέντ' ἰδίας, τὸν δὲ βιασθέντα δημοσίας δεῖσθαι βοηθείας. Διόπερ καὶ τῆς ὕβρεως αὐτῆς τὰς μὲν γραφὰς ἔδωκεν ἅπαντι τῷ βουλομένῳ, τὸ δὲ τίμημ' ἐποίησεν ὅλον δημόσιον· τὴν γὰρ πόλιν ἡγεῖτ' ἀδικεῖν, οὐ τὸν παθόντα μόνον, τὸν ὑβρίζειν ἐπι-
529 χειροῦντα, καὶ δίκην ἱκανὴν τὴν τιμωρίαν εἶναι τῷ παθόντι, χρήματα δ' οὐ προσήκειν τῶν τοιούτων ἐφ' ἑαυτῷ λαμβάνειν. [46] Καὶ τοσαύτῃ γ' ἐχρήσαθ' ὑπερβολῇ, ὥστε κἂν εἰς δοῦλον ὑβρίζῃ τις, ὁμοίως ἔδωκεν ὑπὲρ τούτου γραφήν. Οὐ γὰρ ὅστις ὁ πάσχων ᾤετο δεῖν σκοπεῖν, ἀλλὰ τὸ πρᾶγμ' ὁποῖόν τι τὸ γιγνόμενον· ἐπειδὴ δ' εὗρεν οὐκ ἐπιτήδειον, μήτε πρὸς δοῦλον μήθ' ὅλως ἐξεῖναι πράττειν ἐπέτρεψεν. Οὐ γάρ ἐστιν, οὐκ ἔστιν, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν πάντων οὐδὲν ὕβρεως ἀφορητότερον, οὐδ' ἐφ' ὅτῳ μᾶλλον ὑμῖν ὀργίζεσθαι προσήκει. Ἀνάγνωθι δ' αὐ-

NC. 5. δή. A : ἄν. — ἰδιώτῃ; διὰ τί; ὅτι vulg. — 12. οὐ S seul. οὐχὶ vulg.— 13. τὴν, entre ἱκανὴν et τιμωρίαν, est omis dans S seul.— 19. Variante : ἐπέταξεν.

tung, p. 496. Du reste, l'action prenait plus de gravité, parce qu'il y avait mépris de la chose jugée, et non par la raison que Démosthène imagine pour le besoin de sa thèse.

2-4. Ταῦτ' ἀποστερήσῃ, ne les a pas rendus. — Μικροῦ πάνυ τιμήματος ἄξιόν τις λάβῃ, si quelqu'un prend un objet dont la valeur n'entraîne qu'une amende minime. On voit que le mot τιμήματος n'est pas superflu.

7-9. Τὴν μὲν γὰρ ἰσχὺν.... εἶναι, la violence (pensait le législateur) est dans l'intérêt d'un petit nombre (des puissants, des riches insolents, des oligarques), la loi est dans l'intérêt de tous. Tel est, ce me semble, le sens de ces mots. — Πεισθέντ(α). Il s'agit du créancier qui a prêté de l'argent volontairement; cf. ligne 2.

10. Τὰς μὲν γραφὰς ἔδωκεν ἅπαντι, il donne à tout citoyen (non-seulement à l'outragé) le droit d'intenter la poursuite, de s'ériger en ministère public, comme nous dirions. C'est un des caractères distinctifs de la cause publique, γραφή.

14. Ἐφ' ἑαυτῷ, pour soi-même, pour son injure personnelle. La traduction de G. H. Schæfer « ad semet ipsum vindicare » me semble difficile à justifier.

15. Τοσαύτῃ γ' ἐχρήσαθ' ὑπερβολῇ, il alla jusqu'à.

18. Οὐκ ἐπιτήδειον. A propos de la même loi, Eschine, *Timarque*, § 17, dit avec plus de force : Ἐν τῇ δημοκρατίᾳ

τόν μοι λαβὼν τὸν τῆς ὕβρεως νόμον· οὐδὲν γὰρ οἷον ἀκούειν αὐτοῦ τοῦ νόμου.

ΝΟΜΟΣ.

[47] « Ἐάν τις ὑβρίσῃ εἴς τινα, ἢ παῖδα ἢ γυναῖκα ἢ ἄνδρα, τῶν ἐλευθέρων ἢ τῶν δούλων, ἢ παράνομόν τι ποιήσῃ εἰς τούτων τινά, γραφέσθω πρὸς τοὺς θεσμοθέτας ὁ βουλόμενος Ἀθηναίων οἷς ἔξεστιν, οἱ δὲ θεσμοθέται εἰσαγόντων εἰς τὴν ἡλιαίαν τριάκοντα ἡμερῶν ἀφ' ἧς ἂν <ᾖ> ἡ γραφή, ἐὰν μή τι δημόσιον κωλύῃ, εἰ δὲ μή, ὅταν ᾖ πρῶτον οἷόν τε. Ὅτου δ' ἂν καταγνῷ ἡ ἡλιαία, τιμάτω περὶ αὐτοῦ παραχρῆμα, ὅτου ἂν δοκῇ ἄξιος εἶναι παθεῖν ἢ ἀποτεῖσαι. Ὅσοι δ' ἂν γράφωνται γραφὰς ἰδίας κατὰ τὸν νόμον, ἐάν τις μὴ ἐπεξέλθῃ ἢ ἐπεξιὼν μὴ μεταλάβῃ τὸ πέμπτον μέρος τῶν ψήφων, ἀποτεισάτω χιλίας

NC. 1. λαβὼν est omis dans S, A et d'autres manuscrits. — 4. ὑβρίζηι S et vulg. — 8. ᾖ, avant ἡ, est dû à Markland. — 10. καταγνῷ Lambin, καταγνῶτε manuscrits. καταγνωσθῇ H. Wolf. — ἡ est ajouté dans S, peut-être par le réviseur. — τιμάται S.

τὸν εἰς ὁτιοῦν ὑβριστήν, τοῦτον οὐκ ἐπιτήδειον εἶναι ἡγήσατο συμπολιτεύεσθαι.

1. Οὐδὲν γὰρ οἷον, rien n'est tel que.

4-6. Ἐάν τις ὑβρίσῃ.... εἰς τούτων τινά. Eschine (*Timarque*, § 15) atteste que la loi contenait ces mots; et c'est là une grande présomption d'authenticité en faveur du document présent. Il est vrai que Westermann (*l. c.*, p. 25) retourne l'argument : il prétend qu'un faussaire a pris ces mots dans Eschine. Cela n'est guère probable. On voit du moins que celui qui s'est amusé à insérer des documents de fantaisie dans le discours de la *Couronne* n'a pas même pris la peine de consulter le discours correspondant d'Eschine.

7. Οἷς ἔξεστιν : ceux qui ne sont pas privés de ce droit par l'*atimie*. [G. H. Schæfer.]

8-9. Τριάκοντα ἡμερῶν. Westermann objecte que la γραφὴ ὕβρεως n'était certainement pas du nombre des causes d'une nature toute spéciale qui devaient être jugees dans le délai d'un mois. Mais l'institution de ce qu'on appelait ἔμμηνοι δίκαι ne date que du temps de Démosthène. Anciennement, quand les procès étaient moins nombreux, le terme de trente jours pouvait être prescrit pour d'autres affaires; la restriction ajoutée permettait toujours de dépasser ce terme. — Εἰ δὲ μή, sinon, c'est-à-dire si les thesmothètes ne peuvent observer ce délai.

10. Παραχρῆμα. A quoi bon ajouter « aussitôt », puisque ce second arrêt était toujours rendu immédiatement après le premier? [Westermann.]

11-1. Ὅσοι δ' ἂν γράφωνται γραφὰς ἰδίας.... τῷ δημοσίῳ. Il en était ainsi dans toutes les γραφαί. Mais, comme la ὕβρις, à la différence de beaucoup d'autres délits, est toujours commise sur un individu, cet article statue que les pénalités encourues dans certains cas par l'accusateur, frapperont aussi ceux qui poursuivront la punition de leur propre injure. Voy. Bœckh, *l. c.*, p. 493. — Il faut accorder à Westermann que cet article se trouverait mieux placé plus haut ou plus bas.

ἔχω. [75] Δοκοῦσι δέ μοι καὶ τῶν δικασάντων τότε πολλοί· ἀκούω γὰρ αὐτὸν ἔγωγε μιᾷ μόνον ἁλῶναι ψήφῳ, καὶ ταῦτ' οὔτε κλαύσαντα οὔτε δεηθέντα τῶν δικαστῶν οὐδενός, οὔτε φιλάνθρωπον οὔτε μικρὸν οὔτε μέγ' οὐδ' ὁτιοῦν πρὸς τοὺς
539 δικαστὰς ποιήσαντα. Θῶμεν τοίνυν οὑτωσί, τοὺς μὲν καταγνόντας αὐτοῦ μὴ ὅτι ἠμύνατο, διὰ τοῦτο καταψηφίσασθαι, ἀλλ' ὅτι τοῦτον τὸν τρόπον ὥστε καὶ ἀποκτεῖναι, τοὺς δ' ἀπογνόντας καὶ ταύτην τὴν ὑπερβολὴν τῆς τιμωρίας τῷ γε τὸ σῶμ' ὑβρισμένῳ δεδωκέναι. [76] Τί οὖν; ἐμοὶ τῷ τοσαύτῃ κεχρημένῳ προνοίᾳ τοῦ μηδὲν ἀνήκεστον γενέσθαι, ὥστε μηδ' ἀμύνασθαι, παρὰ τοῦ τὴν τιμωρίαν ὧν πέπονθ' ἀποδοθῆναι προσήκει; ἐγὼ μὲν οἶμαι παρ' ὑμῶν καὶ τῶν νόμων, καὶ παράδειγμά γε πᾶσι γενέσθαι τοῖς ἄλλοις, ὅτι τοὺς ὑβρίζοντας ἅπαντας καὶ τοὺς ἀσελγεῖς οὐκ αὐτὸν ἀμύνεσθαι μετὰ τῆς ὀργῆς, ἀλλ' ἐφ' ὑμᾶς ἄγειν δεῖ, ὡς βεβαιούντων ὑμῶν καὶ φυλαττόντων τὰς ἐν τοῖς νόμοις τοῖς παθοῦσι βοηθείας.

[77] Οἶμαι τοίνυν τινὰς ὑμῶν, ὦ ἄνδρες δικασταί, ποθεῖν ἀκοῦσαι τὴν ἔχθραν, ἥτις ἦν ἡμῖν πρὸς ἀλλήλους· νομίζειν γὰρ οὐδέν' ἂν ἀνθρώπων οὕτως ἀσελγῶς καὶ βιαίως οὐδενὶ τῶν πολιτῶν χρήσασθαι, μὴ μεγάλου τινὸς ὄντος ὃ αὐτῷ προωφείλετο. Βούλομαι δὴ καὶ περὶ ταύτης ὑμῖν ἐξ ἀρχῆς εἰπεῖν καὶ διηγήσασθαι, ἵν' εἰδῆθ' ὅτι καὶ τούτων ὀφείλων δίκην φανήσεται. Ἔσται δὲ περὶ αὐτῶν βραχὺς ὁ λόγος, κἂν ἄνωθεν ἄρχε-

NC. 5. ποιήσαντα (d'abord ποιήσαντας) S. — 7. τοῦτον τὸν τὸν τρόπον S. — 12-13. Var. παράδειγμά με, π. τοῦτον. — 14. [τῆς] Dobree. — 16. κατά τῶν ἀδικούντων τοῖς παθοῦσι F. — 17. ανδρες ', αθηναιοι ', δικασται S. — 19. ἄν, avant ἀνθρώπων, est omis dans S, transposé dans d'autres manuscrits. — 22. δίκην S seul. δοῦναι δίκην vulg. — 23. καὶ S[1], κἀν réviseur.

1. Δοκοῦσι.... πολλοί : sous-ent. συγγνώμην σχεῖν.

4. Φιλάνθρωπον, ce qui plaît aux hommes. [G. H. Schæfer.] — Οὔτε μικρὸν οὔτε μέγ' οὐδ' ὁτιοῦν. Cf. *Ambass.*, § 17; *Cour.*, § 139; *Phil.* III, § 5.

9. Δεδωκέναι, qu'ils lui ont accordé (comme une chose légitime ou excusable).

12-13. Καὶ παράδειγμά γε πᾶσι γενέσθαι τοῖς ἄλλοις, et (il convient) qu'il y ait un exemple pour avertir tous les autres.

14-15. Μετὰ τῆς ὀργῆς, au moment où l'on ressent la colère.

20-21. Μὴ μεγάλου.... προωφείλετο (équivaut à εἰ μὴ προηδίκητο μείζονα, schol.), s'il n'avait pas eu un grand compte à régler avec moi. Cf. Antiphon, *Meurtre d'Hérode*, § 61 : Προωφείλετο αὐτῷ κακόν. Eschyle, *Choéph.*, 310 : Τοὐφειλόμενον πράσσουσα δίκη μέγ' ἀϋτεῖ. Euripide, *Androm.*, 360 : Οἷσιν οὐκ ἐλάσσονα βλάβην ὀφείλω. — Mais, dit Démosthène,

καταγιγνώσκοι, τὰ προσήκοντα ποιεῖν. Ἴστε γὰρ δήπου τοῦθ', ὅτι τοὺς χοροὺς ὑμεῖς ἅπαντας τούτους καὶ τοὺς ὕμνους τῷ θεῷ ποιεῖτ', οὐ μόνον κατὰ τοὺς νόμους τοὺς περὶ τῶν Διονυσίων, ἀλλὰ καὶ κατὰ τὰς μαντείας, ἐν αἷς ἁπάσαις ἀνῃρημένον εὑρήσετε τῇ πόλει, ὁμοίως ἐκ Δελφῶν καὶ ἐκ Δωδώνης, χοροὺς ἱστάναι κατὰ τὰ πάτρια καὶ κνισᾶν ἀγυιὰς καὶ στεφανηφορεῖν. [52] Ἀνάγνωθι δέ μοι λαβὼν αὐτὰς τὰς μαντείας.

ΜΑΝΤΕΙΑΙ. 531

« Αὐδῶ Ἐρεχθείδῃσιν, ὅσοι Πανδίονος ἄστυ
ναίετε καὶ πατρίοισι νόμοις ἰθύνεθ' ἑορτάς,
μεμνῆσθαι Βάκχοιο, καὶ εὐρυχόρους κατ' ἀγυιὰς
ἱστάναι ὡραίων Βρομίῳ χάριν ἄμμιγα πάντας,
καὶ κνισᾶν βωμοῖσι, κάρη στεφάνοις πυκάσαντας. »

« Περὶ ὑγιείας θύειν καὶ εὔχεσθαι Διὶ ὑπάτῳ, Ἡρακλεῖ, Ἀπόλλωνι προστατηρίῳ· περὶ τύχας ἀγαθᾶς Ἀπόλλωνι ἀγυιεῖ,

NC. 1. καταγιγνώσκοι (καταγιγνώσκει ancienne vulgate) τις F. — 2. τούτους καὶ τοὺς ὕμνους : οὓς (ce dernier mot biffé par la première main) S. τούτους ὕμνους A, F. — 3. ποιεῖσθε F. — 6. ἀγυιάς. Harpocration préfère l'accentuation ἀγυιᾶς, en ajoutant : Ἀγυιεὺς δέ ἐστι κίων εἰς ὀξὺ λήγων ὃν ἱστᾶσι πρὸ τῶν θυρῶν.... Εἶεν δ' ἂν οἱ παρὰ τοῖς Ἀττικοῖς λεγόμενοι ἀγυιεῖς οἱ πρὸ τῶν οἰκιῶν βωμοί. Dans la scholie : ἀγυίας (ἀγυιὰς Dindorf) γὰρ τοὺς Ἑρμᾶς ἐκάλουν, il faut aussi écrire ἀγυιᾶς. — 9. Ἐρεχθείδῃσιν Meier. ερεχθιδεσσι S. — πανδειονος, corrigé par la première main, S. — 11. βάκχοο S[1], βάκχοιο, réviseur. — 13. κνισᾶιν et πυκνάσαντας S. — 14. διει S[1]. — καὶ ηρακλεῖ, S, F. — 15. αγυειλατου S[1], le premier υ biffé et ω écrit au-dessus de ου par le réviseur.

assez que Démosthène ne formule pas contre Midias une poursuite ἀσεβείας. Le scholiaste l'a déjà fait remarquer. Il n'en est pas moins vrai qu'il l'accuse formellement d'avoir violé la loi Dionysiaque, ce qui ne constitue pas (la suite de ce paragraphe le prouve) une ἀσεβεία proprement dite, mais un περὶ τὴν ἑορτὴν ἀδίκημα.

4. Ἁπάσαις. Cf. § 54.

12. Ὡραίων.... χάριν, « gratiam sacrorum solemnium ». Cf. Hesychios : Ὡραῖα.... καὶ ἐπὶ τῶν καθ' ὥραν συντελουμένων ἱερῶν. Le verbe ἱστάναι dit assez que cette périphrase désigne des chœurs dansant dans les rues. [G. H. Schæfer.] — Ἄμμιγα πάντας. Cf. ἐλευθέρους καὶ δούλους, dans l'oracle de Dodone. Voilà bien le caractère populaire, démocratique, des fêtes de Bacchus.

14. Περὶ ὑγιείας. Si cet oracle était cité en entier, on verrait peut-être qu'il fut rendu à propos d'une épidémie. Dans un oracle analogue, qu'on lit dans le *Contre Macartatos*, § 66, l'occasion qui le provoqua (un signe dans le ciel) est indiquée.

15. Προστατηρίῳ. Hesychios : Τὸν Ἀπόλλωνα οὕτω λέγουσι, παρόσον πρὸ τῶν θυρῶν αὐτὸν ἀφιδρύοντο. Cf. Sophocle, *Électre*, 637. — Ἀγυιεῖ. Cf. l. 6, NC.

ᾔσθετο. Κἀγὼ τότε παντάπασιν ἔρημος ὢν καὶ νέος κομιδῇ, ἵνα μὴ τῶν παρὰ τοῖς ἐπιτρόποις ἀποστερηθείην, οὐχ ὅσ' ἐδυνήθην ἀνακομίσασθαι προσδοκῶν εἰσπράξειν, ἀλλ' ὅσων ἐμαυτῷ συνῄδειν ἀπεστερημένῳ, δίδωμ' εἴκοσι μνᾶς τούτοις, ὅσου τὴν τριηραρχίαν ἦσαν μεμισθωκότες. Τὰ μὲν δὴ τόθ' ὑβρίσματα τούτων εἰς ἐμὲ ταῦτ' ἐστίν. [81] Δίκην δὲ τούτῳ λαχὼν ὕστερον τῆς κακηγορίας εἷλον ἐρήμην· οὐ γὰρ ἀπήντα. Λαβὼν δ' ὑπερήμερον καὶ ἔχων οὐδενὸς ἡψάμην πώποτε τῶν τούτου, ἀλλὰ λαχὼν ἐξούλης πάλιν οὐδέπω καὶ τήμερον εἰσελθεῖν δεδύνημαι· τοσαύτας τέχνας καὶ σκήψεις οὗτος εὑρίσκων ἐκκρούει. Κἀγὼ μὲν οὕτως εὐλαβῶς τῇ δίκῃ, τοῖς νόμοις ἅπαντα πράττειν ἀξιῶ· ὁ δ', ὡς ὑμεῖς ἀκούετ', ἀσελγῶς οὐ μόνον εἰς ἐμὲ καὶ τοὺς ἐμοὺς ᾤετο δεῖν ὑβρίζειν, ἀλλὰ καὶ εἰς τοὺς φυλέ-
541 τας δι' ἐμέ. [82] Ὡς οὖν ταῦτ' ἀληθῆ λέγω, κάλει μοι τούτων τοὺς μάρτυρας, ἵν' εἰδῆθ' ὅτι πρὶν κατὰ τοὺς νόμους δίκην ὧν πρότερον ἠδικήθην λαβεῖν, πάλιν τοιαῦθ' οἷ' ἀκηκόαθ' ὕβρισμαι.

ΜΑΡΤΥΡΙΑ.

« Καλλισθένης Σφήττιος, Διόγνητος Θορίκιος, Μνησίθεος Ἀλωπεκῆθεν, οἴδαμεν Δημοσθένην, ᾧ μαρτυροῦμεν, κρίσιν λελογχότα Μειδίᾳ ἐξούλης, τῷ καὶ νῦν ὑπ' αὐτοῦ κρινομένῳ δημοσίᾳ, καὶ ἤδη τῇ κρίσει ἐκείνῃ διαγεγονότα ἔτη ὀκτὼ, καὶ τοῦ

NC. 3. κομίσασθαι A, F. — εἴσπραξιν S[1]. — 6. τούτῳ A. τούτων F. τουτω S[1], τούτων réviseur ancien. — 8. καὶ ἐξὸν Herwerden, *l. c.*, p. 310. — 11. απαντα première main, avec correction indiquée par le réviseur, S. — 18. ΜΑΡΤΥΡΕΣ vulg. — 19. Θορίκιος Palmerius. θεωρισκος S et les autres manuscrits. — 20. δημοσθενη S. — 21. αυτωι κρινομενου S[1] : le réviseur n'a corrigé que ce dernier mot.

κακὸν οὔτ' ἀγορεύω. Cf. Aristophane, *Ecclesiaz.*, 435 : Τὰς μὲν γυναῖκας πολλ' ἀγαθὰ λέγων, σὲ δὲ πολλὰ κακά.

2-3. Ὅσ' ἐδυνήθην ἀνακομίσασθαι, le peu qu'il m'a été possible de recouvrer.

4-5. Εἴκοσι μνᾶς.... μεμισθωκότες. Thrasyloque était convenu de payer à un entrepreneur vingt mines pour sa part de triérarchie ; car à cette époque deux citoyens étaient associés pour cette charge. Cf. § 154 ; Bœckh, *l. c.*, p. 715.

7. Τῆς κακηγορίας : pour les propos injurieux dont il a été question au paragraphe 79.

7-9. Λαβὼν.... ἔχων. Midias ayant laissé passer le délai légal sans payer l'amende à laquelle il avait été condamné par défaut, Démosthène avait le droit de faire une saisie. Démosthène l'avait pris en contravention (λαβών) et le tenait (ἔχων). — Ἐξούλης. Cf. § 44, avec la note. — Εἰσελθεῖν : sous-ent. εἰς τὸ δικαστήριον.

13. Εἰς τοὺς φυλέτας. Cf. § 18.

22. Ἔτη ὀκτώ. L'intervalle était certai-

χρόνου γεγενημένον παντὸς αἴτιον Μειδίαν ἀεὶ προφασιζόμενον καὶ ἀναβαλλόμενον. »

[83] Ὃ τοίνυν πεποίηκεν, ὦ ἄνδρες Ἀθηναῖοι, περὶ τῆς δίκης ἀκούσατε, καὶ θεωρεῖτ' ἐφ' ἑκάστου τὴν ὕβριν καὶ τὴν ὑπερηφανίαν αὐτοῦ. Τῆς γὰρ δίκης, ταύτης λέγω ἧς εἷλον αὐτόν, γίγνεταί μοι διαιτητὴς Στράτων Φαληρεύς, ἄνθρωπος πένης μέν τις καὶ ἀπράγμων, ἄλλως δ' οὐ πονηρός, ἀλλὰ καὶ πάνυ χρηστός· ὅπερ τὸν ταλαίπωρον οὐχ ὀρθῶς οὐδὲ δικαίως, ἀλλὰ καὶ πάνυ αἰσχρῶς ἀπολώλεκεν. [84] Οὗτος διαιτῶν ἡμῖν ὁ Στράτων, ἐπειδή ποθ' ἧκεν ἡ κυρία, πάντα δ' ἤδη διεξεληλύθει τὰ τῶν νόμων, ὑπωμοσίαι καὶ παραγραφαί, καὶ οὐδὲν ἔτ' ἦν ὑπόλοιπον, τὸ μὲν πρῶτον ἐπισχεῖν ἐδεῖτό μου τὴν δίαιταν, ἔπειτ' εἰς τὴν ὑστεραίαν ἀναβαλέσθαι· τὸ τελευταῖον δ', ὡς οὔτ' ἐγὼ συνεχώρουν οὔθ' οὗτος ἀπήντα, τῆς δ' ὥρας ἐγίγνετ' ὀψέ, κατεδιήτησεν. [85] Ἤδη δ' ἑσπέρας οὔσης καὶ σκότους ἔρχεται Μειδίας 542
οὑτοσὶ πρὸς τὸ τῶν ἀρχόντων οἴκημα, καὶ καταλαμβάνει τοὺς

NC. 3. πεποίηκε κακόν vulg. — 5. γρ. τῆς γὰρ δίκης ἧς λεγω ταύτης ἣν εἷλον su-on réviseur de S. — 8. οὐδὲ δικαίως est placé après αισχρως dans S, F. On pourrait être tenté d'attribuer les mots ἀλλὰ καὶ πάνυ αἰσχρῶς à un interpolateur. — 9. οὗτος S, οὑτοσὶ vulg. — 10. διεξεληλύθει ταυτα ταχ S seul. — 13. τελευτῶν δ' A.

nement plus considérable. Le document est vague, insignifiant, et ne peut passer pour authentique. [Westermann.]

5-6. Ἧς εἷλον αὐτόν. C'est la δίκη κακηγορίας. — Γίγνεταί μοι διαιτητής. Il y avait des arbitres désignés annuellement pour juger en première instance des affaires que le sort attribuait à chacun d'eux. Mais les parties pouvaient aussi nommer par compromis un arbitre dont elles acceptaient d'avance la décision souveraine. (Voy. les auteurs cités, p. 150, l. 13.) D'après la pièce insérée au paragraphe 93, Straton appartenait à cette dernière catégorie. Deux circonstances qui semblent, à première vue, prouver le contraire, ne sont pas tout à fait décisives. Midias attaque le jugement de Straton ; et ce dernier est responsable, soumis à l'εὐθύνη, ce qui prouve qu'il était chargé de fonctions publiques. Mais un jugement par défaut devait être revisable en toute espèce ; et les parties pouvaient, sans doute, choisir un arbitre parmi les diétètes publics. Cependant la locution γίγνεταί μοι διαιτητής exclut, ce me semble, l'idée de choix.

7-9. Ἀλλὰ καὶ πάνυ χρηστός.... ἀλλὰ καὶ πάνυ αἰσχρῶς. Y a-t-il interpolation, ou négligence de rédaction?

10-11. Ἐπειδή ποθ' ἧκεν.... ἦν ὑπόλοιπον. Tous les moyens dilatoires, remises de la cause pour motif légitime (ὑπωμοσίαι), fins de non-recevoir (παραγραφαί), avaient été épuisées, et le jour du jugement définitif (ἡ κυρία) était arrivé.

14-15. Ἀπήντα, répondit à la citation, comparut en justice. — Κατεδιήτησεν, condamna par jugement arbitral. On trouvera au paragraphe suivant le contraire, ἀποδιαιτᾶν.

16. Τὸ τῶν ἀρχόντων οἴκημα. C'est là que se rendaient les diétètes afin que les jugements qu'ils avaient rendus y fussent signés par les archontes, dont ils étaient les délégués. Voy. Schœmann, *Gr. Alterthümer*, t. I, p. 501.

ἄρχοντας ἐξιόντας καὶ τὸν Στράτωνα ἀπιόντ' ἤδη, τὴν ἔρημον δεδωκότα, ὡς ἐγὼ τῶν παραγενομένων τινὸς ἐπυνθανόμην. Τὸ μὲν οὖν πρῶτον οἷός τ' ἦν πείθειν αὐτὸν ἣν κατεδεδιῃτήκει, ταύτην ἀποδεδιῃτημένην ἀποφαίνειν, καὶ τοὺς ἄρχοντας μεταγράφειν, καὶ πεντήκοντα δραχμὰς αὐτοῖς ἐδίδου· [86] ὡς δ' ἐδυσχέραινον οὗτοι τὸ πρᾶγμα καὶ οὐδετέρους ἔπειθεν, ἀπειλήσας καὶ διαλοιδορηθεὶς, ἀπελθὼν τί ποιεῖ; καὶ θεάσασθε τὴν κακοήθειαν. Τὴν μὲν δίαιταν ἀντιλαχὼν οὐκ ὤμοσεν, ἀλλ' εἴασε καθ' ἑαυτοῦ κυρίαν γενέσθαι, καὶ ἀνώμοτος ἀπηνέχθη· βουλόμενος δὲ τὸ μέλλον λαθεῖν, φυλάξας τὴν τελευταίαν ἡμέραν τῶν διαιτητῶν, [τὴν τοῦ θαργηλιῶνος ἢ τοῦ σκιροφοριῶνος γιγνομένην], εἰς ἣν ὁ μὲν ἦλθε τῶν διαιτητῶν, ὁ δ' οὐχ ἦλθε, [87] πείσας τὸν πρυτανεύοντα δοῦναι τὴν ψῆφον παρὰ πάντας τοὺς νόμους, κλητῆρ' οὐδ' ὀντινοῦν ἐπιγραψάμενος, κατηγορῶν ἔρημον

NC. 3. οἱοστε (τε de la main du réviseur) S. — τὴν δίκην ἣν avant Bekker. — 4. Les manuscrits flottent entre ἀποφαίνειν et ἀποφέρειν (leçon de S). — 8. κακοηθιαν S[1], corrigé par le réviseur. — 11-12. διαιτῶν Dobree et Dindorf. — τὴν.... γιγνομένην : glose reconnue par G. H. Schæfer. — 12. ηλθεν.... ηλθεν S. — 14. οντιν' οὖν, les quatre lettres ν' οὖν ajoutées dans l'interligne par une main ancienne, dans S. — 14. κατηγορῶν S, A. κατηγόρων vulg. — γρ. κατηγορῶν ερήμην réviseur en marge de S.

1-2. Ἐξιόντας. Ce verbe s'applique proprement aux magistrats qui se disposent à sortir après avoir levé la séance. Mais Straton va quitter un local qui n'est pas le sien : aussi l'orateur dit-il de lui ἀπιόντα. — Τὴν ἔρημον δεδωκότα, après avoir remis aux archontes son jugement portant condamnation par défaut. Voy. Dobree. Δεδωκότα n'équivaut pas à δεδιῃτηκότα.

3-6. Οἷός τ' ἦν, il avait le front. — Τοὺς ἄρχοντας : sous-ent. πείθειν. — Ἐδίδου, il offrait. Voy. *passim*. — Οὐδετέρους : ni les archontes ni Straton.

8-9. Τὴν μὲν δίαιταν.... ὤμοσεν. Après avoir demandé la cassation (ἀντιλαχών) de la sentence arbitraire, Midias s'abstint de prêter le serment sans lequel son pourvoi ne pouvait avoir de suite légale. Ou bien faut-il entendre οὐχ ὤμοσε τῆς διαίτης ἀντίληξιν ?— Ἀνώμοτος ἀπηνέχθη, n'ayant point protesté par serment, il fut déféré comme débiteur de l'État.

10. Τὸ μέλλον, ce qui arriverait, c'est-à-dire ce qu'il se proposait de faire.

13. Τὸ πρυτανεύοντα. Le scholiaste entend le président du conseil des Cinq-cents. Cf. G. Perrot, *Droit public d'Athènes*, p. 298 sqq. Meier (*Die Privatschiedsrichter und die œffentlichen Diæteten Athens*) croit qu'il s'agit du président des *logistes*, devant lesquels les magistrats sortants avaient à rendre leurs comptes.

14. Κλητῆρ(α).... ἐπιγραψάμενος. Quand on citait quelqu'un en justice, il fallait se faire accompagner de deux témoins (κλητῆρες), dont les noms étaient mentionnés à la fin de la plainte (cf. *Cour.*, § 55). Faute d'avoir rempli ces formalités, on ne pouvait légalement obtenir un jugement par défaut. Mais Midias prétendait sans doute qu'il n'était pas nécessaire de citer un diétète à une audience spécialement réservée au contrôle de la gestion de tous les diétètes sortants. — Κατηγορῶν ἔρημον (sous-ent. κατηγορίαν ou δίκην) οὐδενὸς παρόντος. Le meilleur commentaire de ces mots est donné par Platon, *Apologie*, p. 18 C : Ἐρήμην κατηγοροῦντες οὐδενὸς ἀπολογουμένου. L'interprétation :

πρὸς τούτῳ συμβῆναι Τεισίαν τὸν Ἰφικράτους ἀδελφὸν ἀντιχορηγῆσαι τῷ Διοκλεῖ. Ἀλλ' ὅμως πολλοὺς μὲν ἔχων φίλους Ἰφικράτης, πολλὰ δὲ χρήματα κεκτημένος, φρονῶν δ' ἐφ' αὑτῷ τηλικοῦτον ἡλίκον εἰκὸς ἄνδρα καὶ δόξης καὶ τιμῶν τετυχηκόθ' ὧν ἐκεῖνος ἠξίωτο παρ' ὑμῶν, [63] οὐκ ἐβάδιζεν ἐπὶ τὰς 535 τῶν χρυσοχόων οἰκίας νύκτωρ, οὐδὲ κατερρήγνυε τὰ παρασκευαζόμεν' ἱμάτι' εἰς τὴν ἑορτήν, οὐδὲ διέφθειρε διδάσκαλον, οὐδὲ χορὸν μανθάνειν ἐκώλυεν, οὐδὲ τῶν ἄλλων οὐδὲν ὧν οὗτος διεπράττετ' ἐποίει, ἀλλὰ τοῖς νόμοις καὶ τῇ τῶν ἄλλων βουλήσει συγχωρῶν ἠνείχετο καὶ νικῶντα καὶ στεφανούμενον τὸν ἐχθρὸν ὁρῶν, εἰκότως· ἐν ᾗ γὰρ αὐτὸς εὐδαίμων ᾔδει γεγονὼς πολιτείᾳ, ταύτῃ συγχωρεῖν τὰ τοιαῦτ' ἠξίου. [64] Πάλιν Φιλόστρατον πάντες ἴσμεν τὸν Κολωνῆθεν Χαβρίου κατηγοροῦντα, ὅτ' ἐκρίνετο τὴν περὶ Ὠρωποῦ κρίσιν θανάτου, καὶ πάντων τῶν κατηγόρων πικρότατον γενόμενον, καὶ μετὰ ταῦτα χορηγοῦντα παισὶν Διονύσια καὶ νικῶντα, καὶ Χαβρίαν οὔτε τύπτοντ', οὔτ' ἀφαρπάζοντα τὸν στέφανον, οὔθ' ὅλως προσιόνθ' ὅποι μὴ προσῆκεν αὐτῷ. [65] Πολλοὺς δ' ἂν ἔχων εἰπεῖν ἔτι καὶ διὰ πολλὰς προφάσεις ἐχθροὺς γεγενημένους ἀλλήλοις, οὐδένα πώποτ' οὔτ' ἀκήκο' οὔθ' ἑόρακ' ὅστις εἰς τοσοῦτον ἐλήλυθεν ὕβρεως ὥστε τοιοῦτόν τι ποιεῖν. Οὐδέ γ' ἐκεῖν' οὐδεὶς ὑμῶν οἶδ' ὅτι μνημονεύει πρότερον, τῶν ἐπὶ τοῖς ἰδίοις ἢ καὶ τοῖς κοινοῖς ἐχθρῶν ἀλλήλοις οὐδέν' οὔτε καλουμένων τῶν κριτῶν παρεστηκότα, οὔθ' ὅταν ὀμνύωσιν ἐξορκοῦντα, οὔθ' ὅλως ἐπ' οὐ-

NC. 1. τισίαν (d'abord τεισίαν) S¹. — 7. διέφθειρεν S. — 9. τῶν πολλῶν A. — 12. ταύτῃ. Ancienne vulgate : ταύτην. — 13. ἅπαντες A, F. — 14. ὠροποῦ S. — 15. Variantes : γεγεγημένον et γιγνομένον. — 16. παισιν S. — 21. τοιοῦτό τι Cobet, *Nov. Lect.*, p. 436. — 23. ἀλλήλοις γενομένων A, vulg. — κληρουμένων Herwerden, l. c., p. 308.

9. Τῇ.... βουλήσει. Cf. p. 140, l. 12.
12-14. Φιλόστρατον. Cf. *Neère*, § 22. Bœckh, *l. c.* X, f, 37. — Περὶ Ὠρωποῦ. C'est le fameux procès dans lequel Lycoléon plaida pour Chabrias (Aristote, *Rhét.*, III, 10), et Callistrate se défendit lui-même. Voy. la note sur *Cour.*, § 99.
24. Οὔθ'.... ἐξορκοῦντα, ni leur dictant la formule du serment. L'auteur du second argument dit que Midias ajouta au serment que, dans aucun cas, les juges n'accorderaient le prix à Démosthène. Cela me paraît incroyable. Il a pu suggérer une formule qui excluait Démosthène indirectement. Nous saurions à quoi nous en tenir, si la *narration* n'était pas incomplète.

τοῦτο. Ἀλλὰ τὴν μὴ οὖσαν ἀντιλαχεῖν ἐξῆν αὐτῷ δήπου, καὶ πρὸς ἐμὲ τὸ πρᾶγμα καταστήσασθαι. πρὸς ὅνπερ ἐξ ἀρχῆς ἦν ἡ δίκη. Ἀλλ' οὐκ ἐβούλετο· ἀλλ' ἵνα μὴ Μειδίας ἀτίμητον ἀγωνίσηται δέκα μνῶν δίκην, πρὸς ἣν οὐκ ἀπήντα δέον, καὶ εἰ μὲν ἠδίκηκε, δίκην δῷ, εἰ δὲ μή, ἀποφύγῃ, ἄτιμον Ἀθηναίων ἕν' εἶναι δεῖ καὶ μήτε συγγνώμης μήτε λόγου μήτε ἐπιεικείας μηδεμιᾶς τυχεῖν, ἃ καὶ τοῖς ὄντως ἀξιοῦσιν ἅπανθ' ὑπάρχει. [91] Ἀλλ' ἐπειδή γ' ἠτίμωσεν ὃν ἐβουλήθη, καὶ τοῦτ' ἐχαρίσαθ' αὑτῷ καὶ τὴν ἀναιδῆ γνώμην, ᾗ τοιαῦτα προαιρεῖται ποιεῖν, ἐνέπλησεν αὑτοῦ, ἐκεῖν' ἐποίησε, τὴν καταδίκην ἐκτέτεικε, δι' ἣν τὸν ἄνθρωπον ἀπώλεσεν; οὐδὲ χαλκοῦν οὐδέ πω καὶ τήμερον, ἀλλὰ δίκην ἐξούλης ὑπομένει φεύγειν. Οὐκοῦν ὁ μὲν ἠτίμωται καὶ παραπόλωλεν, ὁ δ' οὐδ' ὁτιοῦν πέπονθεν, ἀλλ' ἄνω
544 κάτω τοὺς νόμους, τοὺς διαιτητάς, πάνθ' ὅσ' ἂν βούληται στρέφει. [92] Καὶ τὴν μὲν κατὰ τοῦ διαιτητοῦ γνῶσιν, ἣν ἀπρόσκλητον κατεσκεύασεν, αὐτὸς κυρίαν αὑτῷ πεποίηται· ἣν

NC. 1. αὐτῷ ἐξῆν S. — 4. δέκα μν, avec ω dans l'interligne, S.— 5. ηδικηκεν S.— 6. μήτε τοῦ λόγου avant Reiske. Réviseur de S : γρ. μητε ελέου.— ἐπ' εἰκειας S. — 7. τυχεῖν μηδεμίας F.— 8-9. ἐχαρίσαθ' αὑτῷ Dobree, en invoquant la scholie : Φαίνεται γὰρ αὐτὸς τὸ πᾶν συσκευάσας. Mss. : ἐχαρίσασθε αὐτῷ.— J'écris τοιαῦτα pour ταῦτα. Cobet écarte ᾗ.... ποιεῖν et αὑτοῦ.— 10. εκτετικε, l'ι de première main sur un grattage, S. — 11. ἀλλ' οὐδὲ χαλκοῦν F.— 12. φευγην S[1], corrigé par le réviseur. Variante : φεύγων. — 14. καὶ κάτω A, F.— 16. αυτω S. ἑαυτῷ A. — πεποίηται S, A. πεποίηκεν F. [αὐτὸς] κυρίαν αὑτῷ πεποίηκεν Dobree. Il aurait pu conserver αὐτός, en le rattachant à κατέσκευασεν.

1. Τὴν μὴ οὖσαν ἀντιλαχεῖν, se pourvoir contre la condamnation par défaut pour cause de nullité. Cf. Pollux, VIII, 60.

3-4. Ἀλλ' οὐκ ἐβούλετο. Midias s'était-il abstenu de faire opposition, ou seulement de prêter serment? Cf. § 86. — Ἀτίμητον.... δίκην. C'est ainsi qu'on désignait les procès pour lesquels la peine n'était pas laissée à l'estimation (τίμησις) du juge, mais fixée par la loi. [Harpocration.] — Δέκα μνῶν. On voit ici que les dix mines ou cent drachmes étaient l'amende primitive, et non, comme veut A. Buttmann, l'amende doublée par suite de la plainte ἐξούλης (§ 81). — Δέον, quand il aurait fallu comparaître (ἀπαντᾶν).

6. Λόγου, égard. — Ἐπιεικείας, équité (opposé au droit strict). Aristote (*Morale à Nic.*, V, 14) donne du ἐπιεικές cette définition : Ἐπανόρθωμα νόμου, ᾗ ἐλλείπει διὰ τὸ καθόλου.

9-11. Γνώμην.... ἐνέπλησεν. Cf. Thucydide, VII, 68 : Ἀποπλῆσαι τῆς γνώμης τὸ θυμούμενον. [Dobree.] — Δι' ἣν.... ἀπώλεσεν. On peut retourner l'argument. C'est précisément parce que Straton avait été condamné que Midias considérait la sentence de Straton comme non avenue.

13. Παραπόλωλεν équivaut à ἐν παρέργῳ ἀπόλωλεν. [G. H. Schæfer.]

16. Ἀπρόσκλητον, sans citation préalable. Cf. § 87. — Αὐτὸς κυρίαν αὑτῷ πεποίηται. Hyperbole oratoire, pour dire que la sentence était l'effet des intrigues de Midias : κατεσκεύασεν. Cf. Πείσας τὸν πρυτανεύοντα, *ib.*

δ' αὐτὸς ὦφλεν ἐμοὶ προσκληθείς, εἰδώς, οὐκ ἀπαντῶν, ἄκυρον ποιεῖ. Καίτοι εἰ παρὰ τῶν ἔρημον καταδιαιτησάντων αὐτοῦ τηλικαύτην δίκην οὗτος ἀξιοῖ λαμβάνειν, τίν' ὑμῖν προσήκει παρὰ τούτου λαβεῖν τοῦ φανερῶς τοὺς ὑμετέρους νόμους ἐφ' ὕβρει παραβαίνοντος; Εἰ γὰρ ἀτιμία καὶ νόμων καὶ δικῶν καὶ πάντων στέρησις ἐκείνου τἀδικήματος προσήκουσ' ἐστὶ δίκη, τῆς γ' ὕβρεως μικρὰ θάνατος φαίνεται. [93] Ἀλλὰ μὴν ὡς ἀληθῆ λέγω, κάλει μοι τούτων τοὺς μάρτυρας, καὶ τὸν τῶν διαιτητῶν ἀνάγνωθι νόμον.

ΜΑΡΤΥΡΕΣ.

« Νικόστρατος Μυρρινούσιος, Φανίας Ἀφιδναῖος οἴδαμεν Δημοσθένην, ᾧ μαρτυροῦμεν, καὶ Μειδίαν τὸν κρινόμενον ὑπὸ Δημοσθένους, ὅτ' αὐτῷ Δημοσθένης ἔλαχε τὴν τοῦ κακηγορίου δίκην, ἑλομένους διαιτητὴν Στράτωνα, καὶ ἐπεὶ ἧκεν ἡ κυρία τοῦ νόμου, οὐκ ἀπαντήσαντα Μειδίαν ἐπὶ τὴν δίαιταν, ἀλλὰ καταλιπόντα. Γενομένης δὲ ἐρήμου κατὰ Μειδίου, ἐπιστάμεθα Μειδίαν πείθοντα τόν τε Στράτωνα τὸν διαιτητὴν καὶ ἡμᾶς, ὄντας ἐκείνοις τοῖς χρόνοις ἄρχοντας, ὅπως τὴν δίαιταν αὐτῷ ἀποδιαιτήσομεν, καὶ διδόντα δραχμὰς πεντήκοντα, καὶ ἐπειδὴ οὐχ ὑπεμείναμεν, προσαπειλήσαντα ἡμῖν καὶ οὕτως ἀπαλλαγέντα. Καὶ διὰ ταύτην τὴν αἰτίαν ἐπιστάμεθα Στράτωνα ὑπὸ Μειδίου καταβραβευθέντα καὶ παρὰ πάντα τὰ δίκαια ἀτιμωθέντα. » 545

[94] Λέγε δὴ καὶ τὸν τῶν διαιτητῶν νόμον.

NC. 4. φανερῶς οὕτω F. — 6. εστιν S. — 7. ἔμοιγε φαίνεται F. — 8. τοὺς est omis dans S. — 10. ΜΑΡΤΥΡΙΑ ΝΟΜΟϹ S. Au § 94, ΝΟΜΟϹ est répété avant le texte de la loi, mais non, comme d'ordinaire, sur une ligne à part. — 13. ἔλαχεν S. — κατηγοριου S. — 14. επικενηκυρία S[1], επ' ἧκενηκυρία réviseur. — 16. καταλειπόντα S. — 18. πως S[1], ὅπως réviseur. — 19. ἀποδιαιτήσωμεν vulg.

5-6. Καὶ νόμων.... στέρησις. Explication pathétique de ce que renferme le mot ἀτιμία. [G. H. Schæfer.]

11. Οἴδαμεν est d'un atticisme douteux.

14. Ἑλομένους διαιτητήν. Il paraît, au contraire, que Straton n'avait pas été désigné par le choix, mais par le sort. Voyez la note sur γίγνεταί μοι διαιτητής, § 83. L'auteur de ce document s'y est trompé.

17-18. Ἡμᾶς.... ἄρχοντας. La déposition des archontes eux-mêmes eût été précieuse pour Démosthène. Mais les mots ὡς ἐγὼ τῶν παραγενομένων τινὸς ἐπυνθανόμην (§ 85) n'en semblaient pas promettre autant. [Westermann.]

22. Καταβραβευθέντα, condamné par suite d'intrigues. Ce mot ne se rencontre pas dans les auteurs de l'époque attique.

ΝΟΜΟΣ.

« Ἐὰν δέ τινες περὶ συμβολαίων ἰδίων πρὸς ἀλλήλους ἀμφισβητῶσι καὶ βούλωνται διαιτητὴν ἑλέσθαι ὁντινοῦν, ἐξέστω αὐτοῖς αἱρεῖσθαι ὃν ἂν βούλωνται [διαιτητὴν ἑλέσθαι]. Ἐπειδὰν δ' ἕλωνται κατὰ κοινόν, μενέτωσαν ἐν τοῖς ὑπὸ τούτου διαγνωσθεῖσι, καὶ μηκέτι μεταφερέτωσαν ἀπὸ τούτου ἐφ' ἕτερον δικαστήριον ταὐτὰ ἐγκλήματα, ἀλλ' ἔστω τὰ κριθέντα ὑπὸ τοῦ διαιτητοῦ κύρια. »

[95] Κάλει δὴ καὶ τὸν Στράτων' αὐτὸν τὸν τοιαῦτα πεπονθότα· ἑστάναι γὰρ ἐξέσται δήπουθεν αὐτῷ.

Οὗτος, ὦ ἄνδρες Ἀθηναῖοι, πένης μὲν ἴσως ἐστίν, οὐ πονηρὸς δέ γε. Οὗτος μέντοι πολίτης ὤν, ἐστρατευμένος ἁπάσας τὰς ἐν ἡλικίᾳ στρατείας καὶ δεινὸν οὐδὲν εἰργασμένος, ἕστηκε νυνὶ σιωπῇ, οὐ μόνον τῶν ἄλλων ἀγαθῶν τῶν κοινῶν ἀπεστερημένος, ἀλλὰ καὶ τοῦ φθέγξασθαι ἢ ὀδύρασθαι· καὶ οὐδ' εἰ δίκαι' ἢ ἄδικα πέπονθεν, οὐδὲ ταῦτ' ἔξεστιν αὐτῷ πρὸς ὑμᾶς εἰπεῖν. [96] Καὶ ταῦτα πέπονθεν ὑπὸ Μειδίου καὶ τοῦ Μειδίου πλούτου καὶ τῆς ὑπερηφανίας παρὰ τὴν πενίαν καὶ ἐρημίαν καὶ

NC. 2-3. αμφισβητῶσιν S. — 4. ερεσθαι, avec αι, d'une main ancienne, au-dessus du premier ε, S. — βούλωνται διαιτητὴν ἑλέσθαι manuscrits. βούλωνται διαιτητὴν Ald. βούλωνται Sauppe. — 5. δ' ἕλωνται Reiske. βούλωνται manuscrits. — 5-6. διαγνωσθισιν S[1]. — μεταφερέτωσαν Budée. καταφερέτωσαν manuscrits (με au-dessus de κα dans O). — ὑπο S, F. — 7. εκκληματα S. — 9. τοιαῦτα S seul. τὰ τοιαῦτα vulg. — 13. ἑστηκεν S. — 15. καὶ ὀδύρασθαι A.

2 sqq. Ἐὰν δέ τινες.... Le scholiaste imaginait un texte tout différent de celui-ci. On ne voit pas (Spalding l'a déjà fait observer) pourquoi Démosthène aurait extrait de la loi sur les arbitres un fragment qui a si peu de rapport avec ce qu'il veut établir. Celui qui inséra ce document à cette place croyait que Straton était un arbitre désigné par les parties, erreur que nous avons relevée dans la déposition qui précède.

10. Ἑστάναι γὰρ ἐξέσται δήπουθεν αὐτῷ ; sous-ent. εἰ καὶ μὴ λέγειν μηδὲ μαρτυρεῖν ἀτίμῳ γε ὄντι. [G.H. Schæfer.] En s'exprimant ainsi, Démosthène semble avouer qu'il fait une chose contraire à l'usage. On peut donc trouver excessive l'athétèse attestée par la scholie : Ὠβέλισται δὲ καὶ ταῦτα (cf. § 89) · οὐδὲ ἐπιβῆναι γὰρ τοῖς τοιούτοις ἐφεῖται.

11-12. Πένης μὲν.... οὐ πονηρὸς δέ γε. Cf. § 83. Démosthène aurait-il répété les mêmes idées à peu près dans les mêmes termes, s'il avait mis la dernière main à son plaidoyer ?

18. Παρὰ τὴν πενίαν, parce qu'il est pauvre.

ὑβρίζων, ὅταν ὡς ἐχθρὸς ὑπάρχων, ὅταν κονδύλοις, ὅταν ἐπὶ κόρρης. Ταῦτα κινεῖ, ταῦτ' ἐξίστησιν ἀνθρώπους αὑτῶν, ἀήθεις 538 ὄντας τοῦ προπηλακίζεσθαι. Οὐδεὶς ἄν, ω ἄνδρες Ἀθηναῖοι, ταῦτ' ἀπαγγέλλων δύναιτο τὸ δεινὸν παραστῆσαι τοῖς ἀκούουσιν οὕτως ὡς ἐπὶ τῆς ἀληθείας καὶ τοῦ πράγματος τῷ πάσχοντι καὶ τοῖς ὁρῶσιν ἐναργὴς ἡ ὕβρις φαίνεται. [73] Σκέψασθε δὴ πρὸς Διὸς καὶ θεῶν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ λογίσασθε παρ' ὑμῖν αὐτοῖς ὅσῳ πλείον' ὀργὴν ἐμοὶ προσῆκε παραστῆναι πάσχοντι τοιαῦθ' ὑπὸ Μειδίου ἢ τότ' ἐκείνῳ τῷ Εὐαίωνι τῷ τὸν Βοιωτὸν ἀποκτείναντι. Ὁ μέν γ' ὑπὸ γνωρίμου, καὶ τούτου μεθύοντος, ἐναντίον ἓξ ἢ ἑπτὰ ἀνθρώπων ἐπλήγη, καὶ τούτων γνωρίμων, οἳ τὸν μὲν κακιεῖν οἷς ἔπραξε, τὸν δ' ἐπαινέσεσθαι μετὰ ταῦτ' ἀνασχόμενον καὶ κατασχόνθ' ἑαυτὸν ἔμελλον, καὶ ταῦτ' εἰς οἰκίαν ἐλθὼν ἐπὶ δεῖπνον, οἷ μηδὲ βαδίζειν ἐξῆν αὐτῷ· [74] ἐγὼ δ' ὑπ' ἐχθροῦ νήφοντος, ἕωθεν, ὕβρει καὶ οὐκ οἴνῳ τοῦτο ποιοῦντος, ἐναντίον πολλῶν καὶ ξένων καὶ πολιτῶν [ὑβριζόμην], καὶ ταῦτ' ἐν ἱερῷ καὶ οἷ πολλή μοι ἦν ἀνάγκη βαδίζειν χορηγοῦντι. Καὶ ἐμαυτὸν μέν γ', ὦ ἄνδρες Ἀθηναῖοι, σωφρόνως, μᾶλλον δ' εὐτυχῶς οἶμαι βεβουλεῦσθαι, ἀνασχόμενον τότε καὶ οὐδὲν ἀνήκεστον ἐξαχθέντα πρᾶξαι· τῷ δ' Εὐαίωνι καὶ πᾶσιν, εἴ τις αὑτῷ βεβοήθηκεν ἀτιμαζόμενος, πολλὴν συγγνώμην

NC. 4. ἀπαγλων S[1]. — 6. σκέψασθαι, corrigé de première main, S. — 9. ευωνι S[1]. — 12. ἐφ' οἷς A. οἷ' Cobet. — επαινεσθαι, corrigé, S[1]. — 14. επὶ το δειπνον (το pointé) S. — μηδὲ vulg., et réviseur de S. μη S[1], et les derniers éditeurs. — 16-17. ὑβριζόμην, inadmissible après ὕβρει, est une glose reconnue par Herwerden, *l. c.*, p. 309. — οἷ. S, A, F : ου ou οὗ. — 19. καὶ βεβουλεῦσθαι avant Taylor. — 20. μηδὲν A, F. — 21. εἴ τις ajouté en marge de première main dans S. — ἀτιμαζόμενος S, A, F. ἀτιμαζομένῳ vulg.

1-2. Ἐπὶ κόρρης équivaut à ἐπὶ τῆς γνάθου. [Harpocration.] C'est ici seulement, et d'une manière indirecte, que nous apprenons ce détail.

12. Κακιεῖν οἷς (équivaut à ἐφ' οἷς) ἔπραξεν. Cf. *Cour.*, §§ 217, 291.

14. Οἷ μηδὲ βαδίζειν ἐξῆν αὐτῷ, où il était libre de ne pas aller du tout, où il n'avait pas même besoin d'aller.

15 sqq. Ἐγὼ δ' ὑπ' ἐχθροῦ νήφοντος, ἕωθεν.... Démosthène insiste sur tous les détails qui ajoutent à la gravité du fait, comme Cicéron, *Phil.*, II, 25 : « In cœtu « vero populi romani, negotium publicum « gerens, magister equitum, cui ructare « turpe esset, is vomens.... »

19. Μᾶλλον δ' εὐτυχῶς. L'orateur ajoute ces mots, de peur de paraître trop endurant. [Spalding.]

20-21. Καὶ πᾶσιν, εἴ τις..., et à tous, si quelqu'un, c'est-à-dire et à quiconque.

ἔχω. [75] Δοκοῦσι δέ μοι καὶ τῶν δικασάντων τότε πολλοί· ἀκούω γὰρ αὐτὸν ἔγωγε μιᾷ μόνον ἁλῶναι ψήφῳ, καὶ ταῦτ' οὔτε κλαύσαντα οὔτε δεηθέντα τῶν δικαστῶν οὐδενός, οὔτε φιλάνθρωπον οὔτε μικρὸν οὔτε μέγ' οὐδ' ὁτιοῦν πρὸς τοὺς
539 δικαστὰς ποιήσαντα. Θῶμεν τοίνυν οὑτωσί, τοὺς μὲν καταγνόντας αὐτοῦ μὴ ὅτι ἠμύνατο, διὰ τοῦτο καταψηφίσασθαι, ἀλλ' ὅτι τοῦτον τὸν τρόπον ὥστε καὶ ἀποκτεῖναι, τοὺς δ' ἀπογνόντας καὶ ταύτην τὴν ὑπερβολὴν τῆς τιμωρίας τῷ γε τὸ σῶμ' ὑβρισμένῳ δεδωκέναι. [76] Τί οὖν; ἐμοὶ τῷ τοσαύτῃ κεχρημένῳ προνοίᾳ τοῦ μηδὲν ἀνήκεστον γενέσθαι, ὥστε μηδ' ἀμύνασθαι, παρὰ τοῦ τὴν τιμωρίαν ὧν πέπονθ' ἀποδοθῆναι προσήκει; ἐγὼ μὲν οἶμαι παρ' ὑμῶν καὶ τῶν νόμων, καὶ παράδειγμά γε πᾶσι γενέσθαι τοῖς ἄλλοις, ὅτι τοὺς ὑβρίζοντας ἅπαντας καὶ τοὺς ἀσελγεῖς οὐκ αὐτὸν ἀμύνεσθαι μετὰ τῆς ὀργῆς, ἀλλ' ἐφ' ὑμᾶς ἄγειν δεῖ, ὡς βεβαιούντων ὑμῶν καὶ φυλαττόντων τὰς ἐν τοῖς νόμοις τοῖς παθοῦσι βοηθείας.

[77] Οἶμαι τοίνυν τινὰς ὑμῶν, ὦ ἄνδρες δικασταί, ποθεῖν ἀκοῦσαι τὴν ἔχθραν, ἥτις ἦν ἡμῖν πρὸς ἀλλήλους· νομίζειν γὰρ οὐδέν' ἂν ἀνθρώπων οὕτως ἀσελγῶς καὶ βιαίως οὐδενὶ τῶν πολιτῶν χρήσασθαι, μὴ μεγάλου τινὸς ὄντος ὃ αὐτῷ προωφείλετο. Βούλομαι δὴ καὶ περὶ ταύτης ὑμῖν ἐξ ἀρχῆς εἰπεῖν καὶ διηγήσασθαι, ἵν' εἰδῆθ' ὅτι καὶ τούτων ὀφείλων δίκην φανήσεται. Ἔσται δὲ περὶ αὐτῶν βραχὺς ὁ λόγος, κἂν ἄνωθεν ἄρχε-

NC. 5. ποιήσαντα (d'abord ποιήσαντας) S. — 7. τοῦτον τὸν τὸν τρόπον S. — 12-13. Var. παράδειγμά με, π. τοῦτον. — 14. [τῆς] Dobree. — 16. κατά τῶν ἀδικούντων τοῖς παθοῦσι F. — 17. ανδρες ', αθηναιοι ', δικασται S. — 19. ἂν, avant ἀνθρώπων, est omis dans S, transposé dans d'autres manuscrits. — 22. δίκην S seul. δοῦναι δίκην vulg. — 23. καὶ S[1], κἂν réviseur.

1. Δοκοῦσι.... πολλοί : sous-ent. συγγνώμην σχεῖν.

4. Φιλάνθρωπον, ce qui plait aux hommes. [G. H. Schæfer.] — Οὔτε μικρὸν οὔτε μέγ' οὐδ' ὁτιοῦν. Cf. *Ambass.*, § 17; *Cour.*, § 139; *Phil.* III, § 5.

9. Δεδωκέναι, qu'ils lui ont accordé (comme une chose légitime ou excusable).

12-13. Καὶ παράδειγμά γε πᾶσι γενέσθαι τοῖς ἄλλοις, et (il convient) qu'il y ait un exemple pour avertir tous les autres.

14-15. Μετὰ τῆς ὀργῆς, au moment où l'on ressent la colère.

20-21. Μὴ μεγάλου.... προωφείλετο (équivaut à εἰ μὴ προηδίκητο μείζονα, schol.), s'il n'avait pas eu un grand compte à régler avec moi. Cf. Antiphon, *Meurtre d'Hérode*, § 61 : Προωφείλετο αὐτῷ κακόν. Eschyle, *Choéph.*, 310 : Τοὐφειλόμενον πράσσουσα δίκη μέγ' ἀϋτεῖ. Euripide, *Androm.*, 360 : Οἷσιν οὐκ ἐλάσσονα βλάβην ὀφείλω. — Mais, dit Démosthène,

σθαι δοκῶ. [78] Ἡνίκα τὰς δίκας ἔλαχον τῶν πατρῴων τοῖς ἐπιτρόποις, μειρακύλλιον ὢν κομιδῇ καὶ τοῦτον οὐδ' εἰ γέγονεν εἰδὼς [οὐδὲ γιγνώσκων], ὡς μηδὲ νῦν ὤφελον, τότε μοι μελλουσῶν εἰσιέναι τῶν δικῶν εἰς ἡμέραν ὡσπερεὶ τετάρτην ἢ πέμπτην εἰσεπήδησαν ἀδελφὸς ὁ τούτου καὶ οὗτος εἰς τὴν οἰκίαν ἀντιδιδόντες τριηραρχίαν. Τοὔνομα μὲν δὴ παρέσχεν ἐκεῖνος, καὶ ἦν ὁ ἀντιδιδοὺς Θρασύλοχος· τὰ δ' ἔργα πάντ' ἦν καὶ τὰ πραττό- 540
μενα ὑπὸ τούτου. [79] Καὶ πρῶτον μὲν κατέσχισαν τὰς θύρας τῶν οἰκημάτων, ὡς αὑτῶν ἤδη γιγνομένας κατὰ τὴν ἀντίδοσιν· εἶτα τῆς ἀδελφῆς, ἔτ' ἔνδον οὔσης τότε καὶ παιδὸς οὔσης κόρης, ἐναντίον ἐφθέγγοντ' αἰσχρὰ καὶ τοιαῦθ' οἷ' ἂν ἄνθρωποι τοιοῦτοι φθέγξαιντο (οὐ γὰρ ἔγωγε προαχθείην ἂν εἰπεῖν πρὸς ὑμᾶς τῶν τότε ῥηθέντων οὐδέν), καὶ τὴν μητέρα κἀμὲ καὶ πάντας ἡμᾶς ῥητὰ καὶ ἄρρητα κάκ' ἐξεῖπον· ὃ δ' οὖν δεινότατον καὶ οὐ λόγος, ἀλλ' ἔργον ἤδη· τὰς δίκας ὡς αὑτῶν οὔσας ἠφίεσαν τοῖς ἐπιτρόποις. [80] Καὶ ταῦτ' ἐστὶ μὲν παλαιά, ὅμως δέ τινας ὑμῶν μνημονεύειν οἴομαι· ὅλη γὰρ ἡ πόλις τὴν ἀντίδοσιν καὶ τὴν ἐπιβουλὴν τότε ταύτην καὶ τὴν ἀσέλγειαν

NC. 3. [οὐδὲ γιγνώσκων] Cobet. — 4. ὡς περὶ avant Reiske. — 7. ἔργ' ἅπαντα S. — 10. [οὔσης] τότε? — 11. ἂν, avant ἄνθρωποι, manque dans S Cf. p. 146, l. 19. — 14. εἶπον Cobet. ἐπεῖπον? — ὃ, sur un grattage d'à peu près trois lettres, S[1]. — 16. αφιεσαν S. — 18. ταυτην τοτε, avec des signes de transposition, S[1].

c'est, au contraire, Midias qui me devait une satisfaction, ὀφείλων δίκην.

3-6. Τότε μοι.... τριηραρχίαν. Le jeune Démosthène avait intenté un procès à son tuteur Aphobos (voy. *Harangues*, p. II), et la cause allait être plaidée (εἰσιέναι, sous-ent. εἰς τὸ δικαστήριον) dans peu de jours, quand Thrasyloque, frère de Midias et alors un des triérarques désignés, déclara que la charge de la triérarchie devait retomber sur Démosthène, comme étant plus riche que lui, et offrit au jeune homme, s'il contestait qu'il en fût ainsi, ce qu'on appelait *antidose*, c'est-à-dire l'échange de fortune (voy. la note sur *Phil.* I, § 36). C'était une intrigue tramée par Aphobos. Démosthène se trouvait dans un cruel embarras. S'il se chargeait des frais de la triérarchie, il achevait de se ruiner lui-même, après avoir été dépouillé par ses tuteurs; s'il consentait à l'échange de fortune, il cédait ses créances en même temps que ses biens. D'abord il voulait accepter l'échange, en se réservant de poursuivre ses tuteurs; mais, comme cette exception ne fut pas admise, et que Thrasyloque, s'arrogeant tous les droits de Démosthène, se disposait à donner décharge à Aphobos, Démosthène revint sur sa première résolution et se résigna à payer, à la place de Thrasyloque, les frais de la triérarchie. Cf. *Contre Aphobos*, II, § 17; Bœckh, *Staatshaush.*, p. 754 sqq.

10-11. Ἔτ' ἔνδον οὔσης τότε, qui alors était encore à la maison, n'était pas encore mariée. — Παιδὸς.... κόρης. On compare Aristophane, *Lysistr.*, 595 : Παῖδα κόρην γεγάμηκεν.

13-14. Τὴν μητέρα.... κακ(ὰ) ἐξεῖπον équivaut à κακῶς εἶπον. On lit déjà dans l'*Odyssée*, XVIII, 15 : Οὔτε τί σε ῥέζω

ᾔσθετο. Κἀγὼ τότε παντάπασιν ἔρημος ὢν καὶ νέος κομιδῇ, ἵνα μὴ τῶν παρὰ τοῖς ἐπιτρόποις ἀποστερηθείην, οὐχ ὅσ' ἐδυνήθην ἀνακομίσασθαι προσδοκῶν εἰσπράξειν, ἀλλ' ὅσων ἐμαυτῷ συνῄδειν ἀπεστερημένῳ, δίδωμ' εἴκοσι μνᾶς τούτοις, ὅσου τὴν τριηραρχίαν ἦσαν μεμισθωκότες. Τὰ μὲν δὴ τόθ' ὑβρίσματα τούτων εἰς ἐμὲ ταῦτ' ἐστίν. [81] Δίκην δὲ τούτῳ λαχὼν ὕστερον τῆς κακηγορίας εἷλον ἐρήμην· οὐ γὰρ ἀπήντα. Λαβὼν δ' ὑπερήμερον καὶ ἔχων οὐδενὸς ἠψάμην πώποτε τῶν τούτου, ἀλλὰ λαχὼν ἐξούλης πάλιν οὐδέπω καὶ τήμερον εἰσελθεῖν δεδύνημαι· τοσαύτας τέχνας καὶ σκήψεις οὗτος εὑρίσκων ἐκκρούει. Κἀγὼ μὲν οὕτως εὐλαβῶς τῇ δίκῃ, τοῖς νόμοις ἅπαντα πράττειν ἀξιῶ· ὁ δ', ὡς ὑμεῖς ἀκούετ', ἀσελγῶς οὐ μόνον εἰς ἐμὲ καὶ τοὺς ἐμοὺς ᾤετο δεῖν ὑβρίζειν, ἀλλὰ καὶ εἰς τοὺς φυλέ-
541 τας δι' ἐμέ. [82] Ὡς οὖν ταῦτ' ἀληθῆ λέγω, κάλει μοι τούτων τοὺς μάρτυρας, ἵν' εἰδῆθ' ὅτι πρὶν κατὰ τοὺς νόμους δίκην ὧν πρότερον ἠδικήθην λαβεῖν, πάλιν τοιαῦθ' οἷ' ἀκηκόαθ' ὕβρισμαι.

ΜΑΡΤΥΡΙΑ.

« Καλλισθένης Σφήττιος, Διόγνητος Θορίκιος, Μνησίθεος Ἀλωπεκῆθεν, οἴδαμεν Δημοσθένην, ᾧ μαρτυροῦμεν, κρίσιν λελογχότα Μειδίᾳ ἐξούλης, τῷ καὶ νῦν ὑπ' αὐτοῦ κρινομένῳ δημοσίᾳ, καὶ ἤδη τῇ κρίσει ἐκείνῃ διαγεγονότα ἔτη ὀκτώ, καὶ τοῦ

NC. 3. κομίσασθαι A, F. — εἴσπραξιν S¹. — 6. τούτῳ A. τούτων F. τουτω S¹, τούτων réviseur ancien. — 8. καὶ ἐξὸν Herwerden, *l. c.*, p. 310. — 11. απαντα première main, avec correction indiquée par le réviseur, S. — 18. ΜΑΡΤΥΡΕΣ vulg. — 19. Θορίκιος Palmerius. θεωρισκος S et les autres manuscrits. — 20. δημοσθενη S. — 21. αυτωι κρινομενου S¹ : le réviseur n'a corrigé que ce dernier mot.

κακὸν οὔτ' ἀγορεύω. Cf. Aristophane, *Ecclesiaz.*, 435 : Τὰς μὲν γυναῖκας πολλ' ἀγαθὰ λέγων, σὲ δὲ πολλὰ κακά.

2-3. Ὅσ' ἐδυνήθην ἀνακομίσασθαι, le peu qu'il m'a été possible de recouvrer.

4-5. Εἴκοσι μνᾶς.... μεμισθωκότες. Thrasyloque était convenu de payer à un entrepreneur vingt mines pour sa part de triérarchie : car à cette époque deux citoyens étaient associés pour cette charge. Cf. § 154 ; Bœckh, *l. c.*, p. 715.

7. Τῆς κακηγορίας : pour les propos injurieux dont il a été question au paragraphe 79.

7-9. Λαβὼν.... ἔχων. Midias ayant laissé passer le délai légal sans payer l'amende à laquelle il avait été condamné par défaut, Démosthène avait le droit de faire une saisie. Démosthène l'avait pris en contravention (λαβών) et le tenait (ἔχων). — Ἐξούλης. Cf. § 44, avec la note. — Εἰσελθεῖν : sous-ent. εἰς τὸ δικαστήριον.

13. Εἰς τοὺς φυλέτας. Cf. § 18.

22. Ἔτη ὀκτώ. L'intervalle était certai-

χρόνου γεγενημένον παντὸς αἴτιον Μειδίαν ἀεὶ προφασιζόμενον καὶ ἀναβαλλόμενον. »

[83] Ὃ τοίνυν πεποίηκεν, ὦ ἄνδρες Ἀθηναῖοι, περὶ τῆς δίκης ἀκούσατε, καὶ θεωρεῖτ' ἐφ' ἑκάστου τὴν ὕβριν καὶ τὴν ὑπερηφανίαν αὐτοῦ. Τῆς γὰρ δίκης, ταύτης λέγω ἧς εἷλον αὐτόν, γίγνεταί μοι διαιτητὴς Στράτων Φαληρεύς, ἄνθρωπος πένης μέν τις καὶ ἀπράγμων, ἄλλως δ' οὐ πονηρός, ἀλλὰ καὶ πάνυ χρηστός· ὅπερ τὸν ταλαίπωρον οὐκ ὀρθῶς οὐδὲ δικαίως, ἀλλὰ καὶ πάνυ αἰσχρῶς ἀπολώλεκεν. [84] Οὗτος διαιτῶν ἡμῖν ὁ Στράτων, ἐπειδή ποθ' ἧκεν ἡ κυρία, πάντα δ' ἤδη διεξεληλύθει τὰκ τῶν νόμων, ὑπωμοσίαι καὶ παραγραφαί, καὶ οὐδὲν ἔτ' ἦν ὑπόλοιπον, τὸ μὲν πρῶτον ἐπισχεῖν ἐδεῖτό μου τὴν δίαιταν, ἔπειτ' εἰς τὴν ὑστεραίαν ἀναβαλέσθαι· τὸ τελευταῖον δ', ὡς οὔτ' ἐγὼ συνεχώρουν οὔθ' οὗτος ἀπήντα, τῆς δ' ὥρας ἐγίγνετ' ὀψέ, κατεδιῄτησεν. [85] Ἤδη δ' ἑσπέρας οὔσης καὶ σκότους ἔρχεται Μειδίας 542 οὑτοσὶ πρὸς τὸ τῶν ἀρχόντων οἴκημα, καὶ καταλαμβάνει τοὺς

NC. 3. πεποίηκε κακόν vulg. — 5. γρ. τῆς γὰρ δίκης ἧς λεγω ταύτης ἣν εἷλον αυτον réviseur de S. — 8. οὐδὲ δικαίως est placé après αισχρως dans S, F. On pourrait être tenté d'attribuer les mots ἀλλὰ καὶ πάνυ αἰσχρῶς à un interpolateur. — 9. οὗτος S, οὑτοσὶ vulg. — 10. διεξεληλύθει ταυτα ταx S seul. — 13. τελευτῶν δ' A.

nement plus considérable. Le document est vague, insignifiant, et ne peut passer pour authentique. [Westermann.]

5-6. Ἧς εἷλον αὐτόν. C'est la δίκη κακηγορίας. — Γίγνεταί μοι διαιτητής. Il y avait des arbitres désignés annuellement pour juger en première instance des affaires que le sort attribuait à chacun d'eux. Mais les parties pouvaient aussi nommer par compromis un arbitre dont elles acceptaient d'avance la décision souveraine. (Voy. les auteurs cités, p. 150, l. 13.) D'après la pièce insérée au paragraphe 93, Straton appartenait à cette dernière catégorie. Deux circonstances qui semblent, à première vue, prouver le contraire, ne sont pas tout à fait décisives. Midias attaque le jugement de Straton ; et ce dernier est responsable, soumis à l'εὐθύνη, ce qui prouve qu'il était chargé de fonctions publiques. Mais un jugement par défaut devait être revisable en toute espèce ; et les parties pouvaient, sans doute, choisir un arbitre parmi les diétètes publics. Cependant la locution γίγνεταί μοι διαιτητής exclut, ce me semble, l'idée de choix.

7-9. Ἀλλὰ καὶ πάνυ χρηστός.... ἀλλὰ καὶ πάνυ αἰσχρῶς. Y a-t-il interpolation, ou négligence de rédaction?

10-11. Ἐπειδή ποθ' ἧκεν.... ἦν ὑπόλοιπον. Tous les moyens dilatoires, remises de la cause pour motif légitime (ὑπωμοσίαι), fins de non-recevoir (παραγραφαί), avaient été épuisées, et le jour du jugement définitif (ἡ κυρία) était arrivé.

14-15. Ἀπήντα, répondit à la citation, comparut en justice. — Κατεδιῄτησεν, condamna par jugement arbitral. On trouvera au paragraphe suivant le contraire, ἀποδιαιτᾶν.

16. Τὸ τῶν ἀρχόντων οἴκημα. C'est là que se rendaient les diétètes afin que les jugements qu'ils avaient rendus y fussent signés par les archontes, dont ils étaient les délégués. Voy. Schœmann, *Gr. Alterthümer*, t. I, p. 501.

ἄρχοντας ἐξιόντας καὶ τὸν Στράτωνα ἀπιόντ' ἤδη, τὴν ἔρημον δεδωκότα, ὡς ἐγὼ τῶν παραγενομένων τινὸς ἐπυνθανόμην. Τὸ μὲν οὖν πρῶτον οἷός τ' ἦν πείθειν αὐτὸν ἣν κατεδεδιῄτηκει, ταύτην ἀποδεδιῃτημένην ἀποφαίνειν, καὶ τοὺς ἄρχοντας μεταγράφειν, καὶ πεντήκοντα δραχμὰς αὐτοῖς ἐδίδου· [86] ὡς δ' ἐδυσχέραινον οὗτοι τὸ πρᾶγμα καὶ οὐδετέρους ἔπειθεν, ἀπειλήσας καὶ διαλοιδορηθεὶς, ἀπελθὼν τί ποιεῖ; καὶ θεάσασθε τὴν κακοήθειαν. Τὴν μὲν δίαιταν ἀντιλαχὼν οὐκ ὤμοσεν, ἀλλ' εἴασε καθ' ἑαυτοῦ κυρίαν γενέσθαι, καὶ ἀνώμοτος ἀπηνέχθη· βουλόμενος δὲ τὸ μέλλον λαθεῖν, φυλάξας τὴν τελευταίαν ἡμέραν τῶν διαιτητῶν, [τὴν τοῦ Θαργηλιῶνος ἢ τοῦ Σκιροφοριῶνος γιγνομένην], εἰς ἣν ὁ μὲν ἦλθε τῶν διαιτητῶν, ὁ δ' οὐκ ἦλθε, [87] πείσας τὸν πρυτανεύοντα δοῦναι τὴν ψῆφον παρὰ πάντας τοὺς νόμους, κλητῆρ' οὐδ' ὁντινοῦν ἐπιγραψάμενος, κατηγορῶν ἔρημον

NC. 3. οἷοστε (τε de la main du réviseur) S. — τὴν δίκην ἣν avant Bekker. — 4. Les manuscrits flottent entre ἀποφαίνειν et ἀποφέρειν (leçon de S). — 8. κακοηθιαν S[1], corrigé par le réviseur. — 11-12. διαιτῶν Dobree et Dindorf. — τὴν.... γιγνομένην : glose reconnue par G. H. Schæfer. — 12. ηλθεν.... ηλθεν S. — 14. οντιν' οὖν, les quatre lettres ν' οὖν ajoutées dans l'interligne par une main ancienne, dans S. — 14. κατηγορῶν S, A. κατηγόρεων vulg. — γρ. κατηγορῶν ερήμην réviseur en marge de S.

1-2. Ἐξιόντας. Ce verbe s'applique proprement aux magistrats qui se disposent à sortir après avoir levé la séance. Mais Straton va quitter un local qui n'est pas le sien : aussi l'orateur dit-il de lui ἀπιόντα. — Τὴν ἔρημον δεδωκότα, après avoir remis aux archontes son jugement portant condamnation par défaut. Voy. Dobree. Δεδωκότα n'équivaut pas à δεδιῃτηκότα.

3-6. Οἷός τ' ἦν, il avait le front. — Τοὺς ἄρχοντας : sous-ent. πείθειν. — Ἐδίδου, il offrait. Voy. *passim*. — Οὐδετέρους : ni les archontes ni Straton.

8-9. Τὴν μὲν δίαιταν.... ὤμοσεν. Après avoir demandé la cassation (ἀντιλαχών) de la sentence arbitraire, Midias s'abstint de prêter le serment sans lequel son pourvoi ne pouvait avoir de suite légale. Ou bien faut-il entendre οὐκ ὤμοσε τῆς διαίτης ἀντίληξιν ?—Ἀνώμοτος ἀπηνέχθη, n'ayant point protesté par serment, il fut déféré comme débiteur de l'État.

10. Τὸ μέλλον, ce qui arriverait, c'est-à-dire ce qu'il se proposait de faire.

13. Τὸ πρυτανεύοντα. Le scholiaste entend le président du conseil des Cinq-cents. Cf. G. Perrot, *Droit public d'Athènes*, p. 298 sqq. Meier (*Die Privatschiedsrichter und die æffentlichen Diæteten Athens*) croit qu'il s'agit du président des *logistes*, devant lesquels les magistrats sortants avaient à rendre leurs comptes.

14. Κλητῆρ(α).... ἐπιγραψάμενος. Quand on citait quelqu'un en justice, il fallait se faire accompagner de deux témoins (κλητῆρες), dont les noms étaient mentionnés à la fin de la plainte (cf. *Cour.*, § 55). Faute d'avoir rempli ces formalités, on ne pouvait légalement obtenir un jugement par défaut. Mais Midias prétendait sans doute qu'il n'était pas nécessaire de citer un diétète à une audience spécialement réservée au contrôle de la gestion de tous les diétètes sortants. — Κατηγορῶν ἔρημον (sous-ent. κατηγορίαν ou δίκην) οὐδενὸς παρόντος. Le meilleur commentaire de ces mots est donné par Platon, *Apologie*, p. 18 C : Ἐρήμην κατηγοροῦντες οὐδενὸς ἀπολογουμένου. L'interprétation :

οὐδενὸς παρόντος, ἐκβάλλει καὶ ἀτιμοῖ τὸν διαιτητήν· καὶ νῦν εἷς Ἀθηναίων, ὅτι Μειδίας ἔρημον ὦφλε δίκην, ἁπάντων ἀπεστέρηται τῶν ἐν τῇ πόλει καὶ καθάπαξ ἄτιμος γέγονεν· καὶ οὔτε λαχεῖν ἀδικηθέντα, οὔτε διαιτητὴν γενέσθαι Μειδίᾳ, οὐθ' ὅλως τὴν αὐτὴν ὁδὸν βαδίζειν, ὡς ἔοικεν, ἔστ' ἀσφαλές.

[88] Δεῖ δὴ τοῦτο τὸ πρᾶγμ' ὑμᾶς οὑτωσὶ σκέψασθαι, καὶ λογίσασθαι τί ποτ' ἐστὶν ὃ παθὼν Μειδίας οὕτως ὠμὸν τηλικαύτην ἐπεβούλευσε λαβεῖν τῶν πεπραγμένων παρ' ἀνδρὸς πολίτου 542 δίκην, κἂν μὲν ᾖ τι δεινὸν ὡς ἀληθῶς καὶ ὑπερφυὲς, συγγνώμην ἔχειν, ἐὰν δὲ μηδὲν, θεάσασθε τὴν ἀσέλγειαν καὶ τὴν ὠμότητα, ᾗ καθ' ἁπάντων χρῆται τῶν ἐντυγχανόντων. [89] Τί οὖν ἔσθ' ὃ πέπονθεν; μεγάλην νὴ Δί' ὦφλε δίκην, καὶ τοσαύτην ὥστ' ἀποστερεῖσθαι τῶν ὄντων. Ἀλλὰ χιλίων ἡ δίκη μόνον ἦν δραχμῶν. Πάνυ γε, ἀλλὰ δάκνει καὶ τοῦτο, φαίη τις ἄν, ὅταν ἐκτίνειν ἀδίκως δέῃ, συνέβη δὲ ὑπερημέρῳ γενομένῳ λαθεῖν αὐτῷ διὰ τὸ ἀδικηθῆναι. Ἀλλ' αὐθημερὸν μὲν ᾔσθετο, ὃ καὶ μέγιστόν ἐστι τεκμήριον τοῦ μηδὲν ἠδικηκέναι τὸν ἄνθρωπον, δραχμὴν δ' οὐδέπω μίαν ἐκτέτεικεν. [90] Ἀλλὰ μή πω

NC. 2. ωφλεν S. — 4. λαχεῖν S[1], Y. λαχεῖν δίκην (main ancienne dans S) ou δίκην λαχεῖν vulg. — 8. επεβουλευσαι, avec indication ancienne de la leçon ἐπεβούλευσε, S. γρ. ὥστε ἐπιβουλευσαι τηλικαυτην λαβειν τῶν réviseur : variante (glose) qui suppose ἔπαθεν. — 10. εχειν (ν de la main du réviseur) S. — 16. διὰ τὸ ἀδικηθῆναι. Voyez la note explicative.

« l'accusant de n'avoir pas comparu » est erronée. Il ne faut pas non plus mettre la virgule après κατηγορῶν.

3-4. Καθάπαξ équivaut à ὁλοκλήρως. [Schol.]—Λαχεῖν ἀδικηθέντα, se plaindre en justice d'avoir été lésé par Midias. C'était le cas de Démosthène : cf. § 81.

10. Θεάσασθε. La tournure directe de l'impératif est plus vive que ne serait l'infinitif θεάσασθαι, qui se rattacherait à δεῖ et à la construction générale de la période.

13-14. Χιλίων.... δραχμῶν. L'amende encourue pour injures verbales était généralement de cinq cents drachmes. A. Schaefer (t. II, p. 86) soupçonne qu'elle fut doublée dans ce cas, parce que les propos injurieux avaient été adressés à des femmes. Les autres explications qu'on a essayées sont peu satisfaisantes.

15-16. Συνέβη.... ἀδικηθῆναι, il lui arriva de laisser passer sans s'en apercevoir le terme légal du payement de l'amende (cf. § 84), parce qu'il avait été injustement condamné, διὰ τὸ ἀδικηθῆναι. Ces derniers mots sont très-obscurs. On s'attendait à : « parce qu'il avait été condamné absent », διὰ τὸ ἀπὼν καταδικασθῆναι. Le scholiaste dit : Τοῦτο τὸ μέρος ὠβέλισται παρὰ τῶν κριτικῶν καὶ ὡς ἀδιόρθωτον παραλέλειπται. Dans S et B les obels vont de Δεῖ δή, l. 6, à ποιεῖ, p. 153, 2.

16-18. Αὐθημερὸν.... τὸν ἄνθρωπον. il s'aperçut le jour même qu'il avait à comparaître devant l'arbitre : cf. § 85. Il savait donc d'avance le terme du payement de l'amende ; et cela prouve aussi (ὃ καὶ...) qu'il n'a pas à se plaindre de la condamnation par défaut rendue par Straton.

τοῦτο. Ἀλλὰ τὴν μὴ οὖσαν ἀντιλαχεῖν ἐξῆν αὐτῷ δήπου, καὶ πρὸς ἐμὲ τὸ πρᾶγμα καταστήσασθαι, πρὸς ὅνπερ ἐξ ἀρχῆς ἦν ἡ δίκη. Ἀλλ' οὐκ ἐβούλετο· ἀλλ' ἵνα μὴ Μειδίας ἀτίμητον ἀγωνίσηται δέκα μνῶν δίκην, πρὸς ἣν οὐκ ἀπήντα δέον, καὶ εἰ μὲν ἠδίκηκε, δίκην δῷ, εἰ δὲ μή, ἀποφύγῃ, ἄτιμον Ἀθηναίων ἕν' εἶναι δεῖ καὶ μήτε συγγνώμης μήτε λόγου μήτε ἐπιεικείας μηδεμιᾶς τυχεῖν, ἃ καὶ τοῖς ὄντως ἀδικοῦσιν ἅπανθ' ὑπάρχει. [91] Ἀλλ' ἐπειδή γ' ἠτίμωσεν ὃν ἐβουλήθη, καὶ τοῦτ' ἐχαρίσαθ' αὐτῷ καὶ τὴν ἀναιδῆ γνώμην, ἣ τοιαῦτα προαιρεῖται ποιεῖν, ἐνέπλησεν αὑτοῦ, ἐκεῖν' ἐποίησε, τὴν καταδίκην ἐκτέτεικε, δι' ἣν τὸν ἄνθρωπον ἀπώλεσεν; οὐδὲ χαλκοῦν οὐδέ πω καὶ τήμερον, ἀλλὰ δίκην ἐξούλης ὑπομένει φεύγειν. Οὐκοῦν ὁ μὲν ἠτίμωται καὶ παραπόλωλεν, ὁ δ' οὐδ' ὁτιοῦν πέπονθεν, ἀλλ' ἄνω
544 κάτω τοὺς νόμους, τοὺς διαιτητάς, πάνθ' ὅσ' ἂν βούληται
στρέφει. [92] Καὶ τὴν μὲν κατὰ τοῦ διαιτητοῦ γνῶσιν, ἣν ἀπρόσκλητον κατεσκεύασεν, αὐτὸς κυρίαν αὑτῷ πεποίηται· ἣν

NC. 1. αὐτῷ ἐξῆν S. — 4. δέκα μν, avec ω dans l'interligne, S. — 5. ηδικηκεν S. — 6. μήτε τοῦ λόγου avant Reiske. Réviseur de S : γρ. μητε ελέου. — ἐπ' εἰκειας S. — 7. τυχεῖν μηδεμίας F. — 8-9. ἐχαρίσαθ' αὐτῷ Dobree, en invoquant la scholie : Φαίνεται γὰρ αὐτὸς τὸ πᾶν συσκευάσας. Mss. : ἐχαρίσασθε αὐτῷ. — J'écris τοιαῦτα pour ταῦτα. Cobet écarte ἣ.... ποιεῖν et αὑτοῦ. — 10. εκτετικε, l'ι de première main sur un grattage, S. — 11. ἀλλ' οὐδὲ χαλκοῦν F. — 12. φευγην S[1], corrigé par le réviseur. Variante : φεύγων. — 14. καὶ κάτω A, F. — 16. αυτω S. ἑαυτῷ A. — πεποίηται S, A. πεποίηκεν F. [αὐτὸς] κυρίαν αὑτῷ πεποίηκεν Dobree. Il aurait pu conserver αὐτός, en le rattachant à κατέσκευασεν.

1. Τὴν μὴ οὖσαν ἀντιλαχεῖν, se pourvoir contre la condamnation par défaut pour cause de nullité. Cf. Pollux, VIII, 60.

3-4. Ἀλλ' οὐκ ἐβούλετο. Midias s'était-il abstenu de faire opposition, ou seulement de prêter serment? Cf. § 86. — Ἀτίμητον.... δίκην. C'est ainsi qu'on désignait les procès pour lesquels la peine n'était pas laissée à l'estimation (τίμησις) du juge, mais fixée par la loi. [Harpocration.] — Δέκα μνῶν. On voit ici que les dix mines ou cent drachmes étaient l'amende primitive, et non, comme veut A. Buttmann, l'amende doublée par suite de la plainte ἐξούλης (§ 81). — Δέον, quand il aurait fallu comparaître (ἀπαντᾶν).

6. Λόγου, égard. — Ἐπιεικείας, équité (opposé au droit strict). Aristote (*Morale à Nic.*, V, 14) donne du ἐπιεικές cette définition : Ἐπανόρθωμα νόμου, ᾗ ἐλλείπει διὰ τὸ καθόλου.

9-11. Γνώμην.... ἐνέπλησεν. Cf. Thucydide, VII, 68 : Ἀποπλῆσαι τῆς γνώμης τὸ θυμούμενον. [Dobree.] — Δι' ἣν.... ἀπώλεσεν. On peut retourner l'argument. C'est précisément parce que Straton avait été condamné que Midias considérait la sentence de Straton comme non avenue.

13. Παραπόλωλεν équivaut à ἐν παρέργῳ ἀπόλωλεν. [G. H. Schæfer.]

16. Ἀπρόσκλητον, sans citation préalable. Cf. § 87. — Αὐτὸς κυρίαν αὑτῷ πεποίηται. Hyperbole oratoire, pour dire que la sentence était l'effet des intrigues de Midias : κατεσκεύασεν. Cf. Πείσας τὸν πρυτανεύοντα, *ib.*

δ' αὐτὸς ὦφλεν ἐμοὶ προσκληθείς, εἰδώς, οὐκ ἀπαντῶν, ἄκυρον ποιεῖ. Καίτοι εἰ παρὰ τῶν ἔρημον καταδιαιτησάντων αὐτοῦ τηλικαύτην δίκην οὗτος ἀξιοῖ λαμβάνειν, τίν' ὑμῖν προσήκει παρὰ τούτου λαβεῖν τοῦ φανερῶς τοὺς ὑμετέρους νόμους ἐφ' ὕβρει παραβαίνοντος; Εἰ γὰρ ἀτιμία καὶ νόμων καὶ δικῶν καὶ πάντων στέρησις ἐκείνου τἀδικήματος προσήκουσ' ἐστὶ δίκη, τῆς γ' ὕβρεως μικρὰ θάνατος φαίνεται. [93] Ἀλλὰ μὴν ὡς ἀληθῆ λέγω, κάλει μοι τούτων τοὺς μάρτυρας, καὶ τὸν τῶν διαιτητῶν ἀνάγνωθι νόμον.

ΜΑΡΤΥΡΕΣ.

« Νικόστρατος Μυρρινούσιος, Φανίας Ἀφιδναῖος οἴδαμεν Δημοσθένην, ᾧ μαρτυροῦμεν, καὶ Μειδίαν τὸν κρινόμενον ὑπὸ Δημοσθένους, ὅτ' αὐτῷ Δημοσθένης ἔλαχε τὴν τοῦ κακηγορίου δίκην, ἑλομένους διαιτητὴν Στράτωνα, καὶ ἐπεὶ ἧκεν ἡ κυρία τοῦ νόμου, οὐκ ἀπαντήσαντα Μειδίαν ἐπὶ τὴν δίαιταν, ἀλλὰ καταλιπόντα. Γενομένης δὲ ἐρήμου κατὰ Μειδίου, ἐπιστάμεθα Μειδίαν πείθοντα τόν τε Στράτωνα τὸν διαιτητὴν καὶ ἡμᾶς, ὄντας ἐκείνοις τοῖς χρόνοις ἄρχοντας, ὅπως τὴν δίαιταν αὐτῷ ἀποδιαιτήσομεν, καὶ διδόντα δραχμὰς πεντήκοντα, καὶ ἐπειδὴ οὐχ ὑπεμείναμεν, προσαπειλήσαντα ἡμῖν καὶ οὕτως ἀπαλλαγέντα. Καὶ διὰ ταύτην τὴν αἰτίαν ἐπιστάμεθα Στράτωνα ὑπὸ Μειδίου καταβραβευθέντα καὶ παρὰ πάντα τὰ δίκαια ἀτιμωθέντα. » 545

[94] Λέγε δὴ καὶ τὸν τῶν διαιτητῶν νόμον.

NC. 1. φανερῶς οὕτω F. — 6. εστιν S. — 7. ἔμοιγε φαίνεται F. — 8. τοὺς est omis dans S. — 10. ΜΑΡΤΥΡΙΑ ΝΟΜΟϹ S. Au § 94, ΝΟΜΟϹ est répété avant le texte de la loi, mais non, comme d'ordinaire, sur une ligne à part. — 13. ἔλαχεν S. — κατηγοριου S. — 14. επικενηκυρία S[1], επ' ῆκενηκυρία réviseur. — 16. καταλειπόντα S. — 18. πως S[1], ὅπως réviseur. — 19. ἀποδιαιτήσωμεν vulg.

5-6. Καὶ νόμων.... στέρησις. Explication pathétique de ce que renferme le mot ἀτιμία. [G. H. Schæfer.]

11. Οἴδαμεν est d'un atticisme douteux.

14. Ἑλομένους διαιτητήν. Il paraît, au contraire, que Straton n'avait pas été désigné par le choix, mais par le sort. Voyez la note sur γίγνεταί μοι διαιτητής, § 83. L'auteur de ce document s'y est trompé.

17-18. Ἡμᾶς.... ἄρχοντας. La déposition des archontes eux-mêmes eût été précieuse pour Démosthène. Mais les mots ὡς ἐγὼ τῶν παραγενομένων τινὸς ἐπυνθανόμην (§ 85) n'en semblaient pas promettre autant. [Westermann.]

22. Καταβραβευθέντα, condamné par suite d'intrigues. Ce mot ne se rencontre pas dans les auteurs de l'époque attique.

ΝΟΜΟΣ.

« Ἐὰν δέ τινες περὶ συμβολαίων ἰδίων πρὸς ἀλλήλους ἀμφισβητῶσι καὶ βούλωνται διαιτητὴν ἑλέσθαι ὁντινοῦν, ἐξέστω αὐτοῖς αἱρεῖσθαι δν ἂν βούλωνται [διαιτητὴν ἑλέσθαι]. Ἐπειδὰν δ' ἕλωνται κατὰ κοινὸν, μενέτωσαν ἐν τοῖς ὑπὸ τούτου διαγνωσθεῖσι, καὶ μηκέτι μεταφερέτωσαν ἀπὸ τούτου ἐφ' ἕτερον δικαστήριον ταὐτὰ ἐγκλήματα, ἀλλ' ἔστω τὰ κριθέντα ὑπὸ τοῦ διαιτητοῦ κύρια. »

[95] Κάλει δὴ καὶ τὸν Στράτων' αὐτὸν τὸν τοιαῦτα πεπονθότα· ἑστάναι γὰρ ἐξέσται δήπουθεν αὐτῷ.

Οὗτος, ὦ ἄνδρες Ἀθηναῖοι, πένης μὲν ἴσως ἐστὶν, οὐ πονηρὸς δέ γε. Οὗτος μέντοι πολίτης ὢν, ἐστρατευμένος ἁπάσας τὰς ἐν ἡλικίᾳ στρατείας καὶ δεινὸν οὐδὲν εἰργασμένος, ἕστηκε νυνὶ σιωπῇ, οὐ μόνον τῶν ἄλλων ἀγαθῶν τῶν κοινῶν ἀπεστερημένος, ἀλλὰ καὶ τοῦ φθέγξασθαι ἢ ὀδύρασθαι· καὶ οὐδ' εἰ δίκαι' ἢ ἄδικα πέπονθεν, οὐδὲ ταῦτ' ἔξεστιν αὐτῷ πρὸς ὑμᾶς εἰπεῖν. [96] Καὶ ταῦτα πέπονθεν ὑπὸ Μειδίου καὶ τοῦ Μειδίου πλούτου καὶ τῆς ὑπερηφανίας παρὰ τὴν πενίαν καὶ ἐρημίαν καὶ

NC. 2-3. αμφισβητῶσιν S. — 4. ερεσθαι, avec αι, d'une main ancienne, au-dessus du premier ε, S. — βούλωνται διαιτητὴν ἑλέσθαι manuscrits. βούλωνται διαιτητὴν Ald. βούλωνται Sauppe. — 5. δ' ἕλωνται Reiske. βούλωνται manuscrits. — 5-6. διαγνωσθισιν S[1]. — μεταφερέτωσαν Budée. καταφερέτωσαν manuscrits (με au-dessus de κα dans O). — ὑπο S, F. — 7. εκκληματα S. — 9. τοιαῦτα S seul. τὰ τοιαῦτα vulg. — 13. έστηκεν S. — 15. καὶ ὀδύρασθαι A.

2 sqq. Ἐὰν δέ τινες.... Le scholiaste imaginait un texte tout différent de celui-ci. On ne voit pas (Spalding l'a déjà fait observer) pourquoi Démosthène aurait extrait de la loi sur les arbitres un fragment qui a si peu de rapport avec ce qu'il veut établir. Celui qui inséra ce document à cette place croyait que Straton était un arbitre désigné par les parties, erreur que nous avons relevée dans la déposition qui précède.

10. Ἑστάναι γὰρ ἐξέσται δήπουθεν αὐτῷ ; sous-ent. εἰ καὶ μὴ λέγειν μηδὲ μαρτυρεῖν ἀτίμῳ γε ὄντι. [G.H.Schæfer.] En s'exprimant ainsi, Démosthène semble avouer qu'il fait une chose contraire à l'usage. On peut donc trouver excessive l'athétèse attestée par la scholie : Ὠβέλισται δὲ καὶ ταῦτα (cf. § 89) · οὐδὲ ἐπιβῆναι γὰρ τοῖς τοιούτοις ἐφεῖται.

11-12. Πένης μὲν.... οὐ πονηρὸς δέ γε. Cf. § 83. Démosthène aurait-il répété les mêmes idées à peu près dans les mêmes termes, s'il avait mis la dernière main à son plaidoyer?

18. Παρὰ τὴν πενίαν, parce qu'il est pauvre.

τὸ τῶν πολλῶν εἷς εἶναι. Καὶ εἰ μὲν παραβὰς τοὺς νόμους ἔλαβεν τὰς πεντήκοντα δραχμὰς παρ' αὐτοῦ, καὶ τὴν δίκην ἣν κατεδιῄτησεν ἀποδεδιῃτημένην ἀπέφηνεν, ἐπίτιμος ἂν ἦν καὶ οὐδὲν ἔχων κακὸν τῶν ἴσων μετεῖχε τοῖς ἄλλοις ἡμῖν· ἐπειδὴ δὲ παρεῖδε πρὸς τὰ δίκαια Μειδίαν, καὶ τοὺς νόμους μᾶλλον ἔδεισε τῶν ἀπειλῶν τῶν τούτου, τηνικαῦτα τηλικαύτῃ καὶ 546 τοιαύτῃ συμφορᾷ περιπέπτωκεν ὑπὸ τούτου. [97] Εἶθ' ὑμεῖς τὸν οὕτως ὠμόν, τὸν οὕτως ἀγνώμονα, τὸν τηλικαύτας δίκας λαμβάνονθ' ὧν αὐτὸς ἠδικῆσθαι φησὶ μόνον (οὐ γὰρ ἠδίκητό γε), τοῦτον ὑβρίζοντα λαβόντες εἴς τινα τῶν πολιτῶν ἀφήσετε, καὶ μήθ' ἑορτῆς μήθ' ἱερῶν μήτε νόμου μήτ' ἄλλου μηδενὸς πρόνοιαν ποιούμενον...; οὐ καταψηφιεῖσθε; οὐ παράδειγμα ποιήσετε; [98] Καὶ τί φήσετ', ὦ ἄνδρες δικασταί; καὶ τίν', ὦ πρὸς τῶν θεῶν, ἕξετ' εἰπεῖν πρόφασιν δικαίαν ἢ καλήν; ὅτι νὴ Δί' ἀσελγής ἐστι καὶ βδελυρός· ταῦτα γάρ ἐστι τἀληθῆ· ἀλλὰ μισεῖν ὀφείλετ', ἄνδρες Ἀθηναῖοι, δήπου τοὺς τοιούτους μᾶλλον ἢ σῴζειν. Ἀλλ' ὅτι πλούσιός ἐστιν· ἀλλὰ τοῦτό γε τῆς ὕβρεως αὐτοῦ σχεδὸν αἴτιον εὑρήσετ' ὄν, ὥστ' ἀφελεῖν τὴν ἀφορμήν, δι' ἣν ὑβρίζει, προσήκει μᾶλλον ἢ σῶσαι διὰ ταύτην· τὸ γὰρ χρημάτων πολλῶν θρασὺν καὶ βδελυρὸν καὶ τοιοῦτον ἄνθρωπον ἐᾶν εἶναι κύριον ἀφορμήν ἐστιν ἐφ' ὑμᾶς αὐτοὺς δεδωκέναι. [99] Τί οὖν ὑπόλοιπον; ἐλεῆσαι νὴ Δία· παιδία γὰρ παραστήσεται καὶ κλαήσει καὶ τούτοις αὐτὸν ἐξαιτήσεται· τοῦτο λοιπόν. Ἀλλ' ἴστε δήπου τοῦθ', ὅτι τοὺς ἀδίκως τι πάσχοντας δ

NC. 2. ελαβεν S. — 4. μετειχεν S. — 6. εδεισεν S. — 12. ποιούμενον, après πρόνοιαν, est omis dans le texte de S, ajouté en marge d'une main récente. ποιουμένου οὐ serait insupportable. G. H. Schæfer voulait supprimer καὶ μήθ' ἑορτῆς.... ποιούμενον. Les obels de S et B s'étendent de καὶ μήθ' à ποιήσετε. Cobet transpose ἀφήσετε après ποιούμενον. Nous avons marqué une lacune. Peut-être ποιουμένου προνοήσεσθε; οὐ.... — 13. καὶ, avant τίνα, manque dans A. — 15. εστιν.... βδελλυρος.... εστιν S. — 16. ὦ ἄνδρες δικασταὶ vulg. — τοὺς τοιούτους δήπου A, F. τοὺς τοιούτους ancienne vulgate. — 18. αὐτοὺς σχεδὸν S¹. — 19. προσήκει A, Dindorf. προσῆκε S, vulg. — 19. διαυτην, ατ en marge, S¹. — 22. Avant νη, quatre lettres grattées dans S. — 23. κλαήσει Dindorf. κλαιήσει vulg. — 24. τοῦθ' manque dans S. — τι κακὸν F.

2-3. Τὴν δίκην.... ἀπέφηνεν. Cf. § 85.

5. Πρὸς τὰ δίκαια, en comparaison, au prix de la justice.

12. Ποιούμενον. Ni la grammaire ni le mouvement oratoire ne permettent de construire cet accusatif avec καταψηφιεῖσθε. Voy. *NC.* et *Préface*.

μὴ δυνήσονται φέρειν ἐλεεῖν προσήκει, οὐ τοὺς ὧν πεποιήκασι δεινῶν δίκην διδόντας. Καὶ τίς ἂν ταῦτ' ἐλεήσειε δικαίως, ὁρῶν τὰ τοῦδ' οὐκ ἐλεηθένθ' ὑπὸ τούτου, ἃ τῇ τοῦ πατρὸς συμφορᾷ, χωρὶς τῶν ἄλλων κακῶν, οὐδ' ἐπικουρίαν ἐνοῦσαν ὁρᾷ. Οὐ γάρ ἐστιν ὄφλημ' ὅ τι χρὴ καταθέντ' ἐπίτιμον γενέσθαι τουτονί,
547 ἀλλ' ἁπλῶς οὕτως ἠτίμωται τῇ ῥύμῃ τῆς ὀργῆς καὶ τῆς ὕβρεως τῆς Μειδίου. [100] Τίς οὖν ὑβρίζων παύσεται καὶ δι' ἃ ταῦτα ποιεῖ χρήματ' ἀφαιρεθήσεται, εἰ τοῦτον ὥσπερ δεινὰ πάσχοντ' ἐλεήσετε, εἰ δέ τις πένης μηδὲν ἠδικηκὼς ταῖς ἐσχάταις συμφοραῖς ἀδίκως ὑπὸ τούτου περιπέπτωκε, τούτῳ δ' οὐδὲ συνοργισθήσεσθε; μηδαμῶς· οὐδεὶς γάρ ἐστι δίκαιος τυγχάνειν ἐλέου τῶν μηδέν' ἐλεούντων, οὐδὲ συγγνώμης τῶν ἀσυγγνωμόνων. [101] Ἐγὼ γὰρ οἶμαι πάντας ἀνθρώπους φέρειν ἀξιοῦν παρ' αὑτῶν εἰς τὸν βίον αὑτοῖς ἔρανον παρὰ πάνθ' ὅσα πράττουσιν, οἷον ἐγώ τις οὑτοσὶ μέτριος πρὸς ἅπαντάς εἰμι, ἐλεή-

NC. 1. Avant φέρειν un α gratté; γρ. ὃ μη δυνήσονται ἀφαιρεῖν réviseur, S. — πεποιηκασιν S. — 2. ελεησειεν S. — 4. γρ. ὁρῶ réviseur de S. — 5. τοῦτον F. — 6. οὗτος S, A. — 7. τοῦ Μειδίου avant Reiske. — 8. τοῦτον μὲν avant Bekker. — 10. περιπεπτωκεν S. — δ' οὐδὲ S. δὲ οὐ A, F. δὲ μὴ avant Bekker. — 11. ἐστιν S. — 13. φέρειν ἄξιον Jurin. φέρειν [ἀξιοῦν] Reiske. — 14. Après πράττουσιν plusieurs manuscrits ajoutent: οὐ τοῦτον μόνον ὃν συλλέγουσι καὶ ὧν (ou οὗ) πληρωταὶ γίγνονταί τινες, αλλὰ και ἄλλων (ou ἄλλον). Cette glose, tirée du § 184, se trouve ailleurs sous forme de scholie. γρ. εγω γαρ οἶμαι πάντας ἀνθρώπους φέρειν ἀξιοῦν αὐτοις εράνους οὐ τούτους μόνους οὓς οὗτοι συλλεγουσιν. ἀλλα καὶ ἄλλους· οἷον réviseur de S.

2-3. Ταῦτ(α), c'est-à-dire τὰ τοῦ Μειδίου παιδία. De même ὑπὸ τούτου désigne Midias, l'accusé. Mais τὰ τοῦδ(ε) sont les enfants de Straton.

5. Ὄφλημ(α). Ceux qui se trouvaient dégradés des droits de cité comme débiteurs insolvables de l'État pouvaient espérer de se réhabiliter par l'acquittement de leur dette; mais Straton avait été frappé une fois pour toutes, ἁπλῶς. Cf. καθάπαξ, § 87.

7-9. Τίς.... δι' ἃ ταῦτα ποιεῖ χρήματ' ἀφαιρεθήσεται, quel autre sera par votre verdict privé d'une fortune qui est la cause de son insolence? Cf. § 98. — Εἰ δέ τις πένης.... Cet εἰ n'est pas coordonné au premier εἰ. C'est comme s'il y avait : πένητι δὲ, εἴ τις πένης.... περιπέπτωκεν, οὐδὲ συνοργισθήσεσθε; Comme le premier εἰ est oublié à la fin de cette période complexe, l'orateur prend le tour plus vif de l'interrogation directe et se sert de οὐδέ, au lieu de μηδέ.

13-6. Ἐγὼ γὰρ οἶμαι.... δίκαιος εἶ συλλέξασθαι. Démosthène dit aux juges : Soyez sans pitié pour Midias; ce sera toute justice, ce ne sera qu'un prêté rendu, un ἔρανος auquel il a droit. Un citoyen qui avait besoin d'une forte somme d'argent (par exemple, pour payer une amende, cf. *Cour.*, § 312), au lieu de faire un emprunt proprement dit, pouvait s'adresser à ses amis, qui se cotisaient alors et lui faisaient une espèce de prêt amical, ἔρανος. Celui qui était ainsi venu au secours de plusieurs concitoyens avait le droit de réclamer plus tard qu'on le remboursât (ταὐτὰ εἰσφέρειν) : il pouvait recueillir (συλλέξασθαι) de ceux qu'il avait obligés la totalité des sommes avancées, espèce de

μων, εὖ ποιῶν πολλούς· ἅπασι προσήκει τῷ τοιούτῳ ταῦτ' εἰσφέρειν, ἐάν του καιρὸς ἢ χρεία παραστῇ. Ἕτερος οὑτοσί τις βίαιος, οὐδένα δ' οὔτ' ἐλεῶν οὔθ' ὅλως ἄνθρωπον ἡγούμενος· τούτῳ τὰς ὁμοίας φορὰς παρ' ἑκάστου δίκαιον ὑπάρχειν. Σὺ δή, πληρωτὴς τοιούτου γεγονὼς ἐράνου σεαυτῷ, τοῦτον δίκαιος εἶ συλλέξασθαι.

[102] Ἡγοῦμαι μὲν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ εἰ μηδὲν ἔτ' ἄλλ' εἶχον κατηγορεῖν Μειδίου, μηδὲ δεινότερ' ἦν ἃ μέλλω λέγειν ὧν εἴρηκα, δικαίως ἂν ὑμᾶς ἐκ τῶν εἰρημένων καὶ καταψηφίσασθαι καὶ τιμᾶν αὐτῷ τῶν ἐσχάτων. Οὐ μὴν ἐνταῦθ' ἕστηκεν τὸ πρᾶγμα, οὐδ' ἀπορήσειν μοι δοκῶ τῶν μετὰ ταῦτα· τοσαύτην ἀφθονίαν οὗτος πεποίηκε κατηγοριῶν. [103] Ὅτι μὲν δὴ λιποταξίου γραφὴν κατεσκεύασεν κατ' ἐμοῦ καὶ τὸν τοῦτο ποιήσοντ' ἐμισθώσατο, τὸν μιαρὸν καὶ λίαν εὐχερῆ, τὸν κονιορτὸν Εὐκτήμονα, ἐάσω. Καὶ γὰρ οὔτ' ἀνεκρί- 548
νατο ταύτην ὁ συκοφάντης ἐκεῖνος, οὔθ' οὗτος οὐδενὸς ἕνεκ' αὐ-

NC. 2. του S seul που vulg. — 2. οὑτοσί vulg. οὗτος S seul. Cf. § 185. — 3. οὐδένα δ' οὔτ S. οὐδένα οὔτ' vulg. — 4. τὰς αὐτὰς F. — 11. εστηκεν S. — 13. λειποταξίου vulg. — κατεσκευασεν S. — 14. ποιησαντα S. — 15. ἐάσω, l'α d'une main récente sur un grattage, S. — 15-16. [τὸν κον.] Cobet. — ουτ' ἂν εκρινατο S. οὔτ' ἀνεκρίνετο vulg.

dépôt qu'il avait formé pour lui-même, afin d'en user au besoin (πληρωτὴς γεγονὼς ἑαυτῷ). De même, dit l'orateur, tous les hommes en contribuant par tout ce qu'ils font (παρὰ πάνθ' ὅσα πράττουσιν) au bien ou au mal d'autrui, forment un ἔρανος qui vient d'eux (παρ' αὐτῶν) et qui constitue un dépôt à leur usage pour la vie (εἰς τὸν βίον αὐτοῖς), lequel leur servira soit en bien, soit en mal. Les mots φέρειν ἀξιοῦν, « ils prétendent fournir », s'ils ne sont pas altérés (cf. *NC.*), ne portent que sur la première partie du développement, le bien que les hommes espèrent recueillir de leur bonne conduite. — Quant à πληρωτής, les gloses démosthéniques de Patmos l'interprètent bien : ὁ προεισενηνοχώς τινα ἔρανον ἐπὶ τὸ ὕστερον αὐτὸ ἀπολαβεῖν. La nature de l'*eranos* est bien expliquée par M. Foucart, *Des associations religieuses chez les Grecs*, 1873, p. 142 sqq.

8-10. Ἃ μέλλω λέγειν. L'orateur va parler de faits postérieurs, non-seulement à ceux qu'il vient d'exposer, mais aussi à l'insulte qui est le vrai sujet de sa plainte. — Τιμᾶν. Cf. § 47.

14. Τοῦτο se rapporte à l'idée de γράφεσθαι, contenue dans γραφήν.

15. Τὸν κονιορτόν, le nuage de poussière, c'est-à-dire le poudreux, le crasseux. Deux vers de la comédie moyenne, déjà cités par Taylor, donnent l'explication de ce sobriquet : Ἐλαίῳ μήτε χρῆσθαι μήθ' ὁρᾶν κονιορτός (*Athénée*, VI, p. 238 D); Χαίρει τις αὐχμῶν ἢ ῥυπῶν, κονιορτὸς ἀναπέφηνεν (*ib.*, p. 242 E). Cependant le scholiaste rapporte ce surnom à la légèreté du caractère, et les mots τὸν.... λίαν εὐχερῆ recommandent cette explication. — Ἀνεκρίνατο. On dit ἀνακρίνει du magistrat qui fait l'instruction; ἀνακρίνεται (au moyen), de l'accusateur qui la provoque et y participe. Cf. *Nicostr.*, § 14.

τὸν ἐμισθώσατο πλὴν ἵν' ἐκκέοιτο πρὸ τῶν ἐπωνύμων καὶ πάντες ὁρῷεν « Εὐκτήμων Λουσιεὺς ἐγράψατο Δημοσθένην Παιανιέα λιποταξίου »· καί μοι δοκεῖ κἂν προσγράψαι τοῦθ' ἡδέως, εἴ πως ἐνῆν, ὅτι Μειδίου μισθωσαμένου γέγραπται. Ἀλλ' ἐῶ τοῦτο· ἐφ' ᾗ γὰρ ἐκεῖνος ἠτίμωκεν αὑτὸν οὐκ ἐπεξελθών, οὐδεμιᾶς ἔγωγ' ἔτι προσδέομαι δίκης, ἀλλ' ἱκανὴν ἔχω. [104] Ἀλλ' ὃ καὶ δεινόν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ σχέτλιον καὶ κοινὸν ἔμοιγ' ἀσέβημα, οὐκ ἀδίκημα μόνον, τούτῳ πεπρᾶχθαι δοκεῖ, τοῦτ' ἐρῶ. Τῷ γὰρ ἀθλίῳ καὶ ταλαιπώρῳ κακῆς καὶ χαλεπῆς συμβάσης αἰτίας Ἀριστάρχῳ τῷ Μόσχου, τὸ μὲν πρῶτον, ὦ ἄνδρες Ἀθηναῖοι, κατὰ τὴν ἀγορὰν περιιὼν ἀσεβεῖς καὶ δεινοὺς λόγους ἐτόλμα περὶ ἐμοῦ λέγειν, ὡς ἐγὼ τὸ πρᾶγμ' εἴην τοῦτο δεδρακώς· ὡς δ' οὐδὲν ἤνυε τούτοις, προσελθὼν τοῖς ἐπ' ἐκεῖνον ἄγουσι τὴν αἰτίαν τοῦ φόνου, τοῖς τοῦ τετελευτηκότος οἰκείοις, χρήμαθ' ὑπισχνεῖτο δώσειν εἰ τοῦ πράγματος αἰτιῷντ' ἐμέ, καὶ οὔτε θεοὺς οὔθ' ὁσίαν οὔτ' οὐδὲν ἐποιή-

NC. 1. πρωτων S[1], πρὸ τῶν réviseur. — 3. Dans S, une main récente a ajouté δημοσθένους au-dessus de παιανέα. — προσγράψαι Cobet. προσγράψασθαι mss. — 4. τουθη (une lettre grattée) έως S. — 4-5. [γέγραπται] O. Jahn. — 5. Var. : ἐφ' ᾧ. — 11. περιων S[1], ici et ailleurs. — 12. περιέμοῦ, ἐ ajouté par une main ancienne, S. — 13. εἴην Cobet. εἰμὶ mss. — ηνυεν S. — 15. ὑφισχειτο, en partie corrigé par le réviseur ancien, S. — 16. οὐδὲν S. ἄλλο οὐδὲν F. οὐδὲν ἄλλο A.

1-3. Ἐκκέοιτο πρὸ τῶν ἐπωνύμων. Cf. *Leptine*, § 94. — Προσγράψαι a pour sujet sous-entendu Μειδίαν. Midias est si impudent qu'il aurait volontiers, si cela était possible, fait ajouter qu'il était l'instigateur de cette poursuite. [Ph. Buttmann.]

5. Ἠτίμωκεν αὑτὸν. L'accusateur qui laissait tomber (οὐκ ἐπεξελθών) une poursuite publique encourait-il l'atimie partielle, c'est-à-dire était-il privé du droit d'intenter à l'avenir des poursuites pareilles? Cela n'est pas sûr; et s'il y avait une prescription légale à ce sujet, on ne l'appliquait plus, ce semble, du temps de Démosthène (cf. Bœckh, *Staatshaush.*, p. 501). Démosthène fait peut-être un raisonnement oratoire par analogie. Scholiaste : Σοφιστικῶς συνήγαγεν· ὁ μὴ ἐλέγξας ἐν δικαστηρίοις (c'est-à-dire ὁ μὴ μεταλαβὼν τὸ πέμπτον μέρος τῶν ψήφων) ἀτιμοῦται, οὗτος δὲ μὴ ἐπεξελθὼν ἑαυτοῦ κατέγνω (sous-ent. ἀτιμίαν).

9-10. Κακῆς.... αἰτίας. Aristarque avait été accusé d'avoir fait mourir Nicodème en lui crevant les yeux et lui arrachant la langue, et Démosthène passait aux yeux de ses ennemis pour l'instigateur de ce crime, parce qu'il était l'ami du jeune Aristarque, et parce que Nicodème l'avait (sans doute, de concert avec Euctémon) accusé de désertion. Cf. Eschine, *Timarque*, § 171 sq.; *Ambass.*, §§ 148 et 166. D'après le scholiaste, Nicodème était très-lié avec Eubule. Il est à remarquer que Démosthène ne prononce le nom de Nicodème ni en parlant du crime ni à propos du procès intenté pour désertion. Il craint évidemment de suggérer l'idée d'une connexité entre les deux faits.

16-1. Οὐδὲν ἐποιήσατ' ἐμποδών, il ne se laissa arrêter par rien. Cf. Xénophon,

σατ' ἐμποδὼν τοιούτῳ λόγῳ, οὐδ' ὤκνησεν. [105] Ἀλλ' οὐδὲ πρὸς οὓς ἔλεγεν αὐτοὺς ᾐσχύνθη, εἰ τοιοῦτο κακὸν καὶ τηλικοῦτον ἀδίκως ἐπάγει τῳ, ἀλλ' ἕν' ὅρον θέμενος παντὶ τρόπῳ μ' ἀνελεῖν, οὐδὲν ἐλλείπειν ᾤετο δεῖν, ὡς δέον, εἴ τις ὑβρισθεὶς ὑπὸ τούτου δίκης ἀξιοῖ τυχεῖν καὶ μὴ σιωπᾷ, τοῦτον ἐξόριστον ἀνῃρῆσθαι καὶ μηδαμῇ παρεθῆναι, ἀλλὰ καὶ λιποταξίου γραφὴν ἡλωκέναι καὶ ἐφ' αἵματι φεύγειν καὶ μόνον οὐ προσηλῶσθαι. 549
Καίτοι ταῦθ' ὅταν ἐξελεγχθῇ ποιῶν πρὸς οἷς ὕβριζέ με χορηγοῦντα, τίνος συγγνώμης ἢ τίνος ἐλέου δικαίως τεύξεται παρ' ὑμῶν; [106] Ἐγὼ μὲν γὰρ αὐτὸν, ὦ ἄνδρες Ἀθηναῖοι, νομίζω αὐτόχειρά μου γεγενῆσθαι τούτοις τοῖς ἔργοις, καὶ τότε μὲν τοῖς Διονυσίοις τὴν παρασκευὴν καὶ τὸ σῶμα καὶ τἀναλώμαθ' ὑβρίζειν, νῦν δὲ τούτοις οἷς ἐποίει καὶ διεπράττετο ἐκεῖνά τε καὶ τὰ λοιπὰ πάντα, τὴν πόλιν, τὸ γένος, τὴν ἐπιτιμίαν, τὰς ἐλπίδας· εἰ γὰρ ἓν ὧν ἐπεβούλευσεν κατώρθωσεν, ἁπάντων ἂν ἀπεστερήμην ἐγὼ καὶ μηδὲ ταφῆναι προσυπῆρχεν οἴκοι μοι. Διὰ τί, ἄνδρες δικασταί; εἰ γὰρ, ἐάν τις παρὰ πάντας τοὺς νόμους ὑβρισθεὶς ὑπὸ Μειδίου βοηθεῖν αὑτῷ πειρᾶται, ταῦτα καὶ τοιαῦθ' ἕτερ' αὐτῷ παθεῖν ὑπάρξει, προσκυνεῖν τοὺς ὑβρίζοντας ὥσπερ ἐν τοῖς βαρβάροις, οὐκ ἀμύνεσθαι κράτιστον ἔσται. [107] Ἀλλὰ μὴν ὡς ἀληθῆ λέγω καὶ προσεξείργασται ταῦτα τῷ βδελυρῷ τούτῳ καὶ ἀναιδεῖ, κάλει μοι καὶ τούτων τοὺς μάρτυρας.

NC. 1. τῷ τοιούτῳ F. — 2-3. τοιουτον.... τηλικουτο S. — 8. ἐξελέγχηται F. — 15. ἐπεβουλευσεν S. — 20. ἀμύνασθαι vulg. — 21. προσεξειργασθαι, corrigé par la première main, S. — 22. καὶ, avant τούτων, manque dans F.

Cyrop., IV, II, 46 : Εἰ ἐμποδών τι ποιησαίμεθα γενέσθαι ἡμῖν. [A. Buttmann.] — Οὐδ' ὤκνησεν, il n'hésita même point. « Epiphonema hoc est, superadditum absolutæ sententiæ. » [Spalding.]

5-7. Ἐξόριστον ἀνῃρῆσθαι : périphrase oratoire, pour ἐξωρίσθαι. — Προσηλῶσθαι (opposé à παρεθῆναι), se trouver cloué à toutes sortes de poursuites judiciaires, comme à un poteau, à un instrument de torture.

13-14. Ἐκεῖνά τε καὶ τὰ λοιπὰ πάντα équivaut à πρὸς ἐκείνοις (ἃ τότε ὕβριζε) καὶ τὰ λ. π. G. H. Schæfer compare Eschyle, *Suppl.*, 754 : Εἰ σοί τε καὶ θεοῖσι ἐχθαιροίατο, s'ils s'attiraient la haine des dieux, comme ils se sont attiré la tienne. — Τὴν πόλιν, la patrie. Avec cet accusatif et les suivants on peut sous-entendre ὑβριστικῶς με ἀφελέσθαι, idée renfermée dans ὑβρίζειν.

17. Διὰ τί.... La réponse est implicitement contenue dans la phrase εἰ γὰρ κτλ. On peut sous-entendre : ἵνα Μειδίας ἀδεῶς τὸ λοιπὸν ὑβρίζῃ καὶ πάντες αὐτὸν προσκυνῶσιν.

ΜΑΡΤΥΡΕΣ.

« Διονύσιος Ἀφιδναῖος, Ἀντίφιλος Παιανιεὺς, διαφθαρέντος Νικοδήμου τοῦ οἰκείου ἡμῶν βιαίῳ θανάτῳ ὑπὸ Ἀριστάρχου τοῦ Μόσχου, ἐπεξῆμεν τοῦ φόνου τὸν Ἀρίσταρχον. Αἰσθόμενος δὲ ταῦτα Μειδίας ὁ νῦν κρινόμενος ὑπὸ Δημοσθένους, ᾧ μαρτυροῦμεν, ἔπειθεν ἡμᾶς διδοὺς κέρματα τὸν μὲν Ἀρίσταρχον ἀθῷον ἀφεῖναι, Δημοσθένει δὲ τὴν γραφὴν τοῦ φόνου παραγράψασθαι. »

550 Λαβὲ δή μοι τὸν περὶ τῶν δώρων νόμον.

[108] Ἐν ὅσῳ δὲ τὸν νόμον, ὦ ἄνδρες Ἀθηναῖοι, λαμβάνει, βούλομαι μικρὰ πρὸς ὑμᾶς εἰπεῖν, δεηθεὶς ὑμῶν τοσοῦτον· πρὸς Διὸς καὶ θεῶν, ὦ ἄνδρες δικασταὶ, περὶ πάντων ὧν ἂν ἀκούητε, τοῦθ' ὑποθέντες ἀκούετε τῇ γνώμῃ, τί ἄν, εἴ τις ἔπασχε ταῦθ' ὑμῶν, ἐποίει, καὶ τίν' ἂν εἶχεν ὀργὴν ὑπὲρ αὐτοῦ πρὸς τὸν ποιοῦντα. Ἐγὼ γὰρ ἐνηνοχὼς χαλεπῶς ἐφ' οἷς περὶ τὴν λειτουργίαν ὑβρίσθην, ἔτι πολλῷ χαλεπώτερον, ὦ ἄνδρες Ἀθηναῖοι, τούτοις τοῖς μετὰ ταῦτ' ἐνήνοχα καὶ μᾶλλον ἠγανάκτηκα. [109] Τί γὰρ ὡς ἀληθῶς πέρας ἂν φήσειέ τις εἶναι κακίας καὶ τίν' ὑπερβολὴν ἀναιδείας καὶ ὠμότητος καὶ ὕβρεως, ἄνθρωπος εἰ ποιήσας δεινὰ νὴ Δία καὶ πόλλ' ἀδίκως τινὰ, ἀντὶ τοῦ ταῦτ' ἀναλαμβάνειν καὶ μεταγιγνώσκειν, πολλῷ δεινότερ' ὕστερον ἄλλα προσεξεργάζοιτο, καὶ χρῷτο τῷ πλουτεῖν μὴ ἐπὶ ταῦτ' ἐν οἷς μηδένα βλάπτων αὐτὸς ἄμεινόν τι τῶν ἰδίων θήσεται, ἀλλ' ἐπὶ τἀναντία, ἐν οἷς ἀδίκως ἐκβάλλων τινα καὶ

NC. 2. αφιδναῖος, sur un grattage, S. Je suppose qu'il y avait d'abord αφνιδαιος. — 6. χρήματα Jurin. Cf. § 104. — 9. τὸν S seul. καὶ τὸν vulg. — δωρεῶν ancienne vulgate. — 10. Le copiste de S voulait d'abord écrire ὦ ἄνδρες δικασταί, comme plus bas. — 11. J'écris τοσοῦτον· πρὸς pour ἁπάντων πρὸς. Cf. *Phil.*, I, 13.— 12. ἀκούητε F. ἀκούητέ μου A. ἀκουσητε S et vulg.— 14. τοιαῦθ' F.— 17-18. τοῖς μεταυτα S[1]. — κακίας ἢ καὶ F. — 20. τινὰ, avant ἀντὶ est omis, dans S seul.— 21. πολλω S seul, ἔτι πολλῷ vulg. — 22. ὕστερον manque dans F.—24. εκβαλλων S seul. ἐκβαλὼν vulg.

6. Διδοὺς κέρματα, en nous offrant quelques petites pièces de monnaie. Cela est étrange. Cf. *NC.*

7-8. Παραγράψασθαι, intenter frauduleusement. [Reiske.] Ce verbe ne se rencontre avec ce sens nulle part ailleurs.

20. Δεινὰ.... καὶ πολλ(ά). Cf. § 36.

24. Ἐκβάλλων, cherchant à expulser.

προπηλακίσας αὐτὸν εὐδαιμονιεῖ τῆς περιουσίας; [110] Ταῦτα τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, πάντα τούτῳ πέπρακται κατ' ἐμοῦ. Καὶ γὰρ αἰτίαν ἐπήγαγέ μοι φόνου ψευδῆ καὶ οὐδὲν ἐμοὶ προσήκουσαν, ὡς τὸ πρᾶγμ' αὐτ' ἐδήλωσεν, καὶ γραφὴν λιποταξίου μ' ἐγράψατο τρεῖς αὐτὸς τάξεις λελοιπώς, καὶ τῶν ἐν Εὐβοίᾳ πραγμάτων (τουτὶ γὰρ αὖ μικροῦ παρῆλθέ μ' εἰπεῖν), ἃ Πλούταρχος ὁ τούτου ξένος καὶ φίλος διεπράξατο, ὡς ἐγὼ αἴτιος εἴην, κατεσκεύαζεν πρὸ τοῦ τὸ πρᾶγμα γενέσθαι πᾶσιν φανερὸν διὰ Πλουτάρχου γεγονός. [111] Καὶ τελευτῶν βουλεύειν μου 551 λαχόντος δοκιμαζομένου κατηγόρει, καὶ τὸ πρᾶγμ' εἰς ὑπέρδεινόν μοι περιέστη· ἀντὶ γὰρ τοῦ δίκην ὑπὲρ ὧν ἐπεπόνθειν λαβεῖν, δοῦναι πραγμάτων ὧν οὐδὲν ἐμοὶ προσῆκεν [δίκην] ἐκινδύνευον. Καὶ ταῦτα πάσχων ἐγώ, καὶ τοῦτον τὸν τρόπον ὃν διεξέρχομαι νυνὶ πρὸς ὑμᾶς ἐλαυνόμενος, οὐκ ὢν οὔτε τῶν ἐρημοτάτων οὔτε τῶν ἀπόρων κομιδῇ, οὐκ ἔχω, ὦ ἄνδρες Ἀθηναῖοι, ὅ τι χρὴ ποιῆσαι. [112] Εἰ γὰρ εἰπεῖν τι καὶ περὶ τούτων ἤδη δεῖ, οὐ μέτεστι τῶν ἴσων οὐδὲ τῶν ὁμοίων, ὦ ἄνδρες Ἀθηναῖοι, πρὸς τοὺς πλουσίους τοῖς πολλοῖς ἡμῶν, οὐ μέτεστιν,

NC. 1. αὐτὸς εὐδαιμονείη avant Reiske. — 8. εἴην. Cobet. εἰμί mss. — πᾶσι S. — 11. ὑπὲρ ὧν S. ὧν vulg. — 12. δίκην manque dans A, F. — 14. νῦν F. — 16. ὅ τι vulg. τι S. — 17. τῶν νόμων (pour τῶν ὁμοίων) S. — 18. πολλοῖς vulg. λοιποῖς S. Cf. *Amb.*, § 101 *NC*. — ἡμῖν Taylor. — οὐμέστιν S.

Midias avait seulement essayé de faire bannir Démosthène. Aussi avons-nous préféré le participe présent au participe de l'aoriste. Cf. *NC*.

5. Τρεῖς αὐτὸς τάξεις λελοιπώς. A entendre Démosthène, Midias se fit triérarque pour échapper au service qu'il aurait dû faire dans la cavalerie comme hipparque; *il* ne monta pas de suite à bord de sa trirème; il abandonna la flotte pour vaquer à ses intérêts personnels. Cf. la scholie; §§ 162-167; A. Schæfer, II, p. 85.

5-9. Τῶν ἐν Εὐβοίᾳ πραγμάτων.... διὰ Πλουτάρχου γεγονός. Démosthène s'était vainement opposé à l'expédition des Athéniens dans l'île d'Eubée, entreprise sur la demande de Plutarque d'Érétrie et conseillée par Midias. Malgré la victoire de Tamynes, cette expédition finit d'une manière déplorable (voy. les notes sur *Paix*, § 5). Midias essayait, par ses intrigues, en dénaturant les faits (κατεσκεύαζεν), d'en rejeter la faute sur Démosthène; mais il se trouva réduit au silence quand la trahison de Plutarque fut prouvée à tout le monde.

10. Δοκιμαζομένου. Les citoyens désignés par le sort pour entrer dans le sénat annuel des Cinq-cents étaient, comme les magistrats de tout ordre, soumis à une espèce de révision, δοκιμασία, et pouvaient être récusés comme indignes. Cf. *Lept.*, § 90, avec la note.

12. Πραγμάτων ὧν οὐδὲν ἐμοὶ προσῆκε. On voit ici que Midias voulait faire exclure Démosthène du sénat, comme complice du meurtre de Nicodème.

14. Ἐλαυνόμενος. Cf. § 66.

οὔ· ἀλλὰ καὶ χρόνοι τούτοις τοῦ τὴν δίκην ὑποσχεῖν, οὓς ἂν αὐτοὶ βούλωνται, δίδονται, καὶ τἀδικήμαθ' ἕωλα τὰ τούτων ὡς ὑμᾶς καὶ ψύχρ' ἀφικνεῖται, τῶν δ' ἄλλων ἡμῶν ἕκαστος, ἄν τι συμβῇ, πρόσφατος κρίνεται. Καὶ μάρτυρές εἰσιν ἕτοιμοι τούτοις καὶ συνήγοροι πάντες καθ' ἡμῶν εὐτρεπεῖς· ἐμοὶ δὲ οὐδὲ τἀληθῆ μαρτυρεῖν ἐθέλοντας ὁρᾶτ' ἐνίους. [113] Ταῦτα μὲν οὖν ἀπείποι τις ἄν, οἶμαι, θρηνῶν· τὸν δὲ νόμον μοι λέγ' ἐφεξῆς, ὥσπερ ἠρξάμην. Λέγε.

ΝΟΜΟΣ.

« Ἐάν τις Ἀθηναίων λαμβάνῃ παρά τινος, ἢ αὐτὸς διδῷ ἑτέρῳ, ἢ διαφθείρῃ τινὰς ἐπαγγελλόμενος, ἐπὶ βλάβῃ τοῦ δήμου καὶ ἰδίᾳ τινὸς τῶν πολιτῶν, τρόπῳ ἢ μηχανῇ ἡτινιοῦν, ἄτιμος ἔστω καὶ παῖδες καὶ τὰ ἐκείνου. »

[114] Οὕτω τοίνυν οὗτός ἐστιν ἀσεβὴς καὶ μιαρὸς καὶ πᾶν ἂν ὑποστὰς εἰπεῖν καὶ πρᾶξαι, εἰ δ' ἀληθὲς ἢ ψεῦδος ἢ πρὸς ἐχθρὸν ἢ φίλον ἢ τὰ τοιαῦτα, ἀλλ' οὐδ' ὁτιοῦν διορίζων, ὥστ',
532 ἐπαιτιασάμενός με φόνου καὶ τοιοῦτο πρᾶγμ' ἐπαγαγὼν, εἴασε μέν μ' εἰσιτητήρι' ὑπὲρ τῆς βουλῆς ἱεροποιῆσαι καὶ θῦσαι καὶ

NC. 1. τοῦ τὴν S. τοῦ vulg. — 5. εὐτρεπεῖς καθ' ἡμῶν F. — 7. ἀπείποι S seul. εἴποι, ou ἃ εἴποι, vulg. — λέγε S : λεγων. — 12. καὶ ἰδίᾳ Reiske et, à ce qu'il paraît, quelques manuscrits. και δια S, vulg. ἢ ἰδίᾳ Westermann. — 14. ἐστι ἀσεβής S seul. ἐστιν ἀσεβὴς ἄνθρωπος vulg. — 15. εἰ δ', avec τ, au-dessus de δ, d'une main ancienne, S. — 17. επάγ, suivi d'une tache grattée, l'accent de la main du réviseur, S. La première main était probablement επαγων. — 18. εἰσιτητήρια inscriptions [Herwerden]. εισητήρια, avec correction ancienne S. εἰσιτήρια vulg.

2-4. Ἕωλα, τὰ χθεσινά. Καὶ ἕωλον ὁμοίως τὸ ψυχρὸν, μάταιον, ἀνωφελὲς, ἀνίσχυρον, τὸ εἰς τὴν ἕω λειπόμενον. [Suidas.] — Καὶ ψυχρά. L'addition de ce synonyme ne doit pas être mise sur le compte d'un commentateur; elle est d'autant plus convenable que ψυχρός aussi se prend souvent au sens figuré. — Πρόσφατος, frais.

7-8. Ἀπείποι... θρηνῶν, on se lasserait de le déplorer (si on voulait tout dire). — Ὥσπερ ἠρξάμην. Pour que ces mots aient un sens, il faut supposer que l'orateur avait lui-même indiqué à la fin du § 107 les premiers mots du texte que le greffier doit lire ici.

13. Καὶ τὰ ἐκείνου. Cf. *Aristocr.*, § 62; Andocide, *Mystères*, § 73 sq. — Quoi qu'en dise le scholiaste, on peut croire que l'orateur eût ajouté quelques paroles après la lecture de cette loi, s'il avait mis la dernière main à son discours.

17-1. Εἴασε. On a vu au paragraphe 111 que Midias s'était opposé à l'entrée de Démosthène dans le sénat annuel. Après avoir

κατάρξασθαι τῶν ἱερῶν ὑπὲρ ὑμῶν καὶ ὅλης τῆς πόλεως, [115] εἴασε δ' ἀρχιθεωροῦντ' ἀγαγεῖν τῷ Διὶ τῷ Νεμείῳ τὴν κοινὴν ὑπὲρ τῆς πόλεως θεωρίαν, περιεῖδε δὲ ταῖς σεμναῖς θεαῖς ἱεροποιὸν αἱρεθέντ' ἐξ Ἀθηναίων ἁπάντων τρίτον αὐτὸν καὶ καταρξάμενον τῶν ἱερῶν. Ἆρ' ἄν, εἴ γ' εἶχε στιγμὴν ἢ σκιὰν τούτων ὧν κατεσκεύαζεν κατ' ἐμοῦ, ταῦτ' ἂν εἴασεν; ἐγὼ μὲν οὐκ οἶμαι. Οὐκοῦν ἐξελέγχεται τούτοις ἐναργῶς ὕβρει ζητῶν μ' ἐκβάλλειν ἐκ τῆς πατρίδος.

[116] Ἐπειδὴ τοίνυν τοῦτο τὸ πρᾶγμ' οὐδὲ καθ' ἕν, πανταχῇ στρέφων, οἷός τ' ἦν ἀγαγεῖν ἐπ' ἐμέ, φανερῶς ἤδη δι' ἐμὲ τὸν Ἀρίσταρχον ἐσυκοφάντει. Καὶ τὰ μὲν ἄλλα σιωπῶ· τῆς δὲ βουλῆς περὶ τούτων καθημένης καὶ σκοπουμένης, παρελθὼν οὗτος « ἀγνοεῖτ' » ἔφη « ὦ βουλή, τὸ πρᾶγμα; καὶ τὸν αὐτόχειρ' « ἔχοντες » λέγων τὸν Ἀρίσταρχον « μέλλετε καὶ ζητεῖτε καὶ « τετύφωσθε; οὐκ ἀποκτενεῖτε; οὐκ ἐπὶ τὴν οἰκίαν βαδιεῖσθε; « οὐχὶ συλλήψεσθε; » [117] Καὶ ταῦτ' ἔλεγεν ἡ μιαρὰ καὶ ἀναιδὴς αὕτη κεφαλή, ἐξεληλυθὼς τῇ προτεραίᾳ παρ' Ἀριστάρχου, καὶ χρώμενος ὥσπερ ἂν ἄλλος τις τὰ πρὸ τούτου, καί, ὅτ' ηὐτύχει, πλεῖστα παρεσχηκότος ἐκείνου πράγματά μοι περὶ

NC. 3. περιειδε, avec correction du réviseur, S. — 6. κατεσκευαζεν S. — 8. ἐκβάλλειν S, F. ἐκβαλεῖν vulg. — 10. δι' ἐμὲ Y. δι' ἐμοῦ S, Bekker, Dindorf. — 13. ἀγνοεῖτ' ἔτ' Herwerden, *l. c*, p. 310. — ὦ βουλή (βουλη ι première main) τὸ πρᾶγμα S. τὸ πρᾶγμα, ὦ βουλή A, F. — 15-16. τετυφωσθαι et συλλεμψεσθε (μ pointé) S[1]. — 17. αυτηι S, avant grattage — 18. τις S. τις αὐτῷ vulg. — τὰ πρὸ τοῦ Reiske. — 19. ευτυχει S. — ἐκείνου S seul. πάντων ἐκείνου vulg.

échoué dans cette tentative, lui restait-il un moyen d'empêcher un sénateur de remplir des fonctions auxquelles le désignait soit le sort, soit le choix de l'Aréopage? Je ne sais. — Εἰσιτητήρι(α). Cf. *Ambass.*, § 190. Les mots καὶ θῦσαι... τῆς πόλεως indiquent la portée de cette cérémonie.

3-4. Ταῖς σεμναῖς θεαῖς. Ce sont les Euménides, auxquelles une grotte était consacrée au pied de la colline de l'Aréopage. Cf. Eschyle, *Eum.*, 1004 sqq.; Pausanias, I, xxviii, 6.

10. Δι' ἐμέ, à cause de moi, c'est-à-dire afin de me faire passer pour complice d'un meurtre commis par mon jeune ami.

11-12. Τῆς δὲ βουλῆς. Faut-il entendre l'Aréopage, avec le scholiaste, ou le sénat des Cinq-cents, avec le document du paragraphe 121? Les cas d'homicide regardaient l'Aréopage; mais l'affaire a pu être portée par εἰσαγγελία devant les Cinq-cents.

15-16. Οὐκ ἀποκτενεῖτε; οὐκ.... συλλήψεσθε; Hysteron-proteron un peu vif.

17-18. Ἐξεληλυθώς, après κεφαλή. Le féminin ἐξεληλυθυῖα serait une faute contre l'usage grec, qui demande le genre naturel de préférence au genre grammatical.—Χρώμενος ὥσπερ ἂν ἄλλος τις, lié avec Aristarque comme on l'est avec un ami.

19-1. Πλεῖστα.... διαλλαγῶν. Aristarque (ἐκείνου) avait tourmenté Démosthène de se raccommoder avec Midias (πρὸς

τῶν πρὸς τοῦτον διαλλαγῶν. Εἰ μὲν οὖν εἰργάσθαι τι τούτων ἐφ' οἷς ἀπόλωλεν ἡγούμενος τὸν Ἀρίσταρχον καὶ πεπιστευκὼς τοῖς τῶν αἰτιασαμένων λόγοις ταῦτ' ἔλεγεν, χρῆν μὲν οὐδ' οὕ-
653 τως [118] (μετρία γὰρ δίκη παρὰ τῶν φίλων ἐστὶν, ἄν τι δοκῶσι πεποιηκέναι δεινὸν, μηκέτι τῆς λοιπῆς φιλίας κοινωνεῖν, τὸ δὲ τιμωρεῖσθαι καὶ ἐπεξιέναι τοῖς πεπονθόσι καὶ τοῖς ἐχθροῖς παραλείπεται)· ὅμως δ' ἔστω τούτῳ γε συγγνώμη. Εἰ δὲ λαλῶν μὲν καὶ ὁμωρόφιος γιγνόμενος ὡς οὐδὲν εἰργασμένῳ φανήσεται, λέγων δὲ καὶ καταιτιώμενος ταῦθ' ἕνεκα τοῦ συκοφαντεῖν ἐμέ, πῶς οὐ δεκάκις, μᾶλλον δὲ μυριάκις δίκαιός ἐστ' ἀπολωλέναι; [119] Ἀλλὰ μὴν ὡς ἀληθῆ λέγω, καὶ τῇ μὲν προτεραίᾳ, ὅτε ταῦτ' ἔλεγεν, εἰσεληλύθει καὶ διείλεκτ' ἐκείνῳ, τῇ δ' ὑστεραίᾳ

NC. 1. ἀπαλλαγῶν S. γρ. πλειστα παρεσχηκότος πάντων τούτου (par abréviation) πραγματα μοι· περι τῶν προς τοῦτον διαλλαγῶν réviseur. — ειργασται S. — 3-4. χρην (changé en εχρῆν par une main ancienne) S. — ουτω S. — 4-5. δοκωσιν S. — τοῦ λοιποῦ Dobree. — 6. πεπονθοσιν S. — 7. παραλειπεται S. καταλείπεται ou ὑπολείπεται vulg. — Variantes : αλων et ἄλλων. H. Étienne : ἁλῶν μὲν κοινωνήσας, conjecture ingénieuse, mais réfutée par le paragraphe 119. Cependant l'auteur du témoignage, § 121, semble avoir lu quelque chose de ce genre. — 10. ἐστ' ἀπολωλέναι δίκαιος F. — 11. μὲν manque dans S F.

τοῦτον), évidemment à l'instigation de ce dernier. Cf. § 119.

2 Ἀπόλωλεν. Aristarque fut obligé de s'exiler Cf. Eschine, *Timarque*, § 172. Il est donc difficile de rapporter à cette affaire le passage d'Aristote, *Rhét.*, II, 23 : Οἷον ἡ περὶ Δημοσθένους δίκη καὶ τῶν ἀποκτεινάντων Νικάνορα· ἐπεὶ γὰρ δικαίως ἐκρίθησαν ἀποκτεῖναι, δικαίως ἔδοξεν ἀποθανεῖν. Au lieu d'admettre que Νικάνορα soit mis par erreur pour Νικόδημον, je suis plutôt disposé à croire que Δημοσθένους est une très-ancienne faute de copiste. Du reste le texte d'Aristote est en très-mauvais état, et les mots ἐπεὶ γάρ.... sont, je l'avoue, inintelligibles pour moi. Je comprendrais : ἐπεὶ γὰρ δικαίως ἔδοξεν ἀποθανεῖν, δικαίως ἐκρίθησαν ἀποκτεῖναι. Mais, si les meurtriers étaient dans leur droit, il faut, de toute nécessité, que celui qu'ils ont tué ait mérité la mort. Denys d'Halicarnasse (*Lettre à Ammée*, I, 11), après avoir cité le passage d'Aristote jusqu'au mot Νικάνορα, continue : Τίς οὖν ἐστιν ἡ Δημοσθένους δίκη [καὶ τῶν ἀποκτεινάντων Νικάνορα].... ἢ ἡ πρὸς Αἰσχίνην ὑπὲρ Κτησιφῶντος; Nous pensons, avec Reiske, que les mots mis entre crochets ont été répétés mal à propos. Denys n'a pu écrire un non-sens; mais il a pu forcer le sens du texte en le rapportant à deux procès différents. On voit que Spengel suppose à tort que Denys ne lisait pas dans son exemplaire d'Aristote les mots ἐπεὶ γάρ.... ἀποθανεῖν.

3. Χρῆν μέν : sous-ent. λέγειν ταῦτα.

7. Τούτῳ γε συγγνώμη, on peut passer cela à un Midias, c'est-à-dire à un homme si étranger aux sentiments d'humanité. [Reiske.]

7-8. Λαλῶν.... ὡς οὐδὲν εἰργασμένῳ. Le contact d'un meurtrier souillait : c'était un vrai miasme. Aussi évitait on de lui adresser la parole et de se trouver sous le même toit avec lui. Cf. Sophocle, *Œd. Roi*, 238 : Μήτ' εἰσδέχεσθαι μήτε προσφωνεῖν τινα ; et *passim*.

11-12. Τῇ.... προτεραίᾳ (sous-ent. τῆς ἡμέρας) ὅτε ταῦτ' ἔλεγεν, la veille du jour où il tint ce langage dans le sénat. Cf. Πο-

πάλιν (τοῦτο γάρ, τοῦτ' οὐκ ἔχον ἐστὶν ὑπερβολὴν ἀκαθαρσίας, ἄνδρες Ἀθηναῖοι) εἰσελθὼν οἴκαδ' ὡς ἐκεῖνον καὶ ἐφεξῆς οὑτωσὶ καθιζόμενος, τὴν δεξιὰν ἐμβαλών, παρόντων πολλῶν, μετὰ τοὺς ἐν τῇ βουλῇ τούτους λόγους, ἐν οἷς αὐτόχειρα καὶ τὰ δεινότατ' εἰρήκει τὸν Ἀρίσταρχον, ὤμνυε μὲν κατ' ἐξωλείας μηδὲν εἰρηκέναι περὶ αὐτοῦ φαῦλον, καὶ οὐδὲν ἐφρόντιζεν ἐπιορκῶν, καὶ ταῦτα παρόντων τῶν συνειδότων, ἠξίου δὲ καὶ πρὸς ἔμ' αὐτῷ δι' ἐκείνου γίγνεσθαι τὰς διαλύσεις, τούτων τοὺς παρόντας ὑμῖν καλῶ μάρτυρας. [120] Καίτοι πῶς οὐ δεινόν, ὦ ἄνδρες Ἀθηναῖοι, μᾶλλον δ' ἀσεβές, λέγειν ὡς φονεύς, καὶ πάλιν ὡς οὐκ εἴρηκε ταῦτ' ἀπομνύναι, καὶ φόνον μὲν ὀνειδίζειν, τούτῳ δ' ὁμωρόφιον γίγνεσθαι; Κἂν μὲν ἀφῶ τοῦτον ἐγὼ καὶ προδῶ τὴν ὑμετέραν καταχειροτονίαν, οὐδέν, ὡς ἔοικ', ἀδικῶ· ἂν δ' ἐπεξίω, λέλοιπα τὴν τάξιν, φόνου κοινωνῶ, δεῖ μ' ἀνηρπά- 554 σθαι. Ἐγὼ δ' αὐτὸ τοὐναντίον οἶμαι, εἰ τοῦτον ἀφῆκα, λελοιπέναι μέν, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν τοῦ δικαίου τάξιν, φόνου δ' ἂν εἰκότως ἐμαυτῷ λαχεῖν· οὐ γὰρ ἦν μοι δήπου βιωτὸν τοῦτο ποιήσαντι. [121] Ὅτι τοίνυν καὶ ταῦτ' ἀληθῆ λέγω, κάλει μοι καὶ τούτων τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

« Λυσίμαχος Ἀλωπεκῆθεν, Δημέας Σουνιεύς, Χάρης Θορίκιος, Φιλήμων Σφήττιος, Μόσχος Παιανιεύς, καθ' οὓς καιροὺς ἡ

NC. 3. καθεζόμενος A, F. — 6. φαυλον S et, au paragraphe 121, tous les manuscrits. φλαῦρον vulg. — 8. τούτων S seul. καὶ τούτων vulg. Cf. § 121, où καὶ est à sa place. — 9. Après μάρτυρας, presque tous les manuscrits portent ΜΑΡΤΥΡΙΑ (S) ou ΜΑΡΤΥΡΕΣ. — 11. ειρηκεν S. — 13. ἔοικεν vulg. — 15. εγω δ αυτοτουναντιον S seul. ἐγὼ δ' αὖ τοὐναντίον vulg. — 20. ΜΑΡΤΥΡΙΑ S. — 21. σουνευς S. — Χάρης Reiske. χαρης manuscrits. Ἀρχιάρης Voemel.

mère, *Il.*, XXI, 80 : Ἠὼς δέ μοί ἐστιν ἥδε δυωδεκάτη ὅτ' ἐς Ἴλιον εἰλήλουθα. [Ph. Buttmann.]

2. Ἐφεξῆς οὑτωσί, tout près, comme c'est l'habitude entre amis. [Reiske.]

8. Δι' ἐκείνου. Par Aristarque. Cf. § 117. — Τοὺς παρόντας équivaut à l'imparfait οἳ παρῆσαν.

13. Ἔοικ' est pour ἔοικα.

14-15. Ἀνηρπάσθαι équivaut à ἀπολωλέναι, être arraché du milieu des siens, être exilé et ruiné Cf. § 105 : Ἐξόριστον ἀνηρῆσθαι, et l'*Index* de Reiske. — Αὐτὸ τοὐναντίον, tout au contraire. Cf. *Androt.*, § 6.

16-17. Φόνου δ' ἂν εἰκότως ἐμαυτῷ λαχεῖν, j'aurais eu le droit de me pour-

εἰσαγγελία ἐδόθη ἡ εἰς τὴν βουλὴν ὑπὲρ Ἀριστάρχου τοῦ Μόσχου, ὅτι εἴη Νικόδημον ἀπεκτονὼς, οἴδαμεν Μειδίαν τὸν κρινόμενον ὑπὸ Δημοσθένους, ᾧ μαρτυροῦμεν, ἐλθόντα πρὸς τὴν βουλὴν καὶ λέγοντα μηδένα ἕτερον εἶναι τὸν Νικοδήμου φονέα, ἀλλ' Ἀρίσταρχον, καὶ τοῦτον αὐτοῦ γεγονέναι αὐτόχειρα, καὶ συμβουλεύοντα τῇ βουλῇ βαδίζειν ἐπὶ τὴν οἰκίαν τὴν Ἀριστάρχου καὶ συλλαμβάνειν αὐτόν. Ταῦτα δ' ἔλεγε πρὸς τὴν βουλὴν τῇ προτεραίᾳ μετ' Ἀριστάρχου καὶ μεθ' ἡμῶν συνδεδειπνηκώς. Οἴδαμεν δὲ καὶ Μειδίαν, ὡς ἀπῆλθεν ἀπὸ τῆς βουλῆς τούτους τοὺς λόγους εἰρηκὼς, εἰσεληλυθότα πάλιν ὡς Ἀρίσταρχον καὶ τὴν δεξιὰν ἐμβεβληκότα καὶ ὀμνύοντα κατ' ἐξωλείας μηδὲν κατ' αὐτοῦ πρὸς τὴν βουλὴν εἰρηκέναι φαῦλον, καὶ ἀξιοῦντα Ἀρίσταρχον ὅπως ἂν διαλλάξῃ αὐτῷ Δημοσθένην. »

[122] Τίς οὖν ὑπερβολή; τίς ὁμοία τῇ τούτου γέγονεν ἢ γένοιτ' ἂν πονηρία; ὃς ἄνδρ' ἀτυχοῦντα, οὐδὲν αὐτὸν ἠδικηκότα (ἐῶ γὰρ εἰ φίλον), ἅμα συκοφαντεῖν ᾤετο δεῖν καὶ πρὸς ἔμ' αὐ-
555 τὸν διαλύειν ἠξίου, καὶ ταῦτ' ἔπραττε καὶ χρήματ' ἀνήλισκεν ἐπὶ τῷ μετ' ἐκείνου κἀμὲ προσεκβαλεῖν ἀδίκως.

[123] Τοῦτο μέντοι τὸ τοιοῦτον ἔθος καὶ τὸ κατασκεύασμ', ὦ ἄνδρες Ἀθηναῖοι, τὸ τοῖς ὑπὲρ αὐτῶν ἐπεξιοῦσι δικαίως ἔτι πλείω περιιστάναι κακὰ, οὐκ ἐμοὶ μὲν ἄξιόν ἐστ' ἀγανακτεῖν καὶ βαρέως φέρειν, ὑμῖν δὲ τοῖς ἄλλοις παριδεῖν (πολλοῦ γε

NC. 1. ἐδόθη εἰς G. H. Schæfer. — 5. αὐτοῦ Y. αυτον S, vulg. — 6. οικιειαν S[1]. — 7. ελεγεν S. — 8. προτεραι S. — 11. ὡς ἐμβεβληκότα manuscrits, et éditions avant Taylor. — 16. πονηρίαι, avant grattage, S. — οὐδὲν S seul. οὐδὲ vulg. — 18. επραττεν S. — 22. περιιστανακ, le premier ι ajouté par une main ancienne, S. Cf. § 104, *NC*, et *passim*.

suivre moi-même en justice comme ayant attenté à ma propre vie. Cette façon de parler est parallèle à φόνου κοινωνῶ.

1. Εἰσαγγελία. Cf. *Ambass.*, § 107. Comme cette espèce de poursuite ne se faisait jamais devant l'Aréopage, les mots εἰς τὴν βουλήν doivent être rapportés au sénat des Cinq-cents.

8. Συνδεδειπνηκώς. Ce détail ne se trouve pas dans le texte de l'orateur, lequel ne l'aurait certainement point passé sous silence. Voyez cependant p. 164, l. 7, *NC*.

21-22. Δικαίως se rattache à ἐπεξιοῦσι. Détaché du groupe de mots dont il fait partie, cet adverbe a plus de poids que s'il était placé entre τοῖς et ἐπεξιοῦσι. — Οὐκ porte à la fois sur les deux membres de phrase qui suivent, et peut se rendre par : « n'est pas une chose qui.... »

καὶ δεῖ), ἀλλὰ πᾶσιν ὁμοίως ὀργιστέον, ἐκλογιζομένοις καὶ θεωροῦσιν ὅτι τοῦ μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, ῥᾳδίως κακῶς παθεῖν ἐγγύταθ' ἡμῶν εἰσιν οἱ πενέστατοι καὶ ἀσθενέστατοι, τοῦ δ' ὑβρίσαι καὶ τοῦ ποιήσαντας μὴ δοῦναι δίκην, ἀλλὰ τοὺς ἀντιπαρέξοντας πράγματα μισθώσασθαι, οἱ βδελυροὶ καὶ χρήματ' ἔχοντές [εἰσιν ἐγγυτάτω]. [124] Οὐ δὴ δεῖ παρορᾶν τὰ τοιαῦτα, οὐδὲ τὸν ἐξείργοντα δέει καὶ φόβῳ τὸ δίκην ὧν ἂν ἡμῶν ἀδικηθῇ τις λαμβάνειν παρ' αὐτοῦ ἄλλο τι χρὴ νομίζειν ποιεῖν ἢ τὰς τῆς ἰσηγορίας καὶ τὰς τῆς ἐλευθερίας ἡμῶν μετουσίας ἀφαιρεῖσθαι. Ἐγὼ μὲν γὰρ ἴσως διεωσάμην, καὶ ἄλλος τις ἄν, ψευδῆ λόγον καὶ συκοφαντίαν, καὶ οὐκ ἀνήρπασμαι· οἱ δὲ πολλοὶ τί ποιήσετε, ἂν μὴ δημοσίᾳ πᾶσι φοβερὸν καταστήσητε τὸ εἰς ταῦτ' ἀποχρῆσθαι τῷ πλουτεῖν; [125] Δόντα λόγον καὶ ὑποσχόντα κρίσιν περὶ ὧν ἄν τις ἐγκαλῇ, τότ' ἀμύνεσθαι τοὺς [ἀδίκως] ἐφ' αὑτὸν ἐλθόντας χρὴ, καὶ τότ', ἂν ἀδικοῦντας φωράσῃς, οὐ προαναρπάζειν, οὐδ' ἐπάγοντ' αἰτίας ψευδεῖς ἄκριτον ζητεῖν ἀποφεύγειν, οὐδ' ἐπὶ τῷ διδόναι δίκην ἀσχάλλειν, ἀλλὰ μὴ ποιεῖν ἐξ ἀρχῆς ἀσελγὲς μηδέν.

[126] Ὅσα μὲν τοίνυν εἴς τε τὴν λειτουργίαν καὶ τὸ σῶμ' ὑβρίσθην, καὶ πάντ' ἐπιβουλευόμενος τρόπον καὶ πάσχων κακῶς 558
ἐκπέφευγα, ἀκηκόατ', ὦ ἄνδρες Ἀθηναῖοι, καὶ παραλείπω δὲ 21
πολλά· οὐ γὰρ ἴσως ῥᾴδιον πάντ' εἰπεῖν. Ἔχει δ' οὕτως. Οὐχ

NC. 1. ἐγλογιζομένοις S¹. — 3. ὑμῶν S. — 5. βδελλυροι S. — 6. εἰσιν ἐγγυτάτω (εγγυτατωι S) : glose écartée par Reiske. — 9. ποιεῖν pourrait être une glose. — ειστγορίας S¹. — 10. διεσωσαμην S. — 15. ἀδίκως. Nous avons mis entre crochets ce mot, qui anticipe sur le membre de phrase suivant. — 16. ἀδικοῦντας φωράσῃς est notre correction. ἀδικοῦντας (ἀδικοῦντα S) ὁρᾷ τις manuscrits. Ὁρᾷ n'est pas de mise ici; et τις ne pourrait désigner que l'adversaire du riche. — 20. καὶ ὡς ou καὶ ὅσα Herwerden. — κακος S¹. — 22. πατ' εἰπεῖν S¹.

4-6. Ποιήσαντας tient lieu de ὑβρίσαντας, que l'orateur a évité plutôt à cause de l'hiatus, ce me semble, que de la répétition. — Après ἔχοντες, on peut sous-entendre ἐφίενται, idée renfermée dans ἐγγύτατά εἰσιν.

7. Δέει καὶ φόβῳ. Cf. *Aristocr.*, § 103: Φόβον καὶ δέος.

9-10. Καὶ τάς. La répétition de l'article, ainsi que le pluriel μετουσίας (quand le singulier aurait suffi), ajoute emphatiquement à l'étendue des droits dont les riches insolents cherchent à dépouiller les pauvres.

10-11. Ἄλλος τις ἄν : sous-ent. διώσαιτο. — Ἀνήρπασμαι. Cf. § 120. — Δημοσίᾳ. Ils seraient trop faibles pour le faire ἰδίᾳ.

15-16. Καὶ τότ', ἂν ἀδικοῦντας φωράσῃς, et alors même (il faut le faire) seulement si tu les as convaincus d'avoir tort, de te poursuivre injustement. Cf. φωρᾶται, § 41.

ἔστ' ἐφ' ὅτῳ τῶν πεπραγμένων ἐγὼ μόνος ἠδίκημαι, ἀλλ' ἐπὶ μὲν τοῖς εἰς τὸν χορὸν γεγενημένοις ἀδικήμασιν ἡ φυλή, τὸ δέκατον μέρος ὑμῶν, συνηδίκηται, ἐπὶ δ' οἷς ἔμ' ὕβρισε καὶ ἐπεβούλευσεν οἱ νόμοι, δι' οὓς εἷς ἕκαστος ὑμῶν σῶς ἐστιν· ἐφ' ἅπασι δὲ τούτοις ὁ θεός, ᾧ χορηγὸς ἐγὼ καθειστήκειν, καὶ τὸ τῆς ὁσίας, ὁτιδήποτ' ἐστίν, τὸ σεμνὸν καὶ τὸ δαιμόνιον, συνηδίκηται. [127] Δεῖ δὴ τούς γε βουλομένους ὀρθῶς τὴν κατ' ἀξίαν τῶν πεπραγμένων παρὰ τούτου δίκην λαβεῖν οὐχ ὡς ὑπὲρ ἐμοῦ μόνον ὄντος τοῦ λόγου τὴν ὀργὴν ἔχειν, ἀλλ' ὡς ἐν ταὐτῷ τῶν νόμων, τοῦ θεοῦ, τῆς πόλεως, ὁμοῦ πάντων ἠδικημένων, οὕτω ποιεῖσθαι τὴν τιμωρίαν, καὶ τοὺς βοηθοῦντας καὶ τοὺς συνεξεταζομένους μετὰ τούτου μὴ συνηγόρους μόνον, ἀλλὰ καὶ δοκιμαστὰς τῶν τούτῳ πεπραγμένων ὑπολαμβάνειν εἶναι.

[128] Εἰ μὲν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, σώφρονα καὶ μέτριον πρὸς τἄλλα παρεσχηκὼς αὑτὸν Μειδίας καὶ μηδένα τῶν ἄλλων πολιτῶν ἠδικηκὼς εἰς ἔμ' ἀσελγὴς μόνον οὕτω καὶ βίαιος ἐγεγόνει, πρῶτον μὲν ἔγωγ' ἀτύχημ' ἂν ἐμαυτοῦ τοῦθ' ἡγούμην, ἔπειτ' ἐφοβούμην ἂν μή, τὸν ἄλλον ἑαυτοῦ βίον οὗτος

NC. 1. ἔσθ' ἐφ' s'est propagé d'édition en édition. — 2. τὸ est omis dans S seul. — 3. ὕβρισεν S. — 4. εἷς, après οὓς, manque dans plusieurs manuscrits. — 6. εστιν S. — 8. περὶ τούτου avant Taylor. — τὴν (pointé d'une première main, non d'une main récente) δίκην S. Cela indique que la place de l'article était flottante. — 9-10. ἐμοῦ μόνον ὄντος et ὁμοῦ πάντων A. ὑμῶν ὄντος μόνον et εμου πάντων S. ἡμῶν ὄντος μόνον et ἐμοῦ πάντων F. On dirait que la correction ἐμοῦ, écrite en marge, a été mal comprise. — 13. ὑπολαμβάνειν A. ὑπολαμβανετ S et vulg. La leçon de A peut être une correction ; mais elle est bonne. — 17. μηδὲν ἠδικηκὼς A, F. — ἀσελγης μόνον S, A. μόνον ἀσελγὴς vulg.

6. Τὸ τῆς ὁσίας, le droit sacré. — Ὁτιδήποτ' ἐστίν. Pour prouver que ces mots, loin d'impliquer un doute, désignent quelque chose de mystérieux et d'auguste, Spalding aurait pu citer Eschyle, *Agam.*, 160 : Ζεύς, ὅστις ποτ' ἐστίν. Le mystère de l'origine de ces antiques lois religieuses est proclamé par ces vers de Sophocle (*Antig.*, 456 sq.) : Οὐ γάρ τι νῦν τε κἀχθές, ἀλλ' ἀεί ποτε | ζῇ ταῦτα κοὐδεὶς οἶδεν ἐξ ὅτου 'φάνη. Cf. Périclès, cité par Lysias, *Contre Andocide*, § 10 : Τοῖς ἀγράφοις (νόμοις), καθ' οὓς Εὐμολπίδαι ἐξηγοῦνται, οὓς οὐδείς πω κύριος ἐγένετο καθελεῖν οὐδ' ἐτόλμησεν ἀντειπεῖν, οὐδ' αὐτὸν τὸν θέντα ἴσασιν. Voy. aussi l'invocation de Ὁσία dans Euripide, *Bacch.*, 370 sqq.

8. Παρὰ τούτου se rattache à δίκην λαβεῖν.

12-13. Συνεξεταζομένους. Scholiaste : Τοὺς ἅμα αὐτῷ φαινομένους. Cf. § 190. — Δοκιμαστάς équivaut ici à ἐπαινέτα. Quant à tout ce passage, le même scholiaste fait observer : Μέλλων μετ' ὀλίγον ἐκβάλλειν τοὺς συνηγόρους, ἐντεῦθεν ἤδη προδιαβάλλει, συνεθίζων τοὺς δικαστὰς ταῖς κατ' αὐτῶν βλασφημίαις.

μέτριον δεικνύων καὶ φιλάνθρωπον, δακρύσηται τούτῳ τὸ δίκην ὧν ἔμ' ὕβρικεν δοῦναι. [129] Νυνὶ δὲ τοσαῦτ' ἐστὶ τἄλλ' ἃ πολλοὺς ὑμῶν ἠδίκηκεν καὶ τοιαῦτα, ὥστε τούτου μὲν τοῦ δέους ἀπήλλαγμαι, φοβοῦμαι δὲ πάλιν τοὐναντίον μή, ἐπειδὰν πολλὰ καὶ δείν' ἑτέρους ἀκούηθ' ὑπ' αὐτοῦ πεπονθότας, τοιοῦ- 557 τός τις ὑμῖν λογισμὸς ἐμπέσῃ· « τί οὖν σὺ δεινότερον ἢ τῶν « ἄλλων εἷς ἕκαστος πεπονθὼς ἀγανακτεῖς; » Πάντα μὲν δὴ τὰ τούτῳ πεπραγμένα οὔτ' ἂν ἐγὼ δυναίμην πρὸς ὑμᾶς εἰπεῖν, οὔτ' ἂν ὑμεῖς ὑπομείναιτ' ἀκούειν, οὐδ' εἰ τὸ παρ' ἀμφοτέρων ἡμῶν ὕδωρ ὑπάρξειε πρὸς τὸ λοιπόν, πᾶν τό τ' ἐμὸν καὶ τὸ τούτου προστεθὲν, οὐκ ἂν ἐξαρκέσειεν· ἃ δ' ἐστὶ μέγιστα καὶ φανερώτατα, ταῦτ' ἐρῶ. [130] Μᾶλλον δ' ἐκεῖνο ποιήσω· ἀναγνώσομαι μὲν ὑμῖν, ὡς ἐμαυτῷ γέγραμμαι, πάντα τὰ ὑπομνήματα, λέξω δ' ὅ τι ἂν πρῶτον ἀκούειν βουλομένοις ὑμῖν ᾖ, τοῦτο πρῶτον, εἶθ' ἕτερον, καὶ τἄλλα τὸν αὐτὸν τρόπον, ἕως ἂν ἀκούειν βούλησθε. Ἔστι δὲ ταῦτα παντοδαπά, καὶ ὕβρεις πολλαὶ καὶ περὶ τοὺς οἰκείους κακουργήματα καὶ περὶ τοὺς θεοὺς ἀσεβήματα, καὶ τόπος οὐδεὶς ἐστιν ἐν ᾧ τοῦτον οὐ θανάτου πεποιηκότ' ἄξια πόλλ' εὑρήσετε.

NC. 1-2. Variantes : τούτῳ (ou οὕτω) τὸ δίκην δοῦναι ὧν.... διακρούσηται, et τούτῳ τὸ δοῦναι ὧν.... δίκην διακρούσηται. — ὕβρικεν S. — εστιν S. ἐστὶ δὴ F. — 3. ἠδίκηκεν S. — 5. ἀκούσητε F. — 6. τί οὖν est ajouté dans S par la quatrième main. — δεινότερον Dindorf, d'après l'en-tête de la scholie. δεινότερα texte des manuscrits. — 8. ἔγωγε F. — 9. ὑπομείνατ' ἂν F. ὑπομει τ (corrigé en ὑπομείνετ' par la quatrième main) S[1]. — 10. ὑμῶν S. — ὑπαρξειεν S. — 10-11. τὸ τ' ἐμὸν.... προστεθέν. Otto Jahn (*Philologus*, XXVI, p. 3) voulait retrancher ces mots. De même Herwerden, *l. c.*, p. 311. Ce dernier explique : « ad omnes reliquas ejus injurias oratione per« sequendas non sufficeret. » J'ai mis une virgule avant πᾶν. — 14. εστιν S. — 15. τοῦτο est omis dans F.

4. Φοβοῦμαι. Scholiaste : Ἐν οἷς δοκεῖ φοβεῖσθαι μὴ διαφύγῃ, ἐν τούτοις μᾶλλον παροξύνει τοὺς δικαστάς.

9-11. Οὐδ' εἰ τὸ παρ' ἀμφοτέρων.... ἐξαρκέσειεν, quand même j'aurais, pour le reste de mon discours, nos deux mesures d'eau, toute celle qui m'avait été primitivement attribuée et celle de mon adversaire par-dessus, ce serait encore trop peu. Παρ' ἀμφοτέρων ἡμῶν, (provenant) de nous deux. Idiotisme familier aux lecteurs de Démosthène. — On sait que la clepsydre mesurait la durée des plaidoyers. — Le scholiaste rattache πρὸς τὸ λοιπόν à προστεθέν, et explique « ajoutée à l'eau qui me reste. »

14. Λέξω équivaut ici à ἀναγνώσομαι.

18. Τόπος οὐδείς, aucun lieu. Expression hyperbolique, qu'il vaut mieux prendre, avec G. H. Schæfer, dans son sens propre et local, que d'entendre, avec le scholiaste, ce qu'on appelle lieux en termes d'école.

ΥΠΟΜΝΗΜΑΤΑ ΤΩΝ ΜΕΙΔΙΟΥ ΑΔΙΚΗΜΑΤΩΝ.

[131] Ὅσα μὲν τοίνυν, ὦ ἄνδρες δικασταί, τὸν ἀεὶ προστυχόντ' αὐτῷ πεποίηκεν, ταῦτ' ἐστίν. Καὶ παραλέλοιπ' ἕτερα· οὐ γὰρ ἂν δύναιτ' οὐδεὶς εἰσάπαξ εἰπεῖν ἃ πολὺν χρόνον οὗτος ὑβρίζων συνεχῶς ἅπαντα τὸν βίον εἴργασται. Ἄξιον δ' ἰδεῖν ἐφ' ὅσον φρονήματος ἤδη προελήλυθε τῷ τούτων δίκην μηδενὸς δεδωκέναι. Οὐ γὰρ ἡγεῖθ', ὡς ἐμοὶ δοκεῖ, λαμπρὸν οὐδὲ νεανικὸν οὐδ' ἄξιον ἑαυτοῦ ὅ τι ἄν τις πρὸς ἕν' εἷς διαπράττηται, ἀλλ' εἰ μὴ φυλὴν ὅλην καὶ βουλὴν καὶ ἔθνος προπηλακιεῖ καὶ
658 πολλοὺς ἀθρόους ὑμῶν ἅμ' ἐλᾷ, ἀβίωτον ᾤετ' ἔσεσθαι τὸν βίον αὐτῷ. [132] Καὶ τὰ μὲν ἄλλα σιωπῶ, μυρί' εἰπεῖν ἔχων, περὶ δὲ τῶν συστρατευσαμένων ἱππέων εἰς Ἄργουραν ἴστε δήπου πάντες οἷ' ἐδημηγόρησε παρ' ὑμῖν, ὅθ' ἧκεν ἐκ Χαλκίδος, κατηγορῶν καὶ φάσκων ὄνειδος ἐξελθεῖν τὴν στρατιὰν ταύτην τῇ πόλει· καὶ τὴν λοιδορίαν ἣν ἐλοιδορήθη Κρατίνῳ περὶ τούτων, τῷ νῦν, ὡς ἐγὼ πυνθάνομαι, μέλλοντι βοηθεῖν αὐτῷ, μέμνη-

NC. 3. δικασταὶ S. Ἀθηναῖοι vulg. — 4. πεποιηκεν S. — καὶ πολλὰ ἕτερα παραλέλοιπα avant Bekker. — 5. La syllabe εισ, omise après οὐδεὶς, est ajoutée par une main ancienne dans S. — 7. προεληλυθεν S. — 8. S a toujours porté ἡγεῖθ', jamais ἡγεῖσθ'. — 9. ἄξιον εἶναι F. — ἑαυτοῦ, conjecture de Ph. Buttmann. G. H. Schæfer proposait ἄξιον tout court, Herwerden ἄξιον θαύματος. θανάτου manuscrits et éditions. Cette leçon, qui me semble absurde malgré tout ce qu'on a dit pour la justifier, n'est qu'une faute de copiste, commise sous l'influence de p. 169, l. 18 sq. — ὅ τι ἂν εἷς πρὸς ἕνα Cobet, *N. L.* p. 633. — 10. Variante : εἰ μὴ καὶ φυλὴν. — καὶ βουλὴν. Quelques éditeurs ont mis ces deux mots entre crochets. — 12. ἂν ἔχων εἰπεῖν A, F. — 14. εδημηγορησεν S. — 17. τῷνῦν dans l'interligne, d'une main ancienne, S, et sans doute d'autres manuscrits, puisque l'édition de Feliciano porte τῷ νῦν. En omettant ces deux mots, qui manquent dans la plupart des manuscrits, il faudrait écrire βοηθεῖν αὐτῷ (Reiske), ou β. αὐτοῖς (d'après une scholie). Mais Démosthène a l'habitude de dire ὡς ἐγὼ πυνθάνομαι en parlant des arguments ou des moyens dont la partie adverse se servira.

10-11. Βουλήν. Le scholiaste renvoie au paragraphe 116, où Midias dit aux sénateurs τετύφωσθε. — Ἔθνος. Scholiaste : Το τάγμα ἐμφαίνει τῶν ἱππέων. G. H. Schæfer rapproche *Aristocrate*, § 146. Il me semble cependant que le mot ἔθνος (race) a toujours quelque chose de méprisant quand il s'applique à un sexe, à une profession, à une classe de la société. — Ἐλᾷ. Cf. § 68, et *passim*.

13. Ἄργουραν. Ville de l'Eubée, dans le territoire de Chalcis. [Harpocration.]

16. Κρατίνῳ. Les scholies le donnent pour un hipparque, ou bien pour un stra-

σθε. Τὸν δὴ τοσούτοις ἀθρόοις τῶν πολιτῶν ἔχθραν ἐπ' οὐδενὶ τηλικαύτην ἀράμενον πόσῃ πονηρίᾳ καὶ θρασύτητι ταῦτα χρὴ νομίζειν πράττειν; [133] Καίτοι πότερ' εἰσὶν ὄνειδος, ὦ Μειδία, τῇ πόλει οἱ διαβάντες ἐν τάξει καὶ τὴν σκευὴν ἔχοντες, ἣν προσῆκε τοὺς ἐπὶ τοὺς πολεμίους ἐξιόντας καὶ συμβαλουμένους τοῖς συμμάχοις, ἢ σὺ ὁ μηδὲ λαχεῖν εὐχόμενος τῶν ἐξιόντων, ὅτ' ἐκληροῦ, τὸν θώρακα δ' οὐδεπώποτ' ἐνδύς, ἐπ' ἀστράβης δ' ὀχούμενος ἀργυρᾶς τῆς ἐξ Εὐβοίας, χλανίδας δὲ καὶ κυμβία καὶ κάδους ἔχων, ὧν ἐπελαμβάνονθ' οἱ πεντηκοστολόγοι; Ταῦτα γὰρ εἰς τοὺς ὁπλίτας ἡμᾶς ἀπηγγέλλετο· οὐ γὰρ εἰς ταυτὸν ἡμεῖς τούτοις διέβημεν. [134] Εἶτ', εἴ σ' ἐπὶ τούτοις ἔσκωψεν Ἀρχετίων ἤ τις ἄλλος, πάντας ἤλαυνες; Εἰ μὲν γὰρ ἐποίεις ταῦτ', ὦ Μειδία, ἅ σέ φασιν οἱ συνιππεῖς καὶ κατηγό-

NC. 2. ἀιραμενον S. — 3. Variante : πότεροι. — 5. προσηκεν S. — συμβαλλομένους avant Reiske. — 6. μη S[1] seul, avec δὲ, dans l'interligne, d'une main ancienne. — 8. ἀργυρας τῆς ἐξ εὐβοίας S. ἀργούρας τῆς ἐξ Εὐβοίας Y. ἐξ Ἀργούρας τῆς Εὐβοίας A, F. Cette dernière leçon, que le scholiaste appelle ἡ δημώδης, est celle d'Hérodien, περὶ μονήρους λέξεως, p. 13, 20 (si ce n'est qu'on y lit Ἀγούρας), de Macrobe, *Sat.*, V, XXI, 8, ainsi que d'Harpocration, dont la glose : Ἀστράβη· ἡ ἡμίονος, Δημοσθένης ἐν τῷ κατὰ Μειδίου, est inconciliable avec ἀργυρᾶς. La leçon de S est celle d'Helladios, chez Photios, p. 871, 17. On la rendrait plus acceptable en écrivant τὴν ἐξ Εὐβοίας. Mais, si elle était une conjecture substituée à la vulgate, cette dernière pourrait bien, comme le croyait G. H. Schæfer, provenir d'une très-ancienne interpolation. — 10-11. εἰς ταὐτὸν vulg. εἰς ταὐτὸ S. — 12. εισκωψομεν S seul, peut-être pour εἴ σ' ἔσκωψεν : car le réviseur note en marge la variante : εἶτα εἰς ἐπὶ... — εἴ τις F.

rége. La première de ces conjectures s'accorde mieux avec le mot συνάρχοντες, dont l'orateur se sert au paragraphe 97, en faisant allusion à ces faits.

4. Ἐπ' οὐδενί, pour rien, de gaieté de cœur.

5. Συμβαλουμένους, qui allaient se réunir.

6-7. Ὁ μηδὲ λαχεῖν.... ἐκληροῦ. Comme on n'avait besoin que d'une partie de la cavalerie athénienne, on tirait au sort ceux qui partiraient pour l'Eubée. Midias souhaitait de ne pas être désigné par le sort. L'aurait-il dit tout haut? Cela est difficile à croire. Démosthène affirme ce qu'il suppose.

7-10. Ἐπ' ἀστράβης.... Εὐβοίας, monté sur une selle à dossier, celle qu'il avait fait venir d'Eubée. L'article implique que cette selle était aussi connue à Athènes que l'attelage blanc dont il sera question au paragraphe 158. Il y a là quelque chose d'étrange. Voy. *NC*. Dans la vulgate, ἐπ' ἀστράβης signifie « sur une mule (munie d'une selle à dossier) ». — Κυμβία καὶ κάδους. Il emportait à l'armée ce qui pouvait servir au luxe des banquets. — Οἱ πεντηκοστολόγοι. Ph. Buttmann pensait que Midias avait affaire aux douaniers du Pirée, au moment de s'embarquer. La suite du passage me semble plutôt indiquer les préposés à la douane de Chalcis en Eubée. — Εἰς τοὺς ὁπλίτας ἡμᾶς. Démosthène servait parmi les hoplites, lesquels avaient débarqué, on le voit ici, dans un autre endroit de l'Eubée.

12. Avant εἰ μὲν γὰρ ἐποίεις, sous-entendez : « tu avais tort. »

ρεις ὡς λέγοιεν περὶ σοῦ, δικαίως κακῶς ἤκουες· καὶ γὰρ ἐκείνους καὶ τουτουσὶ καὶ ὅλην τὴν πόλιν ἠδίκεις καὶ κατῄσχυνες. Εἰ δὲ μὴ ποιοῦντός σου κατεσκεύαζόν τινες καταψευδόμενοί σου, οἱ δὲ λοιποὶ τῶν στρατιωτῶν οὐκ ἐκείνοις ἐπετίμων, ἀλλὰ σοὶ ἐπέχαιρον, δῆλον ὅτι ἐκ τῶν ἄλλων ὧν ἔζης ἄξιος
559 αὐτοῖς ἐδόκεις εἶναι τοῦ τοιαῦτ' ἀκούειν· σαυτὸν οὖν μετριώτερον ἐχρῆν παρέχειν, οὐκ ἐκείνους διαβάλλειν. [135] Σὺ δ' ἀπειλεῖς πᾶσιν, ἐλαύνεις πάντας· τοὺς ἄλλους ἀξιοῖς ὅ τι σὺ βούλει σκοπεῖν, οὐκ αὐτὸς σκοπεῖς ὅ τι μὴ λυπήσεις τοὺς ἄλλους ποιῶν. Καὶ τὸ δὴ σχετλιώτατον καὶ μέγιστον ἔμοιγε δοκοῦν ὕβρεως εἶναι σημεῖον· τοσούτων ἀνθρώπων, ὦ μιαρὰ κεφαλή, σὺ παρελθὼν ἀθρόων κατηγόρεις, ὃ τίς οὐκ ἂν ἔφριξε ποιῆσαι τῶν ἄλλων;

[136] Τοῖς μὲν τοίνυν ἄλλοις ἅπασιν ἀνθρώποις ὁρῶ τοῖς κρινομένοις, ὦ ἄνδρες δικασταί, ἓν μὲν ἢ δύ' ὄντα τἀδικήμαθ' ἃ κατηγορεῖται, λόγους δ' ἀφθόνους τοιούτους ὑπάρχοντας « τίς « ὑμῶν ἐμοί τι σύνοιδε τοιοῦτον; τίς ὑμῶν ἐμὲ ταῦθ' ἑόρακε « ποιοῦντα; οὐκ ἔστιν, ἀλλ' οὗτοι δι' ἔχθραν καταψεύδονταί « μου, καταψευδομαρτυροῦμαι, » τὰ τοιαῦτα· τούτῳ δ' αὖ τἀναντία τούτων. [137] Πάντας γὰρ ὑμᾶς εἰδέναι νομίζω τὸν τρόπον καὶ τὴν ἀσέλγειαν καὶ τὴν ὑπερηφανίαν τοῦ βίου, καὶ πάλαι θαυμάζειν ἐνίους οἴομαι ὧν αὐτοὶ μὲν ἴσασιν, οὐκ ἀκηκόασι δὲ νῦν ἐμοῦ. Πολλοὺς δὲ τῶν πεπονθότων οὐδὲ πάνθ' ὅσ' ἠδίκηνται μαρτυρεῖν ἐθέλοντας ὁρῶ, τὴν βίαν καὶ τὴν φιλο-

NC. 2. τούτους avant Reiske. — 5. επεχειρουν (réviseur γρ. ἐπέχαιρον) S seul. — 8-9. τι σύ.... τι μή (l'un et l'autre corrigé par le réviseur) S seul. — λυπήσῃς avant Spalding. — 12. κατηγορεῖς F. — εφριξεν S. — 16. κατηγοροῦνται F. — 17. συνοιδεν τοιοῦτο, suivi d'une lettre grattée (évidemment ν) S. — 20-21. τὸν τρόπον τὸν τούτου καὶ τὴν ὑπερηφανίαν τὴν τοῦ βίου F.

3. Εἰ δὲ μὴ ποιοῦντός σου.... Puisque l'orateur n'est pas plus affirmatif, on peut se tenir assuré qu'il n'a fait que répéter des médisances sans aucun fondement.

5. Σοὶ ἐπέχαιρον, se réjouissaient à tes dépens. — Ὧν ἔζης. Cf. *Cour.*, § 265 : Τὰ σοὶ κἀμοὶ βεβιωμένα.

9. Σκοπεῖν, se demander.

22-23. Θαυμάζειν.... ὧν αὐτοὶ μὲν ἴσασιν.... ἐμοῦ, ils s'étonnent de ce qu'ils savent eux-mêmes et qu'ils n'ont pas entendu de moi, c'est-à-dire ils s'étonnent de ne pas m'entendre dire des faits qui sont à leur connaissance personnelle.

23-24. Οὐδὲ.... μαρτυρεῖν ἐθέλοντας. Cf. § 112.

πραγμοσύνην δρῶντας τὴν τούτου καὶ τὴν ἀφορμήν, ἥπερ ἰσχυρὸν ποιεῖ καὶ φοβερὸν τὸν κατάπτυστον τουτονί. [138] Τὸ γὰρ ἐπ' ἐξουσίας καὶ πλούτου πονηρὸν εἶναι καὶ ὑβριστὴν τεῖχός ἐστι πρὸς τὸ μηδὲν ἂν αὐτὸν ἐξ ἐπιδρομῆς παθεῖν, ἐπεὶ περιαιρεθεὶς οὗτος τὰ ὄντα ἴσως μὲν οὐκ ἂν ὑβρίζοι, εἰ δ' ἄρα, ἐλάττονος ἄξιος ἔσται τοῦ μικροτάτου παρ' ὑμῖν· μάτην γὰρ λοιδορήσεται καὶ βοήσεται, δίκην δ', ἂν ἀσελγαίνῃ τι, τοῖς ἄλλοις 560
ἡμῖν ἐξ ἴσου δώσει. [139] Νῦν δ', οἶμαι, τούτου προβέβληται Πολύευκτος, Τιμοκράτης, Εὐκτήμων ὁ κονιορτός· τοιοῦτοί τινές εἰσι μισθοφόροι περὶ αὐτόν. Καὶ πρὸς ἔθ' ἕτεροι τούτοις, μαρτύρων συνεστῶσα ἑταιρεία, φανερῶς μὲν οὐκ ἐνοχλούντων ὑμῖν, σιγῇ δὲ τὰ ψευδῆ ῥᾷστ' ἐπινευόντων· οὓς μὰ τοὺς θεοὺς οὐδὲν ὠφελεῖσθαι νομίζω παρὰ τούτου· ἀλλὰ δεινοί τινές εἰσιν, ὦ ἄνδρες Ἀθηναῖοι, φθείρεσθαι πρὸς τοὺς πλουσίους καὶ παρεῖναι καὶ μαρτυρεῖν. [140] Πάντα δὲ ταῦτ', οἶμαι, φοβέρ' ἐστι τῶν ἄλλων ὑμῶν ἑκάστῳ, καθ' ἑαυτὸν ὅπως δύναται ζῶντι. Οὗπερ ἕνεκα συλλέγεσθ' ὑμεῖς· ἵν', ὧν καθ' ἕν' ἐστὶν ἕκαστος

NC. 1. Comme A porte δεδιότας pour δρῶντας, Taylor a conjecturé ὀρρωδοῦντας. Cependant δεδιότας peut être une glose de δρῶντας, et la répétition du même verbe se trouve ailleurs. — 2. ποιεῖ après φοβερὸν A, F. — 4. εστιν S. — 5. ὑβριζοι, οι sur un grattage, mais de première main, S. — 8. προβέβληνται A, F. — 9. Dans S, πολύευκτος est ajouté en marge par une autre main. — 10. ἔτι τούτοις ἕτεροι F. — Dans S, ἔτι est ajouté en marge de première main. — 11. εταιρεια, avec indication de la vulgate ἑταιρία, S. — ἐνοχλουντων S. — 12. ἡμῖν avant Reiske. — 15. εστιν S.

1. Ἐξ ἐπιδρομῆς, d'assaut. Cette locution est amenée par la métaphore τεῖχος. Le participe περιαιρεθείς y répond aussi. Cf. Lysias, *Agoratos*, § 14 : Τὸ περὶ τὸν Πειραιᾶ τεῖχος περιελεῖν. Voyez aussi προβέβληται au paragraphe suivant.

7-8. Τοῖς ἄλλοις ἡμῖν. Ces datifs sont gouvernés par ἐξ ἴσου.

9. Πολύευκτος. Ce n'est pas Polyeucte de Sphettos, l'ami politique de Démosthène, mais un autre, probablement Π. ὁ Κυδαντίδης. Cf. A. Schæfer, II, p. 100. — Τιμοκράτης. Celui contre lequel est dirigé un discours de Démosthène. — Εὐκτήμων. Cf. § 103.

10-12. Πρὸς ἔθ' ἕτεροι τούτοις. Cf. Hérodote, III, 65, 11 : Καὶ πρὸς ἔτι τούτοισι. Platon, *Alc.* II, p. 144, C : Τὴν αὐτὸς αὑτοῦ. — Σιγῇ... ἐπινευόντων. Ils sont dressés à confirmer par des signes de tête les mensonges produits par le défenseur du riche.

12-13. Οὓς... τούτου. Ces mots ne se rapportent qu'aux témoins honteux. J'ai changé la ponctuation.

14. Φθείρεσθαι πρὸς τοὺς πλουσίους équivaut à ἔρρειν πρὸς τοὺς πλουσίους, se laisser attirer par les riches et devenir leur âme damnée. Seager rapproche, entre autres passages, Plutarque, *Eumène*, 14 : Οἱ Μακεδόνες... ἐφθείροντο πρὸς τοὺς διδόντας καὶ τὰς ἐκείνων θύρας ἐθεράπευον.

17. Συλλέγεσθ(ε), à l'indicatif : sous-ent. ἐν τοῖς δικαστηρίοις καὶ ταῖς ἐκκλησίαις. — Ἵνα, vous vous proposez, en effet.

ὑμῶν ἐλάττων ἢ φίλοις ἢ τοῖς οὖσιν ἢ τῶν ἄλλων τινὶ, τούτων συλλεγέντες ἑκάστου κρείττους τε γίγνησθε καὶ παύητε τὴν ὕβριν.

[141] Τάχα τοίνυν καὶ τοιοῦτός τις ἥξει πρὸς ὑμᾶς λόγος, « τί δὴ τὰ καὶ τὰ πεπονθὼς ὁ δεῖν' οὐκ ἐλάμβανεν δίκην παρ' « ἐμοῦ; » ἢ « τί δή » πάλιν ἄλλον ἴσως τινὰ τῶν ἠδικημένων ὀνομάζων. Ἐγὼ δὲ δι' ἃς μὲν προφάσεις ἕκαστος ἀφίσταται τοῦ βοηθεῖν αὑτῷ, πάντας ὑμᾶς εἰδέναι νομίζω· καὶ γὰρ ἀσχολία καὶ ἀπραγμοσύνη καὶ τὸ μὴ δύνασθαι λέγειν καὶ ἀπορία καὶ μυρί' ἐστὶν αἴτια· [142] προσήκειν μέντοι τούτῳ μὴ ταῦτα λέγειν ἡγοῦμαι νυνὶ, ἀλλ' ὡς οὐ πεποίηκέ τι τούτων ὧν αὐτοῦ κατηγόρηκα διδάσκειν, ἐὰν δὲ μὴ δύνηται, διὰ ταῦτ' ἀπολωλέναι πολὺ μᾶλλον. Εἰ γὰρ τηλικοῦτός τίς ἐστιν ὥστε τοιαῦτα ποιῶν δύνασθαι καθ' ἕν' ἕκαστον ἡμῶν ἀποστερεῖν τοῦ
561 δίκης παρ' αὐτοῦ τυχεῖν, κοινῇ νῦν, ἐπειδήπερ εἴληπται, πᾶσιν ὑπὲρ ἁπάντων ἐστὶ τιμωρητέος ὡς κοινὸς ἐχθρὸς τῇ πολιτείᾳ.

[143] Λέγεται τοίνυν ποτ' ἐν τῇ πόλει κατὰ τὴν παλαιὰν ἐκείνην εὐδαιμονίαν Ἀλκιβιάδης γενέσθαι, ᾧ σκέψασθε, τίνων εὐεργεσιῶν ὑπαρχουσῶν καὶ ποίων τινῶν πρὸς τὸν δῆμον, πῶς ἐχρήσανθ' ὑμῶν οἱ πρόγονοι, ἐπειδὴ βδελυρὸς καὶ ὑβριστὴς ᾤετο δεῖν εἶναι. Καὶ οὐκ ἀπεικάσαι δήπου Μειδίαν Ἀλκιβιάδῃ βουλόμενος τούτου μέμνημαι τοῦ λόγου (οὐχ οὕτως εἴμ' ἄφρων οὐδ' ἀπόπληκτος ἐγώ), ἀλλ' ἵν' εἰδῆθ' ὑμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ γνῶθ' ὅτι οὐδὲν οὔτ' ἔστιν οὔτ' ἔσται, οὐ γένος, οὐ πλοῦτος,

NC. 2. συλλεχθέντες avant Spalding. — 4. τοίνυν ἴσως A. — 5. ελάμβανεν S. — 10. αιτια. Variantes : ἕτερα, et ἕτερα αἴτια. — 11. νῦν F. — πεποιηκεν S. — 13. μᾶλλόν εστι δίκαιος A, F, réviseur de S. — 14. ἡμῶν ἕκαστον F. — 15. εἴληπται πᾶσιν, réunis par la ponctuation dans S. — 19. ποίων τιμῶν A. — 24. ουδεν ἔτ' εστιν (τ's de première main sur grattage) S.

7. Ὀνομάζων se rapporte à Midias, qui est, sinon le sujet grammatical, du moins celui qui occupe la pensée de l'orateur.

14. Καθ' ἕν' ἕκαστον ἡμῶν. Cette locution distributive tient lieu de régime. Cf. *Phil* I, 20; *Cour*, § 271, et *passim*.

17. Λέγεται. Ce mot, ainsi que φασίν aux paragraphes 144 et 145, n'implique aucun doute : il désigne la tradition orale par laquelle on connaissait le passé dans un temps où le nombre de ceux qui lisaient n'était pas encore considérable. [Ph. Buttmann.]

19. Ποίων τινῶν fait mieux ressortir que τίνων la nature, la grandeur des services rendus. Ph. Buttmann expose τίνων, l. 18, par πόσων, je ne sais de quel droit.

οὐ δύναμις, ὅ τι τοῖς πολλοῖς ὑμῖν, ἂν ὕβρις προσῇ, προσήκει φέρειν. [144] Ἐκεῖνος γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, λέγεται πρὸς πατρὸς μὲν Ἀλκμεωνιδῶν εἶναι (τούτους δέ φασιν ὑπὸ τῶν τυράννων ὑπὲρ τοῦ δήμου στασιάζοντας ἐκπεσεῖν, καὶ δανεισαμένους χρήματ' ἐκ Δελφῶν ἐλευθερῶσαι τὴν πόλιν καὶ τοὺς Πεισιστράτου παῖδας ἐκβαλεῖν), πρὸς δὲ μητρὸς Ἱππονίκου καὶ ταύτης τῆς οἰκίας ἧς ὑπάρχουσι πολλαὶ καὶ μεγάλαι πρὸς τὸν δῆμον εὐεργεσίαι. [145] Οὐ μόνον δὲ ταῦθ' ὑπῆρχεν αὐτῷ, ἀλλὰ καὶ αὐτὸς ὑπὲρ τοῦ δήμου θέμενος τὰ ὅπλα δὶς μὲν ἐν Σάμῳ, τρίτον δ' ἐν αὐτῇ τῇ πόλει, τῷ σώματι τὴν εὔνοιαν, οὐ χρήμασιν οὐδὲ λόγοις, ἐνεδείξατο τῇ πατρίδι. Ἔτι δ' ἵππων Ὀλυμπίασιν ἀγῶνες ὑπῆρχον αὐτῷ καὶ νῖκαι καὶ στέφανοι, καὶ στρατηγὸς ἄριστος, καὶ λέγειν ἐδόκει πάντων, ὥς φασιν, εἶναι δεινότατος. [146] Ἀλλ' ὅμως οἱ κατ' ἐκεῖνον ὑμέτεροι πρόγονοι 582 οὐδενὸς τούτων αὐτῷ συνεχώρησαν ὑβρίζειν αὐτούς, ἀλλὰ

NC. 1. ὅτι S. ὃ vulg. — ὑμῖν S. ὑμῶν vulg. — ὕβρις ᾖ F. — 3. Ἀλκμαιωνιδῶν vulg. — 4. στασιάσαντας F[1]. — 7. οικίας (dans l'interligne συγγενης, d'une main ancienne) οἷς ὑπάρχουσιν S. — 11. χρημασι S. — ἱππέων avant Reiske. — 12. νικαι καὶ στέφανοι réviseur ancien de S, et F. νικαι S[1], A. L'oreille demande la leçon plus pleine. — 14. ἐκεῖνον τὸν χρόνον ἡμέτεροι F.

1. Φέρειν, endurer, tolérer. Ce verbe est amené par ὕβρις. Il serait plus logique de dire : ὕβριν, οὐδὲ γένους προσόντος, προσήκει φέρειν.

2-6. Πρὸς πατρὸς μὲν Ἀλκμεωνιδῶν.... πρὸς δὲ μητρὸς Ἱππονίκου. Alcibiade, comme Périclès, descendait des Alcméonides par sa mère, et il n'avait avec la maison d'Hipponicos d'autre relation de parenté que celle qui résultait de son mariage avec Hipparète, fille d'Hipponicos. Démosthène s'est trompé : Palmerius l'a déjà vu et démontré. Mais d'où vient l'erreur de l'orateur? Il aura lu cette généalogie dans un des plaidoyers (et ils ont dû être nombreux) écrits pour le fils homonyme d'Alcibiade, et il aura transporté à tort au père ce qui s'appliquait très-exactement au fils. Quant aux Alcméonides, voy. Hérodote, V, 62 sqq., où l'on voit cependant que les Alcméonides donnaient aux prêtres de Delphes plus d'argent qu'ils ne tiraient d'eux.

9-10. Αὐτὸς ὑπὲρ τοῦ δήμου.... ἐν αὐτῇ τῇ πόλει. A quels faits l'orateur fait-il allusion? Les commentateurs ne s'en expliquent pas. En 412, il y eut à Samos une révolution démocratique, aidée par les Athéniens ; l'année d'après, quand les aristocrates l'emportèrent à Athènes, une levée de boucliers de ce parti fut réprimée à Samos avec le secours de l'armée attique, et cette île devint le refuge de la démocratie athénienne (cf. Thucydide, VIII, 21 et 73 sqq.). Un peu plus tard le régime populaire fut rétabli à Athènes (*ib.*, 89-97). Démosthène ne peut avoir en vue que ces trois événements. Mais il a singulièrement exagéré le rôle qu'Alcibiade y joua. Alcibiade était, ce semble, tout à fait étranger au premier; il a pu, quoique absent, favoriser les deux autres. Voilà comment les orateurs écrivent l'histoire.

11-12. Ἵππων.... νῖκαι. Cf. Thucydide, VI, 16 sq.

15. Οὐδενὸς τούτων, en considération d'aucun de ces mérites. Génitif du prix. Cf. *Phil.* II, § 10 : Μηδενὸς ἂν κέρδους τὰ κοινὰ δίκαια.... προέσθαι.

ποιήσαντες φυγάδ' ἐξέβαλον, καὶ, Λακεδαιμονίων ὄντων ἰσχυρῶν τότε, καὶ Δεκέλειαν ἑαυτοῖς ἐπιτειχισθῆναι καὶ τὰς ναῦς ἁλῶναι καὶ πάνθ' ὑπέμειναν, ὁτιοῦν ἄκοντες παθεῖν κάλλιον εἶναι νομίζοντες ἢ ἑκόντες ὑβρίζεσθαι συγχωρῆσαι. [147] Καίτοι τί τοσοῦτον ἐκεῖνος ὕβρισεν, ἡλίκον οὗτος νῦν ἐξελήλεγκται; Ταυρέαν ἐπάταξε χορηγοῦντ' ἐπὶ κόρρης. Ἔστω ταῦτα, ἀλλὰ χορηγῶν γε χορηγοῦντα τοῦτ' ἐποίησεν, οὔπω τόνδε τὸν νόμον παραβαίνων· οὐ γὰρ ἔκειτό πω. Εἶρξεν Ἀγάθαρχον τὸν γραφέα· καὶ γὰρ ταῦτα λέγουσιν. Λαβών γέ τι πλημμελοῦντα, ὥς φασιν· ὅπερ οὐδ' ὀνειδίζειν ἄξιον. Τοὺς Ἑρμᾶς περιέκοπτεν. Ἅπαντα μὲν, οἶμαι, τἀσεβήματα τῆς αὐτῆς ὀργῆς δίκαιον ἀξιοῦν· τὸ δ' ὅλως ἀφανίζειν ἱερὰ ἔσθ' ὅ τι τοῦ κόπτειν [τοὺς Ἑρμᾶς] διαφέρει. Οὐκοῦν οὗτος ἐξελήλεγκται τοῦτο ποιῶν. Ἀντιθῶμεν δὴ τίς ὢν καὶ τίσι ταῦτ' ἐξακούμενος. [148]

NC. 1. Variante : ατιμον καὶ φυγαδα, notée dans S (réviseur ancien) et dans F. Spalding voulait retrancher ποιήσαντες. — ἰσχυρῶν ὄντων F. — 6. επαταξεν S. — 12. ἱερα S[1] seul, ainsi que le scholiaste, qui préfère avec raison cette leçon, l'ancienne, dit-il (ἡ ἀρχαία), comme plus expressive, à la vulgate : ἱερὰν ἐσθῆτα. Cette dernière est indiquée dans S par le réviseur ancien, lequel a aussi écrit un ε au-dessus de l'ι de οτι. — κόπτειν S seul. περικόπτειν vulg. Les mots τοὺς Ἑρμᾶς, quoiqu'ils se trouvent aussi dans S, ne sont admissibles qu'autant qu'on lit ἱερὰν ἐσθῆτα. Dobree l'a reconnu, et a fait observer que le point d'interrogation qu'on mettait après διαφέρει ne convenait qu'à la vulgate. — 14. J'écris ἐξακούμενος pour ἐνδεικνύμενος. Après ce mot, S porte en marge (réviseur ancien) επήρθη ταυτα ποιεῖν.

1. Ποιήσαντες φυγάδ' ἐξέβαλον. Cela n'est pas tout à fait exact : le décret de bannissement ne fut rendu que lorsque Alcibiade avait déjà pris la fuite. Ce qui est plus grave, c'est que l'exil d'Alcibiade précéda les faits politiques dont l'orateur lui fait honneur au paragraphe 145. Les Athéniens ne purent lui tenir compte de ce qui n'arriva que plus tard.

6-8. Ταυρέαν. Cf. Andocide, *Alcib.*, § 20. — Τόνδε τὸν νόμον. C'est la loi dont il est question aux §§ 8-9.

8-10. Ἀγάθαρχον. Peintre célèbre. Andocide (*l. c.*, § 17) aggrave la faute d'Alcibiade; Plutarque (*Alc.*, 16) l'atténue. Ni l'un ni l'autre ne parle du πλημμέλημα d'Agatharque. Scholiaste : Ἐφωράθη συνὼν τῇ παλλακίδι τοῦ Ἀλκιβιάδου. — Ὅπερ.... ἄξιον, chose dont il ne faut même pas faire un reproche à Alcibiade. Ὅπερ ne se rapporte pas à τι. [Spalding.] Pour plus de clarté, nous avons mis un point en haut avant ὅπερ.

11-13. Ἅπαντα.... τοῦτο ποιῶν, sans doute, tous les actes de profanation sont également révoltants ; cependant il y a une différence entre détruire complétement les objets sacrés et les mutiler. Or Midias a été convaincu de cela (d'avoir détruit les objets sacrés, c'est-à-dire des costumes préparés pour la fête). L'orateur abuse des mots.

14-8. Τίσι ταῦτ' ἐξακούμενος (sousent. ἐποίει), par où il rachète ces excès. — On attend ici un développement qui ne vient pas ; mais tout marcherait bien si on supprimait les mots ἀντιθῶμεν... ἐξακούμενος. Cependant ils sont bien de Démosthène. Le scholiaste atteste (cf. *NC.*) que le § 148 fut inséré à cette place par un réviseur. Je crois que ce paragraphe

Μὴ τοίνυν ὑμῖν, πρὸς τῷ μὴ καλὸν, μηδὲ θεμιτὸν νομίζετε, ἄνδρες δικασταὶ, μηδ' ὅσιον εἶναι τοιούτων ἀνδρῶν οὖσιν ἀπογόνοις, πονηρὸν καὶ βίαιον καὶ ὑβριστὴν λαβοῦσιν ἄνθρωπον καὶ μηδένα μηδαμόθεν, συγγνώμης ἢ φιλανθρωπίας ἢ χάριτός τινος ἀξιῶσαι. Τίνος γὰρ ἕνεκα; τῶν στρατηγιῶν· ἀλλ' οὐδὲ καθ' αὑτὸν στρατιώτης οὗτος οὐδενός ἐστ' ἄξιος, μή τί γε τῶν ἄλλων ἡγεμών. Ἀλλὰ τῶν λόγων· ἐν οἷς κοινῇ μὲν οὐδὲν πώποτ' εἶπεν ἀγαθὸν, κακῶς δ' ἰδίᾳ πάντας ἀνθρώπους λέγει. [149] Γένους ἕνεκα νὴ Δία· καὶ τίς οὐκ οἶδεν ὑμῶν τὰς ἀπορρήτους, 563 ὥσπερ ἐν τραγῳδίᾳ, [τὰς] τούτου γονάς; ᾧ δύ' ἐναντιώτατα συμβέβηκεν εἶναι· ἡ μὲν γὰρ ὡς ἀληθῶς μήτηρ, ἡ τεκοῦσ' αὐτὸν, πλεῖστον ἁπάντων ἀνθρώπων εἶχε νοῦν, ἡ δὲ δοκοῦσα καὶ ὑποβαλομένη πασῶν ἦν ἀνοητοτάτη γυναικῶν. Σημεῖον δέ· ἡ μὲν γὰρ ἀπέδοτ' εὐθὺς γενόμενον, ἡ δ', ἐξὸν αὐτῇ βελτίω πρίασθαι τῆς αὐτῆς τιμῆς, τοῦτον ἠγόρασεν. [150] Καὶ γάρ τοι διὰ τοῦτο τῶν οὐ προσηκόντων ἀγαθῶν κύριος γεγονὼς, καὶ πατρίδος τετευχὼς ἣ νόμοις τῶν ἁπασῶν πόλεων μάλιστ' οἰκεῖ-

RC. 1. Variante : μητ' οὖν ὑμεις, notée en marge par le réviseur de S. ὑμῖν manque dans F, et se lit après καλὸν dans A. — 6. οὗτος γε... μή τι τῶν S. — 8-9. γένους ἕνεκα νὴ Δία. Scholiaste : τοῦτο συνῆπται (lisez : συνῆπτο) τοῖς παρασήμοις, πρὶν διορθωθῆναι τὸν λόγον· τὰ δὲ μέσα ἐνετέθη. Les παράσημα sont les §§ 143-147, obélisés dans S. — 10. [τὰς] Reiske et Bekker. — δύ' S. δύο A. δύο τὰ vulg. — 11. ἡ τεκοῦσα. Cf. note explicative. — 13. ὑποβαλλομένη avant Reiske. — 14. γενομενη δεξον S¹, corrigé par une main ancienne. — 15. τῆς αὐτῆς Dobree. ταύτης τῆς S. τῆς ἴσης A, F. — 16. τῶν est omis dans A, F. — 17. τετυχηκὼς A, F.

avait été ajouté en marge par l'orateur pour remplacer les mots ἀντιθῶμεν.... ἐξετασόμενος. Dans le texte primitif, ces derniers étaient immédiatement suivis de Γένους ἕνεκα : cela explique l'absence de la conjonction ἀλλά.

1-4. Πρὸς τῷ μὴ καλὸν (sous-ent. εἶναι). L'orateur dit : « Croyez que, non-seulement l'honneur, mais toutes les lois humaines et divines ne vous permettent pas, à vous, les descendants d'hommes qui, au milieu des circonstances les plus difficiles, n'ont point supporté l'arrogance d'un Alcibiade, de pardonner les insolences d'un Midias. » Μηδένα μηδαμόθεν, homme de rien, par lui-même comme par sa naissance. Cf. Sophocle, *Phil.*, 384 : Πρὸς τοῦ κακίστου κἀκ κακῶν Ὀδυσσέως.

11. Ἡ τεκοῦσ(α). Le sens serait plus clair si l'orateur avait ajouté καὶ προλιποῦσα. Nous n'apprenons que plus tard que Midias était (*si fabula vera*) un enfant supposé, vendu par sa mère véritable à sa soi-disant mère, mais étranger, par sa naissance, à l'Attique et même à la Grèce. Ἀσαφὲς δὲ τοῦτο τὸ χωρίον καὶ πολλοῖς πράγματα παρέχον, dit le scholiaste. Cependant Démosthène aime à piquer la curiosité de ses auditeurs, et l'entrée en matière, ᾧ δύ' ἐναντιώτατα συμβέβηκεν εἶναι est tout à fait dans son goût.

σθαι δοκεῖ, οὐδέν' οἶμαι τρόπον φέρειν οὐδὲ χρῆσθαι τούτοις δύναται, ἀλλὰ τὸ τῆς φύσεως βάρβαρον ἀληθῶς καὶ θεοῖς ἐχθρὸν ἕλκει καὶ βιάζεται, καὶ φανερὸν ποιεῖ τοῖς παροῦσιν ὥσπερ ἀλλοτρίοις, ὅπερ ἔστιν, αὐτὸν χρώμενον.

[151] Τοσούτων τοίνυν καὶ τοιούτων ὄντων τῷ βδελυρῷ τούτῳ καὶ ἀναιδεῖ ὧν βεβίωται, ἔνιοί μοι προσιόντες, ὦ ἄνδρες δικασταί, τῶν χρωμένων αὐτῷ, παραινοῦντες ἀπαλλαγῆναι καὶ καθυφεῖναι τὸν ἀγῶνα τουτονί, ἐπειδή με μὴ πείθοιεν, ὡς μὲν οὐ πολλὰ καὶ δεινὰ πεποίηκεν οὗτος καὶ δίκην ἡντινοῦν ἂν δοίη δικαίως τῶν πεπραγμένων, οὐκ ἐτόλμων λέγειν, ἐπὶ ταῦτα δ' ἀπήντων ὡς « ἥλωκεν ἤδη καὶ κατεψήφισται· τίνος « τιμήσειν αὐτῷ προσδοκᾷς τὸ δικαστήριον; οὐχ ὁρᾷς ὅτι « πλουτεῖ καὶ τριηραρχίας ἐρεῖ καὶ λητουργίας; Σκόπει δὴ μὴ « τούτοις αὑτὸν ἐξαιτήσηται, καὶ ἔλαττω πολὺ τῇ πόλει κα- « ταθεὶς ἢ ὅσα σοι δίδωσιν καταγελάσῃ. » [152] Ἐγὼ δὲ πρῶτον μὲν οὐδὲν ἀγεννὲς ὑμῶν καταγιγνώσκω, οὐδ' ὑπολαμβάνω

NC. 1. Pour οὐδὲ, encore une fois οὐδένα, avant grattage, S. — 2. φύσεως ὡς ἀληθῶς βάρβαρον A, F. — 5-6. ὄντων... ὧν βεβίωται. A : ὄντων ἃ... βεβίωται. Ancienne vulgate : ὄντων ἃ... μάλα βεβίωται. — 8. τοῦτον avant Reiske. — 9. οὗτος S. οὑτωσί vulg. — 9-10. Variantes : ἂν δικαίως δοίη, δικαίως ἂν δοίη. — 14-15. εξαιτησεται S. — καταθει||ση οσα S[1]. — δίδωσι S. — καταγελάσει F.

3-4. Ἕλκει καὶ βιάζεται, sous-ent. αὐτόν. Il va sans dire que les mots τὸ.... ἐχθρόν servent de sujet, non de régime, à ces verbes. — Τοῖς παροῦσιν.... ἀλλοτρίοις. Au neutre. Évidemment, le masculin serait suivi de ὅπερ εἰσίν.

6. Ὧν équivaut ici à τούτων ἃ, au nominatif : assimilation rare et exceptionnelle. — Βεβίωται. Ce verbe, qui désigne la conduite tenue pendant toute la vie (cf. *Cour.*, § 265) s'accorde moins bien avec τοσούτων qu'avec τοιούτων. Cependant le premier de ces deux mots s'explique aussi : car le sens est évidemment τοσούτων ὄντων ἃ βδελυρῶς καὶ ἀναιδῶς βεβίωται τούτῳ.

8. Ἐπειδὴ.... πείθοιεν. L'optatif exprime la répétition du fait, comme, dans la phrase principale, l'imparfait ἐτόλμων. Cf. Bailly, *Gr. gr.*, p. 324. La nuance hypothétique que prend ainsi la conjonction temporelle ἐπειδή, amène la négation μή.

11-15. Ἥλωκεν ἤδη.... τίνος τιμήσειν.... τὸ δικαστήριον, le voilà atteint et convaincu (c'est-à-dire, supposons qu'il le soit), à combien crois-tu que le tribunal fixera son amende? Cf. Xénophon, *Hell.*, VII, I, 12 : Ἤδη γὰρ ἡγήσεσθε κατὰ θάλατταν κτλ. Ces suppositions sont plus souvent introduites par καὶ δή. Aussi Buttmann, et, à sa suite, les autres savants, se sont-ils trompés sur le sens de ces mots, qu'ils rapportent à tort au vote populaire qui suivit la προβολή (§ 2). Ce passage prouve donc tout le contraire de ce que Bake et K. F. Hermann en ont inféré : il établit nettement que, malgré le vote du peuple, la cause était entière, et que les juges avaient à statuer d'abord sur le fait de ὕβρις, ensuite sur la peine. — Ὅσα σοι δίδωσιν, la somme qu'il t'offre amiablement.

τιμήσειν οὐδενὸς ἐλάττονος τούτῳ ἢ ὅσον καταθεὶς οὗτος παύ- 584
σεται τῆς ὕβρεως· τοῦτο δ' ἐστὶ μάλιστα μὲν θάνατος, εἰ δὲ μή, πάντα τὰ ὄντ' ἀφελέσθαι. Ἐπειθ' ὑπὲρ τῶν τούτου λητουργιῶν καὶ τῶν τριηραρχιῶν καὶ τῶν τοιούτων λόγων ὡδὶ γιγνώσκω. [153] Εἰ μέν ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ λητουργεῖν τοῦτο, τὸ ἐν ὑμῖν λέγειν ἐν ἁπάσαις ταῖς ἐκκλησίαις καὶ πανταχοῦ « ἡμεῖς οἱ λητουργοῦντες, ἡμεῖς οἱ προεισφέροντες ὑμῖν, ἡμεῖς οἱ πλούσιοί ἐσμεν, » εἰ τὸ τὰ τοιαῦτα λέγειν, τοῦτ' ἐστι λητουργεῖν, ὁμολογῶ Μειδίαν ἁπάντων τῶν ἐν τῇ πόλει λαμπρότατον γεγενῆσθαι· ἀποκναίει γὰρ ἀηδίᾳ δήπου καὶ ἀναισθησίᾳ καθ' ἑκάστην τὴν ἐκκλησίαν ταῦτα λέγων. [154] Εἰ μέντοι τί ποτ' ἐστὶν ἃ λητουργεῖ τῇ ἀληθείᾳ δεῖ σκοπεῖν, ἐγὼ πρὸς ὑμᾶς ἐρῶ. Καὶ θεάσασθ' ὡς δικαίως αὐτὸν ἐξετάσω, πρὸς ἐμαυτὸν κρινῶ. Οὗτος, ὦ ἄνδρες Ἀθηναῖοι, γεγονὼς ἔτη περὶ πεντήκοντ' ἴσως ἢ μικρὸν ἐλάττω, οὐδὲν ἐμοῦ πλείους λητουργίας ὑμῖν λελητούργηκεν, ὃς δύο καὶ τριάκοντ' ἔτη γέγονα. Κἀγὼ μὲν κατ' ἐκείνους τοὺς χρόνους ἐτριηράρχουν, εὐθὺς ἐκ παίδων ἐξελθών, ὅτε σύνδυ' ἦμεν οἱ τριήραρχοι καὶ τἀναλώματα πάντ' ἐκ τῶν ἰδίων ἦκεν καὶ τὰς ναῦς ἐπληρούμεθ' αὐτοί· [155] οὗτος

NC. 1. ησον (pour ἢ ὅσον) S¹, faute légère, aggravée ensuite par l'accentuation ἡσόν. — οὗτος S, A. οὑτωσὶ F. οὑτοσὶ vulg. — 2. ἐστιν S. — 4. καὶ τῶν τριηραρχιῶν S. καὶ τριηραρχιῶν vulg. et Dindorf. Voyez la note explicative. — 5. τὸ λειτουργεῖν F. — 8. J'avais proposé εἰ μὲν οὖν pour ἐσμεν εἰ. Je me borne à écrire οἵ pour οἱ. — 10. αακοκναιει S¹. — 11. τὴν manque dans A, F. — 14. κρινω S¹ seul. κρινων S². κρίνων vulg. Nous avons écrit κρινῶ. L'indicatif vaut mieux que le participe. — 15. ἐλάττω vulg. ἐλάττον S seul. ἔλαττον depuis Bekker. Mais l'accent, qui est de première main dans S, nous ramène à la vulgate. — 19. ἦκε est une conjecture de Dobree. οικων S et vulg. ἐδαπανῶμεν (évidemment par conjecture) A. οἰκείων Meier. διεποιοῦμεν A. Buttmann. Mais οικων provient de ηκεν ou ηκον. Cf. *Amb.*, § 94, où les manuscrits flottent entre ἦκε, ἦκεν et ἦκον. — ἐπληροῦμεν A, F.

4. Καὶ τῶν τριηραρχιῶν. La répétition de l'article est emphatique : elle peint ce que l'orateur va appeler l'ennuyeuse importunité (ἀηδία) de Midias.

7. Οἱ προεισφέροντες, les plus riches, qui avancent les contributions pour toute la symmorie.

13. Πρὸς ἐμαυτόν : avec un homme moins riche (et moins âgé) que lui. [Ph. Buttmann.]

16. Δύο καὶ τριάκοντ' ἔτη. Que l'orateur, ou que les copistes soient en faute, l'âge de Démosthène est inexactement indiqué. Voy. *Harangues*, p. xxxiv sq.

17-18. Ἐτριηράρχουν.... ἐξελθών. Le scholiaste fait observer que Démosthène se fait ici un mérite d'une triérarchie dont il s'était chargé malgré lui (cf. § 80). Cela n'est vrai qu'à demi : l'orateur se sert de l'imparfait pour désigner toutes les triérarchies dont il s'acquitta à l'époque où deux citoyens s'associaient pour cette pres-

δὲ, ὅτε μὲν κατὰ ταύτην τὴν ἡλικίαν ἦν ἣν ἐγὼ νῦν, οὐδέπω λῃτουργεῖν ἤρχετο, τηνικαῦτα δὲ τοῦ πράγματος ἧπται, ὅτε πρῶτον μὲν διακοσίους καὶ χιλίους πεποιήκατε συντελεῖς ὑμεῖς, παρ' ὧν εἰσπραττόμενοι τάλαντον ταλάντου μισθοῦσι τὰς τριη-
565 ραρχίας οὗτοι, εἶτα πληρώμαθ' ἡ πόλις παρέχει καὶ σκεύη
6 δίδωσιν, ὥστ' αὐτῶν ἐνίοις τῇ ἀληθείᾳ τὸ μηδὲν ἀναλῶσαι καὶ δοκεῖν λελῃτουργηκέναι καὶ τῶν ἄλλων λῃτουργιῶν ἀτελεῖς γεγενῆσθαι περίεστιν. [156] Ἀλλὰ μὴν τί ἄλλο; τραγῳδοῖς κεχορήγηκέν ποθ' οὗτος, ἐγὼ δ' αὐληταῖς ἀνδράσιν. Καὶ ὅτι τοῦτο τὸ ἀνάλωμ' ἐκείνης τῆς δαπάνης πλέον ἐστὶ πολλῷ, οὐδεὶς ἀγνοεῖ δήπου. Κἀγὼ μὲν ἐθελοντὴς νῦν, οὗτος δὲ καταστὰς ἐξ ἀντιδόσεως τότε, οὗ χάριν οὐδεμίαν δήπου δικαίως ἄν τις ἔχοι. Τί ἔτι; εἱστίακα τὴν φυλὴν ἐγὼ καὶ Παναθηναίοις κεχορήγηκα, οὗτος δ' οὐδέτερα. [157] Ἡγεμὼν συμμορίας ὑμῖν ἐγενόμην ἐγὼ ἔτη δέκα, ἴσον Φορμίωνι καὶ Λυσιθείδῃ καὶ Καλλαίσχρῳ καὶ τοῖς πλουσιωτάτοις, εἰσφέρων οὐκ ἀφ' ὑπαρχούσης οὐσίας (ὑπὸ γὰρ τῶν ἐπιτρόπων ἀπεστερήμην), ἀλλ' ἀπὸ τῆς δόξης ὧν ὁ πατήρ μοι κατέλιπεν καὶ ὧν δίκαιον ἦν με δοκιμασθέντα κομί-

NC. 1. ην (pour ἦν ἣν) S. — 2. ηπται : γρ. ἦρκται marge (réviseur) de S. — 4. ταλάντων ταλάντου S seul. — 5. τὰ, avant πληρώματα, F, et, dans l'interligne d'une main ancienne, S. — μεσκευη, με biffé par l'un des deux réviseurs, S seul. — 6. μηδενα (avant ἀναλῶσαι), α pointé, S[1]. — 7. ἀτελέσι vulg. — 9. αὐληταῖς m'est suspect. — 10. εστιν S. πολλῷ πλεῖόν ἐστιν vulg. — 12. δή που S seul. αὐτῷ δήπου ou δήπου αὐτῷ vulg. — ἔχῃ avant Spalding. — 13. Après ειστίακα, deux lettres grattées dans S. — 18. κατελιπεν S.

tation. Nous savons qu'il était aussi triérarque en 359 (cf. Eschine, *Ctés.*, § 51) et en 357 (cf. *Mid.*, § 161).

1. Οὐδέπω. Inexact. Cf. p. 95, note 3.

3. Συντελεῖς. Cf. *Harangues*, p. 5 sq.

4-7. Παρ' ὧν εἰσπραττόμενοι.... οὗτοι. Les chefs de la symmorie avançaient l'argent nécessaire (cf. § 153); mais s'ils réclamaient ensuite aux autres tout le montant de la somme avancée, il est clair qu'ils ne dépensaient rien. — Τῶν ἄλλων λῃτουργιῶν ἀτελεῖς. Cf. *Lept.*, § 19.

13. Εἱστίακα.... κεχορήγηκα. Quoi qu'en dise le scholiaste, la chorégie n'impliquait pas le repas offert à la tribu. [Ph. Buttmann.]

14. Ἐγενόμην ἐγώ : par le fait de ses tuteurs (cf. *Aphob.*, II, 4). Démosthène n'a garde de le dire expressément, mais les dix ans ne permettent pas de penser, avec quelques-uns, au temps de sa majorité. Εἰσφέρων indique aussi qu'il s'agit des symmories de l'impôt sur la fortune, non de la triérarchie, dont les pupilles étaient exempts. — Λυσιθείδῃ. Cf. *Timocr.*, § 11; *Callippe*, §§ 14 sqq. Isocrate, *Antid.*, § 93, le nomme parmi les citoyens considérés qui ont été ses disciples. Phormion et Callæschros étaient évidemment aussi contemporains de Démosthène.

17-18. Ἀπὸ τῆς δόξης ὧν, d'après l'opinion qu'on avait sur les biens que... — Δοκιμασθέντα équivaut à εἰς ἄνδρας ταχθέντα. [Scholiaste.]

σασθαι. Ἐγὼ μὲν οὖν οὕτως ὑμῖν προσενήνεγμαι, Μειδίας δὲ πῶς; οὐδέπω καὶ τήμερον συμμορίας ἡγεμὼν γέγονεν, οὐδὲν τῶν πατρῴων ἀποστερηθεὶς ὑπ' οὐδενός, ἀλλὰ παρὰ τοῦ πατρὸς πολλὴν οὐσίαν παραλαβών. [158] Τίς οὖν ἐστιν ἡ λαμπρότης, ἢ τίνες αἱ λῃτουργίαι καὶ τὰ σέμν' ἀναλώματα τὰ τούτου; ἐγὼ μὲν γὰρ οὐχ ὁρῶ, πλὴν εἰ ταῦτά τις θεωρεῖ· οἰκίαν ᾠκοδόμησεν Ἐλευσῖνι τοσαύτην ὥστε πᾶσιν ἐπισκοτεῖν τοῖς ἐν τῷ τόπῳ, καὶ εἰς μυστήρια τὴν γυναῖκ' ἄγει, κἂν ἄλλοσέ ποι βούληται, ἐπὶ τοῦ λευκοῦ ζεύγους τοῦ ἐκ Σικυῶνος, καὶ τρεῖς ἀκολούθους ἢ τεττάρας αὐτὸς ἔχων διὰ τῆς ἀγορᾶς σοβεῖ, κυμβία καὶ ῥυτὰ καὶ φιάλας ὀνομάζων οὕτως ὥστε τοὺς παρόντας 568 ἀκούειν. [159] Ἐγὼ δ' ὅσα μὲν τῆς ἰδίας τρυφῆς ἕνεκα Μειδίας καὶ περιουσίας κτᾶται, οὐκ οἶδ' ὅ τι τοὺς πολλοὺς ὑμῶν ὠφελεῖ· ἃ δ' ἐπαιρόμενος τούτοις ὑβρίζει, ἐπὶ πολλοὺς καὶ τοὺς τυχόντας ἡμῶν ἀφικνούμεν' ὁρῶ. Οὐ δεῖ δὴ τὰ τοιαῦθ' ἑκάστοτε τιμᾶν οὐδὲ θαυμάζειν ὑμᾶς, οὐδὲ τὴν φιλοτιμίαν ἐκ τούτων κρίνειν, εἴ τις οἰκοδομεῖ λαμπρῶς ἢ θεραπαίνας κέκτηται πολλὰς ἢ σκεύη [καλά], ἀλλ' ὃς ἂν ἐν τούτοις λαμπρὸς καὶ φιλότιμος ᾖ, ὧν ἅπασι μέτεστι τοῖς πολλοῖς ὑμῶν· ὧν οὐδὲν εὑρήσετε τούτῳ προσόν.

[160] Ἀλλὰ νὴ Δία τριήρη ἐπέδωκεν· ταύτην γὰρ οἶδ' ὅτι θρυλήσει, καὶ φήσει « ἐγὼ ὑμῖν τριήρη ἐπέδωκα. » Οὑτωσὶ δὴ ποιήσατε. Εἰ μέν, ὦ ἄνδρες Ἀθηναῖοι, φιλοτιμίας εἵνεκα ταύ-

KC. 5. τὰ, après ἀναλώματα, est omis dans S, F. — 7. ἐν Ἐλευσῖνι A, F. — 8. ἀλλοσεκοι, avec un ο au-dessus du κ, S. — 11. κυμβιτα S[1], le τ biffé par le réviseur. — 11-12. παρόντας F. — 15. ὑμῶν vulg. — δεῖ δὴ S seul. δὴ δεῖ vulg. — 18. καλὰ S. πολλὰ F. λαμπρὰ A. πολλὰ καὶ καλὰ Spalding. ποικίλα Ph. Buttmann. Meier et Dindorf ont jugé avec raison que tous ces adjectifs étaient des gloses. — 21. νὴ Δία τριήρη A. La variante μὴν διὰ τριήρη ἦν se trouve mêlée à cette leçon dans S (νη, changé par une autre main en μὴν, et τριηρη ην) et F. — εὖ οἶδ' A, F. — 22. θρυλλησει S. — οὑτωσιδε (d'abord οὑτωουδε) S.

5. Τὰ σεμνὰ.... τούτου, les dépenses dont il parle avec tant d'emphase.

11. Κυμβία, vases à boire profonds sans pied ni anse. Ῥυτά, vases à boire en forme de corne. Φιάλας, coupes plates. Cf. Athénée, XI, pp. 481, 497, 501.

17-18. Εἴ τις.... ὃς ἄν. Deux constructions équivalentes alternent.

21. Τριήρη ἐπέδωκεν, il fit don d'une galère. Cela est plus que la triérarchie volontaire, ἐπίδοσις, dont il est question au § 161. Cf. Bœckh, *Staatshaush.*, p. 732.

την ἐπέδωκεν, ἣν προσήκει τῶν τοιούτων ἔχειν χάριν, ταύτην ἔχετ' αὐτῷ καὶ ἀπόδοτε, ὑϐρίζειν δὲ μὴ δῶτε· οὐδενὸς γὰρ πράγματος οὐδ' ἔργου τοῦτο συγχωρητέον. Εἰ δὲ δὴ καὶ δειλίας καὶ ἀνανδρίας ἕνεκα δειχθήσεται τοῦτο πεποιηκώς, μὴ παρακρουσθῆτε. Πῶς οὖν εἴσεσθε; ἐγὼ καὶ τοῦτο διδάξω· ἄνωθεν δὲ (βραχὺς ἐσθ' ὁ λόγος) λέξω. [161] Ἐγένοντ' εἰς Εὔϐοιαν ἐπιδόσεις παρ' ὑμῖν πρῶται· τούτων οὐκ ἦν Μειδίας, ἀλλ' ἐγώ, καὶ συντριήραρχος ἦν μοι Φιλῖνος ὁ Νικοστράτου. Ἕτεραι δεύτεραι μετὰ ταῦτ' εἰς Ὄλυνθον· οὐδὲ τούτων ἦν Μειδίας. Καίτοι τόν γε δὴ φιλότιμον πανταχοῦ προσῆκεν ἐξετάζεσθαι. Τρίται νῦν αὗται γεγόνασιν ἐπιδόσεις· ἐνταῦθ' ἐπέδωκεν. Πῶς;
567 ἐν τῇ βουλῇ γιγνομένων ἐπιδόσεων παρὼν οὐκ ἐπεδίδου τότε· [162] ἐπειδὴ δὲ πολιορκεῖσθαι τοὺς ἐν Ταμύναις στρατιώτας ἐξηγγέλλετο, καὶ πάντας ἐξιέναι τοὺς ὑπολοίπους ἱππέας, ὧν εἷς οὗτος ἦν, προεϐούλευσεν ἡ βουλή, τηνικαῦτα φοϐηθεὶς τὴν στρατείαν ταύτην εἰς τὴν ἐπιοῦσαν ἐκκλησίαν, πρὶν καὶ προέδρους καθίζεσθαι, παρελθὼν ἐπέδωκεν. Τῷ δῆλον, ὥστε μηδ' ἀντειπεῖν αὐτὸν ἔχειν, ὅτι τὴν στρατείαν φεύγων, οὐ φιλοτιμίᾳ, τοῦτ' ἐποίησεν; τοῖς μετὰ ταῦτα πραχθεῖσιν ὑπ' αὐτοῦ. [163] Τὸ μὲν γὰρ πρῶτον, ὡς οὐκ ἐδόκει, προϊούσης τῆς ἐκκλησίας καὶ λόγων γιγνομένων, τῆς τῶν ἱππέων βοηθείας ἤδη δεῖν, ἀλλ' ἀνεπεπτώκει τὰ τῆς ἐξόδου, οὐκ ἀνέϐαινεν ἐπὶ τὴν ναῦν ἣν ἐπέ-

NC. 1. επεδωκα S. — 5. παραχρουσητε, avec un θ dans l'interligne, S. — 6. ανωθεν δε βραχὺς ἐσθ' ὁ λογος ‖ λέξω texte de S (seul); à la marge intérieure, γαρ est inséré après βραχὺς par un renvoi de première main; à la marge extérieure, le réviseur a ajouté ὃν après λογος. Vulgate : ἄνωθεν δέ· βραχὺς γάρ ἐσθ' ὁ λόγος ὃν λέξω, κἂν ἄνωθεν ἄρχεσθαι δοκῇ. Tout cela est omis dans A et par Dindorf. Mais l'omission s'explique par le retour des lettres ξω ; et la vulgate, amplifiée au moyen du § 77, suppose la leçon de S. — 11. τρίται τοινυν S. — 14. ἐξήγγελτο Cobet. — 17. τῷ δῆλον. S : τῶι δημωι, les trois dernières lettres, d'une main ancienne, sur un grattage. τῷ δὴ δῆλον Herwerden.

2-3. Οὐδενὸς πράγματος équivaut à ἀντὶ οὐδενὸς πράγματος. Génitif du prix.

6-9. Ἐγένοντο... πρῶται. Campagne de 357 avant J.-C. Il ne faut pas confondre la triérarchie dont Démosthène se chargea alors volontairement avec celle qui lui fut imposée quatre ans plus tôt, quand il plaidait contre son tuteur (§ 80). Voy. p. 95, note 3. — Ἕτεραι.... εἰς Ὄλυνθον. Probablement, pendant la dernière campagne d'Eubée, celle dont il est si souvent question dans ce discours. Cf. § 197; *Néère*, § 4.

14-16. Ἐξιέναι est gouverné par προεϐούλευσεν. — Εἰς τὴν ἐπιοῦσαν ἐκκλησίαν. L'assemblée dans laquelle l'avis du sénat allait être soumis au peuple.

22. Ἀνεπεπτώκει τὰ τῆς ἐξόδου, on avait laissé tomber l'idée de cette expédition.

δωκεν, ἀλλὰ τὸν μέτοικον ἐξέπεμψε τὸν Αἰγύπτιον, Πάμφιλον,
αὐτὸς δὲ μένων ἐνθάδε τοῖς Διονυσίοις διεπράττετο ταῦτ' ἐφ'
οἷς νυνὶ κρίνεται· [164] ἐπειδὴ δ' ὁ στρατηγὸς Φωκίων μετε-
πέμπετο τοὺς ἐξ Ἀργούρας ἱππέας ἐπὶ τὴν διαδοχὴν καὶ κατεί-
ληπτο σοφιζόμενος, τόθ' ὁ δειλὸς καὶ κατάρατος οὑτοσὶ λιπὼν
τὴν τάξιν ταύτην ἐπὶ τὴν ναῦν ᾤχετο, καὶ ὧν ἱππαρχεῖν
ἠξίωσε παρ' ὑμῖν ἱππέων, τούτοις οὐ συνεξῆλθεν. Εἰ δ' ἐν τῇ
θαλάττῃ κίνδυνός τις ἦν, εἰς τὴν γῆν δῆλον ὅτι ᾤχετ' ἄν.
[165] Οὐ μὴν Νικήρατός γ' οὕτως ὁ τοῦ Νικίου, ὁ ἀγαπητός,
ὁ ἄπαις, ὁ παντάπασιν ἀσθενὴς τῷ σώματι· οὐδ' Εὐκτήμων
ὁ τοῦ Αἰσίωνος, οὐχ οὕτως· οὐδ' Εὐθύδημος ὁ τοῦ Στρατο-
κλέους· ἀλλ' αὐτῶν ἕκαστος ἑκὼν ἐπιδοὺς τριήρη οὐκ ἀπέδρα
ταύτῃ τὴν στρατείαν, ἀλλὰ τὴν μὲν [ἐπίδοσιν] ἐν χάριτος
μέρει καὶ δωρειᾶς παρεῖχον πλέουσαν τῇ πόλει, οὗ δ' ὁ νόμος 568
προσέταττεν, ἐνταῦθα τοῖς σώμασιν αὐτοὶ λῃτουργεῖν ἠξίουν.
[166] Ἀλλ' οὐχ ὁ ἵππαρχος Μειδίας, ἀλλὰ τὴν ἐκ τῶν νόμων
τάξιν λιπών, οὗ δίκην ὀφείλει τῇ πόλει δοῦναι, τοῦτ' ἐν εὐεργε-
σίας ἀριθμήσει μέρει. Καίτοι τὴν τοιαύτην τριηραρχίαν, ὦ πρὸς
θεῶν. πότερον τελωνίαν καὶ πεντηκοστὴν καὶ λιποτάξιον καὶ

NC. 2. ενταυθαδε, les lettres ταυ pointées de première main, S. — ἐν τοῖς avant Bekker. — 4. αργυρας, corrigé par la première main, S. — 5. οὗτος F. — 9. οὐχ οὕτως A, F. — 10. ὁ παῖς A, F. ὁ τοῦ Νικίου ἀγαπητὸς παῖς Dindorf. — 13. ταύτῃ Bekker. ταύτην manuscrit. — ἐπίδοσιν : glose reconnue par Bekker. — 14. ουδε, deux lettres grattées, νόμος S. — 18-19. πρὸς τῶν θεῶν A, F. — λιποταξιον Cobet, *N. L.*, p. 79. λιποταξίαν vulg.

4-5. Τοὺς ἐξ Ἀργούρας ἱππέας : les cavaliers qui, après avoir stationné à Argoura dans l'Eubée, étaient rentrés dans leurs foyers. [Reiske.] — Κατείληπτο σοφιζόμενος, il se trouva pris dans ses propres finesses. N'étant pas monté à bord de son vaisseau, il se trouva compris parmi les cavaliers qui devaient partir de nouveau pour le théâtre de la guerre.

7. Παρ' ὑμῖν, à Athènes, aux parades.

9-10. Νικήρατος. C'est un descendant du fameux Nicias, lequel vivait du temps de Démosthène. Cf. l'*Excursus* VIII de Buttmann. — Ὁ ἀγαπητὸς, « l'enfant chéri », c'est-à-dire le fils unique. Scholiaste : Ὁ μόνος < ὢν > τῷ πατρί. Cf. Homère, *Od.*, II, 365 : Μοῦνος ἐὼν ἀγαπητός. [Spalding.] — Ὁ ἄπαις. N'ayant pas encore d'enfants, il lui importait d'autant plus de ménager sa vie, afin de perpétuer sa race. Cf. Euripide, *Iph. Aul.*, 805 sq.

14. Οὗ δ(έ) : au poste qu'il devait remplir parmi les cavaliers.

19. Τελωνίαν καὶ πεντηκοστήν. Les fermiers des impôts, et particulièrement ceux qui avaient affermé le droit du cinquantième qui se prélevait sur les grains importés, étaient exempts du service militaire. Cf. *Néère*, § 27. En faisant don d'une galère, Midias a dépensé de l'argent à la façon des fermiers publics, lesquels versent des sommes au fisc pour retirer de grands profits et jouir de l'immunité militaire. A la fin du paragraphe, πεντηκοστήν est évi-

στρατείας ἀπόδρασιν καὶ πάντα τὰ τοιαῦθ' ἁρμόττει καλεῖν, ἢ φιλοτιμίαν; Οὐδένα γὰρ τρόπον ἄλλον ἐν τοῖς ἱππεῦσιν αὑτὸν ἀτελῆ ποιῆσαι στρατείας δυνάμενος, ταύτην εὕρηκε Μειδίας καινὴν ἱππικῆς τινὰ πεντηκοστήν. [167] Καὶ γὰρ αὖ τοῦτο. Τῶν ἄλλων ἁπάντων τῶν ἐπιδόντων τριηράρχων παραπεμπόντων ὑμᾶς, ὅτε δεῦρ' ἀπεπλεῖτ' ἐκ Στύρων, μόνος οὗτος οὐ παρέπεμπεν, ἀλλ' ἀμελήσας ὑμῶν χάρακας καὶ βοσκήματα καὶ θυρώμαθ' ὡς αὑτὸν καὶ ξύλ' εἰς τὰ ἔργα τὰ ἀργύρει' ἐκόμιζεν, καὶ χρηματισμός, οὐ λητουργία γέγονεν ἡ τριηραρχία τῷ καταπτύστῳ τούτῳ. Ἀλλὰ μὴν ὡς ἀληθῆ λέγω σύνιστε μὲν τὰ πολλὰ τούτων, ὅμως δὲ καὶ μάρτυρας ὑμῖν καλῶ.

ΜΑΡΤΥΡΕΣ.

[168] « Κλέων Σουνιεύς, Ἀριστοκλῆς Παιανιεύς, Πάμφιλος, Νικήρατος Ἀχερδούσιος, Εὐκτήμων Σφήττιος, καθ' ὃν καιρὸν ἐκ Στύρων ἀπεπλέομεν δεῦρο τῷ στόλῳ παντί, ἐτύχομεν τριηραρχοῦντες καὶ αὐτοὶ καὶ Μειδίας ὁ νῦν κρινόμενος ὑπὸ Δημο-
569 σθένους, ᾧ μαρτυροῦμεν. Παντὸς δὲ τοῦ στόλου πλεόντων ἐν τάξει, καὶ τῶν τριηράρχων ἐχόντων παράγγελμα μὴ χωρίζεσθαι ἕως ἂν δεῦρο καταπλεύσωμεν, Μειδίας δ' ὑπολειφθεὶς τοῦ

NC. 4. κενην ἱππικην S seul. — αὖ τότε F. — 6. ἐκ σκυθῶν S, par corrections successives. Au § 168, le correcteur s'est contenté de noter cette mauvaise leçon en marge. — 8-9. εργα αργυρια εκόμιζεν S. — 14. Νικήρατος doit probablement être écarté. [Bœckh.] — 16-17. καί, avant Μειδίας, est omis dans S. Ce mot, égaré dans la ligne suivante, y a produit la leçon δεκατου, changée par une main assez ancienne en δε κὰι του. — 19. δ' ὑπολιφθεις S. ὑπολειφθείς vulg.

demment une espèce de métaphore pour ἀτέλειαν. Mais je propose καινὴν ἐπιδοτικήν τινα πεντηκοστήν, une nouvelle manière de servir ses intérêts par des largesses.

6-8. Ἐκ Στύρων. Ville de l'Eubée, en face du cap Cynosure. — Ξύλα : pour servir de supports dans les mines, peut-être aussi de combustible.

13-14. Πάμφιλος.... Ἀχερδούσιος. Il y a ici deux erreurs que Westermann fait valoir contre l'authenticité de cette pièce. Le métèque Pamphile (§ 163) n'était pas triérarque; Nicérate et la famille de Nicias appartenaient au bourg Κυδαντίδαι. Cependant, comme Πάμφιλος ὁ Ἀχερδούσιος est mentionné par Eschine (*Timarque*, § 110), on peut croire que le nom Νικήρατος est de trop, ou qu'il ne se trouve pas à sa place.

17-19. Τοῦ στόλου πλεόντων. Le pluriel se trouve souvent après un nom collectif au singulier, mais les mots qui ne s'accordent pas ne sont guère mis côte à côte. [Ph. Buttmann.] — Μειδίας δ(έ). La conjonction est introduite par anacoluthe, comme s'il y avait plus haut : Πᾶς μὲν ὁ στόλος ἔπλει. Cf. Krüger, *Gr. Spr.*, § 60, 10, 4.

στόλου, καὶ γεμίσας τὴν ναῦν ξύλων καὶ χαράκων καὶ βοσκημάτων καὶ ἄλλων τινῶν, κατέπλευσεν εἰς Πειραιᾶ μόνος μεθ' ἡμέρας δύο, καὶ οὐ συγκατέστησε τὸν στόλον μετὰ τῶν ἄλλων τριηράρχων. »

[169] Εἰ τοίνυν ὡς ἀληθῶς, ἄνδρες Ἀθηναῖοι, οἷάπερ φήσει καὶ καταλαζονεύσεται πρὸς ὑμᾶς αὐτίκα δὴ μάλα, τοιαῦτ' ἦν αὐτῷ τὰ λελητουργημένα καὶ πεπραγμένα, καὶ μὴ τοιαῦθ' οἷ' ἐγὼ δεικνύω, οὐδ' οὕτω δήπου τό γε δοῦναι δίκην ὧν ὕβρικεν ἐκφυγεῖν ταῖς λητουργίαις δίκαιος ἂν ἦν. Ἐγὼ γὰρ οἶδ' ὅτι πολλοὶ πολλὰ κἀγαθὰ ὑμᾶς εἰσιν εἰργασμένοι, οὐ κατὰ τὰς Μειδίου λητουργίας, οἱ μὲν ναυμαχίας νενικηκότες, οἱ δὲ πόλεις εἰληφότες, οἱ δὲ πολλὰ καὶ καλὰ ὑπὲρ τῆς πόλεως στήσαντες τρόπαια· [170] ἀλλ' ὅμως οὐδενὶ πώποτε τούτων δεδώκατε τὴν δωρειὰν ταύτην οὐδ' ἂν δοίητε, ἐξεῖναι τοὺς ἰδίους ἐχθροὺς ὑβρίζειν αὐτῶν ἑκάστῳ, ὁπότ' ἂν βούληται καὶ ὃν ἂν δύνηται τρόπον. Οὐδὲ γὰρ Ἁρμοδίῳ καὶ Ἀριστογείτονι· τούτοις γὰρ δὴ μέγισται δέδονται δωρειαὶ παρ' ὑμῶν καὶ ὑπὲρ μεγίστων. Οὐδ' ἂν ἠνέσχεσθε, εἰ προσέγραψέ τις ἐν τῇ στήλῃ « ἐξεῖναι δὲ καὶ ὑβρίζειν αὐτοῖς ὃν ἂν βούλωνται »· ὑπὲρ γὰρ αὐτοῦ τούτου τὰς ἄλλας ἔλαβον δωρειάς, ὅτι τοὺς ὑβρίζοντας ἔπαυσαν.

[171] Ὅτι τοίνυν καὶ κεκόμισται χάριν, ὦ ἄνδρες Ἀθηναῖοι, παρ' ὑμῶν, οὐ μόνον ὧν αὐτὸς λελητούργηκε λητουργιῶν ἀξίαν (μικρά γ' ἂν αὕτη γέ τις ἦν), ἀλλὰ καὶ τῶν μεγίστων, 570
καὶ τοῦτο βούλομαι δεῖξαι, ἵνα μηδ' ὀφείλειν οἴησθέ τι τῷ καταπτύστῳ τούτῳ. Ὑμεῖς γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, ἐχειροτονή-

NC. 2-3. κατεπλευσαι et συνκατεστησε S[1]. — 5. ἄνδρες S. ὦ ἄνδρες vulg. — οἷάπερ Reiske. ἅπερ manuscrits, en omettant les deux lettres οι, par lesquelles se termine le mot précédent. — φησὶ A. — 6. καταλαζονευεται S, A. — 7. αὐτῷ καὶ F. — 8-9. ἐμὲ ὕβρικεν ἐκφεύγειν vulg. — 13. τούτων πώποτε F. — δεδώκατε S. ἐδώκατε vulg. — 15. οπουεαν S. ὅπου ἂν schol. — 16-17. Variante notée par le réviseur en marge de S : οὐδε γὰρ αρμοδίω και αριστογείτονι · τούτοις γαρ δεδονται μεγισται δωρεαὶ παρ ὑμῶν · και υπερ μεγιστων · ου δεδοται τοῦτο · οὐδὰν. C'est une glose explicative. — 21. καὶ, avant κε-, manque dans S seul. — 23. J'écris γ' ἂν pour γάρ. Cobet : γὰρ ἂν.

16. Τούτοις γάρ. En disant οὐδέ (« non pas même ») Démosthène a placé Harmodius et Aristogiton en tête de tous les citoyens honorés par la république. La conjonction justificative γάρ est donc à sa place.

σατε τοῦτον τῆς παράλου ταμίαν, ὄντα τοιοῦτον οἷός ἐστιν, καὶ πάλιν ἵππαρχον, ὀχεῖσθαι διὰ τῆς ἀγορᾶς ταῖς πομπαῖς οὐ δυνάμενον, καὶ μυστηρίων ἐπιμελητὴν καὶ ἱεροποιόν ποτε καὶ βοώνην, καὶ τὰ τοιαῦτα δή. [172] Εἶτα πρὸς τῶν θεῶν τὸ τὴν τῆς φύσεως κακίαν καὶ ἀνανδρίαν καὶ πονηρίαν ταῖς παρ' ὑμῶν ἀρχαῖς καὶ τιμαῖς καὶ χειροτονίαις ἐπανορθοῦσθαι μικρὰν ὑπολαμβάνετ' εἶναι δωρειὰν καὶ χάριν; Καὶ μὴν εἴ τις αὐτοῦ ταῦτ' ἀφέλοιτο « ἱππάρχηκα, τῆς παράλου ταμίας γέγονα, » τίνος ἐστ' ἄλλου ἄξιος οὗτος; [173] Ἀλλὰ μὴν κἀκεινό γ' ἐπίστασθε, ὅτι τῆς μὲν παράλου ταμιεύσας Κυζικηνῶν ἥρπασε πλεῖν ἢ πέντε τάλαντα, ὑπὲρ ὧν ἵνα μὴ δῷ δίκην, πάντα τρόπον περιωθῶν καὶ ἐλαύνων τοὺς ἀνθρώπους καὶ τὰ σύμβολα συγχέων, τὴν μὲν πόλιν ἐχθρὰν τῇ πόλει πεποίηκεν, τὰ χρήματα δ' αὐτὸς ἔχει· ἵππαρχος δὲ χειροτονηθεὶς λελύμανται τὸ ἱππικὸν ὑμῶν, τοιούτους θεὶς νόμους οὓς πάλιν αὐτὸς ἔξαρνος ἦν μὴ τεθεικέναι. [174] Καὶ τῆς μὲν παράλου ταμιεύων τότε, ὅτε τὴν

NC. 1. εστιν S. — 2. οὐ. Nous avions mis ce mot entre crochets, sans nécessité. Démosthène refuse à son ennemi un talent, auquel il n'attachait pas, il est vrai, un grand prix, mais que le peuple d'Athènes ne laissait pas d'apprécier. — 9. ἐστ' ἄλλου ἄξιος F. ἄλλου ἔστ' ἄξιος S. ἄλλου ἀξιός ἐστιν A. — 10. πλεῖν Cobet. πλειον S et vulg. — 13. πεποιηκεν S.

1. Τῆς παράλου. Cf. *Phil.* I, § 34, avec la note.

2-4. Οὐ δυνάμενον ne veut pas dire « ne pouvant pas », et G. H. Schæfer dit à tort : « quia equo carebat (§ 174) ». Démosthène prétend que Midias ne *sait* même pas figurer convenablement dans les parades en tête des cavaliers. Cf. Xénophon, *Hipparch.*, I, 5 : Τοὺς ἱππέας ἀσκητέον... ὅπως ἀναπηδᾶν δύνωνται. — Ἱεροποιόν, Cf. *Phil.*, I, § 26. — Βοώνην. Le peuple chargeait des personnages considérables du soin d'acheter les bêtes pour les sacrifices et les repas publics. Cf. Harpocration et Suidas ; Bœckh, *Staatshaush*, I, p. 303.

4-5. Τὴν τῆς φύσεως κακίαν. Buttmann renvoie avec raison aux paragraphes 149 sq., et aux mots τὸ τῆς φύσεως βάρβαρον ἀληθῶς καὶ θεοῖς ἐχθρόν.

10-13. Ταμιεύσας, ayant été nommé trésorier. Cf. βασιλεύσας, étant arrivé à la royauté. [G. H. Schæfer.] Voy. Krüger, *Gr. Spr.*, § 53, 5, 1. — Κυζικηνῶν. Scholiaste : Ἐν τῷ συμμαχικῷ πολέμῳ ἐψηφίσαντο Ἀθηναῖοι ληΐζεσθαι τοὺς θάλατταν πλέοντας, κἂν ἔμποροι ὦσι, τῶν πολεμίων. Παρατυχὼν οὖν ἐμπόροις Κυζικηνοῖς, ἀφείλετο αὐτῶν, ὡς πολεμίων, τὰ χρήματα. Οἱ δὲ ἐλθόντες εἰς Ἀθήνας ἀπεδείξαντο φιλίαν αὐτοῖς ὑπάρχουσαν πρὸς τὴν πόλιν. Ὁ δὲ Μειδίας μέχρι τοσούτου ἀντεῖπεν, ἕως ἔπεισε μὴ ἀποδοῦναι τὰ χρήματα. Οἱ δὲ ἀπελθόντες ἀπέστησαν τὴν ἑαυτῶν πατρίδα.

12. Τὰ σύμβολα, les traités de commerce et de juridiction commerciale.

13. Τὴν μὲν πόλιν étant opposé à τὰ χρήματα δ(έ), doit être rapporté à Cyzique. Les mots τῇ πόλει désignent donc Athènes. [G. H. Schæfer.]

15. Θεὶς νόμους. Quels étaient ces rè-

ἐπὶ Θηβαίους ἔξοδον εἰς Εὔβοιαν ἐποιεῖσθ' ὑμεῖς, δώδεκα τῆς πόλεως τάλαντ' ἀναλίσκειν ταχθείς, ἀξιούντων ὑμῶν πλεῖν καὶ παραπέμπειν τοὺς στρατιώτας οὐκ ἐβοήθησεν, ἀλλ' ἤδη τῶν σπονδῶν γεγονυιῶν, ἃς Διοκλῆς ἐσπείσατο Θηβαίοις, ἧκεν. Καὶ τόθ' ἡττᾶτο πλέων τῶν ἰδιωτικῶν τριήρων μιᾶς· οὕτως εὖ τὴν ἱερὰν τριήρη παρεσκευάκει. Ἱππαρχῶν τοίνυν, τί οἴεσθε τἄλλα; 571
ἀλλ' ἵππον, ἵππον οὐκ ἐτόλμησεν ὁ λαμπρὸς καὶ πλούσιος οὗτος πρίασθαι, ἀλλ' ἐπ' ἀλλοτρίου τὰς πομπὰς ἡγεῖτο, τοῦ Φιλομήλου τοῦ Παιανιέως ἵππου. Καὶ ταῦτα πάντες ἴσασιν οἱ ἱππεῖς. Ἀλλὰ μὴν ὅτι ταῦτ' ἀληθῆ λέγω, κάλει μοι καὶ τούτων τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

[175] Βούλομαι τοίνυν ὑμῖν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ὅσων ἤδη, καταχειροτονήσαντος τοῦ δήμου περὶ τὴν ἑορτὴν ἀδικεῖν, ὑμεῖς κατεγνώκατε, εἰπεῖν, καὶ δεῖξαι τί πεποιηκότες αὐτῶν ἔνιοι τίνος ὀργῆς τετυχήκασι παρ' ὑμῶν, ἵνα ταῦτα πρὸς τὰ τούτῳ πεπραγμέν' ἀντιθῆτε. Πρῶτον μὲν τοίνυν, ἵνα πρώτης τῆς τελευταίας γεγονυίας μνησθῶ καταγνώσεως, περὶ τὰ μυστήρι' ἀδικεῖν Εὐάνδρου κατεχειροτόνησεν ὁ δῆμος τοῦ Θεσπιέως,

NC. 4. ηκε S. — 7. ἀλλ' ἵππον οὐκ avant Reiske. — 8. ηγειτο S; en marge : γρ. ἐποιειτο (réviseur). — 9-11. καὶ ταυτα ἐξιόντων πάντες.... ἱππεῖς. καὶ ὅτι.... τούτων μάρτυρας S. On comprendrait : κἄπειτα ἐξιόντων ἐποίει ἃ πάντες ἴσασιν οἱ ἱππεῖς. Dans le doute, nous nous en sommes tenu à la vulgate. Variantes : ταῦτα ἴσασιν, ταῦτα πάντα ἴσασιν, et οἱ συνιππεῖς. — 16. ἵν' αὐτὰ A, F. — 18. γεγονυιης S.

glements? Le scholiaste essaye vainement de le deviner.

1-4. Εἰς Εὔβοιαν. C'est l'expédition de 357. Cf. § 161, *Cherson.*, § 74, et *passim*. — Διοκλῆς. Il était alors stratége. Cf. *C. I. A.*, II, 64.

5. Ἡττᾶτο πλέων, il fut gagné de vitesse.

6-7. Ἱππαρχῶν τοίνυν, τί οἴεσθε τἄλλα; ἀλλ(ά)..., puis, comme hipparque, vous pouvez vous figurer le reste de sa conduite, quand j'aurai rappelé ce seul trait.... [Ph. Buttmann.]

8. Τὰς πομπὰς ἡγεῖτο. Le régime est à l'accusatif d'après l'analogie de τὴν ὁδὸν ἡγεῖσθαι. [A. Buttmann.]

15. Ὑμεῖς. Les juges sont ici opposés à l'assemblée du peuple qui s'était déjà prononcé contre les prévenus lors de la προβολή. Cf. §§ 2, 9, 11.

19-1. Εὐάνδρου.... τοῦ Θεσπιέως. Né en Béotie, il était, sans doute, domicilié, comme métèque, à Athènes. [Ph. Buttmann.] Son accusateur, Ménippe, était un marchand Carien, qui se trouvait passagèrement à Athènes. Aussi verra-t-on qu'il obtient des indemnités pour le dommage que lui a causé un séjour prolongé dans cette ville.

προβαλομένου αὐτὸν Μενίππου, Καρός τινος ἀνθρώπου. Ἔστι δ' ὁ αὐτὸς νόμος τῷδε τῷ περὶ τῶν Διονυσίων ὁ περὶ τῶν μυστηρίων, κἀκεῖνος ὕστερος τοῦδ' ἐτέθη. [176] Τί οὖν ποιήσαντος, ὦ ἄνδρες Ἀθηναῖοι, κατεχειροτονήσατε τοῦ Εὐάνδρου; τοῦτ' ἀκούσατε· ὅτι δίκην ἐμπορικὴν καταδικασάμενος τοῦ Μενίππου, οὐκ ἔχων πρότερον λαβεῖν αὐτὸν, ὡς ἔφη, τοῖς μυστηρίοις ἐπιδημοῦντος ἐπελάβετο. Κατεχειροτονήσατε μὲν διὰ ταῦτα, καὶ οὐδ' ὁτιοῦν ἄλλο προσῆν, εἰσελθόντα δ' εἰς τὸ δικαστήριον ἐβούλεσθε μὲν θανάτῳ κολάσαι, τοῦ δὲ προβαλομένου πεισθέντος τήν δίκην τε πᾶσαν ἀφεῖναι ἠναγκάσατ' αὐτὸν, ἣν ᾑρήκει πρότερον (ἦν δὲ δυοῖν αὕτη ταλάντοιν), καὶ προσετιμή-
572 σατε τὰς βλάβας, ἃς ἐπὶ τῇ καταχειροτονίᾳ μένων ἐλογίζεθ' αὐτῷ γεγενῆσθαι πρὸς ὑμᾶς ἄνθρωπος. [177] Εἷς μὲν οὗτος ἐξ ἰδίου πράγματος, οὐδεμιᾶς ὕβρεως προσούσης, ὑπὲρ αὐτοῦ τοῦ παραβῆναι τὸν νόμον τοσαύτην ἔδωκε δίκην. Εἰκότως· τοῦτο γάρ ἐσθ' ὃ φυλάττειν ὑμᾶς δεῖ, τοὺς νόμους, τὸν ὅρκον. Ταῦτ' ἔχεθ' ὑμεῖς οἱ δικάζοντες ἀεὶ παρὰ τῶν ἄλλων ὡσπερεὶ παρακαταθήκην, ἣν ἅπασιν, ὅσοι μετὰ τοῦ δικαίου πρὸς ὑμᾶς ἔρχονται, σῶν ὑπάρχειν δεῖ. [178] Ἕτερος ἀδικεῖν ποτ' ἔδοξεν ὑμῖν περὶ τὰ Διονύσια, καὶ κατεχειροτονήσατ' αὐτοῦ παρεδρεύοντος ἄρχοντι τῷ υἱεῖ, ὅτι θέαν τινὸς καταλαμβάνοντος ἥψατο, ἐξείργων ἐκ τοῦ θεάτρου· ἦν δ' οὗτος ὁ τοῦ βελτίστου πατὴρ Χαρικλείδου, τοῦ ἄρξαντος. [179] Καὶ μέγα γ' ὑμῖν

NC. 1. προβαλλομένου vulg. De même ligne 9. — 3. τούτου ἐτέθη avant Bekker. — 9. Mauvaise variante : ἐβουλεύσασθε. — θανάτῳ ζημιῶσαι F. — 10. τε est pointé, ensuite biffé, dans S, omis dans F. — 12. καταχειροτονιαι, les deux premières syllabes en marge de première main, S. — 13. ἄνθρωπος Bekker. ἄνθρωπος vulg. — 17 οἱ ἀεὶ δικάζοντες Cobet. — 19. σῶν A. σώαν S, après correction de la main du réviseur, et vulg.

10-12. Πεισθέντος : sous-ent. μὴ θανάτου τιμήσασθαι. — Ἐπὶ τῇ καταχειροτονίᾳ, pour suivre le procès intenté à la suite de la censure prononcée par l'assemblée populaire.

14-15. Τοῦ παραβῆναι τὸν νόμον. Voyez la loi citée et appréciée aux §§ 10-12.

17. Ἀεί équivaut à ἑκάστοτε, chaque fois que vous rendez la justice.

20-23. Παρεδρεύοντος. L'archonte proprement dit, ainsi que l'archonte-roi et le polémarque, se faisait assister par deux assesseurs de son choix. Cf. Pollux, VIII, 92. — Θέαν.... καταλαμβάνοντος, prenant possession d'une place au spectacle. C'est la locution usuelle. — Χαρικλείδου. Archonte en Ol. CIV, 2, ou 363-362 avant notre ère.

τοῦτ' ἐδόκει δίκαιον ἔχειν ὁ προβαλλόμενος λέγειν, « εἰ κατ-« ελάμβανον, ἄνθρωπε, θέαν, εἰ μὴ τοῖς κηρύγμασιν, ὡς σύ « με φῄς, ἐπειθόμην, τίνος ἐκ τῶν νόμων εἶ κύριος, καὶ ὁ « ἄρχων αὐτός; τοῖς ὑπηρέταις ἐξείργειν εἰπεῖν, οὐκ αὐτὸς τύ-« πτειν. Οὐδ' οὕτω πείθομαι· ἐπιβολὴν ἐπιβάλλειν, πάντα μᾶλ-« λον πλὴν αὐτὸς ἅψασθαι τῇ χειρί· πολλὰ γὰρ πρὸ τοῦ μὴ τὸ « σῶμ' ἕκαστον ὑβρίζεσθαι πεποιήκασιν οἱ νόμοι. » Ταῦτ' ἔλεγεν μὲν ἐκεῖνος, ἐχειροτονήσατε δ' ὑμεῖς· οὐ μὴν εἰσῆλθεν εἰς τὸ δικαστήριον οὗτος, ἀλλ' ἐτελεύτησεν πρότερον. [180] Ἑτέρου τοίνυν ὅ τε δῆμος ἅπας κατεχειροτόνησεν ἀδικεῖν περὶ τὴν ἑορτήν, καὶ ὑμεῖς εἰσελθόντ' ἀπεκτείνατε τοῦτον, Κτησικλέα, ὅτι σκῦτος ἔχων ἐπόμπευε, καὶ τούτῳ μεθύων ἐπάταξέ τιν' ἐχθρὸν ὑπάρχονθ' ἑαυτῷ· ἐδόκει γὰρ ὕβρει καὶ οὐκ οἴνῳ τύπτειν, ἀλλὰ 573
τὴν ἐπὶ τῆς πομπῆς καὶ τοῦ μεθύειν πρόφασιν λαβὼν ἀδικεῖν, ὡς δούλοις χρώμενος τοῖς ἐλευθέροις. [181] Ἁπάντων τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, τούτων ὧν ὁ μὲν ὧν εἷλεν ἀποστάς, ὁ δὲ

NC. 1. δίκαιον A. καὶ δίκαιον Σ, vulg. — Peut-être ἔχων. Il ne l'avait pas seulement à dire, mais il le dit en effet. — προβαλόμενος vulg. — 2. ανθρωπεθεαν, le second θ ajouté de quatrième main, S. — καὶ εἰ μὴ Lambin. — 6. πρὸ τοῦ S, A. πρὸς τὸ vulg. — 8. ἐχειροτονήσατε S seul. κατεχειροτονήσατε vulg. — 9. ετελευτησεν S. — 11. τοῦτον, Κτησικλεα, ὅτι S seul. Κτησικλέα λέγω. διὰ τί δὴ ἀπεκτείνατε τοῦτον (ou τοῦτον ἀπεκτείνατε, ou sans ces deux mots); ὅτι vulgate, notée par le réviseur en marge de S. — 12. επόμπευεν et ἐπάταξεν S. — 16. Le second ὧν manque dans S, F, vulg.

1. Λέγειν dépend de ἔχειν. Voyez *NC*.

1-7. Εἰ κατελάμβανον..., εἰ μὴ.... ἐπειθόμην équivaut à εἰ καταλαμβάνων ....μὴ ἐπειθόμην. Le second εἰ ajoute une détermination plus précise. Les Latins s'expriment comme les Grecs. Cf. Cicéron, *Pro Rosc. Am.*, 1 : « Si quis istorum dixis« set..., si verbum de republica fecisset. » — Τίνος est au neutre. — Οὐδ' οὕτω πείθομαι. Hypothèse présentée avec vivacité. — Ἐπιβολὴν ἐπιβάλλειν (sous-ent. κύριος εἶ), de frapper d'une amende. Cette locution ne s'applique qu'aux amendes légères que les magistrats pouvaient infliger de leur propre autorité, sans l'intervention d'un tribunal. — Πρὸ τοῦ μὴ.... ὑβρίζεσθαι, avant qu'elles *ne* permettent d'outrager. Ce *ne*, comme le grec μή, indique que les lois ne permettent jamais cela.

8. Ἐχειροτονήσατε δ' ὑμεῖς, vous l'avez confirmé par votre vote.

11-12. Σκῦτος ἔχων ἐπόμπευε. Cette lanière de cuir faisait partie de son costume bachique, du rôle qu'il avait choisi en se mêlant à la procession avinée des Dionysiaques. C'est une circonstance atténuante.

15-2. Ἁπάντων.... τούτων. Comme ces génitifs paraissent désigner des personnes, on s'attend à lire, plus bas, πολλὰ δεινότερα.... Μειδίαν πεπραγέναι, ou bien, suivant l'observation de Buttmann, πολλῷ δεινότερα.... ἂν φήσειαν Μειδίᾳ πεπραγμένα (sans article). L'irrégularité de la construction n'est pas inadmissible. Cependant ne pourrait-on pas prendre ἁπάντων pour un neutre, en donnant au premier ὧν le sens de ἀντὶ ὧν? — Ὧν εἷλεν ἀποστάς, forcé de renoncer aux deux talents auxquels il avait fait condamner la partie adverse. Cf. § 176. [G. H. Schæfer.] — Ὁ δέ. Celui qui était mort avant l'audience est ici passé sous silence; mais,

καὶ θανάτῳ ζημιωθεὶς φαίνεται, πολλῷ δεινότερ' εὖ οἶδ' ὅτι πάντες ἂν εἶναι φήσειαν τὰ Μειδίᾳ πεπραγμένα· οὔτε γὰρ πομπεύων οὔτε δίκην ᾑρηκὼς οὔτε παρεδρεύων οὔτ' ἄλλην σκῆψιν οὐδεμίαν ἔχων, πλὴν ὕβριν, τοιαῦτα πεποίηκεν οἷ' οὐδεὶς ἐκείνων. [182] Καὶ τούτους μὲν ἐάσω· ἀλλὰ Πύρρον, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν Ἐτεοβουτάδην, ἐνδειχθέντα δικάζειν ὀφείλοντα τῷ δημοσίῳ, θανάτῳ ζημιῶσαί τινες ὑμῶν ᾤοντο χρῆναι, καὶ τέθνηκεν ἁλοὺς παρ' ὑμῖν· καίτοι τοῦτο τὸ λῆμμα δι' ἔνδειαν, οὐ δι' ὕβριν, λαμβάνειν ἐπεχείρησεν ἐκεῖνος. Καὶ πολλοὺς ἂν ἑτέρους ἔχοιμι λέγειν, ὧν οἱ μὲν τεθνᾶσιν, οἱ δ' ᾐτιμωμένοι διὰ πολλῷ τούτων εἰσὶν ἐλάττω πράγματα. Ὑμεῖς [δ'], ὦ ἄνδρες Ἀθηναῖοι, Σμίκρῳ δέκα ταλάντων ἐτιμήσατε καὶ Σκίτωνι τοσούτων ἑτέρων, δόξαντι παράνομα γράφειν, καὶ οὔτε παιδί' οὔτε φίλους οὔτε συγγενεῖς οὔθ' ὅντινοῦν ἠλεήσατε τῶν παρόντων ἐκείνοις. [183] Μὴ τοίνυν, ἐὰν μὲν εἴπῃ τις παράνομα, οὕτως ὀργιζόμενοι φαίνεσθε, ἐὰν δὲ ποιῇ, μὴ λέγῃ, πράως διάκεισθε. Οὐδὲν γὰρ ῥῆμ' οὐδ' ὄνομ' οὕτως ἐστὶ τοῖς πολλοῖς

NC. 1. εὖ est omis dans F. — 4. ἔχων οὐδεμίαν A, F. — 5. μὲν δὴ ἐῶμεν F. — 8. αλουσα, l'α final pointé, puis biffé, S. — 11. τούτων n'est pas omis dans S, mais dans s (n° 2940 de la Bibl. nat.). — Nous avons mis entre crochets la particule δ', qui fausse le sens de ce passage. A : ἀλλ' ὑμεῖς. Marge de S (réviseur) : γρ. ἔτι τοίνυν ὑμεῖς. — 12. Σμίκρῳ. Variante : Σμίκρωνι, notée dans S par une main ancienne. — 16. Mauvaise variante : ἂν δ' ἃ ποιεῖ.

plus bas, les mots οὔτε παρεδρεύων font allusion à lui.

6-7. Ἐτεοβουτάδην. Les Étéoboutades (c'est-à-dire les vrais descendants de Βούτης, fils d'Érechthée), ainsi appelés pour les distinguer des gens du bourg Βουτάδαι, étaient une vieille famille dans laquelle se prenait toujours la prêtresse d'Athéna Polias. L'orateur Lycurgue appartenait à la fois à ce bourg et à cette famille. [Ph. Buttmann.] — Δικάζειν.... τῷ δημοσίῳ. Les débiteurs insolvables du fisc étaient dégradés, ἄτιμοι, et ne pouvaient exercer ni les fonctions de jurés, ni les autres droits civiques. — Τινὲς ὑμῶν. Ces mots désignent peut-être les accusateurs.

8. Τὸ λῆμμα: le salaire des juges.

11. Ὑμεῖς..., sans conjonction. L'orateur cite des exemples à l'appui de ce qu'il vient de dire. Il est vrai que Smicros et Sciton ne furent pas directement dégradés, mais des amendes trop fortes pour être acquittées entraînaient l'atimie. Que l'orateur l'ait entendu ainsi, on le voit par le mot ἠτιμώσατε, dont il se servira au paragraphe 183 par rapport à ces deux condamnations.

13. Δόξαντι. Le pluriel δόξασι serait plus clair. [Ph. Buttmann.]

15-2. Μὴ τοίνυν... μὴ τοίνυν. Deux conclusions entre lesquelles Démosthène se proposait de choisir. — Εἴπῃ τις παράνομα. C'est à dessein (le scholiaste l'a fait observer) que D. ne dit pas γράφῃ τις παράνομα. Il veut amener l'antithèse ποιῇ, μὴ λέγῃ, et abuser des mots pour faire un paralogisme. Car, s'il est vrai qu'en général parler est moins grave qu'agir, une parole qui aboutit à vicier la législation a plus de gravité qu'un simple acte illégal.

ὑμῶν χαλεπὸν, ὡς ὅσ' ὑβρίζων τις τὸν ἐντυχόνθ' ὑμῶν διαπράττεται. Μὴ τοίνυν αὐτοὶ καθ' ὑμῶν αὐτῶν δεῖγμα τοιοῦτον ἐξενέγκητ', ἄνδρες Ἀθηναῖοι, ὡς ἄρ' ὑμεῖς, ἂν μὲν τῶν μετρίων τινὰ καὶ δημοτικῶν λάβηθ' ὁτιοῦν ἀδικοῦντα, οὔτ' ἐλεήσετ' οὔτ' ἀφήσετε, ἀλλ' ἀποκτενεῖτ' ἢ ἀτιμώσετε, ἐὰν δὲ 571 πλούσιος ὤν τις ὑβρίζῃ, συγγνώμην ἕξετε. Μὴ δῆτα· οὐ γὰρ δίκαιον· ἀλλ' ἐπὶ πάντων ὁμοίως ὀργιζόμενοι φαίνεσθε.

[184] Ἃ τοίνυν οὐδενὸς τῶν εἰρημένων ἧττον ἀναγκαῖον εἶναι νομίζω πρὸς ὑμᾶς εἰπεῖν, ταῦτ' εἰπὼν ἔτι καὶ βραχέα περὶ τούτων διαλεχθεὶς καταβήσομαι. Ἔστιν, ὦ ἄνδρες Ἀθηναῖοι, μεγάλη τοῖς ἀδικοῦσιν ἅπασι μερὶς καὶ πλεονεξία ἡ τῶν ὑμετέρων τρόπων πραότης. Ὅτι δὴ ταύτης οὐδ' ὁτιοῦν ὑμῖν μεταδοῦναι τούτῳ προσήκει, ταῦτ' ἀκούσατέ μου. Ἐγὼ νομίζω πάντας ἀνθρώπους ἐράνους φέρειν παρὰ τὸν βίον αὐτοῖς, οὐχὶ τούσδε μόνους οὓς συλλέγουσί τινες καὶ ὧν πληρωταὶ γίγνονται, ἀλλὰ καὶ ἄλλους. [185] Οἷον ἔστι μέτριος καὶ φιλάνθρωπός τις ἡμῶν καὶ πολλοὺς ἐλεῶν· τούτῳ ταὐτὸ δίκαιον ὑπάρχειν παρὰ πάντων, ἄν ποτ' εἰς χρείαν καὶ ἀγῶν' ἀφίκηται. Ἄλλος οὑτοσί τις ἀναιδὴς καὶ πολλοὺς ὑβρίζων, καὶ τοὺς μὲν πτωχοὺς, τοὺς δὲ καθάρματα, τοὺς δ' οὐδὲν ὑπολαμβάνων εἶναι· τούτῳ τὰς αὐτὰς δίκαιον ὑπάρχειν φορὰς, ἅσπερ αὐτὸς εἰσενήνοχε τοῖς ἄλλοις. Ἂν τοίνυν ὑμῖν ἐπίῃ σκοπεῖν, τούτου πληρωτὴν εὑρήσετε Μειδίαν ὄντα τοῦ ἐράνου, καὶ οὐκ ἐκείνου.

[186] Οἶδα τοίνυν ὅτι τὰ παιδί' ἔχων ὀδυρεῖται, καὶ πολλοὺς

NC. 3. ὦ ἄνδρες vulg. — 5. αποκτείνετε S. — 9. βραχέα est omis dans F, placé après τούτων dans A. — 13. τούτῳ. Variante : Μειδίᾳ. — ταῦτ' S. τοῦτ' vulg. — 14. παρὰ πάντα τὸν βίον A. — 15. τους δεομένους S[1], changé par des grattages en τους δε μόνους. — 16-17. τις après φιλάνθρωπός S, après ἔστι vulg. — ἐλεῶν πολλούς avant Bekker. — δίκαιον εἰκὸς ὑπάρχειν réviseur de S et marge de F. δ. ὑπάρχειν εἰκὸς A. — 19. οὑτοσί, l'ι sur un grattage, S[1]. — 20. τοὺς μὲν καθάρμ. τοὺς δὲ πτ. F. Cf. § 198. — οὐδ' ἀνθρώπους, comme ib., Herwerden. — εἶναι manque dans A, F. — 22. ὑμῖν ἐπίῃ σκοπεῖν S[1] seul. ὀρθῶς est ajouté après σκοπεῖν par le réviseur ancien (?), après ὑμῖν vulg. — 23. καὶ est omis dans A, F. — 24. ὅτι καὶ A, F.

13-23. On a vu la même comparaison, presque dans les mêmes termes, au paragraphe 101. Quoi qu'en dise G. H. Schæfer, cette répétition ne peut s'expliquer que par une rédaction provisoire.

24. Τὰ παιδί(α). Au paragraphe 99, l'accusateur a déjà prémuni les juges con-

λόγους καὶ ταπεινοὺς ἐρεῖ, δακρύων καὶ ὡς ἐλεεινότατον ποιῶν ἑαυτόν. Ἔστι δ', ὅσῳ περ ἂν αὐτὸν νῦν ταπεινότερον ποιῇ, τοσούτῳ μᾶλλον ἄξιον μισεῖν αὐτὸν, ὦ ἄνδρες Ἀθηναῖοι. Διὰ τί; ὅτι εἰ μὲν μηδαμῶς δυνηθεὶς ταπεινὸς γενέσθαι οὕτως ἀσελ-
575 γὴς καὶ βίαιος ἦν ἐπὶ τοῦ παρεληλυθότος βίου, τῇ φύσει καὶ
6 τῇ τύχῃ, δι' ἣν τοιοῦτος ἐγένετο, ἄξιον ἦν ἄν τι τῆς ὀργῆς ἀνεῖναι· εἰ δ' ἐπιστάμενος μέτριον παρέχειν ἑαυτὸν ὅταν βούληται, τὸν ἐναντίον ἢ τοῦτον τὸν τρόπον εἵλετο ζῆν, εὔδηλον δήπου τοῦθ', ὅτι καὶ νῦν ἂν διακρούσηται, πάλιν αὐτὸς ἐκεῖνος ὃν ὑμεῖς ἴστε γενήσεται. [187] Οὐ δεῖ δὴ προσέχειν, οὐδὲ τὸν παρόντα καιρὸν, ὃν οὗτος ἐξεπίτηδες πλάττεται, κυριώτερον οὐδὲ πιστότερον τοῦ παντὸς, ὃν αὐτοὶ σύνιστε, χρόνου ποιήσασθαι. Ἐμοὶ παιδί' οὐκ ἔστιν, οὐδ' ἂν ἔχοιμι ταῦτα παραστησάμενος κλάειν καὶ δακρύειν ἐφ' οἷς ὑβρίσθην. Διὰ τοῦτ' ἄρα τοῦ πεποιηκότος ὁ πεπονθὼς ἔλαττον ἕξω παρ' ὑμῖν; [188] μὴ δῆτα· ἀλλ' ὅταν οὗτος ἔχων τὰ παιδία τούτοις ἀξιοῖ δοῦναι τὴν ψῆφον ὑμᾶς, τόθ' ὑμεῖς τοὺς νόμους ἔχοντά με πλησίον ἡγεῖσθε παρεστάναι καὶ τὸν ὅρκον ὃν ὀμωμόκατε, τούτοις ἀξιοῦντα καὶ ἀντιβολοῦνθ' ἕκαστον ὑμῶν ψηφίσασθαι. Οἷς ὑμεῖς κατὰ πολλὰ δικαιότερον πρόσθοισθ' ἂν ἢ τούτῳ· καὶ γὰρ ὀμωμόκατ', ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς νόμοις πείσεσθαι, καὶ τῶν ἴσων μέτεστιν ὑμῖν διὰ τοὺς νόμους, καὶ πάνθ' ὅσ' ἐστὶν ἀγάθ' ὑμῖν διὰ τοὺς νόμους ἐστὶν, οὐ διὰ Μειδίαν οὐδὲ διὰ τοὺς Μειδίου παῖδας.

NC. 2. ἂν ajouté par réviseur de S. — 4. γενέσθαι ταπεινὸς avant Bekker. — 9. ἂν ajouté par réviseur (ancien?), et διακρούσητε S. — αὐτὸς Cobet. — 10. δὴ δεῖ A, F. Cf. § 159, *NC*. — 11. διαπλάττεται F. — 14. κλάειν Dindorf. κλαίειν vulg. — 18. καὶ τὸν ὅρκον ὃν ὀμωμόκατε. Dobree retranchait ces mots, dont on se passerait volontiers. — 21. πείσεσθαι Herwerden, l. c., p. 312. πείθεσθαι manuscrits.

tre ce moyen de les adoucir; mais il y a traité ce lieu tout différemment.

5-7. Τῇ φύσει.... τι τῆς ὀργῆς ἀνεῖναι, adoucir votre colère en considération de sa nature.

9. Ἂν διακρούσηται, s'il fait en sorte d'échapper. Cf. § 201; § 128 : Διακρούσηται τούτῳ τὸ δίκην.... δοῦναι.

11. Καιρὸν,... πλάττεται. Ici καιρός ne désigne pas les circonstances, mais l'attitude de circonstance que se donne l'accusé.

16-19. Τούτοις...δοῦναι τὴν ψῆφον équivaut à τούτοις χαρίζεσθαι τὴν ψῆφον. — Τούτοις.... ψηφίσασθαι, voter comme elles (les lois) le veulent. [G. H. Schæfer.]

[189] Καὶ « ῥήτωρ ἐστὶν οὗτος » ἴσως ἐμὲ φήσει λέγων. Ἐγὼ δ', εἰ μὲν ὁ συμβουλεύων ὅ τι ἂν συμφέρειν ὑμῖν ἡγῆται, καὶ τοῦτ' ἄχρι τοῦ μηδὲν ὑμῖν ἐνοχλεῖν, μηδὲ βιάζεσθαι, ῥήτωρ ἐστὶν, οὔτε φύγοιμ' ἂν οὔτ' ἀπαρνοῦμαι τοῦτο τοὔνομα· εἰ μέντοι ῥήτωρ ἐστὶν οἵους ἐνίους τῶν λεγόντων ἐγὼ καὶ ὑμεῖς δ' ὁρᾶτε, ἀναιδεῖς καὶ ἀφ' ὑμῶν πεπλουτηκότας, οὐκ ἂν 576 εἴην οὗτος ἐγώ· εἴληφα μὲν γὰρ οὐδ' ὁτιοῦν παρ' ὑμῶν, τὰ δ' ὄντ' εἰς ὑμᾶς πλὴν πάνυ μικρῶν ἅπαντ' ἀνήλωκα. Καίτοι καὶ εἰ τούτων ἦν πονηρότατος, κατὰ τοὺς νόμους ἔδει παρ' ἐμοῦ δίκην λαμβάνειν, οὐκ ἐφ' οἷς ἐλῃτούργουν ὑβρίζειν. [190] Ἔτι τοίνυν οὐδὲ εἷς ἐστιν ὅστις ἐμοὶ τῶν λεγόντων συναγωνίζεται. Καὶ οὐδενὶ μέμφομαι· οὐδὲ γὰρ αὐτὸς οὐδενὸς ἕνεκα τούτων οὐδὲν ἐν ὑμῖν πώποτ' εἶπον, ἀλλ' ἁπλῶς κατ' ἐμαυτὸν ἔγνων καὶ λέγειν καὶ πράττειν ὅ τι ἂν συμφέρειν ὑμῖν ἡγῶμαι. Ἀλλὰ τούτῳ πάντας αὐτίκα δὴ μάλα συνεξεταζομένους τοὺς ῥήτορας ὄψεσθ' ἐφεξῆς. Καίτοι πῶς ἐστι δίκαιον τοὔνομα μὲν τοῦθ' ὡς ὄνειδος προφέρειν ἐμοί, διὰ τούτων δ' αὐτὸν τῶν ἀνδρῶν ἀξιοῦν σωθῆναι;

[191] Τάχα τοίνυν ἴσως καὶ τὰ τοιαῦτ' ἐρεῖ, ὡς ἐσκεμμένα καὶ παρεσκευασμένα πάντα λέγω νῦν. Ἐγὼ δ' ἐσκέφθαι μὲν,

NC. 4. ἀπαρνοῦμαι τοὔνομα avant Reiske. — 6. ἀφ' ὑμῶν Cobet, *N. L.*, p. 373. ὑφ' ὑμῶν S seul, et Dindorf. ἐξ ὑμῶν vulg. — 7. ἐξ ὑμῶν avant Bekker. — 8-9. καίτοι εἰ καὶ A, F. — 11. οὐδε εἰς S. οὐδείς vulg. — 12. αυτο S[1], αυτὸς réviseur. — 13. ἐν, après οὐδὲν, ajouté par le réviseur dans S. — ἁπλῶς. S : οπως. — 14. D'abord ὁταν συμφερει, ensuite ὅτι ἂν συμφερειν S[1]. ὅτι ἂν συμφέρον vulgate, conservée par les derniers éditeurs. — ἡγοῦμαι avant Reiske. — 17. ἐμοὶ est omis dans S, A. — αὐτὸν S.

1. Ῥήτωρ ἐστὶν οὗτος. Démosthène a plus d'une fois placé lui-même dans la bouche de ses clients les sorties les plus violentes contre les orateurs de profession, ses confrères. Voy. *Androt.*, § 37; *Timocr.*, §§ 123 sq., 142 sq., 147; *Aristocr.*, §§ 146 sq., 201, 209 sq. — Ἐμὲ.... λέγων, en me désignant.

3. Μηδὲν ὑμῖν ἐνοχλεῖν, μηδὲ βιάζεσθαι. Cf. *Amb.*, § 206.

6-7. Ἀφ' ὑμῶν πεπλουτηκότας, qui se sont enrichis en se mêlant d'affaires publiques. Cf. *Timocr.*, § 124 : Ἐκ πενήτων πλούσιοι ἀπὸ τῆς πόλεως γιγνόμενοι. *Cour. triér.*, § 14 : Τὸν γὰρ ὑπὲρ τῆς πόλεως τριήραρχον οὐκ ἀπὸ τῶν κοινῶν προσδοκᾶν χρὴ πλουτήσειν, ἀλλ' ἀπὸ τῶν ἰδίων τὰ τῆς πόλεως ἐπανορθῆσειν. Il faut entendre dans le même sens εἴληφα.... παρ' ὑμῶν.

10. Ἐφ' οἷς ἐλειτούργουν ὑβρίζειν. Cf. § 126 : Εἴς τε τὴν λειτουργίαν.... ὑβρίσθην.

13. Ἁπλῶς κατ' ἐμαυτόν. On voit ici que le parti rangé autour de Démosthène après la paix de Philocrate n'était pas encore formé du temps de ce procès.

15. Συνεξεταζομένους. Cf. § 127.

ὦ ἄνδρες Ἀθηναῖοι, φημὶ καὶ οὐκ ἂν ἀρνηθείην, καὶ μεμελετηκέναι γ' ὡς ἐνῆν μάλιστ' ἐμοί· καὶ γὰρ ἂν ἄθλιος ἦν, εἰ τοιαῦτα παθὼν καὶ πάσχων ἠμέλουν ὧν περὶ τούτων ἐρεῖν ἔμελλον πρὸς ὑμᾶς· γεγραφέναι μέντοι μοι τὸν λόγον Μειδίαν· [192] ὁ γὰρ τὰ ἔργα παρεσχηκώς, περὶ ὧν εἰσιν οἱ λόγοι, δικαιότατ' ἂν ταύτην ἔχοι τὴν αἰτίαν, οὐχ ὁ ἐσκεμμένος οὐδ' ὁ μεριμνήσας τὰ δίκαια λέγειν [νῦν]. Ἐγὼ μὲν οὖν τοῦτο ποιῶν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ αὐτὸς ὁμολογῶ· Μειδίαν μέντοι μηδὲν ἐσκέφθαι πώποτ' ἐν παντὶ τῷ βίῳ δίκαιον εἰκός ἐστιν· εἰ γὰρ καὶ κατὰ μικρὸν ἐπῄει τὰ τοιαῦτ' αὐτῷ σκοπεῖν, οὐκ ἂν τοσοῦτον διημάρτανε τοῦ πράγματος.

577 [193] Οἶμαι τοίνυν αὐτὸν οὐδὲ τοῦ δήμου κατηγορεῖν ὀκνήσειν οὐδὲ τῆς ἐκκλησίας, ἀλλ' ἅπερ τότ' ἐτόλμα λέγειν ὅτ' ἦν ἡ προβολή, ταῦτα καὶ νῦν ἐρεῖν, ὡς ὅσοι, δέον ἐξιέναι, κατέμενον καὶ ὅσοι τὰ φρούρι' ἦσαν ἔρημα λελοιπότες, ἠκκλησίασαν, καὶ χορευταὶ καὶ ξένοι καὶ τοιοῦτοί τινες ἦσαν οἱ κατεχειροτόνησαν αὐτοῦ. [194] Εἰς γὰρ τοῦτο θράσους καὶ ἀναιδείας τότ' ἀφίκετ', ὦ ἄνδρες δικασταί, ὡς ἴσασιν ὅσοι παρῆσαν ὑμῶν, ὥστε κακῶς λέγων καὶ ἀπειλῶν καὶ βλέπων εἰς τὸν ἀεὶ θορυβοῦντα τόπον τῆς ἐκκλησίας καταπλήξειν ᾤετο τὸν δῆμον ἅπαντα. Ἧι καὶ γελοῖ' εἶναι τὰ νῦν, οἶμαι, δάκρυ' εἰκότως ἂν αὐτοῦ δοκοίη.

NC. 1. οὐκ ἂν ἀρνηθείην vulg. et marge (réviseur) de S. οὐκ απαρνηθειην texte de S. — 6. δικαιότατα, le second τα ajouté par le réviseur, ἂν S. — 7. Nous avons mis entre crochets νῦν, glose provenant de p. 193, l. 20. H. Wachendorf, *Rhein. Mus.*, XXVI, p. 411 sqq., proposait ἐν ὑμῖν. — 8. ποιῶν vulg. ποιῶ (hiatus très-désagréable) presque tous les manuscrits, Reiske et les derniers éditeurs. Cf. *NC*, l. 14.— 9. πώποτ'. S : ποτε. — ἅπαντι F.— 10. ἐπῆν F. — 11. διημαρτανει texte de S. — 14. ἐρεῖν A. ἐρεῖ S (fin de ligne) et vulg.— 15. εξεκκλησιασαν (à en juger par d'autres manuscrits), avant correction par la première main, S. ἐκκλησίαζον A. ἠκκλησίασαν Dindorf; cf. *Amb.* § 60; *Cour.*, § 265. — 19. βλέπων οὗτος A, F.— 21. [οἶμαι] Cobet.

1-2. Καὶ μεμελετηκέναι γ(έ), et même d'avoir tout étudié. La particule γε indique que μελετᾶν en dit plus que σκέπτεσθαι. [G. H. Schæfer.]

5. Ὁ γὰρ τὰ ἔργα παρεσχηκώς.... Cf. Sophocle, *Él.*, 624 : Σύ τοι λέγεις νιν, οὐκ ἐγώ· σὺ γὰρ ποιεῖς ‖ τοὔργον· τὰ δ' ἔργα τοὺς λόγους εὑρίσκεται. [Dobree.]

14 sqq. Ὅσοι, δέον ἐξιέναι, κατέμενον.... Comme ces faits se passèrent pendant la campagne d'Eubée, Midias prétendait que les hommes rassemblés dans le théâtre n'étaient pas le vrai peuple, mais des déserteurs, des citoyens qui s'étaient soustraits au service militaire ou avaient abandonné leur poste sous quelque mauvais prétexte (χορευταί; cf. § 15, avec la note), ou bien des étrangers.

18. Ὡς ἴσασιν ὅσοι. Cf. Eur. *Méd.*, 476.

3-4. Οὐδ' ὃ αὐτὸς ὑπέσχετο· τοῦτο γὰρ ᾔδει.... Philippe avait écrit aux Athéniens que la seule considération qui l'empêchait de leur annoncer expressément tout le bien qu'il allait leur faire, c'était l'incertitude où il se trouvait encore d'obtenir leur alliance. En s'exprimant ainsi, il avait marqué (à moins de vouloir les mystifier) qu'il savait très-bien par où il pourrait les obliger, et il avait promis de le faire dans le cas où il obtiendrait l'alliance. G. H. Schæfer et d'autres rapportent à tort les mots ὃ αὐτὸς ὑπέσχετο à la rançon des prisonniers : point dont Philippe n'avait rien dit dans sa première lettre, mais dont il parla, au contraire, dans la seconde.

13. Προαχθῆθ' ὑμεῖς ἐπαγγεῖλασθαι, si vous vous laissiez amener (par ces belles phrases) à demander quelque chose vous-mêmes. Harpocration, art. ἐπαγγελία : Λέγεται.... τὸ ἐπαγγέλλεσθαι καὶ ἀντὶ τοῦ προστάττειν ἢ αἰτεῖσθαι, ὡς παρά τε Ἀντιφῶντι.... καὶ Δημοσθένει ἐν τῷ παραπρεσβείας. Cf. § 193; Euripide, *Hippol.*, 998. Ce sens dérive de la signification usuelle de ἐπαγγέλλειν ou ἐπαγγέλλεσθαι, « ordonner par proclamation ».

17. Θεσπιαὶ καὶ Πλαταιαί, les vains propos sur le rétablissement de Thespies et de Platées (cf. § 21). Brachylogie familière.

δὴ μάλα δώσειν δίκην ἀφείλετο τὴν ἀλήθειαν. Καίτοι ταῦτ', εἰ μὲν ἀκοῦσαι μόνον ἔδει καὶ φενακισθῆναι τὴν πόλιν, ὀρθῶς ἐλέγετο, εἰ δὲ πραχθῆναι τῷ ὄντι, σιωπᾶσθαι συνέφερεν. Εἰ μὲν γὰρ ἐνταῦθ' ἦν ἤδη τὰ πράγμαθ' ὥστε μηδ' αἰσθομένοις τοῖς Θηβαίοις πλέον εἶναι μηδὲν, τί οὐ γέγονεν; εἰ δὲ παρὰ τὸ προαισθέσθαι κεκώλυται, τίς ὁ ἐκλαλήσας; οὐχ οὗτος; [43] Ἀλλ' οὔτ' ἔμελλεν, οὔτ' ἐβουλήθη ταῦτ' οὐδ' ἤλπισεν οὗτος, ὥστε τοῦ γ' ἐκλελαληκέναι μηδ' αἰτίαν ἐχέτω· ἀλλὰ φενακισθῆναι τοῖς λόγοις τούτοις ὑμᾶς ἔδει καὶ ἐμοῦ τἀληθῆ μὴ 'θελῆσαι ἀκοῦσαι, αὐτοὺς οἴκοι καταμεῖναι καὶ ψήφισμα νικῆσαι τοιοῦτο δι' οὗ Φωκεῖς ἀπολοῦνται. Διὰ ταῦτ' ἐσπαθᾶτο ταῦτα καὶ διὰ
355 ταῦτ' ἐδημηγορεῖτο.

[44] Ἀκούων τοίνυν ἐγὼ τηλικαῦτα καὶ τοιαῦτ' ἐπαγγελλομένου τούτου, καὶ ἀκριβῶς εἰδὼς ὅτι ψεύδεται, — καὶ ὅθεν, φράσω πρὸς ὑμᾶς, πρῶτον μὲν ἐκ τοῦ, ὅτε τοὺς ὅρκους ἔμελλε Φίλιππος ὀμνύναι τοὺς περὶ τῆς εἰρήνης, ἐκσπόνδους ἀποφανθῆναι τοὺς Φωκέας ὑπὸ τούτων, ὃ σιωπᾶν καὶ ἐᾶν εἰκὸς ἦν,

NC. 2. ἀκοῦσαι μόνον ἔδει καὶ φενακισθῆναι L, vulg. et marge ancienne de S. ἀκοῦσαι μόνον, φενακισθῆναι δὲ A. ἀκοῦσαι μὲν ἔδει φενακισθῆναι δὲ S seul, et Vœmel. — 7. οὐδ' ἤλπισεν Bekker. οὔτ' ἤλπισεν manuscrits. — 10. αὐτοὺς S et L. καὶ αὐτοὺς vulg. — 14. τούτου S et L. τούτου τότε vulg. — 17. ὑπὸ τούτων : mots suspectés par Dobree.

1-12. Καίτοι ταῦτ(α).... Démosthène dit que les propos tenus par Eschine à la tribune ne peuvent s'expliquer que comme un moyen d'abuser les Athéniens. S'ils avaient été fondés, si Philippe avait eu en effet l'intention de se tourner tout à coup contre Thèbes, il ne fallait pas divulguer ce secret. Car, de deux choses l'une : ou bien les affaires en étaient déjà au point que les Thébains, même instruits d'avance, ne pouvaient plus résister — pourquoi, alors, Philippe n'a-t-il pas exécuté les intentions qu'Eschine lui prêtait? Ou bien, l'exécution de ces projets a été empêchée parce que les Thébains en ont eu connaissance trop tôt — alors Eschine a donc commis une coupable indiscrétion. Mais il n'en est rien : il s'agissait tout simplement de vous mystifier.

7. Οὔτ' ἔμελλεν équivaut à οὔτε ταῦτα ἔμελλε πραχθήσεσθαι.

10. Αὐτούς. Suivent deux membres de phrase liés par καί, comme les deux qui précèdent. — Νικῆσαι, l'emporter, prévaloir. Cf. *Phil.* I, § 51. Dans le sens actif, νικῆσαι ψήφισμα (faire passer un décret) ne peut se dire que de l'auteur de la motion.

11. Ἐσπαθᾶτο, « était tramé », ou bien « était répandu avec prodigalité ». Shilleto fait observer que l'usage constant des auteurs grecs ne justifie que cette dernière explication.

16-17. Ἐκσπόνδους.... τοὺς Φωκέας. Cf. § 174. La question de savoir si les Phocidiens et les Haliens devaient être considérés comme alliés d'Athènes et compris dans la paix, était restée en suspens (cf § 159, avec la note). Si on avait eu de bonnes intentions pour la Phocide, il fallait, tout au moins, passer ce point sous silence et *le* laisser dans l'obscurité (σιωπᾶν καὶ ἐᾶν). Mais ces peuples furent expressément

εἴπερ ἔμελλον σῴζεσθαι· ἔπειτα ἐκ τοῦ μὴ τοὺς παρὰ τοῦ Φιλίππου πρέσβεις ταῦτα λέγειν μηδὲ τὴν ἐπιστολὴν τὴν Φιλίππου, ἀλλὰ τοῦτον — [45] ἐκ τούτων οὖν τεκμαιρόμενος, ἀναστὰς καὶ παρελθὼν ἐπειρώμην μὲν ἀντιλέγειν, ὡς δ' ἀκούειν οὐκ ἠθέλετε, ἡσυχίαν ἔσχον, τοσοῦτο μόνον διαμαρτυράμενος (καὶ πρὸς Διὸς καὶ θεῶν ἀναμιμνήσκεσθε) ὅτι ταῦτ' οὔτ' οἶδ' οὔτε κοινωνῶ, προσέθηκα δ' ὡς οὐδὲ προσδοκῶ. Τραχέως δ' ὑμῶν τῷ μηδὲ προσδοκᾶν σχόντων, « καὶ ὅπως γ', ὦ ἄνδρες Ἀθηναῖοι, ἔφην, ἄν τι τούτων γίγνηται, τούτους ἐπαινέσεσθε καὶ τιμήσετε καὶ στεφανώσετε, ἐμὲ δὲ μή· καὶ μέντοι κἄν τι τῶν ἐναντίων, ὅπως τούτοις ὀργιεῖσθε· ἐγὼ δ' ἀφίσταμαι. » [46] « Μὴ νῦν, ὑπολαβὼν Αἰσχίνης ουτοσί, μὴ νῦν ἀφίστασ', ἔφη, ἀλλ' ὅπως τότε μὴ προσποιήσει. » « Νὴ Δί', ἢ ἀδικήσω γ', » ἔφην. Ἐπαναστὰς δ' ὁ Φιλοκράτης μάλ' ὑβριστικῶς « οὐδέν, ἔφη, θαυμαστόν, ὦ ἄνδρες Ἀθηναῖοι, μὴ ταὔτ' ἐμοὶ καὶ Δημοσθένει δοκεῖν· οὗτος μὲν γὰρ ὕδωρ, ἐγὼ δ' οἶνον πίνω. » Καὶ ὑμεῖς ἐγελᾶτε.

[47] Σκέψασθε δὴ τὸ ψήφισμ', ὃ δίδωσι γράψας μετὰ ταῦθ' ὁ Φιλοκράτης. Ἀκοῦσαι μὲν γὰρ ουτωσὶ παγκάλως ἔχει· ἐπειδὰν δὲ τοὺς καιροὺς συλλογίσηταί τις ἐφ' ὧν ἐγράφη, καὶ τὰς 358
ὑποσχέσεις ἃς οὗτος ὑπισχνεῖτο τότε, οὐδὲν ἄλλο φανήσονται πλὴν παραδόντες Φιλίππῳ καὶ Θηβαίοις Φωκέας, μόνον οὐκ ὀπίσω τὼ χεῖρε δήσαντες. Λέγε τὸ ψήφισμα.

NC. 1-3. μὴ.... μηδὲ S et L seuls, μήτε.... μήτε vulg. — τοὺς παρὰ Φιλίππου et ἐπιστολὴν τὴν τοῦ Φιλίππου vulg. — 8. ἐπὶ τῷ L et vulg. — 9. τούτους μὲν L, A, et Dindorf. — 13. ἔφη, placé ici dans A, se lit avant Αἰσχίνης vulg. — ἢ ἀδικήσω S et L. ἀδικήσω vulg. — 15. οὐδέν ἐστιν vulg.

exclus de la paix dans le document ratifié par Philippe, et les ambassadeurs athéniens laissèrent faire.

6-7. Οὔτ' οἶδ(α).... οὐδὲ προσδοκῶ. Dans la harangue sur la *Paix* (§ 10), quand les faits étaient encore récents, Démosthène a cité ses paroles de la même façon.

8-11. Ὅπως.... ἐπαινέσεσθε.... ὅπως... ὀργιεῖσθε.... La conjonction ὅπως (avant laquelle on peut sous-entendre φροντίζετε ou φρόντιζε) donne à ces phrases le sens d'un impératif. Cf. *Phil.* I, 20. *Chers.*, § 38. Krüger, *Gr. Spr.*, § 54, 8, 7. De même pour ὅπως τότε μὴ προσποιήσει. « Ne t'en attribue pas le mérite, dit Eschine, quand ces promesses se seront réalisées. »

16. Ὕδωρ.... πίνω. Cf. *Phil.* II, 30, avec la note.

18. Δίδωσι. Cf. Eschine, *Amb.*, § 83 : Δίδωσιν ἀναγνῶναι ψήφισμα τοῖς προέδροις. [Shilleto.] La lecture était sans doute faite par le γραμματεύς, sur l'ordre des proèdres.

ΨΗΦΙΣΜΑ

[48] Ὁρᾶτ', ὦ ἄνδρες Ἀθηναῖοι, τὸ ψήφισμα, ὅσων ἐπαίνων καὶ ὅσης εὐφημίας μεστόν ἐστι, καὶ « τὴν εἰρήνην εἶναι τὴν « αὐτὴν ἥνπερ Φιλίππῳ καὶ τοῖς ἐκγόνοις, καὶ τὴν συμμα- « χίαν, » καὶ « ἐπαινέσαι δὲ Φίλιππον ὅτι ἐπαγγέλλεται τὰ « δίκαια ποιήσειν. » Ἀλλ' οὐδὲν ἐκεῖνός γ' ἐπηγγέλλετο, ἀλλὰ τοσοῦτον ἔδει [ἐπαγγέλλεσθαι], ὥστ' οὐδ' εἰδέναι φησὶ τί ἂν ποιῶν ὑμῖν χαρίσαιτο. [49] Ἀλλ' οὗτος ἦν ὁ λέγων ὑπὲρ αὐτοῦ καὶ ὑπισχνούμενος. Πρὸς δὲ τοὺς παρὰ τούτου λόγους ὡρμηκότας λαβὼν ὑμᾶς ὁ Φιλοκράτης ἐγγράφει τοῦτ' εἰς τὸ ψήφισμα, « ἐὰν δὲ μὴ ποιῶσι Φωκεῖς ἃ δεῖ καὶ παραδιδῶσι τοῖς Ἀμφικτύοσι τὸ ἱερὸν, ὅτι βοηθήσει ὁ δῆμος ὁ Ἀθηναίων ἐπὶ τοὺς διακωλύοντας ταῦτα γίγνεσθαι. » [50] Οὐκοῦν, ἄνδρες Ἀθηναῖοι, μενόντων μὲν ὑμῶν οἴκοι καὶ οὐκ ἐξεληλυθότων, ἀπεληλυθότων δὲ τῶν Λακεδαιμονίων καὶ προῃσθημένων τὴν ἀπάτην, οὐδενὸς δ' ἄλλου παρόντος τῶν Ἀμφικτυόνων πλὴν Θετταλῶν καὶ Θηβαίων, εὐφημότατ' ἀνθρώπων τούτοις παραδοῦναι γέγραφεν τὸ ἱερὸν γράψας τοῖς Ἀμφικτύοσιν παραδοῦναι (ποίοις; οὐ γὰρ ἦσαν αὐτόθι πλὴν Θηβαῖοι καὶ Θετταλοί), ἀλλ' οὐ « συγκαλέσαι δὲ τοὺς Ἀμφικτύονας », οὐδ' « ἐπισχεῖν

NC. 4. La leçon flotte entre ἐκγόνοις et ἐγγόνοις, ici et ailleurs. — 7. τοσοῦτον L seul. τοσούτου S et, comme variante, L. τοσούτου γ' vulg. — ἐπαγγέλλεσθαι est retranché par Benseler, *De Hiatu*, p. 96. — 10. λαβὼν ὑμᾶς S et L. ὑμᾶς λαβών vulg. — 11. δὲ est ajouté dans S par une main ancienne. — καὶ μὴ παραδιδῶσι Cobet, *l. c.* Si l'auteur avait voulu répéter la négation, il aurait sans doute écrit μηδέ. — 13. ταῦτα. Vulgate : αὐτὰ. — ἄνδρες S et L seuls. ὦ ἄνδρες vulg. — 14. Cobet veut supprimer καὶ οὐκ ἐξεληλυθότων : mots que l'antithèse et la symétrie oratoire défendent assez. — 18. γέγραφε S. — 20. οὐ συγκαλέσαι δὲ (ἔδει inséré par une main ancienne) S. οὐδὲ συγκαλέσαι L et vulg.

3. Εὐφημίας n'est pas synonyme de ἐπαίνων, mais a le même sens que εὐφημότατα au § 50. Philocrate se servait des expressions les plus honnêtes, les mieux sonnantes, pour couvrir des intentions perfides.

3-5. Εἶναι.... ἐπαινέσαι. Ces infinitifs dépendaient de ἔδοξεν, verbe qui figure au commencement de tous les decrets.

9. Πρὸς δὲ τούς.... λόγους ὡρμηκότας, ayant mordu aux discours tenus par Eschine. Cf. Alciphron, *Epist.* III, 22, 3 : Κυνίδιον.... ὑπὸ τῆς ἄγαν λιχνείας ἐπὶ τὸ κρέα: ὁρμῆσαν.

11. Μὴ porte sur les deux membres de phrase ποιῶσι.... καὶ παραδιδῶσι, dont le second ne fait que développer le premier.

15. Τῶν Λακεδαιμονίων. Cf. § 77.

17. Εὐφημότατ' ἀνθρώπων, dans les termes les plus honnêtes du monde.

ἕως ἂν συλλεγῶσιν, » οὐδὲ « βοηθεῖν Πρόξενον εἰς Φωκέας, » οὐδ' « ἐξιέναι Ἀθηναίους, » οὐδὲ τοιοῦτ' οὐδέν. [51] Καίτοι καὶ ἐπιστολὰς ἔπεμψεν ὁ Φίλιππος δύο καλούσας ὑμᾶς, οὐχ ἵν' ἐξ- 357 έλθητε· πώμαλα· οὐ γὰρ ἄν ποτε τοὺς χρόνους ἀνελὼν, ἐν οἷς ἐδυνήθητ' ἂν ἐξελθεῖν, τηνικαῦτ' ἐκάλει· οὐδ' ἂν ἐμὲ, ἡνίκα δεῦρ' ἀποπλεῖν ἐβουλόμην, κατεκώλυεν· οὐδὲ τοιαῦτα λέγειν τούτῳ προσέταττεν, ἐξ ὧν ἥκισθ' ὑμεῖς ἐμέλλετ' ἐξιέναι· ἀλλ' ἵνα, ἃ ἐβούλεσθ' οἰόμενοι πράξειν αὐτὸν, μηδὲν ἐναντίον ψηφίσησθ' αὐτῷ, μηδ' ἀμύναιντο μηδ' ἀντέχοιεν οἱ Φωκεῖς ἐπὶ ταῖς παρ' ὑμῶν [ἐπέχοντες] ἐλπίσιν, ἀλλ' ἀπογνόντες ἅπαντ' αὑτοὺς ἐγχειρίσαιεν. Λέγε δ' αὐτοῖς αὐτὰς τὰς ἐπιστολὰς τὰς τοῦ Φιλίππου.

ΕΠΙΣΤΟΛΑΙ.

[52] Αἱ μὲν τοίνυν ἐπιστολαὶ καλοῦσιν αὗται, καὶ νὴ Δί' ἤδη γε· τούτοις δ', εἴπερ ἦν ὑγιές τι τούτων, τί ἄλλο προσῆκεν ἢ

NC. 3-4. ἐξέλθητε manuscrits de Démosthène, ainsi que Suidas, art. πώμαλα (Vœmel ajoute, par erreur, Harpocration). ἐξέλθοιτε Bekker et Dindorf. — 7. ἥκισθ' ὑμεῖς S, A, L. ὑμεῖς ἥκιστα vulg. — 8-9. ψηφίσησθε L et A. ψηφισασθ' (avec η au-dessus de α, par une main ancienne) S. ψηφίσαισθε vulg. — ἀμύναιντο S et L. ἀμύνοιντο vulg. — 10. ἐπέχοντες vulg. υπεχοντες S seul. ἐπανέχοντες A. Nous avons mis entre crochets un participe inutile et embarrassant, qui semble provenir de la glose ἀντέχοντες. Voy. la note explicative. — ἅπαντα S, A. ἅπαντες vulg.

1. Πρόξενον. Ce général athénien se trouvait depuis quelque temps avec une flotte dans ces parages. Cf. § 155.

2. Καίτοι, il est vrai que.

4. Πώμαλα, pas du tout. Locution familière. Harpocration : Πώμαλα ἀντὶ τοῦ οὐδαμῶς Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου. Ἔστι δὲ τὸ μὲν πῶ Δώριον, τιθέμενον ἀντὶ τοῦ πόθεν· τὸ δὲ μάλα ἤτοι παρέλκει ἢ ἔστιν ἐν ποσοῖς λεγόμενον πώμαλα, οἷον οὐ μάλα, οὐ πάνυ. Πολὺ δ' ἐστὶν ἐν τῇ ἀρχαίᾳ κωμῳδίᾳ. Ἀριστοφάνης. « Λοιδορία τις ἐγένεθ' ὑμῖν; — Πώμαλα· | οὐδ' εἶπον οὐδέν. » Outre ce fragment du *Kokalos* d'Aristophane, voy. *Plut.*, 66.

4-6. Τοὺς χρόνους ἀνελὼν ... ἐξελθεῖν, après vous avoir ôté la possibilité de vous mettre en campagne, en laissant passer le temps où vous auriez pu le faire.

6. Κατεκώλυεν. Cf. § 323.

7. Προσέταττεν. Il faut sous-entendre la particule ἂν, qui se trouve dans les deux phrases coordonnées à celle-ci.

8-9. Ἵνα.... ψηφίσησθ(ε), au subjonctif, comme ἵν' ἐξέλθητε au § 50, et ὅπως ἐξέλθητε au § 52. Il est vrai que les verbes qui suivent immédiatement sont à l'optatif. Mais voyez d'autres exemples de ce mélange des modes chez Krüger, *Gr. Spr.*, § 54, 8, 2. Faut-il y voir une finesse particulière? Les distinctions faites par G. Hermann (*ad Vigerum*, p. 851) et d'autres grammairiens sont quelque peu subtiles.

9-10. Ἐπὶ ταῖς ἐλπίσιν. Cf. § 87 : Ἐπὶ ταύταις ἐλπίσιν.... ποιησάμενοι τὴν εἰρήνην. § 121 : Ἐπὶ ταῖς.... ἐλπίσι ταύταις ἐχειροτονήσατε

14-15. Ἤδη γε, aussitôt. La particule γε marque l'ironie. — Τούτοις est au masculin, τούτων est au neutre.

συνειπεῖν ὅπως ἐξέλθηθ' ὑμεῖς, καὶ τὸν Πρόξενον, ὃν περὶ τοὺς τόπους ᾔδεσαν ὄντα, γράφειν εὐθέως βοηθεῖν; πάντα τοίνυν τἀναντία τούτων φαίνονται πεποιηκότες. Εἰκότως· οὐ γὰρ οἷς ἐπέστελλε προσεῖχον τὸν νοῦν, ἀλλ' ἃ φρονῶν ταῦτ' ἔγραφεν συνῄδεσαν· τούτοις οὖν συνέπραττον καὶ τούτοις συνηγωνίζοντο. [53] Οἱ μὲν τοίνυν Φωκεῖς, ὡς τὰ παρ' ὑμῶν ἐπύθοντ' ἐκ τῆς ἐκκλησίας καὶ τό τε ψήφισμα τοῦτ' ἔλαβον τὸ τοῦ Φιλοκράτους καὶ τὴν ἀπαγγελίαν ἐπύθοντο τὴν τούτου καὶ τὰς ὑποσχέσεις, κατὰ πάντας τοὺς τρόπους ἀπώλοντο. Σκοπεῖτε γάρ. Ἦσαν ἀπιστοῦντές τινες αὐτόθι τῷ Φιλίππῳ καὶ νοῦν ἔχοντες· οὗτοι πιστεύειν ὑπήχθησαν. Διὰ τί; ὅτι ἡγοῦντο, οὐδ' εἰ δε-
358 κάκις Φίλιππος αὐτοὺς ἐξηπάτα, οὐδέποτ' ἂν τούς γ' Ἀθηναίων πρέσβεις Ἀθηναίους ἐξαπατᾶν τολμῆσαι, ἀλλ' εἶναι ταῦτ' ἀληθῆ ἃ οὗτος ἀπήγγειλε πρὸς ὑμᾶς, καὶ τοῖς Θηβαίοις ἥκειν, οὐχ αὑτοῖς ὄλεθρον. [54] Ἦσαν ἄλλοι τινὲς οἳ πάσχειν ὁτιοῦν καὶ ἀμύνεσθαι δεῖν ᾤοντο· ἀλλὰ καὶ τούτους μαλακοὺς ἐποίησε τὸ τὸν Φίλιππον ὑπάρχειν αὐτοῖς πεισθῆναι, καὶ τὸ ταῦτ' εἰ μὴ

NC. 1. ἐξέλθοιτε F et vulg. — 7. τὸ ψήφισμα, ancienne vulgate. — 8. ἀπαγγελίαν S, après correction. ἐπαγγελίαν vulg. — 9. κατὰ πάντας τρόπους Dobree. — 13. πρέσβεις εἰς S et L seuls. — ἀθηναίους, les trois dernières lettres par correction, S. — 14. ἀπήγγελλε S et L. — 17. ἀυτοῖς S, leçon admise dans les dernières éditions par suite d'une interprétation erronée.

5. Τούτοις, à cela, c'est-à-dire à l'esprit, et non à la lettre, de ce que vous mandait Philippe.

13. Ἀθηναίους, les Athéniens, c'est-à-dire leurs concitoyens. Il ne faut pas entendre, avec G. H. Schæfer, « un peuple aussi intelligent que les Athéniens ».

17-1. Τὸ.... πεισθῆναι, la nouvelle (l'affirmation d'Eschine) que Philippe avait été amené (πεισθῆναι) à être pour eux. Voy. § 20 : Ἔφη γὰρ ἥκειν πεπεικὼς Φίλιππον. La locution ὑπάρχειν τινί veut dire « être acquis à quelqu'un ». Cf. § 118 : Ὑπάρξειν ἐκείνῳ. § 140 : Σφεῖς.... ὑπάρξειν αὐτῷ. *Cour.*, § 174 : Ὑπαρχόντων Θηβαίων Φιλίππῳ. — H. Wolf n'avait pas compris ce passage. Mais l'explication de Reiske, adoptée depuis par tous les éditeurs, n'est pas bonne non plus. Reiske traduit : « Reddidit hoc eos molles et torpidos, quod persuasum iis esset, Philippum ipsis amicum et propitium esse. » Mais, s'ils avaient été convaincus de l'amitié de Philippe, ils n'auraient pas faibli, ils auraient, de suite et de leur propre mouvement, abandonné toute idée de résistance. Il y a une différence, qu'il ne faut pas effacer, entre les sentiments de ce parti et du parti dont Démosthène a parlé en premier lieu. La grammaire s'oppose aussi à cette interprétation : ceux qui la suivent, sont obligés de faire dépendre ἥξειν de πεισθῆναι, malgré la répétition de l'article τό. — Καὶ τὸ.... ἥξειν, et la nouvelle que vous marcheriez contre eux, s'ils refusaient de faire ainsi, ταῦτ' εἰ μὴ ποιήσουσιν. Ces derniers mots se réfèrent aux termes du décret cités au § 49. La rédaction en est un peu négligée : τὰ δέοντ' εἰ μὴ ποιήσουσι eût été plus clair.

ποιήσουσιν ὑμᾶς ἐπ' αὐτοὺς ἥξειν, οὓς βοηθήσειν αὐτοῖς ἤλπιζον ἐκεῖνοι. Ἀλλὰ καὶ μεταμέλειν ὑμῖν ᾤοντό τινες πεποιημένοις τὴν πρὸς Φίλιππον εἰρήνην· τούτοις ὅτι καὶ τοῖς ἐκγόνοις τὴν αὐτὴν ἐψηφίσασθ' ἐπέδειξαν, ὥστε πανταχῇ τὰ παρ' ὑμῶν ἀπογνωσθῆναι. Διόπερ ἅπαντα ταῦτ' εἰς ἓν ψήφισμα συνεσκεύασαν. [55] Ὃ καὶ μέγιστον ἔμοιγε δοκοῦσιν ἁπάντων ὑμᾶς ἠδικηκέναι· τὸ γὰρ πρὸς ἄνδρα θνητὸν καὶ διὰ καιρούς τινας ἰσχύοντα γράφοντας εἰρήνην ἀθάνατον συνθέσθαι τὴν κατὰ τῆς πόλεως αἰσχύνην, καὶ ἀποστερῆσαι μὴ μόνον τῶν ἄλλων, ἀλλὰ καὶ τῶν παρὰ τῆς τύχης εὐεργεσιῶν τὴν πόλιν, καὶ τοσαύτῃ περιουσίᾳ χρήσασθαι πονηρίας ὥστε μὴ μόνον τοὺς ὄντας Ἀθηναίους, ἀλλὰ καὶ τοὺς ὕστερόν ποτε μέλλοντας ἔσεσθαι πάντας ἠδικηκέναι, πῶς οὐχὶ πάνδεινόν ἐστι; [56] Τοῦτο τοίνυν οὐδέποθ' ὑμεῖς ὑπεμείνατ' ἂν [ὕστερον] προσγράψαι πρὸς τὴν εἰρήνην, τὸ καὶ τοῖς ἐκγόνοις, εἰ μὴ ταῖς παρ' Αἰσχίνου ῥηθείσαις ὑποσχέσεσιν τότ' ἐπιστεύσατε. Αἷσπερ οἱ Φωκεῖς πιστεύσαντες

NC. 1. ποιήσωσιν S. — 5. απαντα ταῦτα S et L. πάντα ταῦτα vulg. — συνεσκεύασαν S¹ et A. οὗτοι συνεσκεύασαν L et vulg. — 6. Dobree voulait : ὃ δὲ καί. Ce remède serait pire que le mal; mais le mal est réel. Voy. la note explicative. — 9. παρὰ τῶν ἄλλων, ou τῶν παρὰ τῶν ἄλλων vulg. — 14. ὕστερον. Nous avons mis entre crochets ce mot, qui n'est pas seulement inutile, mais fait une fausse antithèse avec τότ(ε). — 16. Faut-il insérer καὶ après αἷσπερ? Cela rendrait la répétition du verbe πιστεύω moins choquante. Dindorf met une virgule avant αἷσπερ.

2-4. Ἀλλὰ καὶ.... ᾤοντό τινες, bien plus, il y en avait même (parmi les Phocidiens) qui pensaient.... — Τα παρ' ὑμῶν, un secours venant de vous.

5. Ἅπαντα ταῦτ(α).... συνεσκεύασαν, ils englobèrent (emballèrent) tout cela dans le même décret. Shilleto rapproche Platon, *Theæt.*, p. 175, E : Στρωματόδεσμον μὴ ἐπιστάμενος συσκευάσασθαι. En effet, ce décret n'étendait pas seulement la paix au delà de la mort de Philippe, mais il menaçait aussi les Phocidiens d'une intervention athénienne, et il confirmait indirectement (Φίλιππον.... τὰ δίκαια ποιήσειν, § 48) les promesses d'Eschine.

6-7. Ὃ καὶ μέγιστον.... ἠδικηκέναι. Le relatif ὃ ne peut être rapporté à la phrase immédiatement précédente, mais se réfère aux mots καὶ τοῖς ἐκγόνοις τὴν αὐτὴν ἐψηφίσασθ(ε). Cela est obscur. Ajoutons que Démosthène se laisse aller ici à une digression très-éloquente, mais qui nous fait perdre de vue le point qu'il veut établir : car il ne s'agit pas ici d'apprécier le décret en lui-même, mais de montrer l'effet qu'il eut sur la conduite des Phocidiens. L'orateur ne semble pas avoir mis la dernière main à ce morceau.

7-9. Πρὸς ἄνδρα.... ἰσχύοντα. Démosthène est convaincu que les succès des Macédoniens tiennent à des circonstances accidentelles, et, à mettre les choses au pis, ne dureront pas au delà de la vie de Philippe. Cf. *Phil.* III, 72. Cela explique sa politique soit avant, soit après la mort de ce prince. — Εἰρήνην.... αἰσχύνην. Paronomase mordante. L'adjectif ἀθάνατον doit être rattaché au second de ces substantifs. La pause entre εἰρήνην et ἀθάνατον fait ressortir la double antithèse.

ἀπώλοντο. Καὶ γάρ τοι παραδόντες αὐτοὺς Φιλίππῳ καὶ ἑκόν-
359 τες ἐγχειρίσαντες ἐκείνῳ τὰς πόλεις ἁπάντων τῶν ἐναντίων ὧν πρὸς ὑμᾶς οὗτος ἀπήγγειλεν ἔτυχον.

[57] Ἵνα δ' εἰδῆτε σαφῶς ὅτι ταῦθ' οὕτω καὶ διὰ τούτους ἀπόλωλε, τοὺς χρόνους ὑμῖν λογιοῦμαι καθ' οὓς ἐγίγνεθ' ἕκαστα. Περὶ ὧν δ' ἄν τις ἀντιλέγῃ τούτων, ἀναστὰς ἐν τῷ ἐμῷ ὕδατι εἰπάτω. Ἡ μὲν τοίνυν εἰρήνη ἐλαφηβολιῶνος ἐνάτῃ ἐπὶ δέκα ἐγένετο, ἀπεδημήσαμεν δ' ἡμεῖς ἐπὶ τοὺς ὅρκους τρεῖς μῆνας ὅλους· καὶ τοῦτον ἅπαντα τὸν χρόνον ἦσαν οἱ Φωκεῖς σῷοι. [58] Ἥκομεν δὲ δεῦρο ἀπὸ τῆς πρεσβείας τῆς ἐπὶ τοὺς ὅρκους τρίτῃ ἐπὶ δέκα τοῦ σκιροφοριῶνος μηνός, καὶ παρῆν ἐν Πύλαις ὁ Φίλιππος ἤδη καὶ τοῖς Φωκεῦσιν ἐπηγγέλλεθ' ὧν οὐδὲν ἐπίστευον ἐκεῖνοι. Σημεῖον δέ· οὐ γὰρ ἂν δεῦρ' ἧκον ὡς ὑμᾶς. Ἡ δ' ἐκκλησία μετὰ ταῦτα, ἐν ᾗ πάντα τὰ πράγματ' ἀπώλεσαν οὗτοι ψευσάμενοι καὶ φενακίσαντες ὑμᾶς, τῇ ἕκτῃ ἐπὶ δέκα ἐγίγνετο τοῦ σκιροφοριῶνος. [59] Ἀπὸ τοίνυν ταύτης πεμπταῖα λογίζομαι τὰ παρ' ὑμῶν ἐν τοῖς Φωκεῦσι γενέσθαι· παρῆσαν γὰρ οἱ τῶν Φωκέων πρέσβεις ἐνθάδε, καὶ ἦν αὐτοῖς καὶ τί ἀπαγγελοῦσιν οὗτοι καὶ τί ψηφιεῖσθ' ὑμεῖς ἐπιμελές. Οὐκοῦν εἰκάς, ᾗ τίθεμεν πυθέσθαι τοὺς Φωκέας τὰ παρ' ὑμῶν·

NC. 2. ἐγχειρήσαντες S et L. — 11. τριτη επιδεκατη (sans του) S. — 11-12. ὁ Φίλιππος ἐν Πύλαις S et L. L'ordre des mots de la vulgate nous semble préférable. — 16. τοῦ σκιροφοριῶνος ἐγίγνετο vulg. Il faut peut-être retrancher les mots τοῦ σκιροφοριῶνος. — 17. λογίζομαι καὶ ancienne vulg. — 19. ἀπαγγέλλουσιν S et L. — ἐπιμελές S seul. ἐπιμελές εἰδέναι L et vulg.

2. Ἁπάντων τῶν ἐναντίων ὧν..., tout ce qu'il y a de contraire à ce que....

5. Τοὺς χρόνους, les dates. On a dit que le morceau qui suit se rapportait au cinquième des points énumérés au paragraphe 4, les χρόνοι dont un ambassadeur doit rendre compte. Malgré l'identité des termes, nous ne le pensons pas. Ce point regarde uniquement le plus ou moins de promptitude que des ambassadeurs peuvent mettre à s'acquitter de leur mission, et il ne sera traité que plus bas, aux paragraphes 150 sqq.

6-7. Τούτων est gouverné par τις. — Ἐν τῷ ἐμῷ ὕδατι, dans le temps qui m'est accordé. On sait que ce temps était mesuré par la clepsydre. Cf. *Cour.*, 139, et *passim*.

8-9. Τρεῖς μῆνας ὅλους. Il y a presque trois mois entre les deux dates mentionnées ici par Démosthène; mais les ambassadeurs ne partirent pas tout de suite après le vote de la paix : cf. § 154 ; Eschine, *Amb.*, § 91.

16-17. Ἀπὸ τοίνυν ταύτης.... γενέσθαι, je compte que la nouvelle de ce qui s'était passé dans votre assemblée est venue dans la Phocide le cinquième jour après cette date, c'est-à-dire le 20 de scirophorion, εἰκάς, l. 20.

ἀπὸ γὰρ τῆς ἕκτης εἰς ταύτην πέμπτη γίγνεται. Ὑστέρα τοίνυν δεκάτη, ἐνάτη, ὀγδόη· ταύτῃ ἐγίγνονθ' αἱ σπονδαί, καὶ πάντα τάκεῖ πράγματ' ἀπωλώλει καὶ τέλος εἶχεν. [60] Τῷ τοῦτο δῆλον; τῇ τετράδι φθίνοντος ἠκκλησιάζετε μὲν τόθ' ὑμεῖς ἐν Πειραιεῖ περὶ τῶν ἐν τοῖς νεωρίοις, ἧκε δὲ Δερκύλος ἐκ Χαλκί- 360 δος, καὶ ἀπήγγελλεν ὑμῖν ὅτι πάντα τὰ πράγματ' ἐγκεχείρικε Θηβαίοις ὁ Φίλιππος, καὶ πέμπτην εἶναι ταύτην ἡμέραν [ἐλογίζετ'] ἀφ' οὗ γεγόνασιν αἱ σπονδαί. Ὀγδόη τοίνυν, ἑβδόμη, ἕκτη, πέμπτη, τετράς· αὐτὸ συμβαίνει εἰς ταύτην εἶναι πέμπτην. Οὐκοῦν τοῖς χρόνοις, οἷς ἀπήγγελλον, οἷς ἔγραφον, πᾶσιν ἐξελέγχονται συνηγωνισμένοι Φιλίππῳ καὶ συναίτιοι γεγονότες τοῦ τῶν Φωκέων ὀλέθρου. [61] Ἔτι τοίνυν τὸ μηδεμίαν τῶν πόλεων τῶν ἐν Φωκεῦσιν ἁλῶναι πολιορκίᾳ μηδ' ἐκ προσβολῆς κατὰ κράτος, ἀλλ' ἐκ τοῦ σπείσασθαι πάντας ἄρδην ἀπολέσθαι, μέγιστόν ἐστι σημεῖον τοῦ διὰ τούτους πεισθέντας αὐτοὺς ὡς ὑπὸ τοῦ Φιλίππου σωθήσονται ταῦτα παθεῖν· οὐ γὰρ ἐκεῖνόν γ' ἠγνόουν. Φέρε δή μοι καὶ τὴν συμμαχίαν τὴν τῶν Φωκέων καὶ τὰ δόγμαθ' ὑφ' ὧν καθεῖλον αὐτῶν τὰ τείχη, ἵν' εἰδῆτε, οἵων ὑπαρχόντων αὐτοῖς παρ' ὑμῶν, οἵων ἔτυχον διὰ τούτους τοὺς θεοῖς ἐχθρούς. Λέγε.

NC. 1. ἀπὸ.... γίγνεται : mots écartés par Herwerden. — 4. τόθ' ὑμεῖς S et L. ὑμεῖς τότ' vulg. ὑμεῖς A. — 5-6. ἧκεν S. — ἀπήγγειλεν vulg. L'imparfait s'accorde avec ἐγίγνετο (§ 58) et ἐγίγνοντο (§ 59). — 7. ἡμέραν εἶναι ταύτην vulg. — ἐλογίζετ' est avec raison écarté par Cobet, *l. c.* Le verbe λογίζομαι était à sa place au commencement du paragraphe 59. — 13. τῶν ἐν Φωκεῦσιν. Weidner, *l. c.*, écarte ces mots. — 14. κατὰ κράτος. Cobet veut retrancher ces mots. Cf. la note explicative. — 18. καθεῖλον S et L seuls. καθεῖλεν vulg. — 19. οἵων.... οἵων L et vulg. ὧν.... οἵων (non : οἵων.... ὧν) S. L'antithèse semble demander la répétition du même pronom. — 20. τουτουσὶ S, par correction, et L.

1. Ἀπὸ γὰρ.... γίγνεται, car le cinquième jour depuis le sixième (de la deuxième décade, c'est-à-dire le seizième) tombe sur celui-ci (le vingtième). [Shilleto.]

2. Δεκάτη, ἐνάτη, ὀγδόη, le vingt et un, le vingt-deux, le vingt-trois. La troisième décade se comptait à rebours. — Αἱ σπονδαί. Le traité de Philippe avec les Phocidiens.

5. Ἧκε δὲ Δερκύλος. Cf. § 125, avec la note.

9. Αὐτὸ συμβαίνει· ἀντὶ τοῦ ἀκριβῶς συμβαίνει. [Schol.]

10-11. Τοῖς χρόνοις.... πᾶσιν, ἐξελέγχονται, les dates, leurs rapports, leurs décrets, tout enfin les convainc

14. Κατὰ κράτος. Après avoir dit « ni par un siége, ni par un assaut », l'orateur ajoute la locution générale « de force », afin de mieux faire ressortir l'antithèse. Cf. *NC.*

18. Ὑφ' ὧν καθεῖλον αὐτῶν τὰ τείχη,

ΣΥΜΜΑΧΙΑ ΦΩΚΕΩΝ ΚΑΙ ΑΘΗΝΑΙΩΝ.

[62] Ἃ μὲν τοίνυν ὑπῆρχε παρ' ὑμῶν αὐτοῖς, ταῦτ' ἐστὶ, φιλία, συμμαχία, βοήθεια· ὧν δ' ἔτυχον διὰ τοῦτον τὸν βοηθῆσαι κωλύσανθ' ὑμᾶς, ἀκούσατε. Λέγε.

ΟΜΟΛΟΓΙΑ ΦΙΛΙΠΠΟΥ ΚΑΙ ΦΩΚΕΩΝ.

Ἀκούετ', ὦ ἄνδρες Ἀθηναῖοι. Ὁμολογία Φιλίππου καὶ Φωκέων, φησὶν, οὐχὶ Θηβαίων καὶ Φωκέων, οὐδὲ Θετταλῶν καὶ Φωκέων, οὐδὲ Λοκρῶν, οὐδ' ἄλλου τῶν παρόντων οὐδενός· καὶ πάλιν, παραδοῦναι δὲ τὰς πόλεις Φωκέας, φησί, Φιλίππῳ, οὐχὶ
361 Θηβαίοις οὐδὲ Θετταλοῖς οὐδ' ἄλλῳ οὐδενί. [63] Διὰ τί; ὅτι Φίλιππος ἀπηγγέλλετο πρὸς ὑμᾶς ὑπὸ τούτου ἐπὶ τῇ τῶν Φωκέων σωτηρίᾳ παρεληλυθέναι. Τούτῳ δὴ πάντ' ἐπίστευον, καὶ πρὸς τοῦτον πάντ' ἐσκόπουν, πρὸς τοῦτον ἐποιοῦντο τὴν εἰρήνην. Λέγε δὴ τἀπίλοιπα. Καὶ σκοπεῖτε τί πιστεύσαντες τί ἔπασχον. Ἆρά γ' ὅμοια ἢ παραπλήσια οἷς οὗτος ἀπήγγελλεν; Λέγε.

ΔΟΓΜΑΤΑ ΑΜΦΙΚΤΥΟΝΩΝ.

[64] Τούτων, ὦ ἄνδρες Ἀθηναῖοι, δεινότερ' οὐ γέγονεν οὐδὲ μείζω πράγματ' ἐφ' ἡμῶν ἐν τοῖς Ἕλλησιν, οἶμαι δ' οὐδ' ἐν τῷ πρόσθεν χρόνῳ. Τηλικούτων μέντοι καὶ τοιούτων πραγμάτων

NC. 1. Ἀθηναίων καὶ Φωκέων vulg. — 2. μενον (μεν οὖν, par correction) S, pour μὲν. — 9. φησὶ Φωκέας vulg. — 14. τί πιστεύσαντες τί vulg. τίνα.... τί S. οἷα (τι au-dessus de la ligne) ....τι L. οἷα.... οἷα A. τίνα.... τίνα Dobree. — ἔπασχον S seul. ἔπαθον vulg. — 15. ἀπήγγειλε vulg. — 16. δόγματα quelques manuscrits. δόγμα S, L et vulg. Cf. §§ 61 et 64.

au moyen desquels ils renversèrent leurs murs. Il faut sous-entendre οὗτοι, c'est-à-dire Eschine et consorts.

7. Φησίν, dit (porte) le document. Cf. *Phil.* III, 42, et *passim*.

12. Παρεληλυθέναι : sous-ent. εἴσω Πυλῶν. Cf. *Chers.*, § 30.

12-13. Τούτῳ.... τοῦτον.... τοῦτον. Ces démonstratifs désignent-ils Philippe, comme la plupart l'entendent? ou Eschine, qui est désigné par le même pronom dans ce qui suit? Cette dernière interprétation, qui est celle de Shilleto, convient mieux au raisonnement de Démosthène et donne plus de force à l'accusation. Les deux premiers membres de phrase préparent l'hyperbole du troisième : « c'est avec lui qu'ils faisaient la paix. »

κύριος εἷς ἀνὴρ [Φίλιππος] γέγονεν διὰ τούτους, οὔσης τῆς Ἀθηναίων πόλεως ᾗ προεστάναι τῶν Ἑλλήνων πάτριον καὶ μηδὲν τοιοῦτον περιορᾶν γιγνόμενον. Ὃν μὲν τοίνυν τρόπον οἱ ταλαίπωροι Φωκεῖς ἀπολώλασιν, οὐ μόνον ἐκ τῶν δογμάτων τούτων ἔστιν ἰδεῖν, ἀλλὰ καὶ ἐκ τῶν ἔργων ἃ πέπρακται. [65] Θέαμα δεινόν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ἐλεεινόν· ὅτε γὰρ νῦν ἐπορευόμεθ' εἰς Δελφούς, ἐξ ἀνάγκης ἦν ὁρᾶν ἡμῖν πάντα ταῦτα, οἰκίας κατεσκαμμένας, τείχη περιῃρημένα, χώραν ἔρημον τῶν ἐν ἡλικίᾳ, γύναια δὲ καὶ παιδάρι' ὀλίγα καὶ πρεσβύτας ἀνθρώπους οἰκτρούς· οὐδ' ἂν εἷς δύναιτ' ἐφικέσθαι τῷ λόγῳ τῶν ἐκεῖ κακῶν νῦν ὄντων. Ἀλλὰ μὴν ὅτι τὴν ἐναντίαν ποτὲ Θηβαίοις ψῆφον ἔθενθ' οὗτοι περὶ ἡμῶν ὑπὲρ ἀνδραποδισμοῦ προτεθεῖσαν, ὑμῶν ἔγωγ' ἀκούω πάντων. [66] Τίν' ἂν οὖν οἴεσθ', ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς προγόνους ὑμῶν, εἰ λάβοιεν αἴσθησιν, 382
ψῆφον ἢ γνώμην θέσθαι περὶ τῶν αἰτίων τοῦ τῶν Φωκέων ὀλέθρου; Ἐγὼ μὲν γὰρ οἶμαι κἂν καταλεύσαντας αὐτοὺς ταῖς ἑαυτῶν χερσὶν καθαροὺς ἔσεσθαι νομίζειν. Πῶς γὰρ οὐκ αἰσχρόν,

NC. 1. Φίλιππος : glose reconnue par Cobet. — γέγονεν S. — 6. νῦν δὴ Cobet. — 10. οὐδ' S. ὅλως δ' οὐδ' L et vulg. — ἐφικέσθαι δύναιτο vulg. — 12. Faut-il écrire προτεθεισῶν (sous-entendu ψήφων)? ou προτεθεισῶν γνωμῶν (mot facilement omis avant ὑμῶν), en supprimant ψῆφον? — 13. Je propose : ὑμῶν ἐγῷμαι (cf. § 117) ἀκούειν πάντα τινά. — τιναν (la dernière lettre imparfaitement grattée) S. τίνα (sans ἄν) L et d'autres manuscrits. — 15. ἢ γνώμην. On se passerait volontiers de ces deux mots. — τοῦτον (pour τοῦ τῶν) et, au commencement d'une autre ligne, ων S, les quatre lettres φωκε ayant été d'abord omises. — 17. χερσὶ S.

5-6. Θέαμα.... ἐλεεινόν. Tibérius, *De fig.*, § 42, considère avec raison ces mots comme formant un sens à part, le verbe substantif restant sous-entendu. Du reste les rhéteurs grecs citent à l'envi ce passage pathétique.

6. Νῦν équivaut à ἀρτίως. On voit par ce passage que Démosthène avait été dans cette année un des représentants athéniens délégués à l'assemblée amphictyonique de Delphes. Cf. Eschine, *Contre Ctés.*, § 113.

11-12. Τὴν ἐναντίαν ποτὲ Θηβαίοις.... περὶ ἡμῶν. C'était vers la fin de la guerre du Péloponnèse, quand les Lacédémoniens et leurs alliés délibérèrent sur le sort d'Athènes. Cf. Xénophon, *Hellén.*, II, 2, 19. — Ὑπὲρ ἀνδραποδισμοῦ προτεθεῖσαν. Le sens est : « Lorsqu'on mit au vote si les Athéniens seraient réduits en esclavage. » Mais l'expression laisse à désirer. Ψήφους, ou ψῆφον, προτιθέναι περί τινος veut dire « faire voter sur une question » : cf. γνώμας προθεῖναι, Thucyd., III, 36 ; VI, 14. Mais dans cette locution, ψῆφον a un sens général, tandis qu'ici τὴν ἐναντίαν.... ψῆφον désigne un vote particulier, favorable aux Athéniens. Voir *NC*.

13. Ὑμῶν.... πάντων, je l'entends, moi, dire à vous tous. Cela est étrange. Cf. *NC*.

15. Ψῆφον ἢ γνώμην, vote ou avis. Cf. *NC*.

16-17. Κἂν νομίζειν. En style direct : Ἐνόμιζον ἂν καὶ καταλεύσαντες αὐτοὶ ταῖς ἑαυτῶν χερσίν ἔσεσθαι καθαροί (purs de toute souillure).

μᾶλλον δ' εἴ τις ἔστιν ὑπερβολὴ τούτου, τοὺς σεσωκότας ἡμᾶς τότε [καὶ] τὴν σῴζουσαν περὶ ἡμῶν ψῆφον θεμένους, τούτους τῶν ἐναντίων τετυχηκέναι διὰ τούτους, καὶ περιῶφθαι τοιαῦτα πεπονθότας οἷ' οὐδένες ἄλλοι τῶν Ἑλλήνων; Τίς οὖν ὁ τούτων αἴτιος; τίς ὁ ταῦτα φενακίσας; οὐχ οὗτος;

[67] Πολλὰ τοίνυν ἄν τις, ὦ ἄνδρες Ἀθηναῖοι, Φίλιππον εὐδαιμονίσας τῆς τύχης, εἰκότως τοῦτο μάλιστ' ἂν εὐδαιμονίσειεν ἁπάντων, οὗ μὰ τοὺς θεοὺς καὶ τὰς θεὰς οὐκ ἔχω λέγειν ἔγωγ' ἄλλον ὅστις τετύχηκεν ἐφ' ἡμῶν. Τὸ μὲν γὰρ πόλεις μεγάλας εἰληφέναι καὶ χώραν πολλὴν ὑφ' ἑαυτῷ πεποιῆσθαι καὶ πάντα τὰ τοιαῦτα ζηλωτὰ μέν ἐστιν, οἶμαι, καὶ λαμπρά· πῶς γὰρ οὔ; ἔχοι δ' ἄν τις εἰπεῖν πεπραγμένα καὶ ἑτέροις πολλοῖς. [68] Ἀλλ' ἐκεῖν' ἴδιον καὶ οὐδενὶ τῶν πάντων ἄλλῳ γεγονὸς εὐτύχημα. Τὸ ποῖον; τὸ, ἐπειδὴ πονηρῶν ἀνθρώπων εἰς τὰ πράγματ' αὐτῷ ἐδέησεν, πονηροτέρους εὑρεῖν ἢ ἐβούλετο. Πῶς γὰρ οὐχ οὗτοι τοιοῦτοι δικαίως ὑποληφθεῖεν ἄν, οἵ γε, ἃ ὑπὲρ αὑτοῦ Φίλιππος τηλικούτων ὄντων αὐτῷ τῶν διαφόρων οὐκ ἐτόλμα ψεύσασθαι, οὐδ' ἔγραψεν οὔτ' εἰς ἐπιστολὴν οὐδεμίαν, οὔτε πρεσβευτὴς οὐδεὶς εἶπε τῶν παρ' ἐκείνου, ἐπὶ ταῦτα μισθώσαντες ἑαυτοὺς ὑμᾶς ἐξηπάτων; [69] Καὶ ὁ μὲν Ἀντί-

NC. 1. του τους (pour τούτου τοὺς) S[1]. — 2. Je regarde καὶ comme une mauvaise interpolation. De même Weidner. — 6. πολλὰ μὲν vulg. — 8-9. ὀὺ (οὗ).... εὐτετύχηκεν S, L (avant correction), et d'autres manuscrits. ὃ.... εὐτύχηκεν vulg. Il y avait donc deux leçons, cette dernière, et (Sauppe l'a vu) οὗ.... τετύχηκεν. — 12. ούκ; S. — 16. οἵγε S, A, L. εἴγε et, l. 20, οὗτοι μισθώσαντες vulg. — 17. ὃ ὑπὲρ αὐτοῦ. Variante : ὑπὲρ ὧν αὐτός. — διαφορῶν S et L, ainsi que schol. — 18-19 οὐδ' ἔγραψεν οὔτ' εἰς ἐπιστολὴν οὐδεμίαν, οὔτε S et L[1]. οὔτ' εἰς ἐπιστολὴν γράψαι οὐδεμίαν, οὐδὲ vulg. οὐδὲ γράψαι οὔτ'.... οὔτε A, ce qui est un mélange des deux leçons.

1. Μᾶλλον δ' εἴ τις ἔστιν ὑπερβολὴ τούτου équivaut à μᾶλλον δ' ὑπερβολὴ τούτου, εἴ τις ἔστιν, ou plutôt plus que honteux, si cela est possible.

4. Οὐδένες, aucun peuple.

7. Τοῦτο. En quoi consiste ce bonheur particulier? L'orateur s'en expliquera plus bas, dans les mots : Ἀλλ' ἐκεῖν' ἴδιον.... (§ 68).

17. Διαφόρων (de διάφορον), intérêts.

18-19. Οὐδ' ἔγραψεν οὔτ' εἰς ἐπιστολὴν..., οὔτε πρεσβευτὴς εἶπεν.... Οὐκ ἐτόλμα est nécessairement suivi de οὐδέ (non οὔτε), conjonction commune aux deux membres de phrase qu'elle précède. Ceux-ci sont opposés entre eux au moyen de οὔτε.... οὔτε. Mais, comme on ne saurait dire οὐδ' οὔτ' ἔγραψεν, le premier οὔτε a dû être transposé après le verbe. Cf. Thucydide, V, 7, 2 : Καὶ γὰρ οὐδὲ ἐφαίνετο οὔτ' ἐπὶ τοῦ τείχους οὐδεὶς οὔτε κατὰ πύλας ἐξῄει. [Vœmel.]

πατρος καὶ ὁ Παρμενίων, δεσπότῃ διακονοῦντες καὶ οὐ μέλλοντες ὑμῖν μετὰ ταῦτ' ἐντεύξεσθαι, ὅμως τοῦθ' εὕροντο, μὴ 383
δι' αὐτῶν ὑμᾶς ἐξαπατηθῆναι. Οἱ δ' Ἀθηναίων, τῆς ἐλευθερωτάτης πόλεως, πρέσβεις ταχθέντες [ὑμᾶς], οἷς ἀπαντῶντας ἐμβλέπειν, οἷς συζῆν ἀνάγκη τὸν λοιπὸν βίον καὶ ἐν οἷς εὐθύνας ἔμελλον δώσειν τῶν πεπραγμένων, τούτους ἐξαπατᾶν ὑπέστησαν. Πῶς ἂν ἄνθρωποι κακίους ἢ μᾶλλον ἀπονενοημένοι τούτων γένοιντο;

[70] Ἵνα τοίνυν εἰδῆθ' ὅτι καὶ κατάρατός ἐστιν ὑφ' ὑμῶν, καὶ οὐδ' ὅσιον ὑμῖν οὐδ' εὐσεβές ἐστι τοιαῦτ' ἐψευσμένον αὐτὸν ἀφεῖναι, λέγε τὴν ἀρὰν καὶ ἀνάγνωθι λαβὼν τὴν ἐκ τοῦ νόμου ταυτηνί.

ΑΡΑ.

Ταῦθ' ὑπὲρ ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, καθ' ἑκάστην τὴν ἐκκλησίαν ὁ κῆρυξ εὔχεται νόμῳ προστεταγμένα, καὶ ὅταν ἡ βουλὴ καθῆται, παρ' ἐκείνῃ πάλιν. Καὶ ταῦτ' οὐκ ἔνεστιν εἰπεῖν τούτῳ ὡς οὐκ εὖ ᾔδει· ὑπογραμματεύων γὰρ ὑμῖν καὶ ὑπηρετῶν τῇ βουλῇ αὐτὸς ἐξηγεῖτο τὸν νόμον τοῦτον τῷ κήρυκι. [71] Πῶς οὖν οὐκ ἄτοπον καὶ ὑπερφυὲς ἂν πεποιηκότες ὑμεῖς εἴητε, εἰ ἃ προστάττετε, μᾶλλον δ' ἀξιοῦτε ποιεῖν ὑπὲρ

KC. 2. μετὰ ταῦθ' ὑμῖν vulg. — 2. εὕροντο τὸ vulg. εὗρον τὸ A. — 3. Ἀθηναίων, ancienne vulgate, Bekker et Dindorf. Ἀθηναῖοι S et la plupart des manuscrits. — 4. ὑμᾶς. Nous avons mis entre crochets ce pronom parasite. — 9. ὑμῖν οὐδ' εὐσεβές. Ces mots sont omis dans F. — 10. αὐτὸν manque dans L seul. — 11. λαβὲ τὴν ἀρὰν A. — 14. ἑκάστην τὴν S et L. ἑκάστην vulg. — 20. εἰ ἄρ' ἃ vulg. Mais ἄρα manque dans L, F, A, et est pointé dans S. Cette particule serait à sa place si l'on écrivait, d'après la vulgate, ποιήσετε (p. 272, l. 2) et ἀφίετε (l. 3). Mais il ne faut pas la conserver à côté de ποιήσαιτε et de ἀφείητε (ἀφιητε S et L). — δ', avant ἀξιοῦτε, omis par S[1]. — ποιήσειν vulg.

1-2. Δεσπότῃ. Cf. τοὺς δούλους, *Phil.* III, 32, avec la note. — Εὕροντο, ils obtinrent. Cf. *Phil.* II, 12, avec la note.

10-11. Οὐδ' ὅσιον.... οὐδ' εὐσεβές, *ne fas quidem neque pium*. Cf. *Aristog.* I, 54 : Οὐθ' ὅσιον οὔτε θέμις. — Λέγε.... καὶ ἀνάγνωθι. Cf. *Cour.*, § 305. Le second verbe précise le premier. Cf. λέγειν καὶ διεξιέναι (*Lept.*, § 163), et beaucoup d'autres tournures semblables.

13. ΑΡΑ. Dinarque, *Aristog.*, § 16, indique ainsi la substance de cette imprécation : Καθ' ἑκάστην <ἐκκλησίαν> δημοσίᾳ κατὰ τῶν πονηρῶν ἀρὰς ποιούμενοι, εἴ τις δῶρα λαμβάνων μετὰ ταυτα λέγει καὶ γιγνώσκει περὶ τῶν πραγμάτων, ἐξώλη τοῦτον εἶναι.

16-18. Καὶ ταῦτ(α).... Tournure très naturelle pour amener méchamment l'occasion de rappeler les humbles débuts d'Eschine. — Ἐξηγεῖτο, *praeibat*.

19-20. Ὑπερφυές, inouï. — Προστάττετε, μᾶλλον δ' ἀξιοῦτε. Le premier de ces verbes signifie : « charger un autre de

ὑμῶν τοὺς θεούς, ταῦτ' αὐτοὶ κύριοι γεγενημένοι τήμερον μὴ
ποιήσαιτε, ἀλλ' ὃν ἐκείνοις εὔχεσθ' ἐξώλη ποιεῖν αὐτὸν καὶ
γένος καὶ οἰκίαν, τοῦτον ἀφείητ' αὐτοί; Μηδαμῶς· ὃς γὰρ ἂν
ὑμᾶς λάθῃ, τοῦτον ἀφίετε τοῖς θεοῖς κολάζειν· ὃν δ' ἂν αὐτοὶ
λάβητε, μηκέτ' ἐκείνοις περὶ τούτου προστάττετε.

[72] Εἰς τοίνυν τοῦτ' ἀναιδείας καὶ τόλμης αὐτὸν ἥξειν
ἀκούω, ὥστε πάντων τῶν πεπραγμένων ἐκστάντα, ὧν ἀπήγ-
γειλεν, ὧν ὑπέσχετο, ὧν πεφενάκικε τὴν πόλιν, ὥσπερ ἐν ἄλ-
364 λοις τισὶ κρινόμενον καὶ οὐκ ἐν ὑμῖν τοῖς ἅπαντ' εἰδόσιν, πρῶτον
μὲν Λακεδαιμονίων, εἶτα Φωκέων, εἶθ' Ἡγησίππου κατηγο-
ρήσειν. Ἔστι δὲ ταῦτα γέλως, μᾶλλον δ' ἀναισχυντία δεινή.
[73] Ὅσα γὰρ νῦν ἐρεῖ περὶ τῶν Φωκέων ἢ τῶν Λακεδαιμο-
νίων ἢ τοῦ Ἡγησίππου, ὡς Πρόξενον οὐχ ὑπεδέξαντο, ὡς ἀσε-
βεῖς εἰσὶν, ὡς — ὅ τι ἂν δήποτ' αὐτῶν κατηγορῇ, πάντα δήπου
ταῦτα πρὸ τοῦ τοὺς πρέσβεις τούτους δεῦρ' ἥκειν ἐπέπρακτο,
καὶ οὐκ ἦν ἐμποδὼν τῷ τοὺς Φωκέας σῴζεσθαι, ὡς τίς φησιν;
Αἰσχίνης αὐτὸς οὑτοσί. [74] Οὐ γὰρ ὡς εἰ μὴ διὰ Λακεδαιμο-

NC. 1. ταῦθ' οἱ S et L seuls, avec indication de la leçon ταῦτ' αὐτοί. — 4. ὃν δ' αὐτοὶ vulg. — 6. ἥξειν αὐτὸν F. — 9. πάντ' F. — εἰδόσιν S. — 13-14. ἢ ὡς Πρόξενον.... ἢ ὡς.... ἢ ὡς.... vulg. et, sauf le premier ἢ, L. — 16. ὡς τίς φησιν; Il faut certainement un point d'interrogation après ces mots, quoi qu'en dise Vœmel, qui traduit « ut quidam dicit ».

faire quelque chose pour nous, à notre place ». Cf. *Olynth.* II, 23 : Οὐδὲ τοῖς φίλοις ἐπιτάττειν ὑπὲρ αὐτοῦ τι ποιεῖν, μήτι γε δὴ τοῖς θεοῖς. Le verbe ἀξιοῦν veut dire : « demander comme une chose juste et légitime » (« expect, claim of another « as a right » [Shilleto]). En se reprenant, Démosthène ajoute donc une idée nouvelle, se sert d'un mot plus expressif.

7-8. Πάντων.... ἐκστάντα, se retirant (c'est-à-dire faisant abstraction) de tout ce qu'il a fait. — Ὧν ἀπήγγειλεν.... τὴν πόλιν. Ces mots indiquent positivement que, des cinq points énumérés au paragraphe 4, les deux premiers (ἃ ἀπήγγειλεν et ἃ ἔπεισεν) ont été exposés dans ce qui précède, et que l'orateur va maintenant réfuter d'avance ce qu'Eschine pourra dire pour se justifier sur ces deux points.

10. Λακεδαιμονίων. Cf. § 76 sq. — Φωκέων. Après avoir demandé des secours à Athènes, les Phocidiens refusèrent brutalement de les laisser entrer dans leur pays. Mais cela eut lieu à l'époque du retour de la *première* ambassade, quand les Athéniens allaient délibérer sur la paix. Cf. Eschine, § 132-135, qui se sert, en effet, de ces faits dans l'intérêt de sa défense. — Ἡγησίππου. Un des amis politiques de Démosthène et l'auteur présumé du discours sur l'Halonnèse. A. Schæfer (II, p. 260) soupçonne qu'Hégésippe empêcha les Athéniens de répondre à l'appel de Philippe mentionné au paragraphe 51, et qu'il pouvait être accusé d'avoir irrité le roi par cette marque de défiance. Cf. Eschine, § 137.

14. Αὐτῶν ne se rapporte pas seulement aux Phocidiens, mais aussi aux Lacédémoniens et à Hégésippe.

15. Τοὺς πρέσβεις τούτους, Eschine et les autres qui vous ont trompés. C'est à dessein que Démosthène ne dit pas πρὸ τοῦ ἡμᾶς ἀπὸ τῆς πρεσβείας δεῦρ' ἥκειν.

17. Εἰ μὴ διὰ Λακεδαιμονίους, si cela

νίους, οὐδ' ὡς εἰ μὴ Πρόξενον οὐχ ὑπεδέξαντο, οὐδ' ὡς εἰ μὴ δι' Ἡγήσιππον, οὐδ' ὡς εἰ μὴ διὰ τὸ καὶ τὸ ἐσώθησαν ἂν οἱ Φωκεῖς, οὐχ οὕτω τότ' ἀπήγγειλεν, ἀλλὰ πάντα ταῦθ' ὑπερϐὰς διαρρήδην ἥκειν πεπεικὼς ἔφη Φίλιππον Φωκέας σῴζειν, τὴν Βοιωτίαν οἰκίζειν, ὑμῖν τὰ πράγματ' οἰκεῖα ποιεῖν· ταῦτα πεπράξεσθαι δυοῖν ἢ τριῶν ἡμερῶν· διὰ ταῦτα χρήμαθ' ἑαυτῷ τοὺς Θηϐαίους ἐπικεκηρυχέναι. [75] Μὴ τοίνυν ἃ πρὸ τοῦ τοῦτον ἀπαγγεῖλαι ταῦτ' ἐπέπρακτ' ἢ Λακεδαιμονίοις ἢ Φωκεῦσιν ἀκούετε μηδ' ἀνέχεσθε, μηδὲ κατηγορεῖν ἐᾶτε Φωκέων, ὡς πονηροί. Οὐδὲ γὰρ Λακεδαιμονίους διὰ τὴν ἀρετὴν αὐτῶν ποτ' ἐσώσατε, οὐδὲ τοὺς καταράτους Εὐϐοέας τουτουσί, οὐδ' ἄλλους πολλούς, ἀλλ' ὅτι συμφέρον ἦν σῶς εἶναι τῇ πόλει, ὥσπερ Φωκέας νυνί. Καὶ τί τῶν Φωκέων ἢ τῶν Λακεδαιμονίων ἢ ὑμῶν ἢ ἄλλου τινὸς ἀνθρώπων μετὰ τοὺς παρὰ τούτου λόγους ἐξαμαρτόντος οὐκ ἀπέϐη τὰ πρὸς ὑμᾶς ὑπὸ τούτου τότε ῥηθέντα; τοῦτ' ἐρωτᾶτε· 365 οὐ γὰρ ἕξει δεῖξαι. [76] Πέντε γὰρ ἡμέραι γεγόνασι μόναι, ἐν αἷς οὗτος ἀπήγγειλε τὰ ψευδῆ, ὑμεῖς ἐπιστεύσατε, οἱ Φωκεῖς ἐπύθοντο, ἐνέδωκαν ἑαυτούς, ἀπώλοντο. Ὅθεν, οἶμαι, καὶ δῆλόν ἐστι σαφῶς ὅτι ἡ πᾶσ' ἀπάτη καὶ τέχνη συνεσκευάσθη τοῦ περὶ Φωκέας ὀλέθρου. Ὃν μὲν γὰρ χρόνον οὐχ οἷός τ' ἦν ἐλθεῖν

NC. 4. πεπεικὼς ἔφη S et L. ἔφη πεπεικὼς vulg. — 5. πεπράξεσθε S. — 6. διὰ S et vulg. καὶ διὰ L et A. — τοῦτο (comme au paragraphe 35) Vœmel. — 9. οὐ (pour οὐδέ) S[1] (à la fin d'une ligne), L. — 16. ἡμέραι γέγονασι S et L. γεγόνασιν ἡμέραι vulg. — 19. ἡ πᾶσα Sauppe. πᾶσ' ἡ Markland. πᾶσα manuscrits. — 20. τοὺς Φωκέας vulg.

n'avait manqué par la faute des Lacédémoniens. Cette locution elliptique est usuelle : cf. § 90, à la fin, et *passim*.

1. Οὐχ ὑπεδέξαντο. Ces deux mots font corps, et équivalent à ἀπεώσαντο.

5. Ὑμῖν τὰ πράγματ' οἰκεῖα ποιεῖν, arranger les choses dans votre intérêt, suivant vos convenances.

8-9. Μηδ' ἀνέχεσθε, sous-ent. λέγοντος. Cf. § 82. [Shilleto.]

10-11. Λακεδαιμονίους.... ἐσώσατε. Du temps d'Épaminondas.—Εὐϐοέας. En 357 : cf. *Cherson.* § 74 et *passim*. Il les appelle τοὺς καταράτους τουτουσί à cause de la trahison dont les Athéniens avaient été victimes dans leur dernière campagne d'Eubée. Voyez *Paix*, § 5, avec la note.

12-14. Τί τῶν Φωκέων.... ἢ ἄλλου τινός;.... ἐξαμαρτόντος;, par suite de quelle faute commise par les Phocidiens.... ou par quelque autre.

15. Ἀπέϐη, se sont accomplis. Cf. Thucydide, IV, 39 : Καὶ τοῦ Κλέωνος καίπερ μανιώδης οὖσα ἡ ὑπόσχεσις ἀπέϐη. [Shilleto.]

19-20. Ἡ πᾶσ' ἀπάτη.... ὀλέθρου, toute cette mystification ne fut combinée qu'en vue de la ruine de la Phocide. Πᾶσ' ἀπάτη, sans article (cf. *NC*), signifierait « toute espèce de tromperie ». Mais ce n'est pas là ce que l'orateur veut dire ni ce qu'on peut inférer de ce que le discours d'Eschine a été immédiatement suivi de cette catastrophe.

ὁ Φίλιππος διὰ τὴν εἰρήνην, ἀλλ' ἦν ἐν παρασκευῇ, τοὺς Λακεδαιμονίους μετεπέμπετο, πάντα τὰ πράγμαθ' ὑποσχόμενος πράξειν ἐκείνοις, ἵνα μὴ δι' ὑμῶν αὐτοὺς οἱ Φωκεῖς ὑποποιήσωνται. [77] Ἐπειδὴ δ' ἧκεν εἰς Πύλας, οἱ Λακεδαιμόνιοι δ' αἰσθόμενοι τὴν ἐνέδραν ὑπεχώρησαν, τοῦτον αὖ προκαθῆκεν ἐξαπατᾶν ὑμᾶς, ἵνα μὴ πάλιν, ὑμῶν αἰσθομένων ὅτι Θηβαίοις τὰ πράγματα πράττει, εἰς χρόνους καὶ πόλεμον καὶ τριβὴν ἐμπέσῃ, τῶν μὲν Φωκέων ἀμυνομένων, ὑμῶν δὲ βοηθούντων, ἀλλ' ἀκονιτὶ πάνθ' ὑφ' ἑαυτῷ ποιήσηται· ὅπερ καὶ γέγονεν. Μὴ οὖν ὅτι καὶ Λακεδαιμονίους καὶ Φωκέας ἐξηπάτησε Φίλιππος, διὰ ταῦθ' ὧν ὑμᾶς οὗτος ἐξηπάτησεν μὴ δότω δίκην· οὐ γὰρ δίκαιον.

[78] Ἂν τοίνυν ἀντὶ Φωκέων καὶ Πυλῶν καὶ τῶν ἄλλων τῶν ἀπολωλότων Χερρόνησος ὡς περίεστι τῇ πόλει λέγῃ, πρὸς Διὸς καὶ θεῶν μὴ ἀποδέξησθ', ὦ ἄνδρες δικασταί, μηδ' ὑπομείνητε, πρὸς οἷς ἐκ τῆς πρεσβείας ἠδίκησθε, καὶ ἐκ τῆς ἀπολογίας ὄνειδος προσκατασκευασθῆναι τῇ πόλει, ὡς ἄρ' ὑμεῖς τῶν ἰδίων τι κτημάτων ὑπεξαιρούμενοι τὴν τῶν συμμάχων σωτηρίαν προήκασθε. Οὐ γὰρ ἐποιήσατε τοῦτο, ἀλλ' ἤδη τῆς εἰρήνης
366 γεγονυίας καὶ τῆς Χερρονήσου σῴας οὔσης τέτταρας μῆνας ὅλους ἐσῴζοντο οἱ Φωκεῖς τοὺς ὕστερον, ἡ δὲ τούτου ψευδο-

NC. 1. μετὰ τὴν A, et Bekker. — 3. ποιήσωνται S seul. προσποιήσωνται Herwerden. — 11. οὗτος, ajouté à la fin d'une ligne dans S par une main ancienne. — διδότω L. — 19. σῶ οὔσης Dindorf. — 20. τοὺς ὕστερον. Ces mots étaient suspects à Dobree. Reiske avait répondu d'avance que l'orateur insiste à dessein sur l'idée de « plus tard ».

1-3. Διὰ τὴν εἰρήνην, à cause de la paix, c'est-à-dire à cause des négociations et des intrigues qui se croisaient à Pella quand presque tous les États de la Grèce y avaient envoyé des ambassades. Cf. Justin, VIII, 4. — Τοὺς Λακεδαιμονίους μετεπέμπετο, il faisait appeler les ambassadeurs lacédémoniens, leur donnait des audiences particulières. — Ἐκείνοις, dans leur intérêt. Cf. *Phil.* III, 59 : Φιλιστίδης ἔπραττε Φιλίππῳ. Une scholie (p. 377, 3 Dind.) nous apprend que les Lacédémoniens se flattaient de voir le temple de Delphes remis, comme jadis, aux Doriens du Parnasse, la souche de leur race et leurs clients. Philippe les berçait sans doute de cette espérance.

3-4 Ὑποποιήσωνται, gagnassent.

4-5. Οἱ Λακεδαιμόνιοι.... ὑπεχώρησαν. Cf. § 50. Sur leur appel, Sparte avait envoyé aux Phocidiens mille hoplites sous la conduite du roi Archidamos (Diodore, XVI, 59). Mais Phalæcos refusa de leur remettre les positions qui dominaient le défilé des Thermopyles (Eschine, *Amb.*, 138). C'est qu'il se défiait, sans doute, des négociations secrètes des Lacédémoniens avec Philippe. Quand ils s'aperçurent que Philippe leur avait tendu un piége, ils se retirèrent.

5. Προκαθῆκεν. Cf. *Timocrate*, § 15 : Κατὰ τὴν ἀγορὰν λογοποιοὺς καθίσαν.

11. Μὴ.... μὴ δότω, *ne non det*.

19. Τέτταρας μῆνας ὅλους. Hyperbole:

λογία μετὰ ταῦθ' ὕστερον αὐτοὺς ἀπώλεσεν, ἐξαπατήσασ' ὑμᾶς. [79] Εἶτα καὶ νῦν ἐν μείζονι κινδύνῳ τὴν Χερρόνησον οὖσαν εὑρήσετ' ἢ τότε. Πότερον γὰρ εὐπορώτερον ἂν δίκην ἔδωκε Φίλιππος ἐξαμαρτὼν εἰς αὐτὴν πρὶν τούτων τι τῆς πόλεως προλαβεῖν, ἢ νυνί; ἐγὼ μὲν οἶμαι, τότε πολλῷ. Τίς οὖν ἡ ταύτης περιουσία τῶν φόβων ἀφῃρημένων καὶ τῶν κινδύνων τῶν τοῦ βουληθέντος ἂν αὐτὴν ἀδικῆσαι;

[80] Ἔτι τοίνυν τοιοῦτό τι μέλλειν αὐτὸν ἀκούω λέγειν, ὅτι θαυμάζει τί δήποτε Δημοσθένης αὐτοῦ κατηγορεῖ, Φωκέων δ' οὐδείς. Ὡς δὴ τοῦτ' ἔχει, βέλτιον προακοῦσαι παρ' ἐμοῦ. Φωκέων τῶν ἐκπεπτωκότων οἱ μὲν οἶμαι βέλτιστοι καὶ μετριώτατοι φυγάδες γεγενημένοι καὶ τοιαῦτα πεπονθότες ἡσυχίαν ἄγουσι, καὶ οὐδεὶς ἂν αὐτῶν ἐθελήσειεν ὑπὲρ τῶν κοινῶν συμφορῶν ἰδίαν ἔχθραν ἀνελέσθαι· οἱ δ' ὁτιοῦν ἂν ἀργυρίου ποιήσαντες τὸν δώσοντ' οὐκ ἔχουσιν αὐτοῖς. [81] Οὐ γὰρ ἔγωγ' ἂν ἔδωκ' οὐδενὶ οὐδὲν ὥστε μοι παραστάντας ἐνταυθὶ βοᾶν οἷα πεπόνθασιν· ἡ γὰρ ἀλήθεια καὶ τὰ πεπραγμέν' αὐτὰ βοᾷ. Ἀλλὰ μὴν ὅ γε δῆμος ὁ τῶν Φωκέων οὕτω κακῶς καὶ ἐλεεινῶς διάκειται ὥστε μὴ περὶ τοῦ κατηγορεῖν ἑκάστῳ τὰς Ἀθήνησιν εὐθύνας εἶναι τὸν λόγον, ἀλλὰ δουλεύειν καὶ τεθνάναι τῷ φόβῳ Θηβαίους

NC. 4. Variante (conjecture inutile) : πρίν τι τῶν τῆς πόλεως. — 8. τοιοῦτό τι S seul. καὶ τοιοῦτό τι L et vulg. — 9. Δημοσθένης μὲν L et A. — 14. οἱ δὲ μηδ' ὁτιοῦν ἄνευ ἀργυρίου L. — 16. ἐνταυθὶ S. Variantes : ἐνταυθοῖ et ἐνταῦθα. — 20. ἀλλὰ L et A. ἀλλ' οὐ S et vulg. H. Wolf et d'autres ont pensé à ἀλλὰ τοῦ.

il n'y avait que trois mois et peu de jours d'intervalle.

2. Νῦν ἐν μείζονι κινδύνῳ.... Cf. *Halonèse*, § 39 sqq., et *Cherson.*, *passim.*

4. Πρὶν τούτων τι τῆς πόλεως προλαβεῖν, quand il ne s'était pas encore, en nous prévenant (c'est-à-dire avant que nous pussions en prendre possession), emparé d'un de ces points (c'est-à-dire des Thermopyles, de la Phocide).

6-7. Ἡ ταύτης περιουσία équivaut à τὸ τὴν Χερρόνησον περιεῖναι τῇ πόλει : cf. § 78. — Τοῦ βουληθέντος ἄν, de celui qui pourrait (le cas échéant) vouloir. La tournure est générale, mais l'orateur pense à Philippe.

14. Ἀργυρίου, pour de l'argent. Cf. § 111 : Χρημάτων ἅπαντ' εἶπεν ἐκεῖνα et *passim*. Eschine (§ 142) produira des Phocidiens comme témoins à décharge. Sans faire semblant de connaître ce fait, Démosthène suggère l'idée que l'accusé aura facilement trouvé, parmi ces pauvres diables d'exilés, quelques hommes prêts à tout faire pour un peu d'argent. Le scholiaste et les rhéteurs anciens ont bien compris l'intention perfide de ce passage, lequel peut paraître, et a paru en effet, déplacé dans la bouche de l'accusateur.

19. Κατηγορεῖν.... τὰς Ἀθήνησιν εὐθύνας, paraître comme accusateur dans un procès qui se poursuit à Athènes. Cf. les locutions διώκειν δίκην, γραφάς.

20. Δουλεύειν. Le plus simple est de rattacher cet infinitif à ὥστε. — Τεθνάναι τῷ φόβῳ Θηβαίους. Cf. *Phil.* I,

καὶ τοὺς Φιλίππου ξένους, οὓς ἀναγκάζονται τρέφειν, διῳκισμένοι κατὰ κώμας καὶ παρῃρημένοι τὰ ὅπλα. [82] Μὴ δὴ
367 ταῦτα λέγειν αὐτὸν ἐᾶτε, ἀλλ' ὡς οὐκ ἀπολώλασι Φωκεῖς δεικνύναι, ἢ ὡς οὐχ ὑπέσχετο σώσειν αὐτοὺς Φίλιππον. Τοῦτο γάρ εἰσι πρεσβείας εὔθυναι, τί πέπρακται; τί ἀπήγγειλας; εἰ μὲν ἀληθῆ, σῴζου· εἰ δὲ ψευδῆ, δίκην δός. Εἰ δὲ μὴ πάρεισι Φωκεῖς, τί τοῦτο; Οὕτω γὰρ διέθηκας αὐτούς, οἶμαι, τὸ μέρος σύ, ὥστε μήτε τοῖς φίλοις βοηθεῖν μήτε τοὺς ἐχθροὺς ἀμύνεσθαι δύνασθαι.

[83] Καὶ μὴν ὅτι χωρὶς τῆς ἄλλης αἰσχύνης καὶ ἀδοξίας, ἣν τὰ πεπραγμέν' ἔχει, καὶ μεγάλοι κίνδυνοι περιεστᾶσιν ἐκ τούτων τὴν πόλιν, ῥᾴδιον δεῖξαι. Τίς γὰρ οὐκ οἶδεν ὑμῶν ὅτι τῷ Φωκέων πολέμῳ καὶ τῷ κυρίους εἶναι Πυλῶν Φωκέας ἥ τ' ἀπὸ Θηβαίων ἄδει' ὑπῆρχεν ἡμῖν καὶ τὸ μηδέποτ' ἐλθεῖν ἂν εἰς Πελοπόννησον μηδ' εἰς Εὔβοιαν μηδ' εἰς τὴν Ἀττικὴν Φίλιππον [μηδὲ Θηβαίους]; [84] Ταύτην μέντοι τὴν ἀπὸ τοῦ τόπου καὶ τῶν πραγμάτων αὐτῶν ἀσφάλειαν ὑπάρχουσαν τῇ πόλει ταῖς τούτων ἀπάταις καὶ ψευδολογίαις πεισθέντες προήκασθ' ὑμεῖς, καὶ τετειχισμένην ὅπλοις καὶ πολέμῳ συνεχεῖ καὶ πόλεσιν μεγάλαις συμμάχων ἀνδρῶν καὶ χώρᾳ πολλῇ περιείδετ' ἀνασταθεῖσαν. Καὶ ματαία μὲν ἡ πρότερον βοήθει' εἰς Πύλας ὑμῖν γέγονεν, ἣν μετὰ πλειόνων ἢ διακοσίων ταλάντων ἐποιήσασθε,

NC. 2. Variante : περιῃρημένοι. — 3. απολωσι S[1]. — 8-9. ἀμύνασθαι δύνασθαι S, A, L. — 14. Variante : ὑμῖν. — ἐλθεῖν ἂν S et L. ἂν ἐλθεῖν vulg. — 16. μηδὲ Θηβαίους : glose reconnue par Weidner, *l. c.* — 21. πρότερον S et L seuls. προτέρα vulg. — ἡ εἰς A. Cf. Krüger, *Gr. Spr.*, § 50, 9, 9.

§ 45 : Τεθνᾶσι τῷ δέει τοὺς τοιούτους ἀποστόλους, avec la note.

3-4. Δεικνύναι : sous-ent. κελεύετε, idée que l'ensemble de ces deux membres de phrase suggère naturellement.

6-7. Εἰ δὲ μὴ πάρεισι Φωκεῖς. Il y en avait, mais pour déposer en faveur de l'accusé : cf. Eschine, *l. c.* Démosthène le sait fort bien, mais il s'abstient prudemment d'attaquer de front une difficulté qui l'embarrasse. — Τὸ μέρος, pour ta part. Cf. § 30.

10. Χωρὶς τῆς ἄλλης.... ἀδοξίας, abstraction faite de tout le reste, de la honte et du déshonneur. Voyez, sur cet hellénisme, Krüger, *Gr. Spr.*, § 50, 4, 10.

19-21. Τετειχισμένην ὅπλοις.... ἀνασταθεῖσαν, cette sécurité, ce rempart formé par des armées.... vous l'avez laissé détruire. Mais le grec est bien plus hardi que cette traduction. Cf. *Phil.* III, § 28 : Διορωρύγμεθα κατὰ πόλεις, et d'autres tropes oratoires.

21. Ἡ.... βοήθει' εἰς Πύλας. En répétant l'article (ἡ εἰς Πύλας), Démosthène aurait semblé distinguer cette expédition d'autres secours portés ailleurs. Quant au fait, arrivé en 352, voyez *Phil.* I, § 17.

ἂν λογίσησθε τὰς ἰδίας δαπάνας τὰς τῶν στρατευσαμένων, μάταιαι δὲ καὶ αἱ κατὰ Θηβαίων ἐλπίδες. [85] Ὃ δὲ, πολλῶν ὄντων καὶ δεινῶν ὧν οὗτος ὑπηρέτηκε Φιλίππῳ, πλείστην ὕβριν ὡς ἀληθῶς ἔχει κατὰ τῆς πόλεως καὶ ἁπάντων ὑμῶν, τοῦτ' ἀκούσατέ μου, ὅτι τοῖς Θηβαίοις ἐγνωκότος ἐξ ἀρχῆς τοῦ Φιλίππου πάνθ' ἃ πεποίηκε ποιεῖν, οὗτος, ἀπαγγείλας τἀναντία 368 καὶ φανεροὺς ἐπιδείξας ὑμᾶς οὐχὶ βουλομένους, ὑμῖν μὲν τὴν ἔχθραν τὴν πρὸς Θηβαίους μείζω, Φιλίππῳ δὲ τὴν χάριν πεποίηκεν. Πῶς ἂν οὖν ὑβριστικώτερον ἄνθρωπος ὑμῖν ἐχρήσατο;

[86] Λέγε δὴ τὸ ψήφισμα λαβὼν τὸ τοῦ Διοφάντου καὶ τὸ τοῦ Καλλισθένους, ἵν' εἰδῆθ' ὅτι, ὅτε μὲν τὰ δέοντ' ἐποιεῖτε, θυσιῶν καὶ ἐπαίνων ἠξιοῦσθε παρ' ὑμῖν αὐτοῖς καὶ παρὰ τοῖς ἄλλοις, ἐπειδὴ δ' ὑπὸ τούτων παρεκρούσθητε, παῖδας καὶ γυναῖκας ἐκ τῶν ἀγρῶν κατεκομίζεσθε καὶ τὰ Ἡράκλει' ἐντὸς τείχους θύειν ἐψηφίζεσθε, εἰρήνης οὔσης· ὃ καὶ θαυμάζω εἰ τὸν μηδὲ τοὺς

NC. 1. Peut-être : προσλογίσησθε. [Cobet.] — δαπάνας τῶν vulg. — 3. δεινῶν (sans ὧν) S[1]. — 4. καὶ κατὰ πάντων vulg. — 6. ἃ πεποίηκε ποιεῖν S, A. ἅπερ προῄρητο ποιεῖν L et vulg. — 7. φανερῶς Cobet, *l. c.* — 12. καὶ ἐπαίνων. Cobet voudrait καὶ ἐπαίνων. Voyez la note explicative. — 14. Variante : κατεκομίζετε. — 15-2. εἰ τὸν μηδὲ (variante : εἰ μηδὲ τὸν).... ἀφήσετε. Ces mots sont omis dans S et L; mais on ne saurait s'en passer, quoi qu'en dise Vœmel.

2. Αἱ κατὰ Θηβαίων ἐλπίδες. Vœmel rend plutôt le sens que les mots en traduisant : « spes de ulciscendis Thebanis. » Dans les locutions de ce genre, κατά n'implique pas hostilité. Cf. Eschine, *Ctésiph.*, § 50 : Οἱ κατὰ Δημοσθένους ἔπαινοι.

7. Φανερούς équivant à φανεροὺς ὄντας. — Ὑμᾶς οὐχὶ βουλομένους, que vous ne désiriez pas (voir Philippe agir en faveur des Thébains).

10-11. Τὸ τοῦ Διοφάντου. C'est le décret rendu après l'heureuse expédition de 352. — Τὸ τοῦ Καλλισθένους. C'est le décret voté quand Philippe s'était emparé de la Phocide, en 346. Cf. *Couronne*, § 37.

11-12. Θυσιῶν se rapporte à παρ' ὑμῖν, et ἐπαίνων à παρὰ τοῖς ἄλλοις. Cf. *Cour.*, § 216 : Ἐφ' οἷς παρὰ μὲν τῶν ἄλλων ὑμῖν ἐγίγνοντ' ἔπαινοι, παρὰ δ' ὑμῶν θυσίαι καὶ πομπαὶ τοῖς θεοῖς. Le décret de Diophante mentionnait, sans doute, des éloges votés au peuple d'Athènes par les Phocidiens.

14. Τὰ Ἡράκλει(α). Harpocration : Πολλῶν ὄντων τῶν κατὰ τὴν Ἀττικὴν Ἡρακλείων, νῦν ἂν ὁ Δημοσθένης μνημονεύοι ἤτοι τῶν ἐν Μαραθῶνι ἢ τῶν ἐν Κυνοσάργει· ταῦτα γὰρ μάλιστα διὰ τιμῆς εἶχον οἱ Ἀθηναῖοι.

15. Ὃ καὶ θαυμάζω, et c'est pourquoi je m'étonne, aussi m'étonné-je. Ὃ équivaut ici certainement à δι' ὅ : la suite des idées l'indique, et les derniers éditeurs, qui le nient sur l'autorité de G. H. Schæfer, citent eux-mêmes des passages qui prouvent qu'ils ont tort. Cf. *Contre Aristog.*, § 31; Lysias, *Évandre*, § 1 : Ὃ δὴ ἔγωγε καὶ ἀγανακτῶ, εἰ.... ἥκει; Euripide, *Hécube*, 13; *Phénic.*, 263; Aristophane, *Eccl.*, 338. Il n'en est pas de ὃ καί, ὃ δή comme de ὃ δέ, ou de ὅ tout court : dans les phrases qui commencent par ces dernières tournures on a raison de sous-entendre τοῦτ' ἔστιν. Exemple : Isocrate, *Archid.*, § 56 : Ὃ δὲ πάντων σχετλιώτατον, εἰ.... ῥαθυμότερον τῶν ἄλλων βουλευσόμεθα

θεοὺς, καθ' ὃ πάτριον ἦν, τιμᾶσθαι ποιήσαντα τοῦτον ἀτιμώρητον ἀφήσετε. Λέγε τὸ ψήφισμα.

ΨΗΦΙΣΜΑ.

Ταῦτα μὲν τότ' ἄξι', ὦ ἄνδρες Ἀθηναῖοι, τῶν πεπραγμένων ἐψηφίσασθε. Λέγε δὴ τὰ μετὰ ταῦτα.

ΨΗΦΙΣΜΑ.

[87] Ταῦτα τότ' ἐψηφίζεσθ' ὑμεῖς διὰ τούτους, οὐκ ἐπὶ ταύταις ταῖς ἐλπίσιν οὔτε κατ' ἀρχὰς ποιησάμενοι τὴν εἰρήνην καὶ τὴν συμμαχίαν, οὔθ' ὕστερον ἐγγράψαι πεισθέντες αὐτὴν καὶ τοῖς ἐκγόνοις, ἀλλ' ὡς θαυμάσι' ἡλίκα πεισόμενοι διὰ τούτους ἀγαθά. Καὶ μὴν καὶ μετὰ ταῦθ' ὁσάκις πρὸς Πορθμῷ ἢ πρὸς Μεγάροις ἀκούοντες δύναμιν Φιλίππου καὶ ξένους ἐθορυβεῖσθε, πάντες ἐπίστασθε. Οὐ τοίνυν εἰ μήπω τῆς Ἀττικῆς ἐπιβαίνει, δεῖ σκοπεῖν οὐδὲ ῥᾳθυμεῖν, ἀλλ' εἰ διὰ τούτους ἐξουσία γέγονεν αὐτῷ τοῦθ' ὅταν βούληται ποιῆσαι, τοῦθ' ὁρᾶν,
369 καὶ πρὸς ἐκεῖνο τὸ δεινὸν βλέπειν, καὶ τὸν αἴτιον καὶ παρασκευάσαντα τὴν ἐξουσίαν ταύτην ἐκείνῳ μισεῖν καὶ τιμωρεῖσθαι.

[88] Οἶδα τοίνυν ὅτι τοὺς μὲν ὑπὲρ τῶν κατηγορημένων αὐτῶν λόγους Αἰσχίνης φεύξεται, βουλόμενος δ' ὑμᾶς ὡς πορρωτάτω τῶν πεπραγμένων ἀπάγειν διέξεισιν ἡλίκα πᾶσιν ἀνθρώποις ἀγάθ' ἐκ τῆς εἰρήνης γίγνεται καὶ τοὐναντίον ἐκ τοῦ

NC. 8. οὐδὲ S. — 9. αὐτῇ, ou εἰς αὐτὴν Markland. Mais la leçon des manuscrits est confirmée par le paragraphe 310. — 16. αἴτιον καὶ S et texte de L. αἴτιον καὶ τὸν vulg. — 19. αὐτῶν S, avec indication de la variante αὐτοῦ, qui est la vulgate. — 20. Variante : τῶν πραγμάτων.

2. Λέγε τὸ ψήφισμα, le décret de Diophante. Celui de Callisthène sera lu en second lieu.

9-10. Ἐγγράψαι.... αὐτὴν καὶ τοῖς ἐκγόνοις est dit d'après l'analogie de ψηφίσασθαι αὐτὴν καὶ τοῖς ἐκγόνοις. — Θαυμάσι' ἡλίκα, *mirum quantum*.

11-12. Πρὸς Πορθμῷ. Cf. *Phil.* III, §§ 33 et 58. — Πρὸς Μεγάροις. Cf. *ib.*, §§ 17 sq., et 27, ainsi que *Ambassade*, § 295.

15-16. Τοῦτ(ο) résume la phrase εἰ.... γέγονεν.... ποιῆσαι. — Ἐκεῖνο τὸ δεινόν, c.-à-d. μὴ Φίλιππος τῆς Ἀττικῆς ἐπιβαίνῃ.

18. Οἶδα τοίνυν.... En effet Eschine (§ 172-177) montrera combien la paix a toujours été favorable, et la guerre funeste, à la prospérité d'Athènes.

πολέμου κακά, καὶ ὅλως ἐγκώμι' εἰρήνης ἐρεῖ, καὶ τοιαῦτ' ἀπολογήσεται. Ἔστι δὲ καὶ ταῦτα κατηγορήματα τούτου. Εἰ γὰρ ἡ τοῖς ἄλλοις ἀγαθῶν αἰτία τοσούτων πραγμάτων καὶ ταραχῆς ἡμῖν αἰτία γέγονεν, τί τις εἶναι τοῦτο φῇ πλὴν ὅτι δῶρα λαβόντες οὗτοι καλὸν πρᾶγμα φύσει κακῶς διέθηκαν; [89] « Τί « δ'; οὐ τριήρεις τριακόσιαι καὶ σκεύη ταύταις καὶ χρήμαθ' « ὑμῖν περίεστιν καὶ περιέσται διὰ τὴν εἰρήνην; » ἴσως ἂν εἴποι. Πρὸς δὴ ταῦτ' ἐκεῖν' ὑμᾶς ὑπολαμβάνειν δεῖ, ὅτι καὶ τὰ Φιλίππου πράγματ' ἐκ τῆς εἰρήνης γέγονεν εὐπορώτερα πολλῷ, καὶ κατασκευαῖς ὅπλων καὶ χώρας καὶ προσόδων αἳ γεγόνασιν ἐκείνῳ μεγάλαι. [90] « Γεγόνασιν δὲ καὶ ἡμῖν τινές. » Ἡ δέ γε τῶν πραγμάτων κατασκευὴ καὶ τῶν συμμάχων, δι' ἣν ἢ αὑτοῖς ἢ τοῖς κρείττοσι τἀγαθὰ πάντες κέκτηνται, ἡ μὲν ἡμετέρα πραθεῖσα ὑπὸ τούτων ἀπόλωλε καὶ γέγονεν ἀσθενής, ἡ δ' ἐκείνου φοβερὰ καὶ μείζων πολλῷ. Οὐ δὴ δίκαιον ἐκείνῳ μὲν ἀμφότερ' ηὐξῆσθαι διὰ τούτους, καὶ τὰ τῶν συμμάχων καὶ τὰ τῶν προσόδων, ἃ δ' ἡμῖν δὴ καὶ ὣς ἂν ὑπῆρχεν ἐκ τῆς εἰρήνης,

NC. 2. ταῦτα πάντα vulg. — 3. ἄλλοις ἀγαθοῖς texte de S. — καὶ τηλικαύτης ταραχῆς L et vulg. — 4. φῇ S, A. φαίη vulg. — 7. ἴσως ἂν εἴποι. « Expunge. Arguit inconcinna sedes. » [Cobet.] — 8. ὑπολαμβάνειν. Marge de Morel : ὑποβάλλειν. — 10. καὶ avant κατασκευαῖς était suspect à G. H. Schæfer. — Variante : χώραις καὶ προσόδοις. — 11. γεγόνασιν δὲ S. — 17. ἃ δ' ὑμῖν S et L. ἡμῖν δὲ ἃ vulg. — δὴ καὶ ὣς est notre correction (*Jahrb. f. Philol.*, 1874, p. 697) pour δικαίως, leçon qui n'a choqué, il est vrai, aucun éditeur, mais que nous avouons ne pas comprendre. Quelques manuscrits omettent ἂν, ce qui est une correction insuffisante. Nitzsche (*Zeitschr. f. d. Gymnasialw.*, 1875, p. 204) : ἡμῖν κἄλλως. Blass : ἀναγκαίως ὑπῆρχεν.

4. Τί τις εἶναι τοῦτο φῇ, à quoi voulez-vous qu'on dise que cela tient?

10. Καὶ κατασκευαῖς ὅπλων équivaut à κατασκευαῖς καὶ ὅπλων, ou à καὶ ὅπλων κατασκευαῖς. Les trois καί sont corrélatifs.

11-12. Ἡ.... τῶν πραγμάτων κατασκευή désigne l'ensemble de la position politique, et est précisé par καὶ τῶν συμμάχων. C'est à tort qu'on explique πραγμάτων par ὅπλων καὶ χώρας καὶ προσόδων, en dépit du raisonnement de Démosthène. L'orateur oppose les revenus et les autres ressources matérielles aux alliances et à l'influence politique.

12-13. Ἢ αὑτοῖς ἢ τοῖς κρείττοσι. Si on a des alliés (plus ou moins sujets) et une grande position politique, on possède pour soi-même les biens que l'on peut avoir; sinon, on les possède pour plus fort que soi, il faudra les mettre au service des puissants. Après δι' ἣν (grâce à laquelle), on peut sous-entendre: « suivant qu'elle (ἡ παρασκευή) est forte ou faible. » Tel est le sens de ce passage.

17-1. Ἃ δ' ἡμῖν.... λογίζεσθαι, et de compter les biens qui seraient, de toute façon, résultés pour nous de la paix (c'est-à-dire l'augmentation des revenus) comme une compensation des biens qu'ils ont eux-mêmes vendus, dont nous a privés leur propre vénalité (c'est-à-dire les alliances). La locution καὶ ὣς équivaut à πάντως, « de toutes les manières, même dans le cours naturel des choses, même sans cela. » Cf. Thuc., I, 44 (Les Athéniens conclurent

370 ταῦτ' ἀνθ' ὧν ἀπέδοντ' αὐτοὶ λογίζεσθαι. Οὐ γὰρ ταῦτ' ἀντ' ἐκείνων γέγονεν, οὐδὲ πολλοῦ δεῖ, ἀλλὰ ταῦτα μὲν ἦν ἂν ὁμοίως ἡμῖν, ἐκεῖνα δὲ τούτοις ἂν προσῆν, εἰ μὴ διὰ τούτους.

[91] Ὅλως δ', ὦ ἄνδρες Ἀθηναῖοι, δίκαιον δήπου φήσαιτ' ἂν εἶναι μήτ', εἰ πολλὰ καὶ δεινὰ τὰ συμβεβηκότ' ἐστὶ τῇ πόλει, μηδενὸς δ' Αἰσχίνης αἴτιος τούτων, εἰς τοῦτον ἐλθεῖν τὴν ὀργήν, μήτ' εἴ τι τῶν δεόντων πέπρακται δι' ἄλλον τινά, τοῦτο σῶσαι τουτονί· ἀλλ' ὅσων οὗτος αἴτιος σκεψάμενοι καὶ χάριν, ἂν ταύτης ἄξιος ᾖ, καὶ τοὐναντίον ὀργήν, ἂν τοιαῦτα φαίνηται, ποιεῖσθε. [92] Πῶς οὖν εὑρήσετε ταῦτα δικαίως; Ἐὰν μὴ πάνθ' ἅμ' ἐᾶτε ταράττειν αὐτόν, τὰ τῶν στρατηγῶν ἀδικήματα, τὸν πόλεμον τὸν πρὸς Φίλιππον, τἀπὸ τῆς εἰρήνης ἀγαθά, ἀλλ' ἕκαστον ἐφ' ἑαυτοῦ σκοπῆτε. Οἷον, ἦν ἡμῖν πόλεμος πρὸς Φίλιππον; ἦν. Ἐνταῦθ' ἐγκαλεῖ τις Αἰσχίνῃ; βούλεταί τις τούτου κατηγορεῖν περὶ τῶν ἐν τῷ πολέμῳ πραχθέντων; οὐδὲ εἷς. Οὐκοῦν περὶ τούτων γ' ἀφεῖται, καὶ οὐδὲν αὐτὸν δεῖ λέγειν· περὶ γὰρ τῶν ἀμφισβητουμένων καὶ τοὺς μάρτυρας παρέχεσθαι καὶ τὰ τεκμήρια δεῖ λέγειν τὸν φεύγοντα, οὐ τὰ ὁμολογούμεν' ἀπολογούμενον ἐξαπατᾶν. Ὅπως τοίνυν περὶ τοῦ πολέμου μηδὲν ἐρεῖς· οὐδεὶς γὰρ οὐδὲν αἰτιᾶται

NC. 1. αὐτοὶ S. οὗτοι L et vulg. — 4. δίκαιον S et A. καὶ δίκαιον L et vulg. — 9. φαίνηται S et A. φαίνηται πεποιηκώς L et vulg. De la variante : πεποιηκως, ἀπονείματε αὐτῷ (marge ancienne de S), Cobet tire l'élégante conjecture : καὶ χάριν, ἂν ταύτης ἄξιος ᾖ, ἀπονείματ' αὐτῷ, καὶ.... πεποιηκώς. — 10. εὑρέσεται S. — 11. πράττειν texte de S. — 13. σκοπεῖτε vulg. — 14. Φίλιππον. Le point d'interrogation après ce mot est dû à Markland. — 14-15. βούλεταί τις.... πραχθέντων. Cobet retranche ces mots, ainsi que ceux qui y répondent, p. 282, l. 4-5 : φησί τις.... ποιησομένους. Cette correspondance n'est pas le fait d'un interpolateur. Démosthène insiste sur ces points et ne craint pas d'être trop clair. — 18-19. φυγοντα S[1].

une alliance défensive avec Corcyre) : Ἐδόκει γὰρ ὁ πρὸς Πελοποννησίους πόλεμος καὶ ὣς (même s'ils s'abstenaient de conclure cette alliance) ἔσεσθαι αὐτοῖς. De même Thuc., VII, 74; VIII, 61 et 87.

1-2. Ἀντ' ἐκείνων équivaut à ἀνθ' ὧν ἀπέδοντο.

3. Εἰ μὴ διὰ τούτους. Cf. εἰ μὴ διὰ Λακεδαιμονίους, § 74, avec la note.

8. Ὅσων.... αἴτιος : sous-ent. ἐστίν. Cf. *Lept.* § 20, *Olynth.* III, § 17 et *passim.*

9-10. Ἂν τοιαῦτα φαίνηται, si les faits dont il est cause paraissent être de nature à mériter votre colère. Voy. *NC.*

19. Τὰ ὁμολογούμεν' ἀπολογούμενον : « excusantem, purgantem id quod in con« troversiam non venit, cujus insimulatus « reus non est. » [Reiske.] Démosthène semble avoir rapproché deux mots assonants, afin de peindre le tour de passe-passe au moyen duquel l'accusé cherche à induire les juges en erreur.

περὶ αὐτοῦ σε. [93] Μετὰ ταῦτ' εἰρήνην τινὲς ἡμᾶς ἔπειθον ποιήσασθαι· ἐπείσθημεν· πρέσβεις ἐπέμψαμεν· ἤγαγον οὗτοι δεῦρο τοὺς ποιησομένους τὴν εἰρήνην. Πάλιν ἐνταῦθα περὶ τούτου μέμφεταί τις Αἰσχίνην; φησί τις εἰσηγήσασθαι τοῦτον εἰρήνην, ἢ ἀδικεῖν ὅτι δεῦρ' ἤγαγε τοὺς ποιησομένους; οὐδὲ εἷς. Οὔκουν οὐδ' ὑπὲρ αὐτοῦ τοῦ ποιήσασθαι τὴν πόλιν εἰρήνην 371
οὐδὲν αὐτῷ λεκτέον· οὐ γὰρ οὗτος αἴτιος. [94] « Τί οὖν, ἄνθρωπε, λέγεις » εἴ τις ἔροιτό με, « καὶ πόθεν ἄρχει κατηγορεῖν; » ὅθεν, ὦ ἄνδρες Ἀθηναῖοι, βουλευομένων ὑμῶν, οὐ περὶ τοῦ εἰ ποιητέον εἰρήνην ἢ μή (ἐδέδοχτο γὰρ ἤδη τοῦτό γε), ἀλλ' ὑπὲρ τοῦ ποίαν τινά, τοῖς τὰ δίκαια λέγουσιν ἀντειπών, τῷ μισθοῦ γράφοντι συνεῖπε δῶρα λαβών, καὶ μετὰ ταῦτ' ἐπὶ τοὺς ὅρκους αἱρεθεὶς ὧν μὲν ὑμεῖς προσετάξατ' οὐδ' ὁτιοῦν ἐποίησεν, τοὺς δ' ἐπὶ τοῦ πολέμου διασωθέντας ἀπώλεσε τῶν συμμάχων, καὶ τηλικαῦτα καὶ τοιαῦτ' ἐψεύσαθ' ἡλίκ' οὐδεὶς πώποτ' ἄλλος ἀνθρώπων οὔτε πρότερον οὔθ' ὕστερον. Τὸ μὲν γὰρ ἐξ ἀρχῆς, ἄχρι τοῦ λόγου τυχεῖν Φίλιππον ὑπὲρ τῆς εἰρήνης, Κτησιφῶν καὶ Ἀριστόδημος τὴν ἀρχὴν τὴν πρώτην ἔφερον τοῦ φεναχισμοῦ, ἐπειδὴ δ' εἰς τὸ πράττειν ἤδη τὰ πράγμαθ' ἧκεν, Φιλοκράτει καὶ τούτῳ παρέδωκαν, δεξάμενοι δ' οὗτοι πάντ' ἀπώλεσαν. [95] Εἶτ' ἐπειδὴ δεῖ λόγον καὶ δίκην ὑπέχειν τῶν πεπραγμένων, ὧν, οἶμαι, πανοῦργος οὗτος καὶ θεοῖς ἐχθρὸς

NC. 3-4. περὶ τούτων vulg. — φησί S. φήσει L et vulg. — 5-6. ὀυδεις S. — 8. Greve voulait supprimer εἰ. Cobet retranche : εἴ τις ἔροιτο με. — 9. τοῦ εἰ vulg. τοῦ ἢ S. τοῦ ἢ L. — 11. τοῖς τὰ S. τοῖς γὰρ τὰ vulg. — λέγουσιν S et L¹. γράφουσιν (mauvaise correction) vulg. — 13. ἐποίησεν S. — 15. καὶ τοιαῦτ'. Ces mots sont omis dans le texte de F. — 18. τὴν ἀρχὴν : mots suspects, omis dans quelques manuscrits et dans Harpocration, art. Κτησιφῶν. Cobet pensait à τὰ πρῶτ' ἐφέροντο. — 20. ἐκδεξάμενοι L et A. ἀναδεξάμενοι marge de S. — 21. Variante : λόγον αὐτὸν.

3. Τοὺς... τὴν εἰρήνην, les ambassadeurs chargés de conclure la paix au nom de Philippe.

9. Ὅθεν équivaut à ἐντεῦθεν, φαίην ἂν (c'est ce qu'il faut sous-entendre), ὅπου. [G. H. Schæfer.] « Je répondrais que je commence à l'accuser depuis le moment où. »

11-12. Τῷ μισθοῦ γράφοντι. Philocrate.

17-18. Ἄχρι... εἰρήνης, jusqu'au moment où Philippe put faire des ouvertures au sujet de la paix. Les relations diplomatiques entre Athènes et Philippe avaient été rompues. Cf. Eschine, § 13. [Shilleto.] — Κτησιφῶν καὶ Ἀριστόδημος. Cf. §§ 12, 18, et 315. — Ἔφερον, ils apportaient à Athènes. Cf. *Phil.* II, § 28 : Τοὺς ἐνεγκόντας τὰς ὑποσχέσεις.

19. Construisez : τὰ πράγματ' ἤδη ἧκεν εἰς τὸ πράττειν, les affaires étaient assez avancées pour qu'on pût commencer à agir.

καὶ γραμματεύς, ὡς ὑπὲρ τῆς εἰρήνης κρινόμενος ἀπολογήσεται, οὐχ ἵνα πλειόνων ἢ κατηγορεῖ τις αὐτοῦ δῷ λόγον· μανία γὰρ τοῦτό γε· ἀλλ' ὁρᾷ τοῦθ', ὅτι ἐν μὲν τοῖς ὑφ' αὐτοῦ πεπραγμένοις ἀγαθὸν μὲν οὐδέν ἐστιν, ἅπαντα δὲ τἀδικήματα, ἡ δ' ὑπὲρ τῆς εἰρήνης ἀπολογία, καὶ εἰ μηδὲν ἄλλο, τοὔνομα γοῦν ἔχει φιλάνθρωπον. [96] Ἣν δέδοικα μέν, ὦ ἄνδρες Ἀθη-
372 ναῖοι, δέδοικα, μὴ λελήθαμεν ὥσπερ οἱ δανειζόμενοι ἐπὶ πολλῷ ἄγοντες· τὸ γὰρ ἀσφαλὲς αὐτῆς καὶ τὸ βέβαιον οὗτοι προύδοσαν, Φωκέας καὶ Πύλας· οὐ μὴν διὰ τοῦτόν γ' ἐξ ἀρχῆς ἐποιησάμεθα, ἀλλ' ἄτοπον μέν ἐστιν ὃ μέλλω λέγειν, ἀληθὲς δὲ πάνυ· εἰ γάρ τις ὡς ἀληθῶς χαίρει τῇ εἰρήνῃ, τοῖς στρατηγοῖς, ὧν κατηγοροῦσιν ἅπαντες, χάριν αὐτῆς ἐχέτω. Εἰ γὰρ ἐκεῖνοι ὡς ὑμεῖς ἐβούλεσθ' ἐπολέμουν, οὐδ' ὄνομ' εἰρήνης ἂν ὑμεῖς ἠνέσχεσθε. [97] Εἰρήνη μὲν οὖν δι' ἐκείνους, ἐπικίνδυνος δὲ καὶ σφαλερὰ καὶ ἄπιστος διὰ τούτους γέγονεν δωροδοκήσαντας. Εἴργετ' οὖν, εἴργετ' αὐτὸν τῶν ὑπὲρ τῆς εἰρήνης λόγων, εἰς δὲ τοὺς ὑπὲρ τῶν πεπραγμένων ἐμβιβάζετε. Οὐ γὰρ Αἰσχίνης ὑπὲρ τῆς εἰρήνης κρίνεται, οὔ, ἀλλ' ἡ εἰρήνη δι' Αἰσχίνην διαβέβληται. Σημεῖον δέ· εἰ γὰρ ἡ μὲν εἰρήνη ἐγεγόνει, μηδὲν δ' ὕστερον ἐξηπάτησθ' ὑμεῖς μηδ' ἀπωλώλει τῶν συμμάχων μηδείς, τίν' ἀνθρώπων ἐλύπησεν ἂν ἡ εἰρήνη, ἔξω τοῦ ἄδοξος γεγενῆ-

NC. 1. καὶ était suspect à G. H. Schæfer et à Dobree. — τῆς omis dans S seul. — 4. δ' ἀδικήματα Hertlein. — 7. ὥσπερ οἱ δανειζόμενοι : mots suspects à Dobree. — 9. διὰ τούτους Markland. — 12. αὐτῆς S. αὐτοῖς L et vulg. — 15. τούτους. La dernière lettre est ajoutée dans S par une main ancienne. — γέγονεν S. — δωροδοκήσαντας est écarté par Cobet. — 17. συμβιβάζετε S et L. — 19. εἰρήνη, avant ἐγεγόνει, est suspect à Benseler, *De Hiatu*, p. 97. — 20. τῶν συμμάχων est omis dans S seul, et par Vœmel. Cf. §§ 90 et 94. — 21. ανθρωπον S[1]. — ἡ εἰρήνη : mots omis dans F. — Variante : ἀδόξως.

1. Καὶ γραμματεύς, enfin un scribe. Shilleto fait remarquer que ces mots, amenés méchamment, παρὰ προσδοκίαν, amusaient sans doute l'auditoire. Cf. *Cour.*, § 127 : Ὄλεθρος γραμματεύς, et *passim*.

5-6. Τοὔνομα γοῦν ἔχει φιλάνθρωπον, cela sonne bien, cela a, du moins, une apparence de douceur et d'humanité.

7-8. Ὥσπερ.... ἄγοντες, jouir de la paix à la manière des gens qui prêtent à gros intérêts. Les mots ὥσπερ.... ἐπὶ πολλῷ forment le complément de ἄγοντες et ne doivent pas en être séparés par une virgule, quoique ἐπὶ πολλῷ se rattache à δανειζόμενοι. Voyez *Olynth.* I, § 15, où la comparaison est développée. Cf. *NC*.

12. Χάριν αὐτῆς ἐχέτω. L'ironie est ici poussée à un point où elle commence, en effet, à avoir quelque chose d'étrange (ἄτοπον) et d'extrêmement subtil. C'est qu'en attribuant ironiquement aux généraux le mérite d'avoir amené la paix, Démosthène entend le contester sérieusement à Eschine.

σθαι; καίτοι καὶ τούτου συναίτιος οὗτος συνειπὼν Φιλοκράτει. Ἀλλ' ἀνήκεστόν γ' οὐδὲν ἂν ἦν γεγονός. Νῦν δ', οἶμαι, πόλλ', ὧν αἴτιος οὗτος.

[98] Ὅτι μὲν τοίνυν αἰσχρῶς καὶ κακῶς πάντα ταῦθ' ὑπὸ τούτων ἀπόλωλε καὶ διέφθαρται, οἶμαι πάντας ὑμᾶς εἰδέναι. Ἐγὼ δ', ὦ ἄνδρες δικασταί, τοσοῦτ' ἀπέχω τοῦ συκοφαντίαν τινὰ τοῖς πράγμασι τούτοις προσάγειν ἢ ὑμᾶς ἀξιοῦν, ὥστ', εἰ ταῦθ' ὑπ' ἀβελτερίας ἢ δι' εὐήθειαν ἢ δι' ἄλλην ἄγνοιαν ἡντινοῦν οὕτω πέπρακται, αὐτός τ' ἀφίημι Αἰσχίνην καὶ ὑμῖν συμβουλεύω. 373 [99] Καίτοι τῶν σκήψεων τούτων οὐδεμί' ἐστίν πολιτικὴ οὐδὲ δικαία. Οὐδένα γὰρ τὰ κοινὰ πράττειν ὑμεῖς κελεύετ' οὐδ' ἀναγκάζετε· ἀλλ' ἐπειδάν τις ἑαυτὸν πείσας δύνασθαι προσέλθῃ, πρᾶγμα ποιοῦντες ἀνθρώπων χρηστῶν καὶ φιλανθρώπων, εὐνοϊκῶς δέχεσθε καὶ οὐ φθονερῶς, ἀλλὰ καὶ χειροτονεῖτε καὶ τὰ ὑμέτερ' αὐτῶν ἐγχειρίζετε. [100] Ἐὰν μὲν οὖν κατορθοῖ τις, τιμήσεται καὶ πλέον ἕξει τῶν πολλῶν κατὰ τοῦτο· ἂν δ' ἀποτυγχάνῃ, σκήψεις καὶ προφάσεις ἐρεῖ; ἀλλ' οὐ δίκαιον. Οὐ γὰρ ἂν ἐξαρκέσειε τοῖς ἀπολωλόσι συμμάχοις οὐδὲ ταῖς παισὶν αὐτῶν οὐδὲ ταῖς γυναιξὶν οὐδὲ τοῖς ἄλλοις διὰ τὴν ἀβελτερίαν τὴν ἐμήν, ἵνα μὴ τὴν τούτου λέγω, τοιαῦτα πεπονθέναι· πολλοῦ γε καὶ δεῖ. [101] Ἀλλ' ὅμως ὑμεῖς ἄφετ' Αἰσχίνῃ τὰ δεινὰ ταῦτα καὶ ὑπερβάλλοντα, ἂν δι' εὐήθειαν ἢ δι' ἄλλην ἄγνοιαν ἡντινοῦν λελυμασμένος φανῇ. Ἂν μέντοι

NC. 2-3. πόλλ', ὧν est notre rectification. πολλῶν αἴτιος S. πολλῶν ἄλλων ἐστὶ κακῶν αἴτιος L et vulg. Le grand nombre des variantes indique que le texte a été diversement interpolé. — 9-10. συμβουλεύω S et L[1] seuls. ἀφεῖναι συμβουλεύω vulg. — 11. ἐκέλευετε S et L. — 15. τά, oublié à la fin d'une ligne, est ajouté dans S par une main ancienne. — 19. αὐτῶν est omis dans F.

1. Τούτου, c'est-à-dire τοῦ ἄδοξον τὴν εἰρήνην γεγενῆσθαι. — Συνειπὼν Φιλοκράτει. Cf. § 15.

4. Ὅτι μέν.... Des cinq points énumérés au paragraphe 4, l'orateur a traité les deux premiers; il passe maintenant à celui qu'il avait énoncé en dernier lieu : εἰ ἀδωροδοκήτως ἢ μὴ πάντα ταῦτα πέπρακται.

7. Ὑμᾶς ἀξιοῦν : sous-ent. συκοφαντίαν.... προσάγειν. Cf. l. 9 : Καὶ ὑμῖν συμβουλεύω (ἀφιέναι αὐτόν).

10. Πολιτική, admissible dans la bouche d'un homme d'État. Cf. ἀνθρωπίνη σκῆψις, *Mid.*, § 41, « une excuse tirée de la faiblesse humaine ». [Shilleto.]

13. Προσέλθῃ. On peut sous-entendre πρὸς τὰ κοινά.

διὰ πονηρίαν, ἀργύριον λαβὼν καὶ δῶρα, καὶ τοῦτ' ἐξελεγχθῇ σαφῶς ὑπ' αὐτῶν τῶν πεπραγμένων, μάλιστα μὲν, εἰ οἷόν τε, ἀποκτείνατε, εἰ δὲ μὴ, ζῶντα τοῖς λοιποῖς παράδειγμα ποιήσατε. Σκοπεῖτε δὴ τὸν ὑπὲρ τούτων ἔλεγχον, ὡς δίκαιος ἔσται, μεθ' ὑμῶν.

[102] Ἀνάγκη δή που τοὺς λόγους τούτους Αἰσχίνην πρὸς ὑμᾶς εἰπεῖν τουτονὶ, τοὺς περὶ τῶν Φωκέων καὶ τῶν Θεσπιέων καὶ τῆς Εὐβοίας, εἴπερ μὴ πεπρακὼς αὐτὸν ἑκὼν ἐξηπάτα, δυοῖν θάτερον, ἢ διαρρήδην ἀκούσανθ' ὑποσχομένου Φιλίππου ὅτι πράξει ταῦτα καὶ ποιήσει, ἢ, εἰ μὴ τοῦτο, γοητευθέντα καὶ
374 φεναχισθέντα τῇ περὶ τἄλλα φιλανθρωπίᾳ καὶ ταῦτ' ἐλπίσαντα παρ' αὐτοῦ. Οὐκ ἔνεστι τούτων οὐδὲ ἓν χωρίς. [103] Ἐκ τοίνυν τούτων ἀμφοτέρων μάλιστα πάντων ἀνθρώπων μισεῖν αὐτῷ προσῆκεν Φίλιππον. Διὰ τί; ὅτι τὸ μὲν ἐκείνου μέρος πάντ' αὐτῷ γέγονεν τὰ δεινότατα καὶ τὰ αἴσχιστα. Ὑμᾶς ἐξηπάτηκεν, ἀδοξεῖ, [δικαίως ἀπόλωλε,] κρίνεται· καὶ εἴ γέ τι τῶν προσηκόντων ἐγίγνετο, ἐν εἰσαγγελίᾳ πάλαι ἂν ἦν· νῦν δὲ διὰ

NC. 2. εἰ οἷόν τε. Cobet veut que ces mots soient interpolés. — 3. τοῖς πολλοῖς F et ancienne vulgate. — 5. μεθ' ἡμῶν Bekker. — 6-7. Αἰσχίνην est regardé comme une glose par Weidner (*l. c.*), avec raison, je crois. — τουτονὶ πρὸς ὑμᾶς εἰπεῖν vulg. — 11. φιλανθρωπίᾳ S. — 14. προσῆκεν Reiske. προσήκει mss. — 16. δικαίως ἀπόλωλε S seul. δικαίως ἀπολωλέναι L et vulg. δίκαιος ἀπολωλέναι Lambin, et beaucoup d'éditeurs. Cette conjecture a, comme la vulgate, l'inconvénient d'ôter au verbe κρίνεται le sens que demandent et la suite de ce passage, et les passages parallèles, § 118 : Ἀδοξεῖν, κρίνεσθαι, πάσχειν ὁτιοῦν αἱρεῖται; § 115 : Ἀδοξῇ δ' αὐτὸς καὶ κινδυνεύῃ. Ces mêmes passages prouvent que les deux mots insérés entre ἀδοξεῖ et κρίνεται sont une interpolation, tirée, sans doute, de la fin du paragraphe 110. Madvig, *Advers. crit.*, I, p. 459, écarte δικαίως en conservant ἀπόλωλε. Mais ce verbe me semble inconciliable avec la suite de cette période. — καὶ (après la syllabe ται) est omis dans S seul.

5. Μεθ' ὑμῶν. Shilleto fait observer que παρ' ὑμῖν ou πρὸς ὑμᾶς serait plus conforme à l'usage. Cf. *NC*.

10. Πράξει ταῦτα καὶ ποιήσει, qu'il agira en ce sens et qu'il fera ces choses. Cf. *Phil.* I, § 42, avec la note; *Olynth.* III, § 7; *Cour.*, § 62.

10-11. Γοητευθέντα καὶ φεναχισθέντα. Ces deux participes sont subordonnés à ἐλπίσαντα. C'est comme s'il y avait : ὅ τι γοητευθεὶς καὶ φεναχισθεὶς.... ἤλπισε καὶ ταῦτα παρ' αὐτοῦ. — Καὶ ταῦτ(α) « aussi cela », est opposé à τῇ περὶ τἄλλα φιλανθρωπίᾳ, « son amabilité pour tout le reste. »

12. Τούτων dépend de χωρίς. Démosthène dit : « Il ne se peut absolument rien en dehors de ces deux cas. »

12-13. Ἐκ.... τούτων ἀμφοτέρων, dans les deux suppositions.

17. Ἐν εἰσαγγελίᾳ. Cette espèce de plainte, plus grave, et réservée pour des cas extraordinaires (cf. *Cherson.*, § 28,

τὴν ὑμετέραν εὐήθειαν καὶ πραότητα εὐθύνας δίδωσι, καὶ ταύτας ὁπηνίκα βούλεται. [104-109] Ἔστιν οὖν ὅστις ὑμῶν φωνὴν ἀκήκοεν Αἰσχίνου κατηγοροῦντος Φιλίππου; τί δ'; ἐξελέγχοντα ἢ λέγοντά τι τοῦτον ἑόρακεν; οὐδὲ εἷς. Ἀλλὰ πάντες Ἀθηναῖοι πρότεροι κατηγοροῦσι Φιλίππου, καὶ ὁ τυχὼν ἀεί, ὧν οὐδὲν οὐδεὶς ἠδίκηται, ἰδίᾳ δήπου. Ἐγὼ δ' ἐκείνους τοὺς λόγους ἐζήτουν παρὰ τούτου, εἴπερ μὴ πεπραχὼς αὑτὸν ἦν· « Ἄνδρες » Ἀθηναῖοι, ἐμοὶ μὲν χρήσασθ' ὅ τι βούλεσθε· ἐπίστευσα, ἐξη- » πατήθην, ἥμαρτον, ὁμολογῶ. Τὸν δ' ἄνθρωπον, ἄνδρες Ἀθη- » ναῖοι, φυλάττεσθε· ἄπιστος, γόης, πονηρός. Οὐχ ὁρᾶθ' οἷα » πεποίηκεν ἐμέ; οἷ' ἐξηπάτηκεν; » [110] Τούτων οὐδέν' ἀκούω τῶν λόγων, οὐδ' ὑμεῖς. Διὰ τί; ὅτι οὐ παραχρουσθεὶς οὐδ' ἐξαπατηθείς, ἀλλὰ μισθώσας αὑτὸν καὶ λαβὼν ἀργύριον ταῦτ' εἶπε καὶ προύδωκεν ἐκείνῳ, καὶ γέγονεν καλὸς κἀγαθὸς καὶ δίκαιος μισθωτὸς ἐκείνῳ, πρεσβευτὴς μέντοι καὶ πολίτης ὑμῖν προδότης καὶ τρίς, οὐχ ἅπαξ, ἀπολωλέναι δίκαιος.

[111] Οὐ τοίνυν ἐκ τούτων μόνον δῆλός ἐσθ' ὅτι χρημάτων ἅπαντ' εἶπεν ἐκεῖνα· ἀλλ' ἧκον ὡς ὑμᾶς ἔναγχος Θετταλοὶ καὶ 37b
Φιλίππου πρέσβεις μετ' αὐτῶν, ἀξιοῦντες ὑμᾶς Φίλιππον Ἀμφικτύον' εἶναι ψηφίσασθαι. Τῷ προσῆκεν οὖν ἀντειπεῖν τούτοις μάλιστα πάντων ἀνθρώπων; Αἰσχίνῃ τουτῳί. Δια τι; ὅτι οἷς οὗτος ἀπήγγειλε πρὸς ὑμᾶς, τούτοις τἀναντί' ἐποίησεν ἐκεῖνος. [112] Οὗτος μὲν γὰρ Θεσπιὰς καὶ Πλαταιὰς αὑτὸν τει-

NC. 1. ἡμετέραν πραότητα καὶ εὐήθειαν vulg. — 3. τί S, L, et vulg. τίς quelques manuscrits. — 4. ἀλλ' ἅπαντες vulg. — 5. πρότεροι A. πρότερον S, L. — 5-6. οὐδεὶς οὐδὲν ἰδίᾳ ἠδίκηται vulg. — 6-7. Variante : ἐξήτουν. S : ἐξήτουν. — 9. ὦ ἄνδρες vulg. — 14. γέγονεν S. — 21. τουτῳί Dindorf. τούτῳ vulg. Cf. § 113. — 23. γὰρ S[1] seul. γὰρ ἔφη L et vulg.

avec la note), avait été intentée à Philocrate.

5-6. Πρότερον. Sans perdre son sens premier, πρότερον se rapproche ici de μᾶλλον, plutôt. Cf. *Mégalop.*, § 5, avec la note. — Ἰδίᾳ δήπου, « j'entends personnellement », comme Eschine l'a été : car tous les Athéniens ont, comme citoyens, des griefs communs contre Philippe.

6-7. Ἐζήτουν παρὰ τούτου, je demandais à lui entendre dire, je m'attendais de sa part. Cf. *Phil.* I, § 33 ; *Cherson.*, § 75.

14-16. Γέγονεν.... μισθωτὸς ἐκείνῳ, il a été un excellent et loyal salarié pour Philippe. Le mot μισθωτός arrive παρ' ὑπόνοιαν. — Προδότης est ici adjectif.

23. Οὗτος μὲν γάρ. Démosthène vient de dire οὗτος ἀπήγγειλε : on sous-entend facilement un verbe dont la suppression ajoute à la force de l'antithèse.

χιεῖν, καὶ τοὺς μὲν Φωκέας οὐκ ἀπολεῖν, τὴν δὲ Θηβαίων ὕβριν καταλύσειν· ὁ δὲ τοὺς μὲν Θηβαίους μείζους ἢ προσῆκε πεποίηκεν, τοὺς δὲ Φωκέας ἄρδην ἀπολώλεκε, καὶ τὰς μὲν Θεσπιὰς καὶ Πλαταιὰς οὐ τετείχικε, τὸν δ' Ὀρχομενὸν καὶ τὴν Κορώνειαν προσεξηνδραπόδισται. Πῶς ἂν ἐναντιώτερα πράγμαθ' ἑαυτοῖς τούτων γένοιτο; Οὐ τοίνυν ἀντεῖπεν, οὐδὲ διῆρεν τὸ στόμα, οὐδ' ἐφθέγξατ' ἐναντίον οὐδέν. [113] Καὶ οὐχί τοῦτό πω δεινὸν, τηλικοῦτον ὄν· ἀλλὰ καὶ συνεῖπεν μόνος τῶν ἐν τῇ πόλει πάντων ἀνθρώπων. Καίτοι τοῦτό γ' οὐδὲ Φιλοκράτης ἐτόλμησε ποιῆσαι ὁ μιαρὸς, ἀλλ' Αἰσχίνης οὑτοσί. Καὶ θορυβούντων ὑμῶν καὶ οὐκ ἐθελόντων ἀκούειν αὐτοῦ, καταβαίνων ἀπὸ τοῦ βήματος, ἐνδεικνύμενος τοῖς πρέσβεσι τοῖς παρὰ τοῦ Φιλίππου παροῦσιν, πολλοὺς ἔφη τοὺς θορυβοῦντας εἶναι, ὀλίγους δὲ τοὺς στρατευσομένους ὅταν δέῃ, (μέμνησθε δή που,) αὐτὸς ὢν, οἶμαι, θαυμάσιος στρατιώτης, ὦ Ζεῦ.

[114] Ἔτι τοίνυν, εἰ μὲν μηδένα μηδὲν ἔχοντ' εἴχομεν δεῖξαι τῶν πρέσβεων, μηδ' ἦν ὥστ' ἰδεῖν ἅπαντας, βασάνους καὶ τὰ τοιαῦθ' ὑπόλοιπον ἂν ἦν σκοπεῖν. Εἰ δὲ Φιλοκράτης μὴ μόνον ὡμολόγει παρ' ὑμῖν ἐν τῷ δήμῳ πολλάκις, ἀλλὰ καὶ

NC. 2. ὕβριν S. ὕβριν ὑμῖν L et vulg. — ἢ προσῆκε. Ces mots étaient suspects à Dobree. — 3. πεποίηκεν S. — 4. καὶ Πλαταιὰς, omis après Θεσπιὰς, à la fin d'une ligne, est ajouté dans S par une main ancienne. — 8. δεινὸν et ὂν sont omis dans S. Je ne sais si δεινὸν n'est pas ici une glose de μέγα, suggérée par des passages parallèles. — συνεῖπεν (d'abord συνειπειν) S. — 10. Herwerden supprime ἀλλ'.... οὑτοσί. — 13. παρὰ Φιλίππου vulg. — παροῦσιν S. — 14. στρατευσομένους Markland. στρατευομένους manuscrits. — 15. δή που Bekker. δήπου S seul. γὰρ δήπου L et vulg. — ὢν manque dans S seul. — 16. μὲν, avant μηδένα, est omis dans S seul. — 17. ειδεῖν S[1].

4-5. Ὀρχομενὸν καὶ.... Κορώνειαν. Cf. *Paix*, § 21 sq.; *Phil.* II, § 13.

7-8. Καὶ οὐχὶ.... τηλικοῦτον ὄν. Cf. *Phil.* III, § 55 : Καὶ οὐχί πω τοῦτο δεινὸν, καίπερ ὂν δεινόν ; *Cherson.*, § 30.

8. Συνεῖπε μόνος. Il faut dire que Démosthène lui-même conseilla, dans cette conjoncture, sinon d'approuver le décret des Amphictyons, du moins de ne pas s'y opposer. Voy. notre *Notice* sur le discours de la Paix, p. 195.

12-13. Ἐνδεικνύμενος τοῖς.... παρὰ τοῦ Φιλίππου παροῦσι, faisant montre de ses sentiments, de son obséquiosité, de son dévouement à Philippe, en présence de ses envoyés. Cf. § 160.

15. Θαυμάσιος στρατιώτης. Eschine (§ 167 sqq.) réfute très-bien cette insinuation.

17. Ἦν ὥστ' ἰδεῖν, tournure plus explicite que ἦν ἰδεῖν. Cf. Euripide, *Hipp.*, 705 : Ἀλλ' ἔστι κἀκ τῶνδ' ὥστε σωθῆναι, τέκνον.

17-18. Βασάνους καὶ τὰ τοιαῦτ(α). Démosthène dit qu'il est inutile de donner la question à des esclaves et d'apporter d'autres témoignages positifs. C'est qu'il n'en a pas.

19. Παρ' ὑμῖν ἐν τῷ δήμῳ : par opposition à l'assemblée judiciaire à laquelle ces paroles s'adressent.

ἐδείκνυεν ὑμῖν, πυροπωλῶν, οἰκοδομῶν, βαδιεῖσθαι φάσκων 378 κἂν μὴ χειροτονῆθ' ὑμεῖς, ξυληγῶν, τὸ χρυσίον καταλλαττόμενος φανερῶς ἐπὶ ταῖς τραπέζαις, οὐκ ἔνι δήπου τοῦτον εἰπεῖν ὡς οὐκ εἴληφε, τὸν αὐτὸν ὁμολογοῦντα καὶ δεικνύντα. [115] Ἔστιν οὖν οὕτω τις ἀνθρώπων ἀνόητος ἢ κακοδαίμων, ὥσθ', ἵνα λαμβάνῃ μὲν Φιλοκράτης, ἀδοξῇ δ' αὐτὸς καὶ κινδυνεύῃ, ἐξὸν αὐτῷ μετὰ τῶν μηδὲν ἠδικηκότων ἐξετάζεσθαι, τούτοις μὲν πολεμεῖν, πρὸς δ' ἐκεῖνον ἐλθὼν κρίνεσθαι βούλεται; ἐγὼ μὲν οὐδέν' οἶμαι. Ἀλλὰ πάντα ταῦτ', ἐὰν ὀρθῶς σκοπῆτε, εὑρήσετε μεγάλ', ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ἐναργῆ σημεῖα τοῦ χρήματα τοῦτον ἔχειν.

[116] Ὃ τοίνυν ὕστατον μὲν γέγονεν, οὐδενὸς δ' ἐστὶν ἔλαττον σημεῖον τοῦ πεπρακέναι τοῦτον ἑαυτὸν Φιλίππῳ, θεάσασθε. Ἴστε δήπου πρῴην, ὅτ' εἰσήγγελλεν Ὑπερείδης Φιλοκράτην, ὅτι παρελθὼν ἐγὼ δυσχεραίνειν ἔφην ἕν τι τῆς εἰσαγγελίας, εἰ μόνος Φιλοκράτης τοσούτων καὶ τοιούτων ἀδικημάτων αἴτιος γέγονεν, οἱ δ' ἐννέα τῶν πρέσβεων μηδενός. Καὶ οὐκ ἔφην τοῦθ' οὕτως ἔχειν· οὐδαμοῦ γὰρ ἂν φανῆναι καθ'

NC. 2. χειροτονεῖτε S et L[1]. — 6. ὥσθ'. La variante (correction) d'un très-petit nombre de manuscrits : ὅστις, a été adoptée par Dindorf. — 14. εἰσήγγελλεν S et L seuls. εἰσήγγειλεν vulg. — 16. τοιούτων S, A. τηλικούτων L et vulg.

1-3. Πυροπωλῶν, en vendant le blé qu'il avait reçu de Philippe. Cf. § 145. — Οἰκοδομῶν, en se construisant une maison, et la couvrant avec le bois donné par Philippe, et qu'il faisait venir de Macédoine (ξυληγῶν). Cf. § 265. — Βαδιεῖσθαι : comme ambassadeur près de Philippe. — Τὸ χρυσίον καταλλαττόμενος. Scholiaste : Τὸ χρυσίον ὅπερ εἰλήφει ἐκ Μακεδονίας ἀπὸ τοῦ Φιλίππου ἀντικαταλλάττων εἰς Ἀττικὰ νομίσματα.

4. Τὸν αὐτὸν ὁμολογοῦντα équivaut à τὸν ὁμολογοῦντα αὐτόν.

6-8. Κινδυνεύῃ se dit des accusés. — Ἐξετάζεσθαι. Du sens « être passé en revue », se tire celui de « ranger, figurer ». — Πολεμεῖν dépend de βούλεται.

14. Εἰσήγγελλεν, fit la dénonciation (qui précédait le procès).

17. Οἱ δ' ἐννέα. Démosthène lui-même est compris dans ces neuf. O. Gilbert, p. 66, rappelle qu'un représentant des alliés, Aglaocréon de Ténédos, se trouvait adjoint aux dix ambassadeurs athéniens (voy. Eschine, §§ 97 et 126); et il veut que l'orateur compte ici ce dernier, de manière à porter le nombre des ambassadeurs à onze. Quelque ingénieux que soit ce raisonnement, il me semble que les mots οἱ δ' ἐννέα, opposés à μόνος Φιλοκράτης, impliquent le nombre de dix. Ajoutons que Démosthène, loin d'incriminer tous les neuf autres, dit expressément τούτων τινάς, p. 288, l. 1.

18. Οὐδαμοῦ γὰρ ἂν φανῆναι, il ne se serait montré à aucun rang, il n'aurait joué aucun rôle, n'aurait été compté pour rien. Cf. § 247 (Soph. *Ant.*, 183) : Τοῦτον οὐδαμοῦ λέγω, et *Cour.*, § 310. Ce dernier passage est le meilleur commentaire de cette locution : car οὐδαμοῦ y est expliqué par οὐ πρῶτος, οὐ δεύτερος, οὐ τρίτος κτλ. On voit que οὐδαμοῦ équivaut à ἐν οὐδεμιᾷ τάξει.

αὐτὸν ἐκεῖνον, εἰ μὴ τοὺς συναγωνιζομένους τούτων τινὰς εἶχεν. [117] Ἵν' οὖν μήτ' ἀφῶ μήτ' αἰτιάσωμαι μηδέν', ἔφην, ἐγώ, ἀλλὰ τὸ πρᾶγμ' αὐτὸ τοὺς μὲν αἰτίους εὕρῃ, τοὺς δὲ μὴ μετεσχηκότας ἀφῇ, ἀναστὰς ὁ βουλόμενος καὶ παρελθὼν εἰς ὑμᾶς ἀποφηνάσθω μὴ μετέχειν μηδ' ἀρέσκειν αὐτῷ τὰ ὑπὸ 377 Φιλοκράτους πεπραγμένα. Καὶ τὸν τοῦτο ποιήσαντ' ἀφίημ' ἔγωγ', ἔφην. Ταῦτα μνημονεύεθ', ὡς ἐγᾦμαι. Οὐ τοίνυν παρῆλθεν οὐδεὶς οὐδ' ἔδειξεν ἑαυτόν. [118] Καὶ τῶν μὲν ἄλλων ἐστὶν ἑκάστῳ τις πρόφασις· ὁ μὲν οὐχ ὑπεύθυνος ἦν, ὁ δ' οὐχὶ παρῆν ἴσως, τῷ δὲ κηδεστής ἐστιν ἐκεῖνος· τούτῳ δ' οὐδὲν τούτων. Ἀλλ' οὕτω καθάπαξ πέπρακεν ἑαυτὸν καὶ οὐκ ἐπὶ τοῖς παρεληλυθόσιν μεμισθάρνηκε μόνον, ἀλλὰ καὶ μετὰ ταῦτα δῆλος ἐστιν, ἄν περ ἐκφύγῃ νῦν, καθ' ὑμῶν ὑπάρξων ἐκείνῳ, ὥσθ', ἵνα μηδὲν ἐναντίον μηδὲ ῥῆμα πρόηται Φιλίππῳ, οὐδ' ἀφιέντων ἀφίεται, ἀλλ' ἀδοξεῖν, κρίνεσθαι, πάσχειν ὁτιοῦν αἱρεῖται παρ' ὑμῖν μᾶλλον ἢ Φιλίππῳ τι ποιῆσαι μὴ πρὸς ἡδονήν. [119] Καίτοι τίς ἡ κοινωνία, τίς ἡ πολλὴ πρόνοι' ὑπὲρ Φιλοκράτους αὕτη; ὃς εἰ τὰ κάλλιστα καὶ πάντα τὰ συμφέροντ' ἐπεπρεσβεύκει, χρήματα δ' ὡμολόγει λαβεῖν ἐκ τῆς πρεσβείας, ὥσπερ ὁμολογεῖ, τοῦτό γ' αὐτὸ φυγεῖν καὶ διευλαβηθῆναι τῷ

NC. 1. συναγωνιουμένους Dobree. — 2. ἔφην, ἐγὼ. C'est la ponctuation de Vœmel et de Bekker, demandée par l'antithèse. — 6. ποιήσαντα. Variante : ποιήσοντα. — 7. ταῦτα S et L seuls. ταῦτα καὶ ου ταῦτα γὰρ vulg. — 9. ουχ S. — 10. κηδεστη S[1]. — ἐστιν ἐκεῖνος S, L et schol. ἦν ἐκεῖ vulg. — 14. μηδὲ ἐναντίον μηδὲν S et L. — 15. ἀφίεται S, A et schol. ἀφίησιν L et vulg. — 20. La variante ὁμολογεῖ a été adoptée par Bekker et Dindorf. ὡμολόγει S, L, vulg. Philocrate se trouvait encore à Athènes quand Démosthène écrivait ce projet de discours. Voy. la *Notice*.

1. Εἰ μὴ τοὺς συναγωνιζομένους... εἶχεν, s'il n'avait eu pour auxiliaires.

9-10. Ὁ μὲν οὐχ ὑπεύθυνος ἦν. Il paraît qu'un des ambassadeurs, sinon plusieurs (car ὁ μέν n'exclut pas l'idée de pluralité), avait déjà rendu ses comptes. O. Gilbert pense qu'il s'agit d'Aglaocréon de Ténédos, l'ambassadeur des alliés, lequel n'était pas justiciable des tribunaux athéniens. Voy. la note sur οἱ δ' ἐννέα, p. 287, l. 17. — Τῷ δὲ κηδεστής.... ἐκεῖνος. Par ἐκεῖνος, il faut sans doute entendre Philocrate. [Markland.] Cependant le scholiaste rapporte ce démonstratif à Philippe, et flaire ici un sarcasme à l'adresse de Phrynon : cf. § 230.

13-15. Ὑπάρξων ἐκείνῳ. Cf. § 54. — Μηδὲν.... μηδὲ ῥῆμα, rien, pas même un mot. — Οὐδ' ἀφιέντων ἀφίεται, on a beau le décharger de toute responsabilité, lui offrir le moyen de se dégager par une simple déclaration, il ne veut pas, lui, se dégager en renonçant (ἀφιέμενος) à son pacte avec Philippe. Cf. *Midienne*, § 205.

προῖκα πρεσβεύοντι προσῆκεν, καὶ διαμαρτύρεσθαι τὸ καθ' αὑτόν. Οὐ τοίνυν πεποίηκε τοῦτ' Αἰσχίνης. Ταῦτ' οὐ φανέρ', ἄνδρες Ἀθηναῖοι; ταῦτ' οὐχὶ βοᾷ καὶ λέγει ὅτι χρήματ' εἴληφεν Αἰσχίνης καὶ πονηρός ἐστιν ἀργυρίου συνεχῶς, οὐ δι' ἀβελτερίαν οὐδὲ δι' ἄγνοιαν, οὐδ' ἀποτυγχάνων;

[120] Καὶ τίς μου καταμαρτυρεῖ, φήσει, δῶρα λαβεῖν; Τοῦτο γάρ ἐστι τὸ λαμπρόν· τὰ πράγματ', Αἰσχίνη, ἅπερ πιστότατ' ἐστὶν ἁπάντων, καὶ οὐκ ἔνεστ' εἰπεῖν οὐδ' αἰτιάσασθαι ὡς ἢ πεπεισμέν' ἢ χαριζόμενά τῳ ἐστι τοιαῦτα, ἀλλ' οἷάπερ αὐτὰ προδοὺς καὶ διαφθείρας σὺ πεποίηκας, τοιαῦτ' ἐξεταζό- 378
μενα φαίνεται. Πρὸς δὲ τοῖς πράγμασιν αὐτὸς αὐτίκα δὴ σὺ 11
σαυτοῦ. Ἀπόκριναι γάρ δεῦρ' ἀναστάς μοι. Οὐ γὰρ δὴ δι'

NC. 1. προσῆκεν S. — διαμαρτύρεσθαι S. διαμαρτύρασθαι L et vulg. — 2. ἄνδρες S[1] seul. ὦ ἄνδρες L et vulg. — 3. Cobet, *Var. Lect.*, p. 506 (2[e] édit.), supprime καὶ λέγει. — 6. φήσει S. φησι L et vulg. — δῶρα λαβεῖν. Ces mots, omis dans le texte de F, et pointés dans L, pourraient être interpolés. — 7. On mettait un point après τοῦτο.... λαμπρόν. — Ces mots pourraient être une interpolation tirée du paragraphe 279. [Dobree.] — 12. σαυτοῦ S seul. σαυτοῦ καταμαρτυρήσεις L et vulg. — δεῦρο παρελθὼν (variante-glose) Hésychios, art. Ἀπόκρισις, et d'autres grammairiens.

3. Βοᾷ καὶ λέγει, crie et affirme. La gradation semble demander λέγει καὶ βοᾷ. Mais le second verbe est une espèce de correctif à la hardiesse du premier. Cf. *Ol.* II, § 9 : Ἀνεχαίτισε καὶ διέλυσε. *Phil.* III, § 12 : Νοσοῦσι καὶ στασιάζουσι.

4. Ἀργυρίου, « pour de l'argent », comme ailleurs μισθοῦ. — Οὐ δι' ἀβελτερίαν. Il faut tirer de πονηρός ἐστιν, et sous-entendre ici, l'idée « il a causé de grands malheurs ».

6. Φήσει. C'est ici que commence la réfutation (ἀνασκευή) des arguments dont pourra se servir Eschine pour établir qu'il ne s'est pas laissé corrompre. Nous faisons cette observation à cause du paragraphe 134 et des discussions auxquelles il a donné lieu.

7. Τοῦτο γάρ ἐστι τὸ λαμπρόν. On explique généralement : « voilà sa grande objection. » Mais le paragraphe 279 réfute cette interprétation. Démosthène, loin d'avouer que l'absence de témoignages positifs affaiblisse son accusation, s'écrie triomphalement : « Eh ! voilà justement ma preuve la plus éclatante : les faits, Eschine, déposent contre toi. » Le scholiaste hésitait entre les deux explications. C'est, sans doute, la particule γάρ qui a fait préférer celle qui est erronée. Mais cette particule se retrouve au paragraphe 279 (où, à la vérité, elle s'explique plus facilement), et on peut sous-entendre : « j'y arrive, je m'empresse de répondre à cette objection. » Cf. *NC.*

9. Ἢ πεπεισμέν(α) ἢ χαριζόμενά τῳ, on ne peut dire des faits (ce qui peut être allégué contre des témoins proprement dits), qu'ils se sont laissé influencer ou qu'ils veulent faire plaisir à quelqu'un. L'explication de Reiske porte à faux. Shilleto rapproche à propos Aristote, *Rhetor.*, I, 15, 17 : Πιστώματα δὲ.... μάρτυρας μὲν μὴ ἔχοντι (c'est ici le cas de Démosthène), ὅτι ἐκ τῶν εἰκότων δεῖ κρίνειν.... καὶ ὅτι οὐκ ἔστιν ἐξαπατῆσαι τὰ εἰκότα ἐπὶ ἀργυρίῳ, καὶ ὅτι οὐχ ἁλίσκεται τὰ εἰκότα ψευδομαρτυριῶν.

11-12. Σὺ σαυτοῦ. Il est d'autant plus facile de sous-entendre καταμαρτυρήσεις, que tantôt, dans la phrase parallèle τὰ πράγματα..., le verbe se tirait aussi de la question τίς μου καταμαρτυρεῖ ;

12. Δεῦρ(ο) se rattache plutôt à ἀπόκριναι qu'à ἀναστάς : c'est une expression

ἀπειρίαν γ' οὐ φήσεις ἔχειν ὅ τι εἴπῃς· ὃς γὰρ ἀγῶνας καινοὺς ὥσπερ δράματα, καὶ τούτους ἀμαρτύρους, πρὸς διαμεμετρημένην τὴν ἡμέραν αἱρεῖς διώκων, δῆλον ὅτι πάνδεινος εἶ τις.

[121] Πολλῶν τοίνυν καὶ δεινῶν ὄντων τῶν πεπραγμένων Αἰσχίνῃ τουτῳί, καὶ πολλὴν κακίαν ἐχόντων, ὡς καὶ ὑμῖν οἴομαι δοκεῖν, οὐδέν ἐστιν οὗ μέλλω λέγειν, ὡς ἐγὼ κρίνω, δεινότερον, οὐδ' ὅ τι μᾶλλον ἐπ' αὐτοφώρῳ δεδωροδοκηκότ' αὐτὸν καὶ πεπρακότα πάντ' ἐξελέγξει. Ἐπειδὴ γὰρ ἀπεστέλλετ' αὖθις αὖ τὸ τρίτον τοὺς πρέσβεις ὡς τὸν Φίλιππον, ἐπὶ ταῖς καλαῖς καὶ μεγάλαις ἐλπίσι ταύταις αἷς οὗτος ὑπέσχητο, ἐχειροτονήσατε καὶ τοῦτον κἀμὲ καὶ τῶν ἄλλων τοὺς πλείστους τοὺς αὐτούς. [122] Ἐγὼ μὲν δὴ παρελθὼν ἐξωμοσάμην εὐθέως, καὶ θορυβούντων τινῶν καὶ κελευόντων βαδίζειν οὐκ ἂν ἔφην ἀπελθεῖν·

NC. 5. τῶν, après ὄντων, manque dans S. — 6. τουτῳί Dindorf. τούτῳ vulg. — 9. ἀπεστέλλετ' S, A, L. ἀπεστείλατ' vulg. — 11. ὑπέσχητο S et L, ὑπισχνεῖτο ou ὑπέσχετο vulg. — 13. ἐξωμολογησάμην texte de S et L[1] seuls. — 14. ἀπελθεῖν. Les deux premières lettres sont ajoutées dans S par une main ancienne, avec raison, quoi qu'en dise Vœmel.

elliptique, qui se peut traduire par « viens ». Cf. Platon, *Apol.*, p. 24, C : Καί μοι δεῦρο, ὦ Μέλητε, εἰπέ. *Cratyl.*, p. 422, C : Δεῦρο αὖ συνεπίσκεψαι μετ' ἐμοῦ. — Comme l'accusé ne répond pas à cet appel de l'accusateur, ce silence est regardé par ce dernier comme un aveu. Sous-entendez : « Tu ne réponds pas : tu n'as donc rien à répondre, et tu déposes contre toi-même en restant muet. Car tu ne peux dire.... »

1-3. Ἀγῶνας καινούς, des procès nouveaux, imprévus, inouïs, qui piquent la curiosité comme des pièces nouvelles (ὥσπερ δράματα). Démosthène indique le procès intenté par Eschine à Timarque, homme d'un âge déjà avancé, pour les turpitudes de sa première jeunesse ; et il fait en même temps allusion au métier d'acteur exercé autrefois par son adversaire. [Scholiaste.] — Ἀμαρτύρους. Eschine, comme Démosthène dans le cas présent, n'avait point de témoin à citer. — Πρὸς διαμεμετρημένην, τὴν ἡμέραν. Autre ressemblance avec le procès présent. En effet, Eschine dit, § 126 : « J'ai du temps de reste. » Πρὸς ἕνδεκα γὰρ ἀμφορέας ἐν διαμεμετρημένῃ τῇ ἡμέρᾳ κρίνομαι. Celui qui voulait parler si longtemps devait être exercé à la parole (πάνδεινός τις). La journée consacrée tout entière à la même cause était divisée en trois parties, attribuées, la première à l'accusation, la deuxième à la défense, la troisième (suivant Harpocration) à la délibération des juges, ou bien (suivant Eschine, *Ctésiph.*, § 197) à la discussion de la peine à appliquer, si l'accusé avait été jugé coupable. — Αἱρεῖς, tu *atteins*, tu fais condamner.

5. Τῶν πεπραγμένων. A l'objection présumée d'Eschine : « Quels témoins déposent contre moi? » Démosthène répond : « Les témoins, ce sont les faits mêmes. » Et il cite à l'appui la conduite du prévenu lors de la troisième ambassade. Tout ce qui va suivre, jusqu'à la fin du paragraphe 123, fait donc partie de la réfutation commencée au paragraphe 120. Voy. la note sur p. 295, l. 11.

11. Ἐλπίσι.... αἷς.... ὑπέσχητο. Par une légère métonymie, ἐλπίδες désigne ici l'objet de l'espérance, les choses espérées.

13. Ἐξωμοσάμην. Harpocration : Ἐξωμοσία· τὸ μεθ' ὅρκου πρᾶξίν τινα ἀπαρνήσασθαι.

οὗτος δ' ἐκεχειροτόνητο. Ἐπειδὴ δ' ἀνέστη μετὰ ταῦθ' ἡ ἐκκλησία, συνελθόντες ἐβουλεύονθ' οὗτοι τίν' αὐτοῦ καταλείψουσιν. Ἔτι γὰρ τῶν πραγμάτων ὄντων μετεώρων καὶ τοῦ μέλλοντος ἀδήλου, σύλλογοι καὶ λόγοι παντοδαποὶ κατὰ τὴν ἀγορὰν ἐγίγνοντο τότε· [123] ἐφοβοῦντο δὴ μὴ σύγκλητος ἐκκλησία γένοιτ' ἐξαίφνης, εἶτ' ἀκούσαντες ὑμεῖς ἐμοῦ τἀληθῆ ψηφίσαισθέ τι τῶν δεόντων ὑπὲρ τῶν Φωκέων, καὶ τὰ πράγματ' ἐκφύγοι τὸν Φίλιππον. Εἰ γὰρ ἐψηφίσασθε μόνον καὶ μικρὰν 379
ὑποφήνατ' ἐλπίδ' ἡντινοῦν αὐτοῖς, ἐσώθησαν ἄν. Οὐ γὰρ ἐνῆν, οὐκ ἐνῆν μὴ παρακρουσθέντων ὑμῶν μεῖναι Φιλίππῳ. Οὔτε γὰρ σῖτος ἦν ἐν τῇ χώρᾳ, ἀσπόρῳ διὰ τὸν πόλεμον γεγονυίᾳ, οὔθ' ἡ σιτοπομπία δυνατὴ τριήρων οὐσῶν ὑμετέρων ἐκεῖ καὶ τῆς θαλάττης κρατουσῶν, αἵ τε πόλεις πολλαὶ καὶ χαλεπαὶ λαβεῖν αἱ τῶν Φωκέων, μὴ οὐ χρόνῳ καὶ πολιορκίᾳ· εἰ γὰρ ἐν ἡμέρᾳ πόλιν ᾕρει, δύο καὶ εἴκοσίν εἰσιν ἀριθμῷ. [124] Διὰ δὴ ταῦτα πάντα, ἵνα μηδὲν μετάθησθ' ὧν ἐξηπάτησθε, τοῦτον αὐτοῦ κατέλιπον. Ἐξομόσασθαι μὲν δὴ μὴ μετ' αἰτίας τινὸς δεινὸν ἦν καὶ ὑποψία μεγάλη· « τί λέγεις; ἐπὶ τηλικαῦτα καὶ « τοιαῦτ' ἀγαθὰ οὐχὶ βαδίζεις ἀπαγγείλας οὐδὲ πρεσβεύεις; » Ἔδει δὲ μένειν. Πῶς οὖν; ἀρρωστεῖν προφασίζεται, καὶ λαβὼν

NC. 8. ἐκφεύγοι S. — 10. οὐκ ἐνῆν ne se lit que dans L et à la marge de S. — μεῖναι S. μεῖναί τι vulg. Les deux leçons dans L. ἔτι μεῖναι Feliciano. — 11. ἐνῆν vulg. — 12. δύναται S seul. — 14. οὐ, après μὴ, est ajouté dans S par une main ancienne. Vœmel le supprime. — 16. μεταθήσεσθε S seul. μετάθοισθε G. H. Schæfer. — 17. ἐξομόσασθε S. — 19. τοιαῦτ'. Variante : τοσαῦτα. — ὁ ἀπαγγείλας Dobree.

1. Ἐκεχειροτόνητο équivaut à κεχειροτονημένος ἦν, il était élu.

4. Σύλλογοι καὶ λόγοι. Ce passage est cité comme un exemple de paronomasie par les rhéteurs grecs : Alexandre, Περὶ σχημάτων, 21 ; Tibère, 27.

5-6. Σύγκλητος ἐκκλησία, assemblée du peuple convoquée extraordinairement, à la différence des assemblées régulières, νόμιμοι ou κύριαι. Voy. Schœmann, *Antiq. jur. publ. Græc.*, p. 219.

8. Εἰ γὰρ ἐψηφίσασθε μόνον.... Cela ne s'accorde pas trop avec ce que l'orateur a dit au paragraphe 34.

14. Μὴ οὐ, si ce n'est. Ces négations sont de mise ici, parce que χαλεπαὶ λαβεῖν équivaut à la locution négative οὐκ εὐάλωτοι. [G. H. Schæfer.] C'est ainsi que μὴ οὐ suivi de l'infinitif se trouve en des phrases comme αἰσχρόν (équivalent à οὐ καλόν) ἐστι καὶ ἐμοὶ σοφίαν.... μὴ οὐχὶ πάντων κράτιστον φάναι εἶναι, Platon, *Protag.*, p 352, D. Cf. Krüger, 67, 12, 6 et 9.

17-18. Μὴ μετ' αἰτίας τινός, à moins d'alléguer une raison. — Ὑποψία μεγάλη. Démosthène explique et développe ces mots en alléguant les propos qu'on aurait pu tenir.

19. Ἀπαγγείλας, après les avoir annoncés, que tu as annoncés.

Ἐξήκεστον τὸν ἰατρὸν ἀδελφὸς αὐτοῦ καὶ προσελθὼν τῇ βουλῇ ἐξώμοσεν ἀρρωστεῖν τουτονὶ καὶ αὐτὸς ἐχειροτονήθη. [125] Ἐπειδὴ δ' ἀπωλώλεσαν οἱ Φωκεῖς ὕστερον ἡμέραις πέντε ἢ ἕξ, καὶ τέλος εἶχε τὸ μίσθωμα ὥσπερ ἂν ἄλλο τι τούτῳ, καὶ ὁ Δερκύλος ἐκ τῆς Χαλκίδος ἧκεν ἀναστρέψας καὶ ἀπήγγειλεν ὑμῖν ἐκκλησιάζουσιν ἐν Πειραιεῖ ὅτι Φωκεῖς ἀπολώλασι, καὶ ὑμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, ταῦτ' ἀκούσαντες εἰκότως κἀκείνοις συνήχθεσθε καὶ αὐτοὶ ἐξεπέπληχθε, καὶ παῖδας καὶ γυναῖκας ἐκ τῶν ἀγρῶν καταχομίζειν ἐψηφίζεσθε καὶ τὰ φρούρι' ἐπισκευάζειν καὶ τὸν Πειραιᾶ τειχίζειν καὶ τὰ Ἡράκλει' ἐν ἄστει θύειν, — [126] ἐπειδὴ ταῦτ' ἦν καὶ
380 τοιαύτη ταραχὴ καὶ τοιοῦτος θόρυβος περιειστήκει τὴν πόλιν, τηνικαῦτ' ὁ σοφὸς καὶ δεινὸς οὗτος καὶ εὔφωνος, οὔτε βουλῆς οὔτε δήμου χειροτονήσαντος αὐτὸν, ᾤχετο πρεσβεύων ὡς τὸν ταῦτα πεποιηκότα, οὔτε τὴν ἀρρωστίαν, ἐφ' ᾗ τότ' ἐξωμόσαθ', ὑπολογισάμενος, οὔθ' ὅτι πρεσβευτὴς ἄλλος ᾕρητ' ἀνθ' αὐτοῦ, οὔθ' ὅτι τῶν τοιούτων ὁ νόμος θάνατον τὴν ζημίαν εἶναι κελεύει, [127] οὔθ' ὅτι πάνδεινόν ἐστιν ἀπηγγελκότα ὡς ἐπικεκήρυκται χρήματ' αὐτῷ ἐν Θήβαις, ἐπειδὴ Θηβαῖοι πρὸς τῷ τὴν Βοιωτίαν ἅπασαν ἔχειν καὶ τῆς Φωκέων χώρας ἐγκρατεῖς γεγόνασι, τηνικαῦτ' εἰς μέσας τὰς Θήβας καὶ τὸ τῶν Θηβαίων

NC. 1. ἀδελφὸς L et Bekker. ἀδελφὸς vulg. Il est vrai qu'Eschine avait deux frères; mais cela n'empêche pas de dire « son frère », au lieu de « un de ses frères ». — 2. ἐξώμοσεν S seul. ἐξώμοσατο L et vulg. — 8. αὐτοὶ vulg. ἑαυτοῖς S. αὐτοὶ ἑαυτοῖς L seul. — 12. τοιαύτη.... τοιοῦτος S. τηλικαύτη.... τοιοῦτος L. τοσαύτη.... τοσοῦτος vulg. — 13. δεινὸς καὶ σοφὸς vulg. — οὑτοσὶ A, et Dindorf. — 15. ἐξωμόσασθ S seul.

2. Ἐξώμοσεν. G. H. Schæfer : « Ἐξομνύναι, ejurare pro alio. Ἐξόμνυσθαι, « ejurare pro se. » — Ἐχειροτονήθη, sous-ent. ὑπὸ τῆς βουλῆς.

4-5. Καὶ τέλος εἶχε.... τούτῳ, et qu'il eut bien et définitivement gagné son salaire, comme il aurait pu gagner toute autre chose. Les mots ironiques ὥσπερ ἂν ἄλλο τι veulent dire : « chose toute simple et qui n'a rien d'extraordinaire. »

5. Ὁ Δερκύλος.... Dercyle était un des ambassadeurs athéniens (§ 175). Parti pour la troisième ambassade, il revint à cette nouvelle, ainsi que ses collègues. Voy., du reste, § 60 et, pour les autres faits, § 86.

13-14. Οὔτε βουλῆς.... χειροτονήσαντος. Eschine (§ 94 sq.) répond très-bien que la commission des ambassadeurs fut confirmée dans une seconde assemblée, et que, sa santé se trouvant rétablie, il accepta alors. Démosthène assure, au paragraphe 172, qu'il s'est, lui, deux fois récusé, et il corrobore ainsi, sans le vouloir, le récit de son adversaire. Voy. A. Schæfer, II, p. 263, note 2.

στρατόπεδον βαδίζειν· ἀλλ' οὕτως ἔκφρων ἦν καὶ ὅλος πρὸς τῷ λήμματι καὶ τῷ δωροδοκήματι ὥστε πάντα ταῦτ' ἀνελὼν καὶ παριδὼν ᾤχετο.

[128] Καὶ τοιούτου τοῦ πράγματος ὄντος, ἔτι πολλῷ δεινότερ' ἐστὶν ἃ 'κεῖσ' ἐλθὼν διεπράξατο. Ἁπάντων γὰρ ὑμῶν τουτωνὶ καὶ τῶν ἄλλων Ἀθηναίων οὕτω δεινὰ καὶ σχέτλι' ἡγουμένων τοὺς ταλαιπώρους πάσχειν Φωκέας ὥστε μήτε τοὺς ἐκ τῆς βουλῆς θεωροὺς μήτε τοὺς θεσμοθέτας εἰς τὰ Πύθια πέμψαι, ἀλλ' ἀποστῆναι τῆς πατρίου θεωρίας, οὗτος εἰς τἀπινίκια τῶν πραγμάτων καὶ τοῦ πολέμου, ἃ Θηβαῖοι καὶ Φίλιππος ἔθυον, εἱστιᾶτ' ἐλθὼν καὶ σπονδῶν μετεῖχε καὶ εὐχῶν, ἃς ἐπὶ τοῖς τῶν συμμάχων τῶν ὑμετέρων τείχεσι καὶ χώρᾳ καὶ ὅπλοις ἀπολωλόσιν ηὔχετ' ἐκεῖνος, καὶ συνεστεφανοῦτο καὶ συνεπαιάνιζεν Φιλίππῳ καὶ φιλοτησίας προὔπινεν.

[129] Καὶ ταῦτ' οὐκ ἔνεστιν ἐμοὶ μὲν οὕτω, τούτῳ δ' ἄλλως πως εἰπεῖν· ἀλλ' ὑπὲρ μὲν τῆς ἐξωμοσίας, ἐν τοῖς κοινοῖς τοῖς 381
ὑμετέροις γράμμασιν ἐν τῷ μητρῴῳ ταῦτ' ἐστίν, ἐφ' οἷς ὁ δημόσιος τέτακται, καὶ ψήφισμ' ἄντικρυς περὶ τούτου τοῦ ὀνόματος γέγραπται· ὑπὲρ δ' ὧν ἐκεῖ διεπράξατο, οἱ συμπρεσβεύοντες καὶ παρόντες καταμαρτυρήσουσιν, οἵπερ ἐμοὶ ταῦτα διηγοῦντο· οὐ γὰρ ἔγωγ' αὐτοῖς συνεπρέσβευσα, ἀλλ' ἐξωμοσάμην. [130] Καί μοι λέγε τὸ ψήφισμα [καὶ τὰ γράμματα], καὶ τοὺς μάρτυρας κάλει.

NC. 1. ὅλος S, A, L. ὅλως vulg. — 2. καὶ τῷ δωροδοκήματι : mots omis dans A et condamnés par Cobet. — 12. Var. : χώραις. — 22. καὶ τὰ γράμματα. Nous avons mis entre crochets ces mots, ajoutés sans doute par suite d'une interprétation erronée de ce qui est dit au paragraphe 129. Voy. la note suivante. Bœhnecke (*Forschungen*, I, p. 411) et les derniers éditeurs veulent que le terme vague τὰ γράμματα désigne le procès-verbal de la séance du sénat où cette affaire fut traitée. Mais le décret dut mentionner les motifs pour lesquels le sénat substituait un autre ambassadeur à celui qui avait été nommé par le peuple. La lecture du procès-verbal était donc inutile et, pour ma part, je doute que les procès-verbaux du sénat aient été conservés dans les archives publiques.

2-3. Ἀνελὼν καὶ παριδὼν. Eschine contredit ainsi et détruisit (ἀνεῖλε) ses allégations antérieures ; il négligea (παρεῖδε) le fait d'un autre ambassadeur élu à sa place et la loi que l'orateur vient de rappeler.

5. Ἁπάντων.... τουτωνί, vous tous ici présents.

9. Εἰς τἀπινίκια se rattache à ἐλθών.

16-19. Ὑπὲρ..., « pour ce qui est de..., » comme ailleurs περί. — Ἐν τοῖς κοινοῖς.... γράμμασιν. On voit par ce passage que les actes publics d'Athènes étaient conservés dans le temple de Cybèle sous la garde d'un esclave public, δημόσιος. — Καὶ ψήφισμ(α).... γέγραπται, et un décret (du

ΨΗΦΙΣΜΑ. ΜΑΡΤΥΡΕΣ.

Τίνας οὖν εὐχὰς ὑπολαμβάνετ' εὔχεσθαι τοῖς θεοῖς τὸν Φίλιππον, ὅτ' ἔσπενδεν, ἢ τοὺς Θηβαίους; ἆρ' οὐ κράτος πολέμου καὶ νίκην αὑτοῖς καὶ τοῖς συμμάχοις διδόναι, καὶ τἀναντία τοῖς τῶν Φωκέων; οὐκοῦν ταῦτα συνηύχεθ' οὗτος καὶ κατηρᾶτο τῇ πατρίδι, ἃ νῦν εἰς κεφαλὴν ὑμᾶς αὐτῷ δεῖ τρέψαι.

[131] Οὐκοῦν ᾤχετο μὲν παρὰ τὸν νόμον, ὃς θάνατον κελεύει τούτων τὴν ζημίαν εἶναι· ἐλθὼν δ' ἐκεῖσε, ἑτέρων θανάτων ἄξια ποιῶν πέφανται· τὰ δὲ πρόσθεν πεπραγμένα καὶ πεπρεσβευμέν' ὑπὲρ τούτων ἀποκτείνειεν ἂν αὐτὸν δικαίως. Σκοπεῖτε τοίνυν τί ἔσται τίμημ', ὃ ταύτην ἕξει τὴν ἀξίαν ὥστε τοσούτων [πραγμάτων] ἀξιόχρεων φαίνεσθαι. [132] Πῶς γὰρ οὐκ αἰσχρόν, ὦ ἄνδρες Ἀθηναῖοι, δημοσίᾳ μὲν ἅπαντας ὑμᾶς καὶ ὅλον τὸν δῆμον πᾶσι τοῖς πεπραγμένοις ἐκ τῆς εἰρήνης ἐπιτιμᾶν, καὶ μήτε τῶν ἐν Ἀμφικτύοσι κοινωνεῖν ἐθέλειν δυσκόλως τ' ἔχειν καὶ ὑπόπτως πρὸς τὸν Φίλιππον, ὡς ἀσεβῶν καὶ
382 δεινῶν ὄντων τῶν πεπραγμένων καὶ οὔτε δικαίων οὔθ' ὑμῖν

NC. 1. Après ΨΗΦΙΣΜΑ, on lit généralement ΓΡΑΜΜΑΤΑ. Mais ce dernier mot ne se trouve pas dans plusieurs bons manuscrits, particulièrement ceux de la famille F, avec lesquels s'accorde la marge de L. Dans S, on a laissé pour les titres un blanc qui n'a pas été rempli. On voit que l'interpolation s'est étendue du texte aux titres, mais que là elle n'a pas atteint tous les manuscrits. — 3. κράτος καὶ νίκην πολέμου, avec indication de l'ordre des mots véritable, S. — 4. τἀναντία τούτων A. — 9. δὲ πρόσθεν S et L. δ' ἔμπροσθεν vulg. — 10. ὑπὲρ τούτων. Dobree pensait à χωρὶς τούτων. Y aurait-il eu, à côté de ἀποκτείνειεν ἄν, une mauvaise variante : ὑπὲρ τούτων ἀποκτείναιτ' ἄν? — 11. τίμημα ἔσται vulg. — 12. J'écarte πραγμάτων S. ἀδικημάτων L et vulg.

sénat) a été rédigé au sujet d'Eschine expressément (ἄντικρυς) désigné par son nom. C'est le décret substituant à Eschine le frère d'Eschine comme membre de la troisième ambassade. Les mots τοῖς κοινοῖς.... γράμμασιν, ne se réfèrent pas à un document différent de ce décret.

3-4. Κρατος πολέμου καὶ νίκην. C'est la formule même usitée dans les prières, ainsi que le fait observer Schneidewin à propos de Sophocle, *Électre*, 85 : Ταῦτα γὰρ φέρει ‖ νίκην τ' ἐφ' ἡμῖν καὶ κράτος τῶν δρωμένων. Cf. Plutarque, *Cessation des oracles*, 5 : Ἀνεῖλε νίκην καὶ κράτος πολέμου τοῖς Ἕλλησιν ὁ θεός. Platon, *Lois*, XII, p. 962 A : Νίκην καὶ κράτος τῶν πολεμίων. Eschyle, *Suppl.* 951 : Εἴη δὲ νίκη καὶ κράτος τοῖς ἄρσεσιν.

10. Ὑπὲρ τούτων, concernant ces choses. [Shilleto.] Cependant ces mots ne sont pas nets. Cf. *NC.* — Ἀποκτείνειεν ἄν, le feraient mourir, c'est-à-dire lui vaudraient la peine de mort. Cf. § 179 : Δύο τῶν πεπραγμένων ἔσθ' ἱκάν' αὐτὸν ἀποκτεῖναι.

συμφερόντων, εἰς δὲ τὸ δικαστήριον εἰσελθόντας τὰς ὑπὲρ τούτων εὐθύνας δικάσοντας, ὅρκον ὑπὲρ τῆς πόλεως ὀμωμοκότας, τὸν ἁπάντων τῶν κακῶν αἴτιον, καὶ ὃν εἰλήφατ' ἐπ' αὐτοφώρῳ τοιαῦτα πεποιηκότα, τοῦτον ἀφεῖναι; [133] Καὶ τίς οὐ δικαίως ἂν ὑμῖν ἐγκαλέσειε τῶν ἄλλων πολιτῶν, μᾶλλον δ' ἁπάντων τῶν Ἑλλήνων, ὁρῶν Φιλίππῳ μὲν ὑμᾶς ὀργιζομένους, ὃς ἐκ πολέμου ποιούμενος εἰρήνην παρὰ τῶν πωλούντων τὰς πράξεις ἐωνεῖτο, πρᾶγμα πολλὴν συγγνώμην ἔχον διαπραττόμενος, τουτονὶ δ' ἀφιέντας, ὃς τὰ ὑμέτερ' οὕτως αἰσχρῶς ἀπέδοτο, τῶν νόμων τὰ ἔσχατα ταττόντων ἐπιτίμια, ἐάν τις ταῦτα ποιῇ.

[134] Τάχα τοίνυν ἴσως καὶ τοιοῦτος ἥξει τις λόγος παρὰ τούτων, ὡς ἀρχὴ γενήσεται πρὸς Φίλιππον ἔχθρας, εἰ τῶν πρεσβευσάντων τὴν εἰρήνην καταψηφιεῖσθε. Ἐγὼ δ', εἰ τοῦτ' ἔστιν ἀληθές, οὐκ ἔχω σκοπούμενος εὑρεῖν ὅ τι μεῖζον τούτου κατηγορήσω. Εἰ γὰρ ὁ τῆς εἰρήνης χρήματ' ἀναλώσας ὥστε

NC. 2. ὅρκον ὑπὲρ S[1] καὶ ὅρκον ὑπὲρ L. καὶ τὸν ὅρκον τὸν ὑπὲρ vulg. — 3. αὐτοφόρῳ S. — 5. ἂν ὑμῖν ἐγκαλέσειε A, et Vœmel. ὑμῖν ἐγκαλέσει S, vulg. ἐγκαλεῖ (futur attique) Cobet. — ἄλλων m'est suspect. — 7. τὴν εἰρήνην vulg. — 12. πρὸς S. τῆς πρὸς vulg. — 14. τούτου μεῖζον vulg. — 15-1. ὑπὲρ τῆς εἰρήνης et τυχεῖν αὐτοῖς (pour αὐτῆς) L : paraphrase interprétative qui se retrouve, à peu de chose près, dans Hermogène, t. III, p. 404 Walz.

1-2. Εἰσελθόντας.... δικάσοντας.... ὀμωμοκότας. Ces trois participes sont subordonnés, le deuxième au premier, et le troisième au deuxième.

7-8. Τὰς πράξεις ἐωνεῖτο, il achetait les moyens d'exécution. C'est ainsi qu'il faut joindre les mots, en suppléant αὐτὰς après πωλούντων. Cf. § 300.

11. Καί, aussi. Ce petit mot a ému les critiques et fait naître toute sorte d'hypothèses. Spengel demande où se trouve dans ce qui précède une première réfutation (ἀνασκευή) qui pourrait autoriser l'emploi de cette particule, et il signale ici une confusion dans le texte à laquelle il lui semble difficile de remédier. Vœmel veut transposer les §§ 134-149 après le § 233. D'autres imaginent des remèdes encore plus aventureux. Il n'est pas difficile de résoudre la difficulté. Démosthène vient de démontrer que les faits accusent Eschine plus que ne pourraient faire des témoins, et il a donné à cette démonstration la forme d'une réfutation : Καὶ τίς μου καταμαρτυρεῖ, φήσει, δῶρα λαβεῖν; Cette première réfutation comprend les paragraphes 120-133. Voy. notre note sur p. 290, l. 5. La particule καὶ est donc à sa place, et les considérations qui vont suivre, le parallèle entre les ambassadeurs corrompus d'Athènes et les ambassadeurs intègres de Thèbes, ne sont certes pas déplacées à la fin de la partie du réquisitoire consacrée au chef de corruption.

12-13. Τῶν πρεσβευσάντων τὴν εἰρήνην. Cf. § 273. Shilleto rapproche Eschine, *Amb.*, § 177 : Πόλεμον ἐκ πολέμου πολιτευόμενοι.

14. Τούτου dépend de κατηγορήσω.

15. Τῆς εἰρήνης, pour la paix. Ce génitif est gouverné par ἀναλώσας, et les mots ὥστε τυχεῖν sont ajoutés par epexégèse; cf. *NC.* Shilleto cite à propos : Ὧν πολλὰ χρήματα ἀνηλώκει ὥστε γενέσθαι, *Halonn.* § 23. Voy. *Phil.* II, § 3, avec notre note.

τυχεῖν, οὗτος οὕτω γέγονεν φοβερὸς καὶ μέγας ὥστε τῶν ὅρκων
καὶ τῶν δικαίων ἀμελήσαντας ὑμᾶς ἤδη τί Φιλίππῳ χαριεῖσθε
σκοπεῖν, τί παθόντες ἂν οἱ τούτων αἴτιοι τὴν προσήκουσαν
δίκην δεδωκότες εἶεν; [135] Οὐ μὴν ἀλλ' ὅτι καὶ φιλίας ἀρχὴ
συμφερούσης ὑμῖν οὕτω μᾶλλον ἐκ τῶν εἰκότων γενήσεται,
καὶ τοῦτ' οἶμαι δείξειν. Εὖ γὰρ εἰδέναι χρὴ τοῦθ', ὅτι οὐ κατα-
φρονεῖ Φίλιππος, ὦ ἄνδρες Ἀθηναῖοι, τῆς πόλεως τῆς ὑμετέ-
383 ρας, οὐδ' ἀχρηστοτέρους νομίσας Θηβαίων ἐκείνους εἵλετ' ἀνθ'
ὑμῶν. Ἀλλ' ὑπὸ τούτων ἐδιδάχθη καὶ ταῦτ' ἤκουσεν, ἃ καὶ
πρότερόν ποτ' εἶπον ἐγὼ πρὸς ὑμᾶς ἐν τῷ δήμῳ καὶ τούτων
οὐδεὶς ἀντεῖπεν, [136] ὡς ὁ μὲν δῆμός ἐστιν ἀσταθμητότατον
πρᾶγμα τῶν πάντων καὶ ἀσυνθετώτατον, ὥσπερ <ὅτ'> ἐν
θαλάττῃ πνεῦμ' ἀκατάστατον, ὡς ἂν τύχῃ κινούμενος· ὁ μὲν

NC. 1. οὕτω S. οὕτω νῦν L et vulg. — γέγονεν S. — 8. νομίσας S, A. νομίσας ὑμᾶς (ou ἡμᾶς) ou ὑμᾶς νομίσας vulg. — 9. καὶ ταῦτ' ἤκουσεν. Cobet veut supprimer ces mots. — ἃ. Variante : ἅπερ. — 11. ἐστιν S seul. ἐστιν ὄχλος L et vulg. — 12. πραγμάτων pour πρᾶγμα τῶν S. — ἁπάντων F. — ἀσυνθετώτατον L, A, Harpocration et d'autres grammairiens grecs. ἀσυνετώτατον S et vulg. — 13. πνεῦμ' manuscrits. κῦμα Feliciano. πνεύματι κῦμα Shilleto, d'après G. H. Schæfer. En effet, ce n'est pas avec le vent que le peuple doit être comparé, mais avec les flots agités par le vent. Appien abrége ce passage, quand il fait dire à Marc-Antoine (*Guerres civiles*, III, 20) : Ὁ δὲ δῆμός ἐστιν, ὡς καὶ σὺ τῶν Ἑλληνικῶν ἀρτιδίδακτος ὢν ἔμαθες, ἀστάθμητον ὥσπερ ἐν θαλάσσῃ κῦμα κινούμενον· ὁ μὲν ἦλθεν, ὁ δ' ἀπῆλθεν. Cependant la leçon πνεῦμ' se défend par l'épithète ἀκατάστατον. Cf. Aristote, *Problem.*, XXVI, 18 : Ἀνάγκη καὶ πνεύματα ἀκατάστατα εἶναι; Aristoph., *Gren.*, 1003 : Πνεῦμα λεῖον καὶ καθεστηκός. Nous avons cherché un autre remède, en insérant ὅτ' avant ἐν. — Les manuscrits flottent entre κινούμενος (S) et κινούμενον. — Dans S, ὁ μὲν est ajouté par une main ancienne. Vœmel écrit κινούμενος ἦλθεν. Je comprendrais cela, si on ajoutait κλύδων avant κινούμενος. — πνεύματι κῦμ' ἀκαταστάτῳ Herwerden.

8. Νομίσας : sous-ent. ὑμᾶς.

9-10. Καὶ πρότερόν ποτ(ε), déjà une autre fois (non-seulement maintenant). Ce καί ne répond pas au καί suivant.

11-12. Ἀσταθμητότατον, qui ne peut être pesé, c'est-à-dire le plus incalculable. Harpocration : Περὶ οὗ οὐδεὶς ἂν δύναιτο τεκμήρασθαι οὐδὲ σταθμήσασθαι τί ποτε διανοεῖται ἢ τί πράξει. Cf. Eschyle, *Agam.* 186 : Οὐκ ἔχω προσεικάσαι πάντ' ἐπισταθμώμενος. — Ἀσυνθετώτατον, le plus mal assemblé, le plus dépourvu d'accord et de suite. La scholie : ἀπὸ τοῦ τὰ συντεθειμένα εὐτάκτως κεῖσθαι implique l'interprétation : ἀτακτότατον. Harpocration, ainsi que d'autres grammairiens grecs, donne jusqu'à quatre explications : Ἤτοι ἀντὶ τοῦ ἀπιστότατον καὶ ἀβεβαιότατον καὶ πίστεις οὐ τιθέμενον διὰ τὸ ἀβέβαιον. Ἢ ἀνομόλογον καὶ ἀσύμφωνον· ὁμολογίαι γὰρ αἱ συνθῆκαι. Ἢ ἀντὶ τοῦ ἀσυνετώτατον, ὅπερ ἐστὶν ἀνοητότατον. Ἢ ἀντὶ τοῦ ὃν μάλιστα οὐκ ἂν δύναιτό τις συνιέναι τί ποτε φρονεῖ. Ὅμηρος [*Il.*, I, 76] · « Σὺ δὲ σύνθεο καί μευ ἄκουσον. »

12-13. Ὥσπερ ὅτ(ε).... ἀκατάστατον peut se tourner par : ὥσπερ θάλαττα, ὅτ' ἐν αὐτῇ πνεῦμ' ἀκατάστατόν ἐστιν. Parmi les nombreux passages qu'on a rapprochés, citons les vers d'un poëte inconnu dans

ἦλθεν, ὁ δ' ἀπῆλθεν, μέλει δ' οὐδενὶ τῶν κοινῶν, οὐδὲ μέμνηται· δεῖ δέ τινας φίλους ὑπάρχειν τοὺς ἕκαστα πράξοντας ἐν ὑμῖν αὐτῷ καὶ διοικήσοντας, οἷον αὐτὸς δή· κἄνπερ αὐτῷ τοῦτο κατασκευασθῇ, πᾶν ὅ τι ἂν βούληται παρ' ὑμῖν ῥᾳδίως διαπράξεται. [137] Εἰ μὲν οὖν ἤκουσεν, οἶμαι, τοὺς τότε ταῦτα πρὸς αὐτὸν εἰπόντας παραχρῆμ', ὡς δεῦρ' ἐπανῆλθον, ἀποτετυμπανισμένους, ἐποίησεν ἂν ταὐτὸ τῷ βασιλεῖ. Τί δ' ἦν ὁ 'κεῖνος ἐποίησεν; ἐξαπατηθεὶς ὑπὸ Τιμαγόρου καὶ τετταράκοντα τάλαντα, ὡς λέγεται, δεδωκὼς αὐτῷ, ἐπειδὴ παρ' ὑμῖν ἐπύθετ' αὐτὸν τεθνεῶτα καὶ οὐδὲ τοῦ ζῆν ὄντα κύριον αὑτῷ βεβαιῶσαι, μή τί γ' ἃ 'κείνῳ τόθ' ὑπέσχετο πρᾶξαι, ἔγνω τὴν τιμὴν οὐχὶ τῷ κυρίῳ τῶν πραγμάτων δεδωκώς. Καὶ γάρ τοι πρῶτον μὲν Ἀμφίπολιν πάλιν ὑμετέραν δούλην κατέπεμψεν, ἣν τότε σύμμαχον αὑτοῦ καὶ φίλην ἔγραψεν· εἶτ' οὐδενὶ πώποτ' ἔδωκε χρήματα τοῦ λοιποῦ. [138] Ταὐτὸ τοίνυν τοῦτ' ἂν ἐποίησε Φίλιππος, εἴ τινα τούτων εἶδε δίκην δόντα, καὶ νῦν, ἂν ἴδῃ, ποιήσει. Ἐπειδὰν δ' ἀκούῃ λέγοντας, εὐδοκιμοῦντας ἐν ὑμῖν,

NC. 1. οὐδὲ S, A, L[1]. ἀλλ' οὐδὲ vulg. — 3. οἷον αὐτὸς δή. Ancienne vulgate : οἷον (ὅ τι A) ἂν αὐτῷ δοκῇ. Dindorf demandait οἷος. On pourrait aussi écrire : οἵους. — 11. γ' ἃ vulg. et, par correction, L. γ αν (avec α, au-dessus de la ligne, d'une main ancienne) S seul. γ' ἂν Vœmel. — 13. πάλιν L et vulg. πόλιν S. Tibère, 27, et Eustathe, ad Iliad. II, 766, citent cette ancienne leçon vicieuse comme exemple de paronomase. — δούλην est retranché par Funkhænel et Dindorf. — κατέπεμψεν S seul. κατέστησεν L et vulg. Avec cette dernière leçon, δούλην ne pourrait guère se justifier. δούλην εἶναι Herwerden. — 16. δόντα S et L. διδόντα vulg. — ἴδῃ. Variante : εἰδῇ. S: ειδη. — 17. ἀκούῃ S, A, L. ἀκούσῃ vulg. — Reiske et la plupart des derniers éditeurs gâtent la période en supprimant la virgule après λέγοντας.

Dion Chrysostome, XXXII, p. 368, que nous voudrions écrire et ponctuer ainsi : δῆμος ἄστατον κακὸν ‖ καὶ θαλάσσῃ πάνθ' ὅμοιον· ὑπ' ἀνέμου ῥιπίζεται, ‖ καὶ γαληνὸς, ἤν τι χωρῇ πνεῦμα βραχὺ, κορύσσεται, ‖ κἤν τις ἀντίος γένηται τῶν πολιτῶν, κατέπιεν.

1. Οὐδὲ μέμνηται. Cf. *Hal.* § 18.

3. Οἷον αὐτὸς δή, et, par exemple, lui-même (c'est ce que voulait faire entendre chacun d'eux). Cf. NC.

6. Ἀποτετυμπανισμένους. Cf. la note sur *Chers.*, § 61.

8. Τιμαγόρου. Cf. § 31, avec la note.

10-12. Τοῦ ζῆν est gouverné par κύριον, et l'infinitif βεβαιῶσαι, équivalent à ὥστε βεβαιῶσαι, est ajouté par épexégèse. [Dobree.] Cf. p. 295, l. 15, avec la note. — Πρᾶξαι dépend de κύριον. — Τὴν τιμήν, le prix, le payement.

13-14. Ἀμφίπολιν. Cf. § 253, et *Halonn.*, § 29, avec la note. — Δούλην. Démosthène se sert du mot dont la chancellerie perse s'était servie, et que l'antithèse recommandait aussi. [Shilleto.] — Κατέπεμψεν, déclara dans une dépêche envoyée de la haute Asie. Cf. Xénophon, *Hell.* VII, 1, 30 : Ἢν βασιλεὺς εἰρήνην καταπέμποι. *Anab.*, VII, 6, à la fin : Ἔπεμπον (variante : ἐπέστελλον) δὲ ταῦτα καὶ ἄλλοι πολλοὶ τῷ Ξενοφῶντι. Euripide, *Iphig. Aul.*, 117 : Πέμπω σοι.... μὴ σφάξαι ταν σὰν ἶνιν.

384 ἑτέρους κρίνοντας, τί καὶ ποιήσῃ; ζητῇ πόλλ' ἀναλίσκειν, ἐξὸν ἐλάττω, καὶ πάντας θεραπεύειν βούληται, δύ' ἢ τρεῖς ἐξόν; μαίνοιτο μεντἄν. Οὐδὲ γὰρ τὴν τῶν Θηβαίων πόλιν εἵλετο δημοσίᾳ ποιεῖν ὁ Φίλιππος εὖ, πολλοῦ γε καὶ δεῖ, ἀλλ' ὑπὸ τῶν πρέσβεων ἐπείσθη. [139] Ὃν δὲ τρόπον, φράσω πρὸς ὑμᾶς ἐγώ. Ἦλθον ὡς αὐτὸν πρέσβεις ἐκ Θηβῶν, ὅτε περ καὶ παρ' ὑμῶν ἡμεῖς ἦμεν ἐκεῖ. Τούτοις χρήματ' ἐκεῖνος ἐβούλετο δοῦναι, καὶ πάνυ γ', ὡς ἔφασαν, πολλά. Οὐκ ἐδέξαντ' οὐδ' ἔλαβον ταῦθ' οἱ τῶν Θηβαίων πρέσβεις. Μετὰ ταῦτ' ἐν θυσίᾳ τινὶ καὶ δείπνῳ πίνων καὶ φιλανθρωπευόμενος πρὸς αὐτοὺς ὁ Φίλιππος ἄλλα τε δὴ πολλά, οἷον αἰχμάλωτα καὶ τοιαῦτα, καὶ τελευτῶν ἐκπώματ' ἀργυρᾶ καὶ χρυσᾶ προύπινεν αὐτοῖς. Πάντα ταῦτ' ἐκεῖνοι διεωθοῦντο καὶ οὐδαμῇ προΐενθ' αὑτούς. [140] Τελευτῶν δὲ Φίλων, εἷς τῶν πρέσβεων, εἶπεν, ὦ ἄνδρες Ἀθηναῖοι, λόγον οὐχ ὑπὲρ Θηβαίων, ἀλλ' ὑπὲρ ὑμῶν ἄξιον εἰρῆσθαι. Ἔφη γὰρ τὸν Φίλιππον ὁρῶν καὶ μεγαλοψύχως καὶ φιλανθρώπως ἔχοντα πρὸς αὐτοὺς ἥδεσθαι καὶ χαίρειν· αὐτοὶ μὲν οὖν ὑπάρχειν αὐτῷ φίλοι καὶ ξένοι καὶ ἄνευ τῶν δώρων τούτων, εἰς δὲ τὰ τῆς πόλεως πράγματ', ἐν οἷς ἦν τότε, τὴν φιλανθρωπίαν αὐτὸν ἠξίουν ταύτην προσθέντ' ἄξιόν τι καὶ αὑτοῦ καὶ τῶν Θηβαίων πρᾶξαι, καὶ ὅλην τε τὴν πόλιν οὕτω καὶ σφεῖς ὡμολόγουν ὑπάρξειν αὐτῷ. [141] Καὶ γάρ τοι σκέψασθε τί τοῖς Θηβαίοις γέγονεν ἐκ τούτων καὶ τί συμβέβηκεν, καὶ θεάσασθ' ἐπ' αὐτῆς

NC. 1-2. ποιησηι· ζητηι.... βούληται S. ποιῆσαι ζητεῖ (ou ζητοίη).... βούληται (ou βουλήσεται) L et vulg. — βούληται est suspect à Weidner. — 5. ἐγώ est omis dans A. — 6. ἐξαθηνων S, avant correction. — 11. τοιαῦτα S et L. τὰ τοιαῦτα vulg. — 12. πάντα ταῦτα S et L. ταῦτα πάντα vulg. — 14. Variante : λόγον ὃν. — 16. καὶ μεγαλοψύχως S et A. μεγαλοψύχως L et vulg. — 21. ὅλην τε S et L. ὅλην δὲ vulg. — σφεις S et L seuls. σφᾶς vulg. — 22. σκέψασθαι S.

1. Τί καὶ ποιήσῃ, que doit-il donc faire ? que voulez-vous donc qu'il fasse ?

10-11. Ἄλλα τε δὴ.... ἐκπώματ(α). Tous ces accusatifs dépendent de προύπινεν. Cf. *Olynth.* III, 22, avec la note. — Αἰχμάλωτα, sous-ent. σώματα. G. H. Schæfer compare ὅμηρα, « otages ».

13. Προΐεντο αὑτούς, s'abandonnaient à Philippe.

14-15. Λόγον.... εἰρῆσθαι. En lisant cet éloge chaleureux des ambassadeurs thébains, on se souvient que Démosthène était proxène de Thèbes (cf. Eschine, §§ 141 et 143). Il avait sans doute dès lors conçu le projet d'une alliance à ménager entre Athènes et Thèbes.

22. Ὑπάρξειν αὐτῷ. Cf. § 54.

23-1. Ἐπ'... ἀληθείας, à la lumière des faits.

τῆς ἀληθείας ἡλίκον ἐστὶ τὸ μὴ πωλεῖν τὰ τῆς πόλεως· πρῶτον μὲν τοίνυν εἰρήνη γέγονεν αὐτοῖς πονοῦσι καὶ ταλαιπωρουμένοις ἤδη τῷ πολέμῳ καὶ ἡττωμένοις, εἶτα τῶν ἐχθρῶν Φωκέων ἄρδην ὄλεθρος καὶ ὅλων τῶν τειχῶν καὶ τῶν πόλεων ἀναίρεσις. Ἆρα καὶ μόνα ταῦτα; οὐ μὰ Δί', ἀλλ' ἔτι πρὸς τούτοις Ὀρχομενός, Κορώνεια, Κορσιά, τὸ Τιλφωσσαῖον, τῆς τῶν Φωκέων χώρας ὁπόσην βούλονται. [142] Τοῖς μὲν δὴ Θηβαίοις ταῦτ' ἐκ τῆς εἰρήνης γέγονεν, ὧν οὐδ' ἂν εὔξαιντο δήπου μείζονα· τοῖς δὲ πρέσβεσι τοῖς τῶν Θηβαίων τί; οὐδὲν πλὴν τὸ τούτων αἰτίοις γεγενῆσθαι τῇ πατρίδι· τοῦτο δὲ καλόν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ σεμνὸν εἰς ἀρετῆς λόγον καὶ δόξης, ἣν οὗτοι χρημάτων ἀπέδοντο. Ἀντιθῶμεν δὴ τί τῇ τῶν Ἀθηναίων πόλει γέγονεν ἐκ τῆς εἰρήνης, καὶ τί τοῖς πρέσβεσι τοῖς τῶν Ἀθηναίων, καὶ θεωρεῖτ' εἰ παραπλήσια τῇ πόλει καὶ τούτοις αὐτοῖς. [143] Τῇ πόλει μὲν τοίνυν ἀφεστηκέναι μὲν ἁπάντων καὶ τῶν κτημάτων καὶ τῶν συμμάχων, ὀμωμοκέναι δὲ Φιλίππῳ, κἂν ἄλλος τις ἴῃ ποτ' ἐπ' αὐτὰ βουλόμενος σῴζειν, ὑμᾶς κωλύσειν καὶ τὸν μὲν ὑμῖν βουλόμενον παραδοῦναι ἐχθρὸν ἡγήσεσθαι καὶ πολέμιον, τὸν δὲ ἀπεστερηκότα σύμμαχον καὶ φίλον. [144] Ταῦτα γάρ ἐσθ' ἃ συνεῖπε μὲν Αἰσχίνης οὑτοσί, ἔγραψε δ' ὁ τούτου συνεργὸς Φιλοκράτης· καὶ κρατοῦντος ἐμοῦ τὴν προτέραν ἡμέραν, καὶ πεπεικότος ὑμᾶς τὸ τῶν συμμάχων δόγμα κυρῶσαι καὶ καλέσαι τοὺς πρέσβεις τοὺς τοῦ

(385 in right margin beside line 2)

NC. 1. πόλεως S, A. πόλεως πράγματα L et vulg. — 4. Φωκέων est supprimé par Cobet. — 5. ἀναιρεσεις S et, comme variante, L seuls. Dindorf admet cette leçon. — 6. κορωνια S. — κορσια S. κορσιαὶ ou κορσίαι vulg. — 6-7. τῆς τῶν et ὁπόσην S et L. τῆς et ὅσην vulg. — 7. βούλονται S. ἐβούλοντο L et vulg. — 8. ευξαντο S. — 17. τις ἄλλος vulg. — 18. ἡμῖν S et la plupart des manuscrits. — 19. ἡγήσεσθαι S et L. ἡγήσασθαι vulg. — 20. ἔστιν mss. — οἷς συνεῖπε Dobree. Cf. § 291.

6. Κορσιά (ou Κορσιαί), ville béotienne, près d'Oponte. — Τὸ Τιλφωσσαῖον, place fortifiée sur une montagne près du lac Copaïs, entre Haliarte et Coronée.

11-12. Εἰς ἀρετῆς λόγον, à considérer la vertu, *si virtutis rationem habeas*. [G. H. Schaefer.] — Οὗτοι, Eschine et consorts.

17 sqq. Κἂν ἄλλος τις ἴῃ ποτ' ἐπ' αὐτά.... Ce sont des conséquences que Démosthène tire du traité d'alliance, dont les termes généraux s'appliquaient implicitement aux villes conquises par Philippe sur les Athéniens.

20 sqq. Ταῦτα γάρ ἐστιν.... Cf. § 15 sq., où il est question des mêmes faits.

23. Καὶ καλέσαι τοὺς πρέσβεις τοὺς τοῦ Φιλίππου. Faire venir les ambassadeurs

Φιλίππου, ἐκκρούσας οὗτος εἰς τὴν ὑστεραίαν τὴν Φιλοκράτους γνώμην ἔπεισεν ἑλέσθαι, ἐν ᾗ καὶ ταῦτα καὶ πόλλ' ἄλλ' ἔτι τού-
386 των δεινότερ' ἐστὶ γεγραμμένα. [145] Τῇ μὲν δὴ πόλει ταῦτ' ἐκ τῆς εἰρήνης γέγονεν, ὧν οὐδ' εὑρεῖν αἴσχίω ῥᾴδιον· τοῖς δὲ πρέσβεσιν τί τοῖς ταῦτα πράξασιν; τὰ μὲν ἄλλα σιωπῶ πάνθ', ὅσ' ἑοράκαθ' ὑμεῖς, οἰκίας, ξύλα, πυρούς, ἀλλ' ἐν τῇ τῶν ἀπολωλότων συμμάχων χώρᾳ κτήματα καὶ γεωργίαι παμπληθεῖς, Φιλοκράτει μὲν τάλαντον ἔχουσαι πρόσοδον, τούτῳ δὲ [Αἰσχίνῃ] τριάκοντα μνᾶς. [146] Καίτοι πῶς οὐ δεινόν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ σχέτλιον τὰς τῶν ὑμετέρων συμμάχων συμφορὰς προσόδους τοῖς πρέσβεσι τοῖς ὑμετέροις γεγενῆσθαι, καὶ τὴν αὐτὴν εἰρήνην τῇ μὲν ἐκπεμψάσῃ πόλει τῶν μὲν συμμάχων ὄλεθρον, τῶν δὲ κτημάτων ἀπόστασιν, ἀντὶ δὲ δόξης αἰσχύνην γεγενῆσθαι, τοῖς δὲ πρέσβεσι τοῖς κατὰ τῆς πόλεως ταῦτα πράξασι προσόδους, εὐπορίας, κτήματα, πλοῦτον ἀντὶ τῶν ἐσχάτων ἀποριῶν εἰργάσθαι; Ἀλλὰ μὴν ὅτι ταῦτ' ἀληθῆ λέγω, κάλει μοι τοὺς Ὀλυνθίους μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

[147] Οὐ τοίνυν θαυμάσαιμ' ἂν εἰ καὶ τοιοῦτό τι τολμήσει λέγειν, ὡς οὐχ ἣν καλὴν οὐδ' οἵαν ἠξίουν ἐγὼ τὴν εἰρήνην ποιήσασθαι κακῶς τῷ πολέμῳ τῶν στρατηγῶν κεχρημένων. Ἂν δὴ ταῦτα λέγῃ, πρὸς θεῶν ἐρωτήσατ' αὐτὸν μεμνημένοι, πότερον

NC. 8. Αἰσχίνῃ est une glose. — 12. τῶν συμμάχων (sans μὲν) S. — 14. [γεγενῆσθαι] Herwerden. — τῶν δὲ πρέσβεων S et L[1] seuls. — 17. τοὺς S, L. τούτων τοὺς vulg. Voy. cependant § 213. — 18. ΜΑΡΤΥΡΕΣ. Dans S, ce titre est laissé en blanc. — 20. καλὴν L. καλὴ S et vulg. : leçon inadmissible, quoi qu'en disent Vœmel et Shilleto.

de Philippe, afin de leur donner connaissance de la résolution du peuple, c'était clore la discussion définitivement et se mettre dans l'impossibilité de revenir le lendemain sur la décision prise.

7. Γεωργίαι, des terres cultivées.

13. Ἀπόστασιν. Cf ἀφεστηκέναι, § 143.

16. Εἰργάσθαι : au moyen.

17. Τοὺς Ὀλυνθίους. On s'est étonné de voir invoquer ici le témoignage d'Olynthiens. Mais rien ne prouve que les propriétés auxquelles Démosthène fait allusion se trouvassent dans la Phocide. Elles pouvaient être situées près d'Olynthe. Voy. le scholiaste d'Eschine, *Timarque*, § 3 : Εἶχεν ἀγρὸν ὁ Αἰσχίνης ἐν Πύδνῃ τῆς Μακεδονίας. Cf. A. Schæfer, II, p. 293.

22. Ἐρωτήσατ' αὐτόν.... L'objection

ἐξ ἑτέρας τινὸς ᾤχετο πρεσβεύων πόλεως ἢ ταύτης αὐτῆς. Εἰ
μὲν γὰρ ἐξ ἑτέρας, ἣν κεκρατηκέναι τε τῷ πολέμῳ φήσει καὶ
χρηστοὺς ἔχειν στρατηγούς, εἰκότως χρήματ' εἴληφεν· εἰ δ' ἐκ
ταύτης αὐτῆς, τίνος εἵνεκ' ἐφ' οἷς ἡ πέμψασα πόλις τῶν αὐτῆς
ἀπέστη, ἐπὶ τούτοις οὗτος δωρειὰς προσλαβὼν φαίνεται; τῶν 387
γὰρ αὐτῶν ἔδει τήν τε πέμψασαν πόλιν τυγχάνειν καὶ τοὺς ἐκ
ταύτης πρέσβεις, εἴπερ τι τῶν δικαίων ἐγίγνετο. [148] Ἔτι
τοίνυν κἀκεῖνο σκέψασθ', ὦ ἄνδρες δικασταί. Πότερ' οἴεσθε
πλέον Φωκέας Θηβαίων ἢ Φίλιππον ὑμῶν κρατεῖν τῷ πολέμῳ;
ἐγὼ μὲν γὰρ εὖ οἶδ' ὅτι Φωκεῖς Θηβαίων. Εἶχόν γ' Ὀρχομενὸν
καὶ Κορώνειαν καὶ τὸ Τιλφωσσαῖον, καὶ τοὺς ἐν Νέωσιν ἀπειλήφεσαν αὐτῶν, καὶ ἑβδομήκοντα καὶ διακοσίους ἀπεκτόνεσαν
ἐπὶ τῷ Ἡδυλείῳ, καὶ τρόπαιον εἱστήκει, καὶ ἱπποκράτουν, καὶ
κακῶν Ἰλιὰς περιειστήκει Θηβαίους. [149] Ὑμῖν δὲ τοιοῦτο
μὲν οὐδὲν οὔτ' ἦν μήτε γένοιτο τοῦ λοιποῦ, τοῦτο δ' ἦν τὸ

NC. 1. ταύτης αὐτῆς L, F, A. ταύτης τῆς αὐτῆς S : ce qui est un mélange de deux leçons, à savoir ταύτης αὐτῆς ou τῆς αὐτῆς. — 2. τε est omis dans la vulgate. — 3. τοὺς στρατηγοὺς vulg. — 4. ταύτης αὐτῆς L et vulg. τῆς αὐτῆς texte de S. ταύτης Dobree, ici et l. 1. — ἕνεκ' manuscrits. — 5. δωρεας S et L. δῶρα vulg. — 7. Après ἐγίγνετο, A porte : νῦν δὲ ἡ μὲν πόλις τῶν αὐτῆς ἀφέστηκεν, οὗτος δὲ χρήματα εἴληφεν. — 8. δικασταί S. Ἀθηναῖοι L et vulg. — 10. γ' S. Variantes : γὰρ (L et vulg), μὲν γὰρ, μέν γε. — 12. ααπεκτόνεσαν S. — 15. οὐδὲν, avant οὔτ', est omis dans la vulgate.

d'Eschine consiste évidemment à dire que les mauvaises conditions de la paix s'expliquaient assez par les échecs éprouvés à la guerre, sans qu'il soit besoin d'en accuser la vénalité des négociateurs. Mais Démosthène part de cette vénalité comme d'un point acquis, et il répond : « Puisque Philippe vous a corrompus, sa situation n'était donc pas aussi belle que vous dites : il aurait pu s'épargner cette peine, s'il avait été aussi victorieux que vous voudriez le faire croire. » Cependant l'orateur glisse rapidement sur ce sophisme, et il revient aussitôt au parallèle entre Athènes et Thèbes : c'est là l'objet principal où il visait en se posant une nouvelle objection à réfuter.

1. Ταύτης αὐτῆς, de cette ville même qu'il dit vaincue par les armes.

3. Εἰκότως, raisonnablement. On comprendrait en effet que Philippe, malheureux à la guerre, eût cherché à acheter une paix qui ne fût pas trop dure pour lui.

5. Ἐπὶ τούτοις, à la suite de cette situation de ces défaites. — Δωρειὰς προσλαβών, honoré de gratifications; ironie. Le mot δωρειά ne se prend pas, comme δῶρα, en mauvaise part : voy. Buttmann dans l'*Index* de la *Midienne*.

11-13. Καὶ τοὺς ... αὐτῶν. Les Phocidiens avaient intercepté le corps thébain qui se trouvait à Néon. L'explication du scholiaste est erronée. Νεῶνες ou Νεών était une ville de la Phocide. — Ἡδυλείῳ. Nom d'une montagne de la Béotie. — Εἱστήκει, avait été élevé (par eux). Cette tournure était nécessaire, parce que le verbe ἵστημι n'a, dans la langue attique, ni parfait ni plus-que-parfait du sens actif.

14. Κακῶν Ἰλιάς : locution proverbiale, ou qui l'est devenue grâce à Démosthène.

δεινότατον τοῦ πρὸς Φίλιππον πολέμου· οὐκ ἐδύνασθε κακῶς ἡλίκ' ἐβούλεσθε ποιεῖν ἐκεῖνον. Τοῦ δὲ μὴ πάσχειν αὐτοὶ πᾶσαν ἄδειαν ἤγετε. Τί ποτ' οὖν ἐκ τῆς αὐτῆς εἰρήνης τοῖς μὲν Θηβαίοις, τοῖς τοσοῦτο κρατουμένοις τῷ πολέμῳ, καὶ τὰ ἑαυτῶν κομίσασθαι καὶ τὰ τῶν ἐχθρῶν προσλαβεῖν γέγονε, τοῖς δ' Ἀθηναίοις ὑμῖν, καὶ ἃ τῷ πολέμῳ διεσῴζετο, ταῦτ' ἐπὶ τῆς εἰρήνης ἀπολωλεκέναι; ὅτι τἀκείνων μὲν οὐκ ἀπέδοντ' οἱ πρέσβεις, τὰ δ' ὑμέτερ' οὗτοι πεπράκασιν. Ἀλλὰ νὴ Δία τοὺς συμμάχους ἀπειρηκέναι φήσει τῷ πολέμῳ. . . . .
Ὅτι γὰρ ταῦθ' οὕτω πέπρακται, καὶ ἐκ τῶν ἐπιλοίπων ἔτι μᾶλλον εἴσεσθε.

[150] Ἐπειδὴ γὰρ ἡ μὲν εἰρήνη τέλος εἶχεν αὕτη ἡ τοῦ Φιλοκράτους, ᾗ συνεῖπεν οὗτος, οἱ δὲ πρέσβεις ἀπῆρκεσαν οἱ τοῦ
588 Φιλίππου λαβόντες τοὺς ὅρκους (καὶ μέχρι τούτου γ' οὐδὲν ἀνήκεστον ἦν τῶν πεπραγμένων, ἀλλ' αἰσχρὰ μὲν ἡ εἰρήνη καὶ ἀναξία τῆς πόλεως, ἀντὶ δὲ τούτων δὴ τὰ θαυμάσι' ἀγαθὰ ἡμῖν ἔμελλεν ἔσεσθαι), ἠξίουν [ὑμᾶς] ἐγὼ καὶ τούτοις ἔλεγον

NC. 2. ἡλίκα S et, d'abord, L seuls. ἡνίκα vulg. — ἔτι αὐτοὶ vulg. — 5. ἐγγέγονε L[1]. — δ', avant ἀθηναίοις, est ajouté dans S par une main ancienne. — 8-9. ἀλλὰ... πολέμῳ. Il paraît téméraire de supprimer ces mots, qui ne ressemblent nullement à une glose. — φησὶ vulg. — 17. ἤμελλεν ἡμῖν ἀγαθά A. — J'écarte ὑμᾶς. Feliciano et Reiske : ἡμᾶς. De même Weidner, qui écarte καὶ τούτοις ἔλεγον comme provenant du § 164.

6-7. Ἃ.... ἀπολωλεκέναι. Cf. § 97.

8. Ἀλλὰ νὴ Δία.... τῷ πολέμῳ. D'après le scholiaste, cette tournure est ironique. C'est comme si Démosthène avait dit : « Quand les Thébains avaient essuyé des défaites aussi éclatantes, Eschine osa soutenir que nos alliés, les Phocidiens, se trouvaient épuisés par la guerre ! » Une telle objection, ajoute le scholiaste, insérée à la place où Démosthène l'a mise, se réfute assez d'elle-même. Quelque ingénieuse que soit cette justification du texte, le lecteur jugera, avec H. Wolf, Spengel et Vœmel, qu'il y a ici une lacune. Faut-il en rejeter la faute sur les copistes? Il est plus probable que l'orateur a inséré cette phrase après coup, pour indiquer qu'il y avait lieu de développer ici une autre réfutation, mais qu'il n'a pas mis la dernière main à son ouvrage. Les mots ὅτι γὰρ.... εἴσεσθε formaient la transition entre la réfutation qui commence au paragraphe 147, et les considérations dans lesquelles l'orateur va entrer au paragraphe 150. Mais ces mêmes mots pouvaient aussi être réservés pour la fin de la réfutation que l'orateur n'a pas pris la peine d'écrire.

12. Ἐπειδή.... Après avoir parlé dans ce qui précède de trois des points indiqués au paragraphe 4, Démosthène arrive aux deux points qui restent à traiter, l'emploi du temps et la fidélité à se conformer aux instructions reçues. A cette fin il examine la conduite d'Eschine pendant la seconde ambassade : morceau annoncé au paragraphe 17, où était sa place chronologique.

14. Λαβόντες τοὺς ὅρκους, ayant reçu les serments du peuple athénien.

16. Τὰ θαυμάσι' ἀγαθά. Cf §§ 40 et 321.

17-1. Ἠξίουν ἐγὼ καὶ τούτοις ἔλεγον πλεῖν τὴν ταχίστην ἐφ' Ἑλλησπόντου,

πλεῖν τὴν ταχίστην ἐφ' Ἑλλησπόντου καὶ μὴ προέσθαι μηδ' ἐᾶσαι κατασχεῖν Φίλιππον μηδὲν ἐν τῷ μεταξὺ χρόνῳ τῶν ἐκεῖ χωρίων. [151] Ἤδειν γὰρ ἀκριβῶς ὅτι πάνθ' ὅσ' ἂν ἐκ πολέμου γιγνομένης εἰρήνης προεθῇ, ταῦτα τοῖς ἀμελήσασιν ἀπόλλυται· οὐδεὶς γὰρ πώποθ' ὑπὲρ τῶν ὅλων πεισθεὶς εἰρήνην ἄγειν ὑπὲρ τῶν ἐγκαταλειφθέντων ἐξ ἀρχῆς ἠθέλησεν πολεμεῖν, ἀλλὰ ταῦθ' οἱ προλαβόντες ἔχουσιν. Χωρὶς δὲ τούτων δυοῖν χρησίμοιν οὐ διαμαρτήσεσθαι τὴν πόλιν ἡγούμην πλευσάντων ἡμῶν· ἢ γὰρ παρόντων καὶ κατὰ τὸ ψήφισμ' αὐτὸν ἐξορκωσάντων, ἃ μὲν εἰλήφει τῆς πόλεως, ἀποδώσειν, τῶν δὲ λοιπῶν ἀφέξεσθαι, [152] ἤ, μὴ ποιοῦντος ταῦτα, ἀπαγγελεῖν ἡμᾶς εὐθέως δεῦρο, ὥστ' ἐν ἐκείνοις τοῖς πόρρω καὶ ἐλάττοσι τὴν πλεονεξίαν καὶ τὴν ἀπιστίαν ἰδόντας ὑμᾶς περὶ τῶνδε τῶν ἐγγὺς καὶ μειζόνων, λέγω δὲ Φωκέων καὶ Πυλῶν, οὐ προήσεσθαι· μὴ προλαβόντος δ' ἐκείνου ταῦτα μηδ' ὑμῶν ἐξαπατηθέντων ἅπαντ' ἐν ἀσφαλεῖ τὰ πράγμαθ' ὑμῖν ἔσεσθαι, καὶ παρ' ἑκόντος ὑπάρξειν αὐτοῦ τὰ δίκαια. [153] Καὶ ταῦτ' εἰκότως οὕτως ὑπελάμβανον ἕξειν. Εἰ γὰρ ἦσαν, ὡς ἦσαν τότε, Φωκεῖς σῷοι καὶ Πύλας εἶχον, ἐκεῖνος μὲν οὐδὲν ἂν ὑμῖν εἶχεν ἀνατείνασθαι 389

NC. 3. ἐκεῖ S et A. ἐκεῖ L et vulg. — 4. τοῖς μελλήσασιν A. — 8. ἡγούμην. Cobet veut écarter ce mot. — 11. ποιοῦντος ταῦτα S et L[1]. ποιοῦντος τούτου (ou ἐκείνου) ταῦτα vulg. — ἀπαγγέλλειν manuscrits. — 13. ἰδόντας S, A, L. εἰδότας vulg. — 14. καὶ μειζόνων S, A. καὶ τῶν μειζόνων L et vulg. — 16 S portait peut-être d'abord ασφαλεια (pour ἀσφαλείᾳ). — 18. οἱ Φωκεῖς vulg. — σῷ Dindorf. — ἂν εἶχεν ὑμῖν Morel.

je demandais moi-même à partir au plus vite pour l'Hellespont et j'y engageais ces hommes. Pour rendre compte de ὑμᾶς, il faudrait tirer de ἔλεγον l'infinitif λέγειν, et le sous-entendre après ἠξίουν ὑμᾶς (« je vous demandais d'ordonner le départ de l'ambassade »). Cela n'est guère admissible.

2. Ἐν τῷ μεταξὺ χρόνῳ : l'intervalle entre les serments des Athéniens et ceux de Philippe. Ce même intervalle de temps est désigné par les mots ἐκ πολέμου γιγνομένης εἰρήνης, « pendant la transition de la guerre a la paix. »

5-6. Ὑπὲρ τῶν ὅλων, en vue de la situation générale et des grands intérêts de l'État. — Ὑπὲρ τῶν ἐγκαταλειφθέντων, pour des détails qu'on a négligés, des choses qu'on a laissées échapper.

7. Δυοῖν, de deux à la fois (l'un ou l'autre lui étant assuré). On rapproche Thucydide, I, 33, Sophocle, *Él.* 1320, et d'autres passages.

12. Ἐν ἐκείνοις.... ἐλάττοσι : les forts de la Thrace de Cersoblepte énumérés au paragraphe 156.

18. Εἰ γὰρ ἦσαν, ὡς ἦσαν τότε, « si enim essent, ut tum erant. »

19. Ἀνατείνασθαι équivaut à ἀπειλῆσαι. Cf. le latin *intendere minas*. Quant à l'origine du trope, voy. Xénophon, *Cyrop.*, IV, 1, 3 : Ἀνατεταμένος τὴν μάχαιραν, ὡς παίσων πολέμιον.

φοβερὸν, δι' ὃ τῶν δικαίων ἄν τι παρείδετε· οὔτε γὰρ κατὰ γῆν παρελθὼν οὔτε ναυσὶ κρατήσας εἰς τὴν Ἀττικὴν ἥξειν ἔμελλεν, ὑμεῖς δ' ἐκείνου παραχρῆμα, εἰ μὴ τὰ δίκαια ποιοίη, κλείσειν τὰ ἐμπόρια, καὶ χρημάτων τ' ἐν σπάνει καὶ τῶν ἄλλων ἐν πολιορκίᾳ πάλιν αὐτὸν καταστήσειν, ὥστ' ἐκεῖνος ὁ δουλεύσων ἔμελλεν ἔσεσθαι τοῖς ἀπὸ τῆς εἰρήνης λυσιτελοῦσιν, οὐχ ὑμεῖς. [154] Καὶ ταῦθ' ὅτι οὐκ ἐπὶ τοῖς συμβεβηκόσιν νῦν πλάττομαι καὶ προσποιοῦμαι, ἀλλὰ τότ' εὐθὺς ἐγνώκειν καὶ προεωρώμην ὑπὲρ ὑμῶν καὶ τούτοις ἔλεγον, ἐκεῖθεν εἴσεσθε. Ἐπειδὴ γὰρ ἐκκλησία μὲν οὐκέτ' ἦν ὑπόλοιπος οὐδεμία διὰ τὸ προκατακεχρῆσθαι, οὗτοι δ' οὐκ ἀπῆσαν, ἀλλ' αὐτοῦ διέτριβον, γράφω ψήφισμα βουλεύων, τὴν βουλὴν ποιήσαντος τοῦ δήμου κυρίαν, ἀπιέναι τοὺς πρέσβεις τὴν ταχίστην, τὸν δὲ στρατηγὸν Πρόξενον κομίζειν αὐτοὺς ἐπὶ τοὺς τόπους, ἐν οἷς ἂν ὄντα Φίλιππον πυνθάνηται, γράψας ὥσπερ νῦν λέγω, τοῖς ῥήμασιν οὕτως ἄντικρυς. Καί μοι λέγε τοῦτο τὸ ψήφισμα λαβών.

ΨΗΦΙΣΜΑ.

[155] Ἐνθένδε μὲν τοίνυν αὐτοὺς ἐξήγαγον οὕτως, ἄκοντας, ὡς καθαρῶς οἷς μετὰ ταῦτ' ἐποίουν εἴσεσθε. Ἐπειδὴ δ' ἀφικόμεθ' εἰς Ὠρεὸν καὶ συνεμίξαμεν τῷ Προξένῳ, ἀμελήσαντες οὗτοι τοῦ πλεῖν καὶ τὰ προστεταγμένα πράττειν ἐπορεύοντο κύκλῳ, καὶ πρὶν εἰς Μακεδονίαν ἐλθεῖν, τρεῖς καὶ εἴκοσιν ἡμέ-

NC. 3. ποιοι S[1]. — 5. ὁ δουλεύων A. — 6. ἔμελλεν est ajouté dans S par une main ancienne. Vœmel omet ce mot nécessaire. — 7. νυνὶ vulg. — 11. ἀπήεσαν manuscrits. — 15. οἵσπερ νῦν Lambin. — 17. ΨΗΦΙΣΜΑ. Ce titre est laissé en blanc dans S. — 18. οὕτως, ἄκοντας : ponctuation de Bekker.

1-5. Οὔτε γὰρ κατὰ γῆν.... ποιοίη. Cf. *Phil.* II, § 36. — Après χρημάτων ἐν σπάνει, on comprend aisément la locution, faite sur le même modèle, mais très-hardie, τῶν ἄλλων ἐν πολιορκίᾳ, « dans la privation, par suite du blocus, de toutes les autres choses, » c'est-à-dire de tout commerce.

10. Διὰ τὸ προκατακεχρῆσθαι, parce qu'on avait déjà usé, consommé, les quatre (le scholiaste dit « les trois ») assemblées qui avaient régulièrement lieu dans le temps d'une prytanie.

12. Βουλεύων, comme membre du sénat.

15-16. Οὕτως ἄντικρυς. Cf. § 36.

21-22. Ἐπορεύοντο κύκλῳ, ils voyageaient en zigzag, en faisant des détours, par la voie de terre.

ρας ἀνηλώσαμεν· τὰς δὲ ἄλλας πάσας καθήμεθ' ἐν Πέλλη, 390 πρὶν Φίλιππον ἐλθεῖν, σὺν αἷς ἐπορεύθημεν ὁμοῦ πεντήκονθ' ὅλας. [156] Ἐν δὲ τούτῳ Δορίσκον, Θρᾴκην, τἀπὶ τειχῶν, Ἱερὸν ὄρος, πάντα τὰ πράγματ' ἐν εἰρήνῃ καὶ σπονδαῖς ᾕρει καὶ διῳκεῖθ' ὁ Φίλιππος, πολλὰ λέγοντος ἐμοῦ καὶ θρυλοῦντος ἀεί, τὸ μὲν πρῶτον ὡς ἂν εἰς κοινὸν γνώμην ἀποφαινομένου, μετὰ ταῦτα δ' ὡς ἀγνοοῦντας διδάσκοντος, τελευτῶντος δὲ ὡς ἂν πρὸς πεπρακότας αὑτοὺς καὶ ἀνοσιωτάτους ἀνθρώπους οὐδὲν ὑποστελλομένου. [157] Ὁ δὲ τούτοις ἀντιλέγων φανερῶς καὶ ἅπασιν ἐναντιούμενος οἷς ἔλεγον μὲν ἐγώ, ἐψήφιστο δ' ὑφ' ὑμῶν, οὗτος ἦν. Εἰ δὲ καὶ πᾶσιν ἤρεσκε ταῦτα τοῖς ἄλλοις πρέσβεσιν, αὐτίκ' εἴσεσθε· ἐγὼ μὲν γὰρ οὐδέν πω λέγω περὶ οὐδενὸς οὐδ' αἰτιῶμαι, οὐδ' ἀναγκασθέντ' αὐτῶν οὐδένα δεῖ δοκεῖν χρηστὸν εἶναι τήμερον, ἀλλὰ δι' αὑτὸν καὶ τὸ μὴ κεκοινωνηκέναι τῶν ἀδικημάτων. Ὅτι μὲν γὰρ αἰσχρὰ καὶ δεινὰ καὶ οὐ προῖκα τὰ πεπραγμένα, πάντες ὑμεῖς ἑοράκατε· οἵτινες δ' οἱ τούτων μετεσχηκότες, αὐτὸ δηλώσει.

[158] Ἀλλὰ νὴ Δί' ἐν τούτῳ τῷ χρόνῳ τοὺς ὅρκους ἔλαβον παρὰ τῶν συμμάχων, ἢ τἄλλ' ἃ προσῆκεν ἐποίησαν. Πολλοῦ γε καὶ δεῖ, ἀλλὰ τρεῖς μῆνας ὅλους ἀποδημήσαντες καὶ χιλίας

NC. 1. ἁπάσας vulg. — 3. Θρᾴκην. Cette désignation générale serait mieux placée au commencement ou à la fin de l'énumération. — τἀπὶ τειχῶν. Était-ce en effet le nom d'un district? Le paragraphe 180 ne le prouve pas. Un lecteur qui se souvenait de ce paragraphe, ainsi que de *Cherson.*, § 64, aurait-il écrit au-dessus de la ligne : Θρᾴκην, τινὶ Θρᾴκης (au choix), τὰ τείχη? — 7. ὡς ἂν ἀγνοοῦντας Markland. G. H. Schæfer voulait, au contraire, retrancher, avec A, ἂν après le troisième ὡς. La locution ὡς ἂν « comme ferait un homme qui » ne diffère pas essentiellement de ὡς « en homme qui ». — 17. αὐτὸ S et L seul. αὐτὰ vulg.

2. Ὁμοῦ, environ. Ce mot équivaut souvent à ἐγγύς, dans le sens numéral, comme dans le sens local.

3. Θρᾴκην, τἀπὶ τειχῶν. Cf. *NC*.

6-7. Ὡς ἂν εἰς κοινὸν γνώμην ἀποφαινομένου, comme ferait un homme qui ouvre un avis à ses collègues. Plusieurs éditeurs ont donné à ces mots un sens qu'ils n'ont pas.—Ὡς ἀγνοοῦντας. Cf. *NC*.

12-15. Ἐγὼ μὲν γάρ.... τῶν ἀδικημάτων. Démosthène dit: « Je n'accuse encore aucun des autres ambassadeurs, je ne force aucun à se justifier ; il dépendra de chacun de prouver son innocence, en désavouant toute complicité avec Eschine. » C'est à la fois une avance et une menace : l'orateur veut engager les autres ambassadeurs à se tourner contre Eschine. Le scholiaste l'a compris, et il rappelle à propos le paragraphe 117, qui peut servir de commentaire au présent passage.

20-1. Τρεῖς μῆνας ὅλους. Cf. § 57, avec la note. — Χιλίας.... ἐφόδιον. Comme ils étaient absents environ soixante-dix jours

λαβόντες δραχμὰς ἐφόδιον παρ' ὑμῶν, παρ' οὐδεμιᾶς πόλεως, οὔθ' ὅτ' ἐκεῖσ' ἐπορεύοντο οὔθ' ὅτ' ἐκεῖθεν δεῦρο, τοὺς ὅρκους ἔλαβον, ἀλλ' ἐν τῷ πανδοχείῳ τῷ πρὸ τοῦ Διοσκορείου (εἴ τις ὑμῶν εἰς Φερὰς ἀφῖκται, οἶδεν ὃ λέγω), ἐνταῦθ' ἐγίγνονθ' οἱ ὅρκοι, ὅτε δεῦρ' ἤδη τὸ στράτευμ' ἄγων ἐβάδιζε Φίλιππος, αἰσχρῶς,
391 ἄνδρες Ἀθηναῖοι, καὶ ἀναξίως ὑμῶν. [159] Καίτοι τοῦτο Φίλιππος ἁπάντων ἂν ἐτιμήσατο πλείστου τοῦτον τὸν τρόπον πραχθῆναι. Τήν τε γὰρ εἰρήνην, οὐχὶ δυνηθέντων ὡς ἐπεχείρησαν οὗτοι, « πλὴν Ἀλέων καὶ Φωκέων, » γράψαι, ἀλλ' ἀναγκασθέντος ὑφ' ὑμῶν τοῦ Φιλοκράτους ταῦτ' ἀπαλεῖψαι, γράψαι δ' ἄντικρυς Ἀθηναίους καὶ τοὺς Ἀθηναίων συμμάχους, οὐκ ἐβούλετο τοῦτον ὀμωμοκέναι τὸν ὅρκον οὐδένα τῶν αὑτοῦ συμμάχων (οὐ γὰρ αὐτῷ συστρατεύσειν ἐφ' ἃ νῦν ἔχει τῶν ὑμετέρων ἔμελλον, ἀλλ' ἕξειν πρόφασιν τοὺς ὅρκους), [160] οὔτε μάρτυρας γενέσθαι τῶν ὑποσχέσεων, ἐφ' αἷς εὑρίσκετο τὴν εἰ-

NC. 1. δραχμὰς λαβόντες vulg. — παρ' ουδεμιᾶς S et L. ὅσα παρ' οὐδεμιᾶς (mauvaise correction) vulg. — 3. διοσκουρείου S et vulg. — 6. ὦ ἄνδρες vulg. — αξίωσ S¹. — τοῦτο S, A. τοῦθ' ὁ L et vulg. — 9. οὗτοι S seul. οὗτοι τὸ πρῶτον marge de L et vulg. — 10. ταῦτα S et L seuls. ταῦτα μὲν vulg. — 14. οὐδὲ Bekker. — 15. γενέσθαι, omis dans le texte de S, y est ajouté à la marge.

(cf. Bœckh, *Staatshaushaltung*, I, p. 337), on peut compter une drachme et demie d'indemnité par jour pour chacun des dix ambassadeurs.

2. Οὔθ' ὅτ' ἐκεῖσ' ἐπορεύοντο. Quand même les ambassadeurs athéniens l'auraient demandé, on peut douter qu'aucun des alliés de Philippe ait consenti à prêter serment avant le roi. — Οὔθ' ὅτ' ἐκεῖθεν δεῦρο. Cependant Démosthène dit ici même que des alliés de Philippe prêtèrent serment à Phères; mais ces serments furent jurés par des délégués, et non dans les villes mêmes et par les autorités. Cf. §§ 36 et 278.

8-13. Τήν τε γὰρ εἰρήνην. Vœmel dit avec raison que τε répond à οὔτε au commencement du paragraphe suivant; mais il aurait dû mettre une virgule après εἰρήνην. Voici la charpente de la période : Τήν τε γὰρ εἰρήνην οὐκ ἐβούλετο ὀμωμοκέναι οὐδένα τῶν αὑτοῦ συμμάχων, οὔτε μάρτυρας γενέσθαι τῶν ὑποσχέσεων κτλ. Mais, comme il y a une longue incidente entre εἰρήνην et ὀμωμοκέναι, l'orateur ajoute pour plus de clarté τοῦτον τὸν ὅρκον, « ce serment, c'est-à-dire la paix ainsi formulée. » — Ἀπαλεῖψαι. Cette suppression n'avait pas trop d'importance; car les ambassadeurs de Philippe déclarèrent expressément que leur maître ne reconnaissait pas les Phocidiens (ni, sans doute, les Haliens non plus) comme alliés d'Athènes : cf. § 321. — Ὀμωμοκέναι : avant le départ de leurs contingents.

15. Τῶν ὑποσχέσεων ἐφ' αἷς εὑρίσκετο τὴν εἰρήνην. Ces mots sont opposés à τὴν.... εἰρήνην, ligne 8. Démosthène suppose-t-il que les ambassadeurs athéniens, s'ils s'étaient rendus chez les alliés de Philippe, y auraient rapporté les vagues assurances contenues dans la dépêche du roi (§ 40), et le commentaire qu'ils y avaient ajouté eux-mêmes (§ 321)? Mais ce commentaire, contredit par les organes officiels de Philippe (*ib.*), n'aurait guère touché ses alliés. Tout cela n'est pas bien solide.

ρήνην, οὐδὲ τοῦτο δειχθῆναι πᾶσιν, ὅτι οὐκ ἄρ' ἡ πόλις ἡ τῶν Ἀθηναίων ἥττητο τῷ πολέμῳ, ἀλλὰ Φίλιππός ἐστιν ὁ τῆς εἰρήνης ἐπιθυμῶν καὶ ὁ πόλλ' ὑπισχνούμενος τοῖς Ἀθηναίοις, ἂν τύχῃ τῆς εἰρήνης. Ἵνα δὴ μὴ γένοιτο ταῦθ' ἃ λέγω φανερά, διὰ ταῦτ' οὐδαμόσ' ᾤετο δεῖν τούτους βαδίζειν. Οὗτοι δ' ἐχαρίζοντο πάντ', ἐνδεικνύμενοι καὶ ὑπερκολακεύοντες ἐκεῖνον. [161] Καίτοι ταῦθ' ὅταν ἐξελέγχωνται πάντα, τοὺς χρόνους ἀνηλωκότες, τὰ ἐν Θρᾴκῃ προειμένοι, μηδὲν ὧν ἐψηφίσασθε πεποιηκότες μηδ' ὧν συμφέρον ἦν, τὰ ψευδῆ δεῦρ' ἀπηγγελκότες, πῶς ἔνεστι παρ' εὖ φρονοῦσι δικασταῖς καὶ βουλομένοις εὐορκεῖν τούτῳ σῴζεσθαι; Ἀλλὰ μὴν ὅτι ταῦτ' ἀληθῆ λέγω, λέγε πρῶτον μὲν τὸ ψήφισμα, ὡς ὁρκοῦν προσῆκεν ἡμῖν, εἶτα τὴν ἐπιστολὴν τὴν τοῦ Φιλίππου, εἶτα τὸ Φιλοκράτους ψήφισμα καὶ τὸ τοῦ δήμου.

ΨΗΦΙΣΜΑ. ΕΠΙΣΤΟΛΗ. ΨΗΦΙΣΜΑΤΑ. 392

[162] Καὶ μὴν ὅτι τὸν Φίλιππον ἐν Ἑλλησπόντῳ κατελάβομεν ἄν, εἴ τις ἐπείθετό μοι καὶ τὰ προστεταγμέν' ὑφ' ὑμῶν ἐποίει κατὰ τὰ ψηφίσματα, κάλει τοὺς ἐκεῖ παρόντας μάρτυρας.

NC. 4. Les manuscrits flottent entre ἂν τύχῃ (S) et ὥστε τυχεῖν. — δε, avec un η au-dessus de l'ε, S. — γένηται vulg. — ο, pour ἃ, S. — 5. οὐδαμόσε ᾤετο δεῖν τούτους S et L. ᾤετο δεῖν αὐτοὺς μηδαμόσε vulg. — 8. προειμένοι Bekker. προειρημέναι (ρ et η ponctués) S seul. προέμενοι (ou προιέμενοι) L et vulg. — 11. Manuscrits : τούτωι (S), τούτοις, τούτους, ou τοῦτον. — 14. ψήφισμα καὶ S. ψήφισμα εἶτα vulg. ψήφισμα εἶτα καὶ L. — 15. Ce titre, ainsi que le suivant, est laissé en blanc dans S.

5. Οὐδαμόσ' ᾤετο δεῖν τούτους βαδίζειν équivaut à ᾤετο δεῖν τούτους μηδαμόσε βαδίζειν. Conformément à l'usage, οὐδαμόσε se construit avec ᾤετο, quoique la seconde partie de cette négation composée porte sur βαδίζειν.

6. Ἐνδεικνύμενοι. Cf. § 113.

9-10. Ὧν συμφέρον ἦν équivaut à τούτων ἃ ποιεῖν συμφέρον ἦν. [G. H. Schæfer.] — Τὰ ψευδῆ δεῦρ' ἀπηγγελκότες. Ce point, étranger à ce morceau, a été établi plus haut.

12-14. Τὸ ψήφισμ(α).... ἡμῖν. Dans ce décret, qui servait d'instruction aux ambassadeurs, on lisait particulièrement : Τοὺς ἄρχοντας ὁρκοῦν τοὺς ἐν ταῖς πόλεσιν. Cf. § 278, ainsi que § 158. — Τὴν ἐπιστολὴν τὴν τοῦ Φιλίππου. C'est la lettre désignée comme ἡ προτέρα ἐπιστολή au paragraphe 40. Démosthène vient d'y faire allusion au commencement du paragraphe 160. Le scholiaste entend à tort une lettre rappelée au paragraphe 40 du discours de la *Couronne*. — Τὸ Φιλοκράτους.... δήμου. La différence entre le projet primitif de Philocrate et la rédaction adoptée par le peuple est indiquée au paragraphe 159. Ici encore le scholiaste commet une erreur.

18. Μάρτυρας ne se rattache pas à τούς.... παρόντας, mais au verbe κάλει.

ΜΑΡΤΥΡΕΣ.

Λέγε δὴ καὶ τὴν ἑτέραν μαρτυρίαν, ἃ πρὸς Εὐκλείδην ὕστερον ἐλθόντα τουτονὶ ἀπεκρίνατο Φίλιππος.

ΜΑΡΤΥΡΙΑ.

[163] Ὅτι τοίνυν οὐδ' ἄρνησίς ἐστιν αὐτοῖς τὸ μὴ ταῦθ' ὑπὲρ Φιλίππου πράττειν, ἀκούσατέ μου. Ὅτε γὰρ τὴν προτέραν ἀπήρομεν πρεσβείαν τὴν περὶ τῆς εἰρήνης, κήρυχ' ὑμεῖς προαπεστείλαθ' ὅστις ἡμῖν σπείσεται. Τότε μὲν τοίνυν, ὡς τάχιστ' εἰς Ὠρεὸν ἦλθον, οὐκ ἀνέμειναν τὸν κήρυκα οὐδ' ἐνεποίησαν χρόνον οὐδένα, Ἅλου δὲ πολιορκουμένου διέπλευσαν εἰς τοῦτον, καὶ πάλιν ἐντεῦθεν πρὸς Παρμενίωνα τὸν πολιορκοῦντ' ἐξελθόντες ἀπῆραν διὰ τοῦ πολεμίου στρατεύματος εἰς Παγασάς, καὶ προϊόντες ἀπήντων ἐν Λαρίσῃ τῷ κήρυκι· τοσαύτῃ σπουδῇ καὶ προθυμίᾳ τότ' ἐχώρουν. [164] Ἐπειδὴ δ' εἰρήνη μὲν ἦν, ἅπασα δ' ἀσφάλει' ἰέναι καὶ πρόσταγμα παρ' ὑμῶν σπεύδειν, τηνικαῦτ' οὔτ' ἐπείγεσθαι βαδίζουσιν οὔτε πλεῖν αὐτοῖς ἐπῄει. Τί δήποτε; ὅτι τότε μὲν τὸ τὴν εἰρήνην ὡς τάχιστα γενέσθαι, τοῦτ' ἦν ὑπὲρ Φιλίππου, νῦν δὲ τὸ ὡς πλεῖστον τὸν μεταξὺ
393 χρόνον διατριφθῆναι τοῦ τοὺς ὅρκους ἀπολαβεῖν. [165] Ἀλλὰ

NC. 5. ἄρνησις ἔστιν Bekk. — τοῦ L. — 7. Les manuscrits flottent entre ἀπήρομεν et ἀπήραμεν. S[1] : απηρομεν. — 8. Manuscrits : ὑμῖν. — 9. ἤλθομεν Herwerden. — ἐνεποίησαν χρόνον Dobree : cf. *Phil.* III, 71 et *passim*. ἐποίησαν χρόνον manuscrits : location qui n'est pas de l'époque de Démosthène. — 10. οὐδένα, omis d'abord à la fin d'une ligne, est ajouté dans S par une main ancienne. — Ἅλου δὲ. Manuscrits : ἀλλ' οὐδὲ. — 16. τινικαῦτα S[1]. — 17. τὸ τὴν.... γενέσθαι. Cobet veut supprimer ces mots. L'antithèse les défend assez. — 19. τοῦ S, A. πρὸ τοῦ L et vulg.

2. Πρὸς Εὐκλείδην. Scholiaste : Ἀκούσασα ἡ πόλις ἀπολωλέναι τὸν Κερσοβλέπτην ἀπέστειλεν ὕστερον Εὐκλείδην αἰτιασόμενον Φίλιππον διὰ τὰ ἐν Θρᾴκῃ γενόμενα. Ὁ δὲ ἀπεκρίνατο μηδὲν ἡμαρτηκέναι· ὀψὲ γάρ ποτε συντυχεῖν τοῖς πρέσβεσι καὶ πρὸ τῶν ὅρκων λαβεῖν αὐτά.

10. Εἰς τοῦτον, c'est-à-dire εἰς τὸν Ἅλον. Quoique assiégée par le général de Philippe, la ville était libre du côté de la mer. [Reiske.]

16. Βαδίζουσιν. Opposé à πλεῖν, βαδίζειν prend le sens précis de « voyager par terre. »

18-19. Τὸν μεταξὺ χρόνον.... τοῦ.... ἀπολαβεῖν, le temps intermédiaire qui s'écoulerait jusqu'au moment où ils feraient

μὴν ὅτι καὶ ταῦτ' ἀληθῆ λέγω, λαβέ μοι καὶ ταύτην τὴν μαρτυρίαν.

ΜΑΡΤΥΡΙΑ.

Ἔστιν οὖν ὅπως ἂν μᾶλλον ἄνθρωποι πάνθ' ὑπὲρ Φιλίππου πράττοντες ἐξελεγχθεῖεν ἢ τὴν αὐτὴν ὁδὸν ἡνίκα μὲν σπεύδειν ὑπὲρ ὑμῶν ἔδει καθήμενοι, ὅτε δ' οὐδὲ βαδίζειν προσῆκε πρὶν ἐλθεῖν τὸν κήρυκα ἐπειγόμενοι;

[166] Ὃν τοίνυν χρόνον ἦμεν ἐκεῖ καὶ καθήμεθ' ἐν Πέλλῃ, σκέψασθε τί πράττειν ἕκαστος ἡμῶν προείλετο. Ἐγὼ μὲν τοίνυν τοὺς αἰχμαλώτους ἀναζητεῖν καὶ σῴζειν, καὶ παρ' ἐμαυτοῦ τε χρήματ' ἀναλίσκειν καὶ Φίλιππον ἀξιοῦν, ὧν ἡμῖν ἐδίδου ξενίων, τούτους λύσασθαι· οὗτος δ' αὐτίκ' ἀκούσεσθε τί ποιῶν διετέλεσεν. Τί οὖν ἦν τοῦτο τὸ κοινῇ χρήμαθ' ἡμῖν τὸν Φίλιππον διδόναι; [167] Ἵνα μηδὲ τοῦτ' ἀγνοῆτε, ἐκεῖνος ἡμᾶς διεκωδώνιζεν ἅπαντας· τίνα τρόπον; ἑκάστῳ προσπέμ-

NC. 3. Le titre est laissé en blanc dans S. — 4. ἄνθρωποι G. H. Schæfer. — 10. ἀναζητεῖν καὶ σώζειν Cobet, *Var. Lect.*, p. 599. ἀνασώζειν καὶ ζητεῖν manuscrits. ἀνασώζειν καὶ ἀναζητεῖν Aristide, t. IX, p. 394 W. — 11. ἐμαυτοῦ τε S et L seuls. ἐμαυτοῦ vulg. — 13-14. τὸν Φίλιππον χρήμαθ' ἡμῖν vulg. — Nous avons transposé après διδόναι le point d'interrogation que l'on mettait après τοῦτο. Démosthène n'aurait pas annoncé par αὐτίκα un point qu'il allait exposer immédiatement. L'ancienne ponctuation donnait un non-sens, et dérangeait toute la disposition de ce morceau. — Après ἵνα, les éditeurs ont inséré γάρ ou δέ, par suite de la ponctuation et de l'explication erronées de la phrase précédente. — 15. διεκωδώνιζεν S et L. διεκωδώνισεν vulg. — τίνα τρόπον S, A, L. τινὰ τρόπον (après ἑκάστῳ) vulg. La plupart des éditeurs ne ponctuent pas avant ces mots.

prêter serment à Philippe. Après μεταξὺ, le point de départ reste souvent sous-entendu. On cite : *Couronne*, § 26 : Φιλίππῳ μὲν ἦν συμφέρον ὡς πλεῖστον τὸν μεταξὺ χρόνον γενέσθαι τῶν ὅρκων. Cf. Sophocle, *OEd. Col.* 291 : Τὰ δὲ μεταξὺ τούτου (jusque-là), et *passim*.

5-6. Τὴν αὐτὴν ὁδόν. Cet accusatif se construit facilement avec σπεύδειν, βαδίζειν et ἐπειγόμενοι, plus hardiment avec καθήμενοι. — Οὐδὲ βαδίζειν, quand (loin de se hâter) il ne fallait pas même avancer. On sous-entend à tort μή τί γε πλεῖν : la première fois, les ambassadeurs n'avaient pas pris la voie de mer, si ce n'est d'Oréos à Halos, où ils ne pouvaient faire autrement.

9. Ἕκαστος n'est pas pour ἑκάτερος. Démosthène vient de parler de tous ses collègues. Il est vrai qu'il opposera d'abord sa conduite à celle d'Eschine; mais bientôt il reviendra au pluriel οὗτοι.

11-12. Ὧν.... ξενίων : génitif du prix. — Λύσασθαι. Cf. § 39.

12. Αὐτίκ(α). Cf. § 174.

13. Τί οὖν ἦν, que signifiait, quel but avait....? Démosthène commence par le dernier point. Il parlera au paragraphe 169 des prisonniers rachetés de ses propres deniers.

15. Προσπέμπων, « mittens homines qui cum singulis negotium transigerent. » [G. H. Schæfer.]

πων ἰδίᾳ καὶ πολύ γ', ὦ ἄνδρες Ἀθηναῖοι, διδοὺς χρυσίον. Ὡς δ' ἀπετύγχανεν ὁτουδήποτε (οὐ γὰρ ἐμέ γ' εἰπεῖν ἐμαυτὸν δεῖ, ἀλλὰ τὰ ἔργα καὶ τὰ πεπραγμέν' αὐτὰ δηλώσει), τὰ κοινῇ δοθέντα πάντας ἡγεῖτ' εὐήθως λήψεσθαι· ἀσφάλειαν οὖν ἔσεσθαι τοῖς ἰδίᾳ πεπραχόσιν αὐτούς, εἰ καὶ κατὰ μικρὸν τοῦ λαβεῖν κοινῇ πάντες μετάσχοιμεν. Διὰ ταῦτ' ἐδίδοτο, ξένια δὴ πρόφασιν. [168] Ἐπειδὴ δ' ἐκώλυσ' ἐγώ, πάλιν προσδιενείμαντο τοῦθ' οὗτοι. Τῷ Φιλίππῳ δ', ἐπειδὴ ταῦτ' εἰς τοὺς αἰχμαλώτους ἠξίουν αὐτὸν ἀναλίσκειν ἐγώ, οὔτε κατειπεῖν τούτων εἶχε
394 καλῶς οὐδ' εἰπεῖν ὅτι « ἀλλ' ἔχουσιν ὁ δεῖνα καὶ ὁ δεῖνα, » οὔτε φυγεῖν τὸ ἀνάλωμα· ὡμολόγησε μὲν δή, διεκρούσατο δ' εἰς τὰ Παναθήναια φήσας ἀποπέμψειν. Λέγε τὴν μαρτυρίαν τὴν Ἀπολλοφάνους, εἶτα τὴν τῶν ἄλλων τὴν τῶν παρόντων.

ΜΑΡΤΥΡΙΑ.

[169] Φέρε δὴ καὶ ὅσους αὐτὸς ἐλυσάμην τῶν αἰχμαλώτων εἴπω πρὸς ὑμᾶς. Ἐν ὅσῳ γὰρ οὐχὶ παρόντος πω Φιλίππου διετρίβομεν ἐν Πέλλῃ, ἔνιοι τῶν ἡλωκότων, ὅσοιπερ ἦσαν ἐξηγγυημένοι, ἀπιστοῦντες, ὡς ἐμοὶ δοκεῖ, μὴ δυνήσεσθαί με ταῦτα

NC. 4. ἅπαντας vulg. — ἐνήθως. Variante : εὐθέως. — λήψεσθε et ἔσεσθε S. — 5-6. κοινῇ λαβεῖν vulg. — δη (νή ajouté anciennement) πρόφασιν S seul. δ' ἦν ἡ πρόφασις L et vulg. — 8. τοῦθ' οὗτοι S et L seuls. οὗτοι vulg. — 10. οὐδ' εἰπεῖν F. οὔτ' εἰπεῖν S et L. Dobree dit avec raison qu'il faut écrire οὐδ', ou bien supprimer ces deux mots. Cependant l'interpolation pourrait s'étendre jusqu'au second δεῖνα. — 12. λέγε δή vulg. — 14. Le titre est laissé en blanc dans S. — 16. Φιλίππου S et L. τοῦ Φιλίππου vulg. — 18. με ταῦτα marge de F. μετὰ ταῦτα S, L et vulg. ἐμὲ ταῦτα Dindorf.

2. Ἐμέ, mis en relief par γε, est opposé à ἔργα, et forme le sujet de εἰπεῖν, dont ἐμαυτὸν est le régime [Shilleto.]

4-7. Πάντας, tous, sans excepter celui qui avait refusé les présents individuels et secrets. — Εὐήθως, naïvement, sans nous douter du piége. — Πρόφασιν : accusatif adverbial.

7. Ἐκώλυσ(α), j'eus empêché ce calcul d'aboutir. — Προσδιενείμαντο, ils se partagèrent cet argent, en sus de celui qu'ils avaient reçu individuellement. [G. H. Schæfer.]

10. Οὐδ' εἰπεῖν.... δεῖνα : explication familière de οὔτε κατειπεῖν τούτων. Après cette espèce de parenthèse vient le second οὔτε, qui répond au premier. Cf. *NC.*

11. Διεκρούσατο équivaut à ὑπερέθετο. [Schol.]

16. Οὐχὶ παρόντος πω Φιλίππου. Il était encore dans la Thrace.

17-18. Ἐξηγγυημένοι, libres sous caution. Il ne peut s'agir que d'une certaine liberté d'aller et de venir. — Ταῦτα, c'est-à-dire de consacrer au rachat des prisonniers l'argent offert, comme présent d'hos-

πεῖσαι τὸν Φίλιππον, ἑαυτοὺς ἔφασαν βούλεσθαι λύσασθαι καὶ μηδεμίαν τούτου χάριν ἔχειν τῷ Φιλίππῳ, καὶ ἐδανείζοντο ὁ μὲν τρεῖς μνᾶς, ὁ δὲ πέντε, ὁ δ' ὅπως συνέβαινεν ἑκάστῳ τὰ λύτρα. [170] Ἐπειδὴ τοίνυν ὡμολόγησεν ὁ Φίλιππος τοὺς λοιποὺς λύσεσθαι, συγκαλέσας ἐγὼ τούτους οἷς αὐτὸς ἔχρησα τἀργύριον, καὶ τὰ πεπραγμέν' ὑπομνήσας, ἵνα μὴ δοκοῖεν ἔλαττον ἔχειν ἐπειχθέντες μηδ' ἐκ τῶν ἰδίων λελυτρῶσθαι πένητες ἄνθρωποι, τῶν ἄλλων ὑπὸ τοῦ Φιλίππου προσδοκωμένων ἀφεθήσεσθαι, ἔδωκα δωρειὰν τὰ λύτρα. Καὶ ὅτι ταῦτ' ἀληθῆ λέγω, λέγε ταύτας τὰς μαρτυρίας.

ΜΑΡΤΥΡΙΑΙ.

[171] Ὅσα μὲν τοίνυν ἀφῆκα χρήματα καὶ δωρειὰν ἔδωκα τοῖς ἀτυχήσασι τῶν πολιτῶν, ταῦτ' ἔστιν. Ὅταν δ' οὗτος αὐτίκα δὴ λέγῃ πρὸς ὑμᾶς « τί δήποθ', ὡς φῄς, ὦ Δημόσθενες, « ἀπὸ τοῦ συνειπεῖν ἐμὲ Φιλοκράτει γνοὺς οὐδὲν ἡμᾶς ὑγιὲς « πράττοντας, τὴν μετὰ ταῦτα πρεσβείαν τὴν ἐπὶ τοὺς ὅρκους « συνεπρέσβευσας πάλιν καὶ οὐκ ἐξωμόσω; » ταῦτα μέμνησθε, 395 ὅτι τούτοις ὡμολογήκειν, οὓς ἐλυσάμην, καὶ κομιεῖν λύτρα καὶ σώσειν εἰς δύναμιν. [172] Δεινὸν οὖν ψεύσασθαι καὶ προ-

NC. 2. τούτου Φιλίππῳ χάριν ἔχειν ou τ. χ. ἔ. Φ. vulg. — 5. λύσεσθαι S et L. λύσασθαι vulg. — 10. λέγε S et L. λέγε καὶ vulg. — 11. Le titre est laissé en blanc dans S. — 18. ὡμολογήκειν S seul. ὡμολογήκειν ἥξειν. L et vulg. — τὰ λύτρα vulg. — 19. δεινὸν οὖν ἦν vulg.

pitalité, aux ambassadeurs athéniens. Cette gracieuseté, ainsi que la corruption secrète, avait donc eu lieu, sur l'ordre du roi, avant son arrivée à Pella. Du reste les faits rapportés au paragraphe 168 ne se comprendraient pas, si le roi avait été présent dès l'abord.

5. Οἷς αὐτὸς ἔχρησα. Au paragraphe 169, Démosthène avait dit ἐδανείζοντο, mot qui implique un prêt à intérêt. Ici, en déclarant qu'il était lui-même un des prêteurs, il se sert d'un terme (ἔχρησα) qui peut aussi désigner un prêt gratuit. Scholiaste : Ἐπειδὴ ἐκακίζετο ὁ τόκος, ὑπέμνησε μὲν ἐξ ἀρχῆς, χρηστῷ δὲ ὀνόματι τῷ « ἔχρησα » ἐκφεύγει τὸ ἄτοπον.

12. Ἀφῆκα est expliqué et déterminé par δωρειὰν ἔδωκα.

18. Ὡμολογήκειν.... κομιεῖν λύτρα. Démosthène assure avoir fait cette promesse lors de la première ambassade. Il la tint, en apportant, quand il revint en Macédoine, la rançon des prisonniers; et d'abord il la leur avança comme un prêt, ensuite il leur en fit présent. Il n'y a pas lieu de suspecter (avec Dahms, *Jahrbücher für Philologie*, 1865, p. 140) l'authenticité des paragraphes 171-172. Eschine semble faire allusion à ce morceau, en disant (§ 100) : Ἐπορεύετο δὲ λυσόμενος τοὺς αἰχμαλώτους, ὡς ἔφη καὶ πρὸς ὑμᾶς ἀρτίως εἴρηκεν.

έσθαι δυστυχοῦντας ἀνθρώπους πολίτας· ἰδίᾳ δ' ἐξομοσάμενον οὐ πάνυ καλὸν οὐδ' ἀσφαλὲς ἦν ἐκεῖσε πλανᾶσθαι· ἐπεί, εἰ μὴ διὰ τὸ τούτους βούλεσθαι σῶσαι, ἐξώλης ἀπολοίμην καὶ προώλης, εἰ προσλαβών γ' ἂν ἀργύριον πάνυ πολὺ μετὰ τούτων ἐπρέσβευσα. Σημεῖον δέ· ἐπὶ γὰρ τὴν τρίτην πρεσβείαν δίς με χειροτονησάντων ὑμῶν δὶς ἐξωμοσάμην. Καὶ παρὰ ταύτην τὴν ἀποδημίαν πάντα τἀναντί' ἔπραττον.

[173] Ὧν μὲν τοίνυν αὐτοκράτωρ ἦν ἐγὼ κατὰ τὴν πρεσβείαν, τοῦτον ἔσχε τὸν τρόπον ὑμῖν· ἃ δ' οὗτοι πλείους ὄντες ἐνίκων, ἅπαντ' ἀπόλωλεν. Καίτοι καὶ τἆλλ' ἂν ἅπαντ' ἀκολούθως τούτοις ἐπέπρακτο, εἴ τις ἐπείθετό μοι. Οὐ γὰρ ἔγωγ' οὕτως ἄθλιος οὐδ' ἄφρων ὥστε χρήματα μὲν διδόναι, λαμβάνοντας ὁρῶν ἑτέρους, ὑπὲρ τῆς πρὸς ὑμᾶς φιλοτιμίας, ἃ δ' ἄνευ μὲν δαπάνης οἷά τ' ἦν πραχθῆναι, πολλῷ δὲ μείζονας εἶχεν ὠφελείας πάσῃ τῇ πόλει, ταῦτ' οὐκ ἐβουλόμην γίγνεσθαι. Καὶ σφόδρα γ', ὦ ἄνδρες Ἀθηναῖοι· ἀλλ', οἶμαι, περιῆσαν οὗτοί μου.

NC. 7. ἔπραττον S et A. ἔπραττον τούτοις L et vulg. — 10. ἀπολώλεκεν marge de F, Bekker, Dindorf, Vœmel. En adoptant cette leçon, il faudrait supprimer le second ἅπαντα, afin de ne pas l'entendre autrement que le premier ἅπαντα. — ἂν ἅπαντ' S et L.... ἂν πάντ' vulg. — 12. οὕτως.... ἄφρων (d'abord αφρον) S. οὕτως ἦν.... ἄφρων A. οὕτως.... ἄφρων ἦν L et vulg.

1. Ἰδίᾳ, «comme simple particulier,» se rattache à πλανᾶσθαι. [Reiske.]

3. Προώλης. Le scholiaste explique : ὁ πρὸ τῆς εἱμαρμένης τελευτῶν. Mais cette interprétation n'est peut-être pas plus exacte que celle qu'il donne de ἐξώλης. Ce sont deux superlatifs. Cf. *Couronne*, à la fin.

3-4. Εἰ.... ἄν. La particule ἄν a sa raison d'être : car elle subsisterait, si la phrase n'était pas gouvernée par εἰ. On aurait : Προσλαβών γ' ἀργύριον οὐκ ἂν ἐπρέσβευσα μετὰ τούτων. Cf. *Lept.*, § 62.

5-6. Ἐπὶ γάρ.... Démosthène veut prouver ainsi qu'il ne tenait pas autrement à remplir une mission honorable en pareille compagnie. — Καὶ παρὰ ταύτην.... S'il a consenti, afin de remplir ses engagements, à partir pour la seconde ambassade, il a du moins tenu une conduite toute différente de celle de ses collègues.

8-10. Ὧν.... αὐτοκράτωρ ἦν, les choses qui ne dépendaient que de moi. Le terme αὐτοκράτωρ n'implique pas que Démosthène ait reçu plein pouvoir du peuple au sujet des prisonniers à délivrer. A. Schæfer (II, p. 227) s'y est trompé. — Ἃ δ' οὗτοι.... ἐνίκων, les choses pour lesquelles ils l'emportaient eux, étant la majorité. [Shilleto.] — Ἀπόλωλεν : sous-ent. ὑμῖν. — Τούτοις, à ce qui dépendait de moi.

15. Οὐκ ἐβουλόμην γίγνεσθαι. On s'attendait à μὴ βούλεσθαι γίγνεσθαι ; mais l'orateur s'exprime, comme si la première partie de la période avait été : οὐ γὰρ ἔγωγε χρήματα μὲν ἐδίδουν. Shilleto dit que ὥστε se trouve ici suivi d'abord de l'infinitif, ensuite de l'indicatif. Mais, d'après la distinction qu'il a exposée lui-même dans son *Appendice* B, nous ne pensons pas que la phrase négative οὐ γὰρ ἔγωγ' οὕτως ἦν ἄθλιος puisse gouverner ὥστε suivi d'un indicatif.

16. Καὶ σφόδρα γ(ε). Il faut sous-en-

[174] Φέρε δή, τί τούτῳ πέπρακται παρὰ ταῦτα καὶ τί τῷ
Φιλοκράτει θεάσασθε· παρ' ἄλληλα γὰρ ἔσται φανερώτερα.
Πρῶτον μὲν τοίνυν Φωκέας ἐκσπόνδους καὶ Ἀλέας ἀπέφηναν
καὶ Κερσοβλέπτην παρὰ τὸ ψήφισμα καὶ τὰ πρὸς ὑμᾶς εἰρη-
μένα· εἶτα τὸ ψήφισμ' ἐπεχείρησαν κινεῖν καὶ μεταίρειν, ἐφ' ᾧ
πρεσβεύοντες ἥκομεν· εἶτα Καρδιανοὺς Φιλίππῳ συμμάχους
ἐνέγραψαν. Καὶ τὴν μὲν γραφεῖσαν ἐπιστολὴν ὑπ' ἐμοῦ πρὸς 396
ὑμᾶς ἀπεψηφίσαντο μὴ πέμπειν, αὐτοὶ δ' οὐδ' ὁτιοῦν ὑγιὲς γρά-
ψαντες ἔπεμψαν. [175] Εἶθ' ὁ γενναῖος οὑτοσὶ ἐμὲ μὲν τὸν δῆμον
ἔφη τὸν ὑμέτερον καταλύσειν ἐπηγγέλθαι Φιλίππῳ, ὅτι ταῦτ'
ἐπέπληττον, οὐ μόνον αἰσχρὰ νομίζων, ἀλλὰ καὶ δεδιὼς μὴ
συμπαραπόλωμαι διὰ τούτους, αὐτὸς δ' ἰδίᾳ πάντα τὸν χρόνον
ἐντυγχάνων οὐδ' ὁτιοῦν ἐπαύσατο Φιλίππῳ. Καὶ τὰ μὲν ἄλλα
σιωπῶ, Δερκύλος δ' αὐτὸν ἐν Φεραῖς τὴν νύκτ' ἐφύλαττεν, οὐκ
ἐγώ, τὸν παῖδ' ἔχων τὸν ἐμὸν τουτονί, καὶ λαβὼν ἐξιόντ' ἐκ

ΧC. 3. Φωκέας et Ἀλέας Vœmel. Φωκεῖς et Ἀλεῖς manuscrits.

tendre ἐβουλόμην, et non pas (avec Shilleto) ἂν ἐπέπρακτο. L'orateur vient de nier qu'il n'ait pas eu ce désir.

1-2. Παρὰ ταῦτα peut être rattaché à θεάσασθε : l'ordre des mots ne s'y oppose pas, quoi qu'on ait dit. Sans chercher plus loin, nous alléguerons la phrase suivante Φωκέας ἐκσπόνδους καὶ Ἀλέας ἀπέφηναν καὶ Κερσοβλέπτην. — Παρ' ἄλληλα. Ces parallèles sont un procédé familier à Démosthène. Il en a souvent usé dans ce discours, au point qu'Eschine (§ 4) se plaint de la perfidie de ces rapprochements (τοῖς ἐπιβεβουλευμένοις καὶ κακοήθεσι τούτοις ἀντιθέτοις). Mais Eschine pense, sans doute, moins au présent morceau qu'au parallèle des deux banquets : § 192-198. En effet, Hermogène (p. 420 Walz), en appelant ce dernier parallèle κακόηθες ἀντίθετον, semble faire allusion aux paroles d'Eschine.

3-4. Φωκέας ἐκσπόνδους.... παρὰ τὸ ψήφισμα. Voyez §§ 44 et 159, avec les notes. — Τὰ πρὸς ὑμᾶς εἰρημένα, les assurances données par Eschine ou par ses amis politiques. Cf. § 321.

5-6. Τὸ ψήφισμα.... ἥκομεν. C'est le décret qui devait servir d'instruction aux ambassadeurs et dont lecture a été donnée après le paragraphe 161. En accusant ses collègues d'avoir entrepris d'altérer cette instruction, Démosthène n'a-t-il en vue que la manière dont ils firent prêter serment aux alliés de Philippe? Cf. §§ 158 et 278.

6. Καρδιανούς. Cf. *Paix*, § 25 ; *Halonn.*, § 41 sqq.; *Aristocrate*, § 181 sq.

10. Ἔφη. Eschine avait peut-être tenu ce propos dans une assemblée du peuple.

11-12. Μὴ συμπαραπόλωμαι διὰ τούτους, de crainte d'être enveloppé, par la faute des autres ambassadeurs, dans la condamnation en bloc et la ruine commune de tous.

13. Οὐδ' ὁτιοῦν, pas un instant, jamais.

14. Ἐν Φεραῖς. Eschine (§ 124 sqq.) repousse l'accusation d'avoir, à Pella, traversé le Ludias dans une espèce de pirogue, pour se rendre à une entrevue nocturne avec Philippe. Ici cette entrevue est placée à Phères. Faut-il croire que Démosthène, changeant de système suivant ses convenances, substitua un lieu à un autre? Cela serait grave. Ou bien aurait-il parlé à l'audience de deux entrevues, l'une en Macédoine, l'autre dans la Thessalie?

NC. 1. ἔπαινον καὶ θόρυβον vulg. — 3. ἦν Ἀλέξανδρον vulg. — τοῦ Φιλίππου L. — 5. τοῦτο. Variante : τούτου. — τὸ τούτων Bekker. τούτων S seul, suivi par les éditeurs de Zürich et Vœmel. ἕτερον συμπόσιον τὸ (ce mot manque dans A) τούτων vulg. Ces quatre mots sont omis dans L. Si un bon manuscrit autorisait : πρὸς τὸ τοῦ Σατύρου τοῦτο συμπόσιον ἕτερον ἐν Μακεδονίᾳ γενόμενον, cette leçon nous plairait. — 6. ὡς S[1] et L[1] seul. εἰ vulg. — 7. Variante : τοῦ Φαιδίμου. Chez Xénophon (*Hell.*, II, III, 2), le même homme porte le nom de Φαιδρίας. S'il fallait mettre les deux auteurs d'accord, il serait plus facile de changer Φαιδίμου en Φαιδρίου, que de substituer Φαίδιμος à Φαιδρίας. — 12. δοκεῖ S seul. δοκεῖν L et vulg. — 16. ἐχθρῶν τῶν S. ἐχθρῶν τε καὶ L et vulg. — ἀλητηρίων S et L.

2. Παθεῖν τι. Scholiaste : Τὰς ἀνθρωπίνας ἠλέησε τύχας καὶ πέπονθέ τι ἀνθρώπινον.

3. Ἀλέξανδρον. Frère aîné de Philippe, assassiné en 368. — Démosthène n'avait pas besoin de dire qu'Apollophane avait expié ce crime ; mais il est probable que les fils d'Amyntas n'étaient pas étrangers à la mort violente (cf. § 194) de ce meurtrier de leur frère. Voy. A. Schæfer, I, p. 13, 3.

6. Ὡς παραπλήσιον, comme il ressemble. Sarcasme.

7. Ξενόφρονα. Eschine, § 157, l'appelle Ξενόδοκος.

9. Ἐλευθέραν, née libre et conservant les sentiments d'une femme libre.

11-12. Τρώγειν, manger (croquer) du dessert, τρωγάλια ou τραγήματα. — Ὡς διηγεῖτο. Après μοι δοκεῖ, il eût été plus exact de dire ἐξ ὧν διηγεῖτο. Mais l'orateur cause ici familièrement.

14. Ἀδημονούσης, ne sachant que devenir, étant hors d'elle (au sens propre : « hors de chez elle »). Cf. Buttmann, *Lexilogus*, t. II, § 86, n[os] 12-13.

πεπωκότων, οἶμαι, καὶ μικρῶν ὄντων τῶν παροξυνόντων, εἰπούσης τι καὶ δακρυσάσης ἐκείνης περιρρήξας τὸν χιτωνίσκον ὁ οἰκέτης ξαίνει κατὰ τοῦ νώτου πολλάς. [198] Ἔξω δ' αὑτῆς οὖσ' ὑπὸ τοῦ κακοῦ καὶ τοῦ πράγματος ἡ γυνή, ἀναπηδήσασα προσπίπτει πρὸς τὰ γόνατα τῷ Ἰατροκλεῖ, καὶ τὴν τράπεζαν ἀνατρέπει. Καὶ εἰ μὴ 'κεῖνος ἀφείλετο, ἀπώλετ' ἂν παροινουμένη· καὶ γὰρ ἡ παροινία τοῦ καθάρματος τουτουὶ δεινή. Καὶ περὶ ταύτης τῆς ἀνθρώπου καὶ ἐν Ἀρκαδίᾳ λόγος ἦν ἐν τοῖς μυρίοις, καὶ Διόφαντος ἐν ὑμῖν ἀπήγγελλεν ἃ νῦν μαρτυρεῖν αὐτὸν ἀναγκάσω, καὶ κατὰ Θετταλίαν πολὺς λόγος καὶ πανταχοῦ.

NC. 1. πεπωκότας Tournier, *Obs. crit.*, p. 80. Peut-être πεπωκότων θυμόν.— πικρῶν une Aldine. — 2. διακρουσάσης A.— 9. ἀπήγγελλεν L et S. ἀπήγγειλλεν vulg. La leçon vicieuse de Suidas : Διόφαντον.... ἀπήγγειλα, vient sans doute d'une variante : ἀπήγγειλ' ἃ....

1. Καὶ πεπωκότων.... τῶν παροξυνόντων, et comme, quand les hommes ont bu, il suffit, je pense, d'une bagatelle pour les irriter. La construction est lâche; mais l'orateur fait tout ce récit dans le langage le plus familier, le moins étudié, en apparence, avec une certaine bonhomie persuasive. Le style soutenu demanderait πεπωκότας, au lieu de πεπωκότων. Cf. *NC*.

3. Ξαίνει.... πολλάς : sous-ent. πληγάς, idée contenue dans le verbe. Ellipse usuelle. — Eschine, § 157, renchérit à dessein sur ce récit : il prétend que Démosthène l'a présenté comme infligeant de sa propre main des coups de fouets à cette malheureuse femme.

4. Ὑπὸ τοῦ κακοῦ καὶ τοῦ πράγματος. Ce n'est pas seulement le mal physique, la douleur qu'elle éprouvait, c'est la chose en elle-même qui mit cette pauvre femme au désespoir. Nous n'accordons pas à Cobet que les mots καὶ τοῦ πράγματος soient interpolés.

6. Ἀφείλετο : sous-ent. αὐτὴν μὴ ἀπολέσθαι. Cf. Xénophon, *Hellén.*, I, II, 16 : Ἀλκιβιάδης δὲ ἐδίωκεν.... μέχρι σκότος ἀφείλετο. Eschyle, *Perses*, 428 : Ἔπαιον, ἐρράχιζον.... ἕως κελαινῆς νυκτὸς ὄμμ' ἀφείλετο Sophocle, *Phil.* 1303 : Τί μ' ἄνδρα πολέμιον ‖ ἐχθρόν τ' ἀφείλου μὴ κτανεῖν τόξοις ἐμοῖς.

8. Ἐν Ἀρκαδίᾳ.... ἐν τοῖς μυρίοις. Remarquons qu'en rappelant, à sa façon, les paroles de Démosthène, Eschine (§ 157) y mêle aussi cette assemblée des délégués de l'Arcadie, mais d'une tout autre manière. Cf. § 11. — Le même Eschine (§§ 4 et 153) nous apprend que les juges (disons : *des* juges) interrompirent par des huées un récit aussi calomnieux; s'il faut en croire le scholiaste, Eubule donna le signal de cette manifestation. Un certain Aristophane d'Olynthe déposait que Démosthène lui avait offert beaucoup d'argent s'il voulait attester en justice que sa propre femme avait été ainsi maltraitée par Eschine. (Cf Eschine, § 154 sq.) Iatroclès, que Démosthène cite comme son garant, lui refusait évidemment son témoignage; cependant il ne le démentait pas non plus : le silence d'Eschine le prouve. Hermogène (III, p. 420 Walz) n'hésite pas à regarder ce récit comme mensonger : aux yeux du rhéteur, l'habileté de l'orateur gagne tout ce que perd sa véracité. Que Démosthène ait arrangé les détails du récit, on ne saurait en douter; mais il est difficile de croire qu'il ait tout inventé. Nous ignorons, il est vrai, ce qu'Iatroclès a pu lui rapporter; mais il avait été bruit de ce banquet en Arcadie, dans la Thessalie, à Athènes même, et c'est tout au moins la rumeur publique, peut-être calomnieuse, qui a fourni à Démosthène les éléments d'un récit embelli par lui suivant les règles de l'art oratoire.

[199] Καὶ τοιαῦτα συνειδὼς αὑτῷ πεπραγμένα ὁ ἀκάθαρτος οὗτος τολμήσει βλέπειν εἰς ὑμᾶς, καὶ τὸν βεβιωμένον αὐτῷ βίον αὐτίκα δὴ μάλ' ἐρεῖ λαμπρᾷ τῇ φωνῇ· ἐφ' οἷς ἔγωγ' ἀποπνίγομαι. Οὐκ ἴσασιν οὗτοι τὸ μὲν ἐξ ἀρχῆς τὰς βίβλους ἀναγιγνώσκοντά σε τῇ μητρὶ τελούσῃ, καὶ παῖδ' ὄντ' ἐν θιάσοις καὶ μεθύουσιν ἀνθρώποις καλινδούμενον; [200] μετὰ ταῦτα δὲ ταῖς ἀρχαῖς ὑπογραμματεύοντα καὶ δυοῖν ἢ τριῶν δραχμῶν πονηρὸν ὄντα; τὰ τελευταῖα δ' ἔναγχος ἐν χορηγίοις ἀλλοτρίοις ἐπὶ τῷ τριταγωνιστεῖν ἀγαπητῶς παρατρεφόμενον; Ποῖον οὖν ἐρεῖς βίον; ὃν οὐ βεβίωκας, ἐπεὶ ὅ γε βεβιωμένος σοι τοιοῦτος φαίνεται. Ἀλλὰ δὴ τὰ τῆς ἐξουσίας· οὗτος ἄλλον ἔκρινε παρ' ὑμῖν ἐπὶ πορνείᾳ. Ἀλλὰ μήπω ταῦτα, ἀλλὰ τὰς μαρτυρίας μοι λέγε πρῶτον ταυτασί.

494 ΜΑΡΤΥΡΙΑΙ.

[201] Τοσούτων τοίνυν καὶ τοιούτων ὄντων, ὦ ἄνδρες δι-

NC. 2. οὗτος S. οὑτοσὶ L et vulg. — 6. καλινδούμενον. Vœmel met une virgule après ce mot, ainsi qu'après πονηρὸν ὄντα, et un point après παρατρεφόμενον. — 7. καὶ τριῶν S et A. — 10. Le point d'interrogation après βίον est dû à Cobet. — 15. τοσούτων. S porte ici un signe marginal, accompagné de la remarque ἄπωθεν (ἀπ' ἔνθεν? ἀπεντεῦθεν?) λείπει ἡμᾶς (?) ἕως τοῦ ὁμοίου σημείου. Le signe correspondant ne se trouve pas dans le manuscrit : suivant O. Gilbert, il devrait se trouver après le paragraphe 236, et tout le morceau intermédiaire ne serait pas de Démosthène, et aurait été omis avec raison dans l'*archétype* de S. M. Gilbert oublie que cette remarque n'est pas de la première main, mais qu'elle vient du correcteur. Un manuscrit que celui-ci comparait avec S présentait une lacune. Vœmel, *Prol. ad Cont.*, p. 227. Les lettres stichométriques attestent aussi l'ancienneté de notre texte.

2-3. Τὸν βεβιωμένον αὐτῷ βίον. En effet Eschine dira (§ 4), à propos de ce chef d'accusation : Ἥσθην δέ, ὅτ' αὐτὸν ἐπὶ τῆς αἰτίας ὄντα ταύτης ἐξεβάλετε, καὶ τῶν σεσωφρονημένων ἐν τῷ βίῳ μοι χάριν ἀπειληφέναι νομίζω. Cf. *ib.*, § 153. Démosthène aurait-il ajouté, ou modifié, après coup, les paragraphes 199-200?

4-9. Τὰς βίβλους.... παρατρεφόμενον. Cf. *Cour.*, § 259-262, où le présent morceau a reçu de plus amples développements.

8-9. Πονηρὸν ὄντα. Le scholiaste dit que les greffiers se laissaient quelquefois corrompre par les parties, afin d'altérer la teneur des lois et décrets qu'ils avaient à lire devant les tribunaux. — Ἐν χορηγίοις ἀλλοτρίοις équivaut à ἄλλων χορηγούντων. — Ἀγαπητῶς, en s'estimant très-heureux de cette aubaine. Cf. § 219; *Lept.*, § 112. — Παρατρεφόμενον, nourri en parasite, παράσιτος. Shilleto rapproche Ménandre, chez Athénée, VI, p. 248 B : Σιτόκουρος ὁμολογῶν παρατρέφεσθαι.

11. Ἀλλὰ δὴ τὰ τῆς ἐξουσίας, mais voyez ce qu'il se croit permis! Cf. § 272. — Ἄλλον. Timarque.

12. Ἀλλὰ μήπω ταῦτα. Les considérations sur le procès intenté par Eschine à Timarque ne viendront qu'au § 240.

14. Μαρτυριαι. Ces témoignages ont dû

χασταί, ὧν ἀδικῶν ὑμᾶς ἐξελήλεγκται, (ἐν οἷς τί κακὸν οὐκ ἔνι; δωροδόκος, κόλαξ, ταῖς ἀραῖς ἔνοχος, ψεύστης, τῶν φίλων προδότης, πάντ' ἔνεστι τὰ δεινότατα·) πρὸς ἓν οὐδ' ὁτιοῦν τούτων ἀπολογήσεται, οὐδ' ἕξει δικαίαν οὐδ' ἁπλῆν εἰπεῖν ἀπολογίαν οὐδεμίαν. Ἃ δ' ἐγὼ πέπυσμαι μέλλειν αὐτὸν λέγειν, ἔστι μὲν ἐγγυτάτω μανίας, οὐ μὴν ἀλλ' ἴσως τῷ μηδὲν ἔχοντι δίκαιον ἄλλ' εἰπεῖν ἀνάγκη πάντα μηχανᾶσθαι. [202] Ἀκούω γὰρ αὐτὸν ἐρεῖν ὡς ἄρ' ἐγὼ πάντων ὧν κατηγορῶ κοινωνὸς γέγονα, καὶ συνήρεσκε ταὐτά μοι, καὶ συνέπραττον αὐτῷ, ἔπειτ' ἐξαίφνης μεταβέβλημαι καὶ κατηγορῶ. Ἔστι δ' ὑπὲρ μὲν τῶν πεπραγμένων οὔτε δικαία οὔτε προσήκουσ' ἡ τοιαύτη ἀπολογία, ἐμοῦ μέντοι τις κατηγορία· ἐγὼ μὲν γάρ, εἰ ταῦτα πεποίηκα, φαῦλός εἰμ' ἄνθρωπος, τὰ δὲ πράγματ' οὐδὲν βελτίω διὰ τοῦτο, οὐδὲ πολλοῦ δεῖ. [203] Οὐ μὴν ἀλλ' ἔγωγ' οἶμαί μοι προσήκειν ἀμφότερ' ὑμῖν ἐπιδεῖξαι, καὶ ὅτι ψεύσεται, ταῦτ' ἐὰν λέγῃ, καὶ τὴν δικαίαν ἥτις ἐστὶν ἀπολογίαν. Ἡ μὲν τοίνυν δικαία καὶ ἁπλῆ, ἢ ὡς οὐ πέπρακται τὰ κατηγορημένα δεῖξαι, ἢ ὡς πεπραγμένα συμφέρει τῇ πόλει. Τούτων δ' οὐδέτερον δύναιτ' ἂν οὗτος ποιῆσαι. [204] Οὔτε γὰρ ὡς συμφέρει δήπου Φωκέας ἀπολωλέναι καὶ Πύλας Φίλιππον ἔχειν καὶ Θηβαίους ἰσχύειν καὶ ἐν Εὐβοίᾳ στρατιώτας εἶναι καὶ Μεγάροις ἐπιβουλεύειν καὶ ὄνομα γεγονέναι τὴν εἰρήνην, ἐνέσται

NC. 1. κακιων, avec un ο au-dessus de ω, S. κακῶν A. — 3. ἔνεστι est omis dans F. — 10. αὑτῷ Bekker. — 12. Variantes : ἡ ἀπολογία αὕτη, et αὕτη ἀπολογία. Benseler, *Hiat.*, p. 98, ἡ ἀπολογία τοιαύτη. Il faut peut-être supprimer τοιαύτη. — 13. ταυτὰ S seul. — 17. ἀπολογίαν Dobree. ἀπολογία S, A. ἀπολογία φεύξεται L et vulg. — 22. ὄνομα γεγονέναι est notre correction. Dobree proposait ἀνόνητον ou ἀνήνυτον εἶναι. ἀνώμοτον εἶναι manuscrits. Il est vrai que, d'abord, tous les alliés n'avaient pas juré la paix (§ 258) ou ne l'avaient pas jurée comme il fallait (§ 178); mais Dobree a fait observer avec raison qu'il s'agit ici d'une autre époque. Évidemment, les mots καὶ.... τὴν εἰρήνην résument les membres de phrase qui précèdent. Aucune des explications qu'on a données de ἀνώμοτον n'est satisfaisante. — ἐνέσται Herwerden. ἔνεστι manuscrits.

se rapporter à l'histoire du banquet. Cf. § 198.

2-3. Ταῖς ἀραῖς ἔνοχος. Cf. § 70. — Τῶν φίλων προδότης. Cf. § 191.

9. Κοινωνὸς γέγονα. On peut comparer Eschine, aux paragraphes 14-20, 54, 56.

13-14. Τὰ δὲ πράγματ(α) équivaut à τὰ πεπραγμένα. [G. H. Schæfer.]

22. Ὄνομα. Cf. *Phil.* III, § 8 : Τοὔνομα μὲν τὸ τῆς εἰρήνης ὑμῖν προβάλλει. *Ib.* 15 : Ἐκ τῶν ὀνομάτων μᾶλλον ἢ τῶν πραγμάτων τὸν ἄγοντ' εἰρήνην.... σκέψαιτ' ἄν.

405 λέγειν αὐτῷ, οἷς τότ' ἐναντί' ἀπήγγειλε πρὸς ὑμᾶς ὡς συμφέροντα καὶ γενησόμενα· οὐθ' ὡς οὐ πέπρακται ταῦτα, δυνήσεται πεῖσαι τοὺς αὐτοὺς ἑορακότας ὑμᾶς καὶ εὖ εἰδότας. [205] Οὐκοῦν ὡς οὐ κεκοινώνηκα τούτοις οὐδενός, λοιπόν μοι δεῖξαι. Βούλεσθ' οὖν ὑμῖν, πάντα τἄλλ' ἀφείς, ἃ παρ' ὑμῖν ἀντεῖπον, ἃ ἐν τῇ ἀποδημίᾳ προσέκρουον, ὡς ἅπαντα τὸν χρόνον ἠναντίωμαι, αὐτοὺς παράσχωμαι μάρτυρας τούτους ὅτι πάντα τἀναντί' ἐμοὶ καὶ τούτοις πέπρακται, καὶ χρήμαθ' οὗτοι μὲν ἔχουσιν ἐφ' ὑμῖν, ἐγὼ δ' οὐκ ἠθέλησα λαβεῖν; θεάσασθε δή.

[206] Τίνα τῶν ἐν τῇ πόλει φήσαιτ' ἂν βδελυρώτατον εἶναι καὶ πλείστης ἀναιδείας καὶ ὀλιγωρίας μεστόν; οὐδ' ἂν εἷς ἁμαρτὼν ὑμῶν ἄλλον εὖ οἶδ' ὅτι φήσειεν ἢ Φιλοκράτην. Τίνα δὲ φθέγγεσθαι μέγιστον ἁπάντων καὶ σαφέστατ' ἂν εἰπεῖν ὅ τι βούλοιτο τῇ φωνῇ; Αἰσχίνην οἶδ' ὅτι τουτονί. Τίνα δ' οὗτοι μὲν ἄτολμον καὶ δειλὸν πρὸς τοὺς ὄχλους φασὶν εἶναι, ἐγὼ δ' εὐλαβῆ; ἐμέ· οὐδὲν γὰρ πώποτ' οὔτ' ἠνώχλησα οὔτε μὴ βουλομένους ὑμᾶς βεβίασμαι. [207] Οὐκοῦν ἐν πάσαις ταῖς ἐκκλησίαις, ὁσάκις λόγος γέγονεν περὶ τούτων, καὶ κατηγοροῦντος ἀκούετέ μου καὶ ἐλέγχοντος ἀεὶ τούτους καὶ λέγοντος ἄντικρυς ὅτι χρήματ' εἰλήφασι καὶ πάντα πεπράκασι τὰ πράγματα τῆς

1. οἷς. Dobree : ὅς. — τότ' ἐναντία S. τοτε τἀναντία L et vulg. — 6. ἃ, avant ἐν, était omis par S[1]. — 7. τούτους S, A. τουτουσὶ L et vulg. — ὅτι. Vulg. : ὡς. — 9. θεάσασθαι S[1]. — 11. ἀναιδείας καὶ ὀλιγωρίας S et L. ὀλιγωρίας καὶ ἀναιδείας vulg. — 12. οὐδ' ἂν εἷς ἁμαρτὼν est notre correction, pour οὐδεὶς οὐδ' ἂν ἁμαρτών, leçon que l'on s'efforçait d'expliquer tant bien que mal « ne titubante quidem lingua ». — 14. λαμπρᾷ τῇ φωνῇ A. Cf. § 199.

1. Ἀπήγγειλε. Cf. § 20-22.

10-11. Τῶν ἐν τῇ πόλει. Suivant Otto Gilbert, l'interpolateur (cf. § 201, *NC*) se trahit ici en oubliant que Philocrate se trouvait alors en exil. Il faut dire que ce discours fut *écrit* avant la condamnation de Philocrate. — Ἀναιδείας καὶ ὀλιγωρίας. Il n'y a ici aucune faute contre la gradation (cf. NC). L'effronterie de Philocrate se montrait dans son dédain des opinions et des sentiments d'autrui, dans le sans-façon avec lequel il traitait l'assemblée du peuple. [Shilleto.]

12. Ὑμῶν dépend de εἷς.

14. Τῇ φωνῇ : restriction mordante.

15. Ἄτολμον καὶ δειλόν. Cf. *Cherson.*, § 68, où Démosthène relève le reproche : ἄτολμος εἶ καὶ μαλακός. — Πρὸς τοὺς ὄχλους : mot malsonnant que Démosthène met dans la bouche de ses adversaires. [G. H. Schæfer.]

16-17. Οὔτ' ἠνώχλησα.... βεβίασμαι. Dans la *Midienne*, § 189, Démosthène se sert des mêmes termes pour caractériser sa manière de parler devant le peuple. [Dobree.]

17. Ἐν πάσαις ταῖς ἐκκλησίαις. Exemples : *Phil.* II, § 34, ou l'assemblée rappelée dans ce discours aux paragraphes 135 sqq.

πόλεως. Καὶ τούτων οὐδέτερός ποτ' ἀκούων ταῦτ' ἀντεῖπεν οὐδὲ διῆρεν τὸ στόμα, οὐδ' ἔδειξεν ἑαυτόν. [208] Τί ποτ' οὖν ἐστι τὸ αἴτιον ὅτι οἱ βδελυρώτατοι τῶν ἐν τῇ πόλει καὶ μέγιστον φθεγγόμενοι τοῦ καὶ ἀτολμοτάτου πάντων ἐμοῦ καὶ οὐδενὸς μεῖζον φθεγγομένου τοσοῦτον ἡττῶνται; ὅτι τἀληθὲς 406
ἰσχυρὸν, καὶ τοὐναντίον ἀσθενὲς τὸ συνειδέναι πεπραχόσιν αὐ- 6
τοῖς τὰ πράγματα. Τοῦτο παραιρεῖται τὴν θρασύτητα τὴν τούτων, τοῦτ' ἀποστρέφει τὴν γλῶτταν, ἐμφράττει τὸ στόμα, ἄγχει, σιωπᾶν ποιεῖ. [209] Τὸ τοίνυν τελευταῖον ἴστε δήπου πρώην ἐν Πειραιεῖ, ὅτ' αὐτὸν οὐκ εἰᾶτε πρεσβεύειν, βοῶνθ' ὡς εἰσαγγελεῖ με καὶ γράψεται καὶ « ἰοὺ ἰού ». Καίτοι ταῦτα μέν [ἐστι] μακρῶν καὶ πολλῶν ἀγώνων καὶ λόγων ἀρχή, ἐκεῖνα δ' ἁπλᾶ καὶ δύ' ἢ τρί' ἴσως ῥήματα, ἃ κἂν ἐχθὲς ἐωνημένος ἄνθρωπος εἰπεῖν ἐδυνήθη, « ἄνδρες Ἀθηναῖοι, τουτὶ τὸ πρᾶγμα « πάνδεινόν ἐστιν· οὑτοσὶ κατηγορεῖ ταῦτ' ἐμοῦ ὧν αὐτὸς κοι-

NC. 1. J'écris οὐδέτερός ποτ' pour οὐδεὶς πώποτ'. — 3. ἐστὶν S. — πάντων τῶν vulg. — 6. ἰσχυρόν ἐστι vulg. — 8. ἀποστρέφεται S et L. — 9. Cobet, *l. c.*, veut retrancher σιωπᾶν ποιεῖ, en dépit du nombre oratoire. Cf. la note explicative. — 10. οὐκ εἰᾶτε. J'ai proposé : οὐκ εἴων ; Nitsche : ὅτ' οὐκ εἰᾶτο. L'un et l'autre s'accorderaient mieux avec la suite de ce passage, ainsi qu'avec les faits, autant que nous pouvons les connaître. La paraphrase du scholiaste : οὐκ εἴων ἐξελθεῖν, ἀλλ' ἐκώλυε μὲν ἡ πόλις, κατηγόρουν δ' ἐγώ, donne à penser qu'il lisait οὐκ εἴων, et elle explique peut-être la mauvaise correction οὐκ εἰᾶτε. — 11. εἰσαγγέλλει S et L. — 12. ἐστι est une glose inconsidérée. Le présent n'est guère de mise ici. — 14. ἐδυνήθη. F : δυνηθείη.

1-2. Ἀντεῖπεν.... ἔδειξεν ἑαυτόν. Cf. §§ 112 et 117.

8-9. Τοῦτ' ἀποστρέφει.... σιωπᾶν ποιεῖ. Après la peinture des symptômes intérieurs et soustraits à l'observation directe, le dernier membre de phrase (« réduit au silence ») marque le fait qui se produit au dehors. — Ce passage avait frappé Plutarque : il le cite II, p. 88 C, et semble y faire allusion p. 164 F. [G. H. Schæfer] Otto Gilbert croit, au contraire, y reconnaître la marque d'un rhéteur maniéré.

10. Οὐκ εἰᾶτε πρεσβεύειν. Il ne peut guère s'agir ici que de l'affaire racontée dans le discours de la *Couronne*, § 132 sqq. Le peuple voulait charger Eschine de défendre devant les Amphictyons les titres d'Athènes à la possession du sanctuaire de Délos. Mais l'Aréopage, invité par le peuple à trancher la question, préféra Hypéride à Eschine. La nomination d'Eschine avait donc été combattue, sans doute par Démosthène (cf. l. 15). La leçon οὐκ εἰᾶτε, si elle est bonne (voy. *NC*), doit s'entendre du changement survenu, grâce à Démosthène, dans les résolutions du peuple. Cf. Bœhnecke, *Forschungen*, I, p. 293; Schæfer, II, p. 348.

11. Καὶ « ἰοὺ ἰού. » Récit d'une vivacité familière. G. H. Schæfer rapproche *Aristog.* I, § 47 : Βοῶν καὶ κεκραγὼς καὶ ἰοὺ ἰού.

12-14. Μακρῶν καὶ πολλῶν ἀγώνων καὶ λόγων équivaut à μακρῶν ἀγώνων καὶ πολλῶν λόγων. — Ἐχθὲς ἐωνημένος ἄνθρωπος : un esclave qui n'a encore appris que quelques mots de grec.

« νωνὸς γέγονεν, καὶ χρήματ' εἰληφέναι φησὶν ἐμὲ αὐτὸς [εἰλη-
« φὼς ἢ] μετειληφώς. » [210] Τούτων μὲν τοίνυν οὐδὲν [εἶπεν]
οὐδ' ἐφθέγξατο, οὐδ' ἤκουσεν ὑμῶν οὐδείς, ἄλλα δ' ἠπείλει.
Διὰ τί; ὅτι ταῦτα μὲν αὐτῷ συνῄδει πεπραγμένα, καὶ δοῦλος
ἦν τῶν ῥημάτων τούτων. Οὔκουν προσῄει πρὸς ταῦθ' ἡ διάνοια,
ἀλλ' ἀνεδύετο· ἐπελαμβάνετο γὰρ αὐτῆς τὸ συνειδέναι. Λοιδο-
ρεῖσθαι δ' ἄλλ' ἄττ' οὐδὲν ἐκώλυεν αὐτὸν οὐδὲ βλασφημεῖν.
[211] Ὃ τοίνυν μέγιστον ἁπάντων, καὶ οὐ λόγος, ἀλλ' ἔργον·
βουλομένου γὰρ ἐμοῦ τὰ δίκαια, ὥσπερ ἐπρέσβευσα δὶς, οὕτω
καὶ λόγον ὑμῖν δοῦναι δὶς, προσελθὼν Αἰσχίνης οὑτοσὶ τοῖς
λογισταῖς ἔχων μάρτυρας πολλοὺς ἀπηγόρευε μὴ καλεῖν ἔμ' εἰς
τὸ δικαστήριον ὡς δεδωκότ' εὐθύνας καὶ οὐκ ὄντ' ὑπεύθυνον.
Καὶ τὸ πρᾶγμ' ἦν ὑπεργέλοιον. Τί οὖν ἦν τοῦτο; τῆς προτέρας
407 ἐκείνης πρεσβείας, ἧς οὐδεὶς κατηγόρει, δοὺς λόγον οὐκέτ'
ἐβούλετ' αὖθις εἰσιέναι περὶ ταύτης ἧς νῦν εἰσέρχεται, ἐν ᾗ
πάντα τἀδικήματ' ἐνῆν· [212] ἐκ δὲ τοῦ δὶς ἔμ' εἰσελθεῖν
ἀνάγκη περιίστατο καὶ τούτῳ πάλιν εἰσιέναι· διὰ ταῦτ' οὐκ εἴα

NC. 1-2. εἰληφὼς ἢ μετειληφώς. C'est évidemment la réunion de deux variantes. La première a été préférée par Reiske, Dobree, Bekker; la seconde, par G. H. Schæfer. Celle-ci s'accorde avec κοινωνὸς γέγονεν et est confirmée par la scholie citée ci-dessous. Les éditeurs qui conservent l'une et l'autre, en invoquant § 166 sq., rendent un mauvais service à l'orateur. — 2. εἶπεν : glose reconnue par Weidner. — 6. παρ' αὐτῆς S et (avec γὰρ au-dessus de la ligne) L seuls. — 7. οὐδὲν marge de Morel. οὐδεὶς (inintelligible pour moi) manuscrits et éditions. — 8. ἔργον ἤδη A. — 12. Peut-être οὐκέτ'.

1-2. Αὐτὸς μετειληφώς. Le scholiaste dit que Démosthène prête malicieusement à son adversaire un aveu involontaire. Τὸ μέρος μετ' ἐμοῦ λαβὼν, ἵνα τέως ὁμολογήσῃ εἰληφέναι ὁ Αἰσχίνης.

4-5. Δοῦλος ἦν τῶν ῥημάτων τούτων, il craignait ces paroles et n'osait les articuler, enchaîné par la crainte de les voir rétorquées contre lui-même. — Οὔκουν προσῄει πρὸς ταῦθ' ἡ διάνοια équivaut à οὔκουν διενοεῖτο ταῦτα λέγειν. Ce qu'il avait dit, au paragraphe 208, de la langue et de la bouche, l'orateur le varie ici, en l'appliquant à la pensée, au désir de prononcer certaines paroles.

9. Τὰ δίκαια, ce qui est juste. Ce complément de βουλομένου a pour apposition explicative l'infinitif δοῦναι.

10-11. Τοῖς λογισταῖς : cour composée de dix magistrats chargés d'examiner, de concert avec les dix εὔθυνοι et leurs vingt assesseurs, les comptes de quiconque avait rempli des fonctions publiques, et, s'il y avait lieu de le poursuivre en justice, de présider le jury. Voy. Schœmann, *Ant. J. p.*, p. 240. — Ἔχων μάρτυρας πολλούς. O. Gilbert, p. 63, demande de quoi pouvaient servir ces témoins, quand le point à établir, la reddition des comptes de la première ambassade, résultait de documents officiels. La question est embarrassante, et je ne sais qu'y répondre, si ce n'est peut-être que Démosthène se moque de l'inutile solennité qu'Eschine trouva bon de donner à cette démarche.

13. Τί οὖν ἦν τοῦτο; cf. § 166.

17. Περιίστατο, s'ensuivait par contre.

καλεῖν. Καίτοι τοῦτο τὸ ἔργον, ὦ ἄνδρες Ἀθηναῖοι, ἀμφότερ' ὑμῖν ἐπιδείκνυσι σαφῶς, καὶ κατεγνωκόθ' ἑαυτοῦ τοῦτον, ὥστε μηδενὶ νῦν ὑμῶν εὐσεβῶς ἔχειν ἀποψηφίσασθαι αὐτοῦ, καὶ μηδὲν ἀληθὲς ἐροῦντα περὶ ἐμοῦ· εἰ γὰρ εἶχεν, τότ' ἂν καὶ λέγων καὶ κατηγορῶν ἐξητάζετο, οὐ μὰ Δί' οὐκ ἀπηγόρευε <μὴ> καλεῖν.

[213] Ὡς τοίνυν ταῦτ' ἀληθῆ λέγω, κάλει μοι τούτων τοὺς μάρτυρας.

Ἀλλὰ μὴν ἄν γ' ἔξω τι τῆς πρεσβείας βλασφημῇ περὶ ἐμοῦ, κατὰ πόλλ' οὐκ ἂν εἰκότως ἀκούοιτ' αὐτοῦ. Οὐ γὰρ ἐγὼ κρίνομαι τήμερον, οὐδ' ἐγχεῖ μετὰ ταῦθ' ὕδωρ οὐδεὶς ἐμοί. Τί οὖν ἐστι ταῦτα πλὴν δικαίων λόγων ἀπορία; τίς γὰρ ἂν κατηγορεῖν ἕλοιτο κρινόμενος, ἔχων ὅ τι ἀπολογήσεται; [214] Ἔτι τοίνυν κἀκεῖνο σκοπεῖτ', ἄνδρες δικασταί. Εἰ ἐκρινόμην μὲν ἐγώ, κατηγόρει δ' Αἰσχίνης οὑτοσί, Φίλιππος δ' ἦν ὁ κρίνων, εἶτ' ἐγώ, μηδὲν ἔχων εἰπεῖν ὡς οὐκ ἀδικῶ, κακῶς ἔλεγον τουτονὶ καὶ προπηλακίζειν ἐπεχείρουν, οὐκ ἂν οἴεσθε καὶ κατ' αὐτὸ τοῦτ' ἀγανακτῆσαι τὸν Φίλιππον, εἰ παρ' ἐκείνῳ τοὺς ἐκείνου τις εὐεργέτας κακῶς λέγει; Μὴ τοίνυν ὑμεῖς χείρους γένησθε Φιλίππου, ἀλλ' ὑπὲρ ὧν ἀγωνίζεται, περὶ τούτων ἀναγκάζετε ἀπολογεῖσθαι. Λέγε τὴν μαρτυρίαν.

NC. 5. μὴ inséré par Cobet. Cf. § 211. — 7. Après μαρτυρας les mss portent le titre prématuré ΜΑΡΤΥΡΕΣ, avec raison omis par Feliciano. — 8. J'écris γ' ἔξω τι pour γέ τι ἔξω. — 10. Tournier, *Obs. cr.*, p. 57, propose μετὰ τοῦθ' (sous-ent. τὸ ὕδωρ). Cependant Démosthène ne dit pas « après que j'aurai fini ce plaidoyer », mais « après les deux plaidoiries, la mienne et celle d'Eschine ». — 13. ἄνδρες S et L seuls. ὦ ἄνδρες vulg. — 16. κατὰ ταὐτὸ τοῦτο S et L. — 18. λέγει S, L et vulg. λέγοι A et les éditeurs depuis Reiske. Cet optatif m'étonne. — γένησθαι S[1].

4-5. Εἶχεν : sous-ent. λέγειν δίκαιόν τι περὶ ἐμοῦ. — Ἐξητάζετο, on l'aurait vu. Cf. § 115.

8. Ἔξω τι τῆς πρεσβείας. Cf. p. 320, 12

10. Ἐγχεῖ. Futur attique. Comme accusateur, Démosthène n'avait pas le droit de répliquer. Cette cause n'était apparemment pas de celles dans lesquelles chacune des deux parties prenait deux fois la parole.

13-18. Εἰ ἐκρινόμην.... εἰ.... λέγει. Il y a une différence entre ces deux εἰ. Le premier est conditionnel, il introduit l'hypothèse dont la conséquence serait τὸν Φίλιππον ἂν ἀγανακτῆσαι. Le second εἰ, annoncé par κατ' αὐτὸ τοῦτο, équivaut à ὅτι, comme cela se voit souvent après les verbes ἀγανακτῶ, αἰσχύνομαι, θαυμάζω, etc. Ce dernier εἰ serait suivi, non de μή, mais de οὐ, si la phrase était négative, et il se construit tout aussi naturellement avec l'indicatif du présent. Voy. *NC*.

20-2. Λέγε τὴν μαρτυρίαν. Le greffier est invité à lire la déposition que les témoins, appelés au commencement du paragraphe 213, doivent confirmer. Pendant que le greffier cherche le document et

408 ## ΜΑΡΤΥΡΙΑ.

[215] Οὐκοῦν ἐγὼ μέν, ἐκ τοῦ μηδὲν ἐμαυτῷ συνειδέναι, καὶ λόγον διδόναι καὶ πάντα τὰκ τῶν νόμων ὑπέχειν ᾤμην δεῖν, οὗτος δὲ τἀναντία. Πῶς οὖν ταῦτ' ἐμοὶ καὶ τούτῳ πέπρακται; ἢ πῶς ἔνεστι τούτῳ ταῦτα πρὸς ὑμᾶς λέγειν, ἃ μηδ' ᾐτίαται πρότερον πώποτε; οὐδαμῶς δήπου. Ἀλλ' ὅμως ἐρεῖ, καὶ νὴ Δί' εἰκότως γε. Ἴστε γὰρ δήπου τοῦθ', ὅτι ἀφ' οὗ γεγόνασιν ἄνθρωποι καὶ κρίσεις γίγνονται, οὐδεὶς πώποθ' ὁμολογῶν ἀδικεῖν ἥλω, ἀλλ' ἀναισχυντοῦσιν, ἀρνοῦνται, ψεύδονται, προφάσεις πλάττονται, πάντα ποιοῦσιν ὑπὲρ τοῦ μὴ δοῦναι δίκην. [216] Ὧν οὐδενὶ δεῖ παρακρουσθῆναι τήμερον ὑμᾶς, ἀλλ' ἀφ' ὧν ἴστ' αὐτοὶ τὰ πράγματα κρῖναι, μὴ τοῖς ἐμοῖς λόγοις μηδὲ τοῖς τούτου προσέχειν, μηδέ γε τοῖς μάρτυσιν, οὓς οὗτος ἑτοίμους ἕξει μαρτυρεῖν ὁτιοῦν Φιλίππῳ χορηγῷ χρώμενος· ὄψεσθε δ' ὡς ἑτοίμως αὐτῷ μαρτυρήσουσιν· μηδέ γ' εἰ καλὸν καὶ μέγ' οὗτος φθέγξεται, μηδ' εἰ φαῦλον ἐγώ. [217] Οὐδὲ γὰρ ῥητόρων οὐδὲ λόγων κρίσιν ὑμᾶς τήμερον, εἴπερ εὖ φρο-

NC. 1. μαρτυριαι S seul. — 2. ἐγὼ μὲν L et vulg. ἐγὼ S. Ici l'antithèse est prévue, et μὲν ne saurait être omis. — συνειδέναι S et A. συνειδέναι δεινὸν vulg. — 4. οὑτοσὶ vulg. — ταυτά μοι S seul, et Vœmel. — 5. ητίαται S et A. ᾐτιᾶτο L et vulg. — 13. προσέχοντας Hirschig, *Philologus*, V, p. 332. — οἷς S. Vœmel propose : οἷς οὗτος ἑτοίμοις. — 16. φθέγγεται F. — οὐδὲ γὰρ S et L seuls. οὐ γὰρ vulg.

que les témoins arrivent, l'orateur fait une observation incidente. Mais la lecture de la déposition le ramène au fait en question, et la transition οὐκοῦν ἐγὼ.... est parfaitement à sa place, quoi qu'on en ait dit.

8-9. Οὐδεὶς.... ἥλω, si les prévenus sont convaincus d'un délit, ce n'est jamais par suite de leur propre aveu. Il y a ici une exagération qui ne choquera personne. Shilleto rappelle hors de propos une chose à laquelle Démosthène n'a certainement pas pensé, à savoir que l'aveu du coupable entraînait sa condamnation immédiate et rendait tout procès inutile.

11. Οὐδενί. Cf. la note sur p. 307, 5.

12. Μὴ τοῖς ἐμοῖς λόγοις. L'orateur dit : j'oppose des faits connus de vous tous, et non des paroles, à ce qu'Eschine dira et à ce qu'il fera dire à des témoins achetés. Il ne dit pas : Ne faites pas attention à mes paroles : interprétation qu'on a mise en avant récemment, en s'attachant au pied de la lettre, afin de pouvoir déclarer ce passage absurde.

14-15. Χορηγῷ. Cf. *Phil.* III, § 60. — Ὄψεσθε δ' ὡς ἑτοίμως.... μαρτυρήσουσιν. Cf. Cicéron, *Pro Flacco*, IV : « Videte « quo vultu, qua confidentia dicant : tum « intelligetis qua religione dicant. »

16-17. Οὐδὲ γὰρ ῥητόρων οὐδὲ λόγων κρίσιν. Cf. *Cour.*, § 226. Du reste, la tournure négative οὐδὲ γάρ répond à la tournure positive καὶ γάρ (Krüger, *Gr. Spr.*, § 69, 32, 21), comme en latin *neque enim* est l'analogue de *etenim*. Les deux οὐδέ ne sont pas, et ne peuvent être, corrélatifs.

νεῖτε, προσήκει ποιεῖν· ἀλλ' ὑπὲρ πραγμάτων αἰσχρῶς καὶ δεινῶς ἀπολωλότων τὴν ὑπάρχουσαν αἰσχύνην εἰς τοὺς αἰτίους ἀπώσασθε, τὰ πεπραγμένα, ἃ πάντες ἐπίστασθε, ἐξετάσαντες. Τί οὖν ἐστι ταῦθ' ἃ ὑμεῖς ἴστε καὶ οὐ παρ' ἡμῶν ὑμᾶς ἀκοῦσαι δεῖ; [218] Εἰ μὲν ἅπανθ' ὑπέσχονθ' ὑμῖν ὅσ' ἐκ τῆς εἰρήνης γέγονεν, καὶ τοσαύτης ἀνανδρίας καὶ κακίας ὑμεῖς ὁμολογεῖτ' εἶναι μεστοί, ὥστε μήτ' ἐν τῇ χώρᾳ τῶν πολεμίων ὄντων μήτ' ἐκ θαλάττης πολιορκούμενοι μήτ' ἐν ἄλλῳ μηδενὶ δεινῷ τῆς πόλεως οὔσης, ἀλλὰ καὶ σῖτον εὔωνον ὠνούμενοι 409
καὶ τἄλλ' οὐδὲν χεῖρον πράττοντες ἢ νῦν, [219] προειδότες καὶ προακηκοότες παρὰ τούτων καὶ τοὺς συμμάχους ἀπολουμένους καὶ Θηβαίους ἰσχυροὺς γενησομένους καὶ τἀπὶ Θρᾴκης Φίλιππον ληψόμενον καὶ ἐν Εὐβοίᾳ κατασκευασθησόμεν' ὁρμητήρια ἐφ' ὑμᾶς καὶ πάνθ' ἃ πέπρακται γενησόμενα, εἶτα τὴν εἰρήνην ἐποιήσασθ' ἀγαπητῶς, ἀποψηφίσασθ' Αἰσχίνου, καὶ μὴ πρὸς τοσούτοις αἰσχροῖς καὶ ἐπιορκίαν προσκτήσησθε· οὐδὲν γὰρ ὑμᾶς ἀδικεῖ, ἀλλ' ἐγὼ μαίνομαι καὶ τετύφωμαι νῦν κατηγορῶν αὐτοῦ. [220] Εἰ δὲ πάντα τἀναντία τούτων καὶ πολλὰ καὶ φιλάνθρωπ' εἰπόντες, Φίλιππον φιλεῖν τὴν πόλιν, Φωκέας σώσειν, Θηβαίους παύσειν τῆς ὕβρεως, ἔτι πρὸς τούτοις μεῖζον' ἢ κατ'

NC. 3. ἀπώσασθαι S, L, vulg. ἀπώσασθαι.... ἐξετάσαντας Bekker. — ἅπαντες, en un mot, S, L. — 4. τί texte de S. τίνα L, vulg. Herwerden a corrigé la ponctuation ταῦτα; ἃ ὑμεῖς. — 5. ει μὲν S, A. εἰ μὲν γὰρ L, vulg. — ἅπανθ' ὑπέσχονθ' ὑμῖν ὅσ' est notre correction, pour ἅπανθ' ὅσ' ὑπέσχονθ' (ὑπεσχεθ' vulg.) ὑμῖν. — 6. ἀνανδρείας S. — 6-7. ὁμολογεῖτε ὑμεῖς vulg. — 17. ἠδίκει Dobree. — 18. δ' ἅπαντα vulg. — 19. εἰπόντες Φίλιππον, φιλεῖν vulg. Cette ponctuation ne permettrait pas de donner à φιλάνθρωπα le sens que cet adjectif a évidemment ici. Nous avons donc suivi les éditeurs de Zürich. — σώζειν S.

2. Τὴν ὑπάρχουσαν αἰσχύνην. La honte existe, on ne saurait le nier : il faut la renvoyer à qui de droit.

12-14. Καὶ ἐν Εὐβοίᾳ.... ἐφ' ὑμᾶς. Cf. *Cherson.*, § 66, et *passim*.

15. Ἀγαπητῶς. Cf. § 200, avec la note.

17. Τετύφωμαι. Harpocration explique : ἐμβεβρόντημαι, ἔξω τῶν φρενῶν γέγονα, et il cite le vers d'Alcée (fr. 68 Bergk) : Πάμπαν δὲ τύφως ἔκ σ' ἕλετο φρένας. Cf. *Phil.* III, § 20; *Mid.*, § 116; *Cour.*, § 11.

18-19. Πολλὰ καὶ φιλάνθρωπ' εἰπόντες, ayant dit beaucoup de choses séduisantes, de choses qui plaisaient à leurs auditeurs. Φιλάνθρωπ(α) εἰπόντες Φίλιππον voudrait dire « ayant parlé en termes favorables de Philippe » : sens qui convient moins ici. Cf. *NC*.

20-1. Μεῖζον' ἢ κατ' Ἀμφίπολιν, plus qu'il n'en faut pour compenser la perte d'Amphipolis.

Ἀμφίπολιν εὖ ποιήσειν ὑμᾶς, ἐὰν τύχῃ τῆς εἰρήνης, Εὔβοιαν, Ὠρωπὸν ἀποδώσειν· εἰ ταῦτ' εἰπόντες καὶ ὑποσχόμενοι πάντ' ἐξηπατήκασι καὶ πεφενακίκασι καὶ μόνον οὐ τὴν Ἀττικὴν ὑμῶν περιῄρηνται, καταψηφίσασθε, καὶ μὴ πρὸς τοῖς ἄλλοις οἷς ὕβρισθε (οὐ γὰρ ἔγωγ' οἶδ' ὅ τι χρὴ λέγειν ἄλλο) καὶ ὑπὲρ ὧν οὗτοι δεδωροδοκήκασιν ὑμεῖς τὴν ἀρὰν καὶ τὴν ἐπιορκίαν οἴκαδ' εἰσενέγκησθε.

[221] Ἔτι τοίνυν κἀκεῖνο σκοπεῖτ', ὦ ἄνδρες δικασταί, τίνος εἵνεκ' ἐγὼ μηδὲν ἠδικηκότων τούτων κατηγορεῖν ἂν προειλόμην. Οὐ γὰρ εὑρήσετε. Ἡδὺ πολλοὺς ἐχθροὺς ἔχειν; οὐδέ γ' ἀσφαλές. Ἀλλ' ὑπῆρχέ μοι πρὸς τοῦτον ἀπέχθειά τις; οὐδεμία. Τί οὖν; « ἐφοβοῦ περὶ σαυτοῦ, καὶ διὰ δειλίαν ταύτην ἡγήσω σωτη- « ρίαν· » καὶ γὰρ ταῦτ' ἀκήκο' αὐτὸν λέγειν. Καίτοι μηδενός γ'
410 ὄντος, Αἰσχίνη, δεινοῦ μηδ' ἀδικήματος, ὡς σὺ φῄς. Εἰ γὰρ αὖ ταῦτ' ἐρεῖ, σκοπεῖτ', ἄνδρες δικασταί, εἰ ἐφ' οἷς ὁ μηδ' ὁτιοῦν ἀδικῶν ἐφοβούμην ἐγὼ μὴ διὰ τούτους ἀπόλωμαι, τί τούτους

NC. 1-2. Εὔβοιαν, Ὠρωπὸν ἀποδώσειν. Ces mots étaient suspects à Dobree. — 4. καταψηφισασθαι S[1]. — 7. εἰσενέγκησθε S et A. ἀπενέγκησθε L et vulg. — 9. ἕνεκ' L et vulg. — 10. εὑρήσεται S. — οὐδέ γ' S, A, L. οὐδ' αὖ vulg. — 13. καίτοι. Variante : καί τι, ou καὶ τί. S : καιτι, avec ο au-dessus de la ligne. — 14. αὖ. S : αν, pointé. — 15. ὦ ἄνδρες vulg. — εἰ ἐφ' οἷς. Seager et Dobree voulaient retrancher εἰ. G. H. Schæfer : εἰ ἐφ' οἷς μηδ' ὁτιοῦν ἀδικῶ. Nous pensons que deux variantes, également bonnes, εἰ et ἐφ' οἷς, se trouvent réunies dans le texte. — 16. μὴ διὰ τούτους ἀπόλωμαι. Ces mots sont nécessaires à l'antithèse et ne peuvent être retranchés, quoi qu'en dise Cobet.

12-14. Καὶ διὰ δειλίαν ταύτην ἡγήσω σωτηρίαν, et, par lâcheté, tu croyais te sauver ainsi, c'est-à-dire en accusant un collègue avec lequel tu avais agi de concert. — Après **μηδενός γ' ὄντος.... ἀδικήματος** (s'il n'y avait ni danger ni crime), il faut sous-entendre : **πῶς ἂν ἐφοβούμην περὶ ἐμοῦ;**

14-16. Εἰ γὰρ αὖ ταῦτ' ἐρεῖ, car si, au contraire, il affirme cela, c'est-à-dire s'il dit qu'il y a délit et danger. Tel est, suivant nous, le sens de ces mots. L'orateur fait un dilemme : si les ambassadeurs n'ont rien fait de répréhensible, aucune crainte de passer pour leur complice n'a pu m'engager à les accuser; s'ils ont trahi leur devoir, quel châtiment convient à leur crime, si, malgré mon innocence, je craignais d'être enveloppé dans leur ruine? — **Σκοπεῖτ(ε).... εἰ.... τί....** Si la leçon est bonne (cf. *NC*), il faut dire que l'orateur abandonne la construction annoncée par εἰ, et qui aurait pu se continuer par τούτους οὐ προσήκει τὰ ἔσχατα παθεῖν, afin de prendre la tournure plus vive : τί τούτους προσήκει παθεῖν. Shilleto rapproche à propos Lysias, *Meurtre d'Ératosthène*, § 40 : Ἐνθυμήθητε ὅτι, εἰ ἐν ἐκείνῃ τῇ νυκτὶ ἐγὼ ἐπεβούλευον Ἐρατοσθένει, πότερον ἦν μοι κρεῖττον.... Mais il n'aurait pas dû ajouter, comme parallèles, des exemples de deux interrogations réunies dans la même phrase. Ils ont aussi peu d'analogie avec le cas présent que les exemples, cités par Vœmel, de l'emploi tout à fait régulier d'un interrogatif après une

προσήκει παθεῖν τοὺς αὐτοὺς ἠδικηκότας; [222] Ἀλλ' οὐ διὰ ταῦτα. Ἀλλὰ διὰ τί σου κατηγορῶ; συκοφαντῶ νὴ Δί', ἵν' ἀργύριον λάβω παρὰ σοῦ. Καὶ πότερον κρεῖττον ἦν μοι παρὰ Φιλίππου λαβεῖν, τοῦ διδόντος, πολὺ καὶ μηδενὸς τούτων ἔλαττον, καὶ φίλον κἀκεῖνον ἔχειν καὶ τούτους (ἦσαν γὰρ ἄν, ἦσάν [μοι] φίλοι τῶν αὐτῶν κεκοινωνηκότι· οὐδὲ γὰρ νῦν ἔχθραν πατρικὴν ἔχουσι πρός με, ἀλλ' ὅτι τῶν πεπραγμένων οὐ μετέσχηκα), ἢ παρὰ τούτων ἀφ' ὧν εἰλήφασι μεταιτεῖν, κἀκείνῳ τ' ἐχθρὸν εἶναι καὶ τούτοις; καὶ τοὺς μὲν αἰχμαλώτους ἐκ τῶν ἰδίων τοσούτων χρημάτων λύεσθαι, μικρὰ δ' ἀξιοῦν παρὰ τούτων αἰσχρῶς μετ' ἔχθρας λαμβάνειν; [223] Οὐκ ἔστι ταῦτα, ἀλλ' ἀπήγγειλα μὲν τἀληθῆ καὶ ἀπεσχόμην τοῦ λαβεῖν τοῦ δικαίου καὶ τῆς ἀληθείας εἵνεκα καὶ τοῦ λοιποῦ βίου, νομίζων, ὥσπερ ἄλλοι τινὲς παρ' ὑμῖν, καὶ αὐτὸς ὢν ἐπιεικὴς τιμήσεσθαι, καὶ οὐκ ἀνταλλακτέον εἶναί μοι τὴν πρὸς ὑμᾶς φιλοτιμίαν οὐδενὸς κέρδους· μισῶ δὲ τούτους, ὅτι μοχθηροὺς καὶ θεοῖς ἐχθροὺς εἶδον ἐν τῇ πρεσβείᾳ, καὶ ἀπεστέρημαι καὶ τῶν ἰδίων φιλοτιμιῶν διὰ τὴν τούτων δωροδοκίαν πρὸς ὅλην δυσχερῶς ὑμῶν τὴν πρεσβείαν ἐσχηκότων· κατηγορῶ δὲ νυνὶ καὶ ἐπὶ τὰς εὐθύνας ἥκω τὸ μέλλον προορώμενος, καὶ βουλόμενος ἀγῶνι καὶ δικαστηρίῳ μοι διωρίσθαι παρ' ὑμῖν ὅτι τἀναντί' ἐμοὶ καὶ

NC. 2. [διὰ]? — νιδια (pour νὴ Δία) S¹. — 5-6. φίλοι A. μοι φίλοι S, L. φίλοι μοι vulg. — 7. πρὸς ἐμὲ L et vulg. — 10. Variante : λύσασθαι. — 13. ἕνεκα vulg. — 14. τιμηθήσεσθαι manuscrits. τιμηθήσεσθαι καὶ πλέον ἕξειν τῶν πολλῶν κατὰ τοῦτο A : interpolation tirée du paragraphe 100, où on lit τιμήσεται.

conjonction, tel que ἐπειδάν τί γένηται (*Phil.* I, § 10).

2-3. Ἵν' ἀργύριον λάβω παρὰ σοῦ, pour te tirer de l'argent. Les sycophantes faisaient souvent du chantage. Cf. *Contre Théocr.*, § 12 et *passim*.

4. Τοῦ διδόντος, qui en offrait (cf. § 166; *Symm.*, § 26, avec la note), à qui on n'avait pas besoin d'en demander. Ces mots ont pour antithèse μεταιτεῖν. — Πολὺ.... ἔλαττον. Ces mots dépendent, non de διδόντος, mais de λαβεῖν : G. H. Schæfer l'a fait observer avec raison. L'orateur dit qu'il aurait pu avoir de Philippe autant d'argent que le plus favorisé de ses collègues de l'ambassade.

10. Τοσούτων χρημάτων : génitif du prix. Il ne faut pas rattacher ces mots à ἐκ τῶν ἰδίων.

17-18. Ἀπεστέρημαι καὶ τῶν ἰδίων φιλοτιμιῶν. Cf. § 31, où l'on voit quelques-unes des marques de la reconnaissance publique, objets de l'ambition (φιλοτιμίαι) d'un ambassadeur.

19-1. Ἐπὶ τὰς εὐθύνας ἥκω. Cette locution s'applique à l'accusateur dans ces sortes de procès : on le voit au paragraphe 2. — Βουλόμενος.... πέπρακται. Cf. § 188.

τούτοις πέπρακται. [224] Καὶ δέδοικα, δέδοικα (εἰρήσεται γὰρ
411 πάνθ' ἃ φρονῶ πρὸς ὑμᾶς) μὴ τότε μὲν συνεπισπάσησθέ με τὸν μηδ' ὁτιοῦν ἀδικοῦντα, νῦν δ' ἀναπεπτωκότες ἦτε. Παντάπασι γάρ, ἄνδρες Ἀθηναῖοι, ἐκλελύσθαι μοι δοκεῖτε καὶ παθεῖν ἀναμένειν τὰ δεινά, ἑτέρους [δὲ] πάσχοντας ὁρῶντες, οὐ φυλάττεσθαι, οὐδὲ φροντίζειν τῆς πόλεως πάλαι κατὰ πολλοὺς καὶ δεινοὺς τρόπους διαφθειρομένης. [225] Οὐκ οἴεσθε δεινὸν εἶναι καὶ ὑπερφυές; (καὶ γὰρ εἴ τι σιωπᾶν ἐγνώκειν, λέγειν ἐξάγομαι.) Ἴστε δήπου Πυθοκλέα τουτονὶ τὸν Πυθοδώρου. Τούτῳ πάνυ φιλανθρώπως ἐκεχρήμην ἐγώ, καὶ ἀηδὲς ἐμοὶ καὶ τούτῳ γέγονεν εἰς τὴν ἡμέραν ταύτην οὐδέν. Οὗτος ἐκτρέπεταί με νῦν ἁπαντῶν, ἀφ' οὗ πρὸς Φίλιππον ἀφῖκται, κἂν ἀναγκασθῇ που συντυχεῖν, ἀπεπήδησεν εὐθέως, μή τις αὐτὸν ἴδῃ λαλοῦντ' ἐμοί· μετὰ δ' Αἰσχίνου περιέρχεται τὴν ἀγορὰν κύκλῳ καὶ βουλεύεται. [226] Οὐκοῦν δεινόν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ σχέτλιον τοῖς μὲν τὰ Φιλίππου πράγμαθ' ᾑρημένοις θεραπεύειν οὕτως ἀκριβῆ τὴν παρ' ἐκείνου πρὸς ἑκατέρ' αἴσθησιν ὑπάρ-

NC. 2. μὲν τούτοις L et vulg. — ἐμὲ S seul. — 3. ἀναπεπτωκότες καθῆσθε Hermogène, p. 236. — 4. ὦ ἄνδρες vulg. — 5. J'écarte δὲ. La leçon ἑτέρους δὲ πάσχοντας ὁρῶντες οὐ φυλάττεσθαι donnait une antithèse d'une tournure lourde, peu oratoire, et dans laquelle la conjonction δέ me choque particulièrement. — 6. Variante : φυλάττεσθε et φροντίζετε. — 7. διαφθειρομένης. Variantes : διεφθαρμένης et ἀδικουμένης. — 8. λέγειν S et A. νῦν λέγειν L et vulg. — 14. Cobet, *Var. Lect.*, p. 540, demande κατὰ τὴν ἀγοράν. Voy. la note explicative. — 14-15. καὶ βουλεύεται S[1] seul. καὶ σκοπεῖ καὶ βουλεύεται S[2] et L. καὶ βουλεύεται καὶ σκοπεῖ vulg.

1-3. Δέδοικα. Voy. les craintes exprimées dans *Phil.* II, au paragraphe 34. — Τότε, c'est-à-dire ὅταν τὸ μέλλον, ὃ προορῶμαι, γένηται, τοῦτ' ἔστιν, ὅταν πάθητε τὰ δεινά. [G. H. Schæfer.] — Ἀναπεπτωκότες Scholiaste : Οἷον ὕπτιοι (*supini*) καὶ νυστάζοντες, ἀλλ' οὐκ ὀρθοὶ καὶ νήφοντες.

4-5. Ἐκλελύσθαι. Cf. ἐκνενευρισμένοι, *Olynth.* III, § 31. — Παθεῖν est gouverné par ἀναμένειν. — Ἑτέρους πάσχοντας ὁρῶντες, lorsque d'autres les éprouvent sous vos yeux. Cf. *Phil.* III, § 29; *Cour.*, § 45.

7-8. Δεινὸν.... καὶ ὑπερφυές; Ces mots s'appliquent à l'état général des esprits, dont l'exemple qui suit est un symptôme, au fond assez futile, mais habilement mis en en œuvre par l'orateur. Voy. le commencement du paragraphe 226.

9. Πυθοκλέα. Cf. § 314; *Cour.*, § 285; Plutarque, *Phocion*, 35.

13. Ἀπεπήδησεν εὐθέως, il s'est sauvé aussitôt, il a vite fait de se sauver. Le présent ἀποπηδᾷ serait moins joli.

14. Περιέρχεται τὴν ἀγορὰν κύκλῳ, « il fait le tour du marché », diffère quelque peu de περιέρχεται κατὰ τὴν ἀγοράν, « il se promène sur le marché ». Cf. *Cour.*, § 151 : Περιελθεῖν τὴν χώραν.

16-17. Τοῖς.... ᾑρημένοις.... οὕτως ἀκριβῆ τὴν παρ' ἐκείνου πρὸς ἑκάτερα αἴσθησιν ὑπάρχειν, que les partisans de Philippe rencontrent de sa part (chez lui)

χειν, ὥσθ' ἕκαστον, ὥσπερ ἂν παρεστηκότος αὐτοῦ, μηδ' ὧν ἂν ἐνθαδὶ πράξῃ μηδὲν ἡγεῖσθαι λήσειν, ἀλλὰ φίλους τε νομίζειν οὓς ἂν ἐκείνῳ δοκῇ καὶ μὴ φίλους ὡσαύτως, τοῖς δὲ πρὸς ὑμᾶς ζῶσι καὶ τῆς παρ' ὑμῶν τιμῆς γλιχομένοις καὶ μὴ προδεδωκόσι ταύτην τοσαύτην κωφότητα καὶ τοσοῦτο σκότος παρ' ὑμῶν ἀπαντᾶν, ὥστε τοῖς ἀλιτηρίοις τούτοις ἐξ ἴσου νῦν ἔμ' ἀγωνίζεσθαι, καὶ ταῦτα παρ' ὑμῖν τοῖς ἅπαντ' εἰδόσιν. [227] Βούλεσθ' οὖν εἰδέναι καὶ ἀκοῦσαι τὸ τούτων αἴτιον; ἐγὼ δὴ φράσω, ἀξιῶ δὲ μηδέν' ἄχθεσθαί μοι λέγοντι τἀληθῆ. Ὅτι ἐκεῖνος μὲν 412 ἕν, οἶμαι, σῶμ' ἔχων καὶ ψυχὴν μίαν παντὶ θυμῷ καὶ φιλεῖ τοὺς ἑαυτὸν εὖ ποιοῦντας καὶ μισεῖ τοὺς τἀναντία, ὑμῶν δ' ἕκαστος πρῶτον μὲν οὔτε τὸν εὖ ποιοῦντα τὴν πόλιν αὑτὸν εὖ ποιεῖν ἡγεῖται οὔτε τὸν κακῶς <κακῶς>, [228] .... ἀλλ' ἕτερ' ἐστὶν ἑκάστῳ προυργιαίτερα, ὑφ' ὧν παράγεσθε πολλάκις, ἔλεος, φθόνος, ὀργή, χαρίσασθαι τῷ δεηθέντι, ἄλλα

NC. 1. ὥσπερ ἂν S et L. ὥσπερ ἂν εἰ vulg. — 2. ἐνθαδὶ S et L seuls. ἐνθάδε vulg. — 4. ζῶσιν S. — 6. ἀλητηρίοις S et L. — 9. μηδεν S. μηδέν' A. μηδὲν L et vulg. — 12. πρῶτον μὲν. Ces deux mots sont omis dans F, et par Bekker. — 13. Le second κακῶς a été ajouté par Morel. Mais nous pensons que la lacune est plus considérable. Les mots πρῶτον μὲν ne sont, dans notre texte, suivis d'aucun *secundo*; et, plus bas, la phrase ἂν γὰρ ἅπαντα.... ἐκφεύξεται est d'une obscurité telle, qu'il faut deviner ce que l'orateur a voulu dire. Pour remédier à ces deux inconvénients, nous avons marqué ici une lacune. On peut suppléer quelque chose comme : εἶτ' οὐ προσέχετε τῷ τὰ βέλτιστα λέγοντι. De cette façon, on voit aussi pourquoi l'orateur a répété ἑκάστῳ, au lieu d'écrire αὐτῷ.

un discernement si exact de l'un et de l'autre (de leur zèle et de leur indifférence pour ses intérêts). Τοῖς ᾑρημένοις ὑπάρχειν équivaut à τοῖς ᾑρημένοις ἀπαντᾶν, terme dont l'orateur s'est servi dans l'antithèse.

3. Πρὸς ὑμᾶς ζῶσι, à ceux qui agissent toujours en ayant les yeux sur vous, qui ont pour règle de conduite votre approbation et vos intérêts. Cf. Aristote, *Rhétorique*, II, 13 : Πρὸς τὸ συμφέρον ζῶσιν, ἀλλ' οὐ πρὸς τὸ καλόν.

6. Après ταύτην il y a un repos de voix. — Σκότος. Cf. Sophocle, *Aj.*, 84 : Σκοτώσω βλέφαρα καὶ δεδορκότα. Fr. de comédie (Papyrus Weil, p. 26) : Τοιοῦτον ἦν τί μου πάλαι σκότος | περὶ τὴν διάνοιαν.

6-7. Τοῖς ἀλιτηρίοις.... ἀγωνίζεσθαι. Manière de parler hyperbolique. Démosthène oublie que, dans ce procès, Eschine a bien plus à perdre que lui; il s'indigne que les juges écoutent la défense avec autant de faveur que l'accusation.

12-15. Πρῶτον μέν.... Où est le « ensuite » qui réponde à ce « d'abord »? La première cause est évidemment, que les juges ne sont pas assez convaincus que le bien général est le bien de chacun; la seconde est, suivant nous, qu'ils se laissent dominer par toutes sortes de passions. Au commencement du paragraphe 228, il manque quelques mots qui pouvaient avoir ce sens : « En second lieu, vous n'écoutez pas ce que vous dit un accusateur intègre, tout dévoué à l'intérêt public », mais..., ἀλλ' ἕτερ' ἐστὶν.... Cf. NC.

μυρία· ἂν γὰρ ἅπαντά τις ἐκφύγῃ, ἀλλὰ τούς γ' οὐδένα βουλομένους εἶναι τοιοῦτον οὐ διαφεύξεται. Ἡ δ' ἐφ' ἑκάστου τούτων ἁμαρτία κατὰ μικρὸν ὑπορρέουσα ἀθρόος τῇ πόλει βλάβη γίγνεται.

[229] Ὧν μηδὲν, ὦ ἄνδρες Ἀθηναῖοι, πάθητε τήμερον μηδ' ἀφῆτε τοῦτον ὃς ὑμᾶς τηλικαῦτ' ἠδίκηκεν. Καὶ γὰρ ὡς ἀληθῶς τίς ἔσται λόγος περὶ ὑμῶν, εἰ τοῦτον ἀφήσετε; Ἀθήνηθεν ἐπρέσβευσάν τινες ὡς Φίλιππον· τούτων ἦν Φιλοκράτης, Αἰσχίνης, Φρύνων, Δημοσθένης. Τί οὖν; ὁ μὲν πρὸς τῷ μηδὲν ἐκ τῆς πρεσβείας λαβεῖν τοὺς αἰχμαλώτους ἐκ τῶν ἰδίων ἐλύσατο· ὁ δ' ὧν τὰ τῆς πόλεως πράγματα χρημάτων ἀπέδοτο, τούτων πόρνας ἠγόραζε καὶ ἰχθῦς περιιών. [230] Καὶ ὁ μὲν τὸν υἱὸν ἔπεμψε Φιλίππῳ, πρὶν εἰς ἄνδρας ἐγγράψαι, ὁ μιαρὸς Φρύνων· ὁ δ' οὐδὲν ἀνάξιον οὔτε τῆς πόλεως οὔθ' αὑτοῦ διεπράξατο. Καὶ ὁ μὲν χορηγῶν καὶ τριηραρχῶν ἔτι καὶ ταῦτ' ᾤετο δεῖν ἐθελοντὴς ἀναλίσκειν, [λύεσθαι,] μηδέν' ἐν συμφορᾷ τῶν πολιτῶν

NC. 1. ἂν γὰρ manuscrits. ἂν δ' ἄρ' G. H. Schæfer et Dobree. ἂν δ' Vœmel. Il nous semble peu logique de faire commencer ici le second point. — ἐκφύγῃ, ἀλλὰ τούς Cobet. ἐκφύγῃ τἄλλα, τούς manuscrits. — 3. αθρόος S et L. ἀθρόως, ou ἀθρόως vulg. — 6. Les manuscrits flottent ici entre ἀνῆτε (S) et ἀφῆτε; mais, à la ligne suivante, ils portent ἀφησετε. — 8. J'écris τούτων ἦν pour τουτονί. — 16. λύεσθαι S et texte de F. λύεσθαι τοὺς αἰχμαλώτους L et vulg. Cobet y a reconnu des gloses.

1-2. Ἂν γάρ.... διαφεύξεται. Les mots τις et τοιοῦτον, profondément obscurs dans l'état actuel du texte, s'expliquent si on adopte notre supplément. « Si l'on (si le citoyen intègre et patriotique) échappe à tous les obstacles qui vous empêchent de l'écouter, il n'échappera pas aux mauvais sentiments (il ne triomphera pas des mauvais sentiments) de ceux qui ne veulent pas qu'il y ait un tel citoyen (qui s'offusquent d'une vertu aussi désintéressée). »

9. Τί οὖν; Faut-il croire que cette question (ainsi que, au paragraphe 234, τί οὖν μετὰ ταῦτα; τί δέ; et τὸν δὲ κατηγοροῦντα τί;) appartient à un autre interlocuteur? Cela n'est guère admissible pour τί δέ; et les autres questions peuvent aussi être attribuées au narrateur. Démosthène prête au personnage qu'il met en scène les tournures vives du langage le plus familier.

10-12 Ὁ δέ. C'est Philocrate. On cite à l'appui Plutarque, *De fortuna*, au commencement; *Symposiac.*, IV, 4; Athénée, VIII, p. 343 E. — Περιιών, de tous les côtés, en explorant tous les lieux où l'on peut se procurer ces denrées. Ici Démosthène flétrit les mœurs de Philocrate; au paragraphe 309, il flétrit un de ses actes. Les observations d'O. Gilbert sont hypercritiques.

12-14. Καὶ ὁ μέν.... Contrairement à ce qui précède, l'ambassadeur indigne est ici nommé en premier lieu, et ὁ δ(έ) se rapporte à Démosthène. Plus loin, l'ordre changera encore une fois. Grâce à cette disposition, les antithèses, au lieu d'être parallèles, s'enlacent et portent en arrière comme en avant. — Πρὶν εἰς ἄνδρας ἐγγράψαι. Scholiaste : Τὴν ὑποψίαν αἰσχρὰν ποιεῖ ἡ ἡλικία.

15. Plusieurs éditeurs mettent une virgule après δεῖν. Mais les mots ταῦτ' ἀναλίσκειν se réfèrent à l. 10 et sont opposés à χορηγῶν καὶ τριηραρχῶν.

δι' ἔνδειαν περιορᾶν· ὁ δὲ τοσούτου δεῖ τῶν ὑπαρχόντων τιν' 413 αἰχμάλωτον σῶσαι, ὥσθ' ὅλον τόπον καὶ πλεῖν ἢ μυρίους μὲν ὁπλίτας, ὁμοῦ δὲ χιλίους ἱππέας τῶν ὑπαρχόντων συμμάχων ὅπως αἰχμάλωτοι γένωνται Φιλίππῳ, συμπαρεσκεύασεν. [231] Τί οὖν μετὰ ταῦτα; Ἀθηναῖοι λαβόντες, ᾔδεσαν μὲν γὰρ πάλαι· τί δέ; τοὺς μὲν χρήματ' εἰληφότας καὶ δῶρα, καὶ καταισχύναντας ἑαυτούς, τὴν πόλιν, τοὺς ἑαυτῶν παῖδας, ἀφεῖσαν καὶ νοῦν ἔχειν ἡγοῦντο καὶ τὴν πόλιν εὐθενεῖσθαι· τὸν δὲ κατη-

NC. 2. πλεῖν S seul. πλέον A. πλείους L et vulg. — 3. ὑπαρχόντων. Dobree était choqué de voir ce mot revenir ici. — 6. τί δέ; Variantes : τί δή; et τί δαί; — 7. ἀφεῖσαν S et A. ἀφίεσαν L et vulg. — εὐθενεῖσθαι (variantes : εὐθηνεῖσθαι, εὐθυνεῖσθαι) est altéré. Faut-il écrire εὖ σταθμᾶσθαι? εὖ συννοῆσαι?

1-4. Τῶν ὑπαρχόντων τιν' αἰχμάλωτον. Les captifs déjà tombés en esclavage, et délivrés par Démosthène, sont opposés aux alliés encore libres et debout (τῶν ὑπαρχόντων συμμάχων), qu'Eschine fit tomber au pouvoir de Philippe. [Shilleto.] — Ὅλον τόπον, tout un pays (la Phocide). Cf. *Phil.* I, § 4; Eschyle, *Perses*, 790 : Εἰ μὴ στρατεύοισθ' ἐς τὸν Ἑλλήνων τόπον. — Πλεῖν.... ἱππέας, plus de dix mille hoplites et presque (ὁμοῦ) mille cavaliers. Il y a ici une difficulté. D'après Diodore, XVI, 59, Phalécos n'avait en tout que huit mille mercenaires; et ce corps ne fut pas fait prisonnier, mais eut une capitulation honorable. O. Gilbert pense que l'interpolateur auquel il attribue ce morceau s'est maladroitement servi du paragraphe 266, où il est dit des Olynthiens : Χιλίους μὲν ἱππέας κεκτημένοι, πλείους δ' ὄντες ἢ μύριοι. Le rapprochement est frappant. Toutefois, on ne doit en conclure, ce me semble, qu'une chose que l'on savait déjà : c'est que les orateurs aiment les chiffres ronds et ne se piquent pas d'une grande exactitude. A. Schæfer, II, p. 174, 1, croit qu'il y avait, à côté des mercenaires de Phalécos, quelques milliers de milice phocidienne qui furent faits prisonniers, mais que l'orateur comprend les uns et les autres dans son total de onze mille hommes. On peut aussi penser aux citoyens des villes béotiennes réduits en esclavage par les Thébains, sinon par Philippe lui-même (cf. §§ 142 et 325). Quoi qu'il en soit, la locution ὅπως αἰχμάλωτοι γένωνται, amenée par l'antithèse, est très-hyperbolique et ne peut s'entendre au propre que d'une petite partie de ces onze mille hommes.

5-6. Ἀθηναῖοι λαβόντες.... πάλαι, les Athéniens ayant mis la main sur eux (je ne dis pas, ayant découvert leur crime) : car ils savaient la chose depuis longtemps. — Τί δέ; eh bien. Le narrateur s'arrête un instant, comme on fait, lorsqu'on est sur le point de dire quelque chose d'étrange et d'inattendu.

6-8. Τοὺς μὲν.... ἀφεῖσαν. Par le fait, Eschine seul sera acquitté ou condamné en ce jour. L'orateur se sert du pluriel, fidèle à sa tactique habituelle de confondre la cause d'Eschine avec celle de ses collègues les plus compromis. Cependant cette confusion serait fort singulière, si Philocrate, qui semble compris dans le pluriel τοὺς μέν, régime de ἀφεῖσαν, avait déjà été condamné. Admettons que Démosthène écrivit son plaidoyer avant le jugement de Philocrate. Cf. § 206. — Νοῦν ἔχειν ἡγοῦντο. Cf. *Phil.* III, § 39 : Ζῆλος, εἴ τις εἴληφέ τι, γέλως ἂν ὁμολογῇ. — Καὶ τὴν πόλιν εὐθενεῖσθαι, et que la ville prospérait. Mais il ne s'agit pas de cela, et le changement du sujet est très-choquant. Il faudrait quelque chose qui fît antithèse à τὴν πόλιν ἀγνοεῖν. Voy. NC.

8-2. Τὸν δὲ κατηγοροῦντα τί; sous-entendez ἡγοῦντο. — Τὴν πόλιν ἀγνοεῖν, qu'il ne connaissait pas ses concitoyens, qu'il ignorait leurs sentiments et la manière de s'y prendre afin de passer à leurs yeux pour un habile homme.... L'explication de G. H. Schæfer « ignorare quam prosperæ

γοροῦντα τί; ἐμβεβροντῆσθαι, τὴν πόλιν ἀγνοεῖν, οὐκ ἔχειν ὅποι τὰ ἑαυτοῦ ῥίπτῃ. [232] Καὶ τίς, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτ' ἰδὼν τὸ παράδειγμα δίκαιον αὑτὸν παρασχεῖν ἐθελήσει; τίς προῖκα πρεσβεύειν, εἰ μήτε λαβεῖν μήτε τῶν εἰληφότων ἀξιοπιστότερον παρ' ὑμῖν εἶναι δοκεῖν ὑπάρξει; Οὐ μόνον κρίνετε τούτους τήμερον, οὔ, ἀλλὰ καὶ νόμον τίθεσθ' εἰς ἅπαντα τὸν μετὰ ταῦτα χρόνον, πότερον χρημάτων αἰσχρῶς ὑπὲρ τῶν ἐχθρῶν πρεσβεύειν ἅπαντας προσήκει ἢ προῖχ' ὑπὲρ ὑμῶν τὰ βέλτιστ' ἀδωροδοχήτως. [233] Ἀλλὰ μὴν περὶ μὲν τῶν ἄλλων οὐδενὸς προσδεῖσθε μάρτυρος· ὡς δὲ τὸν υἱὸν ἔπεμψεν ὁ Φρύνων, κάλει μοι τούτων τοὺς μάρτυρας.

Τοῦτον μὲν τοίνυν οὐκ ἔκρινεν Αἰσχίνης, ὅτι τὸν αὑτοῦ παῖδ' ἐπ' αἰσχύνῃ πρὸς Φίλιππον ἔπεμψεν. Εἰ δέ τις ὢν ἐφ' ἡλικίας ἑτέρου βελτίων τὴν ἰδέαν, μὴ προϊδόμενος τὴν ἐξ ἐκείνης τῆς ὄψεως ὑποψίαν, ἰταμώτερον τῷ μετὰ ταῦτ' ἐχρήσατο βίῳ,
414 τοῦτον ὡς πεπορνευμένον κέκρικεν.

NC. 5. οὐ μόνον S et A. ὥστε οὐ μόνον vulg. ὥστε au-dessus de la ligne L.—6. νόμον τούτοις τίθεσθε vulg. — 8. ἅπαντας. L seul : ἅπαντα. — 9. Cobet veut retrancher ἀδωροδοχήτως. — μὲν omis dans S seul. — 11. τούτου Herwerden. — μάρτυρας. Ici, comme au § 213, les mss portent prématurément Μάρτυρες. Sauppe l'a supprimé. — 12-16. Τοῦτον μὲν.... κέκρικεν. Ces lignes seraient mieux placées à la fin du paragraphe 236, après les dépositions relatives à Phrynon. [Nitsche, *De trajiciendis partibus in Demosthenis orationibus*, p. 15.] — 14. τὴν ἰδέαν ἑτέρου βελτίων vulg. — [τῆς ὄψεως] Herwerden.

« sint res civitatis » fait violence aux mots et donne un sens peu satisfaisant. — Οὐκ ἔχειν ὅποι τὰ ἑαυτοῦ ῥίπτῃ, qu'il ne savait où jeter son argent. Dépenser son bien à racheter des prisonniers passe pour une simplicité. Cf. § 343.

4-5. Εἰ μήτε λαβεῖν μήτε.... ὑπάρξει, s'il doit en résulter pour lui de n'avoir rien reçu (de rester pauvre), et, tout à la fois, de ne pas jouir près de vous de plus de confiance que ceux qui se sont enrichis. Les négations se rapportent aux infinitifs, et ὑπάρξει équivaut à περιέσται. S'il faut en juger par les traductions latines, les éditeurs n'ont pas compris ce passage.

9. Τὰ βέλτιστ(α) est opposé à αἰσχρῶς. A la fin de la phrase ἀδωροδοχήτως est ajouté pour remplir l'oreille.

11. Τοὺς μάρτυρας. Démosthène fait déposer des témoins sur un fait qui ne regarde pas Eschine et qui est étranger au procès. Otto Gilbert relève cette irrégularité avec beaucoup de justesse; mais il s'en sert à tort pour contester l'authenticité de ce morceau Démosthène veut faire rejaillir sur l'accusé ce qu'il y avait d'odieux dans la conduite d'un homme qu'il représente comme son compagnon et son complice; il est trop heureux de pouvoir citer des témoins dans un procès où ils lui font défaut, et les présidents du tribunal, qui ne sont pas des hommes de loi, ne s'aperçoivent pas de l'irrégularité, et laissent faire.

15. Ἰταμώτερον τῷ μετὰ ταῦτα ἐχρήσατο βίῳ. Scholiaste : Δαιμονίως ἀπολογεῖται ὑπὲρ Τιμάρχου, ἔλαττον αὐτῷ κακὸν μαρτυρήσας, καὶ διὰ τούτου τοῦ μείζονος καὶ χαλεπωτέρου μᾶλλον ἀπαλλάξας ἐγκλήματος.... Ἐν ταῖς ὑπὲρ τῶν φαυλοτάτων ἀπολογίαις ἀφεῖναι δεῖ τι

[234] Φέρε δὴ περὶ τῆς ἑστιάσεως καὶ τοῦ ψηφίσματος εἴπω· μικροῦ γ', ἃ μάλιστά μ' ἔδει πρὸς ὑμᾶς εἰπεῖν, παρῆλθον. Τῆς πρώτης ἐκείνης πρεσβείας γράφων τὸ προβούλευμ' ἐγὼ καὶ πάλιν ἐν τῷ δήμῳ ταῖς ἐκκλησίαις ἐν αἷς ἐμέλλετε βουλεύεσθαι περὶ τῆς εἰρήνης, οὐδενὸς οὔτε λόγου πω παρὰ τούτων οὔτ' ἀδικήματος ὄντος φανεροῦ, τὸ νόμιμον [ἔθος] ποιῶν, καὶ ἐπῄνεσα τούτους καὶ εἰς πρυτανεῖον ἐκάλεσα. [235] Καὶ νὴ Δί' ἔγωγε καὶ τοὺς παρὰ τοῦ Φιλίππου πρέσβεις ἐξένισα, καὶ πάνυ γ', ὦ ἄνδρες Ἀθηναῖοι, λαμπρῶς· ἐπειδὴ γὰρ ἑώρων αὐτοὺς καὶ ἐπὶ τοῖς τοιούτοις ἐκεῖ σεμνυνομένους ὡς εὐδαίμονας καὶ λαμπρούς, εὐθὺς ἡγούμην ἐν τούτοις πρῶτον [αὐτὸς] περιεῖναι δεῖν αὐτῶν καὶ μεγαλοψυχότερος φαίνεσθαι. Ταῦτα δὴ παρέξεται νῦν οὗτος λέγων ὡς « αὐτὸς ἐπῄνεσεν ἡμᾶς καὶ αὐτὸς εἱστία τοὺς πρέσβεις », τὸ πότε οὐ διορίζων. [236] Ἔστιν δὲ ταῦτα πρὸ τοῦ τὴν πόλιν ἠδικῆσθαί τι καὶ φανεροὺς τούτους πεπραχότας αὐτοὺς γενέσθαι, ὅτ' ἄρτι μὲν ἧκον οἱ πρέσβεις τὸ πρῶτον, ἔδει δ' ἀκοῦσαι τὸν δῆμον τί λέγουσιν,

NC. 2-3. Var. παρῆλθεν. — 4. ἐν ταῖς ἐκκλησίαις A. Peut-être < πρὶν γενέσθαι > τὰς ἐκκλησίας. Quant aux inconvénients du texte, cf. Hartel, *Demosth. Studien*, II, p. 26. — 5. βουλεύσεσθε S. — 6. τὸ νόμιμον S. Variantes : τὸ κοινόν, τὸ κοινὸν νόμιμον, τὸν νόμον. — ἔθος est la glose de τὸ νόμιμον. On ne dit pas τὸ ἔθος ποιεῖν. Dobree : τὸ τοῦ νομίμου ἔθους. — 10. καὶ est omis dans A. — 11. πρῶτος vulg. — 12. αὐτὸς est omis dans A. — 14. ιστία S. — Variante : προσδιορίζων.

μικρὸν καὶ δέξασθαι δι' οὗ τὸ μεῖζον ἀπωσόμεθα.

1. Τῆς ἑστιάσεως, le banquet (offert aux ambassadeurs de Philippe). Ces mots ne désignent pas le repas au Prytanée, lequel est compris dans le décret (ψήφισμα) voté en l'honneur des ambassadeurs athéniens. D'après l'habitude des anciens, l'orateur exposera d'abord ce qu'il a mentionné en dernier lieu.

3. Γράφων. Dans le sénat.

4. Ταῖς ἐκκλησίαις. Cf. *NC*.

5-6. Οὔτε λόγου.... οὔτ' ἀδικήματος, ni discours (coupable) ni action coupable.

6. Τὸ νόμιμον, ce qui est consacré par l'usage. Cf. § 31.

8-9. Καὶ.... λαμπρῶς, mais oui, j'ai fêté les ambassadeurs de Philippe, et encore très-magnifiquement. Démosthène semble se référer à ce qu'Eschine raconte si malicieusement au paragraphe 111 de sa défense.

11. Εὐθὺς.... ἐν τούτοις πρῶτον, tout d'abord en ces choses. Ensuite, cela s'entend sans qu'on le dise, il est des choses plus importantes dans lesquelles on tâche de l'emporter sur ces Barbares vernis.

13-14. Παρέξεται, il alléguera, il avancera. Cf. παρασχέσθω, § 32. — Τὸ πότε οὐ διορίζων : Eschine rappelle ces faits à leur place et dans l'ordre des temps aux paragraphes 45-46, 53-55. Mais, au paragraphe 121, il brouille les faits et les temps, de manière à induire ses auditeurs en erreur. Toute la sagacité de Démosthène n'eût pas suffi pour prévoir cette rouerie. Spengel, qui a fait cette observation, en tire la conclusion très-plausible que les paragraphes 234-236 ont été ajoutés après coup par l'orateur.

οὐδέπω δὲ οὔθ' οὗτος συνερῶν δῆλος ἦν τῷ Φιλοκράτει οὔτ' ἐκεῖνος τοιαῦτα γράφων. Ἂν δὴ ταῦτα λέγῃ, μέμνησθε τοὺς χρόνους ὅτι τῶν ἀδικημάτων εἰσὶ πρότεροι. Μετὰ ταῦτα δ' οὐδὲν ἐμοὶ πρὸς τούτους οἰκεῖον οὐδὲ κοινὸν γέγονεν. Λέγε τὴν μαρτυρίαν.

ΜΑΡΤΥΡΙΑ.

[237] Ἴσως τοίνυν ἀδελφὸς αὐτῷ συνερεῖ Φιλοχάρης καὶ
415 Ἀφόβητος· πρὸς οὓς ἀμφοτέρους ὑμῖν πολλὰ καὶ δίκαι' ἔστιν εἰπεῖν. Ἀνάγκη δ', ὦ ἄνδρες Ἀθηναῖοι, μετὰ παρρησίας διαλεχθῆναι, μηδὲν ὑποστελλόμενον. Ἡμεῖς, Ἀφόβητε καὶ σὺ Φιλόχαρες, σὲ μὲν τὰς ἀλαβαστοθήκας γράφοντα καὶ τὰ τύμπανα, τούτους δ' ὑπογραμματέας καὶ τοὺς τυχόντας ἀνθρώπους (καὶ οὐδεμιᾶς κακίας ταῦτα, ἀλλ' οὐδὲ στρατηγίας γ' ἄξια) πρεσβειῶν, στρατηγιῶν, τῶν μεγίστων τιμῶν ἠξιώσαμεν. [238] Εἰ τοίνυν μηδὲν ὑμῶν ἠδίκει μηδείς, οὐχ ἡμεῖς χάριν ὑμῖν οὐδενός, ἀλλ' ὑμεῖς ἡμῖν δικαίως ἂν ἔχοιτε τούτων· πολλοὺς γὰρ ὑμῶν μᾶλλον ἀξίους τιμᾶσθαι παρέντες ἡμεῖς, ὑμᾶς ἐσεμνύνομεν. Εἰ δὲ δὴ καὶ ἐν αὐτοῖς οἷς ἐτιμᾶσθ' ἠδίκηκέ

NC. 7. ἀδελφὸς Dindorf. — 10. ὑποστελλόμενον S. ὑποστειλάμενον L^1 et A. ὑποκρινόμενον vulg. — 11. σὲ μὲν S et A. ἴσμεν σὲ μὲν L et vulg. — ἀλαβαστοθήκας (forme attique) Harpocration et d'autres grammairiens. ἀλαβαστροθήκας vulg. — 13. ἀλλ' οὐ S seul. Ensuite γ' y est gratté. — 16. ἂν εἴχετε A.

1. Συνερῶν.... τῷ Φιλοκράτει. Cf. §§ 15-16, et 178.

5. Τὴν μαρτυρίαν. C'est la déposition annoncée au paragraphe 233. Cf. § 218 sq.

11-14. Σὲ μέν. Entendez Philocharès. — Τούτους δ(έ). Entendez Aphobétos et Eschine. — Οὐδεμίας κακίας ταῦτα, ἀλλ' οὐδὲ στρατηγίας γ' ἄξια, ces métiers ne méritent en aucune façon le reproche de malhonnêteté, mais ils ne donnent pas non plus droit au poste de stratége. Suivant nous, κακίας dépend aussi de ἄξια. Cf. la locution κακίαν ὀφλισκάνειν. — Πρεσβειῶν.... τῶν μεγίστων τιμῶν. Des ambassades avaient été confiées, non-seulement à Eschine, mais aussi à Aphobétos, chargé par le peuple d'une mission en Perse. Le même Aphobétos fut pendant quatre ans trésorier de la république, sans doute comme créature d'Eubule. Philocharès était alors même stratége depuis plus de deux ans. Cf. Eschine, § 149.

15-16. Οὐχ ἡμεῖς χάριν : sous-ent. ἂν εἴχομεν. Après ἀλλ' ὑμεῖς on lit l'optatif ἂν ἔχοιτε (voy. cependant *NC.*), parce que le second point est indépendant de l'hypothèse (contraire à la réalité) εἰ.... ὑμῶν ἠδίκει μηδείς.

17. Μᾶλλον ἀξίους, qui en étaient plus dignes (par leur naissance et leurs antécédents).

18. Ἐν αὐτοῖς οἷς ἐτιμᾶσθε. Cf. *Megalop.*, § 13 : Ὧν ἐσώθησαν, avec la note, et *Phil.* III, § 63.

τις ὑμῶν, καὶ ταῦτα τοιαῦτα, πόσῳ μᾶλλον ἂν μισοῖσθε δικαίως ἢ σῴζοιτε; ἐγὼ μὲν οἶμαι πολλῷ. Βιάσονται τοίνυν ἴσως, μεγαλόφωνοι καὶ ἀναιδεῖς ὄντες, καὶ τὸ « συγγνώμη ἀδελφῷ βοηθεῖν » προσειληφότες. [239] Ὑμεῖς δὲ μὴ ἡττᾶσθε, ἐκεῖν' ἐνθυμούμενοι, ὅτι τούτοις μὲν τούτου προσήκει φροντίζειν, ὑμῖν δὲ τῶν νόμων καὶ ὅλης τῆς πόλεως καὶ παρὰ πάντα τῶν ὅρκων, οὓς αὐτοὶ κάθησθ' ὀμωμοκότες. Καὶ γὰρ εἴ τινων δεδέηνται τουτονὶ σῴζειν, πότερ' ἂν μηδὲν ἀδικῶν φαίνηται τὴν πόλιν ἢ κἂν ἀδικῶν, σκοπεῖτε. Εἰ μὲν γὰρ ἂν μή, κἀγώ φημι δεῖν, εἰ δ' ὅλως κἂν ὁτιοῦν, ἐπιορκεῖν δεδέηνται. Οὐ γὰρ εἰ κρύβδην ἐστὶν ἡ ψῆφος, λήσει τοὺς θεούς, ἀλλὰ τοῦτο καὶ πάντων ἄρισθ' ὁ τιθεὶς τὸν νόμον εἶδεν [τὸ κρύβδην ψηφίζεσθαι], ὅτι τούτων μὲν οὐδεὶς εἴσεται τὸν ἑαυτῷ κεχαρισμένον ὑμῶν, οἱ θεοὶ δ' εἴσονται καὶ τὸ δαιμόνιον τὸν μὴ τὰ δίκαια ψηφισάμενον. 416 [240] Παρ' ὧν κρεῖττόν ἐστιν ἑκάστῳ τὰς ἀγαθὰς ἐλπίδας τοῖς παισὶ καὶ ἑαυτῷ, τὰ δίκαια γνόντα καὶ τὰ προσήκοντα, περιποιήσασθαι ἢ τὴν ἀφανῆ καὶ ἄδηλον χάριν τούτοις καταθέσθαι, καὶ ἀφεῖναι τοῦτον, ὃς αὐτὸς ἑαυτοῦ καταμεμαρτύρηκεν. Τίνα γάρ, Αἰσχίνη, μάρτυρα μείζω παράσχωμαι τοῦ πολλὰ καὶ δεινὰ πεπρεσβεῦσθαί σοι ἢ σὲ κατὰ σαυτοῦ; ὃς γὰρ ᾠήθης χρῆναι τὸν φανερόν τι ποιῆσαι βουληθέντα τῶν σοὶ πεπρεσβευμένων τηλικαύτῃ καὶ τοιαύτῃ συμφορᾷ περιβαλεῖν, δῆλον ὅτι

NC. 2. σῴζοιτε est notre conjecture. σώζοισθε manuscrits (σώζεσθε A), ainsi qu'Hermogène, III, pp. 347 et 352. Cobet, *V. L.*, p. 511, retranche ἢ σώζοισθε, comme si l'orateur avait parlé, dans ce qui précède, d'une chose digne de haine à un moindre degré. — 3. συγγνώμη F (seul?). συγγνώμην S, L et vulg. Cette dernière leçon n'est guère admissible, quoi qu'en ait dit Vœmel. L'hiatus ne peut choquer dans une locution proverbiale. — 4-5. ἡττᾶσθαι et τούτους S¹. — 9. εἰ μὲν γὰρ μὴ ἀδικῶν vulg. — 12. τὸ (τοῦ F, A) κρύβδην ψηφίζεσθαι : glose reconnue par Herwerden. — ὅτι texte de S. διὰ τί; ὅτι L et vulg.

1-2. Πόσῳ μᾶλλον.... ἢ σώζοιτε; combien plus mériteriez-vous d'être haïs que de le sauver? combien serait-il plus juste de vous haïr à cause de votre frère que de l'acquitter par égard pour vous?
2-3. Βιάσονται. Cf. *Mid.*, § 40. — Συγγνώμη équivaut à συγγνωτόν (ἐστιν).
5-6. Τούτου se réfère à Eschine. — Πάρα πάντα, au delà de tout, surtout.
8-10. Πότερ(α) : sous-ent. σῴζειν τουτονὶ δεδέηνται. — Κἂν ἀδικῶν : sous-ent. φαίνηται. — Φημὶ δεῖν : sous-ent. σῴζειν αὐτόν. — Εἰ δ' ὅλως κἂν ὁτιοῦν, s'ils vous ont demandé sa grâce de toutes les façons et quoi qu'il ait commis.
13. Τούτων, de l'accusé et de ses amis.
18. Αὐτὸς ἑαυτοῦ καταμεμαρτύρηκεν. Cf. § 205.

δεινὸν ἄν τι παθεῖν σαυτὸν ἤλπιζες, εἰ πύθοιντʼ οὗτοι τὰ πεπραγμένα σοι.

[241] Τοῦτο τοίνυν, ἄνπερ ὑμεῖς εὖ φρονῆτε, καθʼ αὑτοῦ συμβήσεται τούτῳ πεπρᾶχθαι, οὐ μόνον κατὰ τοῦθʼ, ὅτι παμμέγεθες σημεῖόν ἐστι τῶν πεπρεσβευμένων, ἀλλʼ ὅτι καὶ κατηγορῶν ἐκείνους τοὺς λόγους εἶπεν οἳ κατʼ αὐτοῦ νῦν ὑπάρχουσιν· ἃ γὰρ ὡρίσω σὺ δίκαια, ὅτε Τίμαρχον ἔκρινες, ταὐτὰ δήπου ταῦτα καὶ κατὰ σοῦ προσήκει τοῖς ἄλλοις ἰσχύειν. [242] Ἔλεγεν τοίνυν τότε πρὸς τοὺς δικαστὰς ὅτι « ἀπολογήσεται δὲ Δημοσθένης ὑπὲρ αὐτοῦ, καὶ κατηγορήσει τῶν ἐμοὶ πεπρεσβευμένων· εἶτʼ, ἐὰν ὑμᾶς ἀπαγάγῃ τῷ λόγῳ, νεανιεύσεται καὶ περιιὼν ἐρεῖ· πῶς τι τοὺς δικαστὰς ἀπαγαγὼν ἀπὸ τῆς ὑποθέσεως ᾠχόμην τὸ πρᾶγμʼ αὐτῶν ὑφελόμενος; » μὴ σύ γε, ἀλλʼ ὑπὲρ ὧν ἀγωνίζει, περὶ τούτων ἀπολογοῦ· τότε δʼ, ἡνίκʼ ἐκεῖνον ἔκρινες, ἐξῆν σοι κατηγορεῖν καὶ λέγειν ὅ τι ἐβούλου.

[243] Ἀλλὰ μὴν καὶ ἔπη τοῖς δικασταῖς ἔλεγες, οὐδένα μάρ-
417 τυρʼ ἔχων ἐφʼ οἷς ἔκρινες τὸν ἄνθρωπον παρασχέσθαι·

Φήμη δʼ οὔ τις πάμπαν ἀπόλλυται, ἥντινα λαοὶ
πολλοὶ φημίξωσι· θεός νύ τίς ἐστι καὶ αὐτή.

NC. 3. φρονεῖτε S[1]. — 5. σημεῖον est ajouté dans S par une main ancienne. — Peut-être : τῶν παραπεπρεσβευμένων. — 6. ὑπάρχουσιν S et L. ὑπάρξουσιν vulg. — 7-8. ταῦτα.... ταῦτα L et vulg. — ἔλεγεν S. — 12. ἐρεῖ· πῶς τι τοὺς Cobet. ἐρεῖ πῶς τι, τοὺς G. H. Schæfer. ἐρεῖ : πῶς τι; τοὺς Vœmel. ἐρεῖ· πῶς; τί; τοὺς vulg. — 14. ὑπὲρ τούτων ἀπολογοῦ vulg. — 16. ἔπη, correction introduite dans le manuscrit Π, et peut-être confirmée par une scholie, nous a semblé nécessaire. ἐπὶ manuscrits et éditions. Mais καὶ ne doit pas porter sur ἐπὶ τοῖς δικασταῖς, et ἔλεγες a besoin d'un régime annonçant la citation qui va suivre : cf. ἰαμβεῖα, § 245. — 18. παν (pour πάμπαν) S[1], à la fin d'une ligne.

1. Ἤλπιζες, tu t'attendais à.... Cf. *Olynth.* I, § 14.

9. Δὲ. Cf. §§ 40, 181, 188.

11-13. Καὶ περιιὼν ἐρεῖ. Eschine, *Tim.*, § 175, avait montré Démosthène se vantant devant les jeunes gens qu'il instruisait dans l'art de la parole d'avoir jeté de la poudre aux yeux des juges. Tout en rappelant ce passage, Démosthène évite de parler de ses disciples : les professeurs de rhétorique étaient vus de mauvais œil. — Πῶς τι équivaut à ποῖόν τινα τρόπον. C'est une locution analogue à φαύλως τι, κάλλιόν τι, ainsi qu'à πηνίκʼ ἄττα. Cf. Platon, *Ion*, p. 530 A : Καὶ πῶς τι ἠγωνίσω; *Hipp. maj.*, p. 297 E : Πῶς τι ἄρʼ ἀγωνιζοίμεθα; passages où l'on écrit à tort πῶς τί. [Cobet.] — Ἀπαγαγὼν.... ὑφελόμενος. Ce sont les termes mêmes dont Eschine s'était servi.

13. Μὴ σύ γε, ne fais pas, toi, ce que tu trouvais mauvais alors.

16. Ἔπη..., μάρτυρ(α). Démosthène dit que, à défaut de témoins, Eschine citait des vers à l'appui de son accusation ;

Οὐκοῦν, Αἰσχίνη, καὶ σὲ πάντες οὗτοι χρήματ' ἐκ τῆς πρεσβείας φασὶν εἰληφέναι, ὥστε καὶ κατὰ σοῦ δήπουθεν φήμη δ' οὔ τις πάμπαν ἀπόλλυται, ἥντινα λαοὶ πολλοὶ φημίξωσιν. [244] Ὅσῳ γὰρ αὖ σε πλείους ἢ 'κεῖνον αἰτιῶνται, θεώρησον ὡς ἔχει. Τὸν μὲν Τίμαρχον οὐδ' οἱ πρόσχωροι πάντες ἐγίγνωσκον, ὑμᾶς δὲ τοὺς πρέσβεις οὐδεὶς Ἑλλήνων οὐδὲ βαρβάρων ἔσθ' ὅστις οὔ φησι χρήματ' ἐκ τῆς πρεσβείας εἰληφέναι. Ὥστ', εἴπερ ἐστ' ἀληθὴς ἡ φήμη, καθ' ὑμῶν ἐστιν, ἡ παρὰ τῶν πολλῶν, ἣν ὅτι πιστὴν εἶναι δεῖ καὶ θεός νύ τίς ἐστι καὶ αὐτή, καὶ ὅτι σοφὸς ἦν ὁ ποιητὴς ὁ ταῦτα ποιήσας, σὺ διώρισας αὐτός.

[245] Ἔτι τοίνυν ἰαμβεῖα δήπου συλλέξας ἐπέραινεν, οἷον·

Ὅστις δ' ὁμιλῶν ἥδεται κακοῖς ἀνήρ,
οὐ πώποτ' ἠρώτησα, γιγνώσκων ὅτι
τοιοῦτός ἐσθ' οἷοισπερ ἥδεται ξυνών.

Εἶτα « τὸν εἰς τοὺς ὄρνεις εἰσιόντα καὶ μετὰ Πιτταλάκου περιιόντα », καὶ τοιαῦτ' εἰπών, « ἀγνοεῖτ', » ἔφη, « ποῖόν τινα ἡγεῖσθαι δεῖ; » Οὐκοῦν, Αἰσχίνη, καὶ κατὰ σοῦ τὰ ἰαμβεῖα ταῦθ' ἁρμόσει νῦν ἐμοί, κἂν ἐγὼ λέγω πρὸς τούτους, ὀρθῶς καὶ προσηκόντως ἐρῶ· ὅστις δ' ὁμιλῶν ἥδεται, καὶ ταῦτα πρεσβεύων, Φιλοκράτει, οὐ πώποτ' ἠρώτησα, γιγνώσκων ὅτι ἀργύριον εἴληφ' οὗτος, ὥσπερ Φιλοκράτης ὁ ὁμολογῶν.

[246] Λογογράφους τοίνυν καὶ σοφιστὰς ἀποκαλῶν τοὺς ἄλλους καὶ ὑβρίζειν πειρώμενος, αὐτὸς ἐξελεγχθήσεται 418

NC. 5. ἔχει vulg. εισηι (σ sur une lettre grattée) S seul. ἴσει Vœmel. ἔχει σοι Rauchenstein, *Jahrb. für Philol.* 1868, p. 592. [θεώρησον] ὧδ' εἴσει Cobet. — 8. ἐστ' est omis dans F. — καθ' S et L. καὶ καθ' vulg. — 14. ἐσθ' οἷοισπερ H. Wolf. ἐστιν οἷσπερ manuscrits. — 19. Variante vicieuse : ταὐτὰ. — 22. σοφιστὰς καλων S seul.

cf. *Tim.*, § 129. Les vers sont d'Hésiode, *Trav. et Jours*, 761.

4-5. Θεώρησον ὡς ἔχει. Mots altérés. — Voy. la réponse d'Eschine au paragraphe 145 de sa défense.

12-14. Ὅστις.... Eschine, *Timarque*, § 152, cite neuf vers, dont ces trois sont les derniers. — Τοιοῦτός ἐσθ' οἷοισπερ équivaut à τ. ἐ. οἷοίπερ εἰσιν ἐκεῖνοι οἷς.

15. Τὸν εἰς τοὺς ὄρνεις εἰσιόντα, qui fréquente le marché aux oiseaux. L'usage, Reiske l'a fait observer, recommande cette explication. Cependant Eschine, *ib.*, § 53-59, parle d'une maison de jeu où l'on s'amusait à faire combattre des coqs, ce qui donnait lieu à des paris.

20-21. Ἀργύριον.... Φιλοκράτης. Comme l'orateur a composé à dessein ce trimètre, on peut croire, avec Herwerden, que ὁ ὁμολογῶν (cf. § 114) est interpolé. Mais les mots καὶ ταῦτα πρεσβεύων ne le sont certainement pas.

τούτοις ὧν ἔνοχος. Ταῦτα μὲν γὰρ τὰ ἰαμβεῖ' ἐκ Φοίνικός ἐστιν Εὐριπίδου· τοῦτο δὲ τὸ δρᾶμ' οὐδεπώποτ' οὔτε Θεόδωρος οὔτ' Ἀριστόδημος ὑπεκρίναντο, οἷς οὗτος τὰ τρίτα λέγων διετέλεσεν, ἀλλὰ Μόλων ἠγωνίζετο, καὶ εἰ δή τις ἄλλος τῶν παλαιῶν ὑποκριτῶν. Ἀντιγόνην δὲ Σοφοκλέους πολλάκις μὲν Θεόδωρος, πολλάκις δ' Ἀριστόδημος ὑποκέκριται, ἐν ᾗ πεποιημέν' ἰαμβεῖα καλῶς καὶ συμφερόντως ὑμῖν πολλάκις αὐτὸς εἰρηκὼς καὶ ἀκριβῶς ἐξεπιστάμενος παρέλιπεν. [247] Ἴστε γὰρ δήπου τοῦθ', ὅτι ἐν ἅπασι τοῖς δράμασι τοῖς τραγικοῖς ἐξαίρετόν ἐστιν ὥσπερ γέρας τοῖς τριταγωνισταῖς τὸ τοὺς τυράννους καὶ τοὺς τὰ σκῆπτρ' ἔχοντας εἰσιέναι. Ταῦτα τοίνυν ἐν τῷ δράματι τούτῳ σκέψασθ' ὁ Κρέων Αἰσχίνης οἷα λέγων πεποίηται τῷ ποιητῇ, ἃ οὔτε πρὸς αὐτὸν οὗτος ὑπὲρ τῆς πρεσβείας διελέχθη οὔτε πρὸς τοὺς δικαστὰς εἶπεν. Λέγε.

ΙΑΜΒΕΙΑ ΣΟΦΟΚΛΕΟΥΣ ΕΞ ΑΝΤΙΓΟΝΗΣ.

Ἀμήχανον δὲ παντὸς ἀνδρὸς ἐκμαθεῖν
ψυχήν τε καὶ φρόνημα καὶ γνώμην, πρὶν ἂν
ἀρχαῖς τε καὶ νόμοισιν ἐντριβὴς φανῇ.
Ἐμοὶ γὰρ ὅστις πᾶσαν εὐθύνων πόλιν

NC. 3. ὑπεκρίνατο vulg. — 6. ὑποκέκρινται L. — 7. αὐτὸς S et L. οὗτος vulg. — 8. παρέλιπεν est omis par la première main de S. — 9. ἅπασιν S. — 10. γέρας τι vulg. — 11. ἐν τοίνυν (sans ταῦτα) A, L[1], marge ancienne de S. — 13. διελέγχθη (γ barré) S.

1. **Τούτοις ὧν ἔνοχος.** Eschine use lui-même des artifices de l'école, ni plus ni moins que les rhéteurs qui écrivent des discours pour les plaideurs (λογογράφοι) ou qui enseignent l'éloquence et la chicane (σοφισταί) : il cite des vers qu'il n'a pas trouvés dans ses souvenirs personnels, mais qu'il a recueillis (συλλέξας, § 245) en feuilletant de vieilles tragédies qu'on ne joue plus depuis longtemps.

4. **Μόλων.** On ne sait s'il faut entendre le Molon dont parle Aristophane, *Grenouilles*, 55.

10-11. **Τὸ τοὺς τυράννους.... εἰσιέναι,** jouer (littéralement « entrer ») les tyrans. C'était, sans doute, une locution usuelle. On cite Thomas Magister, p. 273 : « Εἰσῄει τὸν Ἀγαμέμνονα καὶ ὑπέδυ » κάλλιον ἂν εἴποις ἢ « ὑπεκρίθη ». Libanios, *Declam.* t. III, p. 736 R : Ὁ μὲν τὴν Πλάγγονα εἰσιών. Il n'est pas sûr que ces amateurs d'atticismes aient connu d'autres exemples de cette locution que le passage présent.

11-13. **Ταῦτα.... σκέψασθ(ε).... οἷα.... πεποίηται** équivaut à σκέψασθε οἷά ἐστι (ὡς εὖ ἔχει) ταῦτα τὰ πεποιημένα. — Ὁ Κρέων Αἰσχίνης οἷα λέγων πεποίηται τῷ ποιητῇ. Cela est dit plaisamment, comme si Sophocle avait écrit ces vers en vue d'Eschine.

16. **Ἀμήχανον....** Sophocle, *Antigone*, 175 sqq.

μὴ τῶν ἀρίστων ἅπτεται βουλευμάτων,
ἀλλ' ἐκ φόβου του γλῶσσαν ἐγκλείσας ἔχει,
κάκιστος εἶναι νῦν τε καὶ πάλαι δοκεῖ·
καὶ μείζον' ὅστις ἀντὶ τῆς αὑτοῦ πάτρας
φίλον νομίζει, τοῦτον οὐδαμοῦ λέγω. 419
Ἐγὼ γάρ, ἴστω Ζεὺς ὁ πάνθ' ὁρῶν ἀεί,
οὔτ' ἂν σιωπήσαιμι τὴν ἄτην ὁρῶν
στείχουσαν ἀστοῖς ἀντὶ τῆς σωτηρίας,
οὔτ' ἂν φίλον ποτ' ἄνδρα δυσμενῆ χθονὸς
θείμην ἐμαυτῷ, τοῦτο γιγνώσκων, ὅτι
ἥδ' ἐστὶν ἡ σῴζουσα, καὶ ταύτης ἔπι
πλέοντες ὀρθῆς τοὺς φίλους ποιούμεθα.

[248] Τούτων οὐδὲν Αἰσχίνης εἶπε πρὸς αὑτὸν ἐν τῇ πρεσβείᾳ, ἀλλ' ἀντὶ μὲν τῆς πόλεως τὴν Φιλίππου ξενίαν καὶ φιλίαν πολλῷ μείζον' ἡγήσαθ' αὑτῷ καὶ λυσιτελεστέραν, ἐρρῶσθαι πολλὰ φράσας τῷ σοφῷ Σοφοκλεῖ, τὴν δ' ἄτην ὁρῶν στείχουσαν ὁμοῦ, τὴν ἐπὶ Φωκέας στρατείαν, οὐ προεῖπεν οὐδὲ προεξήγγειλεν, ἀλλὰ τοὐναντίον συνέκρυψεν καὶ συνέπραξεν καὶ τοὺς βουλομένους εἰπεῖν διεκώλυσεν, [249] οὐκ ἀναμνησθεὶς ὅτι ἥδ' ἐστὶν ἡ σῴζουσα καὶ ταύτης ἔπι τελοῦσα μὲν ἡ μήτηρ αὐτοῦ καὶ καθαίρουσα καὶ καρπουμένη τὰς τῶν χρωμένων οὐσίας ἐξέθρεψε τοσούτους τουτουσί, διδάσκων δ' ὁ πατὴρ γράμ-

NC. 2. φόβου τοι S et L[1] seuls. — 4. μειζων S. — 6. ἴσθ' ο S. οισθ' ὁ L. — 8. στήχουσαν S et L, ici et au paragraphe 248. — ἀστοῖς. Comme Démosthène dit, au paragraphe 248, στείχουσαν ὁμοῦ, Dobree soupçonnait qu'il avait lu dans Sophocle στείχουσαν ἄσσον. — 11. ἐστι ‖ σωζουσα S. — 13. εἶπεν S. — 17. στρατιαν S et L. — 18. συνέκρυψεν καὶ συνέπραξεν S. — 21-22. οὐσίας Markland et Shilleto. οἰκίας manuscrits : mot qui ne se prend pas, comme οἶκος, dans le sens de « fortune ».

17. Ὁμοῦ équivaut à ἐγγύς. [Schol.]

19. Διεκώλυσεν. Cf. §§ 23 et 174.

20-21. Τελοῦσα. Cf. § 199. — Καθαίρουσα. Cf. *Cour.*, § 259. — Τῶν χρωμένων, de ceux qui se laissaient initier par elle. Rien n'indique que ces mots aient ici un sens obscène. Dans ce discours, la mère d'Eschine n'est pas encore la femme perdue qu'elle sera dans le discours pour la *Couronne*, § 129. [A. Schæfer, I, p. 201, et Heslop.]

22. Ἐξέθρεψε τοσούτους, elle les éleva pour être un jour de si grands personnages. Dobree rapproche Aristophane, *Cheval.*, 415; Euripide, *Héracl.*, 575. D'autres entendent à tort « tant de fils. »

ματα, ὡς ἐγὼ τῶν πρεσβυτέρων ἀκούω, πρὸς τῷ τοῦ ἥρω τοῦ ἰατροῦ, ὅπως ἐδύνατο, ἀλλ' οὖν ἐν ταύτῃ γ' ἔζη, ὑπογραμματεύοντες δ' αὐτοὶ καὶ ὑπηρετοῦντες ἁπάσαις ταῖς ἀρχαῖς ἀργύριον εἰλήφεσαν, καὶ τὸ τελευταῖον ὑφ' ὑμῶν γραμματεῖς χειροτονηθέντες δύ' ἔτη διετράφησαν ἐν τῇ θόλῳ, πρεσβεύων δ' ἀπέσταλτο νῦν οὗτος ἐκ ταύτης. [250] Τούτων οὐδὲν ἐσκέψατο, οὐδ' ὅπως ὀρθὴ πλεύσεται προείδετο, ἀλλ' ἀνέτρεψε καὶ κα-
420 τέδυσε καὶ τὸ καθ' αὑτὸν ὅπως ἐπὶ τοῖς ἐχθροῖς ἔσται παρεσκεύασεν. Εἶτ' οὐ σὺ σοφιστής; καὶ πονηρός γε. Οὐ σὺ λογογράφος; καὶ θεοῖς ἐχθρός γε· ὃς ἃ μὲν πολλάκις ἠγωνίσω καὶ ἀκριβῶς ἐξηπίστασο, ὑπερέβης, ἃ δ' οὐδεπώποτ' ἐν τῷ βίῳ ὑπεκρίνω, ταῦτα ζητήσας ἐπὶ τῷ τῶν πολιτῶν βλάψαι τιν' εἰς μέσον ἤνεγκας;

[251] Φέρε δὴ καὶ περὶ τοῦ Σόλωνος ὃν εἶπε λόγον σκέψασθε. Ἔφη τὸν Σόλων' ἀνακεῖσθαι τῆς τῶν τότε δημηγορούντων σωφροσύνης παράδειγμα, εἴσω τὴν χεῖρα ἔχοντ' ἀναβεβλημένον, ἐπιπλήττων τι καὶ λοιδορούμενος τῇ τοῦ Τιμάρχου προπετείᾳ. Καίτοι τὸν μὲν ἀνδριάντα τοῦτον οὔπω πεντήκοντ' ἔτη φασὶν ἀνακεῖσθαι Σαλαμίνιοι, ἀπὸ Σόλωνος δ' ὁμοῦ διακόσι'

NC. 1. ἥρωος vulg. — 3. αὐτοὶ S et L[1] seuls. οὗτοι vulg. — 6. οὗτος vulg. αὐτὸς S, A, L[1]. — 7. ὀρθῇ vulg. — προείλετο S et L seuls. — ἀνέτρεψεν S. — 9-10. La bonne ponctuation est due à Markland et à Cobet. On écrivait : εἶτ' οὐ σὺ σοφιστής, καὶ πονηρός γε ; et ainsi de suite. — 10. λογοτροφος S. — ἐχθρός γε S et L. ἐχθρός vulg. — 15. ἔφη S et A. ἔφη γὰρ L et vulg. — 16. ἀναβεβλημένον est écarté par Hirschig, *Philol.*, V, p. 332.

1-2. Τοῦ ἥρω τοῦ ἰατροῦ. Ce médecin, élevé au rang d'un demi-dieu et honoré d'une chapelle, s'appelait, d'après le scholiaste, Aristomaque. Voy. deux inscriptions relatives à ce héros et commentées par M. G. Hirschfeld dans *Hermès*, VIII, p. 350. Cf. Welcker, *Griech. Gœtterlehre*, III, p. 280.

4-5. Γραμματεῖς, sous-ent. τῆς βουλῆς, ou τῆς πόλεως, position plus élevée que n'était celle des greffiers attachés aux divers fonctionnaires. — Ἐν τῇ θόλῳ, dans la rotonde : nom du nouveau prytanée. Cf. Schœmann, *Ant. Jur. publ.*, p. 216.

7. Κατέδυσε. Scholiaste : Ἐνέμεινε τῇ τροπῇ του πλοίου.

10-13. Ἃ μὲν πολλάκις.... εἰς μέσον ἤνεγκας. Cf. § 246.

15-18. Ἔφη.... Voy. *Contre Timarque*, § 25. — Εἴσω.... ἀναβεβλημένον, drapé de manière à avoir les bras et les mains couverts des plis de son manteau. C'était la tenue digne et calme des orateurs du vieux temps. — Προπετείᾳ. Eschine raconte que Timarque jeta un jour son manteau et se démena sur la tribune comme un lutteur qui donne des coups de poing à son adversaire, ῥίψας θοἰμάτιον γυμνὸς ἐπαγκρατίαζεν.

19. Ὁμοῦ, à peu près. En effet, les deux cent quarante ans ne sont qu'un chiffre rond.

ἐστὶν ἔτη καὶ τετταράκοντ' εἰς τὸν νυνὶ παρόντα χρόνον, ὥσθ' ὁ δημιουργὸς ὁ τοῦτο πλάσας τὸ σχῆμα οὐ μόνον οὐκ αὐτὸς ἦν κατ' ἐκεῖνον, ἀλλ' οὐδ' ὁ πάππος αὐτοῦ. [252] Τοῦτο μὲν τοίνυν εἶπε τοῖς δικασταῖς καὶ ἐμιμήσατο· ὃ δὲ τοῦ σχήματος ἦν τούτου πολλῷ τῇ πόλει λυσιτελέστερον, τὸ τὴν ψυχὴν τὴν Σόλωνος ἰδεῖν καὶ τὴν διάνοιαν, ταύτην οὐκ ἐμιμήσατο, ἀλλὰ πᾶν τοὐναντίον. Ἐκεῖνος μέν γ' ἀφεστηκυίας Σαλαμῖνος Ἀθηναίων καὶ θάνατον ζημίαν ψηφισαμένων, ἄν τις εἴπῃ κομίζεσθαι, τὸν ἴδιον κίνδυνον ὑποθεὶς ἐλεγεῖα ποιήσας ᾖδεν, καὶ τὴν μὲν χώραν ἀνέσωσεν τῇ πόλει, τὴν δ' ὑπάρχουσαν αἰσχύνην ἀπήλλαξεν· [253] οὗτος δ', ἣν βασιλεὺς καὶ πάντες οἱ Ἕλληνες ὑμετέραν ἔγνωσαν, Ἀμφίπολιν, ταύτην ἐξέδωκεν καὶ ἀπέδοτο καὶ τῷ ταῦτα γράφοντι συνεῖπεν Φιλοκράτει. Ἄξιόν γε (οὐ 421 γάρ;) ἦν Σόλωνος αὐτῷ μεμνῆσθαι. Καὶ οὐ μόνον ἐνταῦθα ταῦτ' ἐποίησεν, ἀλλ' ἐκεῖσ' ἐλθὼν οὐδὲ τοὔνομ' ἐφθέγξατο τῆς χώρας ὑπὲρ ἧς ἐπρέσδευεν. Καὶ ταῦτ' αὐτὸς ἀπήγγειλε πρὸς ὑμᾶς· μέμνησθε γὰρ δήπου λέγοντ' αὐτὸν ὅτι « περὶ Ἀμφιπό-

NC. 3. ἐκεῖνον S et texte de L seuls. ἐκεῖνον τὸν χρόνον marge de L et vulg. — 6. ταύτην. Markland et Vœmel mettent la virgule après ce mot. — 10. χώραν ἀνέσωσε Herwerden. χώραν εσωσεν manuscrits. — 13. οὐ γάρ; est omis dans S et L[1] seuls. Cf. *Aristocr.*, § 161, *NC*. Cette tournure familière n'est certainement pas déplacée ici. — 15. ἀλλὰ κἀκεῖσε vulg. — 17. περὶ δὲ A.

4. Ἐμιμήσατο. Cf. *Cour.*, § 129 : Τὸν καλὸν ἀνδριάντα. C'est ainsi que le représente la statue trouvée dans le théâtre d'Herculanum.

6. Ταύτην οὐκ ἐμιμήσατο. Remarquez la liberté d'allure de la phrase grecque. Nous demanderions : τοῦτ' οὐκ ἐποίησεν οὐδὲ ταύτην ἐμιμήσατο.

7. Ἐκεῖνος μέν γ(ε). Cf. Plutarque, *Solon*, ch. VIII.

9. Ὑποθείς répond exactement au français « engageant ». Παρατίθεσθαι s'emploie dans le même sens, déjà dans Homère.

10. Ἀνέσωσεν implique que l'île était perdue. De là l'antithèse ὑπάρχουσαν.

11-12. Ἣν βασιλεύς. Cf. § 137, avec la note. — Ταύτην ἐξέδωκεν. Ces paroles ne durent pas manquer leur effet sur les juges : car la perte d'Amphipolis était extrêmement sensible pour les Athéniens. Mais il n'était au pouvoir d'Eschine, ni de Démosthène, ni d'aucun négociateur, de recouvrer cette ville, qu'Athènes ne possédait plus depuis très-longtemps.

15. Οὐδὲ τοὔνομ' ἐφθέγξατο. Eschine, § 31 sq., prétend, au contraire, avoir longuement exposé les titres d'Athènes sur Amphipolis.

17. Λέγοντ' αὐτόν. Eschine dit (§§ 43 et 48) que, au retour de la première ambassade, il déclara, à la prière de Démosthène, que ce dernier aussi avait dit un mot sur Amphipolis, afin de compléter ce que les autres ambassadeurs avaient pu omettre. On voit que le mot « omettre », παραλιπεῖν, se trouve dans les deux déclarations, lesquelles diffèrent pour le reste et s'écartent probablement, l'une et l'autre, de la vérité. On ne croira pas que Démosthène ait sollicité de ses collègues un témoignage en sa faveur ; mais on ne voit

« λεως εἶχον μὲν κἀγὼ λέγειν· ἵνα δ' ἐγγένηται Δημοσθένει « περὶ αὐτῆς εἰπεῖν, παρέλιπον. » [254] Ἐγὼ δὲ παρελθὼν οὐδὲν ἔφην τοῦτον ὧν ἐβούλετ' εἰπεῖν πρὸς Φίλιππον ἐμοὶ παραλιπεῖν· θᾶττον γὰρ ἂν τοῦ αἵματος ἢ λόγου μεταδοῦναί τινι. Ἀλλ', οἶμαι, χρήματ' εἰληφότ' οὐκ ἦν ἀντιλέγειν πρὸς Φίλιππον τὸν ὑπὲρ τούτου δεδωκότα, ὅπως ἐκείνην μὴ ἀποδῷ. Λέγε δή μοι λαβὼν καὶ τὰ τοῦ Σόλωνος ἐλεγεῖα ταυτί, ἵν' ἴδηθ' ὅτι καὶ Σόλων ἐμίσει τοὺς οἷος οὗτος ἀνθρώπους.

[255] Οὐ λέγειν εἴσω τὴν χεῖρ' ἔχοντ', Αἰσχίνη, δεῖ, οὔ, ἀλλὰ πρεσβεύειν εἴσω τὴν χεῖρ' ἔχοντα. Σὺ δ' ἐκεῖ προτείνας καὶ ὑποσχὼν καὶ καταισχύνας τούτους ἐνθάδε σεμνολογεῖ, καὶ λογάρια δύστηνα μελετήσας καὶ φωνασκήσας οὐκ οἴει δίκην δώσειν τηλικούτων καὶ τοσούτων ἀδικημάτων; κἂν πιλίδιον λαβὼν ἐπὶ τὴν κεφαλὴν περινοστῇς καὶ ἐμοὶ λοιδορῇ. Λέγε σύ.

ΕΛΕΓΕΙΑ.

Ἡμετέρη δὲ πόλις κατὰ μὲν Διὸς οὔποτ' ὀλεῖται
αἶσαν καὶ μακάρων θεῶν φρένας ἀθανάτων·

NC. 3. τοῦτον ὧν A seul, par correction. τούτων ὧν, erreur commune à tous les manuscrits. — 3-4. παραλειπειν S. — 7. ἴδηθ' S. εἰδῆτε vulg. — 8. τοὺς οἵους οὗτος Hertlein et Cobet. — 10. Cobet veut retrancher les mots εἴσω τὴν χεῖρ' ἔχοντα. C'est gâter le texte. — 13. κἂν L et vulg. ἂν S et A. Je suis revenu à la vulgate, en mettant toutefois un point d'interrogation avant κἄν. Cf. la note explicative. — 14. περὶ τὴν κεφαλὴν A. — 15. ἐλεγεῖα σολῶνος vulg. — Les vers manquent dans S et A. — 16. ἡμετέρη Sylburg. ἡμετέρα vulg.

pas non plus pourquoi Eschine aurait passé sous silence la question d'Amphipolis dans l'audience officielle que Philippe donna aux ambassadeurs d'Athènes.

10. Εἴσω τὴν χεῖρ' ἔχοντα. Répétition mordante des mêmes mots dans un autre sens.

12. Μελετήσας, ayant appris par cœur Cf. Plutarque, *l. c.* : Ἐλεγεῖα.... μελετήσας, ὥστε λέγειν ἀπὸ στόματος. — Φωνασκήσας. Démosthène dit que l'ancien acteur continue les exercices méthodiques du solfége, propres à conserver à la voix toute sa souplesse et son étendue. On rapproche Cicéron, *De orat.*, I, 251 ; Quintilien, XI, III, 22.

13. Πιλίδιον λαβών. Solon avait mis un chapeau de feutre, quand il prononça la fameuse « élégie » sur Salamis : voy. Plutarque, *l. c.* [Taylor.] L'assimilation, déjà indiquée par μελετήσας, est ici plus évidente : Démosthène, pour railler Eschine, en fait un autre Solon. Mais faut-il croire que l'orateur fasse en même temps allusion à la prétendue maladie d'Eschine, rappelée au paragraphe 124 ? Cela nous semble fort douteux. Quant à Solon, il avait mis un chapeau, non pour cause de maladie, comme voulait Koraÿ, mais en voyageur qui feignait de venir directement de Salamis : Αὐτὸς κῆρυξ ἦλθον ἀφ' ἱμερτῆς Σαλαμῖνος. Nous pensons donc qu'Eschine

τοίη γὰρ μεγάθυμος ἐπίσκοπος ὀβριμοπάτρη
Παλλὰς Ἀθηναίη χεῖρας ὕπερθεν ἔχει.
Αὐτοὶ δὲ φθείρειν μεγάλην πόλιν ἀφραδίῃσιν
ἀστοὶ βούλονται, χρήμασι πειθόμενοι, 422
δήμου θ' ἡγεμόνων ἄδικος νόος, οἷσιν ἑτοῖμον
ὕβριος ἐκ μεγάλης ἄλγεα πολλὰ παθεῖν.
Οὐ γὰρ ἐπίστανται κατέχειν κόρον, οὐδὲ παρούσας
εὐφροσύνας κοσμεῖν δαιτὸς ἐν ἡσυχίῃ.
. . . .
Πλουτοῦσιν δ' ἀδίκοις ἔργμασι πειθόμενοι.
. . . .
Οὔθ' ἱερῶν κτεάνων οὔτε τι δημοσίων
φειδόμενοι κλέπτουσιν ἐφ' ἁρπαγῇ ἄλλοθεν ἄλλος,
οὐδὲ φυλάσσονται σεμνὰ Δίκης θέμεθλα,
ἣ σιγῶσα σύνοιδε τὰ γιγνόμενα πρό τ' ἐόντα,
τῷ δὲ χρόνῳ πάντως ἦλθ' ἀποτισομένη.
Τοῦτ' ἤδη πάσῃ πόλει ἔρχεται ἕλκος ἄφυκτον,
ἐς δὲ κακὴν ταχέως ἤλυθε δουλοσύνην,

NC. 10. Ce vers, peu intelligible, est considéré par Bach et Vœmel comme une interpolation provenant du vers 12 d'un autre fragment (XIII Bergk) de Solon. — 13. κλέπτουσιν a l'air d'une glose. J'aimerais mieux μάρπτουσιν. — 14. θέμεθλα δίκης Bergk, afin de se conformer à la prosodie épique. — 16. ἀποτισομένη Bavaricus, par correction. ἀποτισαμένη vulg.

ne s'est pas montré en public dans l'affublement que lui prête ici son adversaire. Démosthène dit : « (tu seras puni,) quand même tu singerais Solon jusqu'à te coiffer d'un chapeau de feutre, afin de courir ainsi la ville et de vomir des injures contre moi. » On voit pourquoi nous préférons κἂν à ἄν, en changeant la ponctuation usuelle.

3. Αὐτοὶ.... ἀφραδίῃσιν. Le Zeus d'Homère avait déjà dit, *Odyss.*, I, 32 : Ὢ πόποι, οἷον δή νυ θεοὺς βροτοὶ αἰτιόωνται. ‖ Ἐξ ἡμέων γάρ φασι κάκ' ἔμμεναι· οἱ δὲ καὶ αὐτοὶ ‖ σφῇσιν ἀτασθαλίῃσιν ὑπέρμορον ἄλγε' ἔχουσιν.

4. Ἀστοί, les vrais citoyens ou Eupatrides, opposés au δῆμος, à la plèbe. [Heslop.]

5. Ἑτοῖμον, tout préparé, imminent. Shilleto rapproche Homère, *Il.*, XVIII, 96 : Αὐτίκα γάρ τοι ἔπειτα μεθ' Ἕκτορα πότμος ἑτοῖμος.

8. Κοσμεῖν, ordonner, modérer, contenir en de justes limites. Du reste, ce vers doit être entendu, ce nous semble, dans un sens métaphorique.

13-14. Ἐφ' ἁρπαγῇ, occupés de rapines (?). On a beau mettre une virgule avant ces mots, cette explication n'en est pas moins forcée. Je ne puis croire que le poëte ait écrit κλέπτουσιν ἐφ' ἁρπαγῇ. Voy. *NC.* — Δίκης θέμεθλα. Cf. Eschyle, *Choéph*, 646 : Δίκας δ' ἐρείδεται πυθμήν.

17. Τοῦτ(ο), cette apparition vengeresse de la Justice. Ce pronom est aussi le sujet de ἐπεγείρει.

ἢ στάσιν ἔμφυλον πόλεμόν θ' εὕδοντ' ἐπεγείρει,
ὃς πολλῶν ἐρατὴν ὤλεσεν ἡλικίην.
Ἐκ γὰρ δυσμενέων ταχέως πολυήρατον ἄστυ
τρύχεται ἐν συνόδοις τοῖς ἀδικοῦσι φίλαις.
Ταῦτα μὲν ἐν δήμῳ στρέφεται κακά· τῶν δὲ πενιχρῶν
ἱκνοῦνται πολλοὶ γαῖαν ἐς ἀλλοδαπὴν
πραθέντες δεσμοῖσί τ' ἀεικελίοισι δεθέντες.
. . . .
Οὕτω δημόσιον κακὸν ἔρχεται οἴκαδ' ἑκάστῳ,
αὔλειοι δ' ἔτ' ἔχειν οὐκ ἐθέλουσι θύραι,
ὑψηλὸν δ' ὑπὲρ ἕρκος ὑπέρθορεν, εὗρε δὲ πάντως,
εἰ καί τις φεύγων ἐν μυχῷ ᾖ θαλάμου.
Ταῦτα διδάξαι θυμὸς Ἀθηναίους με κελεύει,
ὡς κακὰ πλεῖστα πόλει δυσνομίη παρέχει,
εὐνομίη δ' εὔκοσμα καὶ ἄρτια πάντ' ἀποφαίνει,
καὶ θαμὰ τοῖς ἀδίκοις ἀμφιτίθησι πέδας,
423 τραχέα λειαίνει, παύει κόρον, ὕβριν ἀμαυροῖ,
αὐαίνει δ' ἄτης ἄνθεα φυόμενα,
εὐθύνει δὲ δίκας σκολιάς, ὑπερήφανά τ' ἔργα
πραΰνει, παύει δ' ἔργα διχοστασίης,

NC. 1. ἢ manuscrits. ἢ est une correction irréfléchie. — La leçon ἐπεγείρειν (ou ἐπαγείρειν) indique l'existence de deux variantes : ἐπεγείρει et ἐπέγειρεν. — 3. δυσμενέων. Hecker (*Philologus*, V, p. 460) : δυσνομίης. Peut-être δυσμενιῶν pour δυσμενειῶν. — 4. φίλαις, correction de Bergk. φίλους ou φίλοις manuscrits. — 6. Faut-il écrire ἔνδημα? — 7. δοθέντες F. — Vœmel insère ici un vers faux, qui se trouve dans un manuscrit de Madrid (Iriarte, p. 113), écrit de la main de Lascaris : Παίκακα (πάγκακα) δουλοσύνης ζυγὰ φέρουσι βίᾳ. S'il faut corriger la faute de quantité, j'aimerais autant ζεῦγλα que στυγνά (Bergk) ou λυγρά (Sauppe). — 10. δ' ἔτ'. La plupart des manuscrits : δέ τ' ou δ' ὅτ'. — 11. πάντως. Vulg. : πάντων. — 12. εἰ καί τις.... ᾖ θαλάμου, ou θαλάμων, Bergk. εἴ γέ τις (εἴ γέ τις ᾖ Fel.).... ἢ θαλάμῳ vulg.

1. Ἔμφυλον. Cette épithète porte aussi sur πόλεμον. Il n'est pas question ici de guerres extérieures.

3-4. Δυσμενέων. Voy. *NC.* — Ἐν συνόδοις.... φίλαις. Ces *congressus*, qui plaisent aux mauvais citoyens, ne sont peut-être pas, comme on explique généralement, des combats, mais des réunions factieuses, des associations (ἑταιρίαι), foyers de conspirations et de guerres civiles.

6. Ἐν δήμῳ équivaut ici à ἔνδημα (voy. cependant *NC.*), et fait antithèse à γαῖαν ἐς ἀλλοδαπήν. Ce vieux sens homérique de δῆμος s'est aussi conservé dans ἐπιδημεῖν et ἀποδημεῖν.

18. Ἄτης ἄνθεα. Cf. Eschyle, *Perses*, 821 : Ὕβρις.... ἐξανθοῦσα.

παύει δ' ἀργαλέης ἔριδος χόλον· ἔστι δ' ὑπ' αὐτῆς
πάντα κατ' ἀνθρώπους ἄρτια καὶ πινυτά.

[256] Ἀκούετ', ὦ ἄνδρες Ἀθηναῖοι, περὶ τῶν τοιούτων ἀνθρώπων οἷα Σόλων λέγει, καὶ περὶ τῶν θεῶν, οὕς φησι τὴν πόλιν σῴζειν. Ἐγὼ δ' ἀεὶ μὲν ἀληθῆ τὸν λόγον τοῦτον ἡγοῦμαι καὶ βούλομαι, ὡς ἄρ' οἱ θεοὶ σῴζουσιν ἡμῶν τὴν πόλιν· τρόπον δέ τιν' ἡγοῦμαι καὶ τὰ νῦν συμβεβηκότα πάντ' ἐπὶ ταῖς εὐθύναις ταυταισὶ δαιμονίας τινὸς εὐνοίας ἔνδειγμα τῇ πόλει γεγενῆσθαι. [257] Σκοπεῖτε γάρ. Ἄνθρωπος πολλὰ καὶ δεινὰ πρεσβεύσας, καὶ χώρας ἐκδεδωκὼς ἐν αἷς τοὺς θεοὺς ὑφ' ὑμῶν καὶ τῶν συμμάχων τιμᾶσθαι προσῆκεν, ἠτίμωσεν ὑπακούσαντά τιν' αὐτοῦ κατήγορον. Ἵνα τί; ἵνα μήτ' ἐλέου μήτε συγγνώμης ἐφ' οἷς αὐτὸς ἠδίκηκεν τύχῃ. Ἀλλὰ καὶ κατηγορῶν ἐκείνου κακῶς λέγειν προείλετ' ἐμέ, καὶ πάλιν ἐν τῷ δήμῳ γραφὰς ἀποίσειν καὶ τοιαῦτ' ἠπείλει. Ἵνα τί; ἵν' ὡς μετὰ πλείστης συγγνώμης παρ' ὑμῶν ὁ τὰ τούτου πονηρεύματ' ἀκριβέστατ' εἰδὼς ἐγὼ καὶ παρηκολουθηκὼς ἅπασι κατηγορῶ. [258] Ἀλλὰ καὶ διακρουόμενος πάντα τὸν ἔμπροσθε χρόνον εἰσελθεῖν εἰς

NC. 1. Peut-être : κοιμᾷ δ'. — 5. εἰ μὲν S[1]. εἶναι μὲν A. — 5-6. Faut-il insérer εἶναι après λόγον ? Ou bien la faute est-elle plus grave ? Y avait-il quelque chose comme τὸν λόγον τοῦτον ἔργῳ βεβαιοῦσθαι βούλομαι ? — 7. οἶμαι A. — 10. παραπρεσβεύσας Taylor. — 11-12. Dobree voulait κατηγορεῖν. Nous proposons : ἠτίμωσε προσκρούσαντά τι τὸν αὐτοῦ κατήγορον. Cf. § 233. Ici encore Démosthène accorderait que la conduite de Timarque a pu avoir quelque chose de choquant; mais il opposerait à ces peccadilles les méfaits d'Eschine : ἐφ' οἷς αὐτὸς ἠδίκηκεν.—12. ἵνα τί Dindorf, d'après G. H. Schæfer. διὰ τί S (ici, mais non l. 15) et vulg. — 13. ἠδίκηκεν S et L. ἠδίκησε vulg. — 14. προείλετε S. — 15. ἀπειλεῖν et, par correction, ἀπειλεῖ texte de S : évidemment sous l'influence de l'infinitif ἀποίσειν. — ἵνα τί S. διὰ τί L et vulg.

6. Καὶ βούλομαι, et je désire qu'il soit vrai. Cf. *NC*.

10-11. Ἐν αἷς.... τιμᾶσθαι προσῆκεν. Il s'agit donc de villes détruites par Philippe ou privées de leurs habitants, comme les villes de la Phocide.

11-12. Ὑπακούσαντά τιν' αὐτοῦ κατήγορον. On explique : « un homme qui l'a accusé à l'instigation d'autres citoyens » : sens peu satisfaisant en lui-même, et qu'on ne peut guère tirer de ὑπακούσαντα tout court. D'autres entendent : « qui obéit à la provocation d'Eschine, dont les délits défiaient en quelque sorte tous les citoyens de l'accuser »; d'autres encore : « qui comparut en justice, quand Eschine l'accusa. » Aucune de ces interprétations n'est satisfaisante. Voy. *NC*.

12. Ἵνα τί; sous-ent. γένηται. Locution usuelle.

14. Ἐν τῷ δήμῳ. Cf. § 209.

15-16. Ὡς μετὰ πλείστης συγγνώμης. Ces provocations sont l'excuse de Démosthène, s'il intente un procès à celui qui a été son collègue dans l'ambassade.

18-1. Διακρουόμενος. Cf. § 33. — Ὑπῆκται, il a été conduit insensiblement. Cf. *Phil.* III, § 1.

τοιοῦτον ὑπῆκται καιρὸν ἐν ᾧ τῶν ἐπιόντων ἕνεκα, εἰ μηδενὸς ἄλλου, οὐχ οἷόν τ' οὐδ' ἀσφαλὲς ὑμῖν δεδωροδοκηκότα τοῦτον
424 ἀθῷον ἐᾶσαι· ἀεὶ μὲν γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, προσήκει μισεῖν καὶ κολάζειν τοὺς προδότας καὶ δωροδόκους, μάλιστα δὲ νῦν ἐπὶ καιροῦ τοῦτο γένοιτ' ἂν καὶ πάντας ὠφελήσειεν ἀνθρώπους κοινῇ.

[259] Νόσημα γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, δεινὸν ἐμπέπτωκεν εἰς τὴν Ἑλλάδα, καὶ χαλεπὸν καὶ πολλῆς τινὸς εὐτυχίας καὶ παρ' ὑμῶν ἐπιμελείας δεόμενον. Οἱ γὰρ ἐν ταῖς πόλεσι γνωριμώτατοι καὶ προεστάναι τῶν κοινῶν ἀξιούμενοι, τὴν αὑτῶν προδιδόντες ἐλευθερίαν οἱ δυστυχεῖς, αὐθαίρετον αὑτοῖς ἐπάγονται δουλείαν, Φιλίππῳ ξενίαν καὶ ἑταιρίαν καὶ φιλίαν καὶ τοιαῦθ' ὑποκοριζόμενοι· οἱ δὲ πολλοὶ καὶ τὰ κύρι' ἅττα ποτ' ἐστὶν ἐν ἑκάστῃ τῶν πόλεων, οὓς ἔδει τούτους κολάζειν καὶ παραχρῆμ' ἀποκτιννύναι, τοσοῦτ' ἀπέχουσι τοῦ τοιοῦτόν τι ποιεῖν ὥστε θαυμάζουσι καὶ ζηλοῦσι καὶ βούλοιντ' ἂν αὐτὸς ἕκαστος τοιοῦτος εἶναι. [260] Καίτοι τοῦτο τὸ πρᾶγμα καὶ τὰ τοιαῦτα ζηλώματα Θετταλῶν μέν, ὦ ἄνδρες Ἀθηναῖοι, μέχρι μὲν ἐχθὲς ἢ πρῴην τὴν ἡγεμονίαν καὶ τὸ κοινὸν ἀξίωμ' ἀπολώλεκει, νῦν δ' ἤδη καὶ τὴν ἐλευθερίαν παραιρεῖται· τὰς γὰρ

NC. 6. νόσημα.... νόσημα δεινὸν marge ancienne de S, et aussi dans L. — 7-8. Variante : καὶ τῆς παρ' ὑμῶν. — 11. δουλιαν S[1]. — Φιλίππου A. — καὶ φιλίαν. Ces mots peuvent sembler suspects : transposés dans plusieurs manuscrits, ils sont omis par Photios et Suidas, art. Ὑποκοριζόμενοι. — Variante : καὶ τὰ τοιαῦθ'. — 12. κολλοὶ Taylor. λοιποὶ manuscrits et éditions. — 13. τούτους est écarté par Herwerden. — 14. τοσοῦτ' S et L seuls. τοσοῦτον vulg. — 15. βούλοιτ' vulg. — 16. τουτὶ vulg. — 16-17. καὶ τοιαῦτα S[1]. — 18. ἢ S et, par correction, L. καὶ vulg.

1. Τῶν ἐπιόντων, *rerum instantium*, de l'avenir imminent.

6-8. Νόσημα γάρ.... Digression célèbre, citée par Pline, *Ep.*, IX, 26, et par d'autres. Cf. *Cour.*, § 61 sqq. — Εὐτυχίας.... Pour échapper à un mal si grave, il faut du bonheur et de la vigilance. On rapproche § 265 : Μᾶλλον δὲ διὰ δυστυχίαν.

11-12. Φιλίππῳ. Cf. *Traité avec Alex.*, § 17 : Οἱ.... τῷ Μακεδόνι ὑπηρέται. — Ξενίαν καὶ ἑταιρίαν. Cf. *Cour.*, § 46. — Ὑποκοριζόμενοι, voilant la servitude sous de beaux noms honnêtes (τὸ αἰσχρὸν εὐφήμως ὀνομάζοντες, Suidas), comme font les parents qui désignent les infirmités de leurs enfants par des noms de tendresse. « Strabonem appellat pætum pater,... illum *balbutit* (ὑποκορίζεται) « scaurum, pravis fultum male talis. » Horace, *Sat.*, I, III, 44 sqq.

12-13. Οἱ δὲ πολλοὶ..., le peuple et les (autres) autorités souveraines, quelles qu'elles soient dans chaque ville. — Οὓς est le sujet, et τούτους le régime, de κολάζειν.

15. Ζηλοῦσι. Cf. *Phil.* III, § 39 : Ζῆλος εἴ τις εἴληφέ τι.

18. Τὴν ἡγεμονίαν : non de la Grèce, mais des Magnètes, des Perrhébiens et autres sujets des Thessaliens. [Scholiaste.]

ἀκροπόλεις αὐτῶν ἐνίων Μακεδόνες φρουροῦσιν· εἰς Πελοπόννησον δ' εἰσελθὸν τὰς ἐν Ἤλιδι σφαγὰς πεποίηκεν, καὶ τοσαύτης παρανοίας καὶ μανίας ἀνέπλησε τοὺς ταλαιπώρους ἐκείνους ὥσθ', ἵν' ἀλλήλων ἄρχωσι καὶ Φιλίππῳ χαρίζωνται, συγγενεῖς αὑτῶν καὶ πολίτας μιαιφονεῖν. [261] Καὶ οὐδ' ἐνταῦθ' ἕστηκεν, ἀλλ' εἰς Ἀρκαδίαν εἰσελθὸν πάντ' ἄνω καὶ κάτω τἀκεῖ πεποίηκεν, καὶ νῦν Ἀρκάδων πολλοί, προσῆκον αὐτοῖς ἐπ' ἐλευθερίᾳ μέγιστον φρονεῖν ὁμοίως ὑμῖν (μόνοι γὰρ πάντων αὐτόχθονες ὑμεῖς ἐστε κἀκεῖνοι), Φίλιππον θαυμάζουσι καὶ χαλκοῦν 425 ἱστᾶσι καὶ στεφανοῦσι, καὶ τὸ τελευταῖον, ἂν εἰς Πελοπόννησον ἴῃ, δέχεσθαι ταῖς πόλεσιν εἰσὶν ἐψηφισμένοι· ταὐτὰ δὲ ταῦτ' εἰσὶν Ἀργεῖοι. [262] Ταῦτα νὴ τὴν Δήμητρα, εἰ δεῖ μὴ ληρεῖν, εὐλαβείας οὐ μικρᾶς δεῖται, ὡς βαδίζον γε κύκλῳ καὶ δεῦρ' ἐλήλυθεν, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ νόσημα τοῦτο. Ἕως οὖν ἔτ' ἐν ἀσφαλεῖ, φυλάξασθε καὶ τοὺς πρώτους εἰσαγαγόντας ἀτιμώσατε· εἰ δὲ μή, σκοπεῖθ' ὅπως μὴ τηνικαῦτ' εὖ λέγεσθαι δόξει τὰ νῦν εἰρημένα, ὅτ' οὐδ' ὅ τι χρὴ ποιεῖν ἕξετε. [263] Οὐχ ὁρᾶθ' ὡς ἐναργές, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ σαφὲς παράδειγμ' οἱ ταλαίπωροι γεγόνασιν Ὀλύνθιοι; οἳ παρ' οὐδὲν οὕτως ὡς τὸ τοιαῦτα ποιεῖν ἀπολώλασιν, οἱ δείλαιοι. Ἔχοιτε δ' ἂν ἐξετάσαι καθαρῶς ἐκ τῶν συμβεβηκότων αὐτοῖς. Ἐκεῖνοι γάρ, ἡνίκα μὲν τετρακοσίους ἱππέας ἐκέκτηντο μόνον καὶ σύμπαντες οὐδὲν ἦσαν πλείους πεντακισχιλίων τὸν ἀριθμόν, οὔπω Χαλκιδέων πάντων εἰς ἓν συνῳκισμένων, [264] Λακεδαιμονίων ἐπ' αὐτοὺς ἐλθόντων πολλῇ καὶ πεζῇ καὶ ναυτικῇ δυνάμει (ἴστε γὰρ δήπου τοῦθ', ὅτι γῆς καὶ θαλάττης ἦρχον ὡς ἔπος εἰπεῖν Λακε-

NC. 3. παρανομίας F. — ἀνέπλησε Herwerden. ενέπλησε mss. Cf. *Lept.* 28; *Tim.* 205. — 7. προσῆκον S[1]. — ἡμῖν S et L seuls. — ἁπάντων vulg. — 12. εἰσὶν Ἀργεῖοι S et L. Ἀργεῖοι vulg. — 13. βαδιζων S[1]. — 14. ἐλήλυθεν S et L[2] seuls. εἰσελήλυθεν L[1] et vulg. — ἔτ' S seul. ἐστ' on ἐστὲ vulg. et marge de S. — 17. δόξῃ vulg. — 19. ὡς τὸ. Variantes : ὡς τὰ et ὡς τὸ τά. — 22. Peut-être ἱππέας τετρακοσίους.

2. Ἐν Ἤλιδι. Cf. § 294; *Phil.* IV, § 10; III, § 27.

3. Ἀνέπλησε, infecta.

14-15. Ἔτ' ἐν ἀσφαλεῖ : sous-ent. ἐστὶ τὰ πράγματα. Cf. *Phil* II, § 35; III, § 70.

19. Παρ' οὐδέν. Cf. § 42 et *Phil.* I, § 11 : Οὐδὲ γὰρ οὗτος παρὰ τὴν αὑτοῦ ῥώμην τοσοῦτον ἐπηύξηται.

24-25. Λακεδαιμονίων.... ἐλθόντων. En 383. Voy. Xénophon, *Hell.*, V, II et III.

δαιμόνιοι κατ' ἐκείνους τοὺς χρόνους), ἀλλ' ὅμως τηλικαύτης ἐπ' αὐτοὺς ἐλθούσης δυνάμεως οὔτε τὴν πόλιν οὔτε φρούριον οὐδὲν ἀπώλεσαν, ἀλλὰ καὶ μάχας πολλὰς ἐκράτησαν καὶ τρεῖς τῶν πολεμάρχων ἀπέκτειναν καὶ τὸ τελευταῖον, ὅπως ἐβούλοντο, οὕτω τὸν πόλεμον κατέθεντο. [265] Ἐπειδὴ δὲ δωροδοκεῖν ἤρξαντό τινες, καὶ δι' ἀβελτερίαν οἱ πολλοί, μᾶλλον δὲ διὰ δυστυχίαν, τούτους πιστοτέρους ἡγήσαντο τῶν ὑπὲρ αὐτῶν 426 λεγόντων, καὶ Λασθένης μὲν ἤρεψε τὴν οἰκίαν τοῖς ἐκ Μακεδονίας δοθεῖσι ξύλοις, Εὐθυκράτης δὲ βοῦς ἔτρεφε πολλὰς τιμὴν οὐδενὶ δούς, ἕτερος δέ τις ἧκεν ἔχων πρόβατα, ἄλλος δέ τις ἵππους, οἱ δὲ πολλοί, [καὶ] καθ' ὧν ταῦτ' ἐγίγνετο, οὐχ ὅπως ὠργίζοντο ἢ κολάζειν ἠξίουν τοὺς ταῦτα ποιοῦντας, ἀλλ' ἀπέβλεπον, ἐζήλουν, ἐτίμων, ἄνδρας ἡγοῦντο, — [266] ἐπειδὴ ταῦθ' οὕτω προήγετο καὶ τὸ δωροδοκεῖν ἐκράτησεν, χιλίους μὲν ἱππέας κεκτημένοι, πλείους δ' ὄντες ἢ μύριοι, πάντας δὲ τοὺς περιχώρους ἔχοντες συμμάχους, μυρίοις δὲ ξένοις καὶ τριήρεσι πεντήκονθ' ὑμῶν βοηθησάντων αὐτοῖς, καὶ ἔτι τῶν πολιτῶν τετρακισχιλίοις, οὐδὲν αὐτοὺς τούτων ἐδυνήθη σῶσαι, ἀλλὰ πρὶν μὲν ἐξελθεῖν ἐνιαυτὸν τοῦ πολέμου τὰς πόλεις ἁπάσας ἀπωλωλέκεσαν τὰς ἐν τῇ Χαλκιδικῇ οἱ προδιδόντες, καὶ Φίλιππος οὐκ ἐπεῖχεν ὑπακούων τοῖς προδιδοῦσιν, οὐδ' εἶχεν

NC. 8-9. ἐκ λακεδαιμονίας S et, à ce qu'il semble, L[1]. — 11. καί, avant καθ', a été écarté par Dobree. — 13. ἐπειδὴ δὲ Reiske. — 19. τοῦ πολέμου. Weidner écarte ces mots. — 20. οἱ προδιδόντες L et vulg. προδιδόντες S et A. Cette leçon, adoptée par les derniers éditeurs allemands, n'offre point de sens satisfaisant; mais la vulgate laisse aussi à désirer. Peut-être : προδεδομένας. On peut aussi supprimer le participe, avec Markland, Taylor et Dobree. — 21. οὐκ ἐπεῖχεν ὑπακούων est notre conjecture. οὐχ ὑπεῖχεν ὑπακούων S, L[1] et A : leçon qu'on cherche vainement à expliquer. οὐκέτ' εἶχεν ὑπακούειν (désagréable avant οὐδ' εἶχεν) vulg.

3-4. Τρεῖς τῶν πολεμάρχων. Scholiaste : Τελευτίας, Ἀγησιλάου ἀδελφός· μετ' αὐτὸν Ἀγησίπολις· τρίτος Πολυβιάδης, πρὸς οὓς (lisez : πρὸς ὃν) τὰς διαλύσεις οἱ Ὀλύνθιοι ἐπεποίηντο. Teleutias et Agésipolis moururent en effet dans ces campagnes. Mais quel est le troisième polémarque que Démosthène avait en vue? L'orateur s'est peut-être trompé.

4-5. Ὅπως ἐβούλοντο.... κατέθεντο. En 379. Démosthène s'exprime en orateur. Olynthe n'obtint la paix qu'à condition d'entrer dans la confédération lacédémonienne. [Shilleto.]

18. Οὐδὲν αὐτούς.... Ce léger anacoluthe est d'autant plus naturel, pour ne pas dire nécessaire, que les nominatifs κεκτημένοι, ὄντες, ἔχοντες, sont suivis du génitif absolu βοηθησάντων.

21. Οὐκ ἐπεῖχεν ὑπακούων τοῖς προδιδοῦσιν, il avait sans cesse à prêter l'oreille aux propositions des traîtres. Cf.

ὅ τι πρῶτον λάβῃ. [267] Πενταχοσίους δ' ἱππέας προδοθέντας ὑπ' αὐτῶν τῶν ἡγουμένων ἔλαβεν αὐτοῖς ὅπλοις ὁ Φίλιππος, ὅσους οὐδεὶς πώποτ' ἄλλος ἀνθρώπων. Καὶ οὔτε τὸν ἥλιον ᾐσχύνονθ' οἱ ταῦτα ποιοῦντες οὔτε τὴν γῆν πατρίδ' οὖσαν, ἐφ' ἧς ἕστασαν, οὔθ' ἱερὰ οὔτε τάφους οὔτε τὴν μετὰ ταῦτα γενησομένην αἰσχύνην ἐπὶ τοιούτοις ἔργοις· οὕτως ἔκφρονας, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ παραπλῆγας τὸ δωροδοκεῖν ποιεῖ. Ὑμᾶς οὖν, ὑμᾶς εὖ φρονεῖν δεῖ τοὺς πολλούς, καὶ μὴ ἐπιτρέπειν τὰ τοιαῦτα, ἀλλὰ κολάζειν δημοσίᾳ. Καὶ γὰρ ἂν καὶ ὑπερφυὲς εἴη, εἰ κατὰ μὲν τῶν Ὀλυνθίους προδόντων πολλὰ καὶ δείν' ἐψηφίσασθε, τοὺς δὲ παρ' ὑμῖν αὐτοῖς ἀδικοῦντας μὴ κολάζοντες φαίνοισθε. Λέγε τὸ ψήφισμά μοι τὸ περὶ τῶν Ὀλυνθίων.

ΨΗΦΙΣΜΑ. 427

[268] Ταῦθ' ὑμεῖς, ὦ ἄνδρες δικασταί, ὀρθῶς καὶ καλῶς πᾶσιν Ἕλλησι καὶ βαρβάροις δοκεῖτ' ἐψηφίσθαι κατ' ἀνδρῶν προδοτῶν καὶ θεοῖς ἐχθρῶν. Ἐπειδὴ τοίνυν τὸ δωροδοκεῖν πρότερον τοῦ τὰ τοιαῦτα ποιεῖν ἐστι καὶ δι' ἐκεῖνο καὶ τάδε πράττουσί τινες, ὃν ἄν, ὦ ἄνδρες Ἀθηναῖοι, δωροδοκοῦντ' ἴδητε, τοῦτον καὶ προδότην εἶναι νομίζετε. Εἰ δ' ὁ μὲν καιρούς, ὁ δὲ πράγματα, ὁ δὲ στρατιώτας προδίδωσιν, ὧν ἂν ἕκαστος ὑμῖν, οἶμαι, κύριος γένηται, ταῦτα διαφθείρει· μισεῖν δ' ὁμοίως τοὺς τοιούτους πάντας προσήκει.

NC. 1-2. λάβοι et [ὁ Φίλιππος] Herwerden. — ἡγεμόνων vulg. — Peut-être αὐτοῖς ἵπποις. — 6. τοῖς τοιούτοις L, vulg. — 13. ψηφισματα S, avec une croix au-dessus de τα, et L. — 15. Ἕλλησί τε vulg. Cf. § 317. — 20. ὑμῖν Rauchenstein, *Jahrbücher für Philologie*, 1868, p. 592. παρ' ὑμῶν, conjecture de Vœmel. ὑμῶν S, L et vulg. Ce mot est omis dans A et les manuscrits de la même famille. — 22. ἅπαντας vulg.

Aristophane, *Chevaliers*, 914 seq. : Παλαιὰν ναῦν ἔχοντ', | εἰς ἣν ἀναλῶν οὐκ ἐφέξεις οὐδὲ ναυπηγούμενος.

2. Αὐτοῖς ὅπλοις. Cf. NC.

5-6. Τὴν.... αἰσχύνην. Si ce membre de phrase était plus rapproché du verbe ᾐσχύνοντο, l'orateur aurait sans doute écrit τὴν.... φήμην ou τὴν.... μνήμην.

19-22 Εἰ δ' ὁ μὲν καιρούς,... προσήκει. Livrer à l'ennemi l'occasion d'agir peut sembler moins coupable que de lui livrer un corps de troupes. Mais, répond Démosthène à cette objection sous-entendue, chacun ne peut trahir que ce qui est en son pouvoir, et toutes ces trahisons sont également détestables.

[269] Ἔστι δ' ὑμῖν, ὦ ἄνδρες Ἀθηναῖοι, περὶ τούτων μόνοις τῶν πάντων ἀνθρώπων οἰκείοις χρῆσθαι παραδείγμασι, καὶ τοὺς προγόνους, οὓς ἐπαινεῖτε δικαίως, ἔργῳ μιμεῖσθαι. Εἰ μὴ τὰς μάχας μηδὲ τὰς στρατείας μηδὲ τοὺς κινδύνους, ἐν οἷς ἦσαν ἐκεῖνοι λαμπροί, συμβαίνει καιρός, ἀλλ' ἄγεθ' ἡσυχίαν ὑμεῖς ἐν τῷ παρόντι, ἀλλὰ τό γ' εὖ φρονεῖν αὐτῶν μιμεῖσθε. [270] Τούτου γὰρ πανταχοῦ χρεία, καὶ οὐδέν ἐστι πραγματωδέστερον οὐδ' ὀχληρότερον τὸ καλῶς φρονεῖν τοῦ κακῶς, ἀλλ' ἐν τῷ ἴσῳ χρόνῳ νυνὶ καθήμενος ὑμῶν ἕκαστος, ἂν μὲν ἃ χρὴ γιγνώσκῃ περὶ τῶν πραγμάτων καὶ ψηφίζηται, βελτίω τὰ κοινὰ ποιήσει τῇ πόλει καὶ ἄξια τῶν προγόνων πράξει, ἂν δ' ἃ μὴ δεῖ, φαυλότερα καὶ ἀνάξια τῶν προγόνων ποιήσει. Τί οὖν ἐκεῖνοι περὶ τούτων ἐφρόνουν; ταυτὶ λαβὼν ἀνάγνωθι, γραμματεῦ· δεῖ γὰρ ὑμᾶς ἰδεῖν ὅτι ἐπὶ τοῖς τοιούτοις [ἔργοις] ῥαθυμεῖθ' ὧν θάνατον κατεγνώκασιν οἱ πρόγονοι. Λέγε.

428

ΣΤΗΛΗ.

[271] Ἀκούετ', ὦ ἄνδρες Ἀθηναῖοι, τῶν γραμμάτων λεγόντων Ἄρθμιον τὸν Πυθώνακτος τὸν Ζελείτην ἐχθρὸν εἶναι καὶ πολέμιον τοῦ δήμου τοῦ Ἀθηναίων καὶ τῶν συμμάχων αὐτὸν καὶ γένος πᾶν. Διὰ τί; ὅτι τὸν χρυσὸν τὸν ἐκ τῶν βαρβάρων

NC. 2. τῶν ἄλλων A. — 3. εἰ S et F. καὶ γὰρ εἰ L et marge ancienne de S. — 5-6. συμβαίνει καιρός. Vulgate : ἐν τοῖς νῦν συμβαίνει μιμεῖσθαι καιροῖς. — Cobet regarde comme interpolés les mots : ἀλλ' ἄγεθ'.... παρόντι. — 12. ποιήσει (après προγόνων) était suspect à Dobree. On pourrait aussi supprimer πράξει. — 14. ἰδεῖν S seul. εἰδέναι L et vulg. — J'écarte ἔργοις. — 15. ὑμῶν οἱ πρ. A. — 16. στήλη A. γραμματα εκλογης S et L. — 20. καὶ γένος : mots ajoutés dans S par une main ancienne. — τὸν χρυσὸν τὸν ἐκ A, et *Phil.* III, 42. Ici, S, L et la plupart des mss omettent le second τόν.

2. Οἰκείοις χρῆσθαι παραδείγμασι. Cf. *Olynth.* III, § 23.

5-6. Συμβαίνει καιρός : sous-ent. μιμεῖσθαι. — Ἀλλ(ά)..., ἀλλά... (γε), mais..., du moins....

9-10. Ἐν τῷ ἴσῳ χρόνῳ.... καθήμενος, sans vous déranger, tranquillement assis sur vos bancs, et même sans prolonger la séance : car un bon vote ne prend pas plus de temps qu'un vote mauvais.

12. Φαυλότερα.... ποιήσει. L'antithèse exacte demanderait : Φαυλότερ' αὐτὰ ποιήσει καὶ ἀνάξια.... πράξει. Le texte est suspect. Voy. *NC*.

14. Τοῖς τοιούτοις : au masculin.

18. Ἄρθμιον.... Cf. *Phil.* III, § 42 sqq.

εἰς τοὺς Ἕλληνας ἤγαγεν. Οὐκοῦν ἔστιν, ὡς ἔοικεν, ἐκ τούτων ἰδεῖν ὅτι οἱ πρόγονοι μὲν ὑμῶν, ὅπως μηδ' ἄλλος ἀνθρώπων μηδεὶς ἐπὶ χρήμασι μηδὲν ἐργάσεται κακὸν τὴν Ἑλλάδα, ἐφρόντιζον, ὑμεῖς δ' οὐδὲ τὴν πόλιν αὐτὴν ὅπως μηδεὶς τῶν πολιτῶν ἀδικήσει προορᾶσθε. [272] Νὴ Δί', ἀλλ' ὅπως ἔτυχε ταῦτα τὰ γράμμαθ' ἕστηκεν. Ἀλλ', ὅλης οὔσης ἱερᾶς τῆς ἀκροπόλεως ταυτησὶ καὶ πολλὴν εὐρυχωρίαν ἐχούσης, παρὰ τὴν χαλκῆν τὴν μεγάλην Ἀθηνᾶν ἐκ δεξιᾶς ἕστηκεν, ἣν ἀριστεῖον ἡ πόλις τοῦ πρὸς τοὺς βαρβάρους πολέμου, δόντων τῶν Ἑλλήνων τὰ χρήματα ταῦτ', ἀνέθηκεν. Τότε μὲν τοίνυν οὕτω σεμνὸν ἦν τὸ δίκαιον καὶ τὸ κολάζειν τοὺς τὰ τοιαῦτα ποιοῦντας ἔντιμον, ὥστε τῆς αὐτῆς ἠξιοῦτο στάσεως τό τ' ἀριστεῖον τῆς θεοῦ καὶ αἱ κατὰ τῶν τὰ τοιαῦτ' ἀδικούντων τιμωρίαι· νῦν δὲ γέλως, ἄδεια, αἰσχύνη, εἰ μὴ τὴν ἄγαν ταύτην ἐξουσίαν σχήσετε νῦν ὑμεῖς. [273] Νομίζω τοίνυν ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, οὐ καθ' ἕν τι μόνον τοὺς προγόνους μιμουμένους ὀρθῶς ἂν ποιεῖν, ἀλλὰ καὶ κατὰ πάνθ' ὅσ' ἔπραττον ἐφεξῆς. Ἐκεῖνοι τοίνυν, ὡς ἅπαντες, εὖ οἶδ' ὅτι, τὸν λόγον τοῦτον ἀκηκόατε, Καλλίαν τὸν Ἱππονίκου ταύτην τὴν ὑπὸ πάντων θρυλουμένην εἰρήνην πρεσβεύσαντα, ἵππου μὲν δρόμον ἡμέρας πεζῇ μὴ καταβαίνειν
ἐπὶ τὴν θάλατταν βασιλέα, ἐντὸς δὲ Χελιδονίων καὶ Κυανέων 429
πλοίῳ μακρῷ μὴ πλεῖν, ὅτι δῶρα λαβεῖν ἔδοξε πρεσβεύσας, μικροῦ μὲν ἀπέκτειναν, ἐν δὲ ταῖς εὐθύναις πεντήκοντ' ἐπρά-

NC. 2. ἡμῶν S. — 3-5. ἐργάσηται et ἀδικήσῃ vulg. — 5. Cobet demande : ὅπου ἔτυχε. — 8. Var. : ἐν δεξιᾷ. — 10. τὰ χρήματα ταῦτ' : mots suspects. — 14. αἰσχύνη manque dans S seul. L'oreille demande trois mots. γέλως κομιδῇ (cf. § 332) Herwerden. — 21. χελιδονειων S. χελιδονέων L et vulg. L'orthographe de ce nom, ainsi que l'accentuation du nom suivant, est douteuse.

2. Μηδ' ἄλλος ἀνθρώπων, étant opposé à μηδεὶς τῶν πολιτῶν, désigne évidemment tout homme, soit grec, soit barbare, en dehors des citoyens d'Athènes.

5. Νὴ Δί', ἀλλ(ά). Objection supposée par l'orateur. — Ὅπως ἔτυχε, « au hasard », ce qui signifie ici, quoique les mots ne le disent pas expressément, « dans la première place venue ».

7-8. Τὴν χαλκῆν.... Ἀθηνᾶν. C'est la grande Ἀθηνᾶ Πρόμαχος de Phidias. Cf. Pausanias, I, 28, 2. K. O. Müller, *Archéol.*, § 116, 3.

9-10. Τὰ χρήματα ταῦτ(α), l'argent employé à faire cette statue. Cependant cette brachylogie est singulière, et on se passerait volontiers de ces trois mots.

13-14. Γέλως, on en rit; ἄδεια, les traîtres n'ont rien à craindre; αἰσχύνη, Athènes se couvre de honte.

19. Τὴν.... εἰρήνην. Cf. *Rhodiens*, § 29, avec la note.

ξαντο τάλαντα. [274] Καίτοι καλλίω ταύτης εἰρήνην οὔτε πρότερον οὔθ' ὕστερον οὐδεὶς ἂν εἰπεῖν ἔχοι πεποιημένην τὴν πόλιν. Ἀλλ' οὐ τοῦτ' ἐσκόπουν. Τούτου μὲν γὰρ ἡγοῦντο τὴν αὐτῶν ἀρετὴν καὶ τὴν τῆς πόλεως δόξαν αἰτίαν εἶναι, τοῦ δὲ προῖκα ἢ μὴ τὸν τρόπον τοῦ πρεσβευτοῦ· τοῦτον οὖν δίκαιον ἠξίουν παρέχεσθαι καὶ ἀδωροδόκητον τὸν προσιόντα τοῖς κοινοῖς. [275] Ἐκεῖνοι μὲν τοίνυν οὕτως ἐχθρὸν ἡγοῦντο τὸ δωροδοκεῖν καὶ ἀλυσιτελὲς τῇ πόλει, ὥστε μήτ' ἐπὶ πράξεως μηδεμιᾶς μήτ' ἐπ' ἀνδρὸς ἐᾶν γίγνεσθαι· ὑμεῖς δ', ὦ ἄνδρες Ἀθηναῖοι, τὴν αὐτὴν εἰρήνην ἑορακότες τὰ μὲν τῶν συμμάχων τῶν ὑμετέρων τείχη καθῃρηκυῖαν, τὰς δὲ τῶν πρέσβεων οἰκίας οἰκοδομοῦσαν, καὶ τὰ μὲν τῆς πόλεως κτήματ' ἀφῃρημένην, τούτοις δ' ἃ μηδ' ὄναρ ἤλπισαν πώποτε κτησαμένην, οὐκ αὐτοὶ τούτους ἀπεκτείνατε, ἀλλὰ κατηγόρου προσδεῖσθε, καὶ λόγῳ κρίνεθ' ὧν ἔργῳ τἀδικήματα πάντες ὁρῶσιν.

[276] Οὐ τοίνυν τὰ παλαί' ἄν τις ἔχοι μόνον εἰπεῖν καὶ διὰ τούτων τῶν παραδειγμάτων ὑμᾶς ἐπὶ τιμωρίαν παρακαλέσαι· ἀλλ' ἐφ' ὑμῶν τουτωνί <τινων> [τῶν ἔτι ζώντων ἀνθρώπων] πολλοὶ δίκην δεδώκασιν, ὧν ἐγὼ τοὺς μὲν ἄλλους παραλείψω, τῶν δ' ἐκ πρεσβείας, ἣ πολὺ ταύτης ἐλάττω κακὰ τὴν πόλιν εἴργασται, θανάτῳ ζημιωθέντων ἑνὸς ἢ δυοῖν ἐπιμνησθήσομαι. Καί μοι λέγε τουτὶ τὸ ψήφισμα λαβών.

430

ΨΗΦΙΣΜΑ.

[277] Κατὰ τουτὶ τὸ ψήφισμ', ὦ ἄνδρες Ἀθηναῖοι, τῶν

NC. 7. μὲν οὖν A. — 14. Variante vicieuse : ἀποκτενεῖτε. — 16. πάλαι S et L[1]. — 18. τῶν ἔτι ζώντων ἀνθρώπων. Cobet, *Var. Lect.*, p. 384, juge que ces mots sont une interpolation ; et, quoi qu'en disent les derniers éditeurs, nous sommes de son avis. Au premier abord, ces mots peuvent sembler simplement inutiles, et c'est pour cette raison que Cobet les retranche. Mais ce qu'on lira au paragraphe 280 nous force de traduire : « du temps de ceux d'entre vous, ici présents, qui sont encore en vie. » Apparemment, le reste de l'assemblée se compose d'hommes morts. Nous remplaçons par τινων la glose tirée du paragraphe 280. — 20. ἐλάττω κατὰ τὴν S et L.

5. Τοῦτον, c'est-à-dire τὸν τρόπον.

8-9. Ἐπὶ πράξεως.... ἀνδρός, dans aucune négociation (quels qu'en fussent les avantages), ni dans aucun personnage (quel qu'en fût le mérite).

13. Ἃ μηδ' ὄναρ ἤλπισαν πώποτε : sous-ent. κτήσεσθαι. Cf. *Réformes*, § 30.

18. Ἐφ' ὑμῶν τουτωνί τινων, du temps de quelques-uns d'entre vous ici présents. Voy. § 260 : Αὐτῶν ἐνίων, et *NC*.

πρέσβεων ἐκείνων ὑμεῖς θάνατον κατέγνωτε, ὧν εἷς ἦν Ἐπικράτης, ἀνήρ, ὡς ἐγὼ τῶν πρεσβυτέρων ἀκούω, σπουδαῖος καὶ πολλὰ χρήσιμος τῇ πόλει καὶ τῶν ἐκ Πειραιῶς καταγαγόντων τον δῆμον καὶ ἄλλως δημοτικός. Ἀλλ' ὅμως οὐδὲν αὐτὸν ὠφέλησε τούτων, δικαίως· οὐ γὰρ ἐφ' ἡμισείᾳ χρηστὸν εἶναι δεῖ τὸν τὰ τηλικαῦτα διοικεῖν ἀξιοῦντα, οὐδὲ τὸ πιστευθῆναι προλαβόντα παρ' ὑμῶν εἰς τὸ μείζω δύνασθαι κακουργεῖν καταχρῆσθαι, ἀλλ' ἁπλῶς μηδὲν ὑμᾶς ἀδικεῖν ἑκόντα. [278] Εἰ τοίνυν τι τούτοις ἄπρακτόν ἐστι τούτων ἐφ' οἷς ἐκείνων θάνατος κατέγνωσται, ἔμ' ἀποκτείνατ' ἤδη. Σκοπεῖτε γάρ. « Ἐπειδὴ παρὰ « τὰ γράμματα » φησὶν « ἐπρέσβευσαν ἐκεῖνοι » [τὸ ψήφισμα]· καὶ τοῦτ' ἔστι τῶν ἐγκλημάτων πρῶτον. Οὗτοι δ' οὐ παρὰ τὰ γράμματα; οὐ τὸ μὲν ψήφισμα « Ἀθηναίοις καὶ τοῖς Ἀθηναίων « συμμάχοις », οὗτοι δὲ Φωκέας ἐκσπόνδους ἀπέφηναν; οὐ τὸ μὲν ψήφισμα « τοὺς ἄρχοντας ὁρκοῦν τοὺς ἐν ταῖς πόλεσιν », οὗτοι δέ, οὓς Φίλιππος αὐτοῖς προσέπεμψεν, τούτους ὥρκισαν; οὐ τὸ μὲν ψήφισμα « οὐδαμοῦ μόνους ἐντυγχάνειν Φιλίππῳ »,

NC. 1. Variante κατεγνώκατε. — 3. πειραιεως S et L. — 5. δικαίως; (fin d'une ligne) μισει αιδει (*i. e.* μισεία δεῖ) S[1] : une main ancienne a comblé les deux lacunes. — 6. τὸν τὰ L et vulg. τὸν S[1], A. — 6-7. Variante vicieuse : προσλαβόντα. — 11. τὸ ψήφισμα S seul. καὶ τὸ ψήφισμα L et vulg. La glose, omise dans A, a été d'abord supprimée par Reiske. Elle obscurcit ce passage, en faisant croire au lecteur que les mots τὸ μὲν ψήφισμα se rapportent au même décret. — 12. πρῶτον S et L seuls. τὸ πρῶτον vulg. — 14. συμμάχοις S et A. συμμάχοις εἶναι κελεύει τὴν εἰρήνην L et vulg. — 16. ὁ Φίλιππος vulg. — 17. μόνους μόνῳ Cobet, *Var. Lect.*, p. 112, et Dindorf, d'après *Cour.*, § 137. Cependant la défense a plus de portée sans cette restriction.

1. Ἐπικράτης. Harpocration : Οὗτός ἐστιν ὁ τῶν Ἀθηναίων δημαγωγὸς ὁ σακεσφόρος ἐπικαλούμενος. C'est l'épithète du grand Ajax, tournée en sobriquet pour désigner la longue barbe (ὁ σάκος) de ce personnage. Voy. Aristophane, *Eccles.*, 71, avec la scholie, et Meineke, *Fragm. comic.*, I, p. 482 sq. Plutarque, *Pélop.*, 31, et Hégésandre dans Athénée, VI, p. 251 A, racontent comme quoi Épicrate se vanta des présents qu'il avait reçus d'Artaxerce, et resta impuni. Bergk, *De reliquiis comœdiæ Atticæ*, p. 391 sq., suppose qu'il fut condamné une autre fois, après les négociations qui eurent lieu à Sardes, et qui aboutirent à la paix d'Antalcide.

3. Ἐκ Πειραιῶς. Cf. *Lept.*, §§ 11 et 149.

7. Εἰς τὸ.... Construisez : καταχρῆσθαι (τῷ πιστευθῆναι) εἰς τὸ δύνασθαι κακουργεῖν μείζω.

10-11. Παρὰ τὰ γράμματα, contrairement à leur instruction. — Φησίν, dit le décret par lequel Épicrate et ses collègues furent condamnés.

13. Τὸ μὲν ψήφισμα, sous-ent. φησίν. Il s'agit du décret qui devait servir d'instruction à Eschine et aux autres ambassadeurs. — Avant Ἀθηναίοις, on peut sous-entendre εἶναι δεῖ τὴν εἰρήνην.

16. Οὓς Φίλιππος.... Cf. § 168, avec la note.

οὗτοι δ' οὐδὲν ἐπαύσαντ' ἰδίᾳ χρηματίζοντες; [279] « Καὶ « ἠλέγχθησάν τινες αὐτῶν ἐν τῇ βουλῇ οὐ τἀληθῆ ἀπαγγέλ- « λοντες. » Οὗτοι δέ γε καὶ ἐν τῷ δήμῳ. Καὶ ὑπὸ τοῦ; τοῦτο γάρ ἐστι τὸ λαμπρόν· ὑπ' αὐτῶν τῶν πραγμάτων· οἷς γὰρ ἀπήγγειλαν οὗτοι, πάντα δήπου γέγονεν τἀναντία. « Οὐδ' ἐπι-
431 « στέλλοντες » φησὶ « τἀληθῆ. » Οὐκοῦν οὐδ' οὗτοι. « Καὶ « καταψευδόμενοι τῶν συμμάχων καὶ δῶρα λαμβάνοντες. » Ἀντὶ μὲν τοίνυν τοῦ καταψευδόμενοι παντελῶς ἀπολωλεκότες· πολλῷ δὲ δήπου τοῦτο δεινότερον τοῦ καταψεύσασθαι. Ἀλλὰ μὴν ὑπέρ γε τοῦ δῶρ' εἰληφέναι, εἰ μὲν ἠρνοῦντο, ἐξελέγχειν λοιπὸν ἂν ἦν, ἐπειδὴ δ' ὡμολόγουν, ἀπάγειν δήπου προσῆκεν. [280] Τί οὖν, ὦ ἄνδρες Ἀθηναῖοι; τούτων οὕτως ἐχόντων, ὑμεῖς ἐκείνων τῶν ἀνδρῶν ὄντες, οἱ δὲ καὶ τινὲς αὐτῶν ἔτι ζῶντες, ὑπομενεῖτε τὸν μὲν εὐεργέτην τοῦ δήμου καὶ τὸν ἐκ Πειραιῶς, Ἐπικράτην, ἐκπεσεῖν ἢ κολασθῆναι; καὶ πάλιν πρῴην Θρασύβουλον ἐκεῖνον, τὸν Θρασυβούλου τοῦ δημοτικοῦ, [καὶ] τοῦ ἀπὸ Φυλῆς καταγαγόντος τὸν δῆμον, τάλαντα δέκ' ὠφληκέναι, καὶ τὸν ἀφ' Ἁρμοδίου καὶ τῶν τὰ μέγιστ' ἀγάθ'

NC. 4. ἐστιν S. — 8. ἀντὶ.... τοῦ καταψεύδεσθαι vulg. — 11. τὸ λοιπὸν vulg. — ὡμολόγουν S. ὁμολογοῦσιν L et vulg. — 13. ἐξ ἐκείνων Dobree. — 14. καὶ τῶν A[1], et Dindorf. καὶ τὸν vulg. — πειραιεως S. — 15. J'écris ἢ pour καί. — 16. Θρασύβουλον ἐκεῖνον τὸν. Dans S, ces mots sont ajoutés en marge par une main ancienne. — 17. [καὶ] Dobree et Dindorf. — 18. Variante vicieuse : καὶ τῶν ἀφ'. — Ἁρμοδίου S[1], texte de L, et A. Ἁρμοδίου καὶ Ἀριστογείτονος vulg. Cf. *Lept.*, § 18 *NC.* — καὶ Ἀριστογείτονος τῶν Markland et Dindorf.

2. Ἐν τῇ βουλῇ. Ces mots se rattachent à ἀπαγγέλλοντες.

3-4. Τοῦτο.... τῶν πραγμάτων. Voy. la note sur le paragraphe 120.

6. Οὐκοῦν οὐδ' οὗτοι, or ces hommes ne le firent pas non plus. Cf. § 174.

8. Ἀντὶ.... ἀπολωλεκότες, au lieu de « nuisant par des mensonges », il faut dire dans le cas présent « ayant complétement ruiné ».

11. Ὡμολόγουν. Philocrate avait fait cet aveu (§ 119) ; Démosthène met Eschine et les autres sur le même rang que cet homme éhonté. [Shilleto.] — Ἀπάγειν. Voy. la note sur *Lept.*, § 156.

13. Ἐκείνων.... ὄντες, issus de ces hommes. Cependant la tournure est amphibologique. Cf. *NC.* — Οἱ δὲ.... τινές. Cf. Thucydide, II, 90 : τὰς δέ τινας.... ἀφεῖλον.

14-15. Καὶ τῶν ἐκ Πειραιῶς. Indication rapide de ce qui est dit plus explicitement au paragraphe 277.

15. Ἐκπεσεῖν ἢ κολασθῆναι, allât en exil ou subît le châtiment. Évidemment, Épicrate s'expatria. On essaie en vain de justifier la leçon ἐκπεσεῖν καὶ κολασθῆναι en expliquant ἐκπεσεῖν « perdre la faveur du peuple ». Ce sens demanderait un complément, tel que τῆς χάριτος.

17. Ἀπὸ Φυλῆς. Cf. Xénophon, *Hell.*, II, IV.

18. Τὸν ἀφ' Ἁρμοδίου. Suivant le scholiaste, il s'agit de Proxène, le même qui

ὑμᾶς εἰργασμένων, οὓς νόμῳ, διὰ τὰς εὐεργεσίας ἃς ὑπῆρξαν εἰς ὑμᾶς, ἐν ἅπασι τοῖς ἱεροῖς ἐπὶ ταῖς θυσίαις σπονδῶν καὶ κρατήρων κοινωνοὺς πεποίησθε καὶ ᾄδετε καὶ τιμᾶτ' ἐξ ἴσου τοῖς ἥρωσι καὶ τοῖς θεοῖς, [281] τούτους μὲν πάντας τὴν ἐκ τῶν νόμων δίκην ὑπεσχηκέναι, καὶ μήτε συγγνώμην μήτ' ἔλεον μήτε παιδία κλάονθ' ὁμώνυμα τῶν εὐεργετῶν μήτ' ἄλλο μηδὲν αὐτοὺς ὠφεληκέναι· τὸν δ' Ἀτρομήτου τοῦ γραμματιστοῦ καὶ Γλαυκοθέας τῆς τοὺς θιάσους συναγούσης, ἐφ' οἷς ἑτέρα τέθνηκεν ἱέρεια, τοῦτον ὑμεῖς λαβόντες, τὸν τῶν τοιούτων ⟨αἴτιον⟩, τὸν οὐδὲ καθ' ἓν χρήσιμον τῇ πόλει, οὐκ αὐτὸν, οὐ πατέρα, οὐκ ἄλλον οὐδένα τῶν τούτου, ἀφήσετε; [282] Ποῖος γὰρ ἵππος, ποία τριήρης, ποία στρατεία, τίς χορὸς, τίς λει- 432
τουργία, τίς εἰσφορὰ, τίς εὔνοια, ποῖος κίνδυνος, τί τούτων ἐν

NC. 1. ἡμᾶς S, L. — 2. ὑμᾶς A. ἡμᾶς S, L, vulg. — 10. αἴτιον est dû à Herwerden. — 11. ἀφήσετε se trouve, dans A, transposé après λαβόντες. — 12. στρατια S. — τίς χορός S et texte de L. ποία χορηγία, τίς χορηγός, ou π. χ., τίς χορός vulg. — 13. τίς κίνδυνος A. — τί τούτων S et L[1] seuls. τί τούτων ἁπάντων (ou τῶν πάντων) vulg.

est mentionné comme général aux paragraphes 50, 62 et *passim*. Sa condamnation était, sans doute, si récente que Démosthène n'avait pas besoin de prononcer son nom pour être compris.

1. Ὑπῆρξαν. Cf. *Olynth.*, I, § 10, avec la note.

3. Καὶ ᾄδετε. On connaît le scolion : Ἐν μύρτου κλαδὶ τὸ ξίφος φορήσω.

4. Τούτους μέν. Ce μέν reprend celui de la page 360, ligne 14 (τὸν μὲν εὐεργέτην), et est opposé au δέ de la ligne 7 (τὸν δ' Ἀτρομήτου).

6. Ὁμώνυμα τῶν εὐεργετῶν. Proxène avait sans doute donné le nom d'Harmodios à un de ses fils. [Scholiaste.]

8-9. Τοὺς θιάσους. Cf. § 199. — Ἐφ' οἷς, pratiques pour lesquelles. Trompés par le pluriel, les derniers éditeurs anglais expliquent à tort : ἐπὶ τούτοις ἐφ' οἷς, « pour des fins pour lesquelles ». — Ἑτέρα. Scholiaste : Λέγει δὲ τὴν Νίνον λεγομένην. Κατηγόρησε δὲ ταύτης Μενεκλῆς ὡς φίλτρα ποιούσης τοῖς νέοις. Cf. *Contre Bœotos*, I, § 2; II, § 9; Josèphe, *Apion*, II, 37.

11. Ἀφήσετε. Ce mot, séparé de τούτου par un hiatus intentionnel et un repos de voix sensible, ne saurait, quelque poids que lui donne le débit oratoire, balancer tout le reste de la longue phrase qui commence par τὸν δ' Ἀτρομήτου. On peut dire que cette disproportion peint l'inconvenance d'un acquittement scandaleux. Cf. *NC*.

11-13. Ποῖος.... ἵππος. Cf. *Contre Phénippe*, § 24 : Ἓν μόνον ἄν τις ἔχοι δεῖξαι τουτονὶ Φαίνιππον πεφιλοτιμημένον εἰς ὑμᾶς.... ἱπποτρόφος ἀγαθός ἐστι. — Τίς εὔνοια, ποῖος κίνδυνος. Après un premier groupe de trois ποῖος, et un second de trois τίς, ce troisième groupe, composé de deux membres de phrase, dans lesquels les deux interrogatifs alternent, résume les deux groupes qui le précèdent. Aussi n'est-il pas exact de dire, avec G. H. Schæfer, que εὔνοια est opposé à λειτουργία et à εἰσφορά. Au contraire, τίς εὔνοια se réfère au groupe des trois τίς : les chorégies, les autres liturgies, les contributions (surtout les volontaires, mais aussi les obligatoires, si elles sont fournies de bonne grâce et libéralement) sont des preuves du bon vouloir d'un citoyen. De même ποῖος κίνδυνος se réfère au groupe des trois ποῖος. Enfin τί τούτων, question

παντὶ τῷ χρόνῳ γέγονεν παρὰ τούτων τῇ πόλει; Καίτοι κἂν εἰ ταῦτα πάνθ' ὑπῆρχεν, ἐκεῖνα δὲ μὴ προσῆν, δικαίως καὶ προῖκα πεπρεσβευκέναι, ἀπολωλέναι δήπου προσῆκεν αὐτῷ. [283] Εἰ δὲ μήτε ταῦτα μήτ' ἐκεῖνα, οὐ τιμωρήσεσθε; οὐκ ἀναμνησθήσεσθ' ὧν κατηγορῶν ἔλεγεν Τιμάρχου, ὡς οὐδέν ἐστ' ὄφελος πόλεως ἥτις μὴ νεῦρ' ἐπὶ τοὺς ἀδικοῦντας ἔχει, οὐδὲ πολιτείας ἐν ᾗ συγγνώμη καὶ παραγγελία τῶν νόμων μεῖζον ἰσχύουσιν· οὐδ' ἐλεεῖν ὑμᾶς οὔτε τὴν μητέρα δεῖν τὴν Τιμάρχου, γραῦν γυναῖκα, οὔτε τὰ παιδία οὔτ' ἄλλον οὐδένα, ἀλλ' ἐκεῖν' ὁρᾶν, ὅτι, εἰ προήσεσθε τὰ τῶν νόμων καὶ τῆς πολιτείας, οὐχ εὑρήσετε τοὺς ὑμᾶς αὐτοὺς ἐλεήσοντας. [284] Ἀλλ' ὁ μὲν ταλαίπωρος ἄνθρωπος ἠτιμώσεται, ὅτι τοῦτον εἶδεν ἀδικοῦντα, τούτῳ δ' ἀθῴῳ δώσετ' εἶναι; Διὰ τί; εἰ γὰρ παρὰ τῶν εἰς ἑαυτοὺς ἐξαμαρτόντων τηλικαύτην ἠξίωσε δίκην Αἰσχίνης λαβεῖν, παρὰ τῶν εἰς τὰ τῆς πόλεως τηλικαῦθ' ἡμαρτηκότων, ὧν εἷς οὗτος ὢν ἐξελέγχεται, πηλίκην ὑμᾶς προσήκει λαβεῖν τοὺς ὀμωμοκότας καὶ δικάζοντας; [285] Νὴ Δί', οἱ νέοι γὰρ ἡμῖν δι' ἐκεῖνον ἔσονται τὸν ἀγῶνα βελτίους. Οὐκοῦν καὶ διὰ τόνδ' οἱ πολιτευόμενοι, δι' ὧν τὰ μέγιστα κινδυνεύεται τῇ πόλει· προσήκει δὲ καὶ τούτων φροντίζειν. Ἵνα τοίνυν εἰδῆθ' ὅτι καὶ τοῦτον ἀπώλεσεν [τὸν Τίμαρχον], οὐ μὰ Δί' οὐχὶ τῶν ὑμετέρων παίδων, ὅπως ἔσονται σώφρονες, προορῶν
433 (εἰσὶ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ νῦν σώφρονες· μὴ γὰρ οὕτω

NC. 2. ἐκεῖνα et δικαίως S seul : leçon confirmée par le commencement du paragraphe 283. ἐκεῖνο et τὸ δικαίως vulg. ἐκεῖνα et τὸ δικαίως (mélange de deux leçons) L¹ seul. — 5. ὧν οὗτος vulg. — ἔλεγεν S. — 8. οὐδὲ τὴν μητέρα S et L. — 10. καὶ τὰ τῆς vulg. — 11. ἠτιμώσεται L seul. ἠτιμώσεται, les deux lettres σε pointées, S seul. ἠτίμωται vulg. — 13. ἐξαμαρτόντων S et L. ἐξαμαρτανόντων vulg. — 20. τὸν Τίμαρχον. Cobet retranche ces deux mots.

tout à fait générale, relie en faisceau et reprend toutes les autres questions.

2. Ἐκεῖνα pourrait être suivi de deux articles τὸ δικαίως καὶ τὸ προῖκα πεπρεσβευκέναι; mais cela n'est pas nécessaire. Cf. *Olynth.* III, § 12; *Phil.* III, § 23; *Lept.*, § 12, et *passim*.

5. Ἔλεγεν. Eschine n'en dit rien dans le discours qu'il a laissé par écrit.

7. Παραγγελία. Cf. § 1.

11. Ἠτιμώσεται, il aura été, et il restera, frappé de la dégradation civique.

12-13. Ὅτι τοῦτον εἶδεν ἀδικοῦντα, parce qu'il avait pénétré la trahison d'Eschine. — Τῶν εἰς ἑαυτοὺς ἐξαμαρτόντων. Les turpitudes reprochées à Timarque n'avaient fait du tort qu'à lui-même.

17. Οἱ νέοι.... βελτίους. Cf. Eschine, *Timarque*, § 187; *Ambass.*, § 180.

18-19. Δι' ὧν.... τῇ πόλει, desquels il dépend de compromettre les plus grands intérêts de la république.

γένοιτο κακῶς τῇ πόλει ὥστ' Ἀφοβήτου καὶ Αἰσχίνου σωφρονιστῶν δεηθῆναι τοὺς νεωτέρους), [286] ἀλλ' ὅτι βουλεύων ἔγραψεν, ἄν τις ὡς Φίλιππον ὅπλ' ἄγων ἁλῷ ἢ σκεύη τριηρικά, θάνατον εἶναι τὴν ζημίαν. Σημεῖον δέ· πόσον γὰρ ἐδημηγόρει χρόνον Τίμαρχος; πολύν. Οὐκοῦν τοῦτον ἦν Αἰσχίνης ἅπαντ' ἐν τῇ πόλει, καὶ οὐδεπώποτ' ἠγανάκτησεν οὐδὲ δεινὸν ἡγήσατ' εἶναι τὸ πρᾶγμα, εἰ ὁ τοιοῦτος λέγει, ἕως εἰς Μακεδονίαν ἐλθὼν ἑαυτὸν ἐμίσθωσεν. Λέγε δή μοι τὸ ψήφισμα λαβὼν αὐτὸ τὸ τοῦ Τιμάρχου.

ΨΗΦΙΣΜΑ.

[287] Ὁ μὲν τοίνυν ὑπὲρ ὑμῶν γράψας μὴ ἄγειν ἐν τῷ πολέμῳ πρὸς Φίλιππον ὅπλα, εἰ δὲ μή, θανάτῳ ζημιοῦσθαι, ἀπόλωλε καὶ ὕβρισται· ὁ δὲ καὶ τὰ τῶν ὑμετέρων συμμάχων ὅπλ' ἐκείνῳ παραδοὺς οὑτοσὶ κατηγόρει, καὶ περὶ πορνείας ἔλεγεν, ὦ γῆ καὶ θεοί, δυοῖν μὲν κηδεσταῖν παρεστηκότων, οὓς ἰδόντες ἂν ὑμεῖς ἀνακράγοιτε, Νικίου τε τοῦ βδελυροῦ, ὃς ἑαυτὸν ἐμίσθωσεν εἰς Αἴγυπτον Χαβρίᾳ, καὶ τοῦ καταράτου Κυρηβίωνος, ὃς ἐν ταῖς πομπαῖς ἄνευ τοῦ προσώπου κωμάζει. Καὶ τί

NC. 4. δέ est ajouté dans S par une main ancienne. — 8. ἐμίσθωσε Φιλίππῳ A. — 15. Variante : παρεστηκότοιν. — 18. προσωπείου vulg. Ἰστέον δὲ ὅτι οἱ νεώτεροι λέγουσιν αὐτὸ προσωπεῖον, ἐν δὲ τοῖς ἀρχαιοτέροις βιβλίοις εὑρίσκεται τὸ πρόσωπον. [Scholiaste.] Cf. Mœris. Cobet proteste (*Var. Lect.*, p. 512).

7. Λέγει équivaut ici à δημηγορεῖ. Comparez la locution οἱ λέγοντες, « les orateurs ».

8. Λέγε δή.... Voilà enfin l'apodose de ἵνα τοίνυν εἰδῆτ(ε), p. 362, l. 20. Elle prend la forme d'une proposition détachée, parce que la suite des idées a été interrompue par plusieurs parenthèses ou phrases parenthétiques. [Reiske.]

13. Ἀπόλωλε καὶ ὕβρισται. Scholiaste : Τὸ δεύτερον προστεθὲν τὸ μάτην καὶ ἀδίκως ἀπολωλέναι δηλοῖ.

16-17. Νικίου. Eschine (§ 150) s'indigne qu'un homme aussi honorable que son beau-frère Philon ait été en butte à la médisance de Démosthène, et ce Philon est mentionné par Démosthène lui-même, *Cour.*, § 312. Eschine avait-il un troisième beau-frère du nom de Nicias, dont il évite de parler? — Ἑαυτὸν.... Χαβρίᾳ. Scholiaste : Αἰγύπτιόν τινά φασιν οὕτω καλεῖσθαι. (Il faut, au contraire, entendre le fameux Chabrias, qui fit une campagne en Égypte, et s'y rendit plus d'une fois.) Ἐμίσθωσε δὲ ἐπ' αἰσχρότητι.

17-18. Κυρηβίωνος : sobriquet que le scholiaste explique « homme vil, rebut de la société » : κυρήβια γὰρ τὰ ἀποκαθάρματα τοῦ σίτου λέγουσι. Eschine donne le vrai nom de ce frère de sa femme : il s'appelait Épicrate. — Ἐν ταῖς πομπαῖς. Il s'agit des processions avinées et licencieuses

ταῦτα; ἀλλὰ τὸν ἀδελφὸν ὁρῶν Ἀφόβητον. Ἀλλὰ δῆτ' ἄνω ποταμῶν ἐκείνῃ τῇ ἡμέρᾳ πάντες οἱ περὶ πορνείας ἐρρύησαν λόγοι.

[288] Καὶ μὴν εἰς ὅσην ἀτιμίαν τὴν πόλιν ἡμῶν ἡ τούτου πονηρία καὶ ψευδολογία καταστήσασ' ἔχει, πάντα τἄλλ' ἀφείς, ὃ πάντες ὑμεῖς ἴστ' ἐρῶ. Πρότερον μὲν γάρ, ὦ ἄνδρες Ἀθηναῖοι,
434 τί παρ' ὑμῖν ἐψήφισται, τοῦτ' ἐπετήρουν οἱ ἄλλοι πάντες Ἕλληνες· νῦν δ' ἤδη περιερχόμεθ' ἡμεῖς τί δέδοκται τοῖς ἄλλοις σκοποῦντες, καὶ ὠτακουστοῦντες τί τὰ τῶν Ἀρκάδων, τί τὰ τῶν Ἀμφικτυόνων, ποῖ πάρεισι Φίλιππος, ζῇ ἢ τέθνηκεν. Οὐ τοιαῦτα ποιοῦμεν; [289] Ἐγὼ δ' οὐ δέδοικ' εἰ Φίλιππος ζῇ, ἀλλ' εἰ τῆς πόλεως τέθνηκεν τὸ τοὺς ἀδικοῦντας μισεῖν καὶ τιμωρεῖσθαι. Οὐδὲ φοβεῖ με Φίλιππος, ἂν τὰ παρ' ὑμῶν ὑγιαίνῃ, ἀλλ' εἰ παρ' ὑμῖν ἄδεια γενήσεται τοῖς παρ' ἐκείνου μισθαρνεῖν βουλομένοις, καὶ συνεροῦσί τινες τούτοις τῶν ὑφ' ὑμῶν πεπιστευμένων, καὶ πάντα τὸν ἔμπροσθεν χρόνον ἀρνούμενοι μὴ πράττειν ὑπὲρ Φιλίππου νῦν ἀναβήσονται, ταῦτα φοβεῖ με.

NC. 2. πάντες οἱ S, L et A. πάντες ὅσοι F. πάντες ὅσοι οἱ vulg. — 5. πονηρία. Variante : βδελυρία. — 8. Vulgate : νῦν δὲ δή. — 12. τέθνηκεν S. — 13-14. ὑμῶν.... ὑμῖν (ὑμῶν.... ἡμῖν S et L). A porte deux fois ὑμῖν : leçon que Vœmel n'aurait pas dû admettre. — 15. συναιρουσι S[1].

des fêtes de Bacchus. Cf. Eschine, § 151. Ce dernier accorde qu'Épicrate était de mœurs faciles et agréables : tel semble, du moins, être le sens des mots : τὴν Ἐπικράτους εὐαγωγίαν.... ἐπανάγεις εἰς ὀνείδη. On cite un vers d'Alexis (Athénée, VI, p. 642) où Cyrébion figure dans une énumération de parasites.

1-3. Ὁρῶν a pour sujet Eschine, et ce membre de phrase répond à δυοῖν μέν... p. 363, l. 15. — Ἄνω ποταμῶν Locution proverbiale, pour désigner le monde renversé. Cf. Hésychios et Euripide, *Médée*, 404 : Ἄνω ποταμῶν ἱερῶν χωροῦσι παγαὶ καὶ δίκα καὶ πάντα πάλιν στρέφεται. — Τὸ ἐρρύησαν περὶ ποταμοῦ λέγων ἐνέμεινε τῇ τροπῇ. [Schol.]

4. Εἰς ὅσην. C'est comme s'il y avait ἵν' εἰδῆτ' εἰς ὅσην. [G. H. Schæfer.]

7. Τοῦτ(ο) ne peut se référer à l'interrogatif τί, mais porte sur toute la phrase τί.... ἐψήφισται. [G. H. Schæfer.]

10. Ζῇ ἢ τέθνηκεν. Cf. *Phil.* I, § 11. Ici l'orateur fait suivre ces propos d'autres considérations, mais qui ne sont ni moins belles ni moins frappantes que celles qu'on lit dans la première Philippique.

12. Τῆς πόλεως : génitif possessif, qui dépend de τὸ.... τιμωρεῖσθαι. Dobree rapproche *Contre Panténète*, § 34 : Οὐ γὰρ τὸ γιγνώσκειν καὶ συνιέναι τὰ δίκαι' ὑμῶν ἐξαλεῖψαι δυνήσεται. Cette haine vigoureuse était comme un organe que la cité possédait autrefois, et qui s'est etiolé, qui a péri. Cf. *Phil.* III, § 36 : Ἦν τι τότ' ἐν ταῖς τῶν πολλῶν διανοίαις ὃ νῦν οὐκ ἔστιν.... τοὺς.... χρήματα λαμβάνοντας ἅπαντες ἐμίσουν. — Τέθνηκεν. Trope hardi, mais amené par Φίλιππος.... τέθνηκεν.

13. Τὰ παρ' ὑμῶν. Cf. *Chers.*, § 5 : Τά γ' ἀφ' ὑμῶν ἕτοιμ' ὑπάρχονθ' ὁρῶ. — Ὑγιαίνῃ. Suite du même trope. Cf. *Chers.*, § 36 ; *Phil.* III, § 20.

[290] Τί γὰρ δή ποτ', Εὔβουλε, Ἡγησίλεῳ μὲν κρινομένῳ, ὃς ἀνεψιός ἐστί σοι, καὶ Θρασυβούλῳ πρῴην, τῷ Νικηράτου θείῳ, ἐπὶ μὲν τῆς πρώτης ψήφου οὐδ' ὑπακοῦσαι καλούμενος ἤθελες, εἰς δὲ τὸ τίμημ' ἀναβὰς ὑπὲρ μὲν ἐκείνων οὐδ' ὁτιοῦν ἔλεγες, ἐδέου δὲ τῶν δικαστῶν συγγνώμην ἔχειν σοί; εἶθ' ὑπὲρ μὲν συγγενῶν καὶ ἀναγκαίων ἀνθρώπων οὐκ ἀναβαίνεις, ὑπὲρ Αἰσχίνου δ' ἀναβήσει, [291] ὃς, ἡνίκ' ἔκρινεν Ἀριστοφῶν Φιλόνεικον καὶ δι' ἐκείνου τῶν σοὶ πεπραγμένων κατηγόρει, συγκατηγόρει μετ' ἐκείνου σοῦ καὶ τῶν ἐχθρῶν τῶν σῶν εἷς ἐξητάζετο; Ἐπειδὴ δὲ σὺ μὲν τουτουσὶ δεδιξάμενος καὶ φήσας καταβαίνειν εἰς Πειραιᾶ δεῖν ἤδη καὶ χρήματ' εἰσφέρειν καὶ τὰ θεωρικὰ στρατιωτικὰ ποιεῖν, ἢ χειροτονεῖν ἃ συνεῖπε μὲν οὗτος, ἔγραψε δ' ὁ βδελυρὸς Φιλοκράτης, [292] ἐξ ὧν αἰσχρὰν ἀντ' ἴσης συνέβη γενέσθαι τὴν εἰρήνην, οὗτοι δὲ τοῖς μετὰ ταῦτ' ἀδικήμασι πάντ' ἀπολωλέκασι, τηνικαῦτα διήλλαξαι; Καὶ ἐν 435

NC. 1. ἡγησιεωι S[1]. — 4. ἠθέλησας vulg. — 5. σοί. Nous avons accentué ce pronom, comme étant opposé à ἐκείνων. — 13. ἔγραψεν S. — 13-14. ἀντ' ἴσης συνέβη A. ἀντὶ καλῆς συνέβη L et vulg. Dans S, les mots ἐξ ὧν sont ajoutés par une main ancienne, et les mots καλῆς συνέβη sont écrits sur un espace qui pouvait contenir neuf lettres, aujourd'hui grattées. Bekker pensait que le texte primitif de S cachait une autre et meilleure leçon, ayant le sens de : αἰσχρὰν ἀντ' ἴσης ἐποίησας γενέσθαι. Nitsche, *l. c.*, p. 65, propose : ἀντ' ἴσης εἴασας γενέσθαι. — 14. οὗτοι δ' ἐπειδὴ τοῖς vulg.

1-5. Ἡγησιλέῳ. Suivant le scholiaste, Hégésiléos avait été un des stratéges envoyés en 350 dans l'île d'Eubée pour soutenir Plutarque, tyran d'Érétrie, et fut accusé d'avoir aidé Plutarque à tromper les Athéniens et contribué ainsi au triste résultat de cette campagne. Cf. *Paix*, § 5; *Mid.*, § 110; A. Schæfer, II, p. 79. — Θρασυβούλῳ. Cf. § 280. — Τῷ Νικηράτου θείῳ. C'est évidemment par Nicérate qu'Eubule se trouvait allié à Thrasybule. — Εἰς δὲ τὸ τίμημα, pour le second débat, lequel roulait sur la peine à infliger au prévenu déjà déclaré coupable par un premier vote des juges. Cf. Schœmann, *Ant. jur. publ.*, p. 283 sq. — Συγγνώμην ἔχειν σοί, de t'accorder à toi un verdict indulgent.

7-8. Ἔκρινεν.... Φιλόνεικον. Ce procès a dû avoir lieu du temps où Eubule était le rival et l'adversaire politique du vieil Aristophon d'Azénie. On voit par ce passage que Philonicos était du parti d'Eubule, et qu'Eschine, plus tard attaché au même Eubule, marchait, à cette époque là, sous les ordres d'Aristophon. Cf. *Cour.*, § 162.

10. Τουτουσὶ δεδιξάμενος, ayant effrayé ceux-ci (les Athéniens), en leur disant qu'il faudrait faire de grands efforts et renoncer au théorique, s'ils ne voulaient pas accepter le projet de paix rédigé par Philocrate et patronné par Eschine. Voy. § 144. Bœckh, *Staatshaush.*, I, p. 247, s'est mépris sur le sens de ce passage.

13-14. Ἐξ ὧν... συνέβη, d'où il résulta. Le sujet σὺ n'est pas suivi d'un verbe : la suite régulière de la phrase demanderait ἐποίησας γενέσθαι au lieu de ἐξ ὧν συνέβη γενέσθαι : cf. *NC*. Shilleto dit que Démosthène s'exprime ainsi pour ne pas accuser Eubule trop directement. Nous croyons le texte altéré.

μὲν τῷ δήμῳ κατηρῶ [Φιλίππῳ] καὶ κατὰ τῶν παίδων ὤμνυες ἦ μὴν ἀπολωλέναι Φίλιππον ἂν βούλεσθαι· νῦν δὲ βοηθήσεις τούτῳ; Πῶς οὖν ἀπολεῖται, ὅταν τοὺς παρ' ἐκείνου δωροδοκοῦντας σὺ σῴζῃς; [293] Τί γὰρ δήποτε Μοιροκλέα μὲν ἔκρινες, εἰ παρὰ τῶν τὰ μέταλλα ἐωνημένων εἴκοσιν ἐξέλεξε δραχμὰς παρ' ἑκάστου, καὶ Κηφισοφῶντα γραφὴν ἱερῶν χρημάτων ἐδίωκες, εἰ τρισὶν ὕστερον ἡμέραις ἐπὶ τὴν τράπεζαν ἔθηκεν ἑπτὰ μνᾶς· τοὺς δ' ἔχοντας, ὁμολογοῦντας, ἐξελεγχομένους ἐπ' αὐτοφώρῳ ἐπὶ τῷ τῶν συμμάχων ὀλέθρῳ ταῦτα πεποιηκότας, τούτους οὐ κρίνεις, ἀλλὰ καὶ σῴζειν κελεύεις; [294] Καὶ μὴν ὅτι ταῦτα μέν ἐστι φοβερὰ καὶ προνοίας καὶ φυλακῆς πολλῆς δεόμενα, ἐφ' οἷς δ' ἐκείνους σὺ ἔκρινες, γέλως, ἐκείνως ὄψεσθε. Ἦσαν ἐν Ἤλιδι κλέπτοντες τὰ κοινά τινες; καὶ μάλ' εἰκός γε. Ἔστιν οὖν ὅστις μετέσχεν αὐτόθι νῦν τούτων τοῦ καταλῦσαι τὸν δῆμον; οὐδὲ εἷς. Τί δέ; ἦσαν, ὅτ' ἦν Ὄλυνθος, τοιοῦτοί τινες ἄλλοι; ἐγὼ μὲν οἴομαι. Ἆρ' οὖν διὰ τούτους ἀπώλετ' Ὄλυνθος; οὔ. Τί δέ; ἐν Μεγάροις οὐκ οἴεσθ' εἶναί τινα καὶ κλέπτην καὶ παρεκλέγοντα τὰ κοινά; ἀνάγκη.

NC. 1. κατηγορῶι S. κατηγορῶν L. — Φιλίππῳ (var. : Φιλίππου) est une glose [Dobree]. — 3. ἀπολωλεῖται (à ce qu'il paraît) S avant correction. — 4-5. ἔκρινες A et L². ἔκρινας S et vulg. Cf. ἐδίωκες, l. 7, et ἔκρινες, l. 12. Vœmel croit voir entre ces phrases une différence que je ne saisis pas. — 9. αὐτοφόρῳ S¹. — 12. σὺ est omis dans A, et suspecté par plusieurs critiques. — 13. ἐκείνως S et L. ἐκεῖθεν vulg. Cf. *Lept.*, § 61. — 18. καὶ κλέπτην S et L¹ seuls. κλέπτην vulg.

1. Κατηρῶ καὶ.... ὤμνυες. Cf. *Cour.*, § 283 : Καταρώμενος καὶ διομνύμενος.

5. Ἐξέλεξε equivaut ici à παρεξέλεξε. Cf. l. 18. [G. H. Schæfer.] Chargé de recueillir le prix de certaines mines vendues par l'État, Mœroclès tira de chacun des acquéreurs (fermiers héréditaires) vingt drachmes en sus, qu'il mit dans sa poche.

7. Τρίσιν ὕστερον ἡμέραις. Quel est le sens de ces mots? Céphisophon paya-t-il trois jours trop tard sept mines dues à quelque sanctuaire? Le retard semble véniel, et le procès étrange. Bœckh (*Staatsh.*, I, p. 222) pensait que Céphisophon était (comme son homonyme dans *Corp. Inscr.*, I, 150) ταμίας du trésor sacré de Minerve sur l'Acropole, et qu'il avait placé une partie des fonds confiés à sa garde chez son banquier, pour en tirer des intérêts. Mais que veut dire τρίσιν ὕστερον ἡμέραις? Peut-être : « Tu as poursuivi pour détention de fonds sacrés Céphisophon, dont tout le crime consistait à verser trois jours après (le dépôt de l'accusation) les sept mines qu'il devait ». C'est une tournure oratoire choisie exprès afin de présenter les faits sous un faux jour. L'accusateur avait atteint son but, et le procès n'eut, sans doute, pas d'autre suite. Voyez un cas analogue mentionné dans la *Midienne*, § 218.

12. Γέλως, des bagatelles dérisoires. Façon de parler oratoire : la politique d'Eubule a pu être pusillanime, mais il a certainement bien fait de veiller avec fermeté sur les finances d'Athènes.

Καὶ πέφηνέ τις αἴτιος αὐτόθι νῦν τούτων τῶν συμβεβηκότων πραγμάτων; οὐδὲ εἷς. [295] Ἀλλὰ ποῖοί τινες οἱ τὰ τηλικαῦτα καὶ τοιαῦτ' ἀδικοῦντες; οἱ νομίζοντες αὐτοὺς ἀξιόχρεως εἶναι τοῦ Φιλίππου ξένοι καὶ φίλοι προσαγορεύεσθαι, οἱ στρατηγιῶντες καὶ προστασίας ἀξιούμενοι, οἱ μείζους τῶν πολλῶν οἰόμενοι δεῖν εἶναι. Οὐ Περίλαος ἐκρίνετ' ἔναγχος ἐν Μεγάροις ἐν τοῖς τριακοσίοις, ὅτι πρὸς Φίλιππον ἀφίκετο, καὶ παρελθὼν Πτοιό- 436
δωρος αὐτὸν ἐξῃτήσατο, καὶ πλούτῳ καὶ γένει καὶ δόξῃ πρῶτος Μεγαρέων, καὶ πάλιν ὡς Φίλιππον ἐξέπεμψεν, καὶ μετὰ ταῦθ' ὁ μὲν ἧκεν ἄγων τοὺς ξένους, ὁ δ' ἔνδον ἐτύρευεν; [296] Τοιαῦτα. Οὐ γάρ ἐστιν, οὐκ ἔσθ' ὅ τι τῶν πάντων μᾶλλον εὐλαβεῖσθαι δεῖ ἢ τὸ μείζω τινὰ τῶν πολλῶν ἐᾶν γίγνεσθαι. Μή μοι σῳζέσθω μηδ' ἀπολλύσθω μηδείς, ἂν ὁ δεῖνα βούληται, ἀλλ' ὃν ἂν τὰ πεπραγμένα σῴζῃ καὶ τοὐναντίον, τούτῳ τῆς προσηκούσης ψήφου παρ' ὑμῶν ὑπαρχέτω τυγχά-

NC. 1. καὶ πέφηνέ τις αἴτιος A. καὶ πέφηνε (ou πέφηνεν). Τίς οὖν αἴτιος vulg. Mais οὖν manque dans S et L[1], comme dans A. Ce dernier manuscrit donne donc la bonne ponctuation. Nous avons d'autant moins hésité à l'adopter que, rattachés à ἀνάγκη, les mots καὶ πέφηνε (Dobree voulait καὶ πέφυκε), sont déplacés et n'ont point d'équivalent dans les phrases parallèles qui précèdent. Madvig, *Advers. crit.*, I, p. 294, écarte καί. — 2. ποῖοι τινες S[1] seul. ποῖοι τινες εἰσιν A. ποῖοι καὶ τίνες L[1]. ποῖοι καὶ τίνες εἰσὶν vulg. — 4. στρατηγιῶν τε vulg. Par suite de cette faute, quelques copistes ont écrit καὶ προστασιῶν. — 6. Περίλαος. Cf. *Cour.*, §§ 48 et 295. Harpocration, Suidas et Photios l'appellent Περίλλος ou Πέριλλος. — 10-11. ἐτύρευε τοιαῦτα, ou ἐτύρευε, τοιαῦτα avant Bekker. — 11. ἔστιν ὅ τι vulg. — 13. ἂν S seul. ἐὰν A. ὃν ἂν L. ὃν ἐὰν vulg. Si Démosthène avait écrit ὅν, il aurait probablement supprimé μηδείς. — ὁ δεῖνα S seul. ὁ δεῖνα ἢ (καὶ L) ὁ δεῖνα vulg.

1. Καί peut se rendre ici par « eh bien. » — Τούτων. Il faut un petit repos de voix après ce génitif, qui dépend de τις, et se trouve mis en évidence par sa position insolite. Cf. ἔστιν οὖν ὅστις.... τούτων, p. 366, l. 14. [H. Wolf.]

4. Ξένοι καὶ φίλοι. Ce nominatif s'accorde avec οἱ νομίζοντες. L'accusatif, qui peut sembler plus régulier à cause de αὐτούς, serait moins naturel en grec.

6-7. Ἐν τοῖς τριακοσίοις. Évidemment une espèce de sénat investi de pouvoirs judiciaires.

8. Καὶ πλούτῳ.... πρῶτος. Absolument comme Eubule à Athènes. [Scholiaste.]

10. Ἐτύρευεν, il faisait son beurre. On rapproche Aristophane, *Chev.*, 479 : Καὶ τὰκ Βοιωτῶν ταῦτα συντυρούμενα. Ajoutons Solon, fr. 36, v. 21 : Πρὶν ἂν ταράξας πῖαρ ἐξέλῃ γάλα. L'hyperattique Pollux ne goûtait pas cette énergique familiarité. Il dit, VI, 32 : Εἰ δὲ καὶ Δημοσθένης φησίν· « ὁ δὲ ἔνδον ἐτύρευεν », ἀλλ' οὐκ ἔγωγε ἀποδέχομαι τὸ τυρεύειν.

11. Τοιαῦτα, voilà comment se passent les choses. Ce mot sert souvent de réponse confirmative : cf. Euripide, *Hécube*, 776; *Électre*, 645. Cependant les éditeurs le prennent ici dans le sens de καὶ τοιαῦτα ἄλλα, comme *Mid.*, § 136.

14. Τοὐναντίον tient lieu, par une espèce d'euphémisme, d'ἀπολλύῃ ou d'un autre verbe opposé à σῴζῃ. Cf Sophocle, *Ant.*, 667 : Καὶ μικρὰ καὶ δίκαια καὶ τἀναντία.

νειν· τοῦτο γάρ ἐστι δημοτικόν. [297] Ἔτι τοίνυν πολλοὶ παρ' ὑμῖν ἐπὶ καιρῶν γεγόνασιν ἰσχυροί, Καλλίστρατος, αὖθις Ἀριστοφῶν, Διόφαντος, τούτων ἕτεροι πρότερον. Ἀλλὰ ποῦ τούτων ἕκαστος ἐπρώτευεν; ἐν τῷ δήμῳ· ἐν δὲ τοῖς δικαστηρίοις οὐδείς πω μέχρι τῆς τήμερον ἡμέρας ὑμῶν οὐδὲ τῶν νόμων οὐδὲ τῶν ὅρκων κρείττων γέγονεν. Μὴ τοίνυν μηδὲ νῦν τοῦτον ἐάσητε. Ὅτι γὰρ ταῦτα φυλάττοισθ' ἂν εἰκότως μᾶλλον ἢ πιστεύοιτε, τῶν θεῶν ὑμῖν μαντείαν ἀναγνώσομαι, οἵπερ ἀεὶ σῴζουσι τὴν πόλιν πολλῷ τῶν προεστηκότων μᾶλλον. Λέγε τὰς μαντείας.

ΜΑΝΤΕΙΑΙ.

[298] Ἀκούετ', ὦ ἄνδρες Ἀθηναῖοι, τῶν θεῶν οἷ' ὑμῖν προλέγουσιν. Εἰ μὲν τοίνυν πολεμούντων ὑμῶν ταῦτ' ἀνῃρήκασιν, τοὺς στρατηγοὺς λέγουσι φυλάττεσθαι· πολέμου γάρ εἰσιν ἡγεμόνες οἱ στρατηγοί· εἰ δὲ πεποιημένων εἰρήνην, τοὺς ἐπὶ τῆς πολιτείας ἐφεστηκότας· οὗτοι γὰρ ἡγοῦνται, τούτοις πεί-
437 θεσθ' ὑμεῖς, ὑπὸ τούτων δέος ἐστὶ μὴ παρακρουσθῆτε. Καὶ τὴν πόλιν συνέχειν φησὶν [ἐν τῇ μαντείᾳ], ὁπότ' ἂν μίαν γνώμην ἔχωσιν ἅπαντες καὶ μὴ τοῖς ἐχθροῖς ἡδονὴν ποιῶσι. [299] Πότερ' οὖν οἴεσθ' ἄν, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν τοσαῦτα κάκ' εἰργασμένον σωθέντα, ἢ δίκην δόντα, ἡδονὴν Φιλίππῳ ποιῆσαι;

NC. 2. Καλλίστρατος S[1] et A. Καλλίστρατος ἐκεῖνος (comme *Cour.*, § 219) L et vulg. — 7. μᾶλλον ἢ S et A. μᾶλλον ὑμεῖς ἢ τούτοις L et vulg. — 8. μαρτυρίαν S seul. — 11. οἷα vulg. ἃ (sans doute pour οἱ) S, L. — 12. ἡμῶν et ἀνειρήκασιν S. — 14. οἱ est omis par la première main de S. — 17. πόλιν δεῖν (ou δεῖ) συνέχειν vulg. — ἐν τῇ μαντείᾳ S. ἡ μαντεία vulg. Sauppe et Bekker ont écarté ces gloses. Dindorf écrit : φασὶν ἐν τῇ μαντείᾳ. — ὁπότ' ἂν est notre correction. ὅπου ἂν Dobree. ὅπως ἂν mss. — 19-20. πότερον S, vulg. — ἂν manque dans la vulgate, ou est placé après ἡδονήν.

2-3. Καλλίστρατος. Cf. *Harangues*, *Introd.*, p. v. — Ἀριστοφῶν. Cf. *Lept.*, §§ 146 et 148. — Διόφαντος. Cf. § 86; *Lept.*, § 137.

10. Μαντεῖαι. On voit par ce qui suit que ces oracles émanés de Jupiter, de Dione et des autres dieux de Dodone, engageaient le peuple à se défier de ses chefs ou de certains chefs (ἡγεμόνες), à être uni de sentiments, à éviter les dissensions qui feraient la joie de ses ennemis.

16-18. Τὴν πόλιν συνέχειν.... ὁπότ' ἄν, ce qui maintient la cité, c'est lorsque.... Cf. Homère, *Odyssée*, VI, 182 : Οὐ μὲν γὰρ τοῦγε κρεῖσσον καὶ ἄρειον, | ἢ ὅθ' ὁμοφρονέοντε νοήμασιν οἶκον ἔχητον | ἀνὴρ ἠδὲ γυνή· πόλλ' ἄλγεα δυσμενέεσσιν κτλ.

ἐγὼ μὲν οἴομαι σωθέντα. Φησὶ δέ γ' ἡ μαντεία δεῖν ὅπως ἂν μὴ χαίρωσιν οἱ ἐχθροὶ ποιεῖν. Ἅπασι τοίνυν μιᾷ γνώμῃ παρακελεύεται κολάζειν τοὺς ὑπηρετηκότας τι τοῖς ἐχθροῖς ὁ Ζεύς, ἡ Διώνη, πάντες οἱ θεοί. Ἔξωθεν οἱ ἐπιβουλεύοντες, ἔνδοθεν οἱ συμπράττοντες. Οὐκοῦν τῶν ἐπιβουλευόντων μὲν ἔργον διδόναι, τῶν συμπραττόντων δὲ λαμβάνειν καὶ τοὺς εἰληφότας ἐκσῴζειν.

[300] Ἔτι τοίνυν κἂν ἀπ' ἀνθρωπίνου λογισμοῦ τοῦτ' ἴδοι τις, ὅτι πάντων ἐχθρότατον καὶ φοβερώτατον τὸ τὸν προεστηκότ' ἐᾶν οἰκεῖον γίγνεσθαι τοῖς μὴ τῶν αὐτῶν ἐπιθυμοῦσι τῷ δήμῳ. Τίσιν γὰρ τῶν πραγμάτων ἐγκρατὴς γέγονεν Φίλιππος ἁπάντων, καὶ τίσιν τὰ μέγιστα κατείργασται τῶν πεπραγμένων, σκέψασθε. Τῷ παρὰ τῶν πωλούντων τὰς πράξεις ὠνεῖσθαι, τῷ τοὺς προεστηκότας ἐν ταῖς πόλεσιν διαφθείρειν καὶ ἐπαίρειν, τούτοις. [301] Ταῦτα τοίνυν ἐφ' ὑμῖν ἐστιν ἀμφότερα, ἐὰν βούλησθε, ἀχρεῖα ποιῆσαι τήμερον, ἂν τῶν μὲν μὴ 'θέλητ' ἀκούειν τοῖς τοιούτοις συνηγορούντων, ἀλλ' ἐπιδείξητ' ἀκύρους ὄντας ὑμῶν (νῦν γάρ φασιν εἶναι κύριοι), τὸν δὲ πεπρακόθ' ἑαυτὸν κολάσητε, καὶ τοῦθ' ἅπαντες ἴδωσιν. [302] Παντὶ μὲν γὰρ εἰκότως ἂν ὀργισθείητ', ὦ ἄνδρες Ἀθηναῖοι, τοιαῦτα πεποιηκότι καὶ 438
προδεδωκότι συμμάχους καὶ φίλους καὶ καιρούς, μεθ' ὧν ἢ καλῶς ἢ κακῶς ἑκάστοις ἔχει τὰ πάντα, οὐ μὴν οὐδενὶ μᾶλλον οὐδὲ δικαιότερον ἢ τούτῳ. Ὃς γάρ, ἑαυτὸν τάξας τῶν ἀπιστούντων εἶναι Φιλίππῳ, καὶ μόνος καὶ πρῶτος ἰδὼν ὅτι κοινὸς

NC. 1. ἀεὶ δεῖν vulg. — 5-6. Var. : τὸ διδόναι et τὸ λαμβάνειν. — 14-15. ἐπαίρειν· τούτοις Reiske. ἐπαίρειν τούτοις L seul (par hasard?). ἐπαίρειν τούτους S et vulg. — 17. Variante moins bonne : τῶν τοῖς. — 19. Variante vicieuse : τοῦτον ἅπαντες. — 21. καὶ καιροὺς : mots suspects à Dobree.

6-7. Λαμβάνειν porte sur Eschine; τους εἰληφότας ἐκσῴζειν, sur Eubule.

9. Ἐχθρότατον καὶ φοβερώτατον. C'est, sans doute, parce que l'assonance ajoute à l'énergie de l'expression, que l'orateur n'a pas dit ἔχθιστον, seule forme approuvée par les atticistes.

14. Ἐπαίρειν. Cf. *Cour.*, § 175.

15. Τούτοις. Ce pronom résume avec force ce qui précède, en vue de ταῦτα, qui va suivre. Cf. τοιαῦτα, § 295.

21. Μεθ' ὧν, auxiliaires dont dépend.... S'il parlait des propres efforts que chacun doit faire dans sa cause, l'orateur eût dit δι' ὧν.

23. Ὃς γάρ.... Démosthène reprend et développe ici ce qu'il a déjà dit plus sommairement dans l'introduction, §§ 9-11.

ἐχθρὸς ἐκεῖνός ἐστιν ἁπάντων τῶν Ἑλλήνων, ηὐτομόλησε καὶ προὔδωκε καὶ γέγονεν ἐξαίφνης ὑπὲρ Φιλίππου, πῶς οὐ πολλάκις οὗτος ἄξιός ἐστ' ἀπολωλέναι; [303] Ἀλλὰ μὴν ὅτι ταῦθ' οὕτως ἔχει, αὐτὸς οὐχ οἷός τ' ἀντειπεῖν ἔσται. Τίς γάρ ἐσθ' ὁ τὸν Ἴσχανδρον προσάγων ὑμῖν τὸ κατ' ἀρχάς, ὃν παρὰ τῶν ἐν Ἀρκαδίᾳ φίλων τῇ πόλει δεῦρ' ἥκειν ἔφη; τίς ὁ συσκευάζεσθαι τὴν Ἑλλάδα καὶ Πελοπόννησον Φίλιππον βοῶν, ὑμᾶς δὲ καθεύδειν; τίς ὁ τοὺς μακροὺς καὶ καλοὺς λόγους ἐκείνους δημηγορῶν, καὶ τὸ Μιλτιάδου καὶ <τὸ> Θεμιστοκλέους ψήφισμ' ἀναγιγνώσκων καὶ τὸν ἐν τῷ τῆς Ἀγλαύρου τῶν ἐφήβων ὅρκον; οὐχ οὗτος; [304] Τίς ὁ πείσας ὑμᾶς μόνον οὐκ ἐπὶ τὴν ἐρυθρὰν θάλατταν πρεσβείας πέμπειν, ὡς ἐπιβουλευομένης μὲν ὑπὸ Φιλίππου τῆς Ἑλλάδος, ὑμῖν δὲ προσῆκον προορᾶν ταῦτα καὶ μὴ προΐεσθαι τὰ τῶν Ἑλλήνων; οὐχ ὁ μὲν γράφων τὸ ψήφισμ' Εὔβουλος ἦν, ὁ δὲ πρεσβεύων εἰς Πελοπόννησον Αἰσχίνης οὑτοσί; Ἐλθὼν δ' ἐκεῖσ' ἅττα μέν ποτε διελέχθη καὶ ἐδημηγόρησεν, αὐτὸς ἂν εἰδείη, ἃ δ' ἀπήγγειλε πρὸς ὑμᾶς, ὑμεῖς οἶδ' ὅτι μέμνησθε πάντες. [305] Βάρβαρόν τε γὰρ πολλάκις καὶ ἀλάστορα τὸν Φίλιππον ἀποκαλῶν ἐδημηγόρει, καὶ
439 τοὺς Ἀρκάδας ὑμῖν ἀπήγγελλεν ὡς ἔχαιρον, εἰ προσέχει τοῖς πράγμασιν ἤδη καὶ ἐγείρεται ἡ τῶν Ἀθηναίων πόλις. Ὃ δὲ πάντων μάλιστ' ἀγανακτῆσαι ἔφη· συντυχεῖν γὰρ ἀπιὼν Ἀτρεστίδᾳ παρὰ Φιλίππου πορευομένῳ, καὶ μετ' αὐτοῦ γύναια

NC. 1-2. ηὐτομόλησεν et προύδωκεν S. — 5. Ἴσχρανδρον S. — Cobet demande προσαγαγών. Voyez cependant les participes qui suivent, et particulièrement ἀναγιγνώσκων. — 8. καλοὺς καὶ μακροὺς καὶ πολλοὺς vulg. — 9. J'ai inséré τὸ, d'après le scholiaste, p. 446, 17 Dind. Cobet : τὰ.... ψηφίσματα. — 10. Variante : Ἀγραύλου. — 13. προσῆκεν S. προσῆκε L. — 16-17. Cobet retranche καὶ ἐδημηγόρησεν. — 20. ἀπήγγειλεν ancienne vulgate, et peut-être S avant correction.

5-7. Ἴσχανδρον. Cf. § 10. — Συσκευάζεσθαι. Cf. *Cherson.*, § 5 sq. — Καὶ Πελοπόννησον, et en particulier le Péloponnèse.

9. Τὸ.... καὶ τὸ.... ψήφισμ(α). Cf. *Ol.* III, § 26 : Τὴν Ἀριστείδου καὶ τὴν Μιλτιάδου.... οἰκίαν. Scholiaste : Ἐπιόντων τῶν Μήδων ἐξ ἀρχῆς καὶ ὁ Μιλτιάδης δραμεῖν εὐθὺς ἐπὶ τὸν Μαραθῶνα ἐψηφίσατο καὶ μὴ ἀναμένειν ἕως συλλεγῶσιν οἱ συμμαχήσοντες· διὸ καὶ νενίκηκε μόνος. Ὁ δὲ Θεμιστοκλῆς, κατὰ γῆν ἄπορα βλέπων τὰ πράγματα, συνεβούλευσε μὲν ἀφεῖναι τὴν πόλιν, εἰς Σαλαμῖνα δὲ μετοικισθῆναι.

10. Τὸν.... ἐφήβων ὅρκον. Lycurgue (*Leocr.*, § 76) donne la substance du serment que prêtaient les jeunes Athéniens le jour où on les armait solennellement pour être les défenseurs de la patrie; Pollux (VIII, 105) et Stobée (*Anth.*, XLI, 141) en donnent le texte. Cf. Schœmann, *Ant. jur. publ.*, p. 198.

23. Ἀτρεστίδᾳ. Un Arcadien, suivant

καὶ παιδάρια ὡς τριάκοντα βαδίζειν, αὐτὸς δὲ θαυμάσας ἐρέσθαι τινὰ τῶν ὁδοιπόρων τίς ἄνθρωπός ἐστι καὶ τίς ὄχλος ὁ μετ' αὐτοῦ, [306] ἐπειδὴ δ' ἀκοῦσαι ὅτι Ἀτρεστίδας παρὰ Φιλίππου τῶν Ὀλυνθίων αἰχμάλωτα δωρειὰν ταῦτ' ἔχων ἀπέρχεται, δεινὸν αὐτῷ τι δόξαι καὶ δακρῦσαι καὶ ὀδύρασθαι τὴν Ἑλλάδα, ὡς κακῶς διάκειται, εἰ τοιαῦτα πάθη περιορᾷ γιγνόμενα. Καὶ συνεβούλευεν ὑμῖν πέμπειν τινὰς εἰς Ἀρκαδίαν, οἵτινες κατηγορήσουσι τῶν τὰ Φιλίππου πραττόντων· ἀκούειν γὰρ ἔφη τῶν φίλων ὡς, ἐὰν ἐπιστροφὴν ἡ πόλις ποιήσηται καὶ πρέσβεις πέμψῃ, δίκην ἐκεῖνοι δώσουσιν. [307] Ταῦτα μὲν τοίνυν τότε καὶ μάλ', ὦ ἄνδρες Ἀθηναῖοι, καλὰ καὶ τῆς πόλεως ἄξι' ἐδημηγόρει. Ἐπειδὴ δ' ἀφίκετ' εἰς Μακεδονίαν καὶ τὸν ἐχθρὸν εἶδε τὸν αὑτοῦ καὶ τῶν Ἑλλήνων, [τὸν Φίλιππον,] ἆρά γ' ὅμοι' ἢ παραπλήσια τούτοις; πολλοῦ γε καὶ δεῖ, ἀλλὰ μήτε τῶν προγόνων μεμνῆσθαι μήτε τρόπαια λέγειν μήτε βοηθεῖν μηδενί, τῶν τε κελευόντων μετὰ τῶν Ἑλλήνων περὶ τῆς πρὸς Φίλιππον εἰρήνης βουλεύεσθαι θαυμάζειν, εἰ περὶ τῶν ὑμετέρων ἰδίων ἄλλον τινὰ δεῖ πεισθῆναι· [308] εἶναί τε τὸν Φίλιππον αὐτόν, Ἡράκλεις, ἑλληνικώτατον ἀνθρώπων, δεινότατον λέγειν, φιλαθηναιότατον· οὕτω δ' ἀτόπους τινὰς ἐν τῇ πόλει καὶ δυσχερεῖς ἀνθρώπους εἶναι ὥστ' οὐκ αἰσχύνεσθαι λοιδορουμένους αὐτῷ καὶ βάρβαρον αὐτὸν ἀποκαλοῦντας. Ἔστιν οὖν ὅπως 440 ταῦτ' ἄν, ἐκεῖνα προειρηκώς, ὁ αὐτὸς ἀνὴρ μὴ διαφθαρεὶς ἐτόλ-

NC. 2. Variante : ὁ ὄχλος ὁ. — 3. Ancienne vulgate : ἀκούσαι. — 6. ᾗ S, L et vulg. εἰ A. — 13. εἶδε, δ par correction, S. — τὸν Φίλιππον : glose reconnue par Cobet. — 15. λέγει et βοηθεῖ S[1]. — 18. τὸν Φίλιππον : mots suspects à Herwerden. — 22. [αὐτὸν] Herwerden. — 23. Variante : ἂν ταῦτ'.

le scholiaste. Peut-être le Μαντινεὺς λοχαγός (capitaine de mercenaires) de ce nom dont parle le poëte comique chez Athénée, X, p. 417 A. [Dobree.]

3-4. Ἐπειδὴ δ' ἀκοῦσαι. Cf. § 195 : Ὡς δ' ἀκοῦσαι τοὺς παρόντας, avec la note. — Αἰχμάλωτα : sous-ent. σώματα. Voy. § 139.

9. Ἐπιστροφὴν.... ποιήσηται, y tournât son attention. Locution un peu plus forte que προσέχῃ τὸν νοῦν. Cf. *Lettre de Philippe*, § 1; *Phil.* IV, § 9 : ἐπιστράφητε.

15. Μεμνῆσθαι. Sous-ent. ἐδημηγόρει, ἔλεγε. Voy., du reste, § 16.

17-18. Θαυμάζειν, εἰ.... δεῖ πεισθῆναι équivaut à εἰ (ὅτι) λέγουσι δεῖν πεισθῆναι, qu'il s'étonnait de les entendre soutenir que dans une affaire qui regarde vos propres intérêts vous ayez besoin de l'agrément d'un autre.

22. Ἔστιν.... ὅπως, y a-t-il une manière dont..., se peut-il que....

μησεν εἰπεῖν; [309] Τί δέ; ἔσθ' ὅστις ἄν, τὸν Ἀτρεστίδαν τότε μισήσας διὰ τοὺς τῶν Ὀλυνθίων παῖδας καὶ γύναια, ταὐτὰ Φιλοκράτει νῦν πράττειν ὑπέμεινεν, ὃς γυναῖκας ἐλευθέρας τῶν Ὀλυνθίων ἤγαγεν δεῦρο [ἐφ' ὕβρει], καὶ οὕτως ἐπὶ τῷ βδελυρῶς βεβιωκέναι γιγνώσκεται, ὥστε μηδὲν ἔμ' αἰσχρὸν εἰπεῖν νυνὶ περὶ αὐτοῦ δεῖν μηδὲ δυσχερές, ἀλλὰ τοσοῦτον εἰπόντος μόνον, ὅτι Φιλοκράτης γυναῖκας ἤγαγεν, πάντας ὑμᾶς εἰδέναι καὶ τοὺς
379 περιεστηκότας τὰ μετὰ ταῦτα, καὶ ἐλεεῖν, εὖ οἶδ' ὅτι, τὰς ἀτυχεῖς καὶ ταλαιπώρους ἀνθρώπους, ἃς οὐκ ἠλέησεν Αἰσχίνης, οὐδ' ἐδάκρυσεν ἐπὶ ταύταις τὴν Ἑλλάδα, εἰ παρὰ τοῖς συμμάχοις ὑπὸ τῶν πρέσβεων ὑβρίζονται. [310] Ἀλλ' ὑπὲρ αὑτοῦ κλαήσει τοῦ τὰ τοιαῦτα πεπρεσβευκότος, καὶ τὰ παιδί' ἴσως παράξει καὶ ἀναβιβᾶται. Ὑμεῖς δ' ἐνθυμεῖσθ', ὦ ἄνδρες δικασταί, πρὸς μὲν τὰ τούτου παιδία, ὅτι πολλῶν συμμάχων ὑμετέρων καὶ φίλων παῖδες ἀλῶνται καὶ πτωχοὶ περιέρχονται δεινὰ πεπονθότες διὰ τοῦτον, οὓς ἐλεεῖν πολλῷ μᾶλλόν ὑμῖν ἄξιον ἢ τοὺς τοῦ ἠδικηκότος καὶ προδότου πατρός, καὶ ὅτι τοὺς ὑμετέρους παῖδας οὗτοι, καὶ τοῖς ἐκγόνοις προσγράψαντες τὴν εἰρήνην, καὶ τῶν ἐλπίδων ἀπεστερήκασιν· πρὸς δὲ τὰ αὐτοῦ τούτου δάκρυα, ὅτι νῦν ἔχετ' ἄνθρωπον, ὃς εἰς Ἀρκαδίαν ἐκέλευεν ἐπὶ τοὺς ὑπὲρ Φιλίππου πράττοντας πέμπειν τοὺς κατη-
441 γορήσοντας. [311] Νῦν τοίνυν ὑμᾶς οὐκ εἰς Πελοπόννησον δεῖ πρεσβείαν πέμπειν, οὐδ' ὁδὸν μακρὰν βαδίσαι, οὐδ' ἐφόδι' ἀναλίσκειν, ἀλλ' ἄχρι τοῦ βήματος ἐνταυθὶ προσελθόντ' ἕκαστον

NC. 1. τί δέσθ' S, L seuls. τί δέ ἐστιν vulg. — 2. τὰ γύναια vulg. — 4. ἐφ' ὕβρει n'est pas de Démosthène : cf. l. 6-7. — 8. τὰ manque dans S, L. — 17. ἢ τοὺς τοῦ S seul. ἢ τοὺς τοῦ τοῦ L^1 seul. ἢ τοὺς τοῦ τοιαῦτα A et L^2 (cf. l. 12). ἢ τοὺς τοσαῦτα vulg. Après τοῦ τοιαῦτ' ἠδικηκότος, il semble que προδότου serait trop court. — 20-21. Variante : ἐκέλευσεν. — 24. ἐνταυθὶ S et L seuls. ἐνταυθοῖ vulg.

7-8. Καὶ τοὺς περιεστηκότας, « et circumstantium coronam. » Les juges étaient assis.

10-11. Παρὰ τοῖς συμμάχοις, c'est-à-dire à Athènes, où Philocrate avait amené des Olynthiennes captives.

16-17. Ἐλεεῖν.... ὑμῖν ἄξιον. Quand ἄξιον a un infinitif pour complément, il se construit avec le datif. — Τοῦ ἠδικηκότος : sous-entendu αὐτούς.

18-19. Καὶ.... τὴν εἰρήνην équivaut à προσγράψαντες τῷ πρότερον ψηφίσματι εἶναι τὴν εἰρήνην καὶ τοῖς Φιλίππου ἐκγόνοις. Cf. §§ 48 et 87. — Τῶν ἐλπίδων, l'espérance de prendre notre revanche après la mort de Philippe.

ὑμῶν τὴν ὁσίαν καὶ τὴν δικαίαν ψῆφον ὑπὲρ τῆς πατρίδος θέσθαι κατ' ἀνδρὸς, ὅς, ὦ γῆ καὶ θεοὶ, ἐκεῖν' ἃ διεξῆλθον ἐν ἀρχῇ δεδημηγορηκὼς, τὸν Μαραθῶνα, τὴν Σαλαμῖνα, τὰς μάχας, τὰ τρόπαια, ἐξαίφνης, ὡς ἐπέβη Μακεδονίας, πάντα τἀναντία τούτοις, μὴ προγόνων μεμνῆσθαι, μὴ τρόπαια λέγειν, μὴ βοηθεῖν μηδενὶ, μὴ κοινῇ μετὰ τῶν Ἑλλήνων βουλεύεσθαι, μόνον οὐ καθελεῖν τὰ τείχη. [312] Καίτοι τούτων αἰσχίους λόγοι οὐδένες πώποτ' ἐν τῷ παντὶ χρόνῳ γεγόνασι παρ' ὑμῖν. Τίς γάρ ἐστιν Ἑλλήνων ἢ βαρβάρων οὕτω σκαιὸς ἢ ἀνήκοος ἢ σφόδρα μισῶν τὴν πόλιν τὴν ἡμετέραν, ὅστις, εἴ τις ἔροιτο, « εἰπέ μοι, τῆς νῦν οὔσης Ἑλλάδος ταυτησὶ καὶ οἰκουμένης ἔσθ' « ὅ τι ταύτην ἂν τὴν προσηγορίαν εἶχεν ἢ ᾠκεῖθ' ὑπὸ τῶν νῦν « ἐχόντων Ἑλλήνων, εἰ μὴ τὰς ἀρετὰς ὑπὲρ αὐτῶν ἐκείνας οἱ « Μαραθῶνι καὶ Σαλαμῖνι παρέσχοντο, οἱ ἡμέτεροι πρόγονοι; » οὐδ' ἂν εἷς εὖ οἶδ' ὅτι φήσειεν, ἀλλὰ πάντα ταῦθ' ὑπὸ τῶν βαρβάρων ἂν ἡλωκέναι. [313] Εἶθ' οὓς μηδὲ τῶν ἐχθρῶν μηδεὶς ἂν τούτων τῶν ἐγκωμίων καὶ τῶν ἐπαίνων ἀποστερήσειε, τούτων Αἰσχίνης ὑμᾶς οὐκ ἐᾷ μεμνῆσθαι, τοὺς ἐξ ἐκείνων, ἵν' αὐτὸς ἀργύριον λάβῃ; Καὶ μὴν τῶν μὲν ἄλλων ἀγαθῶν οὐ μέτεστι τοῖς τεθνεῶσιν, οἱ δ' ἐπὶ τοῖς καλῶς πραχθεῖσιν ἔπαινοι τῶν οὕτω τετελευτηκότων ἴδιον κτῆμ' εἰσίν· οὐδὲ γὰρ ὁ φθό-

NC. 1. καὶ τὴν δικαίαν S et L. καὶ δικαίαν ταύτην vulg. — 5. τούτοις S. τούτοις ἔλεγε L et vulg. — 6. βούλεσθαι S seul. — 9. δυτωσκαιρος ἢ (ce dernier mot après la fin de la ligne) S. — Variante : καὶ ἀνήκοος καὶ. — 13-14. ἐκείνας ἐν Μαραθῶνι Morel. — ὑμέτεροι S. — 15. Variante: ταῦτα πάντα. — 21. Cobet veut qu'on écrive ἀίδιον κτῆμα : conjecture séduisante, mais déplacée.

1. Τὴν ὁσίαν καὶ τὴν δικαίαν. La répétition de l'article a quelque chose de solennel.

2. Ἐν ἀρχῇ. Ces mots ne se rattachent pas à διεξῆλθον (Démosthène a mentionné ces détails au paragraphe 303, et non au commencement de ce discours); il faut les rapporter à δεδημηγορηκώς. Cf. § 9 : Τοῖς.... δεδημηγορευμένοις ἐν ἀρχῇ.

4. Ὡς ἐπέβη Μακεδονίας. Eschine répond à cela, au paragraphe 23, et au paragraphe 152 : Οὐ γὰρ ἡ Μακεδονία κακοὺς ἢ χρηστοὺς ποιεῖ, ἀλλ' ἡ φύσις· οὐδ' ἐσμὲν ἕτεροί τινες ἥκοντες ἀπὸ τῆς πρεσβείας, ἀλλ' οἵους ἐξεπέμψατε. [Dobree.]

9. Ἀνήκοος, peu instruit. Schol. : ἢ ἀνήκοος ἔμεινεν ἔξω τῆς οἰκουμένης οἰκῶν.

15-16. Οὐδ' ἂν εἷς.... φήσειεν. Après τίς γάρ ἐστιν.... ὅστις, il suffirait de φήσειεν ; mais le nombre oratoire, et même la clarté, gagnent à l'anacoluthe. — Ἂν ἡλωκέναι : infinitif du plus-que-parfait. [G. H. Schæfer]

17. Le second τούτων se réfère à οὓς (les ancêtres). [Seager.]

21. Ἴδιον κτῆμα. Privés des autres biens, les morts en possèdent un, qui leur est particulier, parce qu'ils sont soustraits

442 νος αὐτοῖς ἔτι τηνικαῦτ' ἐναντιοῦται. Ὧν ἀποστερῶν ἐκείνους οὗτος αὐτὸς ἂν τῆς ἐπιτιμίας δικαίως νῦν στερηθείη, καὶ ταύτην ὑπὲρ τῶν προγόνων ὑμεῖς δίκην λάβοιτε παρ' αὐτοῦ. Τοιούτοις μέντοι λόγοις, ὦ κακὴ κεφαλή, σὺ τὰ τῶν προγόνων ἔργα συλήσας καὶ διασύρας, τῷ λόγῳ πάντα τὰ πράγματ' ἀπωλέσας, [314] εἶτα γεωργεῖς ἐκ τούτων, καὶ σεμνὸς γέγονας. Καὶ γὰρ τοῦτο. Πρὸ μὲν τοῦ πάντα κάκ' εἰργάσθαι τὴν πόλιν ὡμολόγει γεγραμματευκέναι καὶ χάριν ὑμῖν ἔχειν τοῦ χειροτονηθῆναι, καὶ μέτριον παρεῖχεν ἑαυτόν· ἐπειδὴ δὲ μυρί' εἴργασται κακά, τὰς ὀφρῦς ἀνέσπακεν, κἂν « ὁ γεγραμματευκὼς Αἰσχίνης » εἴπῃ τις, ἐχθρὸς εὐθέως καὶ κακῶς φησιν ἀκηκοέναι, καὶ διὰ τῆς ἀγορᾶς πορεύεται θοἰμάτιον καθεὶς ἄχρι τῶν σφυρῶν, ἴσα βαίνων Πυθοκλεῖ, τὰς γνάθους φυσῶν, τῶν Φιλίππου ξένων καὶ φίλων εἷς οὗτος ὑμῖν ἤδη, τῶν ἀπαλλαγῆναι τοῦ δήμου βουλομένων καὶ κλύδωνα καὶ μανίαν τὰ καθεστηκότα πράγμαθ' ἡγουμένων, ὁ τέως προσκυνῶν τὴν θόλον.

NC. 5-6. J'écris ἀπωλέσας, εἶτα pour ἀπώλεσας. Εἶτα. — 7. τοῦτο S, L[1] et A. αὖ τοῦτο vulg. — πάντα S et L. πάντα τὰ vulg. — 8. εἶχεν Dobree. — 16. ὁ τέως A. ὁ τέως πρῴην S, L et vulg.

à l'envie : ce bien, c'est la gloire. On voit que l'épithète ἴδιον est à sa place, et qu'il ne faut rien changer à la leçon des manuscrits.

2-3. Τῆς ἐπιτιμίας, des droits de cité. — Καὶ ταύτην.... δίκην, et c'est là le châtiment que....

4-5. Συλήσας. Ce trope est préparé par ἀποστερῶν τῶν ἐπαίνων ; il est adouci par l'addition, en quelque sorte explicative, du mot propre διασύρας. [G. H. Schæfer.] — Τῷ λόγῳ. Ces deux mots résument ce qui précède et font antithèse à τὰ πράγματα. [*Idem.*]

6-7. Γεωργεῖς. Cf. § 146. — Καὶ γὰρ τοῦτο, car c'est là aussi une chose curieuse à considérer. Cf. *Midienne*, § 167 : Καὶ γὰρ αὖ τοῦτο.

11. Ἐχθρός : sous-ent. ἐστίν.

12. Θοἰμάτιον.... σφυρῶν. On rapproche Éphippe, le comique, chez Athénée, VIII, p. 347 : Σεμνὸς σεμνῶς χλανίδ' ἕλκων. Cicéron, *Pro Cluent.*, § 111 : « Facite enim ut non solum mores ejus et arrogantiam, sed etiam vultum atque amictum atque illam usque ad talos demissam purpuram recordemini. » Il faut distinguer entre le manteau et la tunique : le portrait tracé par Horace (*Sat.*, I, II, 25) : « Malchinus tunicis demissis ambulat », est tout différent : c'est celui d'un *discinctus*.

12-13. Ἴσα βαίνων Πυθοκλεῖ, marchant du même pas que Pythoclès, du pas d'un homme qui se donne un air d'importance. Cf. les locutions μεγάλα βαίνειν, ἁβρὰ βαίνειν. On a vu, au paragraphe 225, ces deux personnages se promener ensemble dans l'agora. Shilleto fait observer que le trait était plus piquant, si Eschine était de petite taille, comme l'assure une scholie sur *Cour.*, § 129, p. 270, 11. La phrase, devenue proverbiale, est tournée dans les lexiques d'Harpocration, de Suidas et d'autres par : συνὼν ἀεὶ καὶ μηδὲ βραχὺ ἀφιστάμενος ; explication qui laisse à désirer (O. Gilbert, p. 84, a raison sur ce point), et qui semble être donnée sous l'influence d'un autre passage, *Contre Stephanos*, I, § 63.

15. Κλύδωνα. Cf. § 135.

16. Προσκυνῶν τὴν θόλον, qui était à genoux devant le Prytanée, devant les

[315] Βούλομαι τοίνυν ὑμῖν ἐπελθεῖν ἐπὶ κεφαλαίων ὃν τρόπον ὑμᾶς κατεπολιτεύσατο Φίλιππος προσλαβὼν τούτους τοὺς θεοῖς ἐχθρούς. Πάνυ δ' ἄξιον ἐξετάσαι καὶ θεάσασθαι τὴν ἀπάτην ὅλην. Τὸ μὲν γὰρ ἀπ' ἀρχῆς τῆς εἰρήνης ἐπιθυμῶν, διαφορουμένης αὐτοῦ τῆς χώρας ὑπὸ τῶν λῃστῶν καὶ κεκλειμένων τῶν ἐμπορίων, ὥστ' ἀνόνητον ἐκεῖνον ἁπάντων εἶναι τῶν ἀγαθῶν, τοὺς τὰ φιλάνθρωπα λέγοντας ἐκείνους ἀπέστειλεν ὑπὲρ αὐτοῦ, τὸν Νεοπτόλεμον, τὸν Ἀριστόδημον, τὸν Κτησιφῶντα· [316] ἐπειδὴ δ' ἤλθομεν ὡς αὐτὸν ἡμεῖς οἱ πρέσβεις, ἐμισθώ- 443
σατο μὲν τοῦτον εὐθέως, ὅπως συνερεῖ καὶ συναγωνιεῖται τῷ μιαρῷ Φιλοκράτει καὶ τῶν τὰ δίκαια βουλομένων [ἡμῶν] πράττειν περιέσται, συνέγραψε δ' ἐπιστολὴν ὡς ὑμᾶς, ᾗ μάλιστ' ἂν ᾤετο τῆς εἰρήνης τυχεῖν. [317] Ἦν δ' οὐδὲν μᾶλλον μέγ' αὐτῷ καθ' ὑμῶν οὐδ' οὕτω πρᾶξαι, εἰ μὴ Φωκέας ἀπολεῖ. Τοῦτο δ' οὐκ ἦν εὔπορον· συνῆκτο γὰρ αὐτῷ τὰ πράγματα, ὥσπερ ἐκ τύχης, εἰς καιρὸν τοιοῦτον, ὥστ' ἢ μηδὲν ὧν ἐβούλεθ' εἶναι διαπράξασθαι, ἢ ἀνάγκην εἶναι ψεύσασθαι καὶ ἐπιορκῆσαι καὶ μάρτυρας τῆς αὑτοῦ κακίας πάντας Ἕλληνας καὶ βαρβάρους ποιήσασθαι. [318] Εἰ μὲν γὰρ προσδέξαιτο Φωκέας συμμάχους καὶ μεθ' ὑμῶν τοὺς ὅρκους αὐτοῖς ἀποδοίη, τοὺς πρὸς Θετταλοὺς καὶ Θηβαίους ὅρκους παραβαίνειν εὐθὺς ἀναγκαῖον ἦν, ὧν τοῖς μὲν τὴν Βοιωτίαν συνεξαιρήσειν ὠμωμόκει, τοῖς δὲ

NC. 1. ἐπανελθεῖν F, A, L[2]. ἐπὶ κεφαλαίων ἐπελθεῖν vulg. — 11. ἡμῶν est, avec raison, écarté par Cobet. — 14. οὐδὲν οὐδ' Dobree. — 16. Le premier εἶναι est pointé dans S. — 20. ἀποδοίη S[1]. ἀποδωιη S[2]. ἀποδῴη L.

prytanes et tout le sénat des Cinq-cents, dont il se trouvait heureux d'être le greffier. Cf. § 249.

2. Κατεπολιτεύσατο. Cf. καταπολεμῶν, *Phil.* I, § 40.

5-6. Κεκλειμένων τῶν ἐμπορίων. Cf. *Olynth.* II, § 16.

8. Νεοπτόλεμον.... Κτησιφῶντα. Cf. §§ 12, 18, 97.

12. Ἐπιστολήν. C'est la première des deux lettres mentionnées au paragraphe 40.

13-14. Ἦν δ(ὲ).... ἀπολεῖ, mais il ne lui en était pas plus possible, même ainsi, de remporter un grand avantage sur nous, s'il n'arrivait à détruire les Phocidiens. Ἀπολεῖ, à l'indicatif du futur, conformément à la vivacité du langage grec, qui aime à transporter dans le style indirect les tournures du style direct. En effet, Philippe disait : εἰ μὴ ἀπολῶ. Cf. § 320 : Ἤιδει.... ὅτι νῦν.... οὐκ ἔνεστι παρελθεῖν.

15. Συνῆκτο.... τὰ πράγματα, « res in « angustias redactæ erant. »

16. Εἶναι ne dépend pas de ἐβούλετο, mais de ὥστε.

21. Ὅρκους παραβαίνειν. Hyperbole oratoire. Philippe faisait espérer ou promettait en secret aux ambassadeurs thessaliens et thébains de remplir leurs vœux.

τὴν πυλαίαν συγκαταστήσειν· εἰ δὲ μὴ προσδέχοιτο, ὥσπερ οὐ
προσίετο, οὐκ ἐάσειν ὑμᾶς παρελθεῖν αὐτὸν ἡγεῖτο, ἀλλὰ βοη-
θήσειν εἰς Πύλας, ὅπερ, εἰ μὴ παρεκρούσθητ', ἐποιήσατ' ἄν· εἰ
δὲ τοῦτο γένοιτο, οὐκ ἐνεῖναι παρελθεῖν ἐλογίζετο. [319] Καὶ
τοῦτ' οὐ παρ' ἄλλων αὐτὸν ἔδει πυθέσθαι, ἀλλ' αὐτὸς ὑπῆρχε
μάρτυς ἑαυτῷ τοῦ πράγματος· ὅτε γὰρ Φωκέας ἐκράτησε τὸ
πρῶτον καὶ διέφθειρε τοὺς ξένους αὐτῶν καὶ τὸν ἡγούμενον καὶ
στρατηγοῦντ' Ὀνόμαρχον, τότε τῶν ὄντων ἀνθρώπων ἁπάν-
των οὐδενὸς, οὔθ' Ἕλληνος οὔτε βαρβάρου, Φωκεῦσι βοηθή-
444 σαντος πλὴν ὑμῶν, οὐχ ὅπως παρῆλθεν καὶ διεπράξαθ' ὧν ἐβου-
λήθη τι παρελθὼν, ἀλλ' οὐδὲ προσελθεῖν ἐγγὺς ἐδυνήθη.
[320] Ἤδει δὴ σαφῶς, οἶμαι, τοῦθ', ὅτι νῦν, ἡνίκ' ἐστασίαζε
μὲν αὐτῷ τὰ Θετταλῶν, καὶ Φεραῖοι πρῶτον οὐ συνηκολού-
θουν, ἐκρατοῦντο δὲ Θηβαῖοι καὶ μάχην ἥττηντο καὶ τρόπαιον
ἀπ' αὐτῶν εἱστήκει, οὐκ ἔνεστι παρελθεῖν, εἰ βοηθήσεθ' ὑμεῖς,
οὐδ', ἂν ἐπιχειρῇ, χαιρήσειν, εἰ μή τις τέχνη προσγενήσεται.
Πῶς οὖν μήτε ψεύσομαι φανερῶς, μήτ' ἐπιορκεῖν δόξας πάνθ'
ἃ βούλομαι διαπράξομαι; πῶς; οὕτως, ἂν Ἀθηναίων τινὰς

NC. 4-5. καὶ ταῦτα vulg. — 6. Φωκέας ἐκράτησεν τὸ πρῶτον A. Φωκέας ἐκτήσατο πρῶτον S et L[1]. τὸ πρῶτον ἐκράτησε Φωκέας ὁ Φίλιππος vulg. — 10. J'écris καὶ pour ἤ, qui fausse le sens. — 12. δὲ vulg. — 13. φιρεοι S. — 14. εκρατουν S[1]. — 14. μάχην S et L[1]. μάχην τε L[2]. μάχῃ vulg. — 16. χαιρήσειν L[1], A, marge de S. χαιρήσειν τοῖς ὅπλοις δυνήσεται vulg. χαίρειν S seul. Les derniers éditeurs allemands, qui adoptent cette leçon, sont obligés de construire ἔνεστι χαίρειν, ce qui fait une locution peu naturelle en cet endroit. χαιρήσει Dobree. — 17. Variante : ψεύσωμαι et plus bas, διαπράξωμαι. — ἃ S. ὅσα vulg.

1. Τὴν πυλαίαν συγκαταστήσειν, les aider à reprendre leur place dans le conseil amphictyonique. Cf. *Phil.* II, § 22, et *passim*.

1-2. Προσδέχοιτο alterne ici avec προσδέξαιτο, sans différence sensible. Cf. *Lept.*, §§ 67 et 87. — Ὥσπερ οὐ προσίετο, comme en effet il ne les admit pas au nombre des alliés.

6-8. Ὅτε γὰρ Φωκέας.... Cf. § 84, et notre *Notice* sur la première Philippique, p. 75. — Τὸν ἡγούμενον désigne, d'une manière générale, celui qui était à la tête des affaires; τὸν στρατηγοῦντα, plus particulièrement le chef militaire. [Reiske.]

10-11. Ὧν ἐβουλήθη τι équivaut à τι τούτων ὧν ἐβουλήθη διαπράξασθαι. — Παρελθών, ayant franchi. Προσελθεῖν, approcher.

13-14. Καὶ Φεραῖοι πρῶτον, et tout d'abord ceux de Phères. Cf. *Lept.*, § 108; *Cour.*, § 236. [Dobree.] — Ἐκρατοῦντο δὲ Θηβαῖοι.... Faits exposés au paragraphe 148.

16. Οὐδ(ὲ).... χαιρήσειν, et qu'il ne s'en trouverait pas bien. Le style indirect succède au style direct.

17-18. Πῶς οὖν...; πῶς; οὕτως. Cette répétition n'est pas pathétique, mais toute familière et pleine de vérité. Nous voyons Philippe délibérer en lui-même,

En dehors d'Athènes, le contrôle est plus difficile pour nous. Parmi les lettres de Philippe, une seule, celle du paragraphe 157, soulève des objections très-graves; il n'y a rien à dire de bien positif contre les autres si ce n'est que quelques-unes[4] ne sont certainement pas les lettres visées par Démosthène. Le décret des Chersonnésites (§ 92) donne peu de prise à la critique. Celui du peuple de Byzance (§ 90-91), malgré une difficulté, qui n'est peut-être pas insoluble, doit être authentique ou fait d'après d'excellents modèles. Mais les deux décrets amphictyoniques (§§ 154 et 155) sont évidemment faux. Un des indices qui les ont fait récuser offre un intérêt particulier : ils sont aussi mal datés que les documents attiques. On a retrouvé à Delphes des décrets authentiques des Amphictyons, et un de ces décrets remonte au siècle de Démosthène[5] Or, partout l'année est désignée par l'archonte de Delphes, tandis que la pièce insérée dans Démosthène porte en tête le nom d'un prêtre (ἱερεύς). En rapprochant ce fait des pseudéponymes d'Athènes, on se confirme dans l'opinion que ces derniers ne cachent pas d'autre mystère que le caprice d'un faussaire.

Quant aux vers cités au paragraphe 289, la question de leur authenticité doit être séparée de celle des documents. Les documents s'arrêtent au paragraphe 187 : plus loin, on ne trouve plus que des titres qui ne sont pas suivis des pièces à l'appui. Les vers se lisent donc dans une partie du discours sur laquelle ne s'est pas exercée l'industrie de ceux qui ont interpolé les documents. Ajoutons que des vers sont cités tout au long dans d'autres discours qui n'offrent le texte d'aucun document. En effet, on lit des citations poétiques dans l'*Ambassade*, aux paragraphes 247 et 255, et dans l'*Halonnèse*, au paragraphe 40. On en lit dans l'*Accusation de Léocrate*, par Lycurgue : sans insister sur ceux que l'orateur prononça lui-même et qui font partie intégrante du discours, notons seulement les deux grands morceaux d'Euripide et de Tyrtée (§§ 100 et 107), qui ont dû être lus par le greffier. Eschine fait lire des vers qui sont venus jusqu'à

1. Voy. § 29. Cf. § 187.
2. Voy. § 73 et 184.
3. Au lieu de δεδόχθαι τῷ δήμῳ, on lit aux §§ 29, 84, 118, 164, 165 la formule plus récente δ. τῇ βουλῇ καὶ τ. δ. Cf. Hartel, *Stud. üb. att. Staatsrecht*, Wien, 1878, p. 86.
4. Voy. les §§ 77 sq., 166, 167.
5. Cf. Wescher, *Étude sur le monum. bilingue de Delphes*, 1868, p. 200. Sauppe,

nous, dans le discours *Contre Ctésiphon* (§ 190)[1], et dans l'*Accusation de Timarque* (§ 148 sqq.). Ce dernier discours renferme, il est vrai, quelques documents ; mais ils s'arrêtent beaucoup plus haut. Comme tous ces vers sont évidemment authentiques, cela constitue une certaine présomption en faveur de ceux qui figurent dans notre plaidoyer. On jugera si nous avons réussi à en rétablir le texte de manière à lever tous les doutes.

On a essayé de trancher la question d'authenticité par les notices stichométriques[2] conservées dans quelques manuscrits. En effet, les documents ne comptent pas dans le total des lignes indiqué à la fin de chaque discours. Sauppe l'a démontré depuis longtemps, et la chose est devenue plus évidente encore aujourd'hui que l'attention des savants s'est portée sur les lettres marginales qui servent à marquer la somme des lignes de centaine en centaine. La comparaison des intervalles permet d'affirmer que les manuscrits modèles auxquels se rapportaient ces chiffres ne contenaient pas de pièces à l'appui. Mais en résulte-t-il nécessairement que toutes ces pièces soient fausses ? On lit dans plusieurs plaidoyers civils (*Contre Lakritos*, *Contre Makartatos*, *Contre Stephanos*) des documents qu'il est difficile de suspecter. Or ces documents ne figuraient pas dans les manuscrits modèles en question, et il est impossible qu'ils aient été insérés dans le texte par un commentateur bien renseigné. D'où les aurait-ils tirés ? ils ne sont pas de nature à être conservés dans un dépôt public. Ils doivent provenir des plus anciens manuscrits. En effet, M. Christ[3] vient d'établir que les manuscrits visés par les notices stichométriques doivent être postérieurs à Denys d'Halicarnasse. La tradition de nos textes remonte donc parfois plus haut que ces manuscrits.

Il n'en est pas moins vrai que la plupart des documents de notre discours sont faux, et l'on peut demander à quelle époque ils ont été fabriqués. Denys d'Halicarnasse n'y fait aucune allusion dans les discussions chronologiques de sa première *Épître à Ammée*, et l'on voit bien qu'il ne s'en est pas servi : Droysen l'a fait observer. Le même critique[4] pense que Plutarque et l'auteur des *Vies des X orateurs*, ainsi que le rhéteur Aristide, ont connu ces pièces apocryphes. En effet ce dernier, dans un exercice oratoire où il évoque les souvenirs de la guerre d'Athènes contre Philippe de Macédoine, semble s'inspirer du décret pseudo-démosthénique qu'on lit après le paragraphe 180 de notre discours[5]. Il me reste cependant un scrupule : ce décret n'a

Commentatio de amphictyonia Delphica, Gœttingen, 1873.

1. Sans compter l'oracle poétique, au paragraphe 112.

2. Voy. *Harangues*, p. XIX sq.

3. W. Christ, *Die Atticusausgabe des Demosth.* dans *Abh. der bayerischen Akad.* I cl., XVI, 3, 1882.

4. *Zeitschrift für die Alterthumsw.*, 1839, p. 958 sqq.

5. Aristide, Φιλίππου δίοδον αἰτοῦντος παρὰ Θηβαίων ἐπ' Ἀθηναίους ἤκουσιν Ἀθηναῖοι ἐχόντες ἑαυτοὺς εἰς συμμαχίαν διδόντες, I, p. 720 Dind. : Χωρὶς δὲ ἅπαντας ἂν οἶμαι συμφῆσαι τὸ μὲν ἡμᾶς ὄντας Ἕλληνας καὶ ὁμοφύλους ἐοί-

pas été inventé de toute pièce, je crois que le faussaire avait des modèles sous les yeux. Ces mêmes modèles n'auront-ils pas pu servir à Aristide? J'ai déjà parlé plus haut[1] du passage de Plutarque : les dates y sont mêlées si confusément qu'on ne sait qu'en penser. Enfin, le texte des *Vies des X orateurs*[2] est en trop mauvais état pour en tirer des conclusions certaines[3].

Il est encore plus malaisé de dire par qui et dans quelle intention les faux documents ont pu être fabriqués. La plupart des erreurs dont ils fourmillent eussent été très-faciles à éviter. Il suffisait pour cela de consulter une table des archontes athéniens, de lire avec une attention moins distraite les discours de Démosthène et d'Eschine, de faire enfin quelques recherches peu pénibles. Évidemment, nous n'avons pas affaire à l'œuvre d'un érudit ; il est même difficile de supposer l'intention de tromper les lecteurs. Droysen voyait dans ces pièces de simples exercices d'école, des pastiches qu'un rhéteur du premier siècle après notre ère se serait amusé à jeter sur le papier[4]. On peut se ranger à cette opinion pour ce qui est des plus frivoles d'entre ces pièces ; mais je ne pense pas qu'elles soient toutes de la même main. Il y en a de bonnes qui sont puisées aux meilleures sources, il y en a même qui portent un caractère évident d'authenticité : les pièces de ce genre, rares et exceptionnelles dans le discours de la *Couronne*, se trouvent en plus grand nombre dans la *Midienne* et ailleurs[5].

ζειν πρὸς ἀλλήλους ὑπὲρ ἀρχῆς καὶ τάξεως ἀνεπίφθονον εἶναι καὶ τῶν νενομισμένων.... *Ibid.*, p. 730 : Οἰκειούμενοι πρῶτον μὲν Ἕλληνας καὶ ὁμοφύλους, ἔπειτ' ἀστυγείτονας καὶ συνήθεις ἐκ παλαιοῦ. Cf. le faux décret, §§ 185 et 186.

1. Voy. p. 390, note 2.

2. *Vies des X orat.*, p. 846 A, et le faux décret, § 118. Voy. le commencement de cette *Notice*.

3. J. J. Wortmann (*De decretis in Demosth. Æschinea exstantibus Atticis*, Marburg, 1877) attribue les décrets attiques à un rhéteur d'Asie vers l'an 100 avant J.-C. Il trouve qu'ils ressemblent par le style aux décrets asiatiques de cette époque.

4. Tel est aussi l'avis de M. Egger, *Journal des Savants*, 1875, p. 50.

5. Voy. notre *Notice* sur la *Midienne*, fin.

ΥΠΕΡ ΚΤΗΣΙΦΩΝΤΟΣ

ΠΕΡΙ ΤΟΥ ΣΤΕΦΑΝΟΥ

ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ.

Τεῖχος μὲν ὁ ῥήτωρ ὑπὲρ Ἀθηναίων προυβάλετο τῶν συνήθων
τούτων καὶ χειροποιήτων ἀρραγέστερόν τε καὶ βέλτιον, τήν τε εἰς
τὴν πόλιν εὔνοιαν καὶ περὶ λόγους δεινότητα· ὡς αὐτὸς εἴρηκεν « οὐ
« λίθοις καὶ πλίνθοις τὰς Ἀθήνας ὠχύρωσα, ἀλλὰ μεγάλαις δυνά-
« μεσι καὶ πολλῇ τινὶ συμμαχίᾳ, τῇ μὲν ἐκ γῆς, τῇ δὲ ἐκ θαλάτ-
« της. » Οὐ μὴν ἀλλὰ καὶ εἰς τὸν χειροποίητον περίβολον οὐ μικρὰ
τῇ πόλει συνεβάλετο. Πεπονηκότος γὰρ κατὰ πολλὰ μέρη τοῦ τείχους 221
τοῖς Ἀθηναίοις, ἐπειδὴ ἔδοξεν ἀνορθοῦν αὐτὸ, ᾑρέθησαν ἐπὶ τὸ ἔργον
ἄνδρες δέκα, φυλῆς ἑκάστης εἷς, οὓς ἔδει τὴν ἐπιμέλειαν παρέχεσθαι
ψιλήν· τὸ γὰρ ἀνάλωμα δημόσιον. Εἷς τοίνυν τούτων καὶ ὁ ῥήτωρ
γενόμενος οὐχ ὁμοίως τοῖς ἄλλοις τὴν ἐπιμέλειαν μόνην εἰσήνεγκε
τῇ χρείᾳ, ἀλλὰ τὸ μὲν ἔργον ἀμέμπτως ἀπετέλεσε, τὰ δὲ χρήματα
ἔδωκεν οἴκοθεν τῇ πόλει. Ἐπῄνεσεν αὐτοῦ τὴν εὔνοιαν ταύτην ἡ
βουλὴ, καὶ τὴν προθυμίαν ἠμείψατο στεφάνῳ χρυσῷ· ἕτοιμοι γὰρ
Ἀθηναῖοι πρὸς τὰς χάριτας τῶν εὖ ποιούντων. Κτησιφῶν δὲ ἦν ὁ τὴν
γνώμην εἰπὼν ὡς δεῖ στεφανῶσαι τὸν Δημοσθένην, ἐν μὲν καιρῷ
τοῖς Διονυσίοις, ἐν δὲ τόπῳ τῷ τοῦ Διονύσου θεάτρῳ, ἐν δὲ θεαταῖς
πᾶσι τοῖς Ἕλλησιν, οὓς ἡ πανήγυρις συνήγαγε· καὶ τούτων ἐναντίον
ἀνειπεῖν τὸν κήρυκα, ὅτι στεφανοῖ Δημοσθένην Δημοσθένους Παιανιέα
ἡ πόλις ἀρετῆς συμπάσης ἕνεκα καὶ εὐνοίας τῆς πρὸς αὐτήν.

4. ὠχύρωσεν Feliciano. ὀχυρώσας H. Wolf. Cf. § 299.

9-10. Variantes : παρέχεσθαι τοῦ ἔργου, et ψιλὴν παρέχεσθαι τοῦ ἔργου.

Ἦν οὖν πανταχόθεν ἡ τιμὴ θαυμαστή· διὸ καὶ φθόνος αὐτῆς ἥψατο, καὶ τοῦ ψηφίσματος ἀπηνέχθη παρανόμων γραφή. Αἰσχίνης γὰρ ἐχθρὸς ὢν τοῦ Δημοσθένους ἀγῶνα παρανόμων ἐπήγγειλε Κτησιφῶντι, λέγων ἄρχοντα γεγονότα τὸν Δημοσθένην καὶ μὴ δόντα λόγον ὑπεύθυνον εἶναι, νόμον δὲ κελεύειν τοὺς ὑπευθύνους μὴ στεφανοῦν· καὶ πάλιν νόμον παρεχόμενος τὸν κελεύοντα, ἐὰν μέν τινα ὁ δῆμος ὁ Ἀθηναίων στεφανοῖ, ἐν τῇ ἐκκλησίᾳ τὸν στέφανον ἀναγορεύεσθαι,
222 ἐὰν δὲ ἡ βουλή, ἐν τῷ βουλευτηρίῳ, ἀλλαχόθι δὲ μὴ ἐξεῖναι. Φησὶ δὲ καὶ τοὺς ἐπαίνους εἶναι τοὺς ἐπὶ τῷ Δημοσθένει ψευδεῖς· μὴ γὰρ πεπολιτεῦσθαι καλῶς τὸν ῥήτορα, ἀλλὰ καὶ δωροδόκον εἶναι καὶ πολλῶν κακῶν αἴτιον τῇ πόλει. Καὶ τάξει γε ταύτῃ τῆς κατηγορίας Αἰσχίνης κέχρηται, πρῶτον εἰπὼν περὶ τοῦ τῶν ὑπευθύνων νόμου καὶ δεύτερον περὶ τοῦ τῶν κηρυγμάτων καὶ τρίτον περὶ τῆς πολιτείας. Ἠξίωσε δὲ καὶ τὸν Δημοσθένην τὴν αὐτὴν τάξιν ποιήσασθαι. Ὁ δὲ ῥήτωρ καὶ ἀπὸ τῆς πολιτείας τὴν ἀρχὴν ἐποιήσατο καὶ πάλιν εἰς ταύτην τὸν λόγον κατέστρεψε, τεχνικῶς ποιῶν· δεῖ γὰρ ἄρχεσθαί τε ἀπὸ τῶν ἰσχυροτέρων καὶ λήγειν εἰς ταῦτα. Μέσα δὲ τέθεικε τὰ περὶ τῶν νόμων, καὶ τῷ μὲν περὶ τῶν ὑπευθύνων ἀντιτίθησι διανοίας, τῷ δὲ περὶ τῶν κηρυγμάτων νόμον ἕτερον ἤτοι νόμου μέρος, ὥς φησιν αὐτός, ἐν ᾧ συγκεχώρηται καὶ ἐν τῷ θεάτρῳ κηρύττειν, ἐὰν ὁ δῆμος ἢ ἡ βουλὴ τοῦτο ψηφίσηται.

ΕΤΕΡΑ ΥΠΟΘΕΣΙΣ.

Ἀθηναῖοι καὶ Θηβαῖοι πολεμοῦντες πρὸς Φίλιππον ἐν Χαιρωνείᾳ, πόλει τῆς Βοιωτίας, ἡττήθησαν. Ἐπικρατήσας οὖν ὁ Μακεδὼν φρουρὰν μὲν εἰς τὰς Θήβας ἐνέβαλε, καὶ εἶχεν ὑπὸ χεῖρα δουλεύουσαν. Ἐλπίσαντες οὖν τὸ αὐτὸ παθεῖν Ἀθηναῖοι καὶ ὅσον οὐδέπω καθ' αὐτῶν
223 ἥξειν προσδοκῶντες τὸν τύραννον, ἐσκέψαντο τὰ πεπονηκότα μέρη τῷ χρόνῳ τοῦ τείχους ἐπανορθώσασθαι, καὶ δὴ ἀφ' ἑκάστης φυλῆς τειχοποιοὶ προεβλήθησαν. Τοιόνδε καὶ ἡ Πανδιονὶς ἐξ ἑαυτῆς εἵλετο πρὸς τὴν χρείαν τὸν ῥήτορα. Τῆς τοίνυν ἐργασίας ἐν χερσὶν οὔσης, προσδεηθεὶς ἔτι χρημάτων μετὰ τὰ δεδομένα ὑπὸ τῆς πόλεως, ὁ ῥήτωρ ἐκ τῶν ἰδίων ἐδαπάνησε, καὶ οὐκ ἐλογίσατο αὐτὰ τῇ πόλει, ἀλλὰ καὶ ἐχαρίσατο. Ταύτην ἀφορμὴν ὁ Κτησιφῶν, εἷς τῶν πολιτευομένων, δεξάμενος εἰσήνεγκε γνώμην ἐν τῇ βουλῇ περὶ αὐτοῦ τοιαύτην, « ἐπειδὴ διατελεῖ Δημοσθένης ὁ Δημοσθένους παρ' ὅλον

« τὸν βίον εὔνοιαν εἰς τὴν πόλιν ἐπιδεικνύμενος, καὶ νῦν δὲ τειχο« ποιὸς ὢν καὶ προσδεηθεὶς χρημάτων οἴκοθεν παρέσχε καὶ ἐχα« ρίσατο, διὰ τοῦτο δεδόχθαι τῇ βουλῇ καὶ τῷ δήμῳ στεφανοῦσθαι « αὐτὸν χρυσέῳ στεφάνῳ, ἐν τῷ θεάτρῳ, τραγῳδιῶν ἀγομένων και« νῶν, » ἴσως ὅτε πλήθη συντρέχει ἐπιθυμοῦντα καινὰ δράματα βλέπειν. Εἰσαγομένου τοίνυν καὶ εἰς τὸν δῆμον τοῦ προβουλεύματος, ἐφίσταται τοῦ Κτησιφῶντος κατήγορος Αἰσχίνης, ἐκ τῆς πολιτείας ὑπάρχων ἐχθρὸς, παράνομον εἶναι φάσκων πρὸς τρεῖς νόμους τὸ ψήφισμα, ἕνα μὲν τὸν κελεύοντα τὸν ὑπεύθυνον μὴ στεφανοῦσθαι, πρὶν ἂν δῷ τὰς εὐθύνας· οὔπω δὲ ταύτας, φησὶν, ὁ Δημοσθένης ἐδεδώκει καὶ τὰ θεωρικὰ διοικῶν καὶ τειχοποιῶν, καὶ ἔδει ἀναμεῖναι καὶ ἐπισχεῖν τὸ γέρας, ἕως ἂν ὀφθῇ καθαρὸς ἐξετασθείς. Δεύτερον δὲ ἀναγινώσκει νόμον τὸν κελεύοντα ἐν Πυκνὶ στεφανοῦσθαι, ἐν τῇ ἐκκλησίᾳ, διαβάλλων τοὺς πολίτας τοὺς δεξαμένους ἐν τῷ θεάτρῳ ἀνα- 224 γορευθῆναι τοῦ Δημοσθένους τὸν στέφανον. Ὁ δὲ τρίτος νόμος εἰς τὴν ὅλην ὁρᾷ τοῦ βίου καὶ τῆς πολιτείας ἐξέτασιν· κελεύει γὰρ μηδέποτε ψευδῆ γράμματα εἰς τὸ Μητρῷον εἰσάγειν, ἔνθα ἐστὶν ὅλα τὰ δημόσια γράμματα. Ἐψεύσατο δὲ, φησὶν, εὔνοιαν καὶ σπουδὴν μαρτυρήσας τῷ Δημοσθένει· κακόνους γὰρ μᾶλλον καὶ πολέμιος εὑρίσκεται τῇ πατρίδι. Τούτου τοῦ νόμου χρησίμου τυγχάνοντος, τοῦ τρίτου, ἀντιλαβόμενος ὥσπερ τινὸς ἀγκύρας ὁ ῥήτωρ κατεπάλαισε τὸν ἀντίδικον, μεθόδῳ δεινοτάτῃ καὶ σοφωτάτῃ τῇ παρὰ τοῦ κατηγόρου χρησάμενος· ἐκεῖθεν γὰρ ἔσχε λαβὴν ἑλεῖν καὶ καταγωνίσασθαι τὸν πολέμιον. Τοὺς μὲν γὰρ ἄλλους δύο νόμους, τόν τε τῶν ὑπευθύνων καὶ τὸν τοῦ κηρύγματος, εἰς τὸ μέσον τοῦ λόγου ἀπέρριψε, στρατηγικῶς κακοὺς εἰς μέσον ἐλάσας, τῷ δὲ ἰσχυροτάτῳ εἰς τὰ ἄκρα προσκέχρηται, τὸ σαθρὸν τῶν ἄλλων ἐξ ἑκατέρου ῥωννύς. Ἔοικε δὲ καὶ διοικεῖν πρὸς τὸ συμφέρον τὸν λόγον, καὶ οὐ σφόδρα ἀνχιδῶς τὴν τέχνην ἐπιδεικνύμενος. Δοκῶν γὰρ ἐν πρώτοις ὑπερβαίνειν τὸ νόμιμον, ἑτέρῳ τρόπῳ τῷ νομίμῳ προσκέχρηται. Καὶ γὰρ νόμον ἀνέγνω Αἰσχίνης τὸν περὶ τῶν εἰσφερόντων ψευδῆ, πρὸς ὃν ὁ ῥήτωρ ἀποκρινόμενος εὗρε καιρὸν εἰς μέσον ἀγαγεῖν τὰ ἑαυτοῦ πολιτεύματα, ὡς νομίμῳ μαχόμενος. Καὶ ἡ μὲν διοίκησις τοῦ λόγου

21. ἱερᾶς τινος ἀγκύρας Herwerden.

22. Παρὰ est notre correction pour περί. Démosthène emprunte des armes à l'adversaire, profite de la faute commise par Eschine. Voy. le passage de Syrianos cité p. 393, note 4.

26. Κακοὺς Wunderlich. κακοὺς δ' manuscrits. Cf. Homère, *Il.*, IV, 299.

31. Περὶ τῶν εἰσφερόντων est notre conjecture. La leçon περὶ τῶν στεφάνων est une distraction du copiste. Cf. l. 17 sq. et § 55.

τοιαύτη· κεφάλαιον δὲ ἰσχυρὸν τῷ μὲν Αἰσχίνῃ τὸ νόμιμον, τῷ δὲ ῥήτορι τὸ δίκαιον, κοινὸν δὲ ἀπὸ τοῦ ἴσου τὸ συμφέρον, οὐκ ἔχον
225 φανερὰν τὴν ἐξέτασιν. Ἡ στάσις ἔγγραφος πραγματική· περὶ ῥητοῦ γὰρ τοῦ ψηφίσματος.

Τῆς δὲ γραφῆς ἔτι Φιλίππου ζῶντος ἀποτεθείσης, ἐπὶ Ἀλεξάνδρου διαδεξαμένου τὴν ἀρχὴν ὁ λόγος ἐστὶ καὶ ἡ κρίσις. Ὡς γὰρ ἀπέθανε Φίλιππος καὶ τὴν φρουρὰν οἱ Θηβαῖοι τεθαρσηκότες ἐξέβαλον, ὁ μὲν Ἀλέξανδρος ὡς καταφρονηθεὶς τὰς Θήβας κατέσκαψεν, εἶτα μεταγνοὺς ἐπὶ τῷ πεπραγμένῳ ἐξεχώρησε τῆς Ἑλλάδος αἰσχυνόμενος καὶ κατὰ τῶν βαρβάρων ἐστράτευσεν, οἱ δὲ Ἀθηναῖοι καιρὸν ἔχειν ἐνόμισαν κρίσει παραδοῦναι τοὺς προδότας τοὺς τὴν Ἑλλάδα ἀδικήσαντας, καὶ οὕτω συνεκροτήθη τὸ δικαστήριον.

Πρῶτον μέν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς θεοῖς εὔχομαι πᾶσι καὶ πάσαις, ὅσην εὔνοιαν ἔχων ἐγὼ διατελῶ τῇ τε πόλει καὶ
226 πᾶσιν ὑμῖν, τοσαύτην ὑπάρξαι μοι παρ' ὑμῶν εἰς τουτονὶ τὸν ἀγῶνα, ἔπειθ' ὅπερ ἐστὶ μάλισθ' ὑπὲρ ὑμῶν καὶ τῆς ὑμετέρας εὐσεβείας τε καὶ δόξης, τοῦτο παραστῆσαι τοὺς θεοὺς ὑμῖν, μὴ τὸν ἀντίδικον σύμβουλον ποιήσασθαι περὶ τοῦ πῶς ἀκούειν ὑμᾶς ἐμοῦ δεῖ (σχέτλιον γὰρ ἂν εἴη τοῦτό γε), [2] ἀλλὰ τοὺς νό-

4. Τοῦ ψηφίσματος est notre correction, pour τὸ ψήφισμα. Le ψήφισμα est une espèce de ῥητόν. Cf. Hermogène, III, p. 13 sq. Walz : Ῥητὰ δὲ λέγω, οἷον νόμους, διαθήκας, ψηφίσματα κτλ. Voyez aussi la note sur στάσις πραγματικὴ ἔγγραφος, p. 14, l. 26. — Fox, *die Kranzrede*, p. 243, propose τὸ ζήτημα.

13. sqq. Πρῶτον μὲν.... Eschine (§ 202 sqq.) avait prétendu que, dans l'intérêt d'une bonne justice, les juges ne devaient pas laisser Démosthène prendre la parole dans un procès où l'accusé était Ctésiphon, et, s'ils lui permettaient de parler, qu'ils devaient le forcer de ne pas esquiver la question de légalité, mais de la discuter en premier lieu, comme l'avait fait l'accusateur. A l'appui de la première de ces deux demandes, il avait aussi dit (§ 241) qu'il serait insupportable d'entendre un Démosthène, l'opprobre du pays, faire son propre éloge. C'est à ces prétentions de l'accusateur que répond l'exorde de Démosthène.

13. Τοῖς θεοῖς εὔχομαι. Le discours de Lycurgue *Contre Léocrate* commence par une prière. A Rome, les orateurs avaient anciennement l'habitude d'ouvrir toute harangue par une invocation aux dieux : ainsi faisaient Caton le Censeur et les Gracques. Cf. Servius ad Virg. *Æn.*, XI, 301. [Dissen.] Voy. aussi l'exorde du Paphlagonien parlant devant Démos (Aristophane, *Chev.* 763). — Denys, *De comp. verb.*, ch. XVIII et XXV, analyse le présent passage par rapport au nombre oratoire.

14. Εὔνοιαν.... διατελῶ. En se servant, dans cette prière solennelle, de termes qui rappellent le décret de Ctésiphon, l'orateur en affirme indirectement la justesse.

μους καὶ τὸν ὅρκον, ἐν ᾧ πρὸς ἅπασι τοῖς ἄλλοις δικαίοις καὶ τοῦτο γέγραπται, τὸ ὁμοίως ἀμφοῖν ἀκροάσασθαι. Τοῦτο δ' ἐστὶν οὐ μόνον τὸ μὴ προκατεγνωκέναι μηδὲν, οὐδὲ τὸ τὴν εὔνοιαν ἴσην ἀποδοῦναι, ἀλλὰ καὶ τὸ τῇ τάξει καὶ τῇ ἀπολογίᾳ, ὡς βεβούληται καὶ προῄρηται τῶν ἀγωνιζομένων ἕκαστος, οὕτως ἐᾶσαι χρήσασθαι.

[3] Πολλὰ μὲν οὖν ἔγωγ' ἐλαττοῦμαι κατὰ τουτονὶ τὸν ἀγῶν' Αἰσχίνου, δύο δ', ὦ ἄνδρες Ἀθηναῖοι, καὶ μεγάλα, ἓν μὲν ὅτι οὐ περὶ τῶν ἴσων ἀγωνίζομαι· οὐ γάρ ἐστιν ἴσον νῦν ἐμοὶ τῆς παρ' ὑμῶν εὐνοίας διαμαρτεῖν καὶ τούτῳ μὴ ἑλεῖν τὴν γραφὴν, ἀλλ' ἐμοὶ μὲν — οὐ βούλομαι δυσχερὲς εἰπεῖν οὐδὲν ἀρχόμενος τοῦ λόγου, οὗτος δ' ἐκ περιουσίας μου κατηγορεῖ. Ἕτε-

NC. 2. ἀκροάσασθαι S seul. ἀκροᾶσθαι L et vulg. ἀκροάσεσθαι Baiter et Spengel, d'après la formule du serment : cf. *Contre Timocrate*, § 151, et Isocrate, *Antidose*, § 21 : Ὀμνύναι.... ἦ μὴν ὁμοίως ἀκροάσεσθαι τῶν κατηγορούντων καὶ τῶν ἀπολογουμένων. Les trois temps sont également de mise. — 4. ἴσην, texte de S, et L[1]. ἴσην ἀμφοτέροις vulg. — καὶ τὸ vulg. τὸ καὶ S et L. — ἀπολογίᾳ. Usener, *Rhein. Mus.*, XXV, p. 600, propose δικαιολογίᾳ, mot qu'on lit dans Démade, § 7, et dans la *Rhétorique à Alexandre*, *passim*. Voy. la note explicative. — 5. ἑκάτερος Herwerden, *Exerc. crit.*, p. 166. — 10. ελεῖν, les deux premières lettres par correction, S. — 11. βούλομαι S[1]. βούλομαι δὲ L et vulg. — δυσχερὲς οὐδὲν εἰπεῖν L et A.

4-6. Ἀποδοῦναι, *reddere*, accorder comme une chose due, comme un droit. Cf. *Olynth.* I, § 19; II, § 30. — Τῇ τάξει καὶ τῇ ἀπολογίᾳ, l'ordre des matières et (en général tout ce qui regarde) la défense. Démosthène demande que l'accusateur ne puisse imposer à l'accusé l'ordre qu'il devra suivre et la manière dont il aura à se défendre : il ne parle pas du cas inverse, qui ne peut se présenter : aussi les mots τῶν ἀγωνιζομένων ἕκαστος ne désignent-ils pas, comme on croit généralement, les deux parties (pour faire ce sens, il faudrait ἑκάτερος), mais tout homme qui plaide sa cause. En effet le verbe ἀγωνίζεσθαι s'applique particulièrement à l'accusé. Cf. *Mid.*, §§ 7 et 90. *Ambass.*, § 214. *Timocr.*, § 28 : Ὁ νῦν ἀγωνιζόμενος νόμος, « la motion qui est aujourd'hui accusée d'être contraire aux lois existantes »; *ib.*, § 134; *Aristocr.*, § 100; *Aristog.* II, § 20.

11-12. Ἀλλ' ἐμοὶ μὲν.... λόγου. Voici comment Aquila Romanus, *De fig.* 5 (p. 24, 16 Halm) rend cette aposiopèse en latin : « Non pari ego et adversarius periculo ad judicium venimus. Sed mihi quidem — nolo quicquam initio dicendi ominosius proloqui. » — Ἐκ περιουσίας, sans risquer grand'chose. Cette explication semble demandée par l'antithèse sous-entendue « j'ai beaucoup à perdre, toute mon existence politique est en question ». Cependant la locution ἐκ περιουσίας signifie généralement : « par luxe, sans nécessité, de gaieté de cœur. » Elle est opposée à κατ' ἀνάγκην. Cf. *Contre Stéphane*, I, § 67 : Οἱ δ' ἐκ περιουσίας.... πονηροί, « ceux qui sont fourbes de gaieté de cœur, sans y être poussés par la pauvreté ». *Lettre* III, § 32 : Οὔκουν ἐκ τοῦ περιόντος ταῦτα ποιῶ. Harpocration explique ἐκ πολλοῦ τοῦ περιόντος, c'est-à-dire « ayant un grand avantage sur moi » : ce qui revient à πολλὰ ἐλαττοῦμαι.... Αἰσχίνου. — Quoi qu'en dise Démosthène, Eschine aussi croyait son existence politique engagée dans ce procès : l'événement l'a prouvé.

12-1. Ἕτερον n'est pas, comme ἓν (l. 8

ρον δ', ὃ φύσει πᾶσιν ἀνθρώποις ὑπάρχει, τῶν μὲν λοιδοριῶν καὶ τῶν κατηγοριῶν ἀκούειν ἡδέως, τοῖς ἐπαινοῦσι δ' αὐτοὺς ἄχθεσθαι· [4] τούτων τοίνυν ὃ μέν ἐστι πρὸς ἡδονήν, τούτῳ δέδοται, ὃ δὲ πᾶσιν ὡς ἔπος εἰπεῖν ἐνοχλεῖ, λοιπὸν ἐμοί. Κἂν μὲν εὐλαβούμενος τοῦτο μὴ λέγω τὰ πεπραγμέν' ἐμαυτῷ, οὐκ ἔχειν ἀπολύσασθαι τὰ κατηγορημένα δόξω, οὐδ' ἐφ' οἷς ἀξιῶ τιμᾶσθαι δεικνύναι· ἐὰν δ' ἐφ' ἃ καὶ πεποίηκα καὶ πεπολίτευμαι βαδίζω,
227 πολλάκις λέγειν ἀναγκασθήσομαι περὶ ἐμαυτοῦ. Πειράσομαι μὲν οὖν ὡς μετριώτατα τοῦτο ποιεῖν· ὅ τι δ' ἂν τὸ πρᾶγμ' αὐτὸ ἀναγκάζῃ, τούτου τὴν αἰτίαν οὗτός ἐστι δίκαιος ἔχειν ὁ τοιοῦτον ἀγῶν' ἐνστησάμενος.

[5] Οἶμαι δ' ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, πάντας ἂν ὁμολογῆσαι κοινὸν εἶναι τουτονὶ τὸν ἀγῶν' ἐμοὶ καὶ Κτησιφῶντι καὶ οὐδὲν ἐλάττονος ἄξιον σπουδῆς ἐμοί· πάντων μὲν γὰρ ἀποστερεῖσθαι λυπηρόν ἐστι καὶ χαλεπόν, ἄλλως τε κἂν ὑπ' ἐχθροῦ τῳ τοῦτο συμβαίνῃ, μάλιστα δὲ τῆς παρ' ὑμῶν εὐνοίας καὶ φιλανθρωπίας, ὅσῳπερ καὶ τὸ τυχεῖν τούτων μέγιστόν ἐστιν. [6] Περὶ τούτων δ' ὄντος τουτουὶ τοῦ ἀγῶνος, ἀξιῶ καὶ δέομαι πάντων ὁμοίως ὑμῶν ἀκοῦσαί μου περὶ τῶν κατηγορημένων ἀπολογουμένου δικαίως, ὥσπερ οἱ νόμοι κελεύουσιν, οὓς

NC. 2. Spengel, *Dem. Vertheidigung des Ktesiphon*, p. 9, note, propose κακηγοριῶν. — ἀκούειν manque dans S[1] et L[1]. — 12. ἀθηναῖοι S et L. δικασταί vulg. — πάντας ἂν vulg. πάντας après ὑμᾶς S et L seuls. Westermann croyait les vocatifs interpolés. — 13. ἐμοὶ S[1] seul. ἐμοί τε L et vulg. La particule τε n'est guère de mise après κοινόν. — 14-15. ἀπορεῖσθαι texte de S.

à l'accusatif, et ne dépend plus de ἐλαττοῦμαι. « L'autre point consiste en.... »

9-10. Ὅ τι.... ἀναγκάζῃ. L'accusatif du pronom relatif s'emploie de même en latin. En effet Quintilien écrit (XI, I, 22), en rappelant le passage présent : « Quod tamen ita emendavit, ut necessitatem id faciendi (i. e. de rebus a se gestis dicendi) ostenderet, invidiamque omnem in eum regereret, qui *hoc* se coëgisset. »

14-17. Πάντων μὲν est dit en vue de μάλιστα δέ, et équivaut à οὐδενὸς μὲν.... οὐ. — Τῆς παρ' ὑμῶν εὐνοίας καὶ φιλανθρωπίας.... Réponse à ce qu'avait dit Eschine (§ 210) : Σὺ δ' οὔτε περὶ τῆς οὐσίας οὔτε περὶ τοῦ σώματος οὔτε περὶ τῆς ἐπιτιμίας ἀγωνίζει. Ἀλλὰ περὶ τίνος ἐστὶν αὐτῷ ἡ σπουδή ; περὶ χρυσῶν στεφάνων καὶ κηρυγμάτων ἐν τῷ θεάτρῳ παρὰ τοὺς νόμους. [Dissen.]

19-20. Ὁμοίως se rattache à πάντων. Placé, comme il est, cet adverbe ne saurait être rapporté à ἀκοῦσαι : le scholiaste est dans l'erreur. Cf. *Phil.* II, § 6 : Δεηθῆναι πάντων ὁμοίως ὑμῶν βούλομαι τοὺς λογισμοὺς ἀκοῦσαί μου. — Δικαίως ne peut guère se séparer de ὥσπερ οἱ νόμοι κελεύουσιν, et doit donc être rapporté à ἀκοῦσαι. Il est vrai qu'aux paragraphes 56 et 58, l'orateur dira δικαίως ἀπολογεῖσθαι ; mais ce n'est pas une raison de lui faire dire la même chose ici.

ὁ τιθεὶς ἐξ ἀρχῆς Σόλων, εὔνους ὢν ὑμῖν καὶ δημοτικός, οὐ μόνον τῷ γράψαι κυρίους ᾤετο δεῖν εἶναι, ἀλλὰ καὶ τῷ τοὺς δικάζοντας ὀμωμοκέναι, [7] οὐκ ἀπιστῶν ὑμῖν, ὥς γ' ἐμοὶ φαίνεται, ἀλλ' ὁρῶν ὅτι τὰς αἰτίας καὶ τὰς διαβολάς, αἷς ἐκ τοῦ πρότερος λέγειν ὁ διώκων ἰσχύει, οὐκ ἔνι τῷ φεύγοντι παρελθεῖν, εἰ μὴ τῶν δικαζόντων ἕκαστος ὑμῶν τὴν πρὸς τοὺς θεοὺς εὐσέβειαν φυλάττων καὶ τὰ τοῦ λέγοντος ὑστέρου δίκαι' εὐνοϊκῶς προσδέξεται, καὶ παρασχὼν ἑαυτὸν ἴσον καὶ κοινὸν ἀμφοτέροις ἀκροατὴν οὕτω τὴν διάγνωσιν ποιήσεται περὶ ἁπάντων.

[8] Μέλλων δὲ τοῦ τ' ἰδίου βίου παντός, ὡς ἔοικε, λόγον διδόναι τήμερον καὶ τῶν κοινῇ πεπολιτευμένων, βούλομαι πάλιν τοὺς θεοὺς παρακαλέσαι, καὶ ἐναντίον ὑμῶν εὔχομαι πρῶτον μέν, ὅσην εὔνοιαν ἔχων ἐγὼ διατελῶ τῇ τε πόλει καὶ πᾶσιν ὑμῖν, τοσαύτην ὑπάρξαι μοι παρ' ὑμῶν εἰς τουτονὶ τὸν ἀγῶνα, 228
ἔπειθ' ὅ τι μέλλει συνοίσειν καὶ πρὸς εὐδοξίαν κοινῇ καὶ πρὸς εὐσέβειαν ἑκάστῳ, τοῦτο παραστῆναι πᾶσιν ὑμῖν περὶ ταυτησὶ τῆς γραφῆς γνῶναι.

NC. 1. Dobree voulait ὁ θείς. — 2-3. δικάζοντας ὑμᾶς A, vulg. — 7. φυλάττων S et L¹. διαφυλάττων vulg. — ὑστέρου S¹, A, L¹. ὕστερον vulg. τοῦ ὑστέρου λέγοντος Reiske : transposition inutile. — 9. περὶ πάντων vulg. — 11. πάλιν S, L¹, A. καθάπερ ἐν ἀρχῇ πάλιν vulg. — 13. τε, après τῇ, manque dans S¹ et L. L'omission est accidentelle. Cf. § 1. — 14. παρ' ὑμῶν est omis dans le texte de S (ajouté en marge par une main du dixième siècle) et par L¹. Mais, sans ces deux mots, le sens est incomplet et le texte se trouve défiguré par un hiatus. — 16. παραστῆναι Bekker. παραστῆσαι S et L¹. παραστῆσαι τοὺς θεοὺς (comme au paragraphe 1) vulg. La présence de πᾶσιν, inséré pour éviter l'hiatus, fait croire que l'orateur n'a pas répété ces deux mots ici.

1. Ὁ τιθείς, le législateur. Le participe du présent n'implique pas un temps déterminé : cf. *Symmories*, § 9, avec la note. *Aristocr.*, § 29, on lit même : Εὐσεβῶς ἔθηκεν ὁ τιθεὶς τὸν νόμον. — Σόλων. Eschine avait, au paragraphe 257, évoqué Solon et invoqué ses lois et le serment des juges contre Démosthène. [F. Jacobs.]

6. Παρελθεῖν, échapper. Cf. *Mid.*, § 110 : Τοῦτο γὰρ αὖ μικροῦ παρῆλθέ μ' εἰπεῖν. On explique généralement : « dépasser à la course. » Mais cette métaphore convient moins à l'image d'un accusé fuyant (φεύγων) devant un accusateur qui le poursuit.

7. Δίκαι(α), droits à alléguer. Cf. *Lettre de Philippe*, § 21 : Ὑπάρχει μοι καὶ τοῦτο τὸ δίκαιον.

10. Ὡς ἔοικε, à ce qu'il paraît, c'est-à-dire puisqu'il a plu à nos adversaires d'introduire dans ce procès des personnalités qui y sont étrangères. Scholiaste : Τοιοῦτο γάρ ἐστι τὸ « ὡς ἔοικεν », οὐκ οἶδα ὅπως εἰς τὴν ἀνάγκην ταύτην, ὡς ὁρᾶτε, καταικέκλεισμαι.

11-17. Βούλομαι πάλιν.... γνῶναι. Cf. § 1. L'exorde finit comme il a commencé, et cette répétition presque textuelle de la même invocation donne à ce morceau quelque chose de la solennité des formules consacrées par le culte. Cependant M. Kirchhoff (cf. *Notice*, p. 410) est d'un autre avis.

[9] Εἰ μὲν οὖν περὶ ὧν ἐδίωκε μόνον κατηγόρησεν Αἰσχίνης, κἀγὼ περὶ αὐτοῦ τοῦ προβουλεύματος εὐθὺς ἂν ἀπελογούμην· ἐπειδὴ δ' οὐκ ἐλάττω λόγον τἄλλα διεξιὼν ἀνήλωκεν καὶ τὰ πλεῖστα κατεψεύσατό μου, ἀναγκαῖον εἶναι νομίζω καὶ δίκαιον ἅμα βραχέ', ὦ ἄνδρες Ἀθηναῖοι, περὶ τούτων εἰπεῖν πρῶτον, ἵνα μηδεὶς ὑμῶν τοῖς ἔξωθεν λόγοις ἠγμένος ἀλλοτριώτερον τῶν ὑπὲρ τῆς γραφῆς δικαίων ἀκούῃ μου.

[10] Περὶ μὲν δὴ τῶν ἰδίων ὅσα λοιδορούμενος βεβλασφήμηκεν περὶ ἐμοῦ, θεάσασθ' ὡς ἁπλᾶ καὶ δίκαια λέγω. Εἰ μὲν ἴστε με τοιοῦτον οἷον οὗτος ᾐτιᾶτο (οὐ γὰρ ἄλλοθί που βεβίωκ' ἢ παρ' ὑμῖν), μηδὲ φωνὴν ἀνάσχησθε, μηδ' εἰ πάντα τὰ κοίν' ὑπέρευ πεπολίτευμαι, ἀλλ' ἀναστάντες καταψηφίσασθ' ἤδη· εἰ δὲ πολλῷ βελτίω τούτου καὶ ἐκ βελτιόνων, καὶ μηδενὸς τῶν μετρίων, ἵνα μηδὲν ἐπαχθὲς λέγω, χείρονα καὶ ἐμὲ καὶ τοὺς ἐμοὺς ὑπειλήφατε καὶ γιγνώσκετε, τούτῳ μὲν μηδ' ὑπὲρ τῶν ἄλλων πιστεύετε (δῆλον γὰρ ὡς ὁμοίως ἅπαντ' ἐπλάττετο),

NC. 3. ἀνήλωκεν S. — 5. εἰπεῖν πρῶτον S, avant correction, et L. πρῶτον εἰπεῖν vulg. Séparés par εἰπεῖν, les mots τούτων et πρῶτον ressortent mieux. [Dissen.] — 12. καταψηφίσασθαι S.

1. Ἐδίωκε se rapporte à l'acte d'accusation (γραφή); κατηγόρησεν, à la plaidoirie (κατηγορία) d'Eschine. Cf. Antiphon, *Choreute*, § 10 : Ἄλλα κατηγορεῖ ἢ ἃ διώκει.

2. Τοῦ προβουλεύματος, la résolution du sénat des Cinq-Cents, prise en vertu de la motion d'Eschine, mais non encore consacrée par le peuple.

6-7. Ἔξωθεν équivaut à ἔξω τοῦ πράγματος, ἔξω τῆς γραφῆς. Cf. § 34. — Τῶν ὑπὲρ τῆς γραφῆς δικαίων. C'est au paragraphe 53 que l'orateur arrivera à la réfutation de l'acte d'accusation. — Le pronom μου dépend de δικαίων (cf. § 7), dont il est séparé pour des raisons d'euphonie. Krüger, *Gr. Spr.*, II, § 47, 10, 7, veut que le verbe ἀκούῃ gouverne ici deux génitifs : construction problématique en prose. — Démosthène fait ici un paralogisme. Il doit établir qu'il a bien mérité d'Athènes et que l'acte d'accusation conteste à tort ce que dit à ce sujet la motion de Ctésiphon. Or, dans les premières années de sa carrière politique, Démosthène n'eut pas l'occasion de rendre de service signalé : il les aurait donc passées sous silence, si Eschine ne les avait pas présentées sous un jour faux et odieux. Réfuter des calomnies, c'est une fâcheuse nécessité que lui a imposée son adversaire. Exposer ceux de ses actes politiques qui justifient la motion de Ctésiphon, voilà, suivant lui, toute la cause. Mais, si, au point de vue de la défense, les autres actes de Démosthène sont étrangers à la cause, l'accusateur avait cependant le droit de les incriminer, et, s'il parvenait à démontrer que ces actes étaient d'un mauvais citoyen et d'un traître, il réfutait les assertions de Ctésiphon et il était au cœur même de la question.

13. Βελτίω.... καὶ ἐκ βελτιόνων. Le participe ὄντα, ou γενόμενον, est généralement omis dans cette locution. En écrivant πρὸς τοῦ κακίστου κἀκ κακῶν Ὀδυσσέως, Sophocle (*Phil.*, 384) n'est allé que très-discrètement au delà de ce que permet l'usage de la prose.

ἐμοὶ δ', ἣν παρὰ πάντα τὸν χρόνον εὔνοιαν ἐνδέδειχθ' ἐπὶ πολλῶν ἀγώνων τῶν πρότερον, καὶ νυνὶ παράσχεσθε. [11] Κακοήθης δ' ὤν, Αἰσχίνη, τοῦτο παντελῶς εὔηθες ᾠήθης, τοὺς περὶ τῶν πεπραγμένων καὶ πεπολιτευμένων λόγους ἀφέντα με πρὸς
τὰς λοιδορίας τὰς παρὰ σοῦ τρέψεσθαι. Οὐ δὴ ποιήσω τοῦτο· 229
οὐχ οὕτω τετύφωμαι· ἀλλ' ὑπὲρ μὲν τῶν πεπολιτευμένων ἃ 6
κατεψεύδου καὶ διέβαλλες, ἐξετάσω, τῆς δὲ πομπείας ταύτης τῆς ἀνέδην οὑτωσὶ γεγενημένης ὕστερον, ἂν βουλομένοις [ἀκούειν] ᾖ τουτοισί, μνησθήσομαι.

[12] Τὰ μὲν οὖν κατηγορημένα πολλά, καὶ περὶ ὧν ἐνίων μεγάλας καὶ τὰς ἐσχάτας οἱ νόμοι διδόασι τιμωρίας, τοῦ δὲ παρόντος ἀγῶνος ἡ προαίρεσις αὕτη· ἐχθροῦ μὲν ἐπήρειαν ἔχει καὶ ὕβριν καὶ λοιδορίαν καὶ προπηλακισμὸν ὁμοῦ καὶ πάντα τὰ τοιαῦτα, τῶν μέντοι κατηγοριῶν καὶ τῶν αἰτιῶν τῶν εἰρημένων, εἴπερ ἦσαν ἀληθεῖς, οὐκ ἔχει τῇ πόλει δίκην ἀξίαν λαβεῖν,

NC. 2. προτέρον γεγενημένων vulg. — 3. αισχινης et του περὶ S¹. — 7. αὐτίκα ἐξετάσω A : leçon qui peut plaire à première vue, mais qui trahirait trop ouvertement l'intention où est Démosthène de répondre plus tard aux personnalités d'Eschine. — 8. ἀναίδην S¹. ἄναίδην οὑτωσὶ F et vulg. — 9. ἀκούειν, placé après τούτοις (pour τουτοισί) dans la vulgate, est omis dans F : avec raison, ce semble. — 10-11. πολλὰ καὶ δεινὰ F et vulg. — μεγάλας καὶ : mots écartés par Herwerden. διδόασι S et L. τάττουσι vulg. — 12. αὕτη. La variante αὐτή ne convient pas à ce passage. Le démonstratif, pour n'être pas de trop, doit être suivi d'un point en haut : Dobree l'a vu. — ἐπήρειαν. Texte de S : προαίρεσιν. L¹ : επροαίρεσιν. Spengel propose : ἐχθροῦ μὲν ἔχει. — 13. ὁμοῦ L et vulg., ainsi que Hermogène (III, p. 406 Walz), lequel dit expressément τὸ πλῆθος ἔδειξεν εἰπὼν ὁ μ ο ῦ. S : ἐμοῦ. — 15. ἔχει texte de S et L¹. Variantes : ἔνι, ἔστι, ἐπὶ. Spengel recommande avec raison ἔχει.

2-3. Κακοήθης.... εὔηθες ᾠήθης. Alliance de mots aiguisée par la paronomase. Démosthène ne prétend pas (comme le lui reproche M. Spengel, *l. c.*, p. 10) qu'Eschine l'ait invité à répondre d'abord aux personnalités ; il dit qu'Eschine lui a tendu un piége grossier, qu'il a été assez naïf de croire que des méchancetés calomnieuses irriteraient Démosthène au point d'oublier la prudence et ses vrais intérêts. Or qui veut tendre un piége, ne le dit pas.

7. Πομπείας· ἀπὸ τῶν ἐν τοῖς Διονυσιακοῖς πομπαῖς ἐπὶ τῶν ἁμαξῶν (cf. § 122) λοιδορουμένων ἀλλήλοις. [Harpocration.] A la joyeuse procession (πομπή) des Dionysiaques, les masques avaient toute liberté de se lancer les plus gros mots.

8-9. Ἂν βουλομένοις.... ᾖ τουτοισί, « si « his volentibus sit. » Cf. *Mégalop.*, § 3.

10-12. Ἐνίων est une apposition restrictive. Cf. *Ambass.*, § 260, avec la note. — Διδόασι, « accordent, permettent (à l'accu- « sateur) de demander », n'est pas synonyme de τάττουσι. Voy. *NC*. — Τοῦ δὲ παρόντος ἀγῶνος ἡ προαίρεσις, mais l'intention qui se manifeste dans le choix du procès présent. Cf. § 280 : Τοῦτον προελέσθαι τὸν ἀγῶνα.

15. Οὐκ ἔχει.... λαβεῖν, un tel procès n'offre pas à la cité la possibilité de punir convenablement de pareils crimes, s'ils étaient réels. Cf. *Phil.* IV, § 45 : Ταῦτ' ὀργὴν ἔχει, avec la note. Ici la répétition du verbe ἔχειν fait ressortir l'antithèse.

οὐδ' ἐγγύς. [13] Οὐ γὰρ ἀφαιρεῖσθαι τὸ προσελθεῖν τῷ δήμῳ καὶ λόγου τυχεῖν, οὐδ' ἐν ἐπηρείας τάξει καὶ φθόνου τοῦτο ποιεῖν οὔτε μὰ τοὺς θεοὺς ὀρθῶς ἔχον οὔτε πολιτικὸν οὔτε δίκαιόν ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι· ἀλλ' ἐφ' οἷς ἀδικοῦντά μ' ἑώρα τὴν πόλιν, οὖσί γε τηλικούτοις ἡλίκα νῦν ἐτραγῴδει καὶ διεξῄει, ταῖς ἐκ τῶν νόμων τιμωρίαις παρ' αὐτὰ τἀδικήματα χρῆσθαι, εἰ μὲν εἰσαγγελίας ἄξια πράττονθ' ἑώρα, εἰσαγγέλλοντα καὶ τοῦτον τὸν τρόπον εἰς κρίσιν καθιστάντα παρ' ὑμῖν, εἰ δὲ γράφοντα παράνομα, παρανόμων γραφόμενον· οὐ γὰρ δήπου Κτησιφῶντα μὲν δύναται διώκειν δι' ἐμὲ, ἐμὲ δ', εἴπερ ἐξελέγξειν ἐνόμιζεν, αὐτὸν οὐκ ἂν ἐγράψατο. [14] Καὶ μὴν εἴ

NC. 1. ἀφαιρεῖσθαι τὸ S[1] seul. ἀφαιρεῖσθαι δεῖ τὸ vulg. Nous demandons : ἀφίεσθαι τοῦ, ἀφίστασθαι τοῦ, ἀποστρέφεσθαι τὸ, παραιτεῖσθαι τὸ, ou quelque autre correction offrant ce sens. — 2. ἐπηρίας S[1]. — 5-6. Cobet (*Miscellanea Critica*, 1876, p. 476) retranche καὶ διεξῄει. — 7. πράττοντά με vulg. — 11. ἐξελέγξειν S[2] et A. ἐξελέγχειν S[1], L et vulg.

1-2. Ἀφαιρεῖσθαι.... τυχεῖν. Que veulent dire ces mots? priver Ctésiphon (en le faisant dégrader) du droit de parler devant le peuple? refuser à Démosthène le droit de plaider devant les jurés une cause qui est au fond la sienne? empêcher (en portant l'affaire devant les tribunaux) que Démosthène expose dans l'assemblée populaire ses titres à la couronne? Aucune de ces explications n'est satisfaisante, ne se prête à la suite du raisonnement; toutes se réfutent par le membre de phrase suivant. Après avoir dit d'une manière générale « il ne faut pas faire une chose », un auteur qui sait écrire n'ajoute pas : « ni la faire par une animosité personnelle ». Les scholiastes étaient déjà très-embarrassés : ils se plaignent de l'obscurité de ce passage. Nous le croyons altéré : voy. *NC*. Voici ce que demande l'enchaînement des idées : « Il n'est pas juste de ne pas donner à la cité l'occasion de punir les crimes, en s'abstenant de se présenter devant le peuple pour déposer des plaintes et obtenir la faculté de les soutenir (λόγου τυχεῖν) ; il n'est pas juste non plus de faire cela (τοῦτο ποιεῖν, c'est-à-dire προσελθεῖν τῷ δήμῳ καὶ λόγου τυχεῖν) par animosité et envie. » Démosthène dit qu'Eschine aurait dû, depuis longtemps, le poursuivre pour chacun des délits qu'il lui reproche maintenant, au lieu de l'atteindre indirectement par un procès qui a pour but de dénigrer Démosthène, et non de faire bonne justice. Eschine a prévu et cherché à réfuter ces arguments de son adversaire. Il dit au paragraphe 217 : Μέλλει μ' ἀνερωτᾶν διὰ τί..., διαλιπὼν καὶ πρὸς τὴν πολιτείαν οὐ πυκνὰ προσιὼν, ἀπήνεγκα τὴν γραφήν, et au paragraphe 220 : Ἐπιτιμᾷς δέ μοι, εἰ μὴ συνεχῶς, ἀλλὰ διαλείπων πρὸς τὸν δῆμον προσέρχομαι. Ces derniers mots viennent à l'appui de notre conjecture.

5-6. Ἐτραγῴδει. Scholiaste : Διαβάλλει τὴν τέχνην αὐτοῦ· ἦν γὰρ ὑποκριτής. — Παρ' αὐτὰ τὰ ἀδικήματα, sur-le-champ, au moment même de l'accomplissement de ces délits. Cf. § 15 : Παρ' αὐτὰ τὰ πράγματα, et *Leptin.*, § 139.

7. Χρῆσθαι. Sous-ent. ὀρθῶς ἔχον καὶ πολιτικὸν καὶ δίκαιον ἦν. — Εἰσαγγελίας. Cf. *Amb.*, § 103 ; *Cherson.*, § 28, avec la note. Cette espèce de plainte était, comme la γραφὴ παρανόμων, portée devant le sénat et le peuple, quelquefois même soutenue devant l'assemblée populaire. Cela justifie l'explication que nous avons donnée plus haut des mots προσελθεῖν τῷ δήμῳ.

9-10. Οὐ γὰρ δήπου, car, certes, on ne dira pas que. La négation porte à la fois sur les deux membres de phrase opposés entre eux au moyen des particules μὲν et δέ. Cf. *Phil.*, III, § 27, avec la note.

τι τῶν ἄλλων ὧν νυνὶ διέϐαλλε καὶ διεξῄει ἢ καὶ ἄλλ' ὁτιοῦν ἀδικοῦντά μ' ὑμᾶς ἑώρα, εἰσὶ νόμοι περὶ πάντων καὶ τιμωρίαι, καὶ ἀγῶνες καὶ κρίσεις πικρὰ καὶ μεγάλ' ἔχουσαι τἀπιτίμια, καὶ τούτοις ἐξῆν ἅπασι χρῆσθαι, καὶ ὁπηνίκ' ἐφαίνετο ταῦτα 230 πεποιηκὼς καὶ τοῦτον τὸν τρόπον κεχρημένος τοῖς πρὸς ἐμέ, ὡμολογεῖτ' ἂν ἡ κατηγορία τοῖς ἔργοις αὐτοῦ. [15] Νῦν δ' ἐκστὰς τῆς ὀρθῆς καὶ δικαίας ὁδοῦ καὶ φυγὼν τοὺς παρ' αὐτὰ τὰ πράγματα ἐλέγχους, τοσούτοις ὕστερον χρόνοις αἰτίας καὶ σκώμματα καὶ λοιδορίας συμφορήσας ὑποκρίνεται· εἶτα κατηγορεῖ μὲν ἐμοῦ, κρίνει δὲ τουτονί, καὶ τοῦ μὲν ἀγῶνος ὅλου τὴν πρὸς ἔμ' ἔχθραν προΐσταται, οὐδαμοῦ δ' ἐπὶ ταύτην ἀπηντηκὼς ἐμοὶ τὴν ἑτέρου ζητῶν ἐπιτιμίαν ἀφελέσθαι φαίνεται. [16] Καίτοι πρὸς ἅπασιν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς ἄλλοις δικαίοις οἷς ἂν εἰπεῖν τις ὑπὲρ Κτησιφῶντος ἔχοι, καὶ τοῦτ' ἔμοιγε δοκεῖ καὶ μάλ' εἰκότως ἂν λέγειν, ὅτι τῆς ἡμετέρας ἔχθρας ἡμᾶς ἐφ' ἡμῶν αὐτῶν δίκαιον ἦν τὸν ἐξετασμὸν ποιεῖσθαι, οὐ τὸ μὲν πρὸς ἀλλήλους ἀγωνίζεσθαι παραλείπειν, ἑτέρῳ δ' ὅτῳ κακόν τι δώσομεν ζητεῖν· ὑπερβολὴ γὰρ ἀδικίας τοῦτό γε.

NC. 2. εἰσὶν S. — 3. πικρὰ καὶ μεγάλ' ἔχουσαι (ἔχοντες marge de S) τὰ ἐπιτίμια. Ces mots, ajoutés dans S par une main ancienne, sont omis par Bekker et Westermann. G. H. Schæfer voulait supprimer καὶ τιμωρίαι, mots transposés dans A après κρίσεις. — 4. ἐξῆν αὐτῷ πᾶσι χρῆσθαι κατ' ἐμοῦ A. — ἅπασιν S. — 5. πρός με S seul. — 11. πρὸς ἐμέ πως avant Bekker. — 13. δικαίοις (mot qui pouvait facilement échapper entre ἄλλοις et οἷς) manque dans S et L[1]. — 16. ἐξητασμὸν et τω μὲν S[1]. — 17. παραλειπεῖν (c'est-à-dire παραλείπειν ou παραλιπεῖν) S.

1. Τῶν ἄλλων, des délits d'une autre nature que ceux qui donnent lieu à la εἰσαγγελία ou à la γραφὴ παρανόμων. La mention de cette dernière plainte avait amené, par une association d'idées naturelle, la réflexion incidente : οὐ γὰρ δήπου Κτησιφῶντα..., après laquelle l'orateur reprend l'énumération commencée. — Ἄλλ' ὁτιοῦν, quelque autre délit non signalé par Eschine.

2-3. Νόμοι καὶ τιμωρίαι équivaut à νόμοι διδόντες τιμωρίας (cf. § 12). Passant des lois à la procédure, l'orateur ajoute un second membre de phrase, dans lequel les mots πικρὰ.... τἀπιτίμια reprennent d'une manière plus explicite l'idée de τιμωρίαι.

5-6. Τοῖς πρὸς ἐμέ, les lois et les procédures qui pouvaient s'appliquer à moi. — Ἡ κατηγορία τοῖς ἔργοις αὐτοῦ, ses attaques actuelles avec ses actes d'autrefois.

9-10. Ὑποκρίνεται. Cf. ἐτραγῴδει, § 13. — Κατηγορεῖ.... κρίνει. Comme ἐδίωκε.... κατηγόρησεν, § 9.

11-12. Προΐσταται, « il met en avant », équivaut à προβάλλεται [Schol.]. — Οὐδαμοῦ δ' ἐπὶ ταύτην ἀπηντηκὼς ἐμοί, mais sans m'avoir jamais offert le combat pour vider cette querelle. [Dissen.] Cf. ἀπήντηκας;, § 125. — Ἐπιτιμίαν ἀφελέσθαι. Eschine voulait faire condamner Ctésiphon à une amende si élevée, qu'il eût été privé, comme insolvable, de ses droits civiques, ἐπιτιμία. [Dissen.]

15. Λέγειν a pour sujet la personne désignée par le pronom indéfini τις.

16-17. Τῆς ἡμετέρας ἔχθρας.... τὸν

[17] Πάντα μὲν τοίνυν τὰ κατηγορημέν' ὁμοίως ἐκ τούτων ἄν τις ἴδοι οὔτε δικαίως οὔτ' ἐπ' ἀληθείας οὐδεμιᾶς εἰρημένα· βούλομαι δὲ καὶ καθ' ἓν ἕκαστον αὐτῶν ἐξετάσαι,. καὶ μάλισθ' ὅσ' ὑπὲρ τῆς εἰρήνης καὶ τῆς πρεσβείας κατεψεύσατό μου, τὰ πεπραγμέν' ἑαυτῷ μετὰ Φιλοκράτους ἀνατιθεὶς ἐμοί. Ἔστι δ' ἀναγκαῖον, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ προσῆκον ἴσως, ὡς κατ' ἐκείνους τοὺς χρόνους εἶχε τὰ πράγματ' ἀναμνῆσαι ὑμᾶς, ἵνα πρὸς τὸν ὑπάρχοντα καιρὸν ἕκαστα θεωρῆτε.

[18] Τοῦ γὰρ Φωκικοῦ συστάντος πολέμου, οὐ δι' ἐμὲ (οὐ γὰρ ἔγωγ' ἐπολιτευόμην πω τότε), πρῶτον μὲν ὑμεῖς οὕτω
231 διέκεισθ' ὥστε Φωκέας μὲν βούλεσθαι σωθῆναι, καίπερ οὐ δίκαια ποιοῦντας ὁρῶντες, Θηβαίοις δ' ὁτιοῦν ἂν ἐφησθῆναι παθοῦσιν, οὐκ ἀλόγως οὐδ' ἀδίκως αὐτοῖς ὀργιζόμενοι· οἷς γὰρ ηὐτυχήκεσαν ἐν Λεύκτροις, οὐ μετρίως ἐκέχρηντο· ἔπειθ' ἡ Πελοπόννησος ἅπασα διειστήκει, καὶ οὔθ' οἱ μισοῦντες Λακε-

NC. 3. ἓν est omis dans A. — εκαστ' S seul. — 7. ἀναμνῆσαι S, L[1]. ἀναμνῆσαι ὑμᾶς vulg. — 10. γὰρ δὴ F, vulg.

ἐξετασμὸν ποιεῖσθαι, vider notre querelle en éprouvant nos forces. — Ἑτέρῳ, pour ἕτερον, par assimilation au relatif ὅτῳ. Cf. *Olynth.* II, § 2. Virgile a imité cet hellénisme, en écrivant, *Én.*, I, 573 : « Urbem « quam statuo, vestra est. »

4-5. Ὅσ(α).... πρεσβείας. Ces faits, la paix de Philocrate et les ambassades qui s'y rattachent, font le sujet du Περὶ παραπρεσβείας. C'est par là qu'Eschine aussi a commencé son exposé historique, § 58 sqq. — Τὰ πεπραγμέν' ἑαυτῷ.... ἀνατιθείς ἐμοί. Démosthène dit vrai. Quand il accusait Timarque, Eschine avait déclaré hautement (§ 174) qu'il était lui-même, avec Philocrate, l'auteur de la paix que Démosthène ne cessait de critiquer. Accusé à son tour après la condamnation de Philocrate, il avait reproché à Démosthène d'être le complice de Philocrate (*Amb.*, § 56) ; mais il n'avait pas encore découvert une chose qu'il imagine seize ans après les événements, à savoir que Démosthène parla en faveur du projet de traité rédigé par Philocrate, et fit si bien qu'il en emporta le vote (τῷ μὲν λόγῳ προσβιασαμένου Δημοσθένους, τὸ δὲ ψήφισμα γράψαντος Φιλοκράτους. *Contre Ctésiph.*, § 72).

9-10. Οὐ δι' ἐμέ. Personne n'en avait accusé Démosthène. — Οὐ γάρ.... τότε. La harangue sur les *Symmories* est de 354, un an après le commencement de la guerre Sacrée. Voici la traduction d'Aquila Romanus (ch. 16, p. 26, 28 Halm) : « Cum « bellum Phocense conflatum esset, non « per me : nondum enim ego ad rem pu« blicam accesseram. »

13-14. Οὐκ ἀλόγως.... ὀργιζόμενοι. Cette explication n'est pas de trop : les sentiments des Athéniens pour leurs voisins n'étaient plus les mêmes, depuis qu'ils avaient combattu ensemble à Chéronée et que Thèbes avait été détruite par Alexandre. Aussi Démosthène se sert-il de l'euphémisme οὐ μετρίως pour désigner les violences commises par Thèbes en Béotie et ailleurs. Cf. § 19. [Dissen.] — Οἷς γάρ.... ἐκέχρηντο. Cf. Justin, VIII, 1 : « Thebani.... quum rerum po« tirentur, secundam fortunam imbecillo « animo ferentes. »

15. Οἱ μισοῦντες Λακεδαιμονίους. Les Messéniens affranchis par Épaminondas,

ΥΠΕΡ ΚΤΗΣΙΦΩΝΤΟΣ

ΠΕΡΙ ΤΟΥ ΣΤΕΦΑΝΟΥ

ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ.

Τεῖχος μὲν ὁ ῥήτωρ ὑπὲρ Ἀθηναίων προυβάλετο τῶν συνήθων τούτων καὶ χειροποιήτων ἀρραγέστερόν τε καὶ βέλτιον, τήν τε εἰς τὴν πόλιν εὔνοιαν καὶ περὶ λόγους δεινότητα· ὡς αὐτὸς εἴρηκεν « οὐ « λίθοις καὶ πλίνθοις τὰς Ἀθήνας ὠχύρωσα, ἀλλὰ μεγάλαις δυνά- « μεσι καὶ πολλῇ τινὶ συμμαχίᾳ, τῇ μὲν ἐκ γῆς, τῇ δὲ ἐκ θαλάτ- « της. » Οὐ μὴν ἀλλὰ καὶ εἰς τὸν χειροποίητον περίβολον οὐ μικρὰ τῇ πόλει συνεβάλετο. Πεπονηκότος γὰρ κατὰ πολλὰ μέρη τοῦ τείχους 221
τοῖς Ἀθηναίοις, ἐπειδὴ ἔδοξεν ἀνορθοῦν αὐτό, ἡρέθησαν ἐπὶ τὸ ἔργον ἄνδρες δέκα, φυλῆς ἑκάστης εἷς, οὓς ἔδει τὴν ἐπιμέλειαν παρέχεσθαι ψιλήν· τὸ γὰρ ἀνάλωμα δημόσιον. Εἷς τοίνυν τούτων καὶ ὁ ῥήτωρ γενόμενος οὐχ ὁμοίως τοῖς ἄλλοις τὴν ἐπιμέλειαν μόνην εἰσήνεγκε τῇ χρείᾳ, ἀλλὰ τὸ μὲν ἔργον ἀμέμπτως ἀπετέλεσε, τὰ δὲ χρήματα ἔδωκεν οἴκοθεν τῇ πόλει. Ἐπῄνεσεν αὐτοῦ τὴν εὔνοιαν ταύτην ἡ βουλή, καὶ τὴν προθυμίαν ἠμείψατο στεφάνῳ χρυσῷ· ἕτοιμοι γὰρ Ἀθηναῖοι πρὸς τὰς χάριτας τῶν εὖ ποιούντων. Κτησιφῶν δὲ ἦν ὁ τὴν γνώμην εἰπὼν ὡς δεῖ στεφανῶσαι τὸν Δημοσθένην, ἐν μὲν καιρῷ τοῖς Δυονυσίοις, ἐν δὲ τόπῳ τῷ τοῦ Διονύσου θεάτρῳ, ἐν δὲ θεαταῖς πᾶσι τοῖς Ἕλλησιν, οὓς ἡ πανήγυρις συνήγαγε· καὶ τούτων ἐναντίον ἀνειπεῖν τὸν κήρυκα, ὅτι στεφανοῖ Δημοσθένην Δημοσθένους Παιανιέα ἡ πόλις ἀρετῆς συμπάσης ἕνεκα καὶ εὐνοίας τῆς πρὸς αὐτήν.

4. ὠχύρωσεν Feliciano. ὀχυρώσας H. Wolf. Cf. § 299.

9-10. Variantes : παρέχεσθαι τοῦ ἔργου, et ψιλὴν παρέχεσθαι τοῦ ἔργου.

232 οὖν τότε συγχωρηθεῖσ' εἰρήνη διὰ ταῦτ', οὐ δι' ἐμὲ, ὡς οὗτος διέβαλλεν, ἐπράχθη· τὰ δὲ τούτων ἀδικήματα καὶ δωροδοκήματ' ἐν αὐτῇ τῶν νυνὶ παρόντων πραγμάτων, ἄν τις ἐξετάζῃ δικαίως, αἴτι' εὑρήσει. [21] Καὶ ταυτὶ πάνθ' ὑπὲρ τῆς ἀληθείας ἀκριβολογοῦμαι καὶ διεξέρχομαι. Εἰ γὰρ εἶναί τι δοκοίη τὰ μάλιστ' ἐν τούτοις ἀδίκημα, οὐδέν ἐστι δήπου πρὸς ἐμὲ, ἀλλ' ὁ μὲν πρῶτος εἰπὼν καὶ μνησθεὶς ὑπὲρ τῆς εἰρήνης Ἀριστόδημος ἦν ὁ ὑποκριτής, ὁ δ' ἐκδεξάμενος καὶ γράψας καὶ ἑαυτὸν μετὰ τούτου μισθώσας ἐπὶ ταῦτα Φιλοκράτης ὁ Ἁγνούσιος, ὁ σὸς, Αἰσχίνη, κοινωνὸς, οὐχ ὁ ἐμὸς, οὐδ' ἂν σὺ διαρραγῇς ψευδόμενος, οἱ δὲ συνειπόντες, ὅτου δήποθ' ἕνεκα (ἐῶ γὰρ τοῦτό γ' ἐν τῷ παρόντι), Εὔβουλος καὶ Κηφισοφῶν· ἐγὼ δ' οὐδὲν οὐδαμοῦ. [22] Ἀλλ' ὅμως, τούτων τοιούτων ὄντων καὶ ἐπ' αὐτῆς τῆς ἀληθείας οὕτω δεικνυμένων, εἰς τοῦθ' ἧκεν ἀναιδείας ὥστ' ἐτόλμα λέγειν ὡς ἄρ' ἐγὼ, πρὸς τῷ τῆς εἰρήνης αἴτιος γεγενῆσθαι, καὶ κεκωλυκὼς εἴην τὴν πόλιν μετὰ κοινοῦ συνεδρίου

NC. 3. τἀπ' αὐτῇ Usener. — 5-6. Cobet supprime καὶ διεξέρχομαι. — τινα.... ἀδικήματα vulg. — 10. οὐχ ὁ ἐμὸς S et L seuls, οὐχ ἐμὸς vulg. — 12. Κηφισοφῶν. Peut-être : Κτησιφῶν. [Droysen.] — 14-15. Variante : ὥστε τολμᾷ. — 16. ἔτι καὶ L² et vulg.

1. Συγχωρηθεῖσ(α) εἰρήνη. C'est parler en orateur. Si Philippe désirait la paix, Athènes en avait le plus grand besoin.

3. Ἐν αὐτῇ, « dans la conclusion de la paix » équivaut à ἐν τῷ τὴν εἰρήνην ποιήσασθαι : *Cherson.*, § 63.

4. Ὑπὲρ τῆς ἀληθείας, pour établir la vérité, et non pour le besoin de ma défense.

6. Ἐν τούτοις : dans l'empressement (déclaré légitime au paragraphe 20) que l'on mit à répondre aux ouvertures de Philippe.

7-9. Ἀριστόδημος. Cf. *Amb.*, § 12, 18, 97, 315. — Φιλοκράτης. Voy. la *Notice* sur le discours de l'*Ambassade*.

12. Κηφισοφῶν. Cf. § 75. *Amb.*, § 293. Probablement Céphisophon de Péanie, mentionné par Eschine, *Amb.*, § 73. Cependant il faut peut-être rétablir ici le nom de Ctésiphon, personnage qui joua un rôle considérable dans ces négociations. *Cf. NC.* — Ἐγὼ δ' οὐδὲν οὐδαμοῦ. Quoi qu'il en dise, Démosthène seconda alors, et avec raison, les efforts des partisans de la paix ; c'est même à cause de cela qu'il fut nommé de toutes les ambassades : voyez la *Notice* citée. Si Eschine calomnie Démosthène en faisant de lui le complice de Philocrate, Démosthène aussi altère la vérité, afin de simplifier sa défense.

16-1. Μετὰ κοινοῦ συνεδρίου τῶν Ἑλλήνων. Eschine prétend (*Ctésiphon*, §§ 58 et 64, comme *Ambass.*, § 58 sqq.) qu'en hâtant la délibération sur le traité de paix, Démosthène empêcha la conclusion d'une paix générale : invitées par des ambassades, dont on aurait dû attendre le retour, les autres villes grecques n'auraient pas manqué d'envoyer des députés à Athènes, et Philippe se fût trouvé en face, non de l'assemblée populaire d'Athènes, mais d'un congrès (συνέδριον) hellénique. Ce sont là des imaginations d'Eschine : dans l'état de division où se trouvait alors la Grèce, on eût attendu longtemps la réunion d'un pareil congrès. Les arguments dont se sert Démosthène pour réfuter son adversaire

τῶν Ἑλλήνων ταύτην ποιήσασθαι. Εἶτ' ὦ — τί ἂν εἰπών σέ τις ὀρθῶς προσείποι; ἔστιν ὅπου σὺ παρὼν τηλικαύτην πρᾶξιν καὶ συμμαχίαν, ἡλίκην νυνὶ διεξῄεις, ὁρῶν ἀφαιρούμενόν με τῆς πόλεως ἠγανάκτησας, ἢ παρελθὼν ταῦθ' ἃ νῦν κατηγόρεις ἐδίδαξας καὶ διεξῆλθες; [23] Καὶ μὴν εἰ τὸ κωλῦσαι τὴν τῶν Ἑλλήνων κοινωνίαν ἐπεπράχειν ἐγὼ Φιλίππῳ, σοὶ τὸ μὴ σιγῆσαι λοιπὸν ἦν, ἀλλὰ βοᾶν καὶ διαμαρτύρεσθαι καὶ δηλοῦν τουτοισί. Οὐ τοίνυν ἐποίησας οὐδαμοῦ τοῦτο, οὐδ' ἤκουσέ σου ταύτην τὴν φωνὴν οὐδείς. Οὔτε γὰρ ἦν πρεσβεία πρὸς οὐδένας 233
τότ' ἀπεσταλμένη τῶν Ἑλλήνων, ἀλλὰ πάλαι πάντες ἦσαν ἐξεληλεγμένοι, οὔθ' οὗτος ὑγιὲς περὶ τούτων εἴρηκεν οὐδέν. [24] Χωρὶς δὲ τούτων καὶ διαβάλλει τὴν πόλιν τὰ μέγιστ' ἐν οἷς ψεύδεται· εἰ γὰρ ὑμεῖς ἅμα τοὺς μὲν Ἕλληνας εἰς πόλεμον παρεκαλεῖτε, αὐτοὶ δὲ πρὸς Φίλιππον περὶ εἰρήνης πρέσβεις ἐπέμπετε, Εὐρυβάτου πρᾶγμα, οὐ πόλεως ἔργον οὐδὲ χρηστῶν ἀνθρώπων διεπράττεσθε. Ἀλλ' οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν. Τί γὰρ καὶ βουλόμενοι μετεπέμπεσθ' ἂν αὐτοὺς ἐν τούτῳ τῷ καιρῷ; ἐπὶ τὴν εἰρήνην; ἀλλ' ὑπῆρχεν ἅπασιν. Ἀλλ' ἐπὶ τὸν

NC. 1. ταύτην S et L seuls. αὐτὴν vulg. — 3. νυνὶ διεξῄεις S et texte de L. νῦν ἐτραγῴδεις (cf. § 13) καὶ διεξῄεις vulg. — 4. κατηγόρεις G. H. Schæfer. κατηγορεῖς mss. — 5. καί. Variante : ἢ. Dobree retranchait καὶ διεξῆλθες. — εἴ τῳ S¹. — 9. εἰκότως. οὔτε γὰρ A. Cf. § 46 *NC.* — 9-10. οὐδέν' (var. οὐδένας) ἀπεσταλμένη τότε. En adoptant, avec Dindorf, le pluriel, je transpose les mots. — 13. Ἕλληνας S et A. ἄλλους Ἕλληνας L et vulg. — 14. περὶ τῆς εἰρήνης S seul.

sont spécieux et habiles : il sait intéresser l'amour-propre athénien à sa défense personnelle. Mais, il faut le dire, son raisonnement n'est pas concluant et ne peut guère se concilier avec une assertion qu'il émet lui-même dans le procès de l'Ambassade. Cf. *Amb.*, § 16.

1-2. Ὦ — τί ἂν εἰπών.... προσείποι; On rapproche de cette aposiopèse Aristophane, *Nuées*, 1378 : Ὦ — τί σ' εἴπω; Cf. aussi Eschyle, *Agam.*, 1232 : Τί νιν καλοῦσα δυσφιλὲς δάκος τύχοιμ' ἄν; — Πρᾶξιν, « entreprise, négociation, » est le mot général, restreint et déterminé par συμμαχίαν. Dobree rapproche § 191 : Τίς δὲ συμμαχία; τίς πρᾶξις; Là l'orateur va du particulier au général.

10-11. Ἦσαν ἐξεληλεγμένοι, leurs intentions étaient manifestes, leur indifférence mise au jour.

12-13. Ἐν οἷς ψεύδεται, par ses mensonges. Voy. la note sur ἐν οἷς ἡμάρτανον, § 19.

15. Εὐρυβάτου. Type du traître et du fourbe. Cf. Eschine, § 137. Harpocration : Ἔφορος ἐν τῇ η' Εὐρύβατόν φησιν ἄνδρα Ἐφέσιον λαβόντα χρήματα παρὰ Κροίσου ὥστε στρατιὰν συναγαγεῖν εἰς τὸν πόλεμον τὸν εἰς τοὺς Πέρσας, εἶτα προδότην γενόμενον ἐγχειρίσαι τὰ δοθέντα χρήματα τῷ Κύρῳ, καὶ ἐντεῦθεν τοὺς πονηροὺς Εὐρυβάτους καλεῖσθαι. D'après d'autres, c'était un voleur extrêmement adroit. Suidas cite le verbe εὐρυβατεύεσθαι.

πόλεμον; ἀλλ' αὐτοὶ περὶ εἰρήνης ἐβουλεύεσθε. Οὐκοῦν οὔτε τῆς ἐξ ἀρχῆς εἰρήνης ἡγεμὼν οὐδ' αἴτιος ὢν ἐγὼ φαίνομαι, οὔτε τῶν ἄλλων ὧν κατεψεύσατό μου οὐδὲν ἀληθὲς ὂν δείκνυται.

[25] Ἐπειδὴ τοίνυν ἐποιήσατο τὴν εἰρήνην ἡ πόλις, ἐνταῦθα πάλιν σκέψασθε τί ἡμῶν ἑκάτερος προείλετο πράττειν· καὶ γὰρ ἐκ τούτων εἴσεσθε τίς ἦν ὁ Φιλίππῳ πάντα συναγωνιζόμενος, καὶ τίς ὁ πράττων ὑπὲρ ὑμῶν καὶ τὸ τῇ πόλει συμφέρον ζητῶν. Ἐγὼ μὲν τοίνυν ἔγραψα βουλεύων ἀποπλεῖν τὴν ταχίστην τοὺς πρέσβεις ἐπὶ τοὺς τόπους ἐν οἷς ἂν ὄντα Φίλιππον πυνθάνωνται, καὶ τοὺς ὅρκους ἀπολαμβάνειν· οὗτοι δὲ οὐδὲ γράψαντος ἐμοῦ ταῦτα ποιεῖν ἠθέλησαν. [26] Τί δὲ τοῦτ' ἐδύνατ', ὦ ἄνδρες Ἀθηναῖοι; ἐγὼ διδάξω. Φιλίππῳ μὲν ἦν συμφέρον ὡς πλεῖστον τὸν μεταξὺ χρόνον γενέσθαι τῶν ὅρκων, ὑμῖν δ' ὡς
234 ἐλάχιστον. Διὰ τί; ὅτι ὑμεῖς μὲν οὐκ ἀφ' ἧς ὠμόσαθ' ἡμέρας μόνον, ἀλλ' ἀφ' ἧς ἠλπίσατε τὴν εἰρήνην ἔσεσθαι, πάσας ἐξελύσατε τὰς παρασκευὰς τὰς τοῦ πολέμου, ὁ δὲ τοῦτ' ἐκ παντὸς τοῦ χρόνου μάλιστ' ἐπραγματεύετο, νομίζων, ὅπερ ἦν ἀληθές, ὅσα τῆς πόλεως προλάβοι πρὸ τοῦ τοὺς ὅρκους ἀποδοῦναι, πάντα ταῦτα βεβαίως ἕξειν· οὐδένα γὰρ τὴν εἰρήνην λύσειν τούτων ἕνεκα. [27] Ἃ 'γὼ προορώμενος, ἄνδρες Ἀθη-

NC. 3. τῶν ἄλλων οὐδὲν avant Reiske. — 5. σκέψασθαι S. — 6. Pour πάντα, le texte de S et L[1] portent τε τὴν εἰρήνην, leçon qu'on pourrait ramener, en insérant trois lettres à : τὰ <περ>ὶ τὴν εἰρήνην. — 8. πλεῖν (cf. § 27) Cobet. — 9. ἐπὶ τοὺς τόπους est, dans S, ajouté en marge par une main ancienne. — 10-11. ου γράψαντος S[1]. — Pour ταῦτα ποιεῖν, Usener (*Rhein. Mus.*, XXV, p. 601) propose ταῦτ', ἀπαίρειν : conjecture spécieuse, mais contraire aux faits et au paragraphe 30. — 14-15. μόνον ἡμέρας vulg. — 16. ἐξελύσασθε B. — ὁ δὲ τουτον S[1]. — 20. ὦ ἄνδρες vulg.

1-2. Τῆς ἐξ ἀρχῆς εἰρήνης. La paix telle qu'elle était primitivement, l'état de choses établi par le traité, est opposé à ce que la paix devint en réalité par suite des lenteurs de la deuxième ambassade et des faux rapports d'Eschine.

4. Ἐπειδὴ τοίνυν.... Sur ces faits, voy. *Ambass.*, § 150 sqq.

8. Βουλεύων. Démosthène était alors membre du sénat annuel des Cinq-Cents.

11-13. Τί.... ἐδύνατο, quelle en était la portée. Cf. *Chers.*, § 57, et *passim*. — Τὸν μεταξὺ.... τῶν ὅρκων, le temps intermédiaire, le temps qui s'écoulerait jusqu'à la prestation du serment par Philippe. L'explication « intermédiaire entre les serments des deux parties » n'est pas autorisée par ce qui précède. Avec μεταξύ, le *terminus a quo* est souvent sous-entendu. Cf. *Ambass.*, § 164 : Ὡς πλεῖστον τὸν μεταξὺ χρόνον διατριφθῆναι τοῦ τοὺς ὅρκους ἀπολαβεῖν.

16-17. Τοῦτ(ο), c'est-à-dire τὸ ὑμᾶς ἐκλῦσαι τὰς τοῦ πολέμου παρασκευάς. — Ἐκ παντὸς τοῦ χρόνου, tout le temps depuis les premières ouvertures pacifiques.

ναῖοι, καὶ λογιζόμενος τὸ ψήφισμα τοῦτο γράφω, πλεῖν ἐπὶ τοὺς τόπους ἐν οἷς ἂν ᾖ Φίλιππος, καὶ τοὺς ὅρκους τὴν ταχίστην ἀπολαμβάνειν, ἵν' ἐχόντων τῶν Θρᾳκῶν, τῶν ὑμετέρων συμμάχων, ταῦτα τὰ χωρί' ἃ νῦν οὗτος διέσυρε, τὸ Σέρριον καὶ τὸ Μυρτηνὸν καὶ τὴν Ἐργίσκην, οὕτω γίγνοινθ' οἱ ὅρκοι, καὶ μὴ προλαβὼν ἐκεῖνος τοὺς ἐπικαίρους τῶν τόπων κύριος τῆς Θρᾴκης κατασταίη, μηδὲ πολλῶν μὲν χρημάτων, πολλῶν δὲ στρατιωτῶν εὐπορήσας ἐκ τούτων ῥᾳδίως τοῖς λοιποῖς ἐπιχειροίη πράγμασιν. [28] Εἶτα τοῦτο μὲν οὐχὶ λέγει τὸ ψήφισμα, οὐδ' ἀναγιγνώσκει· εἰ δὲ βουλεύων ἐγὼ προσάγειν τοὺς πρέσβεις ᾤμην δεῖν, τοῦτό μου διαβάλλει. Ἀλλὰ τί ἐχρῆν με ποιεῖν; μὴ προσάγειν γράψαι τοὺς ἐπὶ τοῦτ' ἥκοντας, ἵν' ὑμῖν διαλεχθῶσιν; ἢ θέαν μὴ κατανεῖμαι τὸν ἀρχιτέκτον' αὐτοῖς κελεῦσαι; Ἀλλ' ἐν τοῖν δυοῖν ὀβολοῖν ἐθεώρουν ἂν εἰ μὴ τοῦτ' ἐγράφη. Τὰ μικρα [συμφέροντα τῆς πόλεως] ἔδει με φυλάττειν,

NC. 1–3. πλεῖν.... ἀπολαμβάνειν. Dobree croyait ces mots interpolés. La répétition abrégée des termes du décret n'a rien de choquant. — 4. ταῦτα τὰ χωρία S et L seuls. τὰ χωρία ταῦτα vulg. — 5. Μυρτηνόν. Variantes : Μύρτιον, Μύρτανον (Harpocration), Μυρτόνιον (Photios). — γιγνοιθ S[1]. — 15. μικρὰ vulg. σμικρά, ajouté par une main ancienne, S, ainsi que L[1]. Dindorf écrit ἢ τὰ μικρά. Usener, *l. c.*, propose τὰ μὲν κέρματα τῆς πόλεως. A. Schæfer, *Philologus*, XXXI, p. 484, voudrait supprimer les mots συμφέροντα τῆς πόλεως : il a raison. Cf. p. 469, 4 *NC*.

4. Τὰ χωρί(α). Voy. la *Notice* sur le discours de l'*Ambassade*. — Οὗτος διέσυρε. Eschine, § 82 : Οὗτός ἐστιν ὁ πρῶτος ἐξευρὼν Σέρριον τεῖχος καὶ Δορίσκον καὶ Ἐργίσκην καὶ Μυρτίσκην (noms plaisamment défigurés) καὶ Γάνος καὶ Γανίδα, χωρία ὧν οὐδὲ τὰ ὀνόματα ᾔδειμεν.

9-1. Εἶτα τοῦτο.... οὐ δήπου. Cette allusion à une méchanceté d'Eschine se retranche si facilement qu'on peut la croire ajoutée après coup, à l'audience même, ainsi que quelques lignes du paragraphe 27. Si cela est vrai, le reste du morceau était donc préparé d'avance.

10-11. Προσάγειν, introduire les envoyés de Philippe dans l'assemblée du peuple. La résolution prise à cette fin par le sénat fut naturellement rédigée par Démosthène, en sa double qualité de sénateur et d'ambassadeur. — Τοῦτό μου διαβάλλει. Le génitif désigne, en quelque sorte, la provenance. On dirait de même : τοῦτό μου θαυμάζει.

13-14. Θέαν.... κελεῦσαι. Un ordre du sénat, provoqué par Démosthène, invitait le fermier du théâtre à donner aux ambassadeurs macédoniens une place d'honneur, προεδρίαν. Cela était d'usage. Eschine, § 76, s'en moque agréablement : Τότε μόνον καὶ πρῶτον πρέσβεις εἰς προεδρίαν ἐκάλεσε καὶ προσκεφάλαια ἔθηκε καὶ φοινικίδας περιεπέτασε, καὶ ἅμα τῇ ἡμέρᾳ ἡγεῖτο τοῖς πρέσβεσιν εἰς τὸ θέατρον, ὥστε καὶ συρίττεσθαι διὰ τὴν ἀσχημοσύνην καὶ κολακείαν. — Ἐν τοῖν δυοῖν ὀβολοῖν, dans la partie non privilégiée du théâtre, pour laquelle on payait deux oboles d'entrée. C'est ainsi qu'on appelait αἱ χύτραι, τὰ μύρα l'endroit du marché où se vendaient les pots, les parfumeries, etc. Cf. Pollux, IX, 47; X, 19. [Reiske, et Boeckh, *Staatshaushaltung*, I, 308.]

15. Τὰ μικρὰ : c'est-à-dire la petite indemnité à payer à l'ἀρχιτέκτων. Quand même τὸ συμφέρον, pris substantivement, pourrait être accompagné d'un adjectif,

τὰ δ' ὅλα, ὥσπερ οὗτοι, πεπραχέναι; οὐ δήπου. Λέγε τοίνυν μοι τὸ ψήφισμα τουτὶ λαβών, ὃ σαφῶς οὗτος εἰδὼς παρέβη. Λέγε.

235

ΨΗΦΙΣΜΑ.

[29] « Ἐπὶ ἄρχοντος Μνησιφίλου, ἑκατομβαιῶνος ἕνῃ καὶ νέᾳ, φυλῆς πρυτανευούσης Πανδιονίδος, Δημοσθένης Δημοσθένους Παιανιεὺς εἶπεν, ἐπειδὴ Φίλιππος ἀποστείλας πρέσβεις περὶ τῆς εἰρήνης ὁμολογουμένας πεποίηται συνθήκας, δεδόχθαι τῇ βουλῇ καὶ τῷ δήμῳ τῷ Ἀθηναίων, ὅπως ἂν ἡ εἰρήνη ἐπιτελεσθῇ ἡ ἐπιχειροτονηθεῖσα ἐν τῇ πρώτῃ ἐκκλησίᾳ, πρέσβεις ἑλέσθαι ἐκ πάντων Ἀθηναίων ἤδη πέντε, τοὺς δὲ χειροτονηθέντας ἀποδημεῖν μηδεμίαν ὑπερβολὴν ποιουμένους, ὅπου ἂν ὄντα πυνθάνωνται τὸν Φίλιππον, καὶ τοὺς ὅρκους λαβεῖν τε παρ' αὐτοῦ καὶ δοῦναι τὴν ταχίστην ἐπὶ ταῖς ὡμολογημέναις συνθήκαις αὐτῷ πρὸς τὸν Ἀθηναίων δῆμον, συμπεριλαμβάνοντας καὶ τοὺς ἑκατέρων συμμάχους. Πρέσβεις ᾑρέθησαν Εὔβουλος Ἀναφλύστιος, Αἰσχίνης Κοθωκίδης, Κηφισοφῶν Ῥαμνούσιος, Δημοκράτης Φλυεύς, Κλέων Κοθωκίδης. »

NC. 1. πεπραχέναι Φιλίππῳ vulg. — 2. εἰδὼς est ajouté dans S, à la fin d'une ligne; λέγε y est omis. — 3. ψήφισμα δημοσθένους S et L seuls. — 7. εἰρήνης πρὸς Ἀθηναίους, avant Reiske. — 8. τῶν Ἀθηναίων vulg. — 11. ἀναβολὴν vulg. — 16. Αἰσχίνης manque dans S, L, F. — Κηφισοφῶν. Variante : Κτησιφῶν.

encore les mots συμφέροντα τῆς πόλεως surchargent-ils la phrase et affaiblissent l'antithèse.

3. ΨΗΦΙΣΜΑ. Outre l'archonte, qui est pseudonyme, ni le mois indiqué dans ce décret, ni le nombre des ambassadeurs, ni leurs noms, ni le texte du document, ne s'accordent avec les faits tels qu'ils résultent des discours sur l'*Ambassade* de Démosthène (§ 154) et d'Eschine (94 sq., et 97). Le présent décret n'est donc pas celui auquel se réfère Démosthène. Serait-ce, du moins, un décret authentique, relatif à une autre époque et inséré par erreur en cet endroit? Les conjectures qu'on a faites à l'appui de cette manière de voir ne sont pas plausibles.

7. Ὁμολογουμένας.... συνθήκας. Ces mots désignent évidemment une simple convention, qui a besoin, pour entrer en vigueur, d'être ratifiée et jurée par les deux parties : aussi lit-on plus bas ὅρκους λαβεῖν τε.... καὶ δοῦναι. La paix de Philocrate avait, au contraire, été jurée par le peuple d'Athènes avant le départ de la deuxième ambassade.

9. Ἐν τῇ πρώτῃ ἐκκλησίᾳ : dans la première des quatre assemblées qui se tenaient régulièrement tous les mois à Athènes. [Dissen.]

10. Ἐκ πάντων Ἀθηναίων, dans tout le peuple, et non par tribu. Cf. *Timocrate*, § 23. [Dissen.] — Ἤδη, de suite.

17. Δημοκράτης Φλυεύς se retrouve dans un autre décret, § 187, Κλέων Κοθωκίδης, § 55.

[30] Ταῦτα γράψαντος ἐμοῦ τότε καὶ τὸ τῇ πόλει συμφέρον, οὐ τὸ Φιλίππῳ ζητοῦντος, βραχὺ φροντίσαντες οἱ χρηστοὶ πρέσβεις οὗτοι καθῆντ' ἐν Μακεδονίᾳ τρεῖς ὅλους μῆνας, ἕως ἦλθε Φίλιππος ἐκ Θρᾴκης πάντα τάχει καταστρεψάμενος, ἐξὸν ἡμερῶν δέκα, οὐρίας δὲ τριῶν ἢ τεττάρων, εἰς τὸν Ἑλλήσποντον ἀφῖχθαι καὶ τὰ χωρία σῶσαι, λαβόντας τοὺς ὅρκους πρὶν ἐκεῖνον ἐξελεῖν αὐτά· οὐ γὰρ ἂν ἥψατ' αὐτῶν παρόντων ἡμῶν, ἢ οὐκ ἂν ὡρκίζομεν αὐτόν, ὥστε τῆς εἰρήνης ἂν διημαρτήκει καὶ οὐκ ἂν ἀμφότερ' εἶχε, καὶ τὴν εἰρήνην καὶ τὰ 236
χωρία.

[31] Τὸ μὲν τοίνυν ἐν τῇ πρεσβείᾳ πρῶτον κλέμμα μὲν Φιλίππου, δωροδόκημα δὲ τῶν ἀδίκων τούτων ἀνθρώπων τοιοῦτον ἐγένετο· ὑπὲρ οὗ καὶ τότε καὶ νῦν καὶ ἀεὶ πολεμεῖν ὁμολογῶ καὶ διαφέρεσθαι τούτοις. Ἕτερον δ' εὐθὺς ἐφεξῆς ἔτι τούτου μεῖζον κακούργημα θεάσασθε. [32] Ἐπειδὴ γὰρ ὤμοσε τὴν εἰρήνην ὁ Φίλιππος προλαβὼν τὴν Θρᾴκην διὰ τούτους οὐχὶ πεισθέντας τῷ ἐμῷ ψηφίσματι, πάλιν ὠνεῖται παρ' αὐτῶν

NC. 2. Variantes : τῷ Φιλίππῳ et τοῦ Φιλίππου. — 4. τὰ ἐκεῖ omis dans S[1], placé après καταστρεψάμενος dans B. — 5. οὐρίας est notre correction. ὁμοίως S, L[1], A. μᾶλλον vulg. Cette dernière leçon n'est évidemment qu'une conjecture. Bekker et d'autres défendent en vain ὁμοίως δὲ (« et tout aussi bien ») : personne ne s'est jamais exprimé ainsi. Herwerden (*Mnemosyne, N. S.*, III, 2, p. 128) : πλοίοις. — 8. ὑμῶν S. — 12. ἀνθρώπων καὶ θεοῖς ἐχθρῶν F et vulg. — 12-13. ὁμολογῶ πολεμεῖν vulg. ὁμολογῶ καὶ πολεμεῖν S et L[1]. Si καὶ provient de κἀεὶ, cette leçon autorise notre transposition. — 15. ὤμοσε A et marge de L. ὡμολόγησε S, texte de L, vulg. L'erreur vient du paragraphe 29. — Φίλιππος ἕξειν vulg. — 16. τούτους τοὺς A.

3. Τρεῖς ὅλους μῆνας. Exagéré, même en l'appliquant à toute la durée de l'ambassade. Cf. *Ambass.*, § 57, avec la note, et § 155.

5. Οὐρίας, par un vent favorable. Voyez les locutions ἡμέρας, σκότους, βορέου (Thucydide, III, 23), αἰθρίας (Aristophane, *Nuées*, 371), χειμῶνος et εὐδίας (Théophraste, *De signis*, fr. 6, 4, 3). Quant au mot οὐρία, cf. Platon, *Protag.*, p. 338 A, et Pollux, *Onom.*, I, 107. Du reste, Démosthène n'a pas en vue un voyage de Pella sur les côtes de la Thrace; il reproche à l'ambassade de n'être pas allée directement d'Athènes vers les lieux où se trouvait Philippe. Cf. *Amb.*, § 150.

8. Οὐκ ἂν ὡρκίζομεν αὐτόν. L'idée de refuser le serment de Philippe ne pouvait venir à l'esprit des Athéniens. Démosthène parle comme si Athènes avait bien voulu accorder la paix au roi de Macédoine; dans le procès de l'*Ambassade* (§ 151 sq.), quand les événements étaient encore plus récents, il avait traité cette question avec plus de justesse.

13-14. Πολεμεῖν.... καὶ διαφέρεσθαι. Le mot propre après le trope. Cela se voit souvent dans Démosthène.

16-17. Προλαβὼν se rattache à ὤμοσε, et non (comme dit Vœmel) à ὠνεῖται. Philippe s'était emparé de la Thrace avant de jurer la paix.

[9] Εἰ μὲν οὖν περὶ ὧν ἐδίωκε μόνον κατηγόρησεν Αἰσχίνης, κἀγὼ περὶ αὐτοῦ τοῦ προβουλεύματος εὐθὺς ἂν ἀπελογούμην· ἐπειδὴ δ' οὐκ ἐλάττω λόγον τἄλλα διεξιὼν ἀνήλωκεν καὶ τὰ πλεῖστα κατεψεύσατό μου, ἀναγκαῖον εἶναι νομίζω καὶ δίκαιον ἅμα βραχέ', ὦ ἄνδρες Ἀθηναῖοι, περὶ τούτων εἰπεῖν πρῶτον, ἵνα μηδεὶς ὑμῶν τοῖς ἔξωθεν λόγοις ἠγμένος ἀλλοτριώτερον τῶν ὑπὲρ τῆς γραφῆς δικαίων ἀκούῃ μου.

[10] Περὶ μὲν δὴ τῶν ἰδίων ὅσα λοιδορούμενος βεβλασφήμηκεν περὶ ἐμοῦ, θεάσασθ' ὡς ἁπλᾶ καὶ δίκαια λέγω. Εἰ μὲν ἴστε με τοιοῦτον οἷον οὗτος ᾐτιᾶτο (οὐ γὰρ ἄλλοθί που βεβίωκ' ἢ παρ' ὑμῖν), μηδὲ φωνὴν ἀνάσχησθε, μηδ' εἰ πάντα τὰ κοίν' ὑπέρευ πεπολίτευμαι, ἀλλ' ἀναστάντες καταψηφίσασθ' ἤδη· εἰ δὲ πολλῷ βελτίω τούτου καὶ ἐκ βελτιόνων, καὶ μηδενὸς τῶν μετρίων, ἵνα μηδὲν ἐπαχθὲς λέγω, χείρονα καὶ ἐμὲ καὶ τοὺς ἐμοὺς ὑπειλήφατε καὶ γιγνώσκετε, τούτῳ μὲν μηδ' ὑπὲρ τῶν ἄλλων πιστεύετε (δῆλον γὰρ ὡς ὁμοίως ἅπαντ' ἐπλάττετο),

NC. 3. ἀνήλωκεν S. — 5. εἰπεῖν πρῶτον S, avant correction, et L. πρῶτον εἰπεῖν vulg. Séparés par εἰπεῖν, les mots τούτων et πρῶτον ressortent mieux. [Dissen.] — 12. καταψηφίσασθαι S.

1. Ἐδίωκε se rapporte à l'acte d'accusation (γραφή); κατηγόρησεν, à la plaidoirie (κατηγορία) d'Eschine. Cf. Antiphon, *Choreute*, § 10 : Ἄλλα κατηγορεῖ ἢ ἃ διώκει.

2. Τοῦ προβουλεύματος, la résolution du sénat des Cinq-Cents, prise en vertu de la motion d'Eschine, mais non encore consacrée par le peuple.

6-7. Ἔξωθεν équivaut à ἔξω τοῦ πράγματος, ἔξω τῆς γραφῆς. Cf. § 34. — Τῶν ὑπὲρ τῆς γραφῆς δικαίων. C'est au paragraphe 53 que l'orateur arrivera à la réfutation de l'acte d'accusation. — Le pronom μου dépend de δικαίων (cf. § 7), dont il est séparé pour des raisons d'euphonie. Krüger, *Gr. Spr.*, II, § 47, 10, 7, veut que le verbe ἀκούῃ gouverne ici deux génitifs : construction problématique en prose. — Démosthène fait ici un paralogisme. Il doit établir qu'il a bien mérité d'Athènes et que l'acte d'accusation conteste à tort ce que dit à ce sujet la motion de Ctésiphon. Or, dans les premières années de sa carrière politique, Démosthène n'eut pas l'occasion de rendre de service signalé : il les aurait donc passées sous silence, si Eschine ne les avait pas présentées sous un jour faux et odieux. Réfuter des calomnies, c'est une fâcheuse nécessité que lui a imposée son adversaire. Exposer ceux de ses actes politiques qui justifient la motion de Ctésiphon, voilà, suivant lui, toute la cause. Mais, si, au point de vue de la défense, les autres actes de Démosthène sont étrangers à la cause, l'accusateur avait cependant le droit de les incriminer, et, s'il parvenait à démontrer que ces actes étaient d'un mauvais citoyen et d'un traître, il réfutait les assertions de Ctésiphon et il était au cœur même de la question.

13. Βελτίω.... καὶ ἐκ βελτιόνων. Le participe ὄντα, ou γενόμενον, est généralement omis dans cette locution. En écrivant πρὸς τοῦ κακίστου κἀκ κακῶν Ὀδυσσέως, Sophocle (*Phil.*, 384) n'est allé que très-discrètement au delà de ce que permet l'usage de la prose.

ἐμοὶ δ', ἣν παρὰ πάντα τὸν χρόνον εὔνοιαν ἐνδέδειχθ' ἐπὶ πολλῶν ἀγώνων τῶν πρότερον, καὶ νυνὶ παράσχεσθε. [11] Κακοήθης δ' ὤν, Αἰσχίνη, τοῦτο παντελῶς εὔηθες ᾠήθης, τοὺς περὶ τῶν πεπραγμένων καὶ πεπολιτευμένων λόγους ἀφέντα με πρὸς τὰς λοιδορίας τὰς παρὰ σοῦ τρέψεσθαι. Οὐ δὴ ποιήσω τοῦτο· 229
οὐχ οὕτω τετύφωμαι· ἀλλ' ὑπὲρ μὲν τῶν πεπολιτευμένων ἃ 6
κατεψεύδου καὶ διέβαλλες, ἐξετάσω, τῆς δὲ πομπείας ταύτης τῆς ἀνέδην οὑτωσὶ γεγενημένης ὕστερον, ἂν βουλομένοις [ἀκούειν] ᾖ τουτοισί, μνησθήσομαι.

[12] Τὰ μὲν οὖν κατηγορημένα πολλά, καὶ περὶ ὧν ἐνίων μεγάλας καὶ τὰς ἐσχάτας οἱ νόμοι διδόασι τιμωρίας, τοῦ δὲ παρόντος ἀγῶνος ἡ προαίρεσις αὑτη· ἐχθροῦ μὲν ἐπήρειαν ἔχει καὶ ὕβριν καὶ λοιδορίαν καὶ προπηλακισμὸν ὁμοῦ καὶ πάντα τὰ τοιαῦτα, τῶν μέντοι κατηγοριῶν καὶ τῶν αἰτιῶν τῶν εἰρημένων, εἴπερ ἦσαν ἀληθεῖς, οὐκ ἔχει τῇ πόλει δίκην ἀξίαν λαβεῖν,

NC. 2. προτέρον γεγενημένων vulg. — 3. αισχινης et του περὶ S[1]. — 7. αὐτίκα ἐξετάσω A : leçon qui peut plaire à première vue, mais qui trahirait trop ouvertement l'intention où est Démosthène de répondre plus tard aux personnalités d'Eschine. — 8. ἀναίδην S[1]. ἀναίδην οὑτωσὶ F et vulg. — 9. ἀκούειν, placé après τούτοις (pour τουτοισί) dans la vulgate, est omis dans F : avec raison, ce semble. — 10-11. πολλὰ καὶ δεινὰ F et vulg. — μεγάλας καὶ : mots écartés par Herwerden. διδόασι S et L. τάττουσι vulg. — 12. αὑτη. La variante αὐτή ne convient pas à ce passage. Le démonstratif, pour n'être pas de trop, doit être suivi d'un point en haut : Dobree l'a vu. — ἐπήρειαν. Texte de S : προαίρεσιν. L[1] : επροαίρεσιν. Spengel propose : ἐχθροῦ μὲν ἔχει. — 13. ὁμοῦ L et vulg., ainsi que Hermogène (III, p. 406 Walz), lequel dit expressément τὸ πλῆθος ἔδειξεν εἰπὼν ὁμοῦ. S : ἐμοῦ. — 15. ἔχει texte de S et L[1]. Variantes : ἔνι, ἔστι, ἐπὶ. Spengel recommande avec raison ἔχει.

2-3. Κακοήθης.... εὔηθες ᾠήθης. Alliance de mots aiguisée par la paronomase. Démosthène ne prétend pas (comme le lui reproche M. Spengel, *l. c.*, p. 10) qu'Eschine l'ait invité à répondre d'abord aux personnalités; il dit qu'Eschine lui a tendu un piége grossier, qu'il a été assez naïf de croire que des méchancetés calomnieuses irriteraient Démosthène au point d'oublier la prudence et ses vrais intérêts. Or qui veut tendre un piége, ne le dit pas.

7. Πομπείας· ἀπὸ τῶν ἐν τοῖς Διονυσιακοῖς πομπαῖς ἐπὶ τῶν ἁμαξῶν (cf. § 122) λοιδορουμένων ἀλλήλοις. [Harpocration.] A la joyeuse procession (πομπή) des Dionysiaques, les masques avaient toute liberté de se lancer les plus gros mots.

8-9. Ἂν βουλομένοις.... ᾖ τουτοισί, « si « his volentibus sit. » Cf. *Mégalop.*, § 3.

10-12. Ἐνίων est une apposition restrictive. Cf. *Ambass.*, § 260, avec la note. — Διδόασι, « accordent, permettent (à l'accu« sateur) de demander », n'est pas synonyme de τάττουσι. Voy. *NC.* — Τοῦ δὲ παρόντος ἀγῶνος ἡ προαίρεσις, mais l'intention qui se manifeste dans le choix du procès présent. Cf. § 280 : Τοῦτον προελέσθαι τὸν ἀγῶνα.

15. Οὐκ ἔχει.... λαβεῖν, un tel procès n'offre pas à la cité la possibilité de punir convenablement de pareils crimes, s'ils étaient réels. Cf. *Phil.* IV, § 45 : Ταῦτ' ὀργὴν ἔχει, avec la note. Ici la répétition du verbe ἔχειν fait ressortir l'antithèse.

οὐδ' ἐγγύς. [13] Οὐ γὰρ ἀφαιρεῖσθαι τὸ προσελθεῖν τῷ δήμῳ καὶ λόγου τυχεῖν, οὐδ' ἐν ἐπηρείας τάξει καὶ φθόνου τοῦτο ποιεῖν οὔτε μὰ τοὺς θεοὺς ὀρθῶς ἔχον οὔτε πολιτικὸν οὔτε δίκαιόν ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι· ἀλλ' ἐφ' οἷς ἀδικοῦντά μ' ἑώρα τὴν πόλιν, οὐσί γε τηλικούτοις ἡλίκα νῦν ἐτραγῴδει καὶ διεξῄει, ταῖς ἐκ τῶν νόμων τιμωρίαις παρ' αὐτὰ τἀδικήματα χρῆσθαι, εἰ μὲν εἰσαγγελίας ἄξια πράττονθ' ἑώρα, εἰσαγγέλλοντα καὶ τοῦτον τὸν τρόπον εἰς κρίσιν καθιστάντα παρ' ὑμῖν, εἰ δὲ γράφοντα παράνομα, παρανόμων γραφόμενον· οὐ γὰρ δήπου Κτησιφῶντα μὲν δύναται διώκειν δι' ἐμὲ, ἐμὲ δ', εἴπερ ἐξελέγξειν ἐνόμιζεν, αὐτὸν οὐκ ἂν ἐγράψατο. [14] Καὶ μὴν εἴ

NC. 1. ἀφαιρεῖσθαι τὸ S[1] seul. ἀφαιρεῖσθαι δεῖ τὸ vulg. Nous demandons : ἀφίεσθαι τοῦ, ἀφίστασθαι τοῦ, ἀποστρέφεσθαι τὸ, παραιτεῖσθαι τὸ, ou quelque autre correction offrant ce sens. — 2. ἐπηρίας S[1]. — 5-6. Cobet (*Miscellanea Critica*, 1876, p. 176) retranche καὶ διεξῄει. — 7. πράττοντά με vulg. — 11. ἐξελέγξειν S[2] et A. ἐξελέγχειν S[1], L et vulg.

1-2. Ἀφαιρεῖσθαι.... τυχεῖν. Que veulent dire ces mots? priver Ctésiphon (en le faisant dégrader) du droit de parler devant le peuple? refuser à Démosthène le droit de plaider devant les jurés une cause qui est au fond la sienne? empêcher (en portant l'affaire devant les tribunaux) que Démosthène expose dans l'assemblée populaire ses titres à la couronne? Aucune de ces explications n'est satisfaisante, ne se prête à la suite du raisonnement; toutes se réfutent par le membre de phrase suivant. Après avoir dit d'une manière générale «il ne faut pas faire une chose», un auteur qui sait écrire n'ajoute pas : «ni la faire par une animosité personnelle». Les scholiastes étaient déjà très-embarrassés : ils se plaignent de l'obscurité de ce passage. Nous le croyons altéré : voy. *NC*. Voici ce que demande l'enchaînement des idées : «Il n'est pas juste de ne pas donner à la cité l'occasion de punir les crimes, en s'abstenant de se présenter devant le peuple pour déposer des plaintes et obtenir la faculté de les soutenir (λόγου τυχεῖν); il n'est pas juste non plus de faire cela (τοῦτο ποιεῖν, c'est-à-dire προσελθεῖν τῷ δήμῳ καὶ λόγου τυχεῖν) par animosité et envie.» Démosthène dit qu'Eschine aurait dû, depuis longtemps, le poursuivre pour chacun des délits qu'il lui reproche maintenant, au lieu de l'atteindre indirectement par un procès qui a pour but de dénigrer Démosthène, et non de faire bonne justice. Eschine a prévu et cherché à réfuter ces arguments de son adversaire. Il dit au paragraphe 217 : Μέλλει μ' ἀνερωτᾶν διὰ τί..., διαλιπὼν καὶ πρὸς τὴν πολιτείαν οὐ πυκνὰ προσιὼν, ἀπήνεγκα τὴν γραφήν, et au paragraphe 220 : Ἐπιτιμᾷς δέ μοι, εἰ μὴ συνεχῶς, ἀλλὰ διαλείπων πρὸς τὸν δῆμον προσέρχομαι. Ces derniers mots viennent à l'appui de notre conjecture.

5-6. Ἐτραγῴδει. Scholiaste : Διαβάλλει τὴν τέχνην αὐτοῦ· ἦν γὰρ ὑποκριτής. — Παρ' αὐτὰ τὰ ἀδικήματα, sur-le-champ, au moment même de l'accomplissement de ces délits. Cf. § 15 : Παρ' αὐτὰ τὰ πράγματα, et *Leptin.*, § 189.

7. Χρῆσθαι. Sous-ent. ὀρθῶς ἔχον καὶ πολιτικὸν καὶ δίκαιον ἦν. — Εἰσαγγελίας. Cf. *Amb.*, § 103; *Cherson.*, § 28, avec la note. Cette espèce de plainte était, comme la γραφὴ παρανόμων, portée devant le sénat et le peuple, quelquefois même soutenue devant l'assemblée populaire. Cela justifie l'explication que nous avons donnée plus haut des mots προσελθεῖν τῷ δήμῳ.

9-10. Οὐ γὰρ δήπου, car, certes, on ne dira pas que. La négation porte à la fois sur les deux membres de phrase opposés entre eux au moyen des particules μὲν et δέ. Cf. *Phil.*, III, § 27, avec la note.

τι τῶν ἄλλων ὧν νυνὶ διέβαλλε καὶ διεξῄει ἢ καὶ ἄλλ' ὁτιοῦν ἀδικοῦντά μ' ὑμᾶς ἑώρα, εἰσὶ νόμοι περὶ πάντων καὶ τιμωρίαι, καὶ ἀγῶνες καὶ κρίσεις πικρὰ καὶ μεγάλ' ἔχουσαι τἀπιτίμια, καὶ τούτοις ἐξῆν ἅπασι χρῆσθαι, καὶ ὁπηνίκ' ἐφαίνετο ταῦτα 230 πεποιηκὼς καὶ τοῦτον τὸν τρόπον κεχρημένος τοῖς πρὸς ἐμέ, ὡμολογεῖτ' ἂν ἡ κατηγορία τοῖς ἔργοις αὐτοῦ. [15] Νῦν δ' ἐκστὰς τῆς ὀρθῆς καὶ δικαίας ὁδοῦ καὶ φυγὼν τοὺς παρ' αὐτὰ τὰ πράγματα ἐλέγχους, τοσούτοις ὕστερον χρόνοις αἰτίας καὶ σκώμματα καὶ λοιδορίας συμφορήσας ὑποκρίνεται· εἶτα κατηγορεῖ μὲν ἐμοῦ, κρίνει δὲ τουτονί, καὶ τοῦ μὲν ἀγῶνος ὅλου τὴν πρὸς ἔμ' ἔχθραν προΐσταται, οὐδαμοῦ δ' ἐπὶ ταύτην ἀπηντηκὼς ἐμοὶ τὴν ἑτέρου ζητῶν ἐπιτιμίαν ἀφελέσθαι φαίνεται. [16] Καίτοι πρὸς ἅπασιν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς ἄλλοις δικαίοις οἷς ἂν εἰπεῖν τις ὑπὲρ Κτησιφῶντος ἔχοι, καὶ τοῦτ' ἔμοιγε δοκεῖ καὶ μάλ' εἰκότως ἂν λέγειν, ὅτι τῆς ἡμετέρας ἔχθρας ἡμᾶς ἐφ' ἡμῶν αὐτῶν δίκαιον ἦν τὸν ἐξετασμὸν ποιεῖσθαι, οὐ τὸ μὲν πρὸς ἀλλήλους ἀγωνίζεσθαι παραλείπειν, ἑτέρῳ δ' ὅτῳ κακόν τι δώσομεν ζητεῖν· ὑπερβολὴ γὰρ ἀδικίας τοῦτό γε.

NC. 2. εἰσὶν S. — 3. πικρὰ καὶ μεγάλ' ἔχουσαι (ἔχοντες marge de S) τὰ ἐπιτίμια. Ces mots, ajoutés dans S par une main ancienne, sont omis par Bekker et Westermann. G. H. Schæfer voulait supprimer καὶ τιμωρίαι, mots transposés dans A après κρίσεις. — 4. ἐξῆν αὐτῷ πᾶσι χρῆσθαι κατ' ἐμοῦ A. — ἅπασιν S. — 5. πρός με S seul. — 11. πρὸς ἐμέ πως avant Bekker. — 13. δικαίοις (mot qui pouvait facilement échapper entre ἄλλοις et οἷς) manque dans S et L[1]. — 16. ἐξητασμὸν et τω μὲν S[1]. — 17. παραλειπεῖν (c'est-à-dire παραλείπειν ou παραλιπεῖν) S.

1. **Τῶν ἄλλων**, des délits d'une autre nature que ceux qui donnent lieu à la εἰσαγγελία ou à la γραφὴ παρανόμων. La mention de cette dernière plainte avait amené, par une association d'idées naturelle, la réflexion incidente : οὐ γὰρ δήπου Κτησιφῶντα..., après laquelle l'orateur reprend l'énumération commencée. — Ἄλλ' ὁτιοῦν, quelque autre délit non signalé par Eschine.

2-3. Νόμοι καὶ τιμωρίαι équivaut à νόμοι διδόντες τιμωρίας (cf. § 12). Passant des lois à la procédure, l'orateur ajoute un second membre de phrase, dans lequel les mots πικρὰ.... τἀπιτίμια reprennent d'une manière plus explicite l'idée de τιμωρίαι.

5-6. Τοῖς πρὸς ἐμέ, les lois et les procédures qui pouvaient s'appliquer à moi. — Ἡ κατηγορία τοῖς ἔργοις αὐτοῦ, ses attaques actuelles avec ses actes d'autrefois.

9-10. Ὑποκρίνεται. Cf. ἐτραγῴδει, § 13. — Κατηγορεῖ.... κρίνει. Comme ἐδίωκε.... κατηγόρησεν, § 9.

11-12. Προΐσταται, « il met en avant », équivaut à προβάλλεται [Schol.]. — Οὐδαμοῦ δ' ἐπὶ ταύτην ἀπηντηκὼς ἐμοί, mais sans m'avoir jamais offert le combat pour vider cette querelle. [Dissen.] Cf. ἀπήντηκας, § 125. — Ἐπιτιμίαν ἀφελέσθαι. Eschine voulait faire condamner Ctésiphon à une amende si élevée, qu'il eût été privé, comme insolvable, de ses droits civiques, ἐπιτιμία. [Dissen.]

15. Λέγειν a pour sujet la personne désignée par le pronom indéfini τις.

15-17. Τῆς ἡμετέρας ἔχθρας.... τὸν

[17] Πάντα μὲν τοίνυν τὰ κατηγορημέν' ὁμοίως ἐκ τούτων ἄν τις ἴδοι οὔτε δικαίως οὔτ' ἐπ' ἀληθείας οὐδεμιᾶς εἰρημένα· βούλομαι δὲ καὶ καθ' ἓν ἕκαστον αὐτῶν ἐξετάσαι, καὶ μάλισθ' ὅσ' ὑπὲρ τῆς εἰρήνης καὶ τῆς πρεσβείας κατεψεύσατό μου, τὰ πεπραγμέν' ἑαυτῷ μετὰ Φιλοκράτους ἀνατιθεὶς ἐμοί. Ἔστι δ' ἀναγκαῖον, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ προσῆκον ἴσως, ὡς κατ' ἐκείνους τοὺς χρόνους εἶχε τὰ πράγματ' ἀναμνῆσαι ὑμᾶς, ἵνα πρὸς τὸν ὑπάρχοντα καιρὸν ἕκαστα θεωρῆτε.

[18] Τοῦ γὰρ Φωκικοῦ συστάντος πολέμου, οὐ δι' ἐμὲ (οὐ γὰρ ἔγωγ' ἐπολιτευόμην πω τότε), πρῶτον μὲν ὑμεῖς οὕτω
231 διέκεισθ' ὥστε Φωκέας μὲν βούλεσθαι σωθῆναι, καίπερ οὐ δίκαια ποιοῦντας ὁρῶντες, Θηβαίοις δ' ὁτιοῦν ἂν ἐφησθῆναι παθοῦσιν, οὐκ ἀλόγως οὐδ' ἀδίκως αὐτοῖς ὀργιζόμενοι· οἷς γὰρ ηὐτυχήκεσαν ἐν Λεύκτροις, οὐ μετρίως ἐκέχρηντο· ἔπειθ' ἡ Πελοπόννησος ἅπασα διειστήκει, καὶ οὔθ' οἱ μισοῦντες Λακε-

NC. 3. ἓν est omis dans A. — εκαστ' S seul. — 7. ἀναμνῆσαι S, L[1]. ἀναμνῆσαι ὑμᾶς vulg. — 10. γὰρ δὴ F, vulg.

ἐξετασμὸν ποιεῖσθαι, vider notre querelle en éprouvant nos forces. — Ἑτέρῳ, pour ἕτερον, par assimilation au relatif ὅτῳ. Cf. *Olynth.* II, § 2. Virgile a imité cet hellénisme, en écrivant, *Én.*, I, 573 : « Urbem « quam statuo, vestra est. »

4-5. Ὅσ(α).... πρεσβείας. Ces faits, la paix de Philocrate et les ambassades qui s'y rattachent, font le sujet du Περὶ παραπρεσβείας. C'est par là qu'Eschine aussi a commencé son exposé historique, § 58 sqq. — Τὰ πεπραγμέν' ἑαυτῷ.... ἀνατιθείς ἐμοί. Démosthène dit vrai. Quand il accusait Timarque, Eschine avait déclaré hautement (§ 174) qu'il était lui-même, avec Philocrate, l'auteur de la paix que Démosthène ne cessait de critiquer. Accusé à son tour après la condamnation de Philocrate, il avait reproché à Démosthène d'être le complice de Philocrate (*Amb.*, § 56); mais il n'avait pas encore découvert une chose qu'il imagine seize ans après les événements, à savoir que Démosthène parla en faveur du projet de traité rédigé par Philocrate, et fit si bien qu'il en emporta le vote (τῷ μὲν λόγῳ προσβιασαμένου Δημοσθένους, τὸ δὲ ψήφισμα γράψαντος Φιλοκράτους. *Contre Ctésiph.*, § 72).

9-10. Οὐ δι' ἐμέ. Personne n'en avait accusé Démosthène. — Οὐ γάρ.... τότε. La harangue sur les *Symmories* est de 354, un an après le commencement de la guerre Sacrée. Voici la traduction d'Aquila Romanus (ch. 16, p. 26, 28 Halm) : « Cum « bellum Phocense conflatum esset, non « per me : nondum enim ego ad rem pu- « blicam accesseram. »

13-14. Οὐκ ἀλόγως.... ὀργιζόμενοι. Cette explication n'est pas de trop : les sentiments des Athéniens pour leurs voisins n'étaient plus les mêmes, depuis qu'ils avaient combattu ensemble à Chéronée et que Thèbes avait été détruite par Alexandre. Aussi Démosthène se sert-il de l'euphémisme οὐ μετρίως pour désigner les violences commises par Thèbes en Béotie et ailleurs. Cf. § 19. [Dissen.] — Οἷς γάρ.... ἐκέχρηντο. Cf. Justin, VIII, 1 : « Thebani.... quum rerum po- « tirentur, secundam fortunam imbecillo « animo ferentes. »

15. Οἱ μισοῦντες Λακεδαιμονίους. Les Messéniens affranchis par Épaminondas,

δαιμονίους οὕτως ἴσχυον ὥστ' ἀνελεῖν αὐτούς, οὔθ' οἱ πρότερον δι' ἐκείνων ἄρχοντες κύριοι τῶν πόλεων ἦσαν, ἀλλά τις ἦν ἄκριτος καὶ παρὰ τούτοις καὶ παρὰ τοῖς ἄλλοις ἅπασιν ἔρις καὶ ταραχή. [19] Ταῦτα δ' ὁρῶν ὁ Φίλιππος (οὐ γὰρ ἦν ἀφανῆ) τοῖς παρ' ἑκάστοις προδόταις χρήματ' ἀναλίσκων πάντας συνέκρουε καὶ πρὸς αὑτοὺς ἐτάραττεν· εἶτ' ἐν οἷς ἡμάρτανον ἄλλοι καὶ κακῶς ἐφρόνουν, αὐτὸς παρεσκευάζετο καὶ κατὰ πάντων ἐφύετο. Ὡς δὲ ταλαιπωρούμενοι τῷ μήκει τοῦ πολέμου οἱ τότε μὲν βαρεῖς, νῦν δ' ἀτυχεῖς Θηβαῖοι φανεροὶ πᾶσιν ἦσαν ἀναγκασθησόμενοι καταφεύγειν ἐφ' ὑμᾶς, ὁ Φίλιππος, ἵνα μὴ τοῦτο γένοιτο μηδὲ συνέλθοιεν αἱ πόλεις, ὑμῖν μὲν εἰρήνην, ἐκείνοις δὲ βοήθειαν ἐπηγγείλατο. [20] Τί οὖν συνηγωνίσατ' αὐτῷ πρὸς τὸ λαβεῖν ὀλίγου δεῖν ὑμᾶς ἑκόντας ἐξαπατωμένους; ἡ τῶν ἄλλων Ἑλλήνων, εἴτε χρὴ κακίαν εἴτ' ἄγνοιαν εἴτε καὶ ἀμφότερα ταῦτ' εἰπεῖν, οἳ πόλεμον συνεχῆ καὶ μακρὸν πολεμούντων ὑμῶν, καὶ τοῦτον ὑπὲρ τῶν πᾶσι συμφερόντων, ὡς ἔργῳ φανερὸν γέγονεν, οὔτε χρήμασιν οὔτε σώμασιν οὔτ' ἄλλῳ οὐδενὶ τῶν ἁπάντων συνελάμβανον ὑμῖν· οἷς καὶ δικαίως καὶ προσηκόντως ὀργιζόμενοι ἑτοίμως ὑπηκούσατε τῷ Φιλίππῳ. Ἡ μὲν

NC. 3. καὶ τοῖς ἄλλοις F et vulg. — ἅπασιν Ἕλλησιν S², L et A. — 5-6. συνέκρουεν S. — 6. ἄλλοι S¹ et L. οἱ ἄλλοι vulg. — 10. ὁ, avant Φίλιππος, est omis par S¹ seul. — 11. γένηται S¹, à ce qu'il paraît, et A. — 13. ὀλίγου δεῖν ἑκόντας ὑμᾶς A. — 16. τῶν πᾶσι S et L¹. τῶν κοινῇ πᾶσι vulg. — 18. ἁπάντων S et L seuls. πάντων vulg.

les Arcadiens réunis en confédération, les Argiens, anciens rivaux de Sparte.

1-4. Οἱ πρότερον δι' ἐκείνων ἄρχοντες, les oligarques soutenus par Sparte dans les villes du Péloponnèse. — Ἄκριτος.... ταραχή. Xénophon, à la fin de ses *Helléniques*, peint l'état de la Grèce après la bataille de Mantinée presque dans les mêmes termes : Ἀκρισία δὲ καὶ ταραχὴ ἔτι πλείων μετὰ τὴν μάχην ἐγένετο ἢ πρόσθεν ἐν τῇ Ἑλλάδι.

6-7. Ἐν οἷς ἡμάρτανον ἄλλοι équivaut à ἐν ταῖς ἄλλων ἁμαρτίαις, grâce aux fautes commises par d'autres. Cf. § 18 : Οἷς γὰρ ηὐτυχήκεσαν ; *Ambass.*, § 238, avec la note, et *passim*.

8-9. Ταλαιπωρούμενοι.... Θηβαῖοι. Les faits sont rapportés dans le discours de l'*Ambassade*, §§ 111 et 148.

16-19. Ὑπὲρ τῶν.... γέγονεν. L'événement prouva que les Athéniens soutenaient la guerre contre Philippe dans l'intérêt de tous. Cela est parfaitement vrai, pourvu qu'on ne donne pas (avec Spengel, p. 12) au mots ὑπὲρ τῶν πᾶσι συμφερόντων le sens de : « en vue de l'intérêt de tous ». — Οὔτε.... συνελάμβανον ὑμῖν. Les ambassades qu'Athènes députa alors dans toutes les parties de la Grèce, afin de former une ligue contre Philippe, n'eurent pas d'effet. — Ὑπηκούσατε τῷ Φιλίππῳ. Si Philippe avait fait connaître qu'il était disposé à conclure la paix, c'était par des tiers et sans aucune démarche officielle. Voy. la *Notice* sur le discours de l'*Ambassade*.

232 οὖν τότε συγχωρηθεῖσ' εἰρήνη διὰ ταῦτ', οὐ δι' ἐμέ, ὡς οὗτος διέβαλλεν, ἐπράχθη· τὰ δὲ τούτων ἀδικήματα καὶ δωροδοκήματ' ἐν αὐτῇ τῶν νυνὶ παρόντων πραγμάτων, ἄν τις ἐξετάζῃ δικαίως, αἴτι' εὑρήσει. [21] Καὶ ταυτὶ πάνθ' ὑπὲρ τῆς ἀληθείας ἀκριβολογοῦμαι καὶ διεξέρχομαι. Εἰ γὰρ εἶναί τι δοκοίη τὰ μάλιστ' ἐν τούτοις ἀδίκημα, οὐδέν ἐστι δήπου πρὸς ἐμέ, ἀλλ' ὁ μὲν πρῶτος εἰπὼν καὶ μνησθεὶς ὑπὲρ τῆς εἰρήνης Ἀριστόδημος ἦν ὁ ὑποκριτής, ὁ δ' ἐκδεξάμενος καὶ γράψας καὶ ἑαυτὸν μετὰ τούτου μισθώσας ἐπὶ ταῦτα Φιλοκράτης ὁ Ἁγνούσιος, ὁ σός, Αἰσχίνη, κοινωνός, οὐχ ὁ ἐμός, οὐδ' ἂν σὺ διαρραγῇς ψευδόμενος, οἱ δὲ συνειπόντες, ὅτου δήποθ' ἕνεκα (ἐῶ γὰρ τοῦτό γ' ἐν τῷ παρόντι), Εὔβουλος καὶ Κηφισοφῶν· ἐγὼ δ' οὐδὲν οὐδαμοῦ. [22] Ἀλλ' ὅμως, τούτων τοιούτων ὄντων καὶ ἐπ' αὐτῆς τῆς ἀληθείας οὕτω δεικνυμένων, εἰς τοῦθ' ἧκεν ἀναιδείας ὥστ' ἐτόλμα λέγειν ὡς ἄρ' ἐγώ, πρὸς τῷ τῆς εἰρήνης αἴτιος γεγενῆσθαι, καὶ κεκωλυκὼς εἴην τὴν πόλιν μετὰ κοινοῦ συνεδρίου

NC. 3. τἀπ' αὐτῇ Usener. — 5-6. Cobet supprime καὶ διεξέρχομαι. — τινα.... ἀδικήματα vulg. — 10. οὐχ ὁ ἐμὸς S et L seuls. οὐχ ἐμὸς vulg. — 12. Κηφισοφῶν. Peut-être : Κτησιφῶν. [Droysen.] — 14-15. Variante : ὥστε τολμᾷ. — 16. ἔτι καὶ L² et vulg.

1. Συγχωρηθεῖσ(α) εἰρήνη. C'est parler en orateur. Si Philippe désirait la paix, Athènes en avait le plus grand besoin.

3. Ἐν αὐτῇ, « dans la conclusion de la paix » équivaut à ἐν τῷ τὴν εἰρήνην ποιήσασθαι : *Cherson.*, § 63.

4. Ὑπὲρ τῆς ἀληθείας, pour établir la vérité, et non pour le besoin de ma défense.

6. Ἐν τούτοις : dans l'empressement (déclaré légitime au paragraphe 20) que l'on mit à répondre aux ouvertures de Philippe.

7-9. Ἀριστόδημος. Cf. *Amb.*, § 12, 18, 97, 315. — Φιλοκράτης. Voy. la *Notice* sur le discours de l'*Ambassade*.

12. Κηφισοφῶν. Cf. § 75. *Amb.*, § 293. Probablement Céphisophon de Péanie, mentionné par Eschine, *Amb.*, § 73. Cependant il faut peut-être rétablir ici le nom de Ctésiphon, personnage qui joua un rôle considérable dans ces négociations. *Cf. NC.* — Ἐγὼ δ' οὐδὲν οὐδαμοῦ. Quoi qu'il en dise, Démosthène seconda alors, et avec raison, les efforts des partisans de la paix ; c'est même à cause de cela qu'il fut nommé de toutes les ambassades : voyez la *Notice* citée. Si Eschine calomnie Démosthène en faisant de lui le complice de Philocrate, Démosthène aussi altère la vérité, afin de simplifier sa défense.

16-1. Μετὰ κοινοῦ συνεδρίου τῶν Ἑλλήνων. Eschine prétend (*Ctésiphon*, §§ 58 et 64, comme *Ambass.*, § 58 sqq.) qu'en hâtant la délibération sur le traité de paix, Démosthène empêcha la conclusion d'une paix générale : invitées par des ambassades, dont on aurait dû attendre le retour, les autres villes grecques n'auraient pas manqué d'envoyer des députés à Athènes, et Philippe se fût trouvé en face, non de l'assemblée populaire d'Athènes, mais d'un congrès (συνεδριον) hellénique. Ce sont la des imaginations d'Eschine : dans l'état de division où se trouvait alors la Grèce, on eût attendu longtemps la réunion d'un pareil congrès. Les arguments dont se sert Démosthène pour réfuter son adversaire

τῶν Ἑλλήνων ταύτην ποιήσασθαι. Εἶτ' ὦ — τί ἂν εἰπών σέ τις ὀρθῶς προσείποι; ἔστιν ὅπου σὺ παρὼν τηλικαύτην πρᾶξιν καὶ συμμαχίαν, ἡλίκην νυνὶ διεξῄεις, ὁρῶν ἀφαιρούμενόν με τῆς πόλεως ἠγανάκτησας, ἢ παρελθὼν ταῦθ' ἃ νῦν κατηγόρεις ἐδίδαξας καὶ διεξῆλθες; [23] Καὶ μὴν εἰ τὸ κωλῦσαι τὴν τῶν Ἑλλήνων κοινωνίαν ἐπεπράχειν ἐγὼ Φιλίππῳ, σοὶ τὸ μὴ σιγῆσαι λοιπὸν ἦν, ἀλλὰ βοᾶν καὶ διαμαρτύρεσθαι καὶ δηλοῦν τουτοισί. Οὐ τοίνυν ἐποίησας οὐδαμοῦ τοῦτο, οὐδ' ἤκουσέ σου ταύτην τὴν φωνὴν οὐδείς. Οὔτε γὰρ ἦν πρεσβεία πρός οὐδένας 233 τότ' ἀπεσταλμένη τῶν Ἑλλήνων, ἀλλὰ πάλαι πάντες ἦσαν ἐξεληλεγμένοι, οὔθ' οὗτος ὑγιὲς περὶ τούτων εἴρηκεν οὐδέν. [24] Χωρὶς δὲ τούτων καὶ διαβάλλει τὴν πόλιν τὰ μέγιστ' ἐν οἷς ψεύδεται· εἰ γὰρ ὑμεῖς ἅμα τοὺς μὲν Ἕλληνας εἰς πόλεμον παρεκαλεῖτε, αὐτοὶ δὲ πρὸς Φίλιππον περὶ εἰρήνης πρέσβεις ἐπέμπετε, Εὐρυβάτου πρᾶγμα, οὐ πόλεως ἔργον οὐδὲ χρηστῶν ἀνθρώπων διεπράττεσθε. Ἀλλ' οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν. Τί γὰρ καὶ βουλόμενοι μετεπέμπεσθ' ἂν αὐτοὺς ἐν τούτῳ τῷ καιρῷ; ἐπὶ τὴν εἰρήνην; ἀλλ' ὑπῆρχεν ἅπασιν. Ἀλλ' ἐπὶ τὸν

NC. 1. ταύτην S et L seuls. αὐτὴν vulg. — 3. νυνὶ διεξῄεις S et texte de L. νῦν ἐτραγῴδεις (cf. § 13) καὶ διεξῄεις vulg. — 4. κατηγόρεις G. H. Schæfer. κατηγορεῖς mss. — 5. καὶ. Variante : ἢ. Dobree retranchait καὶ διεξῆλθες. — εἴ τω S[1]. — 9. εἰκότως. οὔτε γὰρ A. Cf. § 46 *NC*. — 9-10. οὐδέν' (var. οὐδένας) ἀπεσταλμένη τοτε. En adoptant, avec Dindorf, le pluriel, je transpose les mots. — 13. Ἕλληνας S et A. ἄλλους Ἕλληνας L et vulg. — 14. περὶ τῆς εἰρήνης S seul.

sont spécieux et habiles : il sait intéresser l'amour-propre athénien à sa défense personnelle. Mais, il faut le dire, son raisonnement n'est pas concluant et ne peut guère se concilier avec une assertion qu'il émet lui-même dans le procès de l'Ambassade. Cf. *Amb.*, § 16.

1-2. Ὦ — τί ἂν εἰπών.... προσείποι; On rapproche de cette aposiopèse Aristophane, *Nuées*, 1378 : Ὦ — τί σ' εἴπω; Cf. aussi Eschyle, *Agam.*, 1232 : Τί νιν καλοῦσα δυσφιλὲς δάκος τύχοιμ' ἄν; — Πρᾶξιν, « entreprise, négociation, » est le mot général, restreint et déterminé par συμμαχίαν. Dobree rapproche § 101 : Τίς δὲ συμμαχία; τίς πρᾶξις; Là l'orateur va du particulier au général.

10-11. Ἦσαν ἐξεληλεγμένοι, leurs intentions étaient manifestes, leur indifférence mise au jour.

12-13. Ἐν οἷς ψεύδεται, par ses mensonges. Voy. la note sur ἐν οἷς ἡμάρτανον, § 19.

15. Εὐρυβάτου. Type du traître et du fourbe. Cf. Eschine, § 137. Harpocration : Ἔφορος ἐν τῇ η' Εὐρύβατόν φησιν ἄνδρα Ἐφέσιον λαβόντα χρήματα παρὰ Κροίσου ὥστε στρατιὰν συναγαγεῖν εἰς τὸν πόλεμον τὸν εἰς τοὺς Πέρσας, εἶτα προδότην γενόμενον ἐγχειρίσαι τὰ δοθέντα χρήματα τῷ Κύρῳ, καὶ ἐντεῦθεν τοὺς πονηροὺς Εὐρυβάτους καλεῖσθαι. D'après d'autres, c'était un voleur extrêmement adroit. Suidas cite le verbe εὐρυβατεύεσθαι.

πόλεμον; ἀλλ' αὐτοὶ περὶ εἰρήνης ἐβουλεύεσθε. Οὐκοῦν οὔτε τῆς ἐξ ἀρχῆς εἰρήνης ἡγεμὼν οὐδ' αἴτιος ὢν ἐγὼ φαίνομαι, οὔτε τῶν ἄλλων ὧν κατεψεύσατό μου οὐδὲν ἀληθὲς ὂν δείκνυται.

[25] Ἐπειδὴ τοίνυν ἐποιήσατο τὴν εἰρήνην ἡ πόλις, ἐνταῦθα πάλιν σκέψασθε τί ἡμῶν ἑκάτερος προείλετο πράττειν· καὶ γὰρ ἐκ τούτων εἴσεσθε τίς ἦν ὁ Φιλίππῳ πάντα συναγωνιζόμενος, καὶ τίς ὁ πράττων ὑπὲρ ὑμῶν καὶ τὸ τῇ πόλει συμφέρον ζητῶν. Ἐγὼ μὲν τοίνυν ἔγραψα βουλεύων ἀποπλεῖν τὴν ταχίστην τοὺς πρέσβεις ἐπὶ τοὺς τόπους ἐν οἷς ἂν ὄντα Φίλιππον πυνθάνωνται, καὶ τοὺς ὅρκους ἀπολαμβάνειν· οὗτοι δὲ οὐδὲ γράψαντος ἐμοῦ ταῦτα ποιεῖν ἠθέλησαν. [26] Τί δὲ τοῦτ' ἐδύνατ', ὦ ἄνδρες Ἀθηναῖοι; ἐγὼ διδάξω. Φιλίππῳ μὲν ἦν συμφέρον ὡς πλεῖστον τὸν μεταξὺ χρόνον γενέσθαι τῶν ὅρκων, ὑμῖν δ' ὡς 234 ἐλάχιστον. Διὰ τί; ὅτι ὑμεῖς μὲν οὐχ ἀφ' ἧς ὠμόσαθ' ἡμέρας μόνον, ἀλλ' ἀφ' ἧς ἠλπίσατε τὴν εἰρήνην ἔσεσθαι, πάσας ἐξελύσατε τὰς παρασκευὰς τὰς τοῦ πολέμου, ὁ δὲ τοῦτ' ἐκ παντὸς τοῦ χρόνου μάλιστ' ἐπραγματεύετο, νομίζων, ὅπερ ἦν ἀληθές, ὅσα τῆς πόλεως προλάβοι πρὸ τοῦ τοὺς ὅρκους ἀποδοῦναι, πάντα ταῦτα βεβαίως ἕξειν· οὐδένα γὰρ τὴν εἰρήνην λύσειν τούτων ἕνεκα. [27] Ἃ 'γὼ προορώμενος, ἄνδρες Ἀθη-

NC. 3. τῶν ἄλλων οὐδὲν avant Reiske. — 5. σκέψασθαι S. — 6. Pour πάντα, le texte de S et L[1] portent τε τὴν εἰρήνην, leçon qu'on pourrait ramener, en insérant trois lettres à : τὰ <περ>ὶ τὴν εἰρήνην. — 8. πλεῖν (cf. § 27) Cobet. — 9. ἐπὶ τοὺς τόπους est, dans S, ajouté en marge par une main ancienne. — 10-11. ου γράψαντος S[1]. — Pour ταῦτα ποιεῖν, Usener (*Rhein. Mus.*, XXV, p. 601) propose ταῦτ', ἀπαίρειν : conjecture spécieuse, mais contraire aux faits et au paragraphe 30. — 14-15. μόνον ἡμέρας vulg. — 16. ἐξελύσασθε B. — ὁ δὲ τουτον S[1]. — 20. ὦ ἄνδρες vulg.

1-2. Τῆς ἐξ ἀρχῆς εἰρήνης. La paix telle qu'elle était primitivement, l'état de choses établi par le traité, est opposé à ce que la paix devint en réalité par suite des lenteurs de la deuxième ambassade et des faux rapports d'Eschine.

4. Ἐπειδὴ τοίνυν.... Sur ces faits, voy. *Ambass.*, § 150 sqq.

8. Βουλεύων. Démosthène était alors membre du sénat annuel des Cinq-Cents.

11-13. Τί.... ἐδύνατο, quelle en était la portée. Cf. *Chers.*, § 57, et *passim*. — Τὸν μεταξὺ.... τῶν ὅρκων, le temps intermédiaire, le temps qui s'écoulerait jusqu'à la prestation du serment par Philippe. L'explication « intermédiaire entre les serments des deux parties » n'est pas autorisée par ce qui précède. Avec μεταξύ, le *terminus a quo* est souvent sous-entendu. Cf. *Ambass.*, § 164 : Ὡς πλεῖστον τὸν μεταξὺ χρόνον διατριφθῆναι τοῦ τοὺς ὅρκους ἀπολαβεῖν.

16-17. Τοῦτ(ο), c'est-à-dire τὸ ὑμᾶς ἐκλῦσαι τὰς τοῦ πολέμου παρασκευάς. — Ἐκ παντὸς τοῦ χρόνου, tout le temps depuis les premières ouvertures pacifiques.

ναῖοι, καὶ λογιζόμενος τὸ ψήφισμα τοῦτο γράφω, πλεῖν ἐπὶ τοὺς τόπους ἐν οἷς ἂν ᾖ Φίλιππος, καὶ τοὺς ὅρκους τὴν ταχίστην ἀπολαμβάνειν, ἵν' ἐχόντων τῶν Θρᾳκῶν, τῶν ὑμετέρων συμμάχων, ταῦτα τὰ χωρί' ἃ νῦν οὗτος διέσυρε, τὸ Σέρριον καὶ τὸ Μυρτηνὸν καὶ τὴν Ἐργίσκην, οὕτω γίγνοινθ' οἱ ὅρκοι, καὶ μὴ προλαβὼν ἐκεῖνος τοὺς ἐπικαίρους τῶν τόπων κύριος τῆς Θρᾴκης κατασταίη, μηδὲ πολλῶν μὲν χρημάτων, πολλῶν δὲ στρατιωτῶν εὐπορήσας ἐκ τούτων ῥᾳδίως τοῖς λοιποῖς ἐπιχειροίη πράγμασιν. [28] Εἶτα τοῦτο μὲν οὐχὶ λέγει τὸ ψήφισμα, οὐδ' ἀναγιγνώσκει· εἰ δὲ βουλεύων ἐγὼ προσάγειν τοὺς πρέσβεις ᾤμην δεῖν, τοῦτό μου διαβάλλει. Ἀλλὰ τί ἐχρῆν με ποιεῖν; μὴ προσάγειν γράψαι τοὺς ἐπὶ τοῦτ' ἥκοντας, ἵν' ὑμῖν διαλεχθῶσιν; ἢ θέαν μὴ κατανεῖμαι τὸν ἀρχιτέκτον' αὐτοῖς κελεῦσαι; Ἀλλ' ἐν τοῖν δυοῖν ὀβολοῖν ἐθεώρουν ἂν εἰ μὴ τοῦτ' ἐγράφη. Τὰ μικρα [συμφέροντα τῆς πόλεως] ἔδει με φυλάττειν,

NC. 1-3. πλεῖν.... ἀπολαμβάνειν. Dobree croyait ces mots interpolés. La répétition abrégée des termes du décret n'a rien de choquant. — 4. ταῦτα τὰ χωρία S et L seuls. τὰ χωρία ταῦτα vulg. — 5. Μυρτηνόν. Variantes : Μύρτιον, Μύρτανον (Harpocration), Μυρτόνιον (Photios). — γιγνοιθ S[1]. — 15. μικρὰ vulg. σμικρὰ, ajouté par une main ancienne, S, ainsi que L[1]. Dindorf écrit ἢ τὰ μικρὰ. Usener, *l. c.*, propose τὰ μὲν κέρματα τῆς πόλεως. A. Schæfer, *Philologus*, XXXI, p. 184, voudrait supprimer les mots συμφέροντα τῆς πόλεως : il a raison. Cf. p. 469, 4 *NC*.

4. Τὰ χωρί(α). Voy. la *Notice* sur le discours de l'*Ambassade*. — Οὗτος διέσυρε. Eschine, § 82 : Οὗτός ἐστιν ὁ πρῶτος ἐξευρὼν Σέρριον τεῖχος καὶ Δορίσκον καὶ Ἐργίσκην καὶ Μυρτίσκην (noms plaisamment défigurés) καὶ Γάνος καὶ Γανίδα, χωρία ὧν οὐδὲ τὰ ὀνόματα ᾔδειμεν.

9-1. Εἶτα τοῦτο.... οὐ δήπου. Cette allusion à une méchanceté d'Eschine se retranche si facilement qu'on peut la croire ajoutée après coup, à l'audience même, ainsi que quelques lignes du paragraphe 27. Si cela est vrai, le reste du morceau était donc préparé d'avance.

10-11. Προσάγειν, introduire les envoyés de Philippe dans l'assemblée du peuple. La résolution prise à cette fin par le sénat fut naturellement rédigée par Démosthène, en sa double qualité de sénateur et d'ambassadeur. — Τοῦτό μου διαβάλλει. Le génitif désigne, en quelque sorte, la provenance. On dirait de même : τοῦτό μου θαυμάζει.

13-14. Θέαν.... κελεῦσαι. Un ordre du sénat, provoqué par Démosthène, invitait le fermier du théâtre à donner aux ambassadeurs macédoniens une place d'honneur, προεδρίαν. Cela était d'usage. Eschine, § 76, s'en moque agréablement : Τότε μόνον καὶ πρῶτον πρέσβεις εἰς προεδρίαν ἐκάλεσε καὶ προσκεφάλαια ἔθηκε καὶ φοινικίδας περιεπέτασε, καὶ ἅμα τῇ ἡμέρᾳ ἡγεῖτο τοῖς πρέσβεσιν εἰς τὸ θέατρον, ὥστε καὶ συρίττεσθαι διὰ τὴν ἀσχημοσύνην καὶ κολακείαν. — Ἐν τοῖν δυοῖν ὀβολοῖν, dans la partie non privilégiée du théâtre, pour laquelle on payait deux oboles d'entrée. C'est ainsi qu'on appelait αἱ χύτραι, τὰ μύρα l'endroit du marché où se vendaient les pots, les parfumeries, etc. Cf. Pollux, IX, 47; X, 19. [Reiske, et Boeckh, *Staatshaushaltung*, I, 308.]

15. Τὰ μικρὰ : c'est-à-dire la petite indemnité à payer à l'ἀρχιτέκτων. Quand même τὸ συμφέρον, pris substantivement, pourrait être accompagné d'un adjectif,

τὰ δ' ὅλα, ὥσπερ οὗτοι, πεπραχέναι; οὐ δήπου. Λέγε τοίνυν μοι τὸ ψήφισμα τουτὶ λαβὼν, ὃ σαφῶς οὗτος εἰδὼς παρέβη. Λέγε.

235 ## ΨΗΦΙΣΜΑ.

[29] « Ἐπὶ ἄρχοντος Μνησιφίλου, ἑκατομβαιῶνος ἕνῃ καὶ νέᾳ, φυλῆς πρυτανευούσης Πανδιονίδος, Δημοσθένης Δημοσθένους Παιανιεὺς εἶπεν, ἐπειδὴ Φίλιππος ἀποστείλας πρέσβεις περὶ τῆς εἰρήνης ὁμολογουμένας πεποίηται συνθήκας, δεδόχθαι τῇ βουλῇ καὶ τῷ δήμῳ τῷ Ἀθηναίων, ὅπως ἂν ἡ εἰρήνη ἐπιτελεσθῇ ἡ ἐπιχειροτονηθεῖσα ἐν τῇ πρώτῃ ἐκκλησίᾳ, πρέσβεις ἑλέσθαι ἐκ πάντων Ἀθηναίων ἤδη πέντε, τοὺς δὲ χειροτονηθέντας ἀποδημεῖν μηδεμίαν ὑπερβολὴν ποιουμένους, ὅπου ἂν ὄντα πυνθάνωνται τὸν Φίλιππον, καὶ τοὺς ὅρκους λαβεῖν τε παρ' αὐτοῦ καὶ δοῦναι τὴν ταχίστην ἐπὶ ταῖς ὡμολογημέναις συνθήκαις αὐτῷ πρὸς τὸν Ἀθηναίων δῆμον, συμπεριλαμβάνοντας καὶ τοὺς ἑκατέρων συμμάχους. Πρέσβεις ᾑρέθησαν Εὔβουλος Ἀναφλύστιος, Αἰσχίνης Κοθωκίδης, Κηφισοφῶν Ῥαμνούσιος, Δημοκράτης Φλυεὺς, Κλέων Κοθωκίδης. »

NC. 1. πεπραχέναι Φιλίππῳ vulg. — 2. εἰδὼς est ajouté dans S, à la fin d'une ligne; λέγε y est omis. — 3. ψήφισμα δημοσθένους S et L seuls. — 7. εἰρήνης πρὸς Ἀθηναίους, avant Reiske. — 8. τῶν Ἀθηναίων vulg. — 11. ἀναβολὴν vulg. — 16. Αἰσχίνης manque dans S, L, F. — Κηφισοφῶν. Variante : Κτησιφῶν.

encore les mots συμφέροντα τῆς πόλεως surchargent-ils la phrase et affaiblissent l'antithèse.

3. ΨΗΦΙΣΜΑ. Outre l'archonte, qui est pseudonyme, ni le mois indiqué dans ce décret, ni le nombre des ambassadeurs, ni leurs noms, ni le texte du document, ne s'accordent avec les faits tels qu'ils résultent des discours sur l'*Ambassade* de Démosthène (§ 154) et d'Eschine (91 sq., et 97). Le présent décret n'est donc pas celui auquel se réfère Démosthène. Serait-ce, du moins, un décret authentique, relatif à une autre époque et inséré par erreur en cet endroit ? Les conjectures qu'on a faites à l'appui de cette manière de voir ne sont pas plausibles.

7. Ὁμολογουμένας.... συνθήκας. Ces mots désignent évidemment une simple convention, qui a besoin, pour entrer en vigueur, d'être ratifiée et jurée par les deux parties : aussi lit-on plus bas ὅρκους λαβεῖν τε.... καὶ δοῦναι. La paix de Philocrate avait, au contraire, été jurée par le peuple d'Athènes avant le départ de la deuxième ambassade.

9. Ἐν τῇ πρώτῃ ἐκκλησίᾳ : dans la première des quatre assemblées qui se tenaient régulièrement tous les mois à Athènes. [Dissen.]

10. Ἐκ πάντων Ἀθηναίων, dans tout le peuple, et non par tribu. Cf. *Timocrate*, § 23. [Dissen.] — Ἤδη, de suite.

17. Δημοκράτης Φλυεύς se retrouve dans un autre décret, § 187, Κλέων Κοθωκίδης, § 55.

[30] Ταῦτα γράψαντος ἐμοῦ τότε καὶ τὸ τῇ πόλει συμφέρον, οὐ τὸ Φιλίππῳ ζητοῦντος, βραχὺ φροντίσαντες οἱ χρηστοὶ πρέσβεις οὗτοι καθῆντ' ἐν Μακεδονίᾳ τρεῖς ὅλους μῆνας, ἕως ἦλθε Φίλιππος ἐκ Θρᾴκης πάντα τἀκεῖ καταστρεψάμενος, ἐξὸν ἡμερῶν δέκα, οὐρίας δὲ τριῶν ἢ τεττάρων, εἰς τὸν Ἑλλήσποντον ἀφῖχθαι καὶ τὰ χωρία σῶσαι, λαβόντας τοὺς ὅρκους πρὶν ἐκεῖνον ἐξελεῖν αὐτά· οὐ γὰρ ἂν ἥψατ' αὐτῶν παρόντων ἡμῶν, ἢ οὐκ ἂν ὡρκίζομεν αὐτόν, ὥστε τῆς εἰρήνης ἂν διημαρτήκει καὶ οὐκ ἂν ἀμφότερ' εἶχε, καὶ τὴν εἰρήνην καὶ τὰ 238
χωρία.

[31] Τὸ μὲν τοίνυν ἐν τῇ πρεσβείᾳ πρῶτον κλέμμα μὲν Φιλίππου, δωροδόκημα δὲ τῶν ἀδίκων τούτων ἀνθρώπων τοιοῦτον ἐγένετο· ὑπὲρ οὗ καὶ τότε καὶ νῦν καὶ ἀεὶ πολεμεῖν ὁμολογῶ καὶ διαφέρεσθαι τούτοις. Ἕτερον δ' εὐθὺς ἐφεξῆς ἔτι τούτου μεῖζον κακούργημα θεάσασθε. [32] Ἐπειδὴ γὰρ ὤμοσε τὴν εἰρήνην ὁ Φίλιππος προλαβὼν τὴν Θρᾴκην διὰ τούτους οὐχὶ πεισθέντας τῷ ἐμῷ ψηφίσματι, πάλιν ὠνεῖται παρ' αὐτῶν

KC. 2. Variantes : τῷ Φιλίππῳ et τοῦ Φιλίππου. — 4. τὰ ἐκεῖ omis dans S[1], placé après καταστρεψάμενος dans B. — 5. οὐρίας est notre correction. ὁμοίως S, L[1], A. μᾶλλον vulg. Cette dernière leçon n'est évidemment qu'une conjecture. Bekker et d'autres défendent en vain ὁμοίως δὲ (« et tout aussi bien ») : personne ne s'est jamais exprimé ainsi. Herwerden (*Mnemosyne*, *N. S.*, III, 2, p. 128) : πλοίοις. — 8. ὑμῶν S. — 12. ἀνθρώπων καὶ θεοῖς ἐχθρῶν F et vulg. — 12-13. ὁμολογῶ πολεμεῖν vulg. ὁμολογῶ καὶ πολεμεῖν S et L[1]. Si καὶ provient de κἀεὶ, cette leçon autorise notre transposition. — 15. ὤμοσε A et marge de L. ὡμολόγησε S, texte de L, vulg. L'erreur vient du paragraphe 29. — Φίλιππος ἕξειν vulg. — 16. τούτους τοὺς A.

3. Τρεῖς ὅλους μῆνας. Exagéré, même en l'appliquant à toute la durée de l'ambassade. Cf. *Ambass.*, § 57, avec la note, et § 155.

5. Οὐρίας, par un vent favorable. Voyez les locutions ἡμέρας, σκότους, βορέου (Thucydide, III, 23), αἰθρίας (Aristophane, *Nuées*, 371), χειμῶνος et εὐδίας (Théophraste, *De signis*, fr. 6, 4, 3). Quant au mot οὐρία, cf. Platon, *Protag.*, p. 338 A, et Pollux, *Onom.*, I, 107. Du reste, Démosthène n'a pas en vue un voyage de Pella sur les côtes de la Thrace; il reproche à l'ambassade de n'être pas allée directement d'Athènes vers les lieux où se trouvait Philippe. Cf. *Amb.*, § 150.

8. Οὐκ ἂν ὡρκίζομεν αὐτόν. L'idée de refuser le serment de Philippe ne pouvait venir à l'esprit des Athéniens. Démosthène parle comme si Athènes avait bien voulu accorder la paix au roi de Macédoine; dans le procès de l'*Ambassade* (§ 151 sq.), quand les événements étaient encore plus récents, il avait traité cette question avec plus de justesse.

13-14. Πολεμεῖν.... καὶ διαφέρεσθαι. Le mot propre après le trope. Cela se voit souvent dans Démosthène.

16-17. Προλαβὼν se rattache à ὤμοσε, et non (comme dit Vœmel) à ὠνεῖται. Philippe s'était emparé de la Thrace avant de jurer la paix.

ὅπως μὴ ἄπιμεν ἐκ Μακεδονίας, ἕως τὰ τῆς στρατείας τῆς ἐπὶ τοὺς Φωκέας εὐτρεπῆ ποιήσαιτο, ἵνα μή, δεῦρ' ἀπαγγειλάντων ἡμῶν ὅτι μέλλει καὶ παρασκευάζεται πορεύεσθαι, ἐξέλθοιθ' ὑμεῖς καὶ περιπλεύσαντες ταῖς τριήρεσιν εἰς Πύλας, ὥσπερ πρότερον, κλείσαιτε τὸν τόπον, ἀλλ' ἅμ' ἀκούοιτε ταῦτ' ἀπαγγελλόντων ἡμῶν κἀκεῖνος ἐντὸς εἴη Πυλῶν καὶ μηδὲν ἔχοιθ' ὑμεῖς ποιῆσαι. [33] Οὕτω δ' ἦν ὁ Φίλιππος ἐν φόβῳ καὶ πολλῇ ἀγωνίᾳ, μὴ καὶ ταῦτα προειληφότος αὐτοῦ, εἰ πρὸ τοῦ τοὺς Φωκέας ἀπολέσθαι ψηφίσαισθε βοηθεῖν, ἐκφύγοι τὰ πράγματ' αὐτόν, ὥστε μισθοῦται τὸν κατάπτυστον τουτονί, οὐκέτι κοινῇ μετὰ τῶν ἄλλων πρέσβεων, ἀλλ' ἰδίᾳ καθ' αὑτόν, τοιαῦτα πρὸς ὑμᾶς εἰπεῖν καὶ ἀπαγγεῖλαι δι' ὧν ἅπαντ' ἀπώλετο. [34] Ἀξιῶ δ' ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ δέομαι τοῦτο μεμνῆσθαι παρ' ὅλον τὸν ἀγῶνα, ὅτι μὴ κατηγορήσαντος Αἰσχίνου μηδὲν ἔξω
237 τῆς γραφῆς οὐδ' ἂν ἐγὼ λόγον οὐδέν' ἐποιούμην ἕτερον, πάσαις δ' αἰτίαις καὶ βλασφημίαις ἅμα τούτου κεχρημένου ἀνάγκη κἀμοὶ πρὸς ἕκαστα τῶν κατηγορημένων μίκρ' ἀποκρίνασθαι. [35] Τίνες οὖν ἦσαν οἱ παρὰ τούτου λόγοι τότε ῥηθέντες, καὶ δι' οὓς ἅπαντ' ἀπώλετο; ὡς οὐ δεῖ θορυβεῖσθαι τῷ παρεληλυθέναι Φίλιππον εἴσω Πυλῶν· ἔσται γὰρ ἅπανθ' ὅσα βούλεσθ' ὑμεῖς, ἂν ἔχηθ' ἡσυχίαν, καὶ ἀκούσεσθε δυοῖν ἢ τριῶν ἡμερῶν,

NC. 1. ἄπιμεν *Anecd.* Bekk., p. 129, et Cobet. ἀπίωμεν S, L, A, schol. ἀπίωσιν vulg. — ἕως ἂν vulg. — 2. ποιήσοιτο (?) S[1]. — 3. ἡμῶν. Vulg. : αὐτῶν. — 5. κλείσοιτε τὸν πορθμὸν vulg. — 6. ἡμῶν S, L, A. ὑμῖν τούτων vulg. Dobree voulait supprimer tous les pronoms. — 7. καὶ πολλῇ ἀγωνίᾳ. Ces mots, suspects à Benseler, manquent dans A et dans le texte de F. — 8-9. εἰ πρὸ τοῦ et ἐκφύγοι S. πρὸ τοῦ et καὶ ἐκφύγοι vulg. — ψηφίσησθε S. ἀκούσαντες ψηφίσαισθε vulg. — βοηθεῖν F. τοῖς Φωκεῦσιν βοηθεῖν S et L seuls. βοηθεῖν αὐτοῖς vulg. — 10. μισθοῦται S et L[1] seuls. πάλιν μισθοῦται vulg. Cf. p. 435, l. 17. — 12. ἀπώλετο. Usener, *l. c.*, p. 601, propose ἀπολεῖται. Cf. *Amb.*, § 43. — 12-13. ἀξιῶ δὲ ὑμᾶς A. ὑμᾶς, après μεμνῆσθαι vulg. S et L omettent ce pronom. Mais peut-on s'en passer sans craindre un faux sens? — 14. αιωνα (?) S[1]. — 15. ἁπάσαις vulg. — 16. τ' αυτου texte de S et de L. — 17. ἀποκρίνεσθαι vulg.

1. Ἄπιμεν : présent, ayant, comme d'habitude, le sens du futur.

4-5. Ὥσπερ πρότερον. En 352 : cf. *Phil.* I, § 17.

8. Καὶ ταῦτα προειληφότος αὐτοῦ même après l'occupation de ces lieux par Philippe.

12. Εἰπεῖν dépend de μισθοῦται.

14. Ἔξω τῆς γραφῆς. Cf. § 9, avec la note.

οἷς μὲν ἐχθρὸς ἥκει, φίλον αὐτὸν γεγενημένον, οἷς δὲ φίλος, τοὐναντίον ἐχθρόν. Οὐ γὰρ τὰ ῥήματα τὰς οἰκειότητας ἔφη βεβαιοῦν, μάλα σεμνῶς ὀνομάζων, ἀλλὰ τὸ ταὐτὰ συμφέρειν· συμφέρειν δὲ Φιλίππῳ καὶ Φωκεῦσι καὶ ὑμῖν ὁμοίως ἅπασι τῆς ἀναλγησίας καὶ τῆς βαρύτητος ἀπαλλαγῆναι τῆς τῶν Θηβαίων. [36] Ταῦτα δ' ἀσμένως τινὲς ἤκουον αὐτοῦ διὰ τὴν τόθ' ὑποῦσαν ἀπέχθειαν πρὸς τοὺς Θηβαίους. Τί οὖν συνέβη μετὰ ταῦτ' εὐθύς, οὐκ εἰς μακράν; τοὺς μὲν Φωκέας ἀπολέσθαι καὶ κατασκαφῆναι τὰς πόλεις αὐτῶν, ὑμᾶς δ' ἡσυχίαν ἀγαγόντας καὶ τούτῳ πεισθέντας μικρὸν ὕστερον σκευαγωγεῖν ἐκ τῶν ἀγρῶν, τοῦτον δὲ χρυσίον λαβεῖν, καὶ ἔτι πρὸς τούτοις τὴν μὲν ἀπέχθειαν τὴν πρὸς Θηβαίους καὶ Θετταλοὺς τῇ πόλει γενέσθαι, τὴν δὲ χάριν τὴν ὑπὲρ τῶν πεπραγμένων Φιλίππῳ. [37] Ὅτι δ' οὕτω ταῦτ' ἔχει, λέγε μοι τό τε τοῦ Καλλισθένους ψήφισμα καὶ τὴν ἐπιστολὴν τοῦ Φιλίππου, ἐξ ὧν ἀμφοτέρων ταῦθ' ἅπανθ' ὑμῖν ἔσται φανερά. Λέγε.

NC. 1. ἧκε Cobet, *Nov. Lectt.*, p. 533 sq. Mais Eschine dit : « Philippe est venu comme ennemi des Thébains, et il l'est (le paraît) encore aujourd'hui ; eh bien, vous apprendrez sous peu qu'il sera devenu leur ennemi ! » — 4. συμφέρειν δὲ S. συμφέρει δὲ L et vulg. — 7-8. Ancienne ponctuation, mal à propos reprise par Vœmel : μετὰ ταῦτα; εὐθὺς, οὐκ εἰς μακρὰν, τοὺς.... — Φωκέας S seul. ταλαιπώρους Φωκέας L et vulg. Cf. § 42. — 9. ἀγαγόντας S et L seuls. ἄγοντας vulg. — 11. χρυσίον. Usener (*l. c.*) veut qu'on écrive χωρίον, à cause d'*Amb.*, §§ 145 et 314. Mais cela ne serait pas trop clair ; et Démosthène n'y regarde pas de si près, quand il lance une accusation à la tête de son adversaire. Voy. aussi *Amb.*, § 167. — 15. τὴν τοῦ vulg. — 15-16. ταῦθ'.... ἔσται : mots diversement transposés dans les manuscrits.

2-3. Τὰ ῥήματα, les mots dont on se sert pour désigner les choses (ici, le titre d'ami et d'allié), l'étiquette du sac. — Μάλα σεμνῶς ὀνομάζων. Hermogène (t. III, p. 227 W.) dit que la σεμνότης tient à l'emploi de substantifs (abstraits) ou de mots pris substantivement (comme τὸ συμφέρειν). Du reste, on doit apparemment faire honneur à Démosthène de ce beau langage et de l'argument tout entier qu'il prête ici à Eschine. Il n'en dit rien dans son plaidoyer de l'*Ambassade*, où il rapporte le discours en question longuement et à plusieurs reprises : §§ 20-22, 74, 112. Voy. aussi *Paix*, § 9 sq.; *Phil.* II, § 30.

5. Ἀναλγησίας. Ce mot n'équivaut pas à ἀναισθησία (§ 43), mais à ὠμότης (*Lept.*, § 109). Cf. Sophocle, *Ajax*, 946 (où le scholiaste explique ἀναλγήτων par ἀσυμπαθῶν) et 1333.

6. Ὑποῦσαν. Scholiaste : Κεκρυμμένην, οὐ φανεράν.

8. Οὐκ εἰς μακράν. La préposition εἰς s'explique par l'idée sous-entendue de « ajourné ». Sans négation, il faudrait dire δι' ὀλίγου ou μετ' ὀλίγον.

10-13. Σκευαγωγεῖν ἐκ τῶν ἀγρῶν. Cf. *Ambass.*, §§ 86 et 125. — Τὴν μὲν ἀπέχθειαν.... Φιλίππῳ. Cf. *ib.*, § 85.

13-14. Ὅτι..., λέγε. Sans ellipse : Ἵνα τοίνυν εἰδῆθ' ὅτι.... § 118 ; *Lept.*, § 127.

238 ## ΨΗΦΙΣΜΑ.

« Ἐπὶ Μνησιφίλου ἄρχοντος, συγκλήτου ἐκκλησίας ὑπὸ στρατηγῶν καὶ πρυτάνεων [καὶ] βουλῆς γνώμῃ, μαιμακτηριῶνος δεκάτῃ ἀπιόντος, Καλλισθένης Ἐτεονίκου Φαληρεὺς εἶπε μηδένα Ἀθηναίων μηδεμιᾷ παρευρέσει ἐν τῇ χώρᾳ κοιταῖον γίγνεσθαι, ἀλλ' ἐν ἄστει καὶ Πειραιεῖ, ὅσοι μὴ ἐν τοῖς φρουρίοις εἰσὶν ἀποτεταγμένοι· τούτων δ' ἑκάστους ἣν παρέλαβον τάξιν διατηρεῖν μήτε ἀφημερεύοντας μήτε ἀποκοιτοῦντας. [38] Ὃς ἂν δ' ἀπειθήσῃ τῷδε τῷ ψηφίσματι, ἔνοχος ἔστω τοῖς τῆς προδοσίας ἐπιτιμίοις, ἐὰν μή τι ἀδύνατον ἐπιδεικνύῃ περὶ ἑαυτόν· περὶ δὲ τοῦ ἀδυνάτου ἐπικρινέτω ὁ ἐπὶ τῶν ὅπλων στρατηγὸς καὶ ὁ ἐπὶ τῆς διοικήσεως καὶ ὁ γραμματεὺς τῆς βουλῆς. Κατακομίζειν δὲ καὶ τὰ ἐκ τῶν ἀγρῶν πάντα τὴν ταχίστην, τὰ μὲν ἐντὸς σταδίων ἑκατὸν εἴκοσι εἰς ἄστυ καὶ Πειραιᾶ, τὰ δὲ ἐκτὸς σταδίων ἑκατὸν εἴκοσι Ἐλευσῖνα καὶ Φυλὴν καὶ Ἄφιδναν καὶ Ῥαμνοῦντα καὶ Σούνιον. »

Ἆρ' ἐπὶ ταύταις ταῖς ἐλπίσι τὴν εἰρήνην ἐποιεῖσθε, ἢ ταῦτ' ἐπηγγέλλεθ' ὑμῖν οὗτος ὁ μισθωτός;

NC. 2-3. ὑπὸ στρατηγῶν γενομένης vulg. — καί, avant βουλῆς, a été écarté par Dissen. Schœmann voulait supprimer le premier καί. — 8-9. ὃς ἂν δὲ L et F. ὃς δὲ ἂν vulg. ὃς ἂν δε ἂν S seul. — 9. τῷ ψηφίσματι τούτῳ vulg. — 10. ἑαυτὸν ὄν vulg. — 15. εἴκοσιν εἰς Ἐλευσῖνα vulg. — Ἄφιδναν. Variantes : Ἄφιδνα, Ἄφνιδα (S). — 16. Après Σούνιον, A et la vulgate ajoutent : Εἶπε Καλλισθένης Φαληρεύς. — 17. ἐποιεῖσθε τὴν εἰρήνην vulg.

1. ΨΗΦΙΣΜΑ. Le décret cité par Démosthène avait été rendu sous l'archonte Thémistocle, au mois de Scirophorion, et contenait d'autres dispositions. Voy. *Amb.*, §§ 86, 125, 58-60. Cependant le document inséré ici renferme des détails qui ne sont pas imaginaires : l'interpolateur les a sans doute tirés d'un décret analogue, mais relatif à une autre époque. Il a eu soin de mettre en tête le même archonte pseudonyme qu'on a vu figurer dans le décret du paragraphe 29 : circonstance qui rend sa bonne foi très-suspecte. Il est vrai qu'on a essayé d'établir que les deux décrets pouvaient avoir été rendus en effet, à peu de mois d'intervalle, dans une autre année du règne de Philippe : mais les hypothèses qu'on a faites à ce sujet sont peu plausibles.

2. Συγκλήτου ἐκκλησίας, assemblée convoquée extraordinairement. Voy. la note sur *Amb.*, § 154.

5. Κοιταῖον γίγνεσθαι. Cette locution se trouve chez Polybe, V, xvii, 9. [Dissen.]

10-12. Τι ἀδύνατον. Cf. § 108. — Ὁ ἐπὶ τῶν ὅπλων στρατηγός. Dans un autre décret, § 116, ὁ ἐπὶ τῶν ὁπλιτῶν est opposé à ἐπὶ τῶν ἱππέων (στρατηγός). Cf. Schœmann, *Ant. jur. publ.*, p. 232. — Ὁ ἐπὶ τῆς διοικήσεως, le stratége chargé de l'administration militaire revient dans le décret du paragraphe 115.

[39] Λέγε δὴ τὴν ἐπιστολὴν ἣν ἔπεμψε Φίλιππος μετὰ ταῦτα.

ΕΠΙΣΤΟΛΗ.

« Βασιλεὺς Μακεδόνων Φίλιππος Ἀθηναίων τῇ βουλῇ καὶ
τῷ δήμῳ χαίρειν. Ἴστε ἡμᾶς παρεληλυθότας εἴσω Πυλῶν καὶ
τὰ κατὰ τὴν Φωκίδα ὑφ' ἑαυτοὺς πεποιημένους, καὶ ὅσα μὲν
ἑκουσίως προσετίθετο τῶν πολισμάτων, φρουρὰς εἰσαγηοχότας,
τὰ δὲ μὴ ὑπακούοντα κατὰ κράτος λαβόντες καὶ ἐξανδραποδι- 239
σάμενοι κατεσκάψαμεν. Ἀκούων δὲ καὶ ὑμᾶς παρασκευάζεσθαι
βοηθεῖν αὐτοῖς γέγραφα ὑμῖν, ἵνα μὴ πλεῖον ἐνοχλῆσθε περὶ
τούτων· τοῖς μὲν γὰρ ὅλοις οὐδὲ μέτριόν μοι δοκεῖτε ποιεῖν,
τὴν εἰρήνην συνθέμενοι καὶ ὁμοίως ἀντιπαρεξάγοντες, καὶ ταῦτα
οὐδὲ συμπεριειλημμένων τῶν Φωκέων ἐν ταῖς κοιναῖς ἡμῶν
συνθήκαις. Ὥστε ἐὰν μὴ ἐμμένητε τοῖς ὡμολογημένοις, οὐδὲν
προτερήσετε ἔξω τοῦ ἐφθακέναι ἀδικοῦντες. »

[40] Ἀκούεθ' ὡς σαφῶς δηλοῖ καὶ διορίζεται ἐν τῇ πρὸς ὑμᾶς ἐπιστολῇ πρὸς τοὺς ἑαυτοῦ συμμάχους, ὅτι « ἐγὼ ταῦτα « πεποίηκ' ἀκόντων Ἀθηναίων καὶ λυπουμένων, ὥστ' εἴπερ εὖ

NC. 1. δὴ τὴν. Vulg. : δ' αὖ τὴν. — ἣν S et L[1]. ἣν δεῦρ' vulg. — 3. Ἐπιστολὴ Φιλίππου vulg. — 7. Variante : εἰσαγηοχότας εἰς αὐτά. — 8. λαβόντας S. — 9. καὶ est omis dans A. — 10. ἐπὶ πλέον A. — 11. οὐδὲν A, vulg. Faut-il admettre une lacune ? On pourrait conjecturer τοῖς μὲν γὰρ ὅλοις οὐδὲν συμβαλλόμενοι (ou προὔργου ποιοῦντες) οὐδὲ μέτριον. — 12. εἰρήνην ἣν S et L. — 16-17. ἐν τῇ.... ἐπιστολῇ. Benseler, *De hiatu*, p. 94, suspecte ces mots. — 17-18. ἐγὼ πεποίηκα ταῦτα L et (avec des signes indiquant la transposition ἐγὼ ταῦτα πεποίηκα) S seuls. ταῦτ' ἐγὼ πεποίηκα vulg.

3. ΕΠΙΣΤΟΛΗ. On n'a rien allégué de bien positif contre l'authenticité de cette lettre. Cependant le voisinage des autres documents apocryphes la rend suspecte.

8. Κατὰ κράτος λαβόντες. Y eut-il en effet des villes prises de force ? Ce détail ne laisse pas d'être suspect. Démosthène assure (*Ambass.*, § 61) qu'aucune des villes de la Phocide n'opposa de résistance. Eschine (*Amb.*, § 130), ainsi que Diodore (XVI, 59) et Justin (VIII, 5), ne parle que de redditions volontaires. Cependant il a pu y avoir des velléités de résistance.

9. Καὶ ὑμᾶς, vous aussi (comme les villes phocidiennes qui n'avaient pas voulu se soumettre). La particule καί, mal expliquée par les éditeurs, ne se rapporte qu'à l'idée générale de résistance.

11-14. Τοῖς μὲν γὰρ ὅλοις.... Cf. *NC*. — Ὁμοίως « tout de même » équivaut ici à ὅμως « cependant ». Cf. § 110. — Οὐδὲ συμπεριειλημμένων.... συνθήκαις. Cf. *Amb.*, § 174.

17. Πρὸς τοὺς ἑαυτοῦ συμμάχους. Ces

« φρονεῖτ', ὦ Θηβαῖοι καὶ Θετταλοί, τούτους μὲν ἐχθροὺς ὑπο« λήψεσθε, ἐμοὶ δὲ πιστεύσετε », οὐ τούτοις τοῖς ῥήμασι γράψας, ταῦτα δὲ βουλόμενος δεικνύναι. Τοιγαροῦν ἐκ τούτων ᾤχετ' ἐκείνους λαβὼν εἰς τὸ μηδ' ὁτιοῦν προορᾶν τῶν μετὰ ταῦτα μηδ' αἰσθάνεσθαι, ἀλλ' ἐᾶσαι πάντα τὰ πράγματ' ἐκεῖνον ὑφ' ἑαυτῷ ποιήσασθαι· ἐξ ὧν ταῖς παρούσαις συμφοραῖς οἱ ταλαίπωροι κέχρηνται. [41] Ὁ δὲ ταύτης τῆς πίστεως αὐτῷ συνεργὸς καὶ συναγωνιστὴς καὶ ὁ δεῦρ' ἀπαγγείλας τὰ ψευδῆ καὶ φενακίσας ὑμᾶς οὗτός ἐστιν ὁ τὰ Θηβαίων ὀδυρόμενος νῦν πάθη καὶ διεξιὼν ὡς οἰκτρά, καὶ τούτων καὶ τῶν ἐν Φωκεῦσι κακῶν καὶ ὅσ' ἄλλα πεπόνθασιν οἱ Ἕλληνες ἁπάντων αὐτὸς ὢν αἴτιος. Δῆλον γὰρ ὅτι σὺ μὲν ἀλγεῖς ἐπὶ τοῖς συμβεβηκόσιν, Αἰσχίνη, καὶ τοὺς Θηβαίους ἐλεεῖς, κτήματ' ἔχων ἐν τῇ Βοιωτίᾳ καὶ γεωργῶν τὰ 'κείνων, ἐγὼ δὲ χαίρω, ὃς εὐθὺς ἐξῃτούμην ὑπὸ
240 τοῦ ταῦτα πράξαντος.

[42] Ἀλλὰ γὰρ ἐμπέπτωκ' εἰς λόγους, οὓς αὐτίκα μᾶλλον ἴσως ἁρμόσει λέγειν. Ἐπάνειμι δὴ πάλιν ἐπὶ τὰς ἀποδείξεις,

NC. 1-2. ὑπολήμψεσθε S. — 2-3. οὐ τούτοις.... δεικνύναι. Cobet, *De arte interpretandi*, p. 140, attribue ces mots à un interpolateur byzantin. Westermann les défend par *Mid.*, § 211. — 4. ὥστε μὴ Seager. — 7. Tous les mss., sauf S, insèrent la glose Θηβαῖοι soit après ταλαίπωροι, soit après κέχρηνται. — 9. ουτοσι S[1]. ὁυτεστι S[2]. ὁυτόσεστι S[3]. — 13. κτῆμ' S seul. — 16. αὐτίκα μάλα A. αὐτίκα μάλα ὕστερον Hermogène, t. III, p. 344. Rutilius Lupus (p. 13, 8 Halm) : « Sed nimirum inopinans « incidi in causam temporis hujus alienam, de qua posterius huic (?) dicendum. » Usener, *l. c.*, croit y voir un indice de αὖθις, leçon, suivant lui, altérée en αὐτίκα. — 17. ἁρμόσει λέγειν ἴσως vulg.

mots ne se réfèrent pas à πρὸς ὑμᾶς, mais doivent être rattachés à δηλοῖ καὶ διορίζεται. La suite fait voir qu'il faut entendre les Thébains et les Thessaliens.

3-4. Ὤιχετ' ἐκείνους λαβὼν εἰς τὸ.... προορᾶν, il leur en imposait et les entraînait (les faisait tomber) dans l'imprévoyance la plus absolue. Cf. *Ambass.*, § 19, avec la note.

9. Ὀδυρόμενος. Cf. Eschine, §§ 133 et 156-158. Démosthène ne pouvait prévoir que son adversaire déplorerait pathétiquement les malheurs de Thèbes. Or, comme ce paragraphe et le premier alinéa du suivant forment une sorte de parenthèse facile à enlever, c'est une nouvelle raison de croire que le reste du morceau avait été préparé d'avance. Cf. § 28, avec la note.

13. Κτήματ' ἔχων. Après la destruction de Thèbes, Alexandre distribua les terres des malheureux habitants à ses alliés (Arrien, *Anab.*, I, 9), et l'on pouvait sans doute en acheter à vil prix. Si Eschine avait tenu ces biens directement de la munificence du vainqueur, Démosthène n'eût pas manqué de le dire. Voyez, sur d'autres acquisitions odieuses d'Eschine, *Ambass.*, § 145, avec la note.

14. Ἐξῃτούμην. Sur cette demande d'extradition, voy. Arrien, *ib.*, 10; Plut., *Dém.* 23, etc.

16. Αὐτίκα. Cf. § 287.

ὡς τὰ τούτων ἀδικήματα τῶν νυνὶ παρόντων πραγμάτων γέγονεν αἴτια.

Ἐπειδὴ γὰρ ἐξηπάτησθε μὲν ὑμεῖς ὑπὸ τοῦ Φιλίππου διὰ τούτων τῶν ἐν ταῖς πρεσβείαις μισθωσάντων ἑαυτοὺς καὶ οὐδὲν ἀληθὲς ὑμῖν ἀπαγγειλάντων, ἐξηπάτηντο δ' οἱ ταλαίπωροι Φωκεῖς καὶ ἀνῄρηνθ' αἱ πόλεις αὐτῶν, τί ἐγένετο; [43] οἱ μὲν κατάπτυστοι Θετταλοὶ καὶ ἀναίσθητοι Θηβαῖοι φίλον, εὐεργέτην, σωτῆρα τὸν Φίλιππον ἡγοῦντο· πάντ' ἐκεῖνος ἦν αὐτοῖς· οὐδὲ φωνὴν ἤκουον, εἴ τις ἄλλο τι βούλοιτο λέγειν. Ὑμεῖς δ' ὑφορώμενοι τὰ πεπραγμένα καὶ δυσχεραίνοντες ἤγετε τὴν εἰρήνην ὅμως· οὐ γὰρ ἦν ὅ τι ἂν ἐποιεῖτε. Καὶ οἱ ἄλλοι δ' Ἕλληνες, ὁμοίως ὑμῖν πεφενακισμένοι καὶ διημαρτηκότες ὧν ἤλπισαν, ἦγον τὴν εἰρήνην ἄσμενοι, καὶ αὐτοὶ τρόπον τιν' ἐκ πολλοῦ πολεμούμενοι. [44] Ὅτε γὰρ περιιὼν Φίλιππος Ἰλλυριοὺς καὶ Τριβαλλούς, τινὰς δὲ καὶ τῶν Ἑλλήνων κατεστρέφετο, καὶ δυνάμεις πολλὰς καὶ μεγάλας ἐποιεῖθ' ὑφ' ἑαυτῷ, καί τινες τῶν ἐκ τῶν πόλεων ἐπὶ τῇ τῆς εἰρήνης ἐξουσίᾳ βαδίζοντες ἐκεῖσε διεφθείροντο, ὧν εἷς οὗτος ἦν, τότε πάντες ἐφ' οὓς ταῦτα παρεσκευάζετ' ἐκεῖνος ἐπολεμοῦντο. Εἰ δὲ μὴ ᾐσθάνοντο, ἕτερος λόγος οὗτος, οὐ πρὸς ἐμέ. [45] Ἐγὼ μὲν γὰρ προὔλεγον καὶ διεμαρτυρόμην καὶ παρ' ὑμῖν ἀεὶ καὶ ὅποι πεμφθείην·

NC. 1. ἀδικήματα S et L[1] seuls. Variantes : δωροδοκήματα καὶ ἀδικήματα, et ἀδ. καὶ δωρ. Usener regarde les mots ἐπὶ τάς.... αἰτία comme une glose, tirée du paragraphe 20, et il tire de la traduction de Rutilius « Quapropter ad illud, quod paullo « prius, agendum revertor » le texte ἐπάνειμι δὴ πάλιν ἐκεῖσε. — 4. τῶν, après τούτων, est écarté par Dobree. Cf. p. 435, l. 16. — ἑαυτοὺς A. ἑαυτοὺς τῷ Φιλίππῳ S, L, vulg. — 9. καὶ οὐδὲ vulg. — 11. ἐποιεῖτε S et A. ἐποιεῖτε μόνοι L et vulg. — 13. ἄσμενοι, καί. Ces mots manquent dans S seul, omission facile à expliquer. Καὶ est indispensable. — 14. ὁ Φίλιππος vulg. — 18. τότε δὴ τότε πάντες Hermogène, p. 160 et p. 164 : probablement d'après le paragraphe 47. [Dindorf.] — 20. ὁ λόγος S seul.

13-14. Ἄσμενοι est opposé à ὅμως. — Καὶ αὐτοί.... πολεμούμενοι, quoiqu'on leur fît en quelque sorte la guerre de loin à eux aussi. C'est là ce que Démosthène avait mis en lumière dans le discours de la *Chersonèse* et dans la *III*e *Philippique*.

14-15. Ἰλλυριοὺς καὶ Τριβαλλούς. Probablement en 345. Voy. A. Schæfer, II, p. 324 et 488. — Τινάς.... τῶν Ἑλλήνων. Cf. *Phil.* III, § 17 sq. et 27.

17. Τῶν ἐκ τῶν πόλεων, pour τῶν ἐν ταῖς πόλεσιν, sous l'influence du verbe ἐβαδίζοντο. Cf. *Olynth.* I, § 15, avec la note; *Phil.* III, §§ 15, 42 : Τὸν χρυσὸν τὸν ἐκ Μήδων εἰς Πελοπόννησον ἤγαγεν. — Ἐπὶ τῇ τῆς εἰρήνης ἐξουσίᾳ, grâce à la liberté d'aller et de venir que donnait la paix.

21. Παρ' ὑμῖν ἀεί. Voy. les harangues citées ci-dessous. — Ὅποι πεμφθείην. Deux ambassades dans le Péloponnèse sont men-

αἱ δὲ πόλεις ἐνόσουν τῶν μὲν ἐν τῷ πολιτεύεσθαι καὶ πράττειν 241 δωροδοκούντων καὶ διαφθειρομένων ἐπὶ χρήμασι, τῶν δ' ἰδιωτῶν καὶ πολλῶν τὰ μὲν οὐ προορωμένων, τὰ δὲ τῇ καθ' ἡμέραν ῥᾳστώνῃ καὶ σχολῇ δελεαζομένων, καὶ τοιουτονί τι πάθος πεπονθότων, ἁπανταχοῖ πλὴν οὐκ ἐφ' ἑαυτοὺς ἑκάστων οἰομένων τὸ δεινὸν ἥξειν καὶ διὰ τῶν ἑτέρων κινδύνων τὰ ἑαυτῶν ἀσφαλῶς σχήσειν οἷ' ἂν βούλωνται. [46] Εἶτ' οἶμαι συμβέβηκε τοῖς μὲν πλήθεσιν ἀντὶ τῆς πολλῆς καὶ ἀκαίρου ῥᾳθυμίας τὴν ἐλευθερίαν ἀπολωλεκέναι, τοῖς δὲ προεστηκόσι καὶ τἆλλα πλὴν ἑαυτοὺς οἰομένοις πωλεῖν πρώτους ἑαυτοὺς πεπρακόσιν αἰσθέσθαι· ἀντὶ γὰρ φίλων καὶ ξένων, ἃ τότ' ὠνομάζοντο, [ἡνίκ' ἐδωροδόκουν,] νῦν κόλακες καὶ θεοῖς ἐχθροὶ καὶ τἆλλ' ἃ προσήκει πάντ' ἀκούουσιν. [47] Οὐδεὶς γάρ, ἄνδρες Ἀθηναῖοι, τὸ τοῦ προδιδόντος συμφέρον ζητῶν χρήματ' ἀναλίσκει, οὐδ', ἐπειδὰν ὧν ἂν πρίηται κύριος γένηται, τῷ προδότῃ συμ-

NC. 2. καὶ.... χρήμασι (χρήμασιν S). Cobet, *Var. Lect.*, p. 347, condamne ces mots, en dépit de la symétrie. — 5. ἁπανταχοῖ est notre correction, pour ἁπάντων. — οἰομένων ἑκάστων vulg. — 6. ἀλλὰ διὰ F et vulg. — 7. σχήσειν S et L[1] seuls. σχήσειν ὑπολαμβανόντων vulg. — οἷ' ἂν βούλωνται est notre correction. La leçon ὅταν βούλωνται n'offre pas de sens satisfaisant. On n'a pas assez remarqué le *quære* de Dobree. — 11. αἰσθέσθαι S et L[1]. ᾐσθῆσθαι vulg. — 12. ἡνίκα εδωροδόκουν. Ces mots, qui manquent dans Hermogène, III, p. 165, sont interpolés. [Usener.] — 13. ἀκούουσιν. εἰκότως L[2], Λ, vulg. Cf. § 23 *NC*. — ὦ ἄνδρες vulg. — 15. τῷ προδότῃ. Mots suspects. [Dobree.]

tionnées, *Phil.* II, § 19 et *Phil.* III, § 72. Voy. aussi, *Cour.*, §§ 79 et 244.

1-2. Ἐνόσουν. Voy. les notes sur *Olynth.* II, § 21 et *Phil.* III, § 12. — Τῶν μὲν ἐν τῷ.... πράττειν. Cf. *Phil.* III, §§ 2 et 56 : Τῶν ἐπὶ τοῖς πράγμασι, et τῶν ἐν τοῖς πράγμασι. — Ἐπὶ χρήμασιν, pour de l'argent, en vue d'argent, « spe proposita largitionum et divitiarum adipiscendarum. » [Reiske.]

3-5. Τὰ μέν, *partim*. Τά n'est pas complément direct de προορωμένων. — Τοιουτονί indique ce qui suit. — Ἁπανταχοῖ πλὴν οὐκ ἐφ' ἑαυτούς. Cf. *Contre Dionysodore*, § 23 : Πλέουσα πανταχόσε πλὴν οὐκ εἰς Ἀθήνας. Quant à l'aveuglement des Grecs, cf. *Phil.* III, § 29.

6-7. Ἑτέρων, « d'autrui », est gouverné par κινδύνων. On rapproche *Aristocrate*, § 210 : Τῶν ἑτέρων ἀγαθῶν. — Οἷ' ἂν βούλωνται. Cf. § 239; *Ambass.*, § 324 : Πάνθ' ὅσ' ἂν βούλωνται; § 51 : Ἃ ἐβούλεσθε οἰόμενοι πράξειν αὐτόν.

10-11. Πεπρακόσιν αἰσθέσθαι, ils s'aperçoivent qu'ils se sont vendus. L'accord des temps n'est pas rompu. A l'infinitif parfait ἀπολωλεκέναι, dans le premier membre de phrase, répondrait ici πεπρακέναι, si l'orateur n'avait pas ajouté l'idée de « s'apercevoir ». Cf. *NC*. Quant à la pensée exprimée ici, voy. *Halon.*, § 17; *Contre la lettre de Philippe*, § 18.

11-13. Ἃ équivaut, si l'on veut, à ἃ ὀνόματα. Cf. Eschyle, *Agam.*, 160 : Ζεύς, ὅστις ποτ' ἐστίν, εἰ τόδ' αὐτῷ φίλον κεκλημένῳ, τοῦτό νιν προσεννέπω. — Κόλακες.... ἀκούουσιν. Comme on dit εὖ, κακῶς ἀκούειν. Cf. Horace, *Epist.*, I, VII, 37 : « Rexque, paterque audisti.... absens. »

δούλῳ περὶ τῶν λοιπῶν ἔτι χρῆται· οὐδὲν γὰρ ἂν ἦν εὐδαιμονέστερον προδότου. Ἀλλ' οὐκ ἔστι ταῦτα· πόθεν; πολλοῦ γε καὶ δεῖ. Ἀλλ' ἐπειδὰν τῶν πραγμάτων ἐγκρατὴς ὁ ζητῶν ἄρχειν καταστῇ, καὶ τῶν ταῦτ' ἀποδομένων δεσπότης ἐστί, τὴν δὲ πονηρίαν εἰδὼς τότε δή, τότε καὶ μισεῖ καὶ ἀπιστεῖ καὶ προπηλακίζει. [48] Σκοπεῖτε δέ· καὶ γὰρ εἰ παρελήλυθ' ὁ τῶν πραγμάτων καιρός, ὁ τοῦ γ' εἰδέναι τὰ τοιαῦτα καιρὸς ἀεὶ πάρεστι τοῖς εὖ φρονοῦσιν. Μέχρι τούτου Λασθένης φίλος ὠνομάζετο, ἕως προὔδωκεν Ὄλυνθον· μέχρι τούτου Τιμόλας, ἕως ἀπώλεσε Θήβας· μέχρι τούτου Εὔδικος καὶ Σῖμος ὁ Λαρισαῖος, ἕως Θετταλίαν ὑπὸ Φιλίππῳ ἐποίησαν. Εἶτ' ἐλαυνομένων καὶ ὑβριζομένων καὶ τί κακὸν οὐχὶ πασχόντων πᾶσ' ἡ 242
οἰκουμένη μεστὴ γέγονεν. Τί δ' Ἀρίστρατος ἐν Σικυῶνι, καὶ τί Περίλαος ἐν Μεγάροις; οὐκ ἀπερριμμένοι; [49] Ἐξ ὧν καὶ σαφέστατ' ἄν τις ἴδοι ὅτι ὁ μάλιστα φυλάττων τὴν ἑαυτοῦ πατρίδα καὶ πλεῖστ' ἀντιλέγων [τούτοις], οὗτος ὑμῖν, Αἰσχίνη, τοῖς προδιδοῦσι καὶ μισθαρνοῦσι τὸ ἔχειν ἐφ' ὅτῳ δωροδοκήσετε περιποιεῖ, καὶ διὰ τοὺς πολλοὺς τουτωνὶ καὶ τοὺς ἀνθισταμέ-

NC. 1. ἂν ἦν (ou ἦν ἂν) L et vulg. ἦν S. — 2. ταῦτα πόθεν; S et L[1]. La plupart des mss. répètent οὐκ ἔστιν après ταῦτα, quelques-uns en omettant πόθεν ; Cf. § 52.— 6. παρελήλυθεν mss. — 9. ὠνομάζετο S. ὠνομάζετο Φιλίππου (ou Φιλίππῳ) L. et vulg. Cf. p. 442, l. 11. — Τιμόλας. Cf. § 295, NC. Ici tous les manuscrits portent Τιμόλαος. — 10. μέχρι του S. μέχρι τοῦ; Markland et d'autres, ici et dans les deux membres de phrase précédents. — 10-11. ὁ λαρισαῖος S et (par σσ) L[1]. οἱ Λαρισσαῖοι vulg. — 13. γέγονεν texte de S seul. γέγονε προδοτῶν vulg. — 14. Περίλλος et Πέριλλος Harpocration, Suidas, Photius. — 15. ὁ était omis dans S[1]. — 16. τούτοις est écarté par Usener. — 18. τοὺς πολλούς. L'antithèse semble plutôt demander τοὺς φίλου; ou τοὺς προνοουμένους. — τουτωνὶ καὶ S et L. τούτων vulg. τούτους καὶ variante mal autorisée. — τοις ἀνθισταμένοις (après deux lettres grattées) S.

2. Πόθεν; Tournure familière. Cf. *Ambass.*, § 30, et *passim*.

8-11. Λασθένης. Cf. *ib.*, §§ 265 et 342. — Σῖμος. Il était, au rapport d'Harpocration, de la grande famille des Aleuades, adversaires de ces tyrans de Phères, dont Philippe renversa le pouvoir pour y substituer le sien. L'Aleuade Simos, dont parle Aristote (*Polit.*, VIII (V), 6), appartient, sans doute, à une autre époque. — Πᾶσ' ἡ οἰκουμένη μεστὴ γέγονεν. L'orateur dit que l'exil les a dispersés dans le monde entier. — Περίλαος. Cf. *Amb.*, § 295. — Ἀπερριμμένοι. Comme un instrument dont on n'a plus que faire.

17-18. Τὸ ἔχειν ἐφ' ὅτῳ.... περιποιεῖ, il vous procure d'avoir à propos de quoi..., il vous fournit l'occasion de vous laisser corrompre. — Διὰ τοὺς πολλοὺς τουτωνί, grâce à la majorité, la presque totalité, des citoyens réunis ici. Le peuple, à peu d'exceptions près, dévoué à la patrie, est rapproché des orateurs patriotes. Voy. cependant *NC*.

νους τοῖς ὑμετέροις βουλήμασιν ὑμεῖς ἐστὲ σῷοι καὶ ἔμμισθοι, ἐπεὶ διά γ' ὑμᾶς αὐτοὺς πάλαι ἂν ἀπωλώλειτε.

[50] Καὶ περὶ μὲν τῶν τότε πραχθέντων ἔχων ἔτι πολλὰ λέγειν, καὶ ταῦθ' ἡγοῦμαι πλείω τῶν ἱκανῶν εἰρῆσθαι. Αἴτιος δ' οὗτος, ὥσπερ ἑωλοκρασίαν τινά μου τῆς πονηρίας τῆς ἑαυτοῦ καὶ τῶν ἀδικημάτων κατασκεδάσας, ἣν ἀναγκαῖον ἦν πρὸς τοὺς νεωτέρους τῶν πεπραγμένων ἀπολύσασθαι· παρηνώχλησθε δ' ἴσως, οἳ καὶ πρὶν ἔμ' εἰπεῖν ὁτιοῦν εἰδότες τὴν τούτου τότε μισθαρνίαν. [51] Καίτοι φιλίαν γε καὶ ξενίαν αὐτὴν ὀνομάζει, καὶ νῦν εἶπέ που λέγων « ὁ τὴν Ἀλεξάνδρου ξενίαν ὀνειδίζων ἐμοί. » Ἐγώ σοι ξενίαν Ἀλεξάνδρου; πόθεν λαβόντι ἢ πῶς ἀξιωθέντι; οὔτε Φιλίππου ξένον οὔτ' Ἀλεξάνδρου [φίλον] εἴποιμ' ἂν ἐγώ σε, οὐχ οὕτω μαίνομαι, εἰ μὴ καὶ τοὺς θεριστὰς καὶ τοὺς ἄλλο τι μισθοῦ πράττοντας φίλους καὶ ξένους δεῖ καλεῖν τῶν μισθωσαμένων. [52] [Ἀλλ' οὐκ ἔστι ταῦτα· πόθεν; πολλοῦ γε καὶ δεῖ.] Ἀλλὰ μισθωτὸν ἐγώ σε Φιλίππου πρότερον καὶ νῦν Ἀλεξάνδρου καλῶ, καὶ οὗτοι πάντες. Εἰ δ' ἀπιστεῖς, ἐρώτησον αὐτούς, μᾶλλον δ' ἐγὼ τοῦθ' ὑπὲρ σοῦ ποιήσω. Πότερον ὑμῖν, ὦ ἄνδρες

NC. 6. καὶ τῶν ἀδικημάτων : mots omis dans Hermogène, III, p. 407, Harpocration et d'autres grammairiens. — 7. παρηνοχλῆσθαι S. — 8. δὲ ἴσως S et L[1]. δὲ ὑμεῖς ἴσως A. δὲ καὶ ὑμεῖς ἴσως vulg. — ὁτιοῦν εἰπεῖν vulg. — 9. φιλίαν τε vulg. — 12. φίλον glose reconnue par Dissen. — 15. Ἀλλ' οὐκ ἔστι.... δεῖ : mots tirés de p. 443, l. 2. [Schenkl, *Philol.*, XXVII, p. 285.] — 18. πρότεοον ὑμῖν S[1].

1-2. Ὑμεῖς ἐστὲ σῷοι.... ἂν ἀπωλώλειτε. Les traîtres devraient savoir gré aux bons citoyens, sans lesquels ils ne pourraient faire le métier qui les fait vivre. Rien de plus piquant ni de plus méprisant que cette considération imprévue.

5-6. Ὥσπερ ἑωλοκρασίαν τινα κατασκεδάσας. En attribuant ses propres trahisons à Démosthène, Eschine répand sur son adversaire de vieilles et insipides calomnies. Didymos dans Harpocration : Οὗτος χθὲς καὶ πρῴην ἃ ἐκέρασε πράγματα, τήμερον μου καταχεῖ καὶ ἐμὲ πρᾶξαί φησιν. Après une nuit joyeusement passée à la suite d'un banquet, les jeunes gens s'amusaient à arroser les convives endormis d'un mélange de ce qui était resté de vin et de sauce au fond des cratères et des pots : c'est ce qu'on appelait proprement ἑωλοκρασία. Hermogène (t. III, p. 407 Walz) trouve la métaphore hasardée, αὐθαδὲς καὶ τολμηρὸν διανόημα.

6-7. Πρὸς τοὺς νεωτέρους τῶν πεπραγμένων, devant (en m'adressant à) ceux qui sont plus jeunes que ces faits, c'est-à-dire en vue de ceux qui sont trop jeunes pour avoir suivi par eux-mêmes ce qui s'est passé, il y a seize ans, lors des négociations de paix. — Ἀπολύσασθαι. On rapproche Lysias, *Contre Agorate*, § 76 : Τὴν ὑπὲρ Φρυνίχου αἰτίαν πρὸς τοὺς τριάκοντα ἀπελύσω. — Παρηνώχλησθε : sous-ent. τοῖς ὑπ' ἐμοῦ εἰρημένοις, τῇ ἀπολογίᾳ.

10. Εἶπέ που. Eschine nous dit, au paragraphe 66 : Ὁ τὴν ξενίαν ἐμοὶ προφέρων τὴν Ἀλεξάνδρου.

18-2. Πότερον ὑμῖν.... λέγουσιν. Démosthène était-il assez sûr de son public

Ἀθηναῖοι, δοκεῖ μισθωτὸς Αἰσχίνης ἢ ξένος εἶναι Ἀλεξάνδρου; 243 Ἀκούεις ἃ λέγουσιν.

[53] Βούλομαι τοίνυν ἤδη καὶ περὶ τῆς γραφῆς αὐτῆς ἀπολογήσασθαι καὶ διεξελθεῖν τὰ πεπραγμέν' ἐμαυτῷ, ἵνα καίπερ εἰδὼς Αἰσχίνης ὅμως ἀκούσῃ δι' ἅ φημι καὶ τούτων τῶν προβεβουλευμένων καὶ πολλῷ μειζόνων ἔτι τούτων δωρειῶν δίκαιος εἶναι τυγχάνειν. Καί μοι λέγε τὴν γραφὴν αὐτὴν λαβών.

ΓΡΑΦΗ.

[54] « Ἐπὶ Χαιρώνδου ἄρχοντος, ἐλαφηβολιῶνος ἕκτῃ ἱσταμένου, Αἰσχίνης Ἀτρομήτου Κοθωκίδης ἀπήνεγκε πρὸς τὸν ἄρχοντα παρανόμων κατὰ Κτησιφῶντος τοῦ Λεωσθένους Ἀναφλυστίου, ὅτι ἔγραψε παράνομον ψήφισμα, ὡς ἄρα δεῖ στεφανῶσαι Δημοσθένην Δημοσθένους Παιανιέα χρυσῷ στεφάνῳ, καὶ ἀναγορεῦσαι ἐν τῷ θεάτρῳ Διονυσίοις τοῖς μεγάλοις, τραγῳδοῖς καινοῖς, ὅτι στεφανοῖ ὁ δῆμος Δημοσθένην Δημοσθένους Παιανιέα χρυσῷ στεφάνῳ ἀρετῆς ἕνεκα, καὶ εὐνοίας ἧς ἔχων διατελεῖ εἴς τε τοὺς Ἕλληνας ἅπαντας καὶ τὸν δῆμον τὸν Ἀθηναίων, καὶ ἀνδραγαθίας, καὶ διότι διατελεῖ πράττων καὶ λέγων τὰ βέλτιστα τῷ δήμῳ καὶ πρόθυμός ἐστι ποιεῖν ὅ τι ἂν δύνηται ἀγαθόν, [55] πάντα ταῦτα ψευδῆ γράψας καὶ παρά-

NC. 1. Benseler transpose εἶναι après Αἰσχίνης. — 11. παρανόμων γραφήν A, vulg. — 18. καὶ ὅτι A.

pour oser lui adresser en effet une question pareille? ou a-t-il inséré dans son discours écrit ce que Pline (*Epist.*, I, xx, 10) appelle une *figura extemporalis?* Nous ne pouvons le savoir aujourd'hui. Les scholiastes répètent des anecdotes inventées à plaisir. Ils font du poëte Ménandre, encore enfant à l'époque de ce procès, le compère de Démosthène; ou bien ils prétendent que ce dernier prononça à dessein μίσθωτος, afin de se faire corriger par le public et de provoquer de tous les côtés le cri : μισθωτός.

5-6. Τούτων τῶν προβεβουλευμένων.... δωρειῶν, ces honneurs décernés par une résolution provisoire (*auctoritas*) du Sénat des Cinq-cents.

9. Χαιρώνδου. Voilà enfin un vrai nom d'archonte. Malheureusement la motion de Ctésiphon et la plainte d'Eschine ne furent pas portées sous Chærondas, mais sous l'archonte qui le suivit, Phrynichos. Voy. Bœhnecke, *Forschungen*, I, p. 687 sqq.

10-11. Πρὸς τὸν ἄρχοντα. Inexact. Les γραφαὶ παρανόμων étaient portées devant les six archontes thesmothètes.

18. Ἀνδραγαθίας (ἕνεκα) équivaut à ὅτι ἀνὴρ ἀγαθὸς ἐγένετο εἴς τε τοὺς Ἕλληνας ἅπαντας καὶ τὸν δῆμον τῶν Ἀθηναίων. Cf. *Néère*, § 89 : Δι' ἀνδραγαθίαν εἰς τὸν δῆμον τὸν Ἀθηναίων. [Dissen.]

νομα, τῶν νόμων οὐκ ἐώντων πρῶτον μὲν ψευδεῖς γραφὰς εἰς τὰ δημόσια γράμματα καταβάλλεσθαι, εἶτα τὸν ὑπεύθυνον στεφανοῦν (ἔστι δὲ Δημοσθένης τειχοποιὸς καὶ ἐπὶ τῶν θεωρικῶν τεταγμένος), ἔτι δὲ μὴ ἀναγορεύειν τὸν στέφανον ἐν τῷ
244 θεάτρῳ Διονυσίοις τραγῳδῶν τῇ καινῇ, ἀλλ' ἐὰν μὲν ἡ βουλὴ στεφανοῖ, ἐν τῷ βουλευτηρίῳ ἀνειπεῖν, ἐὰν δὲ ἡ πόλις, ἐν πυκνὶ ἐν τῇ ἐκκλησίᾳ. Τίμημα τάλαντα πεντήκοντα. Κλήτορες Κηφισοφῶν Κηφισοφῶντος Ῥαμνούσιος, Κλέων Κλέωνος Κοθωκίδης. »

[56] Ἃ μὲν διώκει τοῦ ψηφίσματος, ὦ ἄνδρες Ἀθηναῖοι, ταῦτ' ἐστίν. Ἐγὼ δ' ἀπ' αὐτῶν τούτων πρῶτον οἶμαι δῆλον ὑμῖν ποιήσειν ὅτι πάντα δικαίως ἀπολογήσομαι· τὴν γὰρ αὐτὴν τούτῳ ποιησάμενος τῶν γεγραμμένων τάξιν περὶ πάντων ἐρῶ καθ' ἕκαστον ἐφεξῆς καὶ οὐδὲν ἑκὼν παραλείψω. [57] Τοῦ μὲν οὖν γράψαι πράττοντα καὶ λέγοντα τὰ βέλτιστά με τῷ δήμῳ διατελεῖν καὶ πρόθυμον εἶναι ποιεῖν ὅ τι ἂν δύνωμαι ἀγαθόν, καὶ ἐπαινεῖν ἐπὶ τούτοις, ἐν τοῖς πεπολιτευμένοις τὴν κρίσιν εἶναι νομίζω· ἀπὸ γὰρ τούτων ἐξεταζομένων εὑρεθήσεται, εἴτ' ἀληθῆ περὶ ἐμοῦ γέγραφε Κτησιφῶν ταῦτα καὶ προσήκοντα, εἴτε καὶ ψευδῆ· [58] τὸ δὲ μὴ προσγράψαντα « ἐπειδὰν τὰς

NC. 1. ψευδεῖς γνώμας Dobree. — 3. δὲ, avant Δημοσθένης, est omis par S et L. — 3-4. τῶν θεωριῶν S et F. τῷ θεωρικῷ A. — 5. τραγῳδῶν καινῶν A. — 6. Le second ἐν est omis dans A. — 7. κλητῆρες A. — 9. Avant διώκει, cinq lettres grattées dans S. — 14. με. La place de ce mot varie dans les manuscrits. — 16. ὅ τι δύναμαι S et L[1] seuls. L'auteur du document (p. 445, l. 19) avait la vulgate sous les yeux.

1. Γραφάς équivaut ici à γράμματα. Dissen pense qu'Eschine détournait le sens de la loi, et que le législateur entendait interdire qu'on déposât de faux documents parmi les actes publics. Cf. Eschine, § 50.

5. Τῇ καινῇ. Sous-ent. παρόδῳ ou εἰσόδῳ. Cf. Bœckh, *Corp. Inscr.*, II, p. 461 B : Κυκλίων τῇ πρώτῃ. [Bœhnecke.]

9. Ἃ.... διώκει τοῦ ψηφίσματος est dit comme ἃ θαυμάζω τοῦ ἀνδρός.

10. Πρῶτον « tout d'abord » porte sur ἀπ' αὐτῶν τούτων.

12. Τῶν γεγραμμένων τάξιν. Dans son discours, Eschine discute en premier lieu la question de légalité, et il demande que l'accusé en fasse autant. Mais, quand il déposa sa plainte, il ne s'était pas encore avisé de l'avantage de cet ordre : il avait mis en avant la question politique. Démosthène profite de cette imprudence de son adversaire. Voy. le scholiaste.

16. Construisez : καὶ (τοῦ) ἐπαινεῖν. L'auteur d'une motion fait en quelque sorte lui-même ce qu'il propose de faire. D'autres construisent : γράψαι ἐπαινεῖν, « rogasse laudandum me esse. » Mais les infinitifs διατελεῖν et εἶναι contiennent une déclaration et non un ordre.

19-1. Μὴ προσγράψαντα « ἐπειδὰν τὰς εὐθύνας δῷ ». C'est là ce qu'Eschine avait reproché à Ctésiphon, §§ 31 et 203. — Στεφανοῦν. Il vaut mieux s'arrêter après ce mot et ne pas le faire dépendre de κελεῦσαι, afin que les deux objections soient nettement séparées.

«εὐθύνας δῷ» στεφανοῦν, καὶ ἀνειπεῖν ἐν τῷ θεάτρῳ τὸν στέφανον κελεῦσαι, κοινωνεῖν μὲν ἡγοῦμαι καὶ τοῦτο τοῖς πεπολιτευμένοις, εἴτ' ἄξιός εἰμι τοῦ στεφάνου καὶ τῆς ἀνναρρήσεως τῆς ἐν τούτοις εἴτε καὶ μή, ἔτι μέντοι καὶ τοὺς νόμους δεικτέον εἶναί μοι δοκεῖ καθ' οὓς ταῦτα γράφειν ἐξῆν τούτῳ. Οὑτωσὶ μέν, ὦ ἄνδρες Ἀθηναῖοι, δικαίως καὶ ἁπλῶς τὴν ἀπολογίαν ἔγνωκα ποιεῖσθαι· βαδιοῦμαι δ' ἐπ' αὖθ' ἃ πέπρακταί μοι. [59] Καί με μηδεὶς ἀπαρτᾶν ὑπολάβῃ τὸν λόγον τῆς γραφῆς, ἐὰν εἰς Ἑλληνικὰς πράξεις καὶ λογους ἐμπέσω· ὁ γὰρ διώκων τοῦ ψηφίσματος τὸ λέγειν καὶ πράττειν τὰ ἄριστά με καὶ γε- 245
γραμμένος ταῦθ' ὡς οὐκ ἀληθῆ, οὗτός ἐστιν ὁ τοὺς περὶ ἁπάντων τῶν ἐμοὶ πεπολιτευμένων λόγους οἰκείους καὶ ἀναγκαίους τῇ γραφῇ πεποιηκώς. Εἶτα καὶ πολλῶν προαιρέσεων οὐσῶν τῆς πολιτείας τὴν περὶ τὰς Ἑλληνικὰς πράξεις εἱλόμην ἐγώ, ὥστε καὶ τὰς ἀποδείξεις ἐκ τούτων δίκαιός εἰμι ποιεῖσθαι.

[60] Ἃ μὲν οὖν πρὸ τοῦ πολιτεύεσθαι καὶ δημηγορεῖν ἐμὲ προύλαβε καὶ κατέσχε Φίλιππος, ἐάσω· οὐδὲν γὰρ ἡγοῦμαι τούτων εἶναι πρὸς ἐμέ· ἃ δ' ἀφ' ἧς ἡμέρας ἐπὶ ταῦτ' ἐπέστην ἐγὼ διεκωλύθη, ταῦτ' ἀναμνήσω καὶ τούτων ὑφέξω λόγον, τοσοῦτον ὑπειπών. [61] Πλεονέκτημ', ἄνδρες Ἀθηναῖοι, μέγ'

NC. 1-2. κελεῦσαι τὸν στέφανον vulg. τὸν στέφανον semble être une glose. [Rehdantz] — 7. ποιεῖσθε S. — 8. ὑπολάβῃ ἀπαρτᾶν mss. ἀπαρτᾶν νομίσῃ Alexandre, *Trop.* 3. — 12. πεπολιτευμένων καὶ πεπραγμένων vulg. — 17. κατασχε S. — 19. διεκωλύθη vulg., et Hermogène, t. III, p. 272. καὶ διεκωλύθη S et L[1]. διεκώλυον λαβεῖν Denys d'Halicarnasse, t. VI, p. 998. — 20. ἄνδρες S seul. ὦ ἄνδρες vulg.

2-4. Τοῖς πεπολιτευμένοις, εἶτ(ε).... Tournure rapide, dont le commentaire est dans les mots du paragraphe 67 : Ἀπὸ γὰρ τούτων ἐξεταζομένων εὑρεθήσεται, εἶτ(ε).... —Ἐν τούτοις, devant le peuple ici présent.

4-6. Ἔτι μέντοι.... δοκεῖ. Hermogène (t. III, p. 432 W.) : Ὅταν δὲ τοὺς νόμους κλέπτῃ, ἁπλότητα προσποιεῖται, λέγων οὕτως· « ἔτι μέντοι καὶ τοὺς νόμους δεικτέον εἶναί μοι δοκεῖ, » ὡς παρέργου μνημονεύων τοῦ ἰσχυροῦ τῷ ἀντιδίκῳ.

9-11. Διώκων τοῦ ψηφίσματος τὸ λέγειν. Cf. § 56 : Ἃ μὲν διώκει τοῦ ψηφίσματος.—Οὗτος résume le sujet complexe ὁ.... διώκων.... ἀληθῆ. Ne traduisez pas : « cet homme, » mais « celui-là ».

12-13. Οἰκείους.... γραφῇ, dans une relation intime avec l'accusation. Ces mots sont opposés à ἀπαρτᾶν.... τῆς γραφῆς, l. 8. [G. H. Schæfer.]

13. Προαιρέσεων, parties, branches, que l'on peut choisir de préférence à d'autres.

19. Διεκωλύθη. Ce mot est une surprise pour l'auditeur, qui s'attendait à ἔλαβε. L'orateur fait ainsi vivement sentir que les choses changèrent de face du jour où il se mêla des affaires publiques. — Καὶ τούτων ὑφέξω λόγον. Démosthène va, dit-il, se justifier, non pas d'avoir laissé Philippe s'agrandir, mais d'avoir arrêté ses envahissements. Ce trait vaut toute une argumentation.

ὑπῆρξε Φιλίππῳ. Παρὰ γὰρ τοῖς Ἕλλησιν, οὐ τισὶν, ἀλλ' ἅπασιν ὁμοίως, φορὰν προδοτῶν καὶ δωροδόκων καὶ θεοῖς ἐχθρῶν ἀνθρώπων συνέβη γενέσθαι τοσαύτην ὅσην οὐδείς πω πρότερον μέμνηται γεγονυῖαν· οὓς συναγωνιστὰς καὶ συνεργοὺς λαβὼν καὶ πρότερον κακῶς τοὺς Ἕλληνας ἔχοντας πρὸς ἑαυτοὺς καὶ στασιαστικῶς ἔτι χεῖρον διέθηκε, τοὺς μὲν ἐξαπατῶν, τοῖς δὲ διδοὺς, τοὺς δὲ πάντα τρόπον διαφθείρων, καὶ διέστησεν εἰς μέρη πολλὰ, ἑνὸς τοῦ συμφέροντος ἅπασιν ὄντος, κωλύειν ἐκεῖνον μέγαν γίγνεσθαι. [62] Ἐν τοιαύτῃ δὲ καταστάσει καὶ ἔτ' ἀγνοίᾳ τοῦ συνισταμένου καὶ φυομένου κακοῦ τῶν ἁπάντων Ἑλλήνων ὄντων δεῖ σκοπεῖν ὑμᾶς, ἄνδρες Ἀθηναῖοι, τί προσῆκον ἦν ἑλέσθαι πράττειν καὶ ποιεῖν τὴν πόλιν, καὶ τούτων λόγον παρ' ἐμοῦ λαβεῖν· ὁ γὰρ ἐνταῦθ' ἑαυτὸν τάξας τῆς
246 πολιτείας εἴμ' ἐγώ. [63] Πότερον αὐτὴν ἐχρῆν, Αἰσχίνη, τὸ φρόνημ' ἀφεῖσαν καὶ τὴν ἀξίαν τὴν αὑτῆς ἐν τῇ Θετταλῶν καὶ Δολόπων τάξει συγκατακτᾶσθαι Φιλίππῳ τὴν τῶν Ἑλλήνων ἀρχὴν καὶ τὰ τῶν προγόνων καλὰ καὶ δίκαι' ἀναιρεῖν; ἢ τοῦτο μὲν μὴ ποιεῖν (δεινὸν γὰρ ὡς ἀληθῶς), ἃ δ' ἑώρα συμβησόμενα, εἰ μηδεὶς κωλύσει, καὶ προῃσθάνεθ', ὡς ἔοικεν, ἐκ πολλοῦ, ταῦτα περιιδεῖν γιγνόμενα; [64] Ἀλλὰ νῦν ἔγωγε τὸν

NC. 1. ἀλλὰ ἅπασιν S et L seuls. ἀλλὰ πᾶσιν vulg. — 4. λαβὼν ὁ Φίλιππος A et F. — 7. Dobree voulait διδοὺς καὶ πάντα : cf. § 45. — 10. φυρομένου (?) S[1] seul. — 11. Faut-il retrancher ὑμᾶς ? — ὦ ἄνδρες vulg. — 14. Dobree supprimait Αἰσχίνη, parce qu'on lit au paragraphe 69 : ἤδη γὰρ σ' ἐρωτῶ. Mais voyez notre explication de ces mots. — 20. ἀλλὰ νῦν.... Taylor voulait retrancher soit le paragraphe 63, soit le paragraphe 64. Dobree proposait d'insérer le paragraphe 64 après le paragraphe 65. Voy. la note explicative.

2. Φορὰν προδοτῶν. Voy. la longue énumération, § 295, avec les notes.

7. Διαφθείρων équivaut à ποιῶν νοσεῖν ἐν ἑαυτοῖς, « minant de toutes les façons. » Il s'agit dans tout ce passage de menées souterraines : c'est à tort qu'on a pensé à des mesures violentes, comme la destruction des villes de la Phocide.

10-12. Ἔτ(ι) porte sur ἀγνοίᾳ. Il est vrai qu'on est obligé de traduire : « étant encore dans l'ignorance. » — Ὑμᾶς fait une fausse antithèse à Ἑλλήνων. Voy. *NC.* — Πράττειν καὶ ποιεῖν. Cf. *Ambass.*, § 102.

13-14. Ἐνταῦθ(α).... τῆς πολιτείας équivaut à εἰς τὴν περὶ τὰς Ἑλληνικὰς πράξεις τῆς πολιτείας τάξιν. Cf. § 59. — Εἴμ' ἐγώ. Démosthène parle en homme fier du rôle politique qu'il a joué.

16. Δολόπων. Ici Démosthène ajoute à dessein le nom d'un peuple obscur à celui des Thessaliens, traîtres envers la Grèce, mais puissants et renommés. Au paragraphe 64, les Dolopes sont compris dans les τοὺς μετὰ τούτων. — Συγκατακτᾶσθαι, aider à acquérir.

19. Εἰ.... κωλύσει. La vivacité grecque affectionne l'indicatif, qui est le mode du style direct.

20. Ἀλλὰ νῦν ἔγωγε. Dans le para-

μάλιστ' ἐπιτιμῶντα τοῖς πεπραγμένοις ἡδέως ἂν ἐροίμην, τῆς ποίας μερίδος γενέσθαι τὴν πόλιν ἐβούλετ' ἄν, πότερον τῆς συναιτίας τῶν συμβεβηκότων τοῖς Ἕλλησι κακῶν καὶ αἰσχρῶν, ἧς ἂν Θετταλοὺς καὶ τοὺς μετὰ τούτων εἴποι τις, ἢ τῆς περιεορακυίας ταῦτα γιγνόμεν' ἐπὶ τῇ τῆς ἰδίας πλεονεξίας ἐλπίδι, ἧς ἂν Ἀρκάδας καὶ Μεσσηνίους καὶ Ἀργείους θείημεν. [65] Ἀλλὰ καὶ τούτων πολλοί, μᾶλλον δὲ πάντες, χεῖρον ἡμῶν ἀπηλλάχασιν. Καὶ γὰρ εἰ μέν, ὡς ἐκράτησε Φίλιππος, ᾤχετ' εὐθέως ἀπιὼν καὶ μετὰ ταῦτ' ἦγεν ἡσυχίαν, μήτε τῶν αὑτοῦ συμμάχων μήτε τῶν ἄλλων Ἑλλήνων μηδένα μηδὲν λυπήσας, ἦν ἄν τις κατὰ τῶν ἐναντιωθέντων οἷς ἔπραττεν ἐκεῖνος μέμψις καὶ κατηγορία· εἰ δ' ὁμοίως ἁπάντων τὸ ἀξίωμα, τὴν ἡγεμονίαν, τὴν ἐλευθερίαν περιείλετο, μᾶλλον δὲ καὶ τὰς πολιτείας, ὅσων ἐδύνατο, πῶς οὐχ ἁπάντων ἐνδοξόταθ' ὑμεῖς ἐβουλεύσασθ' ἐμοὶ πεισθέντες;

[66] Ἀλλ' ἐκεῖσ' ἐπανέρχομαι. Τί τὴν πόλιν, Αἰσχίνη, προσῆκε ποιεῖν ἀρχὴν καὶ τυραννίδα τῶν Ἑλλήνων ὁρῶσαν ἑαυτῷ κατασκευαζόμενον Φίλιππον; ἢ τί τὸν σύμβουλον ἔδει 247

NC. 5. περιωρακυίας S. — 6. αν, le ν par correction, S. — 9. εὐθέως S et L. εὐθὺς vulg. — 11-12. ἦν S et L[1]. ὅμως; ἦν vulg. Cette dernière leçon a donné lieu à la correction inutile : τῶν οὐκ ἐναντιωθέντων. Vœmel, qui ne l'admet pas, y revient en quelque sorte, en mettant un point d'interrogation après κατηγορία. — 16. Dobree voulait supprimer Αἰσχίνη ici comme au paragraphe 63. — 17. προσῆκεν S.

graphe précédent Démosthène avait invité Eschine à se reporter avec lui au passé. Ici, il va plus loin : il dit que maintenant encore (je voudrais lire καὶ νῦν), après la défaite, sa politique doit sembler préférable à toute autre ; et il le prouve au paragraphe 65. Ensuite il reprend, au moyen de la transition : ἀλλ' ἐκεῖσ' ἐπανέρχομαι, la question posée au paragraphe 63.

8. Ὡς ἐκράτησε Φίλιππος. Il faut certainement entendre la bataille de Chéronée, et non la fin de la guerre Sacrée. Pendant cette guerre, il fallait bien combattre l'ennemi : il ne pouvait y avoir deux politiques, et Démosthène ne se distinguait des autres orateurs que parce qu'il demandait au peuple des efforts plus énergiques. Il se justifie d'avoir résisté aux empiétements de Philippe pendant la paix (dans tout ce morceau il n'est pas question d'autre chose), et il dit que cette politique est d'autant plus inattaquable que, après avoir été vainqueur dans la guerre qui s'ensuivit, Philippe ne traita ni ses alliés ni les neutres mieux que les Athéniens.

12-13. Τὸ ἀξίωμα.... τὴν ἐλευθερίαν. On rapproche *Ambass.*, § 260. — Τὴν ἡγεμονίαν. Tous ne la possédaient pas, mais tous y avaient plus de droit qu'un intrus dans la famille hellénique.

16-17. Τί τὴν πόλιν.... προσῆκε ποιεῖν. Hermogène (t. III, p. 266 Walz) loue Démosthène d'insister sur un point où il est fort, en reproduisant jusqu'à quatre fois, et même plus souvent (cf. § 71) la même question.

λέγειν ἢ γράφειν τὸν Ἀθήνησι (καὶ γὰρ τοῦτο πλεῖστον διαφέρει), ὃς συνῄδειν μὲν ἐκ παντὸς τοῦ χρόνου μέχρι τῆς ἡμέρας ἀφ' ἧς αὐτὸς ἐπὶ τὸ βῆμ' ἀνέβην, ἀεὶ περὶ πρωτείων καὶ τιμῆς καὶ δόξης ἀγωνιζομένην τὴν πατρίδα, καὶ πλείω καὶ χρήματα καὶ σώματα ἀνηλωκυῖαν ὑπὲρ φιλοτιμίας καὶ τῶν πᾶσι συμφερόντων ἢ τῶν ἄλλων Ἑλλήνων ὑπὲρ αὐτῶν ἀνηλώκασιν ἕκαστοι, [67] ἑώρων δ' αὐτὸν τὸν Φίλιππον, πρὸς ὃν ἦν ἡμῖν ὁ ἀγών, ὑπὲρ ἀρχῆς καὶ δυναστείας τὸν ὀφθαλμὸν ἐκκεκομμένον, τὴν κλεῖν κατεαγότα, τὴν χεῖρα, τὸ σκέλος πεπηρωμένον, πᾶν ὅ τι βουληθείη μέρος ἡ τύχη τοῦ σώματος παρελέσθαι, τοῦτο προϊέμενον, ὥστε τῷ λοιπῷ μετὰ τιμῆς καὶ δόξης ζῆν. [68] Καὶ μὴν οὐδὲ τοῦτό γ' οὐδεὶς ἂν εἰπεῖν τολμήσαι, ὡς τῷ μὲν ἐν Πέλλῃ τραφέντι, [χωρίῳ ἀδόξῳ τότε γ' ὄντι καὶ μικρῷ,] τοσαύτην μεγαλοψυχίαν προσῆκεν ἐγγενέσθαι ὥστε τῆς τῶν Ἑλλήνων ἀρχῆς ἐπιθυμῆσαι καὶ τοῦτ' εἰς τὸν νοῦν ἐμβαλέσθαι, ὑμῖν δ' οὖσιν Ἀθηναίοις καὶ κατὰ τὴν ἡμέραν ἑκάστην ἐν πᾶσι καὶ λόγοις καὶ θεωρήμασι τῆς τῶν προγόνων ἀρετῆς ὑπομνήμαθ' ὁρῶσι τοσαύτην κακίαν ὑπάρξαι ὥστε τῆς ἐλευθερίας

NC. 1. Ἀθήνησιν et Ἀθήνησι S et L seuls. Ἀθήνησιν ἐμέ vulg. — 2. συνῄδειν ἐκ παντὸς μὲν vulg. Kirchhoff retranche μέν. — τῆς ἡμέρας S et L[1]. τῆσδε τῆς ἡμέρας A. τῆς ἡμέρας ἐκείνης vulg. — 4-5. καὶ χρήματα καὶ σώματα S et L seuls. σώματα καὶ χρήματα vulg. Cf. § 20. — 5. ἅπασι τοῖς Ἕλλησι συμφερόντων F. — 6. Ἑλλήνων οἳ τὰ ὑπὲρ αὐτῶν F. — 11. προϊέμενον S, L[1], et Aulu-Gelle, II, 27, deux fois. ῥᾳδίως καὶ ἑτοίμως προϊέμενον vulg. — 12. τολμήσειεν vulg. — 13. χωρίῳ.... μικρῷ : glose (très-ancienne) reconnue par Herwerden. — 15. εἰς νοῦν vulg. — 16. καθ' ἡμέραν ἑκάστην vulg. — 17. πᾶσιν et θεωρήμασιν S. — 17-18. ὑπόμνημα θεωροῦσι S[1] et L. — 18. τῆς τῶν Ἑλλήνων ἐλευθερίας A, F, vulg.

1. **Τοῦτο**, ce point, c'est-à-dire à Athènes.

8-9. Τὸν ὀφθαλμὸν.... πεπηρωμένον. Scholiaste : Τὸν ὀφθαλμὸν ἐπλήγη ἐν τῇ Μεθώνῃ (en 353), τὴν δὲ κλεῖν ἐν Ἰλλυριοῖς (en 345), τὸ δὲ σκέλος καὶ τὴν χεῖρα ἐν Σκύθαις (en 339).

11. Προϊέμενον.... ὥστε ζῆν. Salluste a voulu renchérir sur Démosthène, en disant, dans ses *Histoires*, de Sertorius : « Quin ille dehonestamento corporis (i. e. « adversis cicatricibus et effosso oculo) « maxime lætabatur, neque illis anxius, « quia reliqua gloriosius retinebat. » Aulu-Gelle, II, 27.

12. Τῷ μὲν ἐν Πέλλῃ τραφέντι. On rapproche *Halonn.*, § 7 : Ἀξιῶν Ἀθηναίους ὄντας πρὸς τὸν ἐκ Πέλλης ὁρμώμενον διαδικάζεσθαι.

16-17. Ἐν πᾶσι.... θεωρήμασι, dans tout ce qui se dit parmi vous et dans tout ce qui se montre à vos yeux. Θεώρημα est employé ici dans un sens rare. On rapproche Athénée, XII, 546 F, et Dion Cassius, LII, 30, qui opposent ἀκροάματα et ἀκούσματα à θεωρήματα.

αὐτεπαγγέλτους ἐθελοντὰς παραχωρῆσαι Φιλίππῳ. Οὐδ' ἂν εἷς ταῦτα φήσειεν.

[69] Λοιπὸν τοίνυν ἦν καὶ ἀναγκαῖον ἅμα πᾶσιν οἷς ἐκεῖνος
ἔπραττεν ἀδικῶν ὑμᾶς ἐναντιοῦσθαι δικαίως. Τοῦτ' ἐποιεῖτε
μὲν ὑμεῖς ἐξ ἀρχῆς εἰκότως καὶ προσηκόντως, ἔγραφον δὲ καὶ
συνεβούλευον κἀγὼ καθ' οὓς ἐπολιτευόμην χρόνους. Ὁμο- 248
λογῶ. Ἀλλὰ τί ἐχρῆν με ποιεῖν; ἤδη γάρ σ' ἐρωτῶ, πάντα
τἄλλ' ἀφείς, Ἀμφίπολιν, Πύδναν, Ποτείδαιαν, Ἁλόννησον· οὐδενὸς τούτων μέμνημαι· [70] Σέρριον δὲ καὶ Δορίσκον καὶ τὴν
Πεπαρήθου πόρθησιν καὶ ὅσ' ἄλλ' ἡ πόλις ἠδίκητο, οὐδ' εἰ γέγονεν οἶδα. Καίτοι σύ γ' ἔφησθά με ταῦτα λέγοντ' εἰς ἔχθραν
ἐμβαλεῖν τουτουσί, Εὐβούλου καὶ Ἀριστοφῶντος καὶ Διοπείθους
τῶν περὶ τούτων ψηφισμάτων ὄντων, οὐχ ἐμῶν, ὦ λέγων εὐ-

NC. 1. ἐθελοντὰς est regardé comme une glose par plusieurs critiques. — 4. ἐναντιοῦσθε S. — 6. ἐγὼ (sans καὶ) A. — 8. Ποτείδαιαν, orthographe des inscriptions, recommandée par Kirchhoff. Ποτίδαιαν manuscrits. — 10. ὅσ' ἄλλα et ἠδικεῖτο S et L[1]. ὅσα ἄλλα τοιαῦτα et ἠδίκητο vulg. — 11-14. Καίτοι σύγ'.... περὶ τούτων ἐρῶ. Kirchhoff pense que Démosthène ne peut avoir écrit ces lignes. Il aurait raison, s'il était prouvé que Démosthène n'a jamais dénaturé les faits. — 12. Ἀριστοφῶντος vulg. et marge ancienne de S. Κτησιφῶντος texte de S. Cf. § 75. — 13. ὄντων ψηφισμάτων A. — ὢ λέγω S[1].

3. Ἅμα se rattache à ἀναγκαῖον.

6. Κἀγώ. L'orateur ajoute la particule καί : c'est comme s'il disait συνέπραττον γράφων καὶ συμβουλεύων, « et moi aussi j'y contribuais en faisant des motions et en donnant des conseils. » — Καθ' οὓς ἐπολιτευόμην χρόνους. Ces mots sont opposés à ἐξ ἀρχῆς. Démosthène n'a pas imaginé une politique nouvelle. Cet argument est présenté sous la forme d'un simple exposé des faits.

7-8. Ἤδη est dit par rapport à la nouvelle question πότερον τὸν παρασπονδοῦντα οὐκ ἔδει κωλύειν : § 71. [Fox]. — Ἀμφίπολιν... Ποτείδαιαν. Ces villes, particulièrement la première, quoique cédées par le traité de Philocrate, étaient sans cesse réclamées par les patriotes comme le bien d'Athènes. Cf. *Phil.* II, § 17 ; *Halon.*, §§ 9 et 23 sqq ; *Chers.*, § 66. — Ἁλόννησον. Voy. *Harangues*, p. 238.

9-10. Σέρριον.... Δορίσκον. Cf. § 27. — Πεπαρήθου. Scholiaste : Π. νῆσός ἐστιν ἐν τῷ Αἰγαίῳ πελάγει πρὸ τῆς Θετταλίας. Ταύτην ἐπόρθησεν Ἄλκιμος ναύαρχος τοῦ Φιλίππου. Voy. *Lettre de Philippe*, § 12, avec la note.

11. Σύ γ' ἔφησθα. Cf. Eschine, §§ 82-83.

12-13. Εὐβούλου καὶ Ἀριστοφῶντος. Eubule était, on le sait, depuis le traité de 346, à la tête du parti de la paix à tout prix. Aristophon s'était retiré des affaires politiques avant cette date. Ces hommes d'État ont pu, à l'origine de la première guerre contre Philippe, rédiger des décrets affirmant les droits d'Athènes sur Amphipolis, Pydna, Potidée. Mais la paix de 346, par laquelle Athènes céda ces villes à Philippe, créa une situation nouvelle. Démosthène confond ici les temps et mêle les faits avec plus d'habileté que de loyauté. Voy. la note sur *Cherson.*, § 30 ; A. Schæfer, I, p. 163 ; Westermann, dans son édition de ce discours. — Διοπείθους. C'est le général mentionné dans les Philippiques, ou bien, suivant A. Schæfer, Diopithe de Sphettos, orateur vanté par Hypéride, *Pour Euxénippe*, col. 39.

χερῶς ὅ τι ἂν βουληθῇς. Οὐδὲ νῦν περὶ τούτων ἐρῶ. [71] Ἀλλ ὁ τὴν Εὔβοιαν ἐκεῖνος σφετεριζόμενος καὶ κατασκευάζων ἐπιτείχισμ' ἐπὶ τὴν Ἀττικήν, καὶ Μεγάροις ἐπιχειρῶν, καὶ καταλαμβάνων Ὠρεόν, κατασκάπτων Πορθμόν, καὶ καθιστὰς ἐν μὲν Ὠρεῷ Φιλιστίδην τύραννον, ἐν δ' Ἐρετρίᾳ Κλείταρχον, καὶ τὸν Ἑλλήσποντον ὑφ' ἑαυτῷ ποιούμενος, καὶ Βυζάντιον πολιορκῶν, καὶ πόλεις Ἑλληνίδας ἃς μὲν ἀναιρῶν, εἰς ἃς δὲ τοὺς φυγάδας κατάγων, πότερον ταῦτα πάντα ποιῶν ἠδίκει καὶ παρεσπόνδει καὶ ἔλυε τὴν εἰρήνην ἢ οὔ; καὶ πότερον φανῆναί τινα τῶν Ἑλλήνων τὸν ταῦτα κωλύσοντα [ποιεῖν αὐτὸν] ἐχρῆν ἢ μή; [72] Εἰ μὲν γὰρ μὴ ἐχρῆν, ἀλλὰ τὴν Μυσῶν λείαν καλουμένην τὴν Ἑλλάδ' οὖσαν ὀφθῆναι ζώντων καὶ ὄντων Ἀθηναίων, περιείργασμαι μὲν ἐγὼ περὶ τούτων εἰπών, περιείργασται δ' ἡ πόλις ἡ πεισθεῖσ' ἐμοί, ἔστω δ' ἀδικήματα

NC. 1. οὐδὲν νῦν A. — 3. καὶ Μεγάροις ἐπιχειρῶν. Usener, *Rhein. Mus.*, XXV, p. 598, veut retrancher ces mots. Voy. la note explicative. — 4-5. ωραιον et ωραιοι S. — 7. τὰς μὲν A. τινὰς μὲν vulg. — τινὰς δὲ vulg. Cobet, *Misc. crit.*, p. 478, demande τὰς μὲν.... τὰς δὲ. — 10. ποιεῖν αὐτόν : glose reconnue par Cobet : « Reseca.... additamentum ex tam ardenti oratione. » — 12-13. ζώντων Ἀθηναίων καὶ ὄντων F. On a proposé καὶ ἰδόντων, ou καὶ ὁρώντων : sans nécessité. — 13. Ancienne vulgate : περὶ τῶν τοιούτων.

2-5. Εὔβοιαν.... ἐπιτείχισμ(α). Voy. *Cherson.*, § 36, avec la note, *ib*, § 66, et le récit détaillé dans *Phil.* III, §§ 57-62. — Μεγάροις ἐπιχειρῶν. En 343. Cf. *Ambass.*, § 295. — Καταλαμβάνων Ὠρεόν.... Κλείταρχον. En 343 et 342. Démosthène revient ici aux affaires de l'Eubée. Ce désordre est un artifice oratoire : les empiétements de Philippe, accumulés comme au hasard, en paraissent d'autant plus nombreux. Voy. notre observation sur *Phil* III, § 32.

6. Βυζάντιον πολιορκῶν. En 340. Cf. § 87.

7. Ἃς μὲν.... ἃς δὲ..., pour τὰς μὲν.... τὰς δὲ..., ne se trouve chez aucun prosateur attique antérieur à Démosthène. Cf. ὁτὲ μὲν.... ὁτὲ δέ. Voy. *NC*. Du reste, on ignore à quels faits l'orateur fait allusion.

11. Ἢ μή. Sous-ent. φανῆναι. Démosthène aurait pu dire ἢ οὐκ ἐχρῆν. — Τὴν Μυσῶν λείαν. Cette locution proverbiale, déjà employée par le vieux Simonide d'Amorgos dans ses ïambes (cf. Harpocration) est interprétée par Aristote, *Rhétor.*, I, 12 : Τοὺς ὑπὸ πολλῶν ἀδικηθέντας καὶ μὴ ἐπεξελθόντας, ὡς ὄντας κατὰ τὴν παροιμίαν τούτους Μυσῶν λείαν. Quant à l'origine du proverbe, les parémiographes anciens disent que la Mysie se trouvait, pendant l'absence de son roi Télèphe, exposée aux incursions des peuplades voisines. Ils prenaient donc le génitif Μυσῶν dans un sens tout particulier.

12-13. Ζώντων καὶ ὄντων Ἀθηναίων. Cf. *Ambass.*, § 64 : Οὔσης τῆς Ἀθηναίων πόλεως. *Pour Phormion*, § 29 : Τιμοδήμῳ τῷ νῦν ἔτ' ὄντι καὶ ζῶντι. Il ne serait certainement venu à l'esprit de personne de dire : τῷ νῦν ἔτι ζῶντι καὶ ὄντι Mais, comme il s'agit ici d'un peuple, l'orateur adoucit ce que la locution « du vivant des Athéniens » a d'insolite en la faisant suivre du mot propre « existant », ὄντων. Voy. notre observation sur ἀνεχαίτισε καὶ διέλυσεν, *Olynth.* II, § 9. Cf. *Cour.*, § 138 : Ὑποσκελίζειν καὶ συκοφαντεῖν.

πάνθ' ἃ πέπρακται καὶ ἁμαρτήματ' ἐμά. Εἰ δ' ἔδει, [τινα] τούτων κωλυτὴν [φανῆναι] τίν' ἄλλον ἢ τὸν Ἀθηναίων δῆμον 24 προσῆκεν γενέσθαι; Ταῦτα τοίνυν ἐπολιτευόμην ἐγὼ, καὶ ὁρῶν καταδουλούμενον πάντας ἀνθρώπους ἐκεῖνον ἠναντιούμην, καὶ προλέγων καὶ διδάσκων μὴ προΐεσθαι διετέλουν.

[73] Φέρε δ' αὐτὰ τὰ ψηφίσματα καὶ τὴν ἐπιστολὴν τὴν τοῦ Φιλίππου, καὶ λέγ' ἐφεξῆς· ἀπὸ γὰρ τούτων τίς τίνος αἴτιός ἐστι γενήσεται φανερόν. Καίτοι τὴν εἰρήνην γ' ἐκεῖνος ἔλυσε τὰ πλοῖα λαβὼν, οὐχ ἡ πόλις, Αἰσχίνη. Λέγε.

NC. 1-2. Je mets après ἔδει la virgule que l'on mettait après φανῆναι, et je supprime τινα (mot omis dans quelques mss. et dont la place varie dans les autres) ainsi que φανῆναι. Le texte de A omet les mots τούτων κωλυτὴν φανῆναι. Marge ancienne de S : εἰ δὲ ἔδει τινα (pour ἔδει, τίνα) τοῦτον ἄλλον ἢ τὸν Ἀ. δ. π. γ. : variante qui marque bien le sens du passage. — 3. ἐπολιτευόμην τότ' avant Bekker. — 5. προΐεσθαι S et L[1]. προΐεσθαι (ou προέσθαι) ταῦτα Φιλίππῳ vulg. — διετέλουν manque dans F. — 6. φέρε δὴ vulg. — 7. τούτων texte de S et de L. τούτων ἐξεταζομένων vulg. — 8-9. καίτοι (manuscrits : καὶ μὴν).... Αἰσχίνη. J'ai écrit τοι pour μήν, et j'ai placé avant Λέγε ces mots, qui se lisaient au commencement du paragraphe, avant Φέρε, et brouillaient la suite des idées au point de rendre tout ce morceau inintelligible. Un tel début faisait croire (et l'auteur des faux documents est tombé dans cette erreur) que Démosthène alléguerait des pièces prouvant que Philippe avait rompu la paix. Mais, par le fait, il s'agit ici de tout autre chose, et la capture des bateaux ne peut être mentionnée qu'incidemment. — Λέγε A et vulg. Ce mot a été omis dans S, L, F, par suite, sans doute, du déplacement de la phrase qui le précédait.

1. Πάνθ' ἃ πέπρακται. Ces mots sont le sujet de ἔστω.

2. Κωλυτήν : substantif familier à Thucydide.

6 sqq. Φέρε.... Les §§ 73-79 jusqu'à τούτοις ἠναντιούμην, ainsi qu'une partie du paragraphe 70 : Καίτοι σύ.... οὐδὲ νῦν περὶ τούτων ἐρῶ, peuvent avoir été insérés par Démosthène dans un morceau écrit d'avance, après qu'il eut entendu le discours d'Eschine. Voy. le mémoire de Kirchhoff: *Ueber die Redaction der Demosthenischen Kranzrede*. — Τὰ ψηφίσματα. Ce sont les décrets mentionnés au paragraphe 70.

8-9. Καίτοι.... Démosthène ajoute ces mots pour bien faire comprendre que, tout en se mettant un instant au point de vue d'Eschine, il n'entend pas, lui, accuser les décrets du peuple qui fournirent des prétextes aux récriminations de Philippe. C'est ce dernier qui rompit la paix. — Τὴν εἰρήνην.... ἔλυσε. Cette locution a ici un sens plus positif qu'au paragraphe 71. Ici il s'agit d'une violation formelle de la paix. Les empiétements énumérés plus haut n'étaient qu'improprement présentés comme des ruptures du traité : c'étaient des actes hostiles, non de fait, mais par la tendance qu'on pouvait y soupçonner. — Τὰ πλοῖα λαβών. Cf. § 139, où Démosthène semble se référer à ce passage. Nous ne savons rien d'ailleurs sur ce fait, si ce n'est que Justin (VIII, 4) parle d'actes de piraterie par lesquels Philippe cherchait à réparer les brèches que le long siége de Byzance faisait à ses finances.

ΨΗΦΙΣΜΑ.

« Ἐπὶ ἄρχοντος Νεοκλέους, μηνὸς βοηδρομιῶνος, ἐκκλησία σύγκλητος ὑπὸ στρατηγῶν, Εὔβουλος Μνησιθέου Κόπριος εἶπεν, ἐπειδὴ προσήγγειλαν οἱ στρατηγοὶ ἐν τῇ ἐκκλησίᾳ ὡς ἄρα Λεωδάμαντα τὸν ναύαρχον καὶ τὰ μετ' αὐτοῦ ἀποσταλέντα σκάφη εἴκοσιν ἐπὶ τὴν τοῦ σίτου παραπομπὴν εἰς Ἑλλήσποντον ὁ παρὰ Φιλίππου στρατηγὸς Ἀμύντας καταγήοχεν εἰς Μακεδονίαν καὶ ἐν φυλακῇ ἔχει, ἐπιμεληθῆναι τοὺς πρυτάνεις καὶ τοὺς στρατηγοὺς ὅπως ἡ βουλὴ συναχθῶσι καὶ αἱρεθῶσι πρέσβεις πρὸς Φίλιππον, [74] οἳ παραγενόμενοι διαλέξονται πρὸς αὐτὸν περὶ τοῦ ἀφεθῆναι τὸν ναύαρχον καὶ τὰ πλοῖα καὶ τοὺς στρατιώτας. Καὶ εἰ μὲν δι' ἄγνοιαν ταῦτα πεποίηκεν ὁ Ἀμύντας, ὅτι οὐ μεμψιμοιρεῖ ὁ δῆμος οὐδέν· εἰ δέ τι πλημμελοῦντα παρὰ τὰ ἐπεσταλμένα λαβών, ὅτι ἐπισκεψάμενοι Ἀθηναῖοι ἐπιτιμήσουσι κατὰ τὴν τῆς ὀλιγωρίας ἀξίαν. Εἰ δὲ μηδέ-

NC. 2. βοηδρομιῶνος. L'indication du jour manque, peut-être par la faute des copistes. [Vœmel.] — 2-3. ἐκκλησίας συγκλήτου A et F. — Variante vicieuse : Κύπριος. — 4. προσηγγειλεν, avec ο au-dessus du dernier ε, S. — 5. Λαομέδοντα A. Cf. § 77. — 7. καταγειοχεν S. — 9. συναχθῇ A. — 10. οἳ est omis dans S et, à ce qu'il paraît, par L[1]. οἵτινες A. — 12. στρατηγους S et F. — 13. τί οὐ F. τι ουν S et L[1]. ὅτι οὐδὲ, en omettant οὐδὲν, A. — οὐδὲν αὐτῷ vulg. — οὐδέτι S, L, F.

1. Ψηφισμα. Le commentateur qui a forgé cette pièce et la suivante n'a pas même compris de quoi il s'agit ici. Voy. la note sur le paragraphe 79.

2-3. Νεοκλέους. Pseudéponyme. — Ἐκκλησία σύγκλητος. Cf. *Ambass.*, § 122. — Εὔβουλος.... Κόπριος. Cet Eubule est inconnu. Dans le texte de Démosthène, Eubule tout court désigne certainement le fameux homme d'État, fils de Spinthare, du bourg d'Anaphlyste.

5. Ναύαρχον. Il paraît que les Athéniens donnaient le nom de navarque aux commandants des galères sacrées (Voy. Schœmann, *Griech. Alterth.*, I, pp. 452 et 468). Mais ceux qui commandaient les flottes d'Athènes n'avaient pas d'autre titre officiel que celui de στρατηγός. Si Xénophon (*Hellén.*, V, 1, 5) parle d'un navarque à la tête d'une escadre athénienne, il s'exprime inexactement et commet un *laconisme*. Le faussaire s'est trahi en employant ce terme.

6. Σκάφη.... παραπομπήν, vingt vaisseaux de guerre envoyés pour escorter des navires chargés de blé. Cependant le mot πλοῖα, dont se sert l'orateur (§§ 73 et 139), ne peut guère désigner, d'après l'usage, que des navires marchands. Plus bas, ce document, ainsi que le suivant, porte πλοῖα dans un sens impropre qui aurait lieu d'étonner dans un document officiel.

13. Avant ὅτι, sous-entendez λέγειν (« qu'ils disent »), renfermé dans διαλέξονται.

13-14. Πλημμελοῦντα : sous-ent. τὸν ναύαρχον.

τερον τούτων ἐστὶν, ἀλλ' ἰδίᾳ ἀγνωμονοῦσιν ἢ ὁ ἀποστείλας ἢ ὁ ἀπεσταλμένος, καὶ λέγειν, ἵνα αἰσθανόμενος ὁ δῆμος βουλεύσηται τί δεῖ ποιεῖν. » 250

[75] Τοῦτο μὲν τοίνυν τὸ ψήφισμ' Εὔβουλος ἔγραψεν, οὐκ ἐγώ, τὸ δ' ἐφεξῆς Ἀριστοφῶν, εἶθ' Ἡγήσιππος, εἶτ' Ἀριστοφῶν πάλιν, εἶτα Φιλοκράτης, εἶτα Κηφισοφῶν, εἶτα πάντες· ἐγὼ δ' οὐδὲν περὶ τούτων. Λέγε.

ΨΗΦΙΣΜΑΤΑ.

« Ἐπὶ Νεοκλέους ἄρχοντος, βοηδρομιῶνος ἕνῃ καὶ νέᾳ, βουλῆς γνώμῃ, πρυτάνεις καὶ στρατηγοὶ ἐχρημάτισαν τὰ ἐκ τῆς ἐκκλησίας ἀνενεγκόντες, ὅτι ἔδοξε τῷ δήμῳ πρέσβεις ἑλέσθαι πρὸς Φίλιππον περὶ τῆς τῶν πλοίων ἀνακομιδῆς καὶ ἐντολὰς δοῦναι κατὰ τὰ ἐκ τῆς ἐκκλησίας ψηφίσματα. Καὶ εἵλοντο τούσδε, Κηφισοφῶντα Κλέωνος Ἀναφλύστιον, Δημόκριτον Δημοφῶντος Ἀναγυράσιον, Πολύκριτον Ἀπημάντου Κοθωκίδην.

NC. 1. δι', entre ἰδίαι et ἀγνωμονοῦσιν, S et L. Peut-être ἰδιογνωμονοῦσιν. — 2. καὶ τοῦτο γράψαι λέγειν A. Le texte est altéré. Peut-être : ἀπαγγέλλειν. — 4-7. τοῦτο μὲν.... λέγε. A. Mommsen, *Jahrb. für Philol.*, LXXIII, p. 66, et Kirchhoff, *l. c.*, p. 74, tiennent ce passage pour interpolé. Voy. p. 451, l. 11, *NC*. — 6. πάντες S et L[1]. πάντες οἱ ἄλλοι vulg. — 7. λέγε S seul. λέγε τὸ ψήφισμα vulg. — 8. ΨΗΦΙΣΜΑΤΑ éd. de Zurich. ΨΗΦΙΣΜΑ manuscrits. — 9. Νεοκλέους L. Νικοκλέους S et presque tous les manuscrits. Cf. § 74. — 13. κατὰ τὰ G. H. Schæfer. καὶ τὰ manuscrits. — ἐκ, omis dans A, est suspect.

2. Καὶ λέγειν. Voy. *NC*. Les ambassadeurs durent avoir pour instruction d'en référer au peuple, si aucune explication satisfaisante n'était donnée par Philippe.

5-6. Ἡγήσιππος. C'est, parmi les orateurs énumérés ici, le seul qui se soit fait remarquer, depuis la paix de 346, par son hostilité contre Philippe. Voy. la *Notice* en tête du discours sur l'*Halonnèse*. — Εἶτ' Ἀριστοφῶν πάλιν. Ici, et dans tout ce passage, εἶτα, ainsi que ἐφεξῆς, ne désigne pas l'ordre chronologique des décrets, mais celui dans lequel Démosthène les faisait lire et qui s'accordait peut-être avec l'ordre des griefs énumérés dans la lettre de Philippe. — Φιλοκράτης. Vendu à Philippe et, de plus, exilé d'Athènes avant le procès de l'*Ambassade* (voy. p. 218 sq.), cet homme politique ne peut être cité ici par Démosthène que pour des décrets rendus dans le cours de la première guerre. Ce nom confirme, avec la dernière évidence, ce que nous avons dit au paragraphe 70 à propos d'Eubule et d'Aristophon. — Κηφισοφῶν. Cf. § 21 ; *Ambass.*, 293. A. Schæfer (II, 131, 3) pense que, dans les trois passages, il s'agit de l'orateur Céphisophon de Péanie, mentionné par Eschine, *Ambass.*, § 73.

Πρυτανεία φυλῆς Ἱπποθοωντίδος, Ἀριστοφῶν Κολλυτεὺς πρόεδρος εἶπεν. »

[76] Ὥσπερ τοίνυν ἐγὼ ταῦτα δεικνύω τὰ ψηφίσματα, οὕτω καὶ σὺ δεῖξον, Αἰσχίνη, ὁποῖον ἐγὼ γράψας ψήφισμα αἴτιός εἰμι τοῦ πολέμου. Ἀλλ' οὐκ ἂν ἔχοις· εἰ γὰρ εἶχες, οὐδὲν ἂν αὐτοῦ πρότερον νυνὶ παρέσχου. Καὶ μὴν οὐδ' ὁ Φίλιππος οὐδὲν αἰτιᾶται ἔμ' ὑπὲρ τοῦ πολέμου, ἑτέροις ἐγκαλῶν. Λέγε δ' αὐτὴν τὴν ἐπιστολὴν τὴν τοῦ Φιλίππου.

ΕΠΙΣΤΟΛΗ.

[77] « Βασιλεὺς Μακεδόνων Φίλιππος Ἀθηναίων τῇ βουλῇ
251 καὶ τῷ δήμῳ χαίρειν. Παραγενόμενοι πρὸς ἐμὲ οἱ παρ' ὑμῶν πρεσβευταί, Κηφισοφῶν καὶ Δημόκριτος καὶ Πολύκριτος, διελέγοντο περὶ τῆς τῶν πλοίων ἀφέσεως ὧν ἐναυάρχει Λαοδάμας. Καθ' ὅλου μὲν οὖν ἔμοιγε φαίνεσθε ἐν μεγάλῃ εὐηθείᾳ ἔχεσθαι, εἰ οἴεσθ' ἐμὲ λανθάνειν ὅτι ἐξαπεστάλη ταῦτα τὰ πλοῖα πρόφασιν μὲν ὡς τὸν σῖτον παραπέμψοντα ἐκ τοῦ Ἑλλησπόντου εἰς Λῆμνον, βοηθήσοντα δὲ Σηλυμβριανοῖς τοῖς ὑπ' ἐμοῦ μὲν πολιορκουμένοις, οὐ συμπεριειλημμένοις δὲ ἐν ταῖς

NC. 1. πρυτανια S. πρυτανείᾳ vulg. — 4. καὶ omis par S¹ à la fin d'une ligne. — ὁποῖον S et L. ποῖον vulg. — 5. ειχετ S¹. — 7. ἐμὲ S et L. με vulg. — 9. ἐπιστολὴν τοῦ vulg. — 13. Λαομέδων manuscrits. Cf. § 74. — 14-15. ἔχεσθαι est notre correction. μεγάλῃ εὐηθείᾳ συνέχεσθαι ou ἐνέχεσθαι Reiske. ἔσεσθαι manuscrits. — εἰ variante. ειτ S. εἶτ' L. εἰ τ' vulg. — ἐμὲ S. με vulg. — 18. ἐν τοῖς S.

1-2. Ἀριστοφῶν Κολλυτεύς est aussi inconnu que Εὔβουλος Κόπριος dans le décret précédent. L'orateur Aristophon était du bourg d'Azénie. — Εἶπεν. On ne voit pas trop ce qu'Aristophon proposait, à moins que les instructions données par le sénat aux ambassadeurs n'aient été omises dans ce document. Quoi qu'il en soit, Démosthène n'avait aucun intérêt à faire lire une pièce aussi insignifiante. Quant à l'inscription publiée en 1867 dans un journal d'Athènes, voy. la *Notice*, p. 412, note 3.

14-15. Ἐν μεγάλῃ εὐηθείᾳ ἔχεσθαι, « magna simplicitate teneri. » Cf. Platon, *Gorg.*, p. 522 A : Ἐν πάσῃ ἀπορίᾳ ἔχεσθαι.

17. Λῆμνον. Voy. la note sur *Phil.*, I, § 27. — Βοηθήσοντα. On s'attendrait à : ἔργῳ δὲ βοηθήσοντα. [Reiske.] — Σηλυμβριανοῖς. Philippe assiégea-t-il en effet la ville de Sélymbrie, située sur la Propontide entre Byzance et Périnthe? Cela n'est pas impossible. Mais nous n'en savons rien. Je crois que le nom de Sélymbrie doit être rétabli dans le texte de Démosthène, § 302.

τῆς φιλίας κοινῇ κειμέναις ἡμῖν συνθήκαις. [78] Καὶ ταῦτα συνετάχθη τῷ ναυάρχῳ ἄνευ μὲν τοῦ δήμου τοῦ Ἀθηναίων, ὑπὸ δέ τινων ἀρχόντων καὶ ἑτέρων, ἰδιωτῶν μὲν νῦν ὄντων, ἐκ παντὸς δὲ τρόπου βουλομένων τὸν δῆμον ἀντὶ τῆς νῦν ὑπαρχούσης πρὸς ἐμὲ φιλίας τὸν πόλεμον ἀναλαβεῖν, πολλῷ μᾶλλον φιλοτιμουμένων τοῦτο συντετελέσθαι ἢ τοῖς Σηλυμβριανοῖς βοηθῆσαι. Καὶ ὑπολαμβάνουσιν αὐτοῖς τὸ τοιοῦτο πρόσοδον ἔσεσθαι· οὐ μέντοι μοι δοκεῖ τοῦτο χρήσιμον ὑπάρχειν οὔθ' ὑμῖν οὔτ' ἐμοί. Διόπερ τά τε νῦν καταχθέντα πλοῖα πρὸς ἡμᾶς ἀφίημι ὑμῖν, καὶ τοῦ λοιποῦ, ἐὰν βούλησθε μὴ ἐπιτρέπειν τοῖς προεστηκόσιν ὑμῶν κακοήθως πολιτεύεσθαι, ἀλλ' ἐπιτιμᾶτε, πειράσομαι κἀγὼ διαφυλάττειν τὴν εἰρήνην. Εὐτυχεῖτε. »

[79] Ἐνταῦθ' οὐδαμοῦ Δημοσθένην γέγραφεν, οὐδ' αἰτίαν οὐδεμίαν κατ' ἐμοῦ. Τί ποτ' οὖν τοῖς ἄλλοις ἐγκαλῶν τῶν ἐμοὶ

NC. 2. τοῦ δήμου τοῦ S et L. τοῦ δήμου τῶν vulg. — 6. φιλοτιμούμενον S, L. et la plupart des manuscrits. — συντετελέσθαι L. συντελεσθαι S. συντετάχθαι vulg. : cf. l. 2. — 7. προσολον S. — 8. τουτο το χρήσιμον S[1] et L[1].

7-8. Ὑπολαμβάνουσιν.... πρόσοδον ἔσεσθαι. Cf. *Lettre de Philippe*, § 19.

13. Ἐνταῦθ(α).... C'est ici le lieu d'examiner si les documents insérés dans le texte répondent à ceux que l'orateur avait fait lire devant la justice. Le scholiaste rapporte que Philippe écrivit une lettre menaçante aux Athéniens et qu'ensuite, sur leurs réclamations, il consentit à leur rendre les navires et à remettre le navarque en liberté. Christ (*l. c.*) pense qu'un faussaire se servit maladroitement de ces données pour composer la lettre et les décrets. Il y a plus : on peut démontrer que la lettre alléguée par Démosthène ne ressemblait à rien à celle que nous lisons ici (lettre très-conciliante et qui ne saurait passer pour une déclaration de guerre), ni même à celle dont le scholiaste donne l'idée. L'érudit qui a cru compléter le texte en ajoutant une pièce à l'appui s'est figuré, comme le scholiaste, qu'elle devait rouler uniquement sur la question des navires. Celui qui s'est amusé à fabriquer les deux décrets a suivi cette idée, et il a répété inconsidérément le terme de ναύαρχος, dont un prince étranger pouvait se servir en parlant du stratége chargé du commandement d'une escadre athénienne. Mais la lettre qui amena la déclaration de guerre contenait une énumération de tous les griefs que Philippe avait contre les Athéniens : c'est ce que nous apprend Denys d'Halicarnasse (*Lettre à Ammée*, I, 11), qui avait lu l'analyse de cette lettre dans les Annales de Philochore. Et cela s'accorde avec le texte de Démosthène. L'orateur dit en effet que Philippe incrimine les actes de plusieurs citoyens, mais qu'il n'ose parler ni de l'ambassade envoyée dans le Péloponnèse ni des expéditions dans l'Eubée, à Byzance et ailleurs, mesures que Démosthène avait fait prendre. Ces paroles n'auraient pas de sens si la dépêche du roi ne renfermait pas une série de griefs. Les décrets cités par Démosthène, et qui étaient, pour le moins, au nombre de six (voy. § 75), portaient aussi sur des sujets divers et étaient d'époques différentes. Ceux d'Eubule et d'Aristophon sont évidemment les mêmes qui se trouvent mentionnés au § 70, et traitaient de tout autre chose que des vaisseaux capturés. Ces décrets, ainsi que celui de Philocrate, ont même dû re-

πεπραγμένων οὐχὶ μέμνηται; ὅτι τῶν ἀδικημάτων ἂν ἐμέμνητο τῶν αὑτοῦ [εἴ τι περὶ ἐμοῦ γέγραφεν]· τούτων γὰρ εἰχόμην ἐγὼ καὶ τούτοις ἠναντιούμην.
252 Καὶ πρῶτον μὲν τὴν εἰς Πελοπόννησον πρεσβείαν ἔγραψα, ὅτε πρῶτον ἐκεῖνος εἰς Πελοπόννησον παρεδύετο, εἶτα τὴν εἰς Εὔβοιαν, ἡνίκ' Εὐβοίας ἥπτετο, εἶτα τὴν ἐπ' Ὠρεὸν ἔξοδον, οὐκέτι πρεσβείαν, καὶ τὴν εἰς Ἐρέτριαν, ἐπειδὴ τυράννους ἐκεῖνος ἐν ταύταις ταῖς πόλεσιν κατέστησεν. [80] Μετὰ ταῦτα δὲ τοὺς ἀποστόλους ἅπαντας ἀπέστειλα, καθ' οὓς Χερρόνησος ἐσώθη καὶ τὸ Βυζάντιον καὶ πάντες οἱ σύμμαχοι. Ἐξ ὧν ὑμῖν μὲν τὰ κάλλιστα, ἔπαινοι, δόξαι, τιμαί, στέφανοι, χάριτες παρὰ τῶν εὖ πεπονθότων ὑπῆρχον· τῶν δ' ἀδικουμένων τοῖς μὲν ὑμῖν τότε πεισθεῖσιν ἡ

NC. 2. εἰ.... γέγραφεν (ἐγεγράφει Devarius). J'écarte, avec Badham, cette glose qui obscurcit la relation de τούτων. — 8-10. Μετὰ.... σύμμαχοι. Kirchhoff (*l. c.*, p. 76) regarde cette phrase comme interpolée. Mais l'orateur annonce ici tout ce qu'il développera jusqu'à la fin du paragraphe 101. La transition ἐπειδὴ τοίνυν ἐκ τῆς Εὐβοίας (§ 87), amenée par les considérations qui se rattachent au décret d'Aristonicos, ne marque qu'une subdivision de ce grand morceau. — 8. μετὰ δὲ ταῦτα, avec des signes de transposition, S. — 9. καὶ τὸ S et L. καὶ vulg. — 12. ὑπῆρχον S, L[1], A. ἐγίγνοντο vulg.

monter, nous l'avons dit, au temps de la première guerre. Ces décrets affirmaient probablement les droits d'Athènes à la possession d'Amphipolis, droits qui passaient pour imprescriptibles aux yeux de certains orateurs. Le discours sur l'*Halonnèse* les met hardiment en avant, et la *Lettre* qui se lit à la suite des *Philippiques*, et dont nous avons essayé d'établir l'authenticité, repousse avec raison des prétentions inadmissibles après le traité de 346. Si Démosthène assure que Philippe, en se plaignant de ces prétentions, incrimine, non-seulement Hégésippe, dont les décrets avaient en effet précédé de peu la reprise des hostilités, mais aussi les auteurs de décrets rendus avant ce traité, il jette de la poudre aux yeux des juges. Mais Philippe n'avait-il pas désigné nominativement les Athéniens dont il se plaignait? Certaines expressions de l'orateur : ἑτέροις ἐγκαλῶν (§ 76), ἄλλοις ἐγκαλῶν (§ 79), οὐδαμοῦ Δημοσθένην γέγραφεν (*ib.*), semblent le dire, et plusieurs commentateurs l'ont cru. Néanmoins c'est une erreur. Il était tout à fait inutile de faire lire les décrets, si Philippe en avait nommé les auteurs dans sa dépêche; et Démosthène dit lui-même (§ 73) que le rapprochement des décrets et de la lettre fera connaître sur qui doit peser la responsabilité des faits incriminés par Philippe. Voyez, du reste, ce que nous avons dit à ce sujet dans le volume des *Harangues*, p. 402 sq.

3-4. Εἰς Πελοπόννησον πρεσβείαν. En 343. Ce sont αἱ πέρυσι πρεσβεῖαι dont Démosthène parle dans la *III[e] Philippique*, § 72, et dont il avait fait partie.

6-7. Τὴν ἐπ' Ὠρεὸν ἔξοδον.... τὴν εἰς Ἐρέτριαν. Ces expéditions heureuses eurent lieu en 341 et 340, la seconde sous la conduite de Phocion. Cf. Charax dans Stéphane de Byzance, art. Ὠρεός; Diod., XVI, 74.

8-10. Μετὰ ταῦτα δέ.... Par ces mots, l'orateur passe insensiblement du sujet traité dans les derniers paragraphes, à savoir que ce n'est pas lui qui a rompu la paix, aux services qu'il a rendus pendant la guerre. Car les événements suivants (cela résulte du paragraphe 107) eurent lieu après la déclaration de guerre. — Πάντες οἱ σύμμαχοι. Proconnèse et Ténédos sont mentionnés au paragraphe 302.

σωτηρία περιεγένετο, τοῖς δ' ὀλιγωρήσασιν τὸ πολλάκις ὧν ὑμεῖς προείπατε μεμνῆσθαι, καὶ νομίζειν ὑμᾶς μὴ μόνον εὔνους ἑαυτοῖς, ἀλλὰ καὶ φρονίμους ἀνθρώπους καὶ μάντεις εἶναι· πάντα γὰρ ἐκβέβηκεν ἃ προείπατε.

[81] Καὶ μὴν ὅτι πολλὰ μὲν ἂν χρήματ' ἔδωκε Φιλιστίδης ὥστ' ἔχειν Ὠρεόν, πολλὰ δὲ Κλείταρχος ὥστ' ἔχειν Ἐρέτριαν, πολλὰ δ' αὐτὸς ὁ Φίλιππος ὥστε ταῦθ' ὑπάρχειν ἐφ' ὑμᾶς αὐτῷ, καὶ περὶ τῶν ἄλλων μηδὲν ἐξελέγχεσθαι μηδ' ἃ ποιῶν ἠδίκει μηδέν' ἐξετάζειν πανταχοῦ, οὐδεὶς ἀγνοεῖ, καὶ πάντων ἥκιστα σύ· [82] οἱ γὰρ παρὰ τοῦ Κλειτάρχου καὶ τοῦ Φιλιστίδου τότε πρέσβεις δεῦρ' ἀφικνούμενοι παρὰ σοὶ κατέλυον, Αἰσχίνη, καὶ σὺ προυξένεις αὐτῶν· οὓς ἡ μὲν πόλις ὡς ἐχθροὺς καὶ οὔτε δίκαια οὔτε συμφέροντα λέγοντας ἀπήλασεν, σοὶ δ' ἦσαν φίλοι. Οὐ τοίνυν ἐπράχθη τούτων οὐδέν, ὦ βλασφημῶν περὶ ἐμοῦ καὶ λέγων ὡς σιωπῶ μὲν λαβών, βοῶ δ' ἀναλώσας. 253
Ἀλλ' οὐ σύ· ἀλλὰ βοᾷς μὲν ἔχων, παύσει δ' οὐδέποτε, ἐὰν μή σ' οὗτοι παύσωσιν ἀτιμώσαντες τήμερον. [83] Στεφανωσάντων τοίνυν ὑμῶν ἔμ' ἐπὶ τούτοις τότε, καὶ γράψαντος Ἀριστονίκου

NC. 4. προείπατε S et L[1] seuls. προείπατε αὐτοῖς vulg. — 15. Cobet écarte καὶ λέγων. Cf. *Amb.*, § 119. — 16. σύ S seul. σύ γε vulg. — βοᾷς μὲν ἀεί Hirschig et Cobet.

7-8. Ταῦθ' ὑπάρχειν ἐφ' ὑμᾶς, être maître de ces lieux et pouvoir s'en servir contre vous. — Περὶ τῶν ἄλλων. Entendez surtout l'intervention de Philippe dans le Péloponnèse : § 79.

14-15. Ἐπράχθη τούτων (c'est-à-dire ὧν ἐκεῖνοι ἔλεγον) οὐδέν. Les envoyés des tyrans demandaient évidemment à être reconnus à Athènes, et cherchaient à détourner les expéditions qui se préparaient contre leurs maîtres : cela est indiqué au commencement du paragraphe 81. — Λέγων ὡς.... ἀναλώσας. Cf. Eschine, § 218 : Λαβὼν μὲν σεσίγηκας, ἀναλώσας δὲ κέκραγας. Cependant l'accusation rétorquée ici par Démosthène se trouve dans un autre passage d'Eschine, aux paragraphes 91-104. Corrompu par Callias de Chalcis, il aurait conclu avec les villes de l'Eubée un traité d'alliance tout à l'avantage de ces dernières, et au détriment d'Athènes. Démosthène n'a garde d'affaiblir ici, par une longue justification, l'exposé des services qu'il a rendus à son pays ; mais il revient sur ce point aux paragraphes 238 sqq. Du reste, on peut croire que les mots : οὐ τοίνυν ἐπράχθη.... ἀτιμώσαντες τήμερον ont été insérés après coup (à l'audience) dans un morceau préparé d'avance. Cette conjecture de M. Kirchhoff (*l. c.*, p. 76) me semble très-probable ; mais je ne trouve pas que la rédaction de ce passage soit décousue et obscure.

16. Ἔχων (sous-ent. χρήματα) s'explique par λαβών et ἀναλώσας. Le trait lancé contre Eschine, loin d'être déplacé, est d'autant plus efficace qu'il est plus imprévu.

17. Ἀτιμώσαντες. Si l'accusé était acquitté à une majorité de plus des quatre cinquièmes, l'accusateur était privé du droit d'intenter à l'avenir des actions du même genre. Cf. Schœmann, *Antiq. juris publici*, p. 270 et 283.

τὰς αὐτὰς συλλαβὰς ἅσπερ οὑτοσὶ Κτησιφῶν νῦν γέγραφεν, καὶ ἀναρρηθέντος ἐν τῷ θεάτρῳ τοῦ στεφάνου, καὶ δευτέρου κηρύγματος ἤδη μοι τούτου γιγνομένου, οὔτ' ἀντεῖπεν Αἰσχίνης παρὼν οὔτε τὸν εἰπόντ' ἐγράψατο. Καί μοι λέγε καὶ τοῦτο τὸ ψήφισμα λαβών.

ΨΗΦΙΣΜΑ.

[84] « Ἐπὶ Χαιρώνδου Ἡγέμονος ἄρχοντος, γαμηλιῶνος ἕκτη ἀπιόντος, φυλῆς πρυτανευούσης Λεοντίδος, Ἀριστόνικος Φρεάρριος εἶπεν, ἐπειδὴ Δημοσθένης Δημοσθένους Παιανιεὺς πολλὰς καὶ μεγάλας χρείας παρέσχηται τῷ δήμῳ τῷ Ἀθηναίων, καὶ πολλοῖς τῶν συμμάχων καὶ πρότερον καὶ ἐν τῷ παρόντι καιρῷ βεβοήθηκε διὰ τῶν ψηφισμάτων, καί τινας τῶν ἐν τῇ Εὐβοίᾳ πόλεων ἠλευθέρωκε, καὶ διατελεῖ εὔνους ὢν τῷ δήμῳ τῷ Ἀθηναίων, καὶ λέγει καὶ πράττει ὅ τι ἂν δύνηται ἀγαθὸν ὑπέρ τε αὐτῶν Ἀθηναίων καὶ τῶν ἄλλων Ἑλλήνων, δεδόχθαι τῇ βουλῇ καὶ τῷ δήμῳ τῷ Ἀθηναίων ἐπαινέσαι Δημοσθένην Δημοσθένους Παιανιέα καὶ στεφανῶσαι χρυσῷ στεφάνῳ, καὶ ἀναγο-

NC. 1. νῦν γέγραφεν S. γέγραφε νῦν A. — 3-4. τοιούτου Westermann. Faut-il écrire < καὶ τότε > καὶ δευτέρου.... τοιούτου γιγνομένου (ou γενομένου, avec A)? Kirchhoff soupçonne une interpolation. — 3. ανειπεν S[1]. — 4. τὸν ἀντ' ειπόντα S, L. — Le second καὶ manque dans A. — τούτου S[1]. — 5. λαβών. λέγε vulg. — 7. Χαιρωνίδου vulg — Ἡγήμονος Feliciano. Il faut peut-être supprimer, avec Dobree, un des deux noms propres. — 8. φερεάρριος S (ici; mais non à la fin du document). — 10. τῷ... τῷ S. τῷ.... τῶν vulg. — 11. πρότερον. Bekker transpose après ce mot la virgule qui se trouve après Ἀθηναίων. Mais βεβοήθηκε ne doit porter que sur les alliés.

2-3. Δευτέρου.... γιγνομένου. Les mots κηρύγματος τούτου se rapportent-ils à la proposition de Ctésiphon, comme le présent γιγνομένου semble l'impliquer, ou à celle d'Aristonicos? Dans le premier cas, la période serait mal construite (il faudrait plutôt ὥστε δεύτερον τοῦτο τὸ κήρυγμα ἤδη μοι γίγνεσθαι), et Démosthène n'en dirait pas assez, puisque une autre couronne lui fut décernée, sinon proclamée, dans l'intervalle : cf. § 223. Veut-on, au contraire, que τούτου γιγνομένου (ou plutôt γενομένου) désigne la proclamation due à l'initiative d'Aristonicos, comment expliquer δευτέρου? Car Démosthène ne dit nulle part que pareil honneur lui avait déjà été rendu auparavant, et certes il n'aurait pas manqué d'y insister. L'auteur des *Vies des dix orateurs*, p. 848 C, désigne avec raison la couronne décernée par Aristonicos comme la première. Cf. *NC*.

7. Ἐπὶ.... ἄρχοντος. Il fallait dire : ἐπὶ Θεοφράστου ἄρχοντος. Olymp. CX, 1. Voy. A. Schæfer, t. II, p. 463 sq.

8-9. Ἀριστόνικος Φρεάρριος. C'était Ἀριστόνικος Νικοφάνους Ἀναγυράσιος, d'après *Vies des X orateurs*, l. c.

12-13. Τινας τῶν.... πόλεων. Dans un décret officiel, on s'attendrait à plus de précision.

ρεῦσαι τὸν στέφανον ἐν τῷ θεάτρῳ, τραγῳδοῖς καινοῖς, τῆς δὲ ἀναγορεύσεως τοῦ στεφάνου ἐπιμεληθῆναι τὴν πρυτανεύουσαν φυλὴν καὶ τὸν ἀγωνοθέτην. Εἶπεν Ἀριστόνικος Φρεάρριος. » 254

[85] Ἔστιν οὖν ὅστις ὑμῶν οἶδέ τιν' αἰσχύνην τῇ πόλει συμβᾶσαν διὰ τοῦτο τὸ ψήφισμα ἢ χλευασμὸν ἢ γέλωτα, ἃ νῦν οὗτος ἔφη συμβήσεσθαι, ἂν ἐγὼ στεφανῶμαι; Καὶ μὴν ὅταν ᾖ νέα καὶ γνώριμα πᾶσι τὰ πράγματα, ἐάν τε καλῶς ἔχῃ, χάριτος τυγχάνει, ἐάν θ' ὡς ἑτέρως, τιμωρίας. Φαίνομαι τοίνυν ἐγὼ χάριτος τετυχηκὼς τότε, καὶ οὐ μέμψεως οὐδὲ τιμωρίας.

[86] Οὐκοῦν μέχρι μὲν τῶν χρόνων ἐκείνων, ἐν οἷς ταῦτ' ἐπράχθη, πάντως ἀνωμολόγημαι τὰ ἄριστα πράττειν τῇ πόλει, τῷ νικᾶν, ὅτε βουλεύοισθε, λέγων καὶ γράφων, τῷ καταπραχθῆναι τὰ γραφέντα, καὶ στεφάνους ἐξ αὐτῶν τῇ πόλει καὶ ἐμοὶ καὶ πᾶσιν γενέσθαι, τῷ θυσίας τοῖς θεοῖς καὶ προσόδους, ὡς ἀγαθῶν τούτων ὄντων, ὑμᾶς πεποιῆσθαι.

[87] Ἐπειδὴ τοίνυν ἐκ τῆς Εὐβοίας ὁ Φίλιππος ὑφ' ὑμῶν ἐξηλάθη τοῖς [μὲν] ὅπλοις, τῇ δὲ πολιτείᾳ καὶ τοῖς ψηφίσμασιν, κἂν διαρραγῶσιν τινες τούτων, ὑπ' ἐμοῦ, ἕτερον κατὰ τῆς πόλεως ἐπιτειχισμὸν ἐζήτει. Ὁρῶν δ' ὅτι σίτῳ πάντων ἀνθρώπων πλείστῳ χρώμεθ' ἐπεισάκτῳ, βουλόμενος τῆς σιτοπομπίας κύριος γενέσθαι, παρελθὼν ἐπὶ Θρᾴκης Βυζαντίους, συμμάχους

NC. 1. θεάτρῳ S et L. θεάτρῳ Διονυσίοις vulg. — 3. Ἀριστόδημος S. — 4-5. συμβᾶσαν τῇ πόλει vulg. — 11. πάντως Dobree. πάντως texte de S seul. πάντας et (après ἀνωμολόγημαι) τοὺς χρόνους L et vulg. πάντας.... τοὺς τρόπους autre conjecture de Dobree. — 12. βουλεύοισθε L. Spengel. ἐβουλεύεσθε mss. — 14. πᾶσιν S et L[1]. πᾶσιν ὑμῖν vulg. — 16-17. ὑφ' ὑμῶν, après τοῖς μὲν ὅπλοις, vulg. L'ordre de ces mots varie dans les manuscrits. J'écarte μὲν. — 20. σιτοπομπείας vulg.

6. Οὗτος ἔφη. Allusion à Eschine, § 231 : Αὐτοὶ δ' ὅταν τὸν τοιοῦτον ἄνθρωπον στεφανῶτε, οὐκ οἴεσθ' ἐν ταῖς τῶν Ἑλλήνων δόξαις συρίττεσθαι; M. Kirchhoff a fait sur cette allusion la même remarque que sur celle du paragraphe 82 : en retranchant les mots : Ἔστιν οὖν.... ἐγὼ στεφανῶμαι, on rétablirait probablement la première rédaction de ce morceau.

12. Νικᾶν, l'emporter (sur les autres orateurs). Cf. *Phil.* I, § 51 : Νικῴη δ' ὃ πᾶσι μέλλει συνοίσειν.

14. Προσόδους. Cf. Sophocle, *Antig.*, 152 : Θεῶν δὲ ναοὺς χοροῖς.... ἐπέλθωμεν.

17. Τοῖς [μὲν] ὅπλοις. Ces mots viennent en quelque sorte après la fin de la phrase, comme une restriction non prévue.

18-19. Ἕτερον.... ἐπιτειχισμόν. Cf. § 71, avec la note.

19-20. Σίτῳ.... ἐπεισάκτῳ. Cf. *Leptine*, § 31, avec la note.

ὄντας αὐτῷ, τὸ μὲν πρῶτον ἠξίου συμπολεμεῖν τὸν πρὸς ὑμᾶς πόλεμον, ὡς δ' οὐκ ἤθελον οὐδ' ἐπὶ τούτοις ἔφασαν τὴν συμμαχίαν πεποιῆσθαι, λέγοντες ἀληθῆ, χάρακα βαλόμενος πρὸς τῇ πόλει καὶ μηχανήματ' ἐπιστήσας ἐπολιόρκει. [88] Τούτων δὲ γιγνομένων ὅ τι μὲν προσῆκε ποιεῖν ὑμᾶς, οὐκ ἐπερωτήσω·
255 δῆλον γάρ ἐστιν ἅπασιν. Ἀλλὰ τίς ἦν ὁ βοηθήσας τοῖς Βυζαντίοις καὶ σώσας αὐτούς; τίς ὁ κωλύσας τὸν Ἑλλήσποντον ἀλλοτριωθῆναι κατ' ἐκείνους τοὺς χρόνους; ὑμεῖς, ἄνδρες Ἀθηναῖοι· τὸ δ' ὑμεῖς ὅταν λέγω, τὴν πόλιν λέγω. Τίς δ' ὁ τῇ πόλει λέγων καὶ γράφων καὶ πράττων καὶ ἁπλῶς ἑαυτὸν εἰς τὰ πράγματ' ἀφειδῶς διδούς; ἐγώ. [89] Ἀλλὰ μὴν ἡλίκα ταῦτ' ὠφέλησεν ἅπαντας, οὐκέτ' ἐκ τοῦ λόγου δεῖ μαθεῖν, ἀλλ' ἔργῳ πεπείρασθε· ὁ γὰρ τότ' ἐνστὰς πόλεμος, ἄνευ τοῦ καλὴν δόξαν ἐνεγκεῖν, ἐν πᾶσι τοῖς κατὰ τὸν βίον ἀφθονωτέροις καὶ εὐωνοτέροις διῆγεν ὑμᾶς τῆς νῦν εἰρήνης, ἣν οὗτοι κατὰ τῆς πατρίδος τηροῦσιν, οἱ χρηστοί, ἐπὶ ταῖς μελλούσαις ἐλπίσιν, ὧν διαμάρ-

NC. 3. χάρακα S et L[1], Harpocration. χαρακώματα ou χαράκωμα vulg. — 5. προσῆκε vulg. προσηκει (provenant, sans doute, de προσηκεν) S et L seuls. — ἡμᾶς vulg. — οὐκ ἐπερωτήσω S et L. οὐκέτ' ἐρωτήσω vulg. — 8. ὦ ἄνδρες vulg. — 9. Variante : ὅταν εἴπω. — 11. ἀφειδῶς est, suivant Dobree, une glose de ἁπλῶς. Cf. § 170. — διδούς A. δούς S, L, vulg. — 12. οὐκ ἐκ λόγου vulg. — 15. διηγεν S et L seuls. διήγαγεν vulg. — 16. μελλουσιν S[1].

1-2. Ἠξίου συμπολεμεῖν τὸν πρὸς ὑμᾶς πόλεμον. Le fait est qu'à cette époque la guerre n'était pas encore déclarée entre Athènes et la Macédoine. Philippe demanda peut-être aux Byzantins de concourir à certains actes qui pouvaient froisser Athènes et amener la guerre. Il faut croire que les anciens ressentiments contre Byzance que Démosthène eut à vaincre, quand il engagea ses concitoyens à secourir cette ville, n'étaient pas encore éteints au moment où ce procès se plaidait. Voilà pourquoi, sans doute, Démosthène présente les Byzantins comme victimes de leur dévouement pour Athènes. A l'entendre, leur refus de combattre contre cette ville était la cause immédiate du siége qu'ils eurent à subir. Mais avant le commencement de ce siége, les Byzantins avaient aidé, comme c'était leur devoir, à défendre la ville de Périnthe contre les attaques de Philippe (en 340). Voyez Denys d'Halicarnasse, *Lettre à Ammée*, I, 11 ; Diodore, *Biblioth.*, XVI, 74-77.

13. Ἐνστὰς πόλεμος ne répond pas à *instans*, mais à *cœptum bellum*. [Dissen.] — Ἄνευ, « sans compter que », « outre que », et non « sans que ». Cf. *Réformes*, § 7. Euripide, *Médée*, 296 : Χωρὶς γὰρ ἄλλης ἧς ἔχουσιν ἀργίας ‖ φθόνον πρὸς ἀστῶν ἀλφάνουσι δυσμενῆ.

15-16. Διῆγεν ὑμᾶς, vous faisait vivre, vous permettait de vivre. C'est que, grâce à l'intervention d'Athènes, la σιτοπομπία (§ 87) n'était pas interceptée, les communications avec les pays agricoles du Pont-Euxin restaient ouvertes. — Ἣν οὗτοι.... τηροῦσιν. Cf. § 323. — Ἐπὶ ταῖς μελλούσαις ἐλπίσιν équivaut à ἐπὶ ταῖς τῶν αὐτοῖς μελλόντων ἔσεσθαι ἀγαθῶν ἐλπίσιν. Disons mieux : ἐλπίς désigne, par métonymie, l'objet de l'espérance. Cf. *Ambass.*, § 121.

τοιεν, καὶ μετάσχοιεν ὧν ὑμεῖς οἱ τὰ βέλτιστα βουλόμενοι τοὺς θεοὺς αἰτεῖτε, μὴ μεταδοῖεν ὑμῖν ὧν αὐτοὶ προῄρηνται. Λέγε δ' αὐτοῖς καὶ τοὺς τῶν Βυζαντίων στεφάνους καὶ [τοὺς] τῶν Περινθίων, οἷς ἐστεφάνουν ἐκ τούτων τὴν πόλιν.

ΨΗΦΙΣΜΑ ΒΥΖΑΝΤΙΩΝ.

[90] « Ἐπὶ ἱερομνάμονος Βοσπορίχω Δαμάγητος ἐν τᾷ ἁλίᾳ ἔλεξεν, ἐκ τᾶς βωλᾶς λαβὼν ῥήτραν, ἐπειδὴ ὁ δᾶμος ὁ Ἀθηναίων ἔν τε τοῖς προγεγεναμένοις καιροῖς εὐνοέων διατελεῖ Βυζαντίοις καὶ τοῖς συμμάχοις καὶ συγγενέσι Περινθίοις καὶ πολλὰς καὶ μεγάλας χρείας παρέσχηται, ἔν τε τῷ παρεστακότι καιρῷ, Φιλίππω τῶ Μακεδόνος ἐπιστρατεύσαντος ἐπὶ τὰν χώραν καὶ τὰν πόλιν ἐπ' ἀναστάσει Βυζαντίων καὶ Περινθίων καὶ τὰν χώραν δαίοντος καὶ δενδροκοπέοντος, βοηθήσαις πλοίοις 256
ἑκατὸν καὶ εἴκοσι καὶ σίτῳ καὶ βέλεσι καὶ ὁπλίταις ἐξείλετο ἀμὲ ἐκ τῶν μεγάλων κινδύνων καὶ ἀποκατέστασεν τὰν πάτριον πολιτείαν καὶ τὼς νόμως καὶ τὼς τάφως, [91] δεδόχθαι τῷ

NC. 1. μετάσχοιεν S et L seuls. μὴ μετάσχοιεν (mauvaise correction) vulg. — 2. μὴ μετάδοιεν S seul. μηδὲ μετάδοιεν L et vulg. — 3. τοὺς τῶν.... τοὺς τῶν. Variante : τοὺς.... τούς. Vœmel (d'après l'*Urbinas*) : τοὺς τῶν.... τῶν. — 6. ἐντεαλία S et vulg. Cf. p. 464, l. 8, *NC*. — 7. ῥάτραν et Ἀθαναίων Dindorf et Vœmel. — 8. προγεγεναμένοις G.H. Schæfer. προγεναμένοις S. προγενομένοις vulg. — 10. παράσχηται S. — 11. Φιλιππωι τωι et ἐπιστατευσαντος S. — 13. δεοντος S[1]. δαίοντος Cobet, *Mnem.*, XI, p. 198. — 13. βοηθήσαις Sauppe. βοηθῆσαι S, L, F. βοηθήσας vulg. — πλοίοισιν vulg. — 15. αμε S. ἄμμε L et vulg. — τῶν μεγίστων Dobree. — 16. δεδόχθω S et vulg. Cf. §§ 29, 84, *passim*. 72.

1-2. Μετάσχοιεν.... Ce vœu d'un vrai patriote se retrouve, en d'autres termes, à la fin de la *II*e *Philippique*. — Ὧν αὐτοὶ προῄρηνται, c'est-à-dire un esclavage doré.

4. Ἐκ τούτων, par suite de ces actes.

6. Ἐπὶ ἱερομνάμονος. A Byzance, l'hiéromnamon, prêtre de Neptune (cf. Plutarque, *Sympos.*, VIII, VIII, 4), était magistrat éponyme, comme l'archonte à Athènes (cf. Polybe, IV, 52). [Dissen.] — Ἁλίᾳ équivaut à ἐκκλησίᾳ.

7. Ῥήτραν signifie γνώμην, προβούλευμα.

9. Συγγενέσι. Il est vrai que Byzance était une colonie des Doriens de Mégare, tandis que Périnthe avait été fondée par des Ioniens de Samos ; mais des Mégariens s'étaient associés à ces derniers. Cf. Plutarque, *Quæst. Gr.* c. 57. [Dissen.]

13. Δαίοντος καὶ δενδροκοπέοντος. On lit souvent chez les historiens attiques καίειν καὶ κόπτειν (ou τέμνειν) τὴν χώραν [G. H. Schæfer.]

15. Ἀποκατέστασεν, rétablit. Est-ce une espèce d'expression hyperbolique pour « préserva » ?

δάμῳ τῷ Βυζαντίων καὶ Περινθίων Ἀθηναίοις δόμεν ἐπιγαμίαν, πολιτείαν, ἔγκτασιν γᾶς καὶ οἰκιᾶν, προεδρίαν ἐν τοῖς ἀγῶσι, πόθοδον ποτὶ τὰν βωλὰν καὶ τὸν δᾶμον πράτοις πεδὰ τὰ ἱερὰ, καὶ τοῖς κατοικεῖν ἐθέλουσι τὰν πόλιν ἀλειτουργήτοις ἦμεν πασᾶν τᾶν λειτουργιᾶν· στᾶσαι δὲ καὶ εἰκόνας τρεῖς ἑκκαιδεκαπήχεις ἐν τῷ Βοσπορείῳ, στεφανούμενον τὸν δᾶμον τὸν Ἀθηναίων ὑπὸ τῶ δάμω τῶ Βυζαντίων καὶ Περινθίων· ἀποστεῖλαι δὲ καὶ θεωρίας ἐς τὰς ἐν τᾷ Ἑλλάδι πανηγύριας, Ἴσθμια καὶ Νέμεα καὶ Ὀλύμπια καὶ Πύθια, καὶ ἀναχαρῦξαι τὼ στεφάνω οἷς ἐστεφάνωται ὁ δᾶμος ὁ Ἀθηναίων ὑφ' ἡμῶν, ὅπως ἐπιστέωνται οἱ Ἕλλανες τάν τε Ἀθηναίων ἀρετὰν καὶ τὰν Βυζαντίων καὶ Περινθίων εὐχαριστίαν. »

[92] Λέγε καὶ τοὺς παρὰ τῶν ἐν Χερρονήσῳ στεφάνους.

ΨΗΦΙΣΜΑ ΧΕΡΡΟΝΗΣΙΤΩΝ.

« Χερρονησιτῶν οἱ κατοικοῦντες Σηστὸν, Ἐλεοῦντα, Μάδυτον, Ἀλωπεκόννησον, στεφανοῦσιν Ἀθηναίων τὴν βουλὴν καὶ τὸν

NC. 2. ἔγκτασιν et οἰκιᾶν Valesius. ἔκτασιν et οικιαν, οἰκίαν, ou οἰκείαν manuscrits. — 3. πόθοδον Valesius. ποθολον manuscrits. Cf. p. 457, l. 7, *NC*. — ποττὰν βωλὰν Cobet, *Misc. Crit.*, p. 479. — πράτοις πεδὰ Bekker. παρα τοισπαρα S et vulg. πρώτοις μετὰ Valesius. — 5. πασαν τὰν λειτουργίαν S. — 6. Βοσπορείῳ Dindorf. Βοσπορείχῳ S. Βοσπορίχῳ vulg. Βοσπόρῳ Feliciano. — 6-7. τῶν Ἀθηναίων et τῷ δάμῳ τῶν vulg. — 8. θεωρίας Valckenaer. δωρίας manuscrits. — ἐν τε S et vulg. — 10. τω στεφάνωι S. — οἷς ἐστεφάνωται Valckenaer. ὁσοιστεφανωιται S. ᾧ συστεφάνωται vulg. — 10. ὑμῶν S et L. — 11. τάν τε Porson. πάντε S seul: πάντες vulg. πάντες τάν τε G. H. Schæfer et Cobet. — 12. εὐχαριστείαν S. — 15. Ἐλεοῦντα manuscrits.

1. Καὶ Περινθίων. Comment le sénat et le peuple de Byzance peuvent-ils rendre un décret au nom de Périnthe, cité alliée (cf. p. 463, l. 9) et, par là même, autonome? Deux décrets identiques ont-ils été résumés en un seul document? Il y a ici une difficulté; mais les deux villes ont dû agir de concert, puisqu'elles concourent à l'érection d'un monument commun. Si notre document n'est pas authentique, il a été rédigé d'après de bons modèles.

2-3. Πολιτείαν, les droits politiques de citoyen. C'est un grand et rare privilége : on peut s'étonner que l'orateur ne l'ait pas mentionné expressément. — Ἔγκτασιν. Cf. *Halonn.*, § 42. Voyez, sur ces honneurs internationaux, Schœmann, *Antiq. j. p.*, p. 377; *Griech. Alt.*, II, p. 23 sq. — Πόθοδον (pour πρόσοδον).... πεδὰ (pour μετὰ) τὰ ἱερά, le droit d'être admis les premiers (avant les envoyés d'autres États) en présence du sénat et du peuple, après les sacrifices par lesquels s'ouvraient les séances. Formule usuelle, pour laquelle Dissen renvoie à *Corp. Inscr. Gr.*, n° 2267-2268 etc.

6. Στεφανούμενον τὸν δᾶμον. Voy. le miroir gravé, représentant le héros Corinthos couronné par la cité de Leucade, *Monuments grecs publiés par l'association*

δῆμον χρυσῷ στεφάνῳ ἀπὸ ταλάντων ἑξήκοντα, καὶ Χάριτος βωμὸν ἱδρύονται καὶ Δήμου Ἀθηναίων, ὅτι πάντων <τῶν> μεγίστων ἀγαθῶν παραίτιος γέγονεν Χερρονησίταις, ἐξελόμενος ἐκ τῆς Φιλίππου καὶ ἀποδοὺς τὰς πατρίδας, τοὺς νόμους, τὴν 257 ἐλευθερίαν, τὰ ἱερά. Καὶ ἐν τῷ μετὰ ταῦτα αἰῶνι παντὶ οὐκ ἐλλείψει εὐχαριστῶν καὶ ποιῶν ὅ τι ἂν δύνηται ἀγαθόν. Ταῦτα ἐψηφίσαντο κοινῷ βουλευτηρίῳ. »

[93] Οὐκοῦν οὐ μόνον τὸ Χερρόνησον καὶ Βυζάντιον σῶσαι, οὐδὲ τὸ κωλῦσαι τὸν Ἑλλήσποντον ὑπὸ Φιλίππῳ γενέσθαι τότε, οὐδὲ τὸ τιμᾶσθαι τὴν πόλιν ἐκ τούτων ἡ προαίρεσις ἡ ἐμὴ καὶ ἡ πολιτεία διεπράξατο, ἀλλὰ καὶ πᾶσιν ἔδειξεν ἀνθρώποις τήν τε τῆς πόλεως καλοκαγαθίαν καὶ τὴν Φιλίππου κακίαν. Ὁ μὲν γὰρ σύμμαχος ὢν τοῖς Βυζαντίοις πολιορκῶν αὐτοὺς ἑωρᾶθ' ὑπὸ πάντων, οὗ τί γένοιτ' ἂν αἴσχιον ἢ μιαρώτερον; [94] ὑμεῖς δ' οἱ καὶ μεμψάμενοι πολλὰ καὶ δίκαι' ἂν ἐκείνοις εἰκότως περὶ ὧν ἠγνωμονήκεσαν εἰς ὑμᾶς ἐν τοῖς ἔμπροσθεν χρόνοις, οὐ μόνον οὐ μνησικακοῦντες οὐδὲ προϊέμενοι τοὺς ἀδικουμένους, ἀλλὰ καὶ σῴζοντες ἐφαίνεσθε, ἐξ ὧν δόξαν, εὔνοιαν, τιμὴν παρὰ πάντων ἐκτᾶσθε. Καὶ μὴν ὅτι μὲν πολλοὺς ἐστεφανώκατ' ἤδη τῶν πολιτευομένων ἅπαντες ἴσασιν· δι' ὃν-

NC. 2-3. Nous avons inséré τῶν. μεγίστων S, L[1], F. μέγιστον vulg. μεγίστου Reiske. ὅτι τῶν μεγίστων Dobree. Cf. § 143. — 3. παραίτιος Reiske. πράττειν S, L, F. πράττειν αἴτιος variante. — 6. ελλιψει S. — 7. Variante : ἐν κοινῷ. Dobree : ἐν τῷ κοινῷ. — 11. ἀνθρώποις ἔδειξε vulg. — 12-13. μὲν γὰρ σύμμαχος S et L[1]. μέν γε φίλος καὶ σύμμαχος vulg. — 17-18. τοὺς ἀδικουμένους. Ces mots pourraient être une glose. [Kirchhoff.] — 19. εὔνοιαν, τιμήν A. εὔνοιαν S, L, vulg. καὶ εὔνοιαν Bekker. Quoi qu'en dise Vœmel, l'*asyndeton bimeres* ne paraît pas de mise ici. — πολλοὺς μὲν vulg. — 20. πεπολιτευμένων F. — ἅπαντες ne manque que dans S[1]. — ἴσασιν S.

pour l'encouragement des études grecques en France, n° 2, et les groupes analogues indiqués par A. Dumont, p. 31 sqq.

1. Ταλάντων ἑξήκοντα. Il faut entendre de petits talents d'or du poids de six drachmes, et de la valeur de trois statères attiques. Cf. Bœckh, *Staatshaushaltung*, I, p. 39 sqq ; Hultsch, *Metrologie*, p. 109 sq.

3. Παραίτιος γέγονεν. Formule usuelle. Cf. *Corp. inscr. gr.*, III, n°s 5491 et 5762. [Reiske.]

4. Ἐκ τῆς Φιλίππου. On sous-entend χειρός.

10-11. Ἡ προαίρεσις ἡ ἐμὴ καὶ ἡ πολιτεία équivaut à ἡ προαίρεσίς μου τῆς πολιτείας, § 192.

16. Ἠγνωμονήκεσαν. Allusion à la guerre, désastreuse pour Athènes, que la république eut à soutenir, de 357 à 355, contre ses alliés rebelles, à la tête desquels se trouvait Byzance.

17-18. Τοὺς ἀδικουμένους, les opprimés, c'est-à-dire des hommes opprimés. Cf. *NC*.

τινα δ' ἄλλον ἡ πόλις ἐστεφάνωται, σύμβουλον λέγω καὶ ῥήτορα, πλὴν δι' ἐμέ, οὐδ' ἂν εἷς εἰπεῖν ἔχοι.

[95] Ἵνα τοίνυν καὶ τὰς βλασφημίας ἃς κατὰ τῶν Εὐβοέων καὶ τῶν Βυζαντίων ἐποιήσατο, εἴ τι δυσχερὲς αὐτοῖς ἐπέπρακτο πρὸς ὑμᾶς ὑπομιμνήσκων, συκοφαντίας οὔσας ἐπιδείξω μὴ μόνον τῷ ψευδεῖς εἶναι (τοῦτο μὲν γὰρ ὑπάρχειν ὑμᾶς εἰδότας ἡγοῦμαι), ἀλλὰ καὶ τῷ, εἰ τὰ μάλιστ' ἦσαν ἀληθεῖς, οὕτως ὡς ἐγὼ κέχρημαι τοῖς πράγμασι συμφέρειν χρήσασθαι, ἓν ἢ
258 δύο βούλομαι τῶν καθ' ὑμᾶς πεπραγμένων καλῶν τῇ πόλει διεξελθεῖν, καὶ ταῦτ' ἐν βραχέσιν· καὶ γὰρ ἄνδρ' ἰδίᾳ καὶ πόλιν κοινῇ πρὸς τὰ κάλλιστα τῶν ὑπαρχόντων ἀεὶ δεῖ πειρᾶσθαι τὰ λοιπὰ πράττειν. [96] Ὑμεῖς τοίνυν, ἄνδρες Ἀθηναῖοι, Λακεδαιμονίων γῆς καὶ θαλάττης ἀρχόντων καὶ τὰ κύκλῳ τῆς Ἀττικῆς κατεχόντων ἁρμοσταῖς καὶ φρουραῖς, Εὔβοιαν, Τάναγραν, τὴν Βοιωτίαν ἅπασαν, Μέγαρα, Αἴγιναν, Κέω, τὰς ἄλλας νήσους, οὐ ναῦς, οὐ τείχη τῆς πόλεως τότε κεκτημένης, ἐξήλθετ' εἰς Ἁλίαρτον καὶ πάλιν οὐ πολλαῖς ἡμέραις ὕστερον εἰς Κόρινθον, τῶν τότ' Ἀθηναίων πόλλ' ἂν ἐχόντων μνησικακῆσαι καὶ Κορινθίοις καὶ Θηβαίοις τῶν περὶ τὸν Δεκελεικὸν πόλεμον

NC. 7. Pour ἡγοῦμαι, S[1] et L[1] portent la glose εἰδέναι. — 11-12. πειρᾶσθαι τὰ λοιπὰ S et L seuls. τὰ λοιπὰ πειρᾶσθαι vulg. — ὦ ἄνδρες vulg. — 15. Κέω, τὰς Dobree. Κλεωνὰς S seul. Κλεωνὰς τὰς vulg. — 16. οὔτε τείχη S et L seuls. οὔτε.... οὔτε Dindorf. — κεκτημένης vulg. κτησαμένης S[1] et L, ainsi que les derniers éditeurs. Il faudrait, au moins, ἀνακτησαμένης. — 19. δεκελικὸν S.

1. Σύμβουλον λέγω καὶ ῥήτορα. Scholiaste : Ἴσως ἡ διαστολὴ πρὸς τοὺς στρατηγούς.

3-4. Εὐβοέων. Voy. Eschine, § 85 sqq. Mais on ne trouve rien contre Byzance dans son discours écrit. Eschine en avait-il dit plus long ? ou Démosthène fait-il erreur ? Mais il y revient au § 238, et nous croyons plutôt qu'il avait préparé ce morceau d'avance et que ses prévisions ne se réalisèrent qu'en partie ? Cf. *Notice*, p. 409. Kirchhoff regarde les §§ 95-101 comme ajoutés après coup.

6. Ὑπάρχειν ὑμᾶς εἰδότας, que vous les savez déjà. Cf. la note sur ὑπάρχειν ἐγνωκότες, *Rhodiens*, § 1 ; ἐθέλοντας ὑπάρχειν, *Phil.* I, § 13, et *passim*.

9. Τῶν καθ' ὑμᾶς. Cependant le premier des exemples qui vont suivre, l'orateur le fait observer lui-même, appartient à une époque plus ancienne.

11. Τῶν ὑπαρχόντων, de la gloire acquise. Cf. *Cherson.*, § 49, avec la note.

14. Τάναγραν. Tanagre est distinguée parmi les villes de la Béotie, de même que Céos parmi les Cyclades, comme étant voisine de l'Attique.

17. Εἰς Ἁλίαρτον. En 395, au commencement de la guerre dite de Corinthe. Lysandre perdit la vie dans cette bataille. Cf. Xénophon, *Hell.*, III, v, 16 sqq.

19. Τὸν Δεκελεικὸν πόλεμον. C'est la seconde partie de la guerre du Péloponnèse.

πραχθέντων· ἀλλ' οὐκ ἐποίουν τοῦτο, οὐδ' ἐγγύς. [97] Καίτοι τότε ταῦτ' ἀμφότερ', Αἰσχίνη, οὔθ' ὑπὲρ εὐεργετῶν ἐποίουν οὔτ' ἀκίνδυν' ἑώρων. Ἀλλ' οὐ διὰ ταῦτα προίεντο τοὺς καταφεύγοντας ἐφ' αὑτούς, ἀλλ' ὑπὲρ εὐδοξίας καὶ τιμῆς ἤθελον τοῖς δεινοῖς αὑτοὺς διδόναι, ὀρθῶς καὶ καλῶς βουλευόμενοι. Πέρας μὲν γὰρ ἅπασιν ἀνθρώποις ἐστὶ τοῦ βίου θάνατος, κἂν ἐν οἰκίσκῳ τις αὑτὸν καθείρξας τηρῇ· δεῖ δὲ τοὺς ἀγαθοὺς ἄνδρας ἐγχειρεῖν μὲν ἅπασιν ἀεὶ τοῖς καλοῖς, τὴν ἀγαθὴν προβαλλομένους ἐλπίδα, φέρειν δ' ἂν ὁ θεὸς διδῷ γενναίως. [98] Ταῦτ' ἐποίουν οἱ ὑμέτεροι πρόγονοι, ταῦθ' ὑμῶν οἱ πρεσβύτεροι, οἳ Λακεδαιμονίους οὐ φίλους ὄντας οὐδ' εὐεργέτας, ἀλλὰ πολλὰ τὴν πόλιν ἡμῶν ἠδικηκότας καὶ μεγάλα, ἐπειδὴ Θηβαῖοι κρατήσαντες ἐν Λεύκτροις ἀνελεῖν ἐπεχείρουν, διεκωλύσατε, οὐ φοβηθέντες τὴν τότε Θηβαίοις ῥώμην καὶ δόξαν ὑπάρχουσαν, οὐδ' ὑπὲρ οἷα 259 πεποιηκότων ἀνθρώπων κινδυνεύσετε διαλογισάμενοι. [99] Καὶ γάρ τοι πᾶσι τοῖς Ἕλλησιν ἐδείξατ' ἐκ τούτων ὅτι, κἂν ὁτιοῦν τις εἰς ὑμᾶς ἐξαμάρτῃ, τούτων τὴν ὀργὴν εἰς τἄλλ' ἔχετε, ἐὰν δ' ὑπὲρ σωτηρίας ἢ ἐλευθερίας κίνδυνός τις αὐτοὺς καταλαμβάνῃ, οὔτε μνησικακήσετε οὔθ' ὑπολογιεῖσθε. Καὶ οὐκ ἐπὶ τούτων μόνον οὕτως ἐσχήκατε, ἀλλὰ πάλιν σφετεριζομένων

RC. 2. τότε est omis dans A. — 3. προίεντο S et L¹. πρόειντο ou προεῖντο vulg. — 6. ὁ θάνατος vulg. — 9. ἂν Vœmel. ὃ ἂν Stobée, *Fl.* VII, 50. ἂν ὃ S seul. ὅ τι ἂν vulg. — 10. Var. : ἡμέτεροι.... ἡμῶν οἱ. Texte de S seul : ὑμεῖς οἱ. — 17. τούτων texte de S seul. τούτῳ (malgré αὐτούς, l. 18) vulg. — 18. ἐλευθερίας καὶ σωτηρίας (correction inconsidérée) A. — 20. Variante : τούτων μόνων.

6. Ἐν οἰκίσκῳ, comme un oiseau dans une cage. Telle était l'explication de Didyme. Tout en reconnaissant que οἰκίσκος a souvent chez les Attiques le sens particulier de « cage d'oiseau », Harpocration désapprouve cette interprétation, et s'en tient à la signification générale : ἐν μικρῷ τινι οἰκήματι. — Ce passage est cité à l'envi par les critiques anciens. Dissen rapproche Properce, III, xviii, 25 : « Ille « licet ferro cautus se condat et ære, Mors « tamen inclusum protrahit inde caput. »

8. Προβαλλομένους équivaut à πρὸ ὀμμάτων ἔχοντας. [Scholiaste.]

10-13. Λακεδαιμονίους. Cet accusatif ne dépend pas de διεκωλύσατε, mais de ἀνελεῖν. C'est comme s'il y avait Λακεδαιμονίους ὑπὸ Θηβαίων ἀναιρεθῆναι διεκωλύσατε.

17. Τούτων (c'est-à-dire τῶν ἐξημαρτημένων) τὴν ὀργήν. Cf. Tite-Live, XXVII, xxviii, 6 : « Ira, non defectionis modo, « sed equitum interfectorum. » Génitif objectif. — Ἔχετε. La logique demanderait ἔχοντες (« tout en conservant »), non suivi de δέ Mais l'usage grec et latin autorisent la coordination de la proposition accessoire avec la proposition principale. Cf. Madvig, *ad* Cic. *de Fin.*, V, xxix, 89; Nægelsbach, *Lateinische Stilistik*, § 127.

18. Ὑπὲρ σωτηρίας ἢ ἐλευθερίας, pour l'existence (comme dans le cas des Lacédé-

Θηβαίων τὴν Εὔβοιαν οὐ περιείδετε, οὐδ' ὧν ὑπὸ Θεμίσωνος καὶ Θεοδώρου περὶ Ὠρωπὸν ἠδίκησθ' ἀνεμνήσθητε, ἀλλ' ἐβοηθήσατε καὶ τούτοις, τῶν ἐθελοντῶν τότε τριηράρχων πρῶτον γενομένων τῇ πόλει, ὧν εἷς ἦν ἐγώ. Ἀλλ' οὔπω περὶ τούτων. [100] Καὶ καλὸν μὲν ἐποιήσατε καὶ τὸ σῶσαι τὴν νῆσον, πολλῷ δ' ἔτι τούτου κάλλιον τὸ καταστάντες κύριοι καὶ τῶν σωμάτων καὶ τῶν πόλεων ἀποδοῦναι ταῦτα δικαίως αὐτοῖς τοῖς ἐξημαρτηκόσιν εἰς ὑμᾶς, μηδὲν ὧν ἠδίκησθε ἐν οἷς ἐπιστεύθητε ὑπολογισάμενοι. Μυρία τοίνυν ἕτερ' εἰπεῖν ἔχων παραλείπω, ναυμαχίας, ἐξόδους [πεζὰς στρατείας], καὶ πάλαι γεγονυίας καὶ νῦν ἐφ' ἡμῶν αὐτῶν, ἃς ἁπάσας ἡ πόλις τῆς τῶν Ἑλλήνων ἐλευθερίας καὶ σωτηρίας πεποίηται. [101] Εἶτ' ἐγὼ τεθεωρηκὼς ἐν τοσούτοις καὶ τοιούτοις τὴν πόλιν ὑπὲρ τῶν τοῖς

NC. 3. ἐθελόντων S, L, vulg. — τότε τριηραρχῶν S, L. τριηραρχῶν τότε vulg. — 5. καὶ καλὸν S. καίτοι καλὸν L et vulg. Cette dernière leçon méconnaît le sens de la phrase parenthétique : Ἀλλ' οὔπω περὶ τούτων. — 8. ἐν οἷς ἐπιστεύθητε. Ces mots manquent dans le texte de S et dans L[1]. Mais, quoi qu'on en ait dit, ils ne ressemblent pas à une interpolation, et leur omission s'explique facilement. — 10. πεζὰς στρατείας (στρατιὰς S). Avec Usener, *Rhein. Mus.*, XXV, p. 590, nous considérons ces mots comme une glose. On a cherché à rendre la leçon des manuscrits un peu plus tolérable en liant ἐξόδους πεζάς. — 11. Variante : ὑμῶν. — ὑπὲρ τῆς Cobet. — τῶν ἄλλων Ἑλλήνων S et L[1] seuls. τῶν Ἑλλήνων ἕνεκ' A. τῶν ἄλλων ἕνεχ' Ἑλλήνων vulg. Quant à ἄλλων, que nous avons retranché avec A, cf. § 24 *NC.*, et *passim*.

moniens), ou bien pour la liberté. [Dissen.] — Αὐτούς : pluriel se référant à τις. Cf. *Olynth.* II, § 18, avec la note.

1-2. Ὑπὸ Θεμίσωνος.... ἠδίκησθ(ε). Scholiaste : Θεμίσων τις (tyran d'Érétrie) καὶ Θεόδωρος Εὐβοεῖς, ἐπιθέμενοι Ὠρωπῷ, χωρίῳ Ἀθηναίων, κειμένῳ μεταξὺ τῆς Ἀττικῆς καὶ τῆς Βοιωτίας, ἔλαβον αὐτό (en 366). Ὡς δὲ Ἀθηναῖοι ἔμελλον πόλεμον συνάψειν, ἔδοξε δίκῃ μᾶλλον κρίνεσθαι· τὸν δὲ μέχρι τῆς δίκης χρόνον Θηβαῖοι ἔφασαν αὐτοὶ λαβόντες φυλάξειν τὸ χωρίον. Ὡς δὲ ἔλαβον, οὐδὲ ἑτέροις ἀπέδοσαν, μέχρις οὗ Φίλιππος ὕστερον (après la bataille de Chéronée) σπεισάμενος Ἀθηναίοις ἐν τῷ (αὐτὸ?) ἀναχωρεῖν ἐχαρίσατο αὐτοῖς παρὰ Θηβαίων λαβών. Cf. Xénophon, *Hell.*, VII, iv, 1 ; Diodore, XV, 76. Voyez aussi *Mégalop.*, § 11, avec la note.

2-3. Ἐβοηθήσατε. C'est la rapide et heureuse expédition de 357, que Démosthène rappelle, *Cherson.*, § 74, et ailleurs.

4. Ὧν.... ἐγώ. Cf. *Mid.*, § 161. — Ἀλλ' οὔπω περὶ τούτων. C'est au paragraphe 267 que Démosthène donnera l'énumération de ses liturgies.

8-9. Μηδὲν.... ὑπολογισάμενοι, ne faisant pas entrer en ligne de compte vos injures, quand on s'était fié à votre loyauté. Quant à ἐν οἷς ἐπιστεύθητε, cf. § 19 : Ἐν οἷς ἡμάρτανον ἄλλοι, avec la note. Il est curieux qu'Eschine, en racontant (§ 85) les mêmes faits dans une autre intention, s'exprime presque comme Démosthène : Τάς τε πόλεις αὐτὰς καὶ τὰς πολιτείας ἀπέδοτ' ὀρθῶς καὶ δικαίως τοῖς παρακαταθεμένοις, οὐχ ἡγούμενοι δίκαιον εἶναι τὴν ὀργὴν ἀπομνημονεύειν ἐν τῷ πιστευθῆναι.

11-12. Τῆς.... ἐλευθερίας, en vue de la liberté. Vœmel rapproche *Amb.*, § 76, pour cet emploi du génitif. Cf. *NC.*

ἄλλοις συμφερόντων ἐθέλουσαν ἀγωνίζεσθαι, ὑπὲρ αὐτῆς τρόπον τινὰ τῆς βουλῆς οὔσης τί ἔμελλον κελεύσειν ἢ τί συμβουλεύσειν αὐτῇ ποιεῖν; μνησικακεῖν, νὴ Δία, πρὸς τοὺς βουλομένους σῴζεσθαι, καὶ προφάσεις ζητεῖν δι' ἃς ἅπαντα προησόμεθα.
Καὶ τίς οὐκ ἂν ἀπέκτεινέ με δικαίως, εἴ τι τῶν ὑπαρχόντων τῇ 260
πόλει καλῶν λόγῳ μόνον καταισχύνειν ἐπεχείρησα; ἐπεὶ τό γ' ἔργον οὐκ ἂν ἐποιήσαθ' ὑμεῖς, ἀκριβῶς οἶδ' ἐγώ· εἰ γὰρ ἐβούλεσθε, τί ἦν ἐμποδών; οὐκ ἐξῆν; οὐχ ὑπῆρχον οἱ ταῦτ' ἐροῦντες οὗτοι;

[102] Βούλομαι τοίνυν ἐπανελθεῖν ἐφ' ἃ τούτων ἑξῆς ἐπολιτευόμην· καὶ σκοπεῖτ' ἐν τούτοις πάλιν αὖ, τί τὸ τῇ πόλει βέλτιστον ἦν. Ὁρῶν γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ ναυτικὸν ὑμῶν καταλυόμενον, καὶ τοὺς μὲν πλουσίους ἀτελεῖς ἀπὸ μικρῶν ἀναλωμάτων γιγνομένους, τοὺς δὲ μέτρι' ἢ μικρὰ κεκτημένους τῶν πολιτῶν τὰ ὄντ' ἀπολλύοντας, ἔτι δ' ὑστερίζουσαν ἐκ τούτων τὴν πόλιν τῶν καιρῶν, ἔθηκα νόμον καθ' ὃν τοὺς μὲν τὰ δίκαια ποιεῖν ἠνάγκασα [τοὺς πλουσίους], τοὺς δὲ

NC. 2. Var. : τῆς συμβουλῆς. — 3. μνησικακεῖν L, A. μνησικακήσειν S et vulg. — 4. Ancienne vulgate : προησόμεθα τὰ συμφέροντα. — 6. ἐπεχείρησ' ἂν S et L. — 8. ουχ ὑπῆρχον S. — 15. τὰ ὄντα. Ces mots sont ajoutés dans S par une main ancienne. Vœmel les supprime à tort. — Variante : ἀπολλύντας. — 16-17. καθ' ὃν μὲν S, suivi par Vœmel. On ne peut guère se passer de τούς; mais les mots τοὺς πλουσίους me sont suspects. Tel est aussi le sentiment de Kirchhoff (*l. c.*, p. 95) et de Herwerden. Cobet (*Misc. crit.*, p. 480) écarte aussi πένητας. Il a raison.

1. Ὑπὲρ αὐτῆς. Cf. *Cherson.*, § 16 : Αὐτοὺς (les Byzantins) δεῖ σῶς εἶναι· συμφέρει γὰρ τῇ πόλει.

5-6. Τῶν ὑπαρχόντων... καλῶν. Cf. 95.

10. Ἑξῆς, se rattachant, ἐχόμενα. [Schol.]

12. Τὸ ναυτικόν. Le service de la flotte et les prestations des triérarques étaient imparfaitement organisés. Dès le commencement de sa carrière politique, en 354, Démosthène avait proposé d'amender la loi qui régissait cette matière. Voyez la Harangue sur les *Symmories*, avec notre *Notice*. Depuis, les abus n'avaient fait que s'aggraver (cf. § 107; *Mid.*, § 155). En 340, au début de la seconde guerre contre Philippe, Démosthène obtint, malgré toutes les résistances et les intrigues des intéressés, une réforme radicale. Jusque-là on avait chargé solidairement de l'entretien et de l'armement de chaque vaisseau un nombre de contribuables d'autant plus grand que le nombre de vaisseaux à mettre en mer était petit. Démosthène mit fin à ce système, que les plus riches avaient exploité au détriment des moins aisés, et il imposa à tous les citoyens que leur pauvreté n'exemptait pas de cette charge d'y contribuer, chacun en raison de sa fortune.

13-14. Ἀτελεῖς ἀπὸ μικρῶν ἀναλωμάτων, exempts à peu de frais. On peut voir dans la *Midienne*, *l. c.*, comment les membres les plus riches des symmories, qui faisaient les avances d'argent et avaient la haute main sur l'administration, savaient s'affranchir de toute la charge, ou peu s'en

[πένητας] ἔπαυσ' ἀδικουμένους, τῇ πόλει δ' ὅπερ ἦν χρησιμώτατον, ἐν καιρῷ γίγνεσθαι τὰς παρασκευὰς ἐποίησα. [103] Καὶ γραφεὶς τὸν ἀγῶνα τοῦτον εἰς ὑμᾶς εἰσῆλθον καὶ ἀπέφυγον, καὶ τὸ μέρος τῶν ψήφων ὁ διώκων οὐκ ἔλαβεν. Καίτοι πόσα χρήματα τοὺς ἡγεμόνας τῶν συμμοριῶν ἢ τοὺς δευτέρους καὶ τρίτους οἴεσθέ μοι διδόναι, ὥστε μάλιστα μὲν μὴ θεῖναι τὸν νόμον τοῦτον, εἰ δὲ μή, καταβάλλοντ' ἐᾶν ἐν ὑπωμοσίᾳ; τοσαῦτ', ὦ ἄνδρες Ἀθηναῖοι, ὅσ' ὀκνήσαιμ' ἂν πρὸς ὑμᾶς εἰπεῖν. [104] Καὶ ταῦτ' εἰκότως ἔπραττον ἐκεῖνοι. Ἦν γὰρ αὐτοῖς ἐκ μὲν τῶν προτέρων νόμων συνεκκαίδεκα λῃτουργεῖν, αὐτοῖς μὲν μικρὰ καὶ οὐδὲν ἀναλίσκουσιν, τοὺς δ' ἀπόρους τῶν πολιτῶν
261 ἐπιτρίβουσιν, ἐκ δὲ τοῦ ἐμοῦ νόμου τὸ γιγνόμενον κατὰ τὴν

NC. 3. γραφεὶς εἰς A. — Après τοῦτον, ou après γραφεὶς, on trouve la glose παρανόμων. — 4. τὸ πέμπτον μέρος vulg. — 6. θεῖναί με vulg. — 7. καταβάλλοντα S et L[1]. καταβαλόντα με vulg. — 11. ἀναλίσκουσιν S.

faut. Ici, Démosthène s'exprime avec une vivacité hyperbolique, qui n'aurait pas dû embarrasser Bœckh (*Staatshaushalt.*, I, p. 732) : en dépensant peu, les riches n'étaient pas tout à fait ἀτελεῖς, cela s'entend assez : au paragraphe 104, l'orateur dira μικρὰ καὶ οὐδὲν ἀναλίσκουσιν. Cf. Eschyle, *Perses*, 734 : Μονάδα δὲ Ξέρξην ἐρημόν φασιν οὐ πολλῶν μέτα.

3-4. Γραφείς, accusé. — Τὸν ἀγῶνα τοῦτον.... εἰσῆλθον, je subis ce procès, c'est-à-dire j'eus, comme Ctésiphon aujourd'hui, à me défendre contre l'action παρανόμων. Quant à la construction, cf. § 105 : Εἰσῆλθον τὴν γραφήν. — Τὸ μέρος, la partie fixée par la loi, c'est-à-dire la cinquième partie des suffrages. Cf. §§ 222 et 250.

5-7. Ἡγεμόνας : les plus riches, qui se trouvaient à la tête des symmories. [Harpocration.] Évidemment les δεύτεροι et τρίτοι tenaient le second et le troisième rang par leur fortune et le rôle qu'ils jouaient dans l'administration des symmories. — Διδόναι, offrir. Cf. *Amb.*, § 166 et *passim*. Dinarque (*Démosth.*, § 42) accuse, au contraire, notre orateur de s'être laissé corrompre afin de modifier sa loi. Bœckh (*l. c.*, p. 741) a fait justice de cette calomnie. En parlant de cette réforme dans un de ses plaidoyers, Hypéride (cité par Harpocration, art. Συμμορία) disait qu'elle fit peser la charge de la triérarchie sur les Trois-cents, c'est-à-dire sur les plus riches. — Καταβάλλοντ' ἐᾶν ἐν ὑπωμοσίᾳ, laisser tomber la loi dès qu'elle eut rencontré de l'opposition. Nulle part καταβάλλειν n'a le sens de « déposer une proposition ». Ὑπωμοσία, terme général pour toute espèce de serment dilatoire, désigne ici en particulier la protestation par laquelle un citoyen suspendait l'effet d'une motion, en s'engageant sous la foi du serment qu'il la poursuivrait comme contraire aux lois, παρανόμων. Voy. Schœmann, *Ant. jur. publ.*, p. 224.

10. Συνεκκαίδεκα λειτουργεῖν. L'association de seize contribuables pour l'armement d'un seul vaisseau était, sans doute, un maximum exceptionnel. Hypéride (*l. c.*) dit que, avant la loi de Démosthène, cinq ou six citoyens se partageaient les frais de la triérarchie. Les inscriptions font mention de sept citoyens associés pour le même objet. Cf. Bœckh, *Seewesen*, p. 187 ; A. Schæfer, II, p. 191.

12-1. Ἐκ δὲ τοῦ ἐμοῦ νόμου (ἦν).... τιθέναι, ma loi eut pour effet de faire contribuer chacun en raison de sa fortune. Τὸ γιγνόμενον désigne le résultat d'un calcul : cf. *Contre Phormion*, § 24 : Τῶν.... ἑκατὸν εἴκοσι στατήρων γίγνονται τρίσχι-

οὐσίαν ἕκαστον τιθέναι, καὶ δυοῖν ἐφάνη τριήραρχος ὁ τῆς μιᾶς ἕκτος καὶ δέκατος πρότερον συντελής· οὐδὲ γὰρ τριηράρχους ἔτ' ὠνόμαζον ἑαυτούς, ἀλλὰ συντελεῖς. Ὥστε δὴ ταῦτα λυθῆναι καὶ μὴ τὰ δίκαια ποιεῖν ἀναγκασθῆναι, οὐκ ἔσθ' ὅ τι οὐκ ἐδίδοσαν. [105] Καί μοι λέγε πρῶτον μὲν τὸ ψήφισμα καθ' ὃ εἰσῆλθον τὴν γραφήν, εἶτα τοὺς καταλόγους, τόν τ' ἐκ τοῦ προτέρου νόμου καὶ τὸν κατὰ τὸν ἐμόν. Λέγε.

ΨΗΦΙΣΜΑ.

« Ἐπὶ ἄρχοντος Πολυκλέους, μηνὸς βοηδρομιῶνος ἕκτῃ ἐπὶ δέκα, φυλῆς πρυτανευούσης Ἱπποθοωντίδος, Δημοσθένης Δημοσθένους Παιανιεὺς εἰσήνεγκεν νόμον εἰς τὸ τριηραρχικὸν ἀντὶ τοῦ πρότερον, καθ' ὃν αἱ συντέλειαι ἦσαν τῶν τριηράρχων· καὶ ἐπεχειροτόνησεν ἡ βουλὴ καὶ ὁ δῆμος· καὶ ἀπήνεγκεν παρανόμων Δημοσθένει Πατροκλῆς Φλυεύς, καὶ τὸ μέρος τῶν ψήφων οὐ λαβὼν ἀπέτισε τὰς πεντακοσίας δραχμάς. »

[106] Φέρε δὴ καὶ τὸν καλὸν κατάλογον.

NC. 2. δέκατος ὢν L et vulg. δέκατος αὐτὸς Herwerden, *l. c.*, p. 129. — 3. ἔτι ὠνόμαζον S, L, A. ἐπωνόμαζον vulg. — 11. εἰς τὸ. Bœckh supprime ces deux mots : cf. § 312. Si le document était authentique, cette correction serait nécessaire. — 12. τοῦ προτέρου vulg. — 15. ἀπήτησε S et L. — 17. τὸν παλαιὸν κατάλογον Herwerden.

λιαι τριακόσιαι ἑξήκοντα (δραχμαὶ Ἀττικαί). Donc τὸ γιγνόμενον κατὰ τὴν οὐσίαν est le quotient, la quote-part proportionnelle à la fortune.

3. Συντελεῖς· οἱ συνδαπανῶντες καὶ συνεισφέροντες· τὸ δὲ πρᾶγμα συντέλεια καλεῖται. [Harpocration.]

5-6. Τὸ ψήφισμα καθ' ὃ..., « le décret en vertu duquel » et non « pour lequel ». Il s'agit du décret qui suspendait la loi de Démosthène jusqu'au moment où il aurait été statué judiciairement sur l'opposition qu'elle avait rencontrée. [Westermann.] — Τοὺς καταλόγους, les listes des triérarques et de la prestation à fournir par chacun d'eux. Mais, comme une pareille lecture eût été trop longue, il faut peut-être entendre l'énoncé du principe de ces listes.

9. Ἐπὶ ἄρχοντος Πολυκλέους. Encore un pseudonyme. Du reste ce document n'est pas celui que l'orateur vient d'annoncer : c'est plutôt un procès-verbal qu'un décret. [Dissen.]

11. Εἰς τὸ τριηραρχικόν, « de re trierarchica ». Mauvaise locution. Cf. *NC*.

15. Τὰς πεντακοσίας δραχμάς. L'article désigne cette amende comme l'amende ordinaire, légale. Cependant, partout ailleurs, elle est fixée à mille drachmes. Voy. Bœckh, *Staatsh.*, I, p. 500.

16. Τὸν καλόν. Scholiaste : κατ' εἰρωνείαν.

ΚΑΤΑΛΟΓΟΣ.

« Τοὺς τριηράρχους καλεῖσθαι ἐπὶ τὴν τριήρη συνεκκαίδεκα ἐκ τῶν ἐν τοῖς λόχοις συντελειῶν, ἀπὸ εἴκοσι καὶ πέντε ἐτῶν εἰς τετταράκοντα, ἐπὶ ἴσον τῇ χορηγίᾳ χρωμένους. »

Φέρε δὴ παρὰ τοῦτον τὸν ἐκ τοῦ ἐμοῦ νόμου κατάλογον.

262 ΚΑΤΑΛΟΓΟΣ.

« Τοὺς τριηράρχους αἱρεῖσθαι ἐπὶ τὴν τριήρη ἀπὸ τῆς οὐσίας κατὰ τίμησιν, ἀπὸ ταλάντων δέκα· ἐὰν δὲ πλειόνων ἡ οὐσία ἀποτετιμημένη ᾖ χρημάτων, κατὰ τὸν ἀναλογισμὸν ἕως τριῶν πλοίων καὶ ὑπηρετικοῦ ἡ λειτουργία ἔστω. Κατὰ τὴν αὐτὴν δὲ ἀναλογίαν ἔστω καὶ οἷς ἐλάττων οὐσία ἐστὶ τῶν δέκα ταλάντων, εἰς συντέλειαν συναγομένοις εἰς τὰ δέκα τάλαντα. »

[107] Ἆρα μικρὰ βοηθῆσαι τοῖς πένησιν ὑμῶν δοκῶ, ἢ μίκρ' ἀναλῶσαι [ἂν] τοῦ μὴ τὰ δίκαια ποιεῖν ἐθέλειν οἱ πλούσιοι; Οὐ τοίνυν μόνον τῷ μὴ καθυφεῖναι ταῦτα σεμνύνομαι, οὐδὲ τῷ

NC. 3. συντελῶν Vœmel. — 4. χρωμένους marge de L. χρώμενον S et vulg. — 6. ΚΑΤΑΛΟΓΟΥ S. — 13. ἆρα S[1]. ἆρά γε L et vulg. — Variante vicieuse : ὑμῖν. — 14. Cobet insère ὑπὲρ avant τοῦ. — [ἂν]. Nous avons mis ce mot entre crochets. Rauchenstein (*Zeitschrift für die Alterthumswissenschaft*, 1851, p. 428) dit avec raison qu'il faut supprimer soit ἄν, soit ἐθέλειν. Cet infinitif est omis dans A.

2-3. Συνεκκαίδεκα. Voyez la note sur page 470, l. 10. Si elle est juste, l'auteur de ce document n'a pas bien compris le texte de Démosthène. — Λόχοις. Ce terme étonne. On s'attendait à ἐν ταῖς συμμορίαις.

11-12. Ἐλάττων οὐσία.... τῶν δέκα ταλάντων. Expression moins exacte que celles qu'on a vues plus haut. En effet, les dix talents ne sont pas le montant de la fortune, mais du *cens*, τίμημα, c'est-à-dire de cette quote-part de la fortune qui servait de base à la répartition de l'impôt. Cf. la note sur *Symmories*, § 19. Un cens de dix talents oblige à l'armement d'un vaisseau. Ceux qui sont plus riches se trouvent chargés de plusieurs vaisseaux, de manière cependant que trois vaisseaux et une embarcation de service constituent la limite extrême de la prestation. Les fortunes moins considérables sont réunies en groupes présentant chacun un total de dix talents de cens. Ce document, expliqué par Bœckh, *l. c.*, p. 737 sq., paraît digne de plus de confiance que les précédents.

14. Τοῦ μὴ.... ποιεῖν, pour ne pas faire. Quant au génitif, cf. p. 168, l. 11, avec la note. — Ἐθέλειν se rattache à ἀναλῶσαι.

γραφεὶς ἀποφυγεῖν, ἀλλὰ καὶ τῷ συμφέροντα θεῖναι τὸν νόμον καὶ τῷ πεῖραν ἔργῳ δεδωκέναι. Πάντα γὰρ τὸν πόλεμον, τῶν ἀποστόλων γιγνομένων κατὰ τὸν νόμον τὸν ἐμόν, οὐχ ἱκετηρίαν ἔθηκε τριήραρχος οὐδεὶς πώποθ' ὡς ἀδικούμενος παρ' ὑμῖν, οὐκ ἐν Μουνιχίας ἐκαθέζετο, οὐχ ὑπὸ τῶν ἀποστολέων ἐδέθη, οὐ τριήρης οὔτ' ἔξω καταλειφθεῖσα ἀπώλετο τῇ πόλει, οὔτ' αὐτοῦ ἀπελείφθη οὐ δυναμένη ἀνάγεσθαι. [108] Καίτοι κατὰ τοὺς προτέρους νόμους ἅπαντα ταῦτ' ἐγίγνετο. Τὸ δ' αἴτιον, ἐν τοῖς πένησιν ἦν τὸ λῃτουργεῖν· πολλὰ δὴ τἀδύνατα συνέβαινεν. Ἐγὼ δ' ἐκ τῶν ἀπόρων εἰς τοὺς εὐπόρους μετήνεγκα τὰς τριηραρχίας· πάντ' οὖν τὰ δέοντ' ἐγίγνετο. Καὶ μὴν καὶ κατ' αὐτὸ τοῦτ' ἄξιός εἰμ' ἐπαίνου τυχεῖν, ὅτι πάντα τὰ τοιαῦτα προῃρούμην πολιτεύματα, ἀφ' ὧν ἅμα δόξαι καὶ τιμαὶ καὶ δυνάμεις συνέβαινον τῇ πόλει· βάσκανον δὲ καὶ πικρὸν καὶ κα- 263
κόηθες οὐδέν ἐστι πολίτευμ' ἐμόν, οὐδὲ ταπεινόν, οὐδὲ τῆς πόλεως ἀνάξιον. [109] Ταὐτὸ τοίνυν ἦθος ἔχων ἔν τε τοῖς κατὰ τὴν πόλιν πολιτεύμασι καὶ ἐν τοῖς Ἑλληνικοῖς φανήσομαι· οὔτε γὰρ ἐν τῇ πόλει τὰς παρὰ τῶν πλουσίων χάριτας μᾶλλον ἢ τὰ τῶν πολλῶν δίκαι' εἱλόμην, οὔτ' ἐν τοῖς Ἑλληνικοῖς τὰ Φιλίππου δῶρα καὶ τὴν ξενίαν ἠγάπησ' ἀντὶ τῶν κοινῇ πᾶσι τοῖς Ἕλλησι συμφερόντων.

NC. 1. αποφεύγειν S. — 4. ὡς est omis par S[1] seul. — 5. ἐν Μουνιχίας Kirchhoff (l. c., p. 96). ἐν Μουνυχίᾳ manuscrits. L'orthographe par un iota est celle des inscriptions attiques. — 6-7. Variantes : καταληφθεῖσα, et (S[1]) ἀπελήφθη. — 9. λειτουργεῖν L et S. λειτουργεῖν μὴ δύνασθαι, ou μὴ δύνασθαι λειτουργεῖν vulg. — 15. πολίτευμα οὐδέν ἐστιν ἐμόν *Etymologicum Magnum* de Miller (*Mélanges de litt. gr.*, p. 61).

2. Πεῖραν ἔργῳ δεδωκέναι, avoir fait ses preuves à l'expérience. L'orateur dit de lui-même ce qui est vrai de sa loi. Cf. *Timocrate*, § 24 : Οἱ νόμοι.... πεῖραν αὐτῶν πολλάκις δεδώκασιν ὅτι συμφέροντες ὑμῖν εἰσιν.

2-4. Τῶν ἀποστόλων. Ajoutons que Démosthène était alors, comme nous dirions, ministre de la marine, ἐπιστάτης τοῦ ναυτικοῦ. Cf. Eschine, § 222. — Παρ' ὑμῖν, devant le peuple. Le triérarque lésé dans ses intérêts pouvait déposer un rameau de suppliant (ἱκετηρίαν) sur un des autels de la place publique d'Athènes. Il pouvait aussi s'asseoir en suppliant (καθέζεσθαι) près de l'autel d'Artémis Munichia dans le port de ce nom. Voy. le scholiaste, et Lysias, *Contre Agoratos*, §§ 24 et 52.

5. Ἀποστολέων· δέκα τὸν ἀριθμὸν ἄρχοντες ἦσαν, οἱ ἐπὶ τῆς ἐκπομπῆς τῶν πλεουσῶν τριήρων καὶ τῶν ἀναγομένων στόλων ἀποδεδειγμένοι. [Bekkeri *Anecd.*, p. 435.]

6-7. Καταλειφθεῖσ(α), « abandonnée » : sous-ent. οὐ δυναμένη ταχυναυτεῖν. — Ἀπελείφθη, fut laissée en arrière, dans le port.

9. Τὰ ἀδύνατα, les impuissances, les obstacles qui empêchent d'agir. Cf. § 38.

[110] Ἡγοῦμαι τοίνυν λοιπὸν εἶναί μοι περὶ τοῦ κηρύγματος εἰπεῖν καὶ τῶν εὐθυνῶν· τὸ γὰρ ὡς τἄριστά τ' ἔπραττον καὶ διὰ παντὸς εὔνους εἰμὶ καὶ πρόθυμος εὖ ποιεῖν ὑμᾶς, ἱκανῶς ἐκ τῶν εἰρημένων δεδηλῶσθαί μοι νομίζω. Καίτοι τὰ μέγιστά γε τῶν πεπολιτευμένων καὶ πεπραγμένων ἐμαυτῷ παραλείπω, ὑπολαμβάνων πρῶτον μὲν ἐφεξῆς τοὺς περὶ αὐτοῦ τοῦ παρανόμου λόγους ἀποδοῦναί με δεῖν, εἶτα, κἂν μηδὲν εἴπω περὶ τῶν λοιπῶν πολιτευμάτων, ὁμοίως παρ' ὑμῶν ἑκάστῳ τὸ συνειδὸς ὑπάρχειν μοι.

[111] Τῶν μὲν οὖν λόγων, οὓς οὗτος ἄνω καὶ κάτω διακυκῶν ἔλεγεν περὶ τῶν παραγεγραμμένων νόμων, οὔτε μὰ τοὺς θεοὺς ὑμᾶς οἶμαι μανθάνειν οὔτ' αὐτὸς ἐδυνάμην συνεῖναι τοὺς πολλούς· ἁπλῶς δὲ τὴν ὀρθὴν περὶ τῶν δικαίων διαλέξομαι. Τοσούτου γὰρ δέω λέγειν ὡς οὐκ εἴμ' ὑπεύθυνος, ὃ νῦν οὗτος διέβαλλε καὶ διωρίζετο, ὥσθ' ἅπαντα τὸν βίον ὑπεύθυνος εἶναι ὁμολογῶ ὧν ἢ διακεχείρικα ἢ πεπολίτευμαι παρ' ὑμῖν. [112] Ὧν

NC. 8. ἑκάστου F. — 11. πεπραγμένων νόμων texte de S et de L. — 12. ὑμᾶς οἴομαι, ou οἶμαι, L et A. οἶμαι ὑμᾶς S et vulg. — 13. τὴν ὀρθὴν ὁδόν vulg. — 14. τοσούτῳ S et L. Cf. *Phil.* III, 17, *NC.* — οὗτος πολλάκις vulg.

1-2. Λοιπὸν.... εὐθυνων. C'est le second point, indiqué au paragraphe 58 : la question de savoir si la motion de Ctésiphon violait les prescriptions légales sur le lieu où devaient se proclamer (κηρύττεσθαι) les couronnes, et sur l'époque à laquelle cet honneur pouvait être décerné à des magistrats responsables (ὑπεύθυνοι).

4. Τὰ μέγιστα, l'alliance de Thèbes et d'Athènes et la grande lutte décisive.

6-7. Περὶ αὐτοῦ τοῦ παρανόμου, sur la légalité proprement dite. La question politique, la vérité des assertions de Ctésiphon, rentre aussi, si l'on veut, dans l'examen de la légalité de sa motion. C'est là du moins ce que soutient Eschine (§ 50), en alléguant que toutes les lois interdisent d'insérer des mensonges dans les décrets publics. Le document du § 56 rend la pensée d'Eschine. Cf. Fox, p. 240.

7-9. Εἶτα. On s'attend à εἶτα, ἂν ὑμῖν βουλομένοις ᾖ, καὶ περὶ τῶν λοιπῶν πολιτευμάτων διεξελθεῖν. L'orateur réserve la partie la plus difficile de sa tâche, la glorification de la défaite; mais il croit devoir affirmer hardiment que, quand même il n'en dirait rien, les juges, dans leur âme et conscience, lui ont donné d'avance gain de cause. En parlera-t-il ou n'en parlera-t-il pas ? Sans se prononcer à ce sujet, il feint de pencher pour la négative, afin de motiver la disposition artificielle de son discours.

10. Τῶν μὲν οὖν λόγων. Voy. Eschine, *Ctés.*, § 9-48.

11. Παραγεγραμμένων. Cf. *Leptine*, § 98 sq.

13. Τὴν ὀρθήν, sous-ent. ὁδόν. Voilà un bel exemple de ce qu'on appelle les mœurs oratoires. Mais la bonhomie qui a pu en imposer aux auditeurs ne saurait tromper des lecteurs.

15. Διέβαλλε καὶ διωρίζετο équivaut διαβόλως διωρίζετο.

16. Διακεχείρικα désigne le maniement des deniers publics.

μέντοι γ' ἐκ τῆς ἰδίας οὐσίας ἐπαγγειλάμενος δέδωκα τῷ
δήμῳ, οὐδεμίαν ἡμέραν ὑπεύθυνος εἶναί φημι (ἀκούεις Αἰ- 264
σχίνη;) οὐδ' ἄλλον οὐδένα, οὐδ' ἂν τῶν ἐννέ' ἀρχόντων τις ὢν τύχῃ. Τίς γάρ ἐστι νόμος τοσαύτης ἀδικίας καὶ μισανθρωπίας μεστὸς, ὥστε τὸν δόντα τι τῶν ἰδίων καὶ ποιήσαντα πρᾶγμα φιλάνθρωπον καὶ φιλόδωρον τῆς χάριτος μὲν ἀποστερεῖν, εἰς τοὺς συκοφάντας δ' ἄγειν, καὶ τούτους ἐπὶ τὰς εὐθύνας ὧν ἔδωκεν ἐφιστάναι; οὐδὲ εἷς. Εἰ δέ φησιν οὗτος, δειξάτω, κἀγὼ στέρξω καὶ σιωπήσομαι. [113] Ἀλλ' οὐκ ἔστιν, ἄνδρες Ἀθηναῖοι, ἀλλ' οὗτος συκοφαντῶν, ὅτι ἐπὶ τῷ θεωρικῷ τότ' ὢν ἐπέδωκα τὰ χρήματα, « ἐπῄνεσεν αὐτὸν, » φησὶν, « ὑπεύθυνον ὄντα. » Οὐ περὶ τούτων γ' οὐδενὸς, ὧν ὑπεύθυνος ἦν, ἀλλ' ἐφ' οἷς ἐπέδωκα, ὦ συκοφάντα. « Ἀλλὰ καὶ τειχοποιὸς ἦσθα. » Καὶ διά γε τοῦτ' ὀρθῶς ἐπῃνούμην, ὅτι τἀνηλωμέν' ἔδωκα καὶ οὐκ ἐλογιζόμην. Ὁ μὲν γὰρ λογισμὸς εὐθυνῶν καὶ τῶν ἐξετασόντων προσδεῖται, ἡ δὲ δωρεὰ χάριτος καὶ ἐπαίνου δικαία 'στὶ τυγχάνειν· διόπερ ταῦτ' ἔγραψεν ὁδὶ περὶ ἐμοῦ. [114] Ὅτι δ' οὕτω ταῦθ' οὐ μόνον ἐν τοῖς νόμοις, ἀλλὰ καὶ ἐν

NC. 4. ἔστιν S. — 6-7. εἰς τοὺς συκοφάντας δὲ A. εἰς δὲ τοὺς συκοφάντας L et vulg. S réunit ces deux leçons. — 8. οὐδὲ εἷς δήπου L et vulg. — 12. ὑπεύθυνον S[1]. ἡ βουλὴ ὑπεύθυνον L et vulg. — 14. ἦσθα S. ἦσθα, φησί L et vulg. — δι' αὐτό γε τοῦτο vulg. — 15. ἐπέδωκα F. — 18. ταῦτα ἔχει καὶ οὐ A.

1-4. Ἐπαγγειλάμενος, ayant offert de mon propre mouvement, sans y être obligé. — Ἀκούεις, Αἰσχίνη; Je ne sais si Eschine avait prévu cette raison triomphante (τὸν ἄφυκτον λόγον, comme il l'appelle); quoi qu'il en soit, il l'a victorieusement réfutée dans son discours écrit. (§ 17-23). — Τῶν ἐννέ' ἀρχόντων. Magistrats qui, à cause de la gravité de leurs fonctions, avaient la plus grande responsabilité.

6-7. Εἰς τοὺς συκοφάντας δ' ἄγειν, « traduire devant les sycophantes », comme on dit « traduire devant les juges », ἄγειν εἰς τοὺς δικαστάς, εἰς τοὺς λογιστάς. Locution heureusement variée. Voy. Dissen.

9. Στέρξω, je me résignerai.

10-11. Ἐπὶ τῷ θεωρικῷ.... τὰ χρήματα. Ces mots n'impliquent pas nécessairement un don volontaire fait à la caisse du Théorique et différent de celui qui sera mentionné quelques lignes plus bas. On peut croire que l'orateur met habilement en avant la charge qui n'avait aucun rapport avec sa largesse. Voy. *Notice*, p. 389, note 4.

11. Ἐπῄνεσεν. Cf. ἐπῃνούμην, l. 14; ἐπαινοῦμαι, § 117. Démosthène atténue la chose autant que possible, en évitant les termes propres στεφανοῦν, ἀναγορεύειν. [Maximus Sophista, in Fabricii *Bibl. Gr.*, t. IX, p. 582.]

13-14. Ἀλλὰ καὶ τειχοποιὸς ἦσθα. Cf. Eschine, § 24 : Ἄρχων μὲν τὴν ἐπὶ τῷ θεωρικῷ ἀρχὴν, ἄρχων δὲ τὴν τῶν τειχοποιῶν.

14. Τἀνηλωμέν(α). Il faut entendre ce qui avait été dépensé au delà des sommes allouées par l'État.

τοῖς ὑμετέροις ἔθεσιν ὥρισται, ἐγὼ ῥᾳδίως πολλαχόθεν δείξω. Πρῶτον μὲν γὰρ Ναυσικλῆς στρατηγῶν, ἐφ' οἷς ἀπὸ τῶν ἰδίων προεῖτο, πολλάκις ἐστεφάνωται ὑφ' ὑμῶν· εἶθ' ὅτε τὰς ἀσπίδας Διότιμος ἔδωκε καὶ πάλιν Χαρίδημος, ἐστεφανοῦντο· εἶθ' οὑτοσὶ Νεοπτόλεμος πολλῶν ἔργων ἐπιστάτης ὤν, ἐφ' οἷς ἐπέδωκεν, τετίμηται. Σχέτλιον γὰρ ἂν εἴη τοῦτό γε, εἰ τῷ τιν' ἀρχὴν ἄρχοντι ἢ διδόναι τῇ πόλει τὰ ἑαυτοῦ διὰ τὴν ἀρχὴν μὴ
265 ἐξέσται, ἢ τῶν δοθέντων ἀντὶ τοῦ κομίσασθαι χάριν εὐθύνας ὑφέξει. [115] Ὅτι τοίνυν ταῦτ' ἀληθῆ λέγω, λέγε τὰ ψηφίσματά μοι τὰ τούτοις γεγενημέν' αὐτὰ λαβών. Λέγε.

ΨΗΦΙΣΜΑ.

« Ἄρχων Δημόνικος Φλυεύς, βοηδρομιῶνος ἕκτη μετ' εἰκάδα, γνώμη βουλῆς καὶ δήμου, Καλλίας Φρεάρριος εἶπεν, ὅτι δοκεῖ τῇ βουλῇ καὶ τῷ δήμῳ στεφανῶσαι Ναυσικλέα τὸν ἐπὶ τῶν ὅπλων, ὅτι Ἀθηναίων ὁπλιτῶν δισχιλίων ὄντων ἐν Ἴμβρῳ καὶ βοηθούντων τοῖς κατοικοῦσιν Ἀθηναίων τὴν νῆσον, οὐ δυναμένου Φίλωνος τοῦ ἐπὶ τῆς διοικήσεως κεχειροτονημένου διὰ τοὺς χειμῶνας πλεῦσαι καὶ μισθοδοτῆσαι τοὺς ὁπλίτας, ἐκ τῆς

NC. 1. ἡμετέροις vulg. — ἔθεσιν plusieurs rhéteurs dans Walz, IV, p. 513 et 729; VII, p. 424. ἤθεσιν mss de Dém. — 3. ὅτι A. — 5. οὗτος vulg. — 6. ἐπέδωκεν S. — 6-7. εἴ τῳ ἀρχὴν ἄρχοντι Cobet. — 7. τῇ πόλει τὰ ἑαυτοῦ S et L. τὰ ἑαυτοῦ τῇ πόλει vulg. — 9. Variante : ὑφέξειν. — 17. Φιάλωνος avant Reiske.

2-6. Ναυσικλῆς commanda l'expédition qui arrêta Philippe aux Thermopyles en 352 (Diodore, XVI, 37). Il est compté, ainsi que Diotimos, parmi les amis politiques de Démosthène dans les *Vies des dix orateurs*, p. 845 A. Cf. Eschine, § 159. — Διότιμος (Διοπείθους, Εὐωνυμεύς) : comme Charidème, un des patriotes dont Alexandre demanda l'extradition avant de partir pour l'Asie (Arrien, *Anab.*, I, x, 4). Cf. *Mid.*, § 208. A. Schæfer, II, p. 309 sq. — Χαρίδημος. Voy. *Harangues*, p. 135 et 161. — Νεοπτόλεμος (Ἀντικλέους, Μελιτεύς) : comblé d'honneurs, de même que Diotimos, sur la proposition de Lycurgue (*Vies des X orateurs*, p. 843 sq.). Cf. *Mid.*, § 215. — Τετίμηται. Le scholiaste fait observer que Démosthène ne dit pas si ces citoyens ont reçu des honneurs avant d'avoir rendu leurs comptes ou après, mais qu'on peut supposer ce dernier cas.

12. Δημόνικος. Archonte pseudonyme. Le nominatif, ainsi que l'addition du bourg, et, plus bas, ὅτι δοκεῖ pour ὅτι ἔδοξεν ou δεδόχθαι, sont contraires à l'usage. [Bœckh et Droysen.]

14-17. Τὸν ἐπὶ τῶν ὅπλων.... τοῦ ἐπὶ τῆς διοικήσεως. Cf. § 38.

ἰδίας οὐσίας ἔδωκεν καὶ οὐκ εἰσέπραξεν τὸν δῆμον, καὶ ἀναγορεῦσαι τὸν στέφανον Διονυσίοις τραγῳδοῖς καινοῖς. »

ΕΤΕΡΟΝ ΨΗΦΙΣΜΑ.

[116] « Εἶπε Καλλίας Φρεάρριος, πρυτάνεων λεγόντων βουλῆς γνώμη, ἐπειδὴ Χαρίδημος ὁ ἐπὶ τῶν ὁπλιτῶν, ἀποσταλεὶς εἰς Σαλαμῖνα, καὶ Διότιμος ὁ ἐπὶ τῶν ἱππέων, ἐν τῇ ἐπὶ τοῦ ποταμοῦ μάχῃ τῶν στρατιωτῶν τινῶν ὑπὸ τῶν πολεμίων σκυλευθέντων, ἐκ τῶν ἰδίων ἀναλωμάτων καθώπλισαν τοὺς νεανίσκους ἀσπίσιν ὀκτακοσίαις, δεδόχθαι τῇ βουλῇ καὶ τῷ δήμῳ στεφανῶσαι Χαρίδημον καὶ Διότιμον χρυσῷ στεφάνῳ, καὶ ἀναγορεῦσαι Παναθηναίοις τοῖς μεγάλοις ἐν τῷ γυμνικῷ ἀγῶνι καὶ Διονυσίοις τραγῳδοῖς καινοῖς· τῆς δὲ ἀναγορεύσεως ἐπιμεληθῆναι θεσμοθέτας, πρυτάνεις, ἀγωνοθέτας. » 280

[117] Τούτων ἕκαστος, Αἰσχίνη, τῆς μὲν ἀρχῆς ἧς ἦρχεν ὑπεύθυνος ἦν, ἐφ' οἷς δ' ἐστεφανοῦτο, οὐχ ὑπεύθυνος. Οὐκοῦν οὐδ' ἐγώ· ταὐτὰ γὰρ δίκαι' ἐστί μοι περὶ τῶν αὐτῶν τοῖς ἄλλοις δήπου. Ἐπέδωκα· ἐπαινοῦμαι διὰ ταῦτα, οὐκ ὢν ὧν ἔδωχ' ὑπεύθυνος. Ἦρχον· καὶ δέδωκά γ' εὐθύνας ἐκείνων, οὐχ ὧν ἐπέδωκα. Νὴ Δί', ἀλλ' ἀδίκως ἦρξα· εἶτα παρών, ὅτε μ' εἰσῆγον οἱ λογισταί, οὐ κατηγόρεις;

NC. 4. πρυτάνεως S et L[1]. — 6. γνώμη S. — 17. καὶ ἐπαινοῦμαι avant Reiske. — 18. ἔδωκα ὑπεύθυνος S[1]. ἐπέδωκα ὑπ. L et vulg. Cf. § 113 *NC*. — 20. διὰ τί οὐ κατηγόρεις F.

1-2. Ἀναγορεῦσαι. Construisez : δοκεῖ στεφανῶσαι (p 478, l. 14 sq.) καὶ ἀναγορεῦσαι.

4. Πρυτάνεων λεγόντων. Formule insolite et obscure.

6-7. Ἐν τῇ ἐπὶ τοῦ ποταμοῦ μάχῃ. Le combat désigné par ce nom au paragraphe 216 eut lieu sur la frontière de la Phocide. Ou bien, faut-il entendre ici une rivière de l'île de Salamis?

9. Τοὺς νεανίσκους. Pour mettre de la suite dans cet exposé, il faut entendre de jeunes soldats levés pour remplacer ceux dont les cadavres avaient été dépouillés par l'ennemi.

17-18. Ἐπέδωκα.... ἦρχον. Beaucoup d'éditeurs mettent un point d'interrogation après ces verbes. Ce sont des tournures rapides, à demi interrogatives, qui équivalent à εἰ ἐπέδωκα, εἰ ἦρχον.

18. Ἐκείνων, c'est-à-dire ὧν ἦρχον, τῆς ἀρχῆς. Démosthène dit avec vérité qu'il a rendu ses comptes: mais il ne les avait pas encore rendus lorsque Ctésiphon fit sa motion. Or tout est là.

20. Οἱ λογισταί. Cf. *Ambass.*, § 121.

[118] Ἵνα τοίνυν ἴδηθ' ὅτι αὐτὸς οὗτός μοι μαρτυρεῖ ἐφ' οἷς οὐχ ὑπεύθυνος ἦν ἐστεφανῶσθαι, λαβὼν ἀνάγνωθι τὸ ψήφισμ' ὅλον τὸ γραφέν μοι. Οἷς γὰρ οὐκ ἐγράψατο τοῦ προβουλεύματος, τούτοις ἃ διώκει συκοφαντῶν φανήσεται. Λέγε.

ΨΗΦΙΣΜΑ.

« Ἐπὶ ἄρχοντος Εὐθυκλέους, πυανεψιῶνος ἐνάτῃ ἀπιόντος, φυλῆς πρυτανευούσης Οἰνηΐδος, Κτησιφῶν Λεωσθένους Ἀναφλύστιος εἶπεν, ἐπειδὴ Δημοσθένης Δημοσθένους Παιανιεύς, γενόμενος ἐπιμελητὴς τῆς τῶν τειχῶν ἐπισκευῆς καὶ προσαναλώσας εἰς τὰ ἔργα ἀπὸ τῆς ἰδίας οὐσίας τρία τάλαντα, ἐπέδωκε ταῦτα τῷ δήμῳ, καὶ ἐπὶ τοῦ θεωρικοῦ κατασταθεὶς ἐπέδωκε τοῖς ἐκ πασῶν τῶν φυλῶν θεωροῖς ἑκατὸν μνᾶς εἰς θυσίας, δεδόχθαι τῇ βουλῇ καὶ τῷ δήμῳ τῷ Ἀθηναίων ἐπαινέσαι Δημοσθένην Δημοσθένους Παιανιέα ἀρετῆς ἕνεκα καὶ καλοκαγαθίας ἧς ἔχων διατελεῖ ἐν παντὶ καιρῷ εἰς τὸν δῆμον τὸν Ἀθηναίων, καὶ στεφανῶσαι χρυσῷ στεφάνῳ, καὶ ἀναγορεῦσαι τὸν
267 στέφανον ἐν τῷ θεάτρῳ Διονυσίοις τραγῳδοῖς καινοῖς· τῆς δὲ ἀναγορεύσεως ἐπιμεληθῆναι τὸν ἀγωνοθέτην. »

NC. 1. ἴδητε S seul. εἰδῆτε L et vulg. — 2. οὐκ S. — στεφανοῦσθαι Spengel. Cependant « couronner » peut se dire pour « proposer de couronner ». — 12. θεωροῖς, *Vies des dix orateurs*, p. 846 A. θεωρικοῖς manuscrits de Démosthène. — 13. τῶν Ἀθηναίων A. — 14. παιανια S¹. — 15. τὸν Ἀθηναίων S seul. τῶν Ἀθ. L et vulg.

2-4. Ἐστεφανῶσθαι. Cf. *NC*. — Οἷς γὰρ.... φανήσεται, par les points du décret qu'il n'a pas attaqués, on verra qu'il ne fait que de mauvaises chicanes au sujet des points qu'il incrimine.

6. Εὐθυκλέους. C'était sous l'archonte Phrynichus, Ol. CX, 4. Le texte du décret n'est pas plus exact que la date. On n'y voit pas les mots : ὅτι τὰς τάφρους τὰς περὶ τὰ τείχη καλῶς ἐτάφρευσε, lesquels figuraient en tête des considérants, au témoignage d'Eschine, § 236, ni les développements attestés, *ib.*, § 49, et dans notre discours, § 57 et 110. Dissen et Droysen ont jugé avec raison que le présent document n'est pas authentique.

10. Τρία τάλαντα. La même somme se lit dans un document à l'appui des *Vies des dix orateurs*, p. 851 A ; mais le texte y est tellement brouillé et altéré qu'on ne saurait dire quelle en était la leçon primitive. Eschine (§ 17) ne mentionne que les cent mines (l. 12), et il les attribue, comme Pseudo-Plutarque (p. 845 F), à la construction des murs. Il ne dit rien d'un don que Démosthène aurait fait à la caisse du théorique. Cf. la note sur p. 477, l. 10.

12. Θεωροῖς. S'il faut en croire cette pièce, il y avait, sous le nom de θεωροί, des délégués chargés d'assister officiellement à certaines fêtes célébrées, non à l'étranger, mais dans la ville même.

[119] Οὐκοῦν ἃ μὲν ἐπέδωκα, ταῦτ' ἐστὶν ὧν οὐδὲν σὺ γέγραψαι· ἃ δέ φησιν ἡ βουλὴ δεῖν ἀντὶ τούτων γενέσθαι μοι, ταῦτ' ἔσθ' ἃ διώκεις. Τὸ λαβεῖν οὖν τὰ διδόμεν' ὁμολογῶν ἔννομον εἶναι, τὸ χάριν τούτων ἀποδοῦναι παρανόμων γράφει. Ὁ δὲ παμπόνηρος ἄνθρωπος καὶ θεοῖς ἐχθρὸς καὶ βάσκανος ὄντως ποῖός τις ἂν εἴη πρὸς θεῶν; οὐχ ὁ τοιοῦτος;

[120] Καὶ μὴν περὶ τοῦ γ' ἐν τῷ θεάτρῳ κηρύττεσθαι, τὸ μὲν μυριάκις μυρίους κεκηρῦχθαι παραλείπω καὶ τὸ πολλάκις αὐτὸς [ἐστεφανῶσθαι] πρότερον. Ἀλλὰ πρὸς θεῶν οὕτω σκαιὸς εἶ καὶ ἀναίσθητος, Αἰσχίνη, ὥστ' οὐ δύνασαι λογίσασθαι, ὅτι τῷ μὲν στεφανουμένῳ τὸν αὐτὸν ἔχει ζῆλον ὁ στέφανος, ὅπου ἂν ἀναρρηθῇ, τοῦ δὲ τῶν στεφανούντων ἕνεκα συμφέροντος ἐν τῷ θεάτρῳ γίγνεται τὸ κήρυγμα; Οἱ γὰρ ἀκούσαντες ἅπαντες εἰς τὸ ποιεῖν εὖ τὴν πόλιν προτρέπονται, καὶ τοὺς ἀποδιδόντας τὴν χάριν μᾶλλον ἐπαινοῦσι τοῦ στεφανουμένου· διόπερ τὸν νόμον τοῦτον ἡ πόλις γέγραφεν. Λέγε δ' αὐτόν μοι τὸν νόμον λαβών.

ΝΟΜΟΣ.

« Ὅσους στεφανοῦσί τινες τῶν δήμων, τὰς ἀναγορεύσεις τῶν στεφανῶν ποιεῖσθαι ἐν αὐτοῖς ἑκάστους τοῖς ἰδίοις δήμοις, ἐὰν μή τινας ὁ δῆμος ὁ τῶν Ἀθηναίων ἢ ἡ βουλὴ στεφανοῖ· τούτους δ' ἐξεῖναι ἐν τῷ θεάτρῳ Διονυσίοις.... »

NC. 1. J'ôte la virgule avant ὧν. — 7-8. τὸν μὲν S¹. — 9. [ἐστεφανῶσθαι] Kirchhoff. — 10. Variante : δύνασθαι. — 11. ὅποι avant Reiske. — ἂν, avant ἀναρρηθῇ, est omis par S¹. — 20. ποιεῖσθε S. — 22. Après Διονυσίοις, un mot gratté dans F, εξειναι εσθαι S, στεφανοῦσθαι L, ἀναγορεύεσθαι vulg.

1. Ταῦτ' ἐστὶν ὧν, voilà ce dont.

3-4. Τὸ λαβεῖν.... γράφει. Paralogisme spécieux. Hermogène (p. 414 W.) met un point d'interrogation après γράφει. Denys (*De comp. verb.*, t. V, p. 45 R) fait observer qu'en transposant les mots de cette façon : ὁμολογῶν οὖν ἔννομον εἶναι τὸ λαβεῖν τὰ διδόμενα, παρανόμων γράφει τὸ χάριν ἀποδοῦναι, on ôterait à la période sa vigueur et sa rondeur (ἆρ' ὁμοίως ἔσται δικανικὴ καὶ στρογγύλη; ἐγὼ μὲν οὐκ οἴομαι).

8. Πολλάκις. Cf. § 222 sq.

13-14. Οἱ γάρ.... προτρέπονται. Des considérations de ce genre se trouvent, non-seulement chez les orateurs, mais aussi dans les pièces officielles. Westermann cite *Corp. inscr. græc.*, 100 : Ὅπως ἂν καὶ οἱ ἄλλοι πάντες φιλοτιμῶνται εἰς τοὺς δημότας, εἰδότες ὅτι χάριν ἀπολήψονται παρὰ τῶν δημοτῶν ἀξίας τῶν εὐεργετημάτων. Cf. *ib.*, 108.

21. Ἐὰν μή τινας.... στεφανοῖ. Après ce qui précède, ces mots n'offrent pas

[121] Ἀκούεις, Αἰσχίνη, τοῦ νόμου λέγοντος σαφῶς, πλὴν
268 ἐάν τινας ὁ δῆμος ἢ ἡ βουλὴ ψηφίσηται· τούτους δὲ ἀναγορευέτω. Τί οὖν, ὦ ταλαίπωρε, συκοφαντεῖς; τί λόγους πλάττεις; τί σαυτὸν οὐχ ἐλλεβορίζεις ἐπὶ τούτοις; ἀλλ' οὐδ' αἰσχύνει φθόνου δίκην εἰσάγων, οὐκ ἀδικήματος οὐδενός, καὶ νόμους μεταποιῶν, τῶν δ' ἀφαιρῶν μέρη, οὓς ὅλους δίκαιον ἦν ἀναγιγνώσκεσθαι τοῖς γ' ὀμωμοκόσιν κατὰ τοὺς νόμους ψηφιεῖσθαι; [122] Ἔπειτα τοιαῦτα ποιῶν λέγεις ἃ δεῖ προσεῖναι τῷ δημο-

NC. 2. ψηφίσηται texte des manuscrits. στεφανώσηται variante marginale. — 3-4. πλάττει Cobet, *V. L.*, p. 552. — 5. εἰσάγειν S et L. — νόμους S[1] seul. νόμους τοὺς μὲν vulg. Kirchhoff (*l. c.*, p. 63) veut aussi retrancher τῶν δ' et écrire : καὶ νόμους μεταποιεῖν ἀφαιρῶν μέρη. — 6-7. αφερων et ψηφιεσθε S[1]. — 8. επιτα S[1]. ἔπειτα σὺ et εἶτα σὺ variantes. — λέγει (changé en λέγεις) πρὸς ἃ S.

de sens raisonnable; et ils ne sont pas moins contraires au texte de Démosthène qu'à celui d'Eschine. Le faussaire a fait trop beau jeu à notre orateur : si la loi avait porté στεφανοῖ, la question était tranchée en faveur de Ctésiphon.

1-2. Πλὴν ἐάν τινας.... ἀναγορευέτω (sous-ent. ὁ κῆρυξ). Eschine, § 35-48, annonce d'avance que Démosthène abusera de cette clause, insérée dans une loi qu'il appelle νόμος Διονυσιακός et qui n'a, suivant lui, aucun rapport à la question présente. Il dit que cette loi interdisait de proclamer dans le théâtre des couronnes décernées par les tribus ou les dèmes de l'Attique, ou par tout autre, à moins que cette proclamation ne fût autorisée par un décret du peuple (ἐὰν μὴ ψηφίσηται ὁ δῆμος). D'après l'interprétation d'Eschine, les mots « par tout autre » (μήθ' ὑπ' ἄλλου μηδενός) se rapportent aux couronnes décernées par des cités étrangères. Le peuple se serait réservé d'en permettre la proclamation au théâtre, — à peu près comme aujourd'hui le port d'une décoration étrangère doit être autorisé par le chef de l'État. Démosthène affirme que cette clause réserve expressément le théâtre aux couronnes votées par le peuple et le sénat. En l'absence du texte même de la loi, il est malaisé de se prononcer. Tout ce qu'on peut dire, c'est que le verbe ψηφίσηται se prête à l'interprétation d'Eschine. Westermann croit que Démosthène n'aurait guère pu s'exprimer avec une si grande assurance, s'il n'avait pas eu raison. J'avoue que cette assurance me fait un effet tout contraire. Démosthène le prend de très-haut, il affirme, il crie, il accable son adversaire des accusations les plus injurieuses; mais il n'essaye aucune démonstration, il ne discute pas, et après une sortie des plus violentes, il se jette aussitôt à côté de la question. Ajoutons que Démosthène n'ose pas même rappeler une autre loi, citée dans le discours d'Eschine (§ 32) et déjà visée, on ne saurait en douter, dans son acte d'accusation, loi tout à fait explicite, qui interdisait de proclamer ailleurs que dans l'assemblée populaire les couronnes décernées par le peuple. Il est évident que Démosthène esquive la discussion. Landois et Spengel en ont jugé de même.

5. Φθόνου.... οὐκ ἀδικήματος οὐδενός, une plainte dictée par l'envie (de l'accusateur), non par un délit (de l'accusé).

6-7. Τῶν δ(έ), non précédé de τοὺς μέν, comme si ce second membre de phrase n'avait pas été prévu. Cf. *Amb.*, § 180 et *passim*. — Ἀφαιρῶν μέρη. Dans son discours écrit, Eschine, loin de supprimer les mots πλὴν ἐάν.... ψηφίσηται, les discute au contraire longuement. — Ὀμωμοκόσι. Quant à ce serment, voy. *Amb.*, § 179.

8. Λέγεις ἃ δεῖ προσεῖναι τῷ δημοτικῷ. Eschine, § 168 sqq., établit quelles sont les qualités que doit avoir l'ami du peuple; il en énumère cinq, et il montre ensuite qu'aucune de ces cinq qualités ne se trouve chez Démosthène. Celui-ci se moque de cette exactitude pédantesque. Ne dirait-on pas, s'écrie-t-il, d'un homme qui a

τικῷ, ὥσπερ ἀνδριάντ' ἐκδεδωκὼς κατὰ συγγραφὴν, εἶτ' οὐκ ἔχονθ' ἃ προσῆκεν ἐκ τῆς συγγραφῆς κομιζόμενος, ἢ λόγῳ τοὺς δημοτικοὺς, ἀλλ' οὐ τοῖς πράγμασι καὶ τοῖς πολιτεύμασι γιγνωσκομένους. Καὶ βοᾷς ῥητὰ καὶ ἄρρητ' ὀνομάζων, ὥσπερ ἐξ ἁμάξης, ἃ σοὶ καὶ τῷ σῷ γένει πρόσεστιν, οὐκ ἐμοί. [123] Καίτοι καὶ τοῦτ', ὦ ἄνδρες Ἀθηναῖοι. Ἐγὼ λοιδορίαν κατηγορίας τούτῳ διαφέρειν ἡγοῦμαι, τῷ τὴν μὲν κατηγορίαν ἀδικήματ' ἔχειν, ὧν ἐν τοῖς νόμοις εἰσὶν αἱ τιμωρίαι, τὴν δὲ λοιδορίαν βλασφημίας, ἃς κατὰ τὴν αὑτῶν φύσιν τοῖς ἐχθροῖς περὶ ἀλλήλων συμβαίνει λέγειν. Οἰκοδομῆσαι δὲ τοὺς προγόνους ταυτὶ τὰ δικαστήρι' ὑπείληφα, οὐχ ἵνα, συλλέξαντες ὑμᾶς εἰς ταῦτα, ἀπὸ τῶν ἰδίων κακῶς τἀπόρρητα λέγωμεν ἀλλήλους, ἀλλ' ἵν' ἐξελέγχωμεν, ἐάν τις ἠδικηκώς τι τυγχάνῃ τὴν πόλιν. [124] Ταῦτα τοίνυν εἰδὼς Αἰσχίνης οὐδὲν ἧττον ἐμοῦ πομπεύειν ἀντὶ τοῦ κατηγορεῖν εἵλετο. Οὐ μὴν οὐδ' ἐνταῦθ' ἔλαττον ἔχων δίκαιός ἐστιν ἀπελθεῖν. Ἤδη δ' ἐπὶ ταῦτα

NC. 6. καὶ, après καίτοι, est omis par S[1], à la fin d'une colonne, et dans A. — 12. κακῶς pourrait être une glose. [Westermann et Herwerden]. Variante : κακῶν.

passé un marché pour une statue de telles dimensions et de telle forme, et qui se plaint que l'artiste ne la livre pas conforme aux termes de la convention écrite (ἐκ τῆς συγγραφῆς).

2-3. Λόγῳ.... ἀλλ' οὐ τοῖς πράγμασι. Eschine s'accorde sur ce point avec Démosthène. Θεωρεῖτ' αὐτοῦ μὴ τὸν λόγον, ἀλλὰ τὸν βίον, dit-il au paragraphe 176. Quant à l'accusatif γιγνωσκομένους gouverné, comme le nominatif κομιζόμενος, par ὥσπερ, voy. *Symmories*, § 14 sq., avec la note.

4-5. Ῥητὰ καὶ ἄρρητ(α). Cf. *Mid.*, § 79. — Ὥσπερ ἐξ ἁμάξης. Allusion aux gros mots que, aux fêtes de Bacchus (aux Χόες et aux Λήναια, d'après Suidas), les masques se lançaient du haut de leurs chariots. C'est ce que l'orateur appelle πομπεία, πομπεύειν, aux paragraphes 11 et 124.

6-10. Καίτοι καὶ τοῦτο, cependant encore un mot, encore une observation. Cf. *Phil.*, I, § 12. — Ἐγὼ λοιδορίαν.... συμβαίνει λέγειν. On rapproche Cicéron, *Pro Cælio*, III, 6 : « Sed aliud est maledicere, « aliud accusare. Accusatio crimen desiderat, rem ut definiat, hominem ut notet, « argumento probet, teste confirmet : maledictio autem nihil habet propositi præter contumeliam. » Le sujet réel (ἀδικήματ' ἔχει) de l'accusation est opposé à l'arbitraire, au caprice personnel de l'injure (κατὰ τὴν αὑτῶν φύσιν.... συμβαίνει λέγειν).

12. Ἀπὸ τῶν ἰδίων, en puisant dans la vie privée. — Κακῶς est suivi de τἀπόρρητα, par gradation. Voy. cependant *NC.* — Τἀπόρρητα (comme ἄρρητα, § 122) des mots qui ne se disent pas, qu'il ne convient pas de prononcer. Il ne me semble pas nécessaire de penser, avec Harpocration, à une défense légale.

15. Ἐμοῦ se rattache à οὐδὲν ἧττον. [Taylor.]

16. Ἔλαττον ἔχων : tournure ironique et familière. Démosthène dit : « Il est juste que, à cet égard non plus (οὐδ' ἐνταῦθα), je ne sois pas en reste avec lui, je lui rende tout ce qui lui est dû. » En effet, il le payera avec usure.

πορευσομαι, τοσοῦτον αὐτὸν ἐρωτήσας. Πότερόν σέ τις, Αἰσχίνη, τῆς πόλεως ἐχθρὸν ἢ ἐμὸν εἶναι φῇ; ἐμὸν δῆλον ὅτι.
269 Εἶθ' οὗ μὲν ἦν παρ' ἐμοῦ δίκην κατὰ τοὺς νόμους ὑπὲρ τούτων λαβεῖν, εἴπερ ἠδίκουν, ἐξέλιπες, ἐν ταῖς εὐθύναις, ἐν ταῖς γραφαῖς, ἐν ταῖς ἄλλαις κρίσεσιν· [125] οὗ δ' ἐγὼ μὲν ἀθῷος ἅπασι, τοῖς νόμοις, τῷ χρόνῳ, τῇ προθεσμίᾳ, τῷ κεκρίσθαι περὶ πάντων πολλάκις πρότερον, τῷ μηδεπώποτ' ἐξελεγχθῆναι μηδὲν ὑμᾶς ἀδικῶν, τῇ πόλει δ' ἢ πλέον ἢ ἔλαττον ἀνάγκη τῶν γε δημοσίᾳ πεπραγμένων μετεῖναι τῆς δόξης, ἐνταῦθ' ἀπήντηκας; Ὅρα μὴ τούτων μὲν ἐχθρὸς ᾖς, ἐμοὶ δὲ προσποιῇ;

[126] Ἐπειδὴ τοίνυν ἡ μὲν εὐσεβὴς καὶ δικαία ψῆφος ἅπασι δέδεικται, δεῖ δέ μ', ὡς ἔοικε, καίπερ οὐ φιλολοίδορον ὄντα, διὰ τὰς ὑπὸ τούτου βλασφημίας εἰρημένας ἀντὶ πολλῶν καὶ ψευδῶν αὐτὰ τἀναγκαιότατ' εἰπεῖν περὶ αὐτοῦ, καὶ δεῖξαι τίς ὢν κἀκ τίνων ῥᾳδίως οὕτως ἄρχει τοῦ κακῶς λέγειν, καὶ λόγους τινὰς

NC. 4. ἐξέλειπες S seul. — 6-7. Variantes : περὶ τούτων πολλάκις, et περὶ πάντων πολλάκις τούτων. — 8. Variante : δὲ πλέον. — 10. ἐμοὶ. Variante : ἐμὸς. — 12. Variante : ὄντα φύσει. — καὶ ἐκ Markland. καὶ mss. — λόγους τίνας Reiske, Dindorf, Vœmel. Mais G. H. Schæfer dit avec raison : « Orator in iis quæ statim sequuntur non « agit de suarum oratione honestate, sed de Æschinis natalibus et educatione. »

1-2. Πότερόν σέ τις.... φῇ; veux-tu qu'on t'appelle?

3. Οὗ, là où, dans les occasions où. — Δίκην κατὰ τοὺς νόμους. Voyez le développement de la même pensée au paragraphe 13. — Ὑπὲρ τούτων équivaut à ὑπὲρ τῆς πόλεως. Cf. τούτων μὲν ἐχθρὸς ᾖς (l. 10). Là encore, avec une habileté déjà remarquée par le scholiaste, l'orateur substitue à l'idée abstraite de la cité les juges, les citoyens présents dont il sollicite le suffrage.

6-7. Τοῖς νόμοις, τῷ χρόνῳ, τῇ προθεσμίᾳ, le temps ayant amené la prescription légale. Les trois choses n'en font qu'une : c'est ce qu'Aristote, *Rhét.*, III, 12, appelle τὸ ἓν πολλὰ ποιεῖν. — Τῷ κεκρίσθαι.... τῷ μηδεπώποτ(ε).... Cf. § 224, où Démosthène prétend qu'il y a chose jugée, parce qu'une plainte pareille intentée autrefois à propos d'un décret semblable en l'honneur de Démosthène n'a pas abouti.

8-9. Τῇ πόλει.... μετεῖναι τῆς δόξης. Rabaisser le conseiller et le ministre d'une politique généreuse, c'est rabaisser toute la république, la priver de sa gloire. Cette pensée, exprimée ici avec une certaine réserve (πλέον ἢ ἔλαττον μετεῖναι), sera reproduite plus hardiment et plus vigoureusement au paragraphe 207.

9. Ἀπήντηκας; après ὑμᾶς ἀδικῶν. Dans la même période l'orateur adresse tour à tour la parole aux juges et à Eschine. Vivacité hardie.

11-12. Ἐπειδὴ.... δέδεικται. Démosthène parle en homme qui a déjà gagné sa cause et qui peut se donner le plaisir de dénigrer à son tour son adversaire : hors-d'œuvre généralement réservé à l'épilogue. Déjà au paragraphe 110, il s'était exprimé (ἡγοῦμαι τοίνυν λοιπὸν εἶναί μοι) comme s'il était sur le point de finir.

13. Τὰς ὑπὸ τούτου βλασφημίας εἰρημένας. Voy. Eschine, § 171 sqq.

14-15. Αὐτὰ τἀναγκαιότατ(α). L'orateur tiendra plus qu'il ne promet. — Κἀκ τίνων (ὢν) équivaut à καὶ ἐκ τίνων γεγονώς. — Λόγους τινὰς διασύρει. Eschine

διασύρει, αὐτὸς εἰρηκὼς ἃ τίς οὐκ ἂν ὤκνησε τῶν μετρίων ἀνθρώπων φθέγξασθαι; [127] Εἰ γὰρ Αἰακὸς ἢ Ῥαδάμανθυς ἢ Μίνως ἦν ὁ κατηγορῶν, ἀλλὰ μὴ σπερμολόγος, περίτριμμ' ἀγορᾶς, ὄλεθρος γραμματεύς, οὐκ ἂν αὐτὸν οἶμαι ταῦτ' εἰπεῖν οὐδ' ἂν οὕτως ἐπαχθεῖς λόγους πορίσασθαι, ὥσπερ ἐν τραγῳδίᾳ βοῶντα « ὦ γῆ καὶ ἥλιε καὶ ἀρετὴ » καὶ τὰ τοιαῦτα, καὶ πάλιν « σύνεσιν καὶ παιδείαν » ἐπικαλούμενον, « ᾗ τὰ καλὰ καὶ τὰ αἰσχρὰ διαγιγνώσκεται » · ταῦτα γὰρ δήπουθεν ἠκούετ' αὐτοῦ λέγοντος. [128] Σοὶ δ' ἀρετῆς, ὦ κάθαρμα, ἢ τοῖς σοῖς τίς μετουσία; ἢ καλῶν ἢ μὴ τοιούτων τίς

NC. 3. ὁ, avant κατηγορῶν, est à tort omis par Dindorf. — 4-5. τοιαῦτ' εἰπεῖν A.

(§§ 72 et 166 sq.) s'était moqué du mauvais goût de Démosthène, de la prodigieuse affectation de son langage (ταῦτα δὲ τί ἐστιν.... ῥήματα ἢ θαύματα;).

2. Φθέγξασθαι. La période est incomplète. La conjonction ἐπειδή fait attendre une seconde partie, une apodose, qui ne vient pas. La suite du discours demandait quelque chose comme περὶ σοῦ καὶ τῶν σῶν μνησθήσομαι; mais c'est seulement au paragraphe 129 que cette idée est énoncée sous une autre forme : Οὐκ ἀπορῶν κτλ. On croit entendre un homme entraîné par la colère, peu soucieux de suivre le fil de son discours, de gouverner l'expression de sa pensée; et ce naturel est le comble de l'art. Hermogène l'a fort bien dit (III, p. 342 sq. W) : Ἔστι δὲ.... ἑτέρα τις μέθοδος τοῦ ἐνδιαθέτου (bien senti, vrai) λόγου καὶ μάλιστα τοῦ δοκοῦντος σὺν ὀργῇ προϊέναι, τὸ μηδὲ τὰς ἀκολουθίας σώζειν τῶν τοῦ λόγου σχημάτων, ἀλλ' οἷον ἐξίστασθαι δοκεῖν ὑπὸ τοῦ πάθους. Οἷόν ἐστι καὶ τὸ · « Ἐπειδὴ τοίνυν ἡ μὲν εὐσεβής.... τοῦ πρώτου μνησθῶ ». Οὐδαμοῦ γὰρ ἀποδέδοται τῷ σχήματι τὸ ἀκόλουθον, ἀλλ' ἐπιπολὺ τὸ οἷον ἀκράχολον · διὸ καὶ μᾶλλον ἔμψυχος καὶ ἀληθὴς ὁ λόγος εἶναι δοκεῖ. Je suis disposé à croire que Démosthène avait préparé une phrase plus régulière. Les mots τοῦ κακῶς λέγειν pouvaient être suivis immédiatement de ἀπορῶ τοῦ πρώτου μνησθῶ (§ 129). Mais à l'audience il saisit l'occasion de se moquer ici de quelques passages du discours qu'il venait d'entendre; et quand il rédigea son plaidoyer définitivement, il ne voulut pas effacer (et il avait raison) l'allure vive de l'improvisation. Plus haut, les paragraphes 122-125 peuvent s'enlever tout aussi facilement.

3-4. Σπερμολόγος. Harpocration : Λέγεταί τι μικρὸν ὀρνιθάριον κολοιῶδες σπερμολόγος, ὠνομασμένον, ὡς ἔοικεν, ἀπὸ τοῦ τὰ σπέρματα ἀναλέγειν, οὗ μνημονεύει Ἀριστοφάνης ἐν Ὄρνισι (v. 232). Λέγεται οὖν ἀπὸ τούτου ὁ εὐτελὴς καὶ εὐκαταφρόνητος ἄνθρωπος καὶ ἴσως ἀπὸ τῶν ἀλλοτρίων διαζῶν σπερμολόγος. — Περίτριμμα ἀγορᾶς, tout frotté de chicane. On rapproche Aristophane, *Nuées*, 446 : Περίτριμμα δικῶν. Les lexicographes expliquent : τετριμμένος ἐν τοῖς πράγμασιν. — Ὄλεθρος γραμματεύς. Cf. ὄλεθρος Μακεδών, *Phil.* III, § 31, avec la note. Du reste, les deux premières épithètes ne font qu'indiquer ce que la troisième dit clairement : Eschine avait commencé par être greffier. Cf. § 261, et *Amb.*, *passim.*

5-6. Ὥσπερ ἐν τραγῳδίᾳ. Scholiaste : Εἰς τὴν τέχνην ἀποσκώπτει. Cf. § 13. — Ὦ γῆ καὶ ἥλιε. Voy. la fin du discours d'Eschine.

9. Σοὶ δ' ἀρετῆς.... Dans les *Sept Chefs* d'Eschyle (v. 662 sqq.), Étéocle s'écrie qu'il n'y a rien de commun entre son frère et la Justice : Εἰ δ' ἡ Διὸς παῖς παρθένος Δίκη παρῆν ‖ ἔργοις ἐκείνου καὶ φρεσίν, τάχ' ἂν τόδ' ἦν · ‖ ἀλλ' οὔτε νιν.... οὔτε.... Δίκη.... κατηξιώσατο. Les deux morceaux se ressemblent; mais

διάγνωσις; πόθεν ἢ πῶς ἀξιωθέντι; Ποῦ δὲ παιδείας σοι θέμις μνησθῆναι; ἧς τῶν μὲν ὡς ἀληθῶς τετυχηκότων οὐδ' ἂν εἷς 270 εἴποι περὶ αὑτοῦ τοιοῦτον οὐδὲν, ἀλλὰ κἂν ἑτέρου λέγοντος ἐρυθριάσειεν, τοῖς δ' ἀπολειφθεῖσι μὲν ὥσπερ σὺ, προσποιουμένοις δ' ὑπ' ἀναισθησίας τὸ τοὺς ἀκούοντας ἀλγεῖν ποιεῖν, ὅταν λέγωσιν, οὐ τὸ δοκεῖν τοιούτοις εἶναι περίεστιν.

[129] Οὐκ ἀπορῶν δ' ὅ τι χρὴ περὶ σοῦ καὶ τῶν σῶν εἰπεῖν, ἀπορῶ τοῦ πρώτου μνησθῶ· πότερ' ὡς ὁ πατήρ σου Τρόμης ἐδούλευεν παρ' Ἐλπίᾳ τῷ πρὸς τῷ Θησείῳ διδάσκοντι γράμματα, χοίνικας παχείας ἔχων καὶ ξύλον, ἢ ὡς ἡ μήτηρ τοῖς μεθημερινοῖς γάμοις ἐν τῷ κλεισίῳ τῷ πρὸς τῷ καλαμίτῃ ἥρῳ χρωμένη τὸν καλὸν ἀνδριάντα καὶ τριταγωνιστὴν ἄκρον ἐξ-

NC. 1. Variante : πόθεν λαβόντι ἢ..., comme au paragraphe 51. — 4. ἐρυθριάσειεν et ἀπολειφθεῖσιν S. — 9. ἐδούλευεν S. — ελπιδαι S, L[1]. — 10. ἡ μήτηρ σου vulg. — Peut-être καθημερινοῖς [H. Wolf.] — 11. κλεισειωι S. κλισίῳ vulg. — ἥρωι, avec indication de la variante ou glose ἡρῴῳ S. Cf. Apollonios, *Vie d'Eschine*.

l'éloquence du vieux poëte est d'un mouvement plus lent, plus solennel.

5-6. Τὸ.... ἀλγεῖν ποιεῖν.... περίεστιν, il ne leur en revient, ils n'y gagnent, que d'agacer les auditeurs.

10. Χοίνικας, entraves. — Ξύλον, espèce de carcan. Scholiaste : Εἰπὼν δουλεύειν αὐτὸν, τὰ ἑπόμενα τοῖς φαύλοις τῶν δούλων ἐπήγαγε. Ce sont, en effet, des détails qui font bon effet dans ce tableau de fantaisie. Quand il prononçait le discours de l'*Ambassade* (§ 249), Démosthène se contentait de présenter le père d'Eschine comme un maître d'école; maintenant il en fait l'esclave d'un maître d'école, un vil Tromès, transformé plus tard en Atromète, quand son fils s'avisa de passer pour un homme bien né. De même, la mère d'Eschine figure dans le premier discours (*ib.* et § 199) comme une prêtresse de bas étage; elle n'y est pas encore une femme perdue. Que Démosthène ait tiré ces nouveaux traits de son imagination, ou qu'il reproduise, en l'embellissant, la chronique scandaleuse de la ville, toujours est-il que nous avons ici des échantillons de ces petits mensonges (*mendaciuncula*) qui servent à saupoudrer les récits oratoires, et dont Cicéron donne la recette, *De Orat.*, II, 241. N'oublions pas cependant que Démosthène a été provoqué, et qu'il use de représailles.

11. Μεθημερινοῖς, « de jour, en plein jour », diffère de καθημερινοῖς, « journaliers ». Cette dernière épithète serait plus satisfaisante, car le substantif γάμοις n'a rien de fâcheux en lui-même. Cf. *Rhet. ad Herenn.*, IV, 34 : « Cujus mater cotidianis « nuptiis delectatur. » Voy. *NC*. — Κλεισίῳ désigne ici un mauvais lieu. — Τῷ καλαμίτῃ ἥρῳ. Évidemment ce Héros ne diffère pas du ἥρως ἰατρός du discours de l'*Amb.*, § 249. Quant à son nom, cf. schol. de Patmos (Sakkélion dans *Bull. de Corr. hell.* I, 142) : ... ἤτοι ἐξ ἐπωνυμίας, ἢ ἀπὸ καλάμων περιπεφυκότων < τῷ > ἱερῷ· τὸ δὲ ἱερὸν αὐτοῦ ἐστι πρὸς τῷ Ληναίῳ.

12. Τὸν καλὸν ἀνδριάντα. D'après un grammairien ancien (Bekker, *Anecd. gr.*, p. 394, 29), les mères grecques appelaient leurs beaux poupons ὁ καλὸς ἀνδριάς μου. En même temps (Dissen le fait observer avec raison), il y a ici une allusion à la belle prestance dont Eschine tirait vanité et au geste sobre, à la tenue immobile, qu'il affectait sur la tribune. Cf. *Amb.*, 255. — Τριταγωνιστήν. Cf. § 262 et *passim*.

ἔθρεψέ σε; ἀλλὰ πάντες ἴσασι ταῦτα, κἂν ἐγὼ μὴ λέγω. Ἀλλ' ὡς ὁ τριηραύλης Φορμίων, ὁ Δίωνος τοῦ Φρεαρρίου δοῦλος, ἀνέστησεν αὐτὴν ἀπὸ ταύτης τῆς καλῆς ἐργασίας; ἀλλὰ νὴ τὸν Δία καὶ τοὺς θεοὺς ὀκνῶ μὴ περὶ σοῦ τὰ προσήκοντα λέγων αὐτὸς οὐ προσήκοντας ἐμαυτῷ δόξω προῃρῆσθαι λόγους. [130] Ταῦτα μὲν οὖν ἐάσω, ἀπ' αὐτῶν δ' ὧν αὐτὸς βεβίωκεν ἄρξομαι· οὐδὲ γὰρ ὧν ἔτυχεν ἦν, ἀλλ' οἷς ὁ δῆμος καταρᾶται. Ὀψὲ γάρ ποτε —, ὀψὲ λέγω; χθὲς μὲν οὖν καὶ πρῴην ἅμ' Ἀθηναῖος καὶ ῥήτωρ γέγονεν, καὶ δύο συλλαβὰς προσθεὶς τὸν

NC. 1. ἀλλὰ πάντες.... μὴ λέγω A. Ces mots, omis dans S, L[1] et la vulgate, expliquent l'emploi de ἀλλὰ en tête de la phrase suivante, et forment un excellent pendant à la phrase ἀλλὰ νὴ τὸν Δία.... L'omission semble accidentelle : les copistes ont pu passer d'un ἀλλά à l'autre. — 3. ἐργασίας. On lit chez Hermogène, III, p. 308 W. : Ἐκεῖνα μέντοι διὰ τὸ ἄγαν εὐτελὲς καὶ ὠβέλισάν τινες καὶ ὑπεξείλοντο, ἴσως ὀρθῶς ποιοῦντες, λέγω τὸ κυάμους ἐφθοὺς βοῶσα κατὰ πᾶν τὸ θέρος ἐπλανᾶτο καὶ τὰ ἑξῆς· ταῦτα γὰρ καὶ τὰ τοιαῦτα ἐν μὲν ἰδιωτικοῖς λόγοις ἴσως ἂν ἁρμόσειεν, ἐν δημοσίῳ δὲ καὶ τηλικοῦτον ἔχοντι ἀξίωμα λόγῳ ἢ προσώπῳ ἢ πράγματι πῶς ἂν ἁρμόττοι; Je ne trouve, pour ce morceau, aucun endroit plus convenable que celui-ci. Reiske le plaçait à la fin du paragraphe 130. — 4. τοὺς, avant θεοὺς, manque dans S et L seuls. — 6. απαντων δὲ S. — 7. οὐδὲ γὰρ.... καταρᾶται. A la marge de S, une main ancienne indique, comme variante, la transposition de ces mots avant ταῦτα μέν.

1. Πάντες ἴσασι. Spengel rappelle, à ce propos, Aristote, *Rhétor.*, III, 7 : Πάσχουσι δέ τι οἱ ἀκροαταὶ καὶ ᾧ κατακόρως χρῶνται οἱ λογογράφοι « τίς δ' οὐκ οἶδεν; » « ἅπαντες ἴσασιν »· ὁμολογεῖ γὰρ ὁ ἀκούων, αἰσχυνόμενος, ὅπως μετέχῃ οὗπερ καὶ οἱ ἄλλοι πάντες.

2-3. Τριηραύλης. Scholiaste : Οὐχ ἁπλῶς αὐλητής (ἦσαν γὰρ καὶ ἐπίσημοι) ἀλλ' ἐν τριήρει αὐλῶν ἄμουσον ῥυθμόν. — Ἀνέστησεν. On disait des femmes qui gagnaient leur vie de cette façon : ἐπ' ἐργαστηρίου κάθηνται. Cf. *Contre Nééra*, § 67. [Westermann.]

7. Οὐδὲ γὰρ.... καταρᾶται, aussi bien les actes de sa vie n'étaient-ils pas du premier venu, mais d'un homme auquel s'adressent les imprécations publiques. A l'ouverture des assemblées, le héraut prononçait des imprécations contre ceux qui tromperaient et trahiraient le peuple : cf. § 282 et *Amb.*, § 70. Cette explication est celle de Dissen, si ce n'est que ce savant prenait ὧν et οἷς pour des neutres. Hermogène (III, p. 442) remarque que Démosthène trompe ici l'attente de l'auditeur (χρῆται τῷ παρὰ προσδοκίαν) d'une manière plaisante, à la façon des poëtes comiques. En effet, on s'attendait à : « mais d'un homme considérable. » Cependant Hermogène ne s'explique pas autrement sur le sens de ce passage difficile. Rutilius Lupus, *De fig.*, I, 16 (p. 10, 6 Halm), après avoir librement résumé le sens général des quatre paragraphes précédents (« Nunc quoniam de me, ut volui, « cognostis, judicium per ipsius vitam con- « stituam tandem opus est »), traduit ainsi : « Parentes appellat, quos scitis non igno- « tos fuisse, sed hujusmodi ut omnes hos « exsecrarentur. » Vœmel : « Neque enim « erat unus ex iis hominibus ad quos casu « pertinebat, sed ex iis quos populus ex- « secratur. » Mais il serait trop long de citer toutes les interprétations qui ont été essayées.

9 sqq. Δύο συλλαβὰς προσθείς. Rutilius, *l. c.* : « Sed hic bonus vir grandis « natu atque sero, sero loquor? immo vero « nuper atque his paucis diebus simul et

μὲν πατέρα ἀντὶ Τρόμητος ἐποίησεν Ἀτρόμητον, τὴν δὲ μητέρα σεμνῶς πάνυ Γλαυκοθέαν, ἣν Ἔμπουσαν ἅπαντες ἴσασι καλουμένην, ἐκ τοῦ πάντα ποιεῖν καὶ πάσχειν δηλονότι ταύτης τῆς ἐπωνυμίας τυχοῦσαν· πόθεν γὰρ ἄλλοθεν; [131] Ἀλλ' ὅμως οὕτως ἀχάριστος εἶ καὶ πονηρὸς φύσει,
271 ὥστ' ἐλεύθερος ἐκ δούλου καὶ πλούσιος ἐκ πτωχοῦ διὰ τουτουσὶ γεγονὼς οὐχ ὅπως χάριν αὐτοῖς ἔχεις, ἀλλὰ μισθώσας σαυτὸν κατὰ τουτωνὶ πολιτεύει. Καὶ περὶ ὧν μὲν ἔστι τις ἀμφισβήτησις, ὡς ἄρ' ὑπὲρ τῆς πόλεως εἴρηκεν, ἐάσω· ἃ δ' ὑπὲρ τῶν ἐχθρῶν φανερῶς ἀπεδείχθη πράττων, ταῦτ' ἀναμνήσω.

[132] Τίς γὰρ ὑμῶν οὐκ οἶδεν τὸν ἀποψηφισθέντ' Ἀντιφῶντα, ὃς ἐπαγγειλάμενος Φιλίππῳ τὰ νεώρι' ἐμπρήσειν εἰς τὴν πόλιν ἦλθεν; ὃν λαβόντος ἐμοῦ κεκρυμμένον ἐν Πειραιεῖ καὶ καταστήσαντος εἰς τὴν ἐκκλησίαν, βοῶν ὁ βάσκανος οὗτος καὶ κεκραγώς, ὡς ἐν δημοκρατίᾳ δεινὰ ποιῶ τοὺς ἠτυχηκότας τῶν πολιτῶν ὑβρίζων καὶ ἐπ' οἰκίας βαδίζων ἄνευ ψηφίσματος, ἀφεθῆναι ἐποίησεν. [133] Καὶ εἰ μὴ ἡ βουλὴ ἡ ἐξ Ἀρείου πάγου, τὸ πρᾶγμ' αἰσθομένη καὶ τὴν ὑμετέραν ἄγνοιαν ἐν οὐ δέοντι συμβεβηκυῖαν ἰδοῦσα, ἐπεζήτησε τὸν ἄνθρωπον καὶ συλλαβοῦσ' ἐπανήγαγεν ὡς ὑμᾶς, ἐξήρπαστ' ἂν ὁ τοιοῦτος καὶ τὸ δίκην δοῦναι διαδὺς ἐξεπέπεμπτ' ἂν ὑπὸ τοῦ σεμνολόγου του-

NC. 2. Γλαυκοθέαν S et L[1] seuls. Γλαυκοθέαν ὠνόμασεν vulg. — 3. πάσχειν καὶ γίγνεσθαι S et L[1] seuls. Ici nos deux meilleurs manuscrits se trouvent déparés par une glose, que Vœmel n'aurait pas dû mettre dans le texte. Cf. Aristophane, *Gren.*, 289 : Παντοδαπὸν γοῦν γίγνεται. — 8. τουτωι S[1]. — 11. οἶδεν S. — 12. ἐμπρήσειν τὰ ὑμετέρα vulg. — 18. ἡμετέραν S[1]. — 21. ἐξεπέπεμτ' Cobet. ἐξεπέμπετ' manuscrits.

« Atheniensis et eloquens est factus. » On compare le Simon de Lucien (*Songe*, § 14), ancien cordonnier parvenu, qui prend le nom de Simonide. Glaucothée aussi, s'il faut en croire certains auteurs cités dans la *Vie d'Eschine*, par Apollonios, s'était d'abord appelé Glaucis. Ἔμπουσα n'est évidemment qu'un sobriquet. On connaît par Aristophane (*Gren.*, 288 sqq.) ce fantôme infernal, qui prenait toutes sortes de figures.

11. Ἀποψηφισθέντ(α). L'assemblée du bourg, δῆμος, dans lequel il se trouvait inscrit, avait jugé que la qualité d'Athénien ne lui appartenait pas. Cela s'était fait au recensement (διαψήφισις) des citoyens qui avait eu lieu en 346. Cf. Suidas, art. ἀποψηφισθέντα, et Schœmann, *Antiq. jur. publ.*, p. 206.

18. Τὸ πρᾶγμ' αἰσθομένη. Plutarque (*Dém.*, 14) raconte que Démosthène lui-même traduisit Antiphon devant l'Aréopage, au risque de blesser le peuple par cet ἀριστοκρατικὸν πολίτευμα. Dinarque (*Dém.*, § 63) laisse entendre la même chose. Parlant devant un jury populaire, l'orateur amoindrit le rôle qu'il joua dans cette affaire. Voy. cependant Philippi, *der Areopag*, p. 178.

τουί· νῦν δ' ὑμεῖς στρεβλώσαντες αὐτὸν ἀπεκτείνατε, ὡς ἔδει γε καὶ τοῦτον. [134] Τοιγαροῦν εἰδυῖα ταῦθ' ἡ βουλὴ ἡ ἐξ Ἀρείου πάγου τότε τούτῳ πεπραγμένα, χειροτονησάντων αὐτὸν ὑμῶν σύνδικον ὑπὲρ τοῦ ἱεροῦ τοῦ ἐν Δήλῳ ἀπὸ τῆς αὐτῆς ἀγνοίας ἧσπερ πολλὰ προΐεσθε τῶν κοινῶν, ὡς προσείλεσθε κἀκείνην καὶ τοῦ πράγματος κυρίαν ἐποιήσατε, τοῦτον μὲν εὐθὺς ἀπήλασεν ὡς προδότην, Ὑπερείδῃ δὲ λέγειν προσέταξεν· καὶ ταῦτα ἀπὸ τοῦ βωμοῦ φέρουσα τὴν ψῆφον ἔπραξεν, καὶ οὐδεμία ψῆφος ἠνέχθη τῷ μιαρῷ τούτῳ. [135] Καὶ ὅτι ταῦτ' 272
ἀληθῆ λέγω, κάλει τούτων τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

« Μαρτυροῦσι Δημοσθένει ὑπὲρ ἁπάντων οἵδε, Καλλίας Σουνιεύς, Ζήνων Φλυεύς, Κλέων Φαληρεύς, Δημόνικος Μαραθώνιος, ὅτι τοῦ δήμου ποτὲ χειροτονήσαντος Αἰσχίνην σύνδικον ὑπὲρ τοῦ ἱεροῦ τοῦ ἐν Δήλῳ εἰς τοὺς Ἀμφικτύονας συνεδρεύσαντες ἡμεῖς ἐκρίναμεν Ὑπερείδην ἄξιον εἶναι μᾶλλον ὑπὲρ τῆς πόλεως λέγειν, καὶ ἀπεστάλη Ὑπερείδης. »

NC. 3. τότε S. τὰ τότε L et vulg. — 5. ἀφ' ἧσπερ ou ἧσπερ ἕνεκα vulg. — προιστε S[1]. προεῖσθε A. — 5-6. προσείλεσθε H. Wolf. προείλεσθε manuscrits. προείλετο Vœmel : correction plus qu'obscure. — 7. Ὑπερίδην vulg. — προσέταξεν S. — 10. κάλει μοι vulg. — τούτων τούτων S.

3. Τότε. Ce petit mot indique qu'il y eut un certain intervalle de temps entre les deux faits rapprochés, à tort ou à raison, par Démosthène. Voy. A. Schæfer (II, p. 347), qui place au printemps de 343 le solennel débat dans lequel Hypéride plaida victorieusement devant les Amphictyons les droits d'Athènes à la possession du sanctuaire de Délos.

5-6. Ὡς προσείλεσθε κἀκείνην. Si, après avoir voté pour Eschine, le peuple s'adjoignit l'Aréopage et donna à cette haute cour plein pouvoir de désigner l'orateur qui porterait la parole au nom d'Athènes, il fut amené par quelqu'un à se déjuger ainsi. C'est, sans doute, Démosthène lui-même qui fit revenir le peuple sur sa première décision. Voy. *Ambass.*, § 209, et la note. L Spengel, *l. c.*, p. 37, pense que l'Aréopage eut peut-être à choisir parmi plusieurs candidats proposés par le peuple.

8. Ἀπὸ τοῦ βωμοῦ. Manière solennelle de voter. Cf. *Contre Macartatos*, § 14 : Οἱ φράτορες.... λαβόντες τὴν ψῆφον καιομένων τῶν ἱερείων, ἀπὸ τοῦ βωμοῦ φέροντες. [G. H. Schæfer.]

14-15. Ποτέ. Dans un témoignage on s'attendrait à une date précise. — Εἰς τοὺς Ἀμφικτύονας. C'est le seul détail que l'auteur de cette pièce ait ajouté à ceux qui se trouvent dans le texte de Démosthène.

Οὐκοῦν ὅτε τοῦτον τοῦ λέγειν ἀπήλασεν ἡ βουλὴ καὶ προσέταξεν ἑτέρῳ, τότε καὶ προδότην εἶναι καὶ κακόνουν ὑμῖν ἀπέφηνεν.

[136] Ἓν μὲν τοίνυν τοῦτο τοιοῦτο πολίτευμα τοῦ νεανίου τούτου, ὅμοιόν γε (οὐ γάρ;) οἷς ἐμοῦ κατηγορεῖ· ἕτερον δ' ἀναμιμνήσκεσθε. Ὅτε γὰρ Πύθωνα Φίλιππος ἔπεμψε τὸν Βυζάντιον καὶ παρὰ τῶν αὐτοῦ συμμάχων πάντων συνέπεμψε πρέσβεις, ὡς ἐν αἰσχύνῃ ποιήσων τὴν πόλιν καὶ δείξων ἀδικοῦσαν, τότ' ἐγὼ μὲν τῷ Πύθωνι θρασυνομένῳ καὶ πολλῷ ῥέοντι καθ' ὑμῶν οὐχ ὑπεχώρησα, ἀλλ' ἀναστὰς ἀντεῖπον καὶ τὰ τῆς πόλεως δίκαι' οὐχὶ προύδωκα, ἀλλ' ἀδικοῦντα Φίλιππον ἐξήλεγξα φανερῶς οὕτως, ὥστε τοὺς ἐκείνου συμμάχους αὐτοὺς ἀνισταμένους ὁμολογεῖν· οὗτος δὲ συνηγωνίζετο καὶ τἀναντί' ἐμαρτύρει τῇ πατρίδι, καὶ ταῦτα ψευδῆ.

[137] Καὶ οὐκ ἀπέχρη ταῦτα, ἀλλὰ πάλιν μετὰ ταῦθ' ὕστερον Ἀναξίνῳ τῷ κατασκόπῳ συνιὼν εἰς τὴν Θράσωνος οἰκίαν

NC. 1. τοῦτον τοῦ λέγειν Pauly et Lipsius. τούτου λέγοντος S[1] et F. τούτου μέλλοντος λέγειν L, A, vulg. Scholiaste : Ἡ σύνταξις ἐπικίνδυνος καὶ σολοικοφανής τισιν ἐνομίσθη. Ces τινές avaient raison. La leçon des meilleurs manuscrits ne peut se justifier par aucune phrase analogue d'un prosateur attique. Il faudrait écrire ἀπήλασεν αὐτόν avec les livres interpolés pour rendre la construction tolérable. Encore cette construction serait-elle, à ce qu'il paraît, sans exemple dans Démosthène, et on aurait une période traînante et embarrassée. Quant à la faute, on comprend que l'omission de la syllabe τον ait pu amener le changement de λέγειν en λέγοντος. — ἀπήλασεν S et L. ἀπήλασεν αὐτόν vulg. — 5-6. ἀναμιμνήσκεσθαι S[1]. — 7. ἁπάντων vulg. — 10. οὐχ ὑπεχώρησα S. οὐκ εἶξα οὐδ' ὑπεχώρησα vulg. — 15. ἀλλὰ καὶ Ald. — 16. ἀναξεινω S et L, ici et p. 489, l. 10.

2. Προδότην. Induction peu légitime. Un traître est nécessairement récusé ; mais, pour avoir été récusé, on n'est pas nécessairement traître. [Sopater, IV, p. 406 Walz.]

4-5. Τοῦ νεανίου τούτου, de ce vaillant homme. Cf. § 313. — Οὐ γάρ; C'est une des tournures familières qu'on trouve dans les plaidoyers, mais non dans les harangues de Démosthène. Cf. *Mid.*, § 209 et *passim*.

6. Πύθωνα. Python de Byzance, ancien disciple d'Isocrate, fut envoyé à Athènes en 343. Voy. *Harangues*, p. 237, et les auteurs que nous y citons. L'erreur de Diodore (XVI, 85) est évidente.

9-10. Πολλῷ ῥέοντι. Comme un torrent. Le verbe ὑπεχώρησα répond à ce trope, dont les anciens ont admiré l'heureuse hardiesse. Cf. *Néère*, § 99 : Ὁ γὰρ Ἀσωπὸς ποταμὸς μέγας ἐρρύη. Eschyle, *Sept Chefs*, 80 : Ῥεῖ πολὺς ὅδε λεώς. Horace, *Sat.*, I, VII, 28 : « Salso multoque fluenti. »

16. Ἀναξίνῳ. Il était d'Oréos dans l'Eubée. Olympias, l'épouse de Philippe, l'avait chargé de faire pour elle des emplettes à Athènes. C'était là, du moins, le but ostensible de son séjour dans cette ville. Démosthène le fit arrêter comme espion, mettre à la question et condamner à mort. Eschine (§ 223 sq.) dit que ces faits se passèrent au moment où il avait, lui, accusé Démosthène de haute trahison, et il prétend que ce dernier, afin d'étouffer ce

ἐλήφθη. Καίτοι ὅστις τῷ ὑπὸ τῶν πολεμίων πεμφθέντι μόνος 273
μόνῳ συνῄει καὶ ἐκοινολογεῖτο, οὗτος αὐτὸς ὑπῆρχε τῇ φύσει κατάσκοπος καὶ πολέμιος τῇ πατρίδι. Καὶ ὅτι ταῦτ' ἀληθῆ λέγω, κάλει μοι τούτων τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

« Τελέδημος Κλέωνος, Ὑπερείδης Καλλαίσχρου, Νικόμαχος Διοφάντου μαρτυροῦσι Δημοσθένει καὶ ἐπωμόσαντο ἐπὶ τῶν στρατηγῶν εἰδέναι Αἰσχίνην Ἀτρομήτου Κοθωκίδην συνερχόμενον νυκτὸς εἰς τὴν Θράσωνος οἰκίαν καὶ κοινολογούμενον Ἀναξίνῳ, ὃς ἐκρίθη εἶναι κατάσκοπος παρὰ Φιλίππου. Αὗται ἀπεδόθησαν αἱ μαρτυρίαι ἐπὶ Νικίου, ἑκατομβαιῶνος τρίτη ἱσταμένου. »

[138] Μυρία τοίνυν ἕτερ' εἰπεῖν ἔχων περὶ αὐτοῦ παραλείπω. Καὶ γὰρ οὕτω πως ἔχει. Πόλλ' ἂν ἐγὼ ἔτι τούτων ἔχοιμι δεῖξαι, ὧν οὗτος κατ' ἐκείνους τοὺς χρόνους τοῖς μὲν ἐχθροῖς ὑπηρετῶν, ἐμοὶ δ' ἐπηρεάζων εὑρέθη. Ἀλλ' οὐ τίθεται ταῦτα παρ' ὑμῖν εἰς ἀκριβῆ μνήμην οὐδ' ἣν προσῆκεν ὀργήν, ἀλλὰ δεδώκατ' ἔθει τινὶ φαύλῳ πολλὴν ἐξουσίαν τῷ βουλομένῳ τὸν λέγοντά τι τῶν ὑμῖν συμφερόντων ὑποσκελίζειν καὶ συκοφαντεῖν, τῆς ἐπὶ ταῖς λοιδορίαις ἡδονῆς καὶ χάριτος τὸ τῆς πόλεως συμφέρον ἀνταλλαττόμενοι· διόπερ ῥᾷόν ἐστι καὶ ἀσφαλέστερον ἀεὶ τοῖς ἐχθροῖς ὑπηρετοῦντα μισθαρνεῖν ἢ τὴν ὑπὲρ ὑμῶν ἑλόμενον τάξιν πολιτεύεσθαι.

[139] Καὶ τὸ μὲν δὴ πρὸ τοῦ πολεμεῖν φανερῶς συναγωνί-

NC. 2. ὑπῆρχεν S. — 6. Variante : Μελέδημος. — 14. ἐγὼ S et L seuls. ἐγὼ νῦν vulg. — 21. ἐστιν S. — 24. φανερῶς est supprimé par Dobree et Cobet.

procès, ourdit une odieuse intrigue contre un homme dont il avait reçu l'hospitalité.

11. Ἐπὶ Νικίου. Encore un pseudéponyme.

15. Ὧν, pour ἅ, par assimilation à τούτων.

16. Τίθεται, « reponuntur ». [Dissen.]

18. Ἔθει τινὶ φαύλῳ. Cf. *Phil.* III, § 54, où l'orateur se plaint amèrement du même travers du peuple d'Athènes.

24. Φανερῶς doit être rattaché à πολεμεῖν. Voy. cependant *NC.*

274 ζεσθαι Φιλίππῳ δεινὸν μέν, ὦ γῆ καὶ θεοί, πῶς γὰρ οὔ; κατὰ τῆς πατρίδος· δότε δ', εἰ βούλεσθε, δότ' αὐτῷ τοῦτο. Ἀλλ' ἐπειδὴ φανερῶς ἤδη τὰ πλοῖ' ἐσεσύλητο, Χερρόνησος ἐπορθεῖτο, ἐπὶ τὴν Ἀττικὴν ἐπορεύεθ' ἄνθρωπος, οὐκέτ' ἐν ἀμφισβητησίμῳ τὰ πράγματ' ἦν, ἀλλ' ἐνειστήκει πόλεμος, ὅ τι μὲν πώποτ' ἔπραξεν ὑπὲρ ὑμῶν ὁ βάσκανος οὗτος ἰαμβειοφάγος, οὐκ ἂν ἔχοι δεῖξαι, οὐδ' ἔστιν οὔτε μεῖζον οὔτ' ἔλαττον ψήφισμ' οὐδὲν Αἰσχίνῃ ὑπὲρ τῶν συμφερόντων τῇ πόλει. Εἰ δέ φησι, νῦν δειξάτω ἐν τῷ ἐμῷ ὕδατι. Ἀλλ' οὐκ ἔστιν οὐδέν. Καίτοι δυοῖν αὐτὸν ἀνάγκη θάτερον, ἢ μηδὲν τοῖς πραττομένοις ὑπ' ἐμοῦ τότ' ἔχοντ' ἐγκαλεῖν μὴ γράφειν παρὰ ταῦθ' ἕτερα, ἢ τὸ τῶν ἐχθρῶν συμφέρον ζητοῦντα μὴ φέρειν εἰς μέσον τὰ τούτων ἀμείνω.

[140] Ἆρ' οὖν οὐδ' ἔλεγεν, ὥσπερ οὐδ' ἔγραφεν, ἡνίκ' ἐργάσασθαί τι δέοι κακόν; οὐ μὲν οὖν ἦν εἰπεῖν ἑτέρῳ. Καὶ τὰ μὲν ἄλλα καὶ φέρειν ἐδύναθ', ὡς ἔοικεν, ἡ πόλις καὶ ποιῶν οὗτος λανθάνειν· ἓν δ' ἐπεξειργάσατ', ἄνδρες Ἀθηναῖοι, τοιοῦτον ὃ πᾶσι τοῖς προτέροις ἐπέθηκε τέλος· περὶ οὗ τοὺς πολλοὺς ἀνή-

NC. 5. ἐνιστήκει S. — Les mots οὐκέτ'.... πόλεμος sont écartés par Dobree et Cobet. — 6. ἰαμβειοφάγος S², texte de L, Hermogène, III, p. 241 et 344. ἰαμβοφάγος A, *Etym. M.*, p. 463, 41. ἰαμβειογράφος S¹ et vulg. Les poésies érotiques d'Eschine (cf. *Timarque*, § 136) ne peuvent être invoquées à l'appui de cette leçon. — 8. ὑπὲρ S et L. περὶ vulg. Cette dernière leçon évite l'hiatus, mais la première est plus expressive. — 9. ἐν A. ἐπὶ S, L, vulg. Mais cette préposition demanderait le génitif. [Dindorf.] — 15. κακὸν ὑμᾶς vulg. — εἰπεῖν ἦν L et (avec des signes de transposition) S. — 16. καὶ ποιῶν S, A. ἃ ποιῶν vulg. — 17. ὦ ἄνδρες vulg.

3-4. Τὰ πλοῖ(α) ἐσεσύλητο. Cf. § 73. — Ἐπὶ τὴν Ἀττικὴν ἐπορεύετ(ο), il se disposait à marcher contre l'Attique, il cherchait un moyen de le faire. Cf. *Chers.*, § 66 : Ἐπὶ Βυζάντιον παριόντος.

6. Ἰαμβειοφάγος, « nourri de vers iambiques », est un mot injurieux, forgé par Démosthène, et qui, suivant nous, désigne simplement l'ancien acteur, comme γραμματοκύφων (§ 209) fait allusion à la profession de greffier. Τάχα καὶ παραπαίζων εἰς τὸν Αἰσχίνην, ὅτι τὰ ἰαμβεῖα τῆς τραγῳδίας, ἔλεγεν ὑποκριτὴς ὤν. [*Etym. Magn.*] L'interprétation λοίδορος (*ibid.*) s'applique à la variante ἰαμβοφάγος. D'autres expliquent : « qui mange les iambes, qui les gâte par une mauvaise prononciation » : ἔτι γὰρ λέγουσι τοὺς ἀσαφῶς ἀναγινώσκοντας τρώγειν τὰ λεγόμενα (Schol. Patm., *l. c.*, p. 143).

9. Ἐν τῷ ἐμῷ ὕδατι. Cf. *Amb.*, § 57.

14-15. Ἆρ' οὖν οὐδ' ἔλεγεν.... δέοι κακόν ; de même qu'il ne faisait aucune proposition (pour le bien d'Athènes), ne parlait-il pas non plus quand il s'agissait de faire du mal? [Reiske.] Le second οὐδέ est un hellénisme, qui marque la corrélation réciproque des deux propositions. Cf. la note sur καὶ.... καί, *Phil.* I, § 8.

18-1. Τοὺς.. λόγους Cf. Eschine, § 107 sqq.

λωσε λόγους, τὰ τῶν Ἀμφισσέων [τῶν Λοκρῶν] δεξιὼν δόγματα, ὡς διαστρέψων τἀληθές. Τὸ δ' οὐ τοιοῦτόν ἐστιν· πόθεν; Οὐδέποτ' ἐκνίψει σὺ τἀκεῖ πεπραγμένα σαυτῷ· οὐχ οὕτω πόλλ' ἐρεῖς.

[141] Καλῶ δ' ἐναντίον ὑμῶν, ἄνδρες Ἀθηναῖοι, τοὺς θεοὺς
πάντας καὶ πάσας, ὅσοι τὴν χώραν ἔχουσι τὴν Ἀττικήν, καὶ
τὸν Ἀπόλλω τὸν Πύθιον, ὃς πατρῷός ἐστι τῇ πόλει, καὶ ἐπεύ-
χομαι πᾶσι τούτοις, εἰ μὲν ἀληθῆ πρὸς ὑμᾶς εἴποιμι καὶ εἶπον
καὶ τότ' εὐθὺς ἐν τῷ δήμῳ, ὅτε πρῶτον εἶδον τουτονὶ τὸν μια- 275
ρὸν τούτου τοῦ πράγματος ἁπτόμενον (ἔγνων γάρ, εὐθέως
ἔγνων), εὐτυχίαν μοι δοῦναι καὶ σωτηρίαν, εἰ δὲ πρὸς ἔχθραν
ἢ φιλονεικίας ἰδίας ἕνεκ' αἰτίαν ἐπάγω τούτῳ ψευδῆ, πάντων
τῶν ἀγαθῶν ἀνόνητόν με ποιῆσαι.

[142] Τί οὖν ταῦτ' ἐπήραμαι καὶ διετεινάμην οὑτωσὶ σφοδρῶς; ὅτι καὶ γράμματ' ἔχων ἐν τῷ δημοσίῳ κείμενα, ἐξ ὧν ταῦτ' ἐπιδείξω σαφῶς, καὶ ὑμᾶς εἰδὼς τὰ πεπραγμένα μνημονεύοντας, ἐκεῖνο φοβοῦμαι, μὴ τῶν εἰργασμένων αὐτῷ κακῶν οὗτος ἐλάττων ὑποληφθῇ· ὅπερ πρότερον συνέβη, ὅτε τοὺς τα-

KC. 1. ἀμφισέων S. — τῶν Λοκρῶν. Il faut supprimer ces deux mots, qui manquent dans deux manuscrits, ou tout ou moins l'article τῶν, si l'on ne veut pas transposer : τῶν Λοκρῶν τῶν Ἀμφισσέων. [H. Wolf et G. H. Schæfer.] — 2. ἐστι S. — Var. (glose) : πόθεν; πολλοῦ γε καὶ δεῖ. — 5. ὦ ἄνδρες vulg. — 6. ἅπαντας S, L, vulg. : leçon inadmissible avant καὶ πάσας. — 9. καὶ τότ' S et L. τότ' vulg. — 10. τουτοι S[1] — 14. ὅτι καὶ vulg. ὅτι S et L[1]. — 16-17. μνημονεύσοντας S, et Vœmel. — 18. ὑποληφθῇ οὗτος ἐλάττων S et L seuls.

1. Τὰ τῶν Ἀμφισσέων.... δόγματα, les décrets relatifs aux Amphisséens. Cf. *Leptine*, § 115, et Thucydide, I, 140 : Τὸ Μεγαρέων ψήφισμα. [G. H. Schæfer.]

5. Καλῶ δ(ὲ).... τοὺς θεούς.... En exposant l'affaire d'Amphissa, Eschine s'était posé en défenseur de la religion et avait attribué les malheurs d'Athènes à la politique impie de Démosthène. Aussi ce dernier a-t-il senti le besoin de renouveler ici les invocations solennelles des dieux que l'on a vues au début de son discours, et d'y ajouter celle du dieu de Delphes. Ce qu'il dit lui-même, au paragraphe 142, pour justifier cette emphase n'en est que le motif ostensible et secondaire.

7. Πατρῷος. Harpocration, art. Ἀπόλλων πατρῷος : Τὸν Ἀπόλλωνα κοινῶς πατρῷον τιμῶσιν Ἀθηναῖοι ἀπὸ Ἴωνος (fils d'Apollon)· τούτου γὰρ οἰκίσαντος τὴν Ἀττικήν, ὡς Ἀριστοτέλης φησί, τοὺς Ἀθηναίους Ἴωνας κληθῆναι καὶ Ἀπόλλω πατρῷον αὐτοῖς ὀνομασθῆναι.

8-9. Εἰ.... εἴποιμι, « si dixero ». Cf. Krüger, *Gr. Sprachl.*, § 53, 6, 5. — Εἶπον καὶ τότ(ε). Cf. § 143.

17-18. Τῶν εἰργασμένων.... ἐλάττων, un trop mince personnage pour lui attribuer tout le mal qu'il a fait. On trouve la même réflexion, *Ambass.*, § 29 ; et c'est au procès de l'ambassade que font allusion les mots ὅπερ πρότερον συνέβη.

λαιπώρους Φωκέας ἐποίησ᾽ ἀπολέσθαι τὰ ψευδῆ δεῦρ᾽ ἀπαγγείλας. [143] Τὸν γὰρ ἐν Ἀμφίσσῃ πόλεμον, δι᾽ ὃν εἰς Ἐλάτειαν ἦλθε Φίλιππος, καὶ δι᾽ ὃν ᾑρέθη τῶν Ἀμφικτυόνων ἡγεμὼν ὃς ἅπαντ᾽ ἀνέτρεψε τὰ τῶν Ἑλλήνων, οὗτός ἐστιν ὁ συγκατασκευάσας καὶ πάντων εἷς ἀνὴρ τῶν μεγίστων αἴτιος κακῶν. Καὶ τότ᾽ εὐθὺς ἐμοῦ διαμαρτυρομένου καὶ βοῶντος ἐν τῇ ἐκκλησίᾳ « πόλεμον εἰς τὴν Ἀττικὴν εἰσάγεις, Αἰσχίνη, « πόλεμον Ἀμφικτυονικόν », οἱ μὲν ἐκ παρακλήσεως συγκαθήμενοι οὐκ εἴων με λέγειν, οἱ δ᾽ ἐθαύμαζον καὶ κενὴν αἰτίαν διὰ τὴν ἰδίαν ἔχθραν ἐπάγειν μ᾽ ὑπελάμβανον αὐτῷ. [144] Ἥτις δ᾽ ἡ φύσις, ἄνδρες Ἀθηναῖοι, γέγονεν τούτων τῶν πραγμάτων, καὶ τίνος εἵνεκα ταῦτα συνεσκευάσθη καὶ πῶς ἐπράχθη, νῦν ἀκούσατε, ἐπειδὴ τότ᾽ ἐκωλύθητε· καὶ γὰρ εὖ πρᾶγμα συντεθὲν ὄψεσθε, καὶ μεγάλ᾽ ὠφελήσεσθε πρὸς ἱστορίαν τῶν κοινῶν, καὶ ὅση δεινότης ἦν ἐν τῷ Φιλίππῳ θεάσεσθε.

[145] Οὐκ ἦν τοῦ πρὸς ὑμᾶς πολέμου πέρας οὐδ᾽ ἀπαλ-
276 λαγὴ Φιλίππῳ, εἰ μὴ Θηβαίους καὶ Θετταλοὺς ἐχθροὺς ποιήσειε τῇ πόλει· ἀλλὰ καίπερ ἀθλίως καὶ κακῶς τῶν στρατηγῶν τῶν ὑμετέρων πολεμούντων αὐτῷ, ὅμως ὑπ᾽ αὐτοῦ

NC. 1. ἐποίησεν mss. — 3. ἐλατιαν S. — 5. τῶν manque dans S, L, F. — 6. κακῶν γεγενημένος A. — 7. ἄγεις F. — 10. με, après ἐπάγειν, est omis par S[1] seul. — 11. ὦ ἄνδρες vulg. — γέγονεν S. — 13. ὑπακούσατε S, L. ἐπακούσατε Rauchenstein. — 15. θεάσεσθε L. θεάσασθε S et vulg.

4. Ἡγεμὼν ὃς (sans virgule), « on choisit pour chef celui qui.... » Avant Vœmel on référait ὃς à πόλεμον.

6-7. Ἐν τῇ ἐκκλησίᾳ. Cette assemblée eut lieu après les faits qui seront rappelés aux paragraphes 149 et 150. Eschine y rendit compte de ce qu'il avait fait comme pylagore, et fut favorablement écouté. Les protestations de Démosthène n'y purent rien changer : le mal était fait, les Locriens d'Amphisse étaient déjà déclarés sacriléges par les Amphictyons, et les hostilités contre eux étaient commencées. Cependant Démosthène eut assez de crédit pour empêcher toute participation d'Athènes aux décrets ultérieurs des Amphictyons (cf. Eschine, § 126 sqq.). Cette politique, favorable aux Locriens, était un premier pas fait vers une alliance avec Thèbes, l'amie déclarée des Locriens.

14. Ἱστορίαν, la connaissance.

16 sqq. Οὐκ ἦν.... Ce morceau ressemble, pour le procédé de l'exposition, aux §§ 315 sqq. de l'*Amb.*, dans lesquels l'orateur explique d'autres intrigues de Philippe.

17-18. Θηβαίους.... τῇ πόλει. Les Thébains, comme les Thessaliens, étaient alors brouillés avec Athènes; mais ils ne l'étaient pas assez pour laisser Philippe envahir l'Attique en passant par leur pays.

18-19. Κακῶς.... πολεμούντων αὐτῷ. Nous ne connaissons pas les faits auxquels Démosthène fait ici allusion : ils doivent être postérieurs au siége de Byzance et à l'échec que Philippe y avait éprouvé.

τοῦ πολέμου καὶ τῶν λῃστῶν μυρί' ἔπασχε κακά. Οὔτε γὰρ ἐξήγετο τῶν ἐκ τῆς χώρας γιγνομένων οὐδὲν οὔτ' εἰσήγεθ' ὧν ἐδεῖτ' αὐτῷ· [146] ἦν δ' οὔτ' ἐν τῇ θαλάττῃ τότε κρείττων ὑμῶν οὔτ' εἰς τὴν Ἀττικὴν ἐλθεῖν δυνατὸς μήτε Θετταλῶν ἀκολουθούντων μήτε Θηβαίων διιέντων· συνέβαινε δ' αὐτῷ, τῷ πολέμῳ κρατοῦντι τοὺς ὁποιουσδήποθ' ὑμεῖς ἐξεπέμπετε στρατηγούς (ἐῶ γὰρ τοῦτό γε), αὐτῇ τῇ φύσει τοῦ τόπου καὶ τῶν ὑπαρχόντων ἑκατέροις κακοπαθεῖν. [147] Εἰ μὲν οὖν τῆς ἰδίας ἕνεκ' ἔχθρας ἢ τοὺς Θετταλοὺς ἢ τοὺς Θηβαίους συμπείθοι βαδίζειν ἐφ' ὑμᾶς, οὐδέν' ἡγεῖτο προσέξειν αὐτῷ τὸν νοῦν· ἐὰν δὲ τὰς ἐκείνων κοινὰς προφάσεις λαβὼν ἡγεμὼν αἱρεθῇ, ῥᾷον ἤλπιζεν τὰ μὲν παρακρούσεσθαι, τὰ δὲ πείσειν. Τί οὖν; ἐπιχειρεῖ (θεάσασθ' ὡς εὖ) πόλεμον ποιῆσαι τοῖς Ἀμφικτύοσι καὶ περὶ τὴν Πυλαίαν ταραχήν· εἰς γὰρ ταῦτ' εὐθὺς αὐτοὺς ὑπελάμβανεν αὐτοῦ δεήσεσθαι. [148] Εἰ μὲν τοίνυν τοῦτ' ἢ τῶν παρ' ἑαυτοῦ πεμπομένων ἱερομνημόνων ἢ τῶν ἐκείνου

NC. 2. οὔτ' ἐσήγετο S. — 3. κρείττων τότε vulg. — 6. τοῖς ὅπλοις κρατοῦντι Dobree. — 10. οὐδένα L et A. Variantes : οὐδὲν ἂν (S) et οὐδέν' ἂν. Cf. *Lept.* § 35, *NC.* — προσέχειν A. « Scribam aut οὐδέν' ἂν.... προσέχειν aut οὐδένα.... προσέξειν. » [G. H. Schæfer.] — 11. τὰς ἐκείνων κοινὰς n'est pas exact, puisque les Thébains tenaient pour Amphisse. Faut-il retrancher τάς et construire ἐκείνων avec ἡγεμών ? — 11-12. ηρεθῆι S[1]. — 15. τοῦτον vulg.

1. Λῃστῶν, corsaires, partisans.

2-3. Ἐκ τῆς χώρας, pour ἐν τῇ χώρᾳ, par assimilation avec ἐξήγετο. — Ἐδεῖτ' αὐτῷ. Cf. Platon, *Ménon*, p. 79 C : Δεῖταί σοι τῆς αὐτῆς ἐρωτήσεως.

4. Μήτε (non οὔτε) ἀκολουθούντων, si les Thessaliens ne le suivaient pas.

6-7. Τοὺς.... στρατηγούς. Enclavée entre le substantif et son article, la phrase incidente ὁποιουσδήποτ(ε).... ἐξεπέμπετε, joue le rôle d'un adjectif. Cf. *Ambass.*, § 254 : Σόλων ἐμίσει τοὺς οἵους οὗτος ἀνθρώπους, et Krüger, *Griech. Sprachl.*, §§ 50, 8, 20.

7-8. Τῇ φύσει τοῦ τόπου. Ces mots se rapportent à οὔτ' εἰς τὴν Ἀττικὴν ἐλθεῖν δυνατός. — Τῶν ὑπαρχόντων ἑκατέροις (c'est-à-dire Φιλίππῳ καὶ ὑμῖν). Ceci se réfère à ἦν δ' οὔτ' ἐν τῇ θαλάττῃ τότε κρείττων ὑμῶν. L'armée de terre faisait la force de Philippe, mais elle ne pouvait rien contre la flotte d'Athènes.

11. Τὰς ἐκείνων κοινὰς προφάσεις λαβών, ayant trouvé des prétextes dans une cause qui leur était commune, c'est-à-dire dans une affaire amphictyonique : cf. § 158. [Voy. cependant *NC.*] Plus loin, παρακρούσεσθαι porte plus particulièrement sur les Thébains, πείσειν sur les Thessaliens. [Dissen.]

13-14. Πόλεμον ποιῆσαι (non ποιήσασθαι) τοῖς Ἀμφικτύοσι, créer une guerre aux Amphictyons. Cf. *Cherson.*, § 6, avec la note. — Πυλαίαν. Cf. § 151.

16. Ἱερομνημόνων. Cf. § 149. — Ἐκείνου reprend l'idée de ἑαυτοῦ du point de vue de l'orateur, par un certain mélange du style direct avec le style indirect. Cf. Xénophon, *Mém.*, I, II, 3 : (Σωκράτης) ἐλπίζειν ἐποίει τοὺς συνδιατρίβον-

συμμάχων εἰσηγοῖτό τις, ὑπόψεσθαι τὸ πρᾶγμ' ἐνόμιζεν, καὶ τοὺς Θηβαίους καὶ τοὺς Θετταλοὺς καὶ πάντας φυλάξεσθαι, ἂν δ' Ἀθηναῖος ᾖ καὶ παρ' ὑμῶν τῶν ὑπεναντίων ὁ τοῦτο ποιῶν, εὐπόρως λήσειν· ὅπερ συνέβη. [149] Πῶς οὖν ταῦτ' ἐποίησεν; μισθοῦται τουτονί. Οὐδενὸς δὲ προειδότος, οἶμαι, τὸ πρᾶγμα οὐδὲ φυλάττοντος, ὥσπερ εἴωθε τὰ τοιαῦτα παρ'
277 ὑμῖν γίγνεσθαι, προβληθεὶς πυλάγορος οὗτος [καὶ] τριῶν ἢ τεττάρων χειροτονησάντων αὐτὸν ἀνερρήθη. Ὡς δὲ τὸ τῆς πόλεως ἀξίωμα λαβὼν ἀφίκετ' εἰς τοὺς Ἀμφικτύονας, πάντα τἄλλ' ἀφεὶς καὶ παριδὼν ἐπέραινεν ἐφ' οἷς ἐμισθώθη, καὶ λόγους εὐπροσώπους καὶ μύθους, ὅθεν ἡ Κιρραία χώρα καθιερώθη, συνθεὶς καὶ διεξελθὼν [150] ἀνθρώπους ἀπείρους λόγων καὶ τὸ μέλλον οὐ προορωμένους, τοὺς ἱερομνήμονας, πείθει ψηφίσασθαι περιελθεῖν τὴν χώραν ἣν οἱ μὲν Ἀμφισσεῖς σφῶν αὐτῶν οὖσαν γεωργεῖν ἔφασαν, οὗτος δὲ τῆς ἱερᾶς χώρας ᾐτιᾶτ' εἶναι, οὐδεμίαν δίκην τῶν Λοκρῶν ἐπαγόντων ἡμῖν, οὐδ' ἃ νῦν

NC. 1. εἰσηγεῖτο S et L : leçon vicieuse, adoptée par Vœmel. — 7. πυλαγόρας vulg. — καὶ est une glose. [Cobet.] — 13. τοὺς ἱερομνήμονας : peut-être une glose, suivant Westermann et Cobet.

τας ἑαυτῷ μιμουμένους ἐκεῖνον τοιούσδε γενήσεσθαι; Thucydide, II, 11 : Ὅταν ἐν τῇ γῇ ὁρῶσιν ἡμᾶς δῃοῦντάς τε καὶ τἀκείνων φθείροντας. Voy. Funkhænel, *Jahrb. für Philol.*, 1858, p. 316 sqq.

1. Ὑπόψεσθαι : sous-ent. αὐτούς. Cela vaut mieux que de mettre la virgule avant le troisième καί. En effet, καὶ πάντας, « enfin tous », clôt une énumération. Cf. § 86; *Mid.*, § 92 et *passim*.

7. Πυλάγορος. Les peuples qui faisaient partie de l'amphictyonie delphique déléguaient aux assemblées un hiéromnémon, lequel était, à ce qu'il paraît, leur vrai représentant et avait seul vote délibératif. Les pylagores assistaient l'hiéromnémon de leurs conseils. Mais, comme ils étaient élus par leurs concitoyens, tandis que l'hiéromnémon était, du moins à Athènes, désigné par le sort, ils avaient généralement plus de talent et de valeur personnelle que le chef de la délégation. (Cf. Schœmann, *Gr. Alterth.*, II, p. 33. P. Foucart, dans *Dict. des antiq. gr. et rom.*, p. 236.) Aussi Démosthène représente-t-il les hiéromnémons comme des hommes simples et faciles à tromper.

7-8. Τριῶν ἢ τεττάρων, quatre pelés et un tondu. Si Démosthène dit vrai, il avait manqué de vigilance, lui et son parti. Herwerden compare Aristoph. *Ach.* 598 : Ἐχειροτόνησαν γάρ με — κόκκυγές γε τρεῖς.

11-12. Ὅθεν.... καθιερώθη. Du temps de Solon, les Amphictyons détruisirent la ville des Cirrhéens pour cause de sacrilége, et déclarèrent maudit quiconque oserait cultiver leur territoire. Eschine accusa les Amphisséens de s'être emparés d'une partie de ce territoire. Cf. Eschine, *l. c.*

15-16. Ἠτιᾶτ' εἶναι. Si, après ces mots, on passait tout de suite au paragraphe 151, l'exposition se suivrait mieux. Les lignes intermédiaires sont évidemment une digression provoquée par une assertion d'Eschine. On peut donc croire qu'elles ont été insérées après coup, et que le morceau sur l'affaire d'Amphissa (sauf l'introduction, § 140 sq.) avait été préparé d'avance.

16. Οὐδεμίαν δίκην.... ἡμῖν. Eschine dit qu'il attaqua les Amphisséens pour dé-

οὗτος προφασίζεται, λέγων οὐκ ἀληθῆ. Γνώσεσθε δ' ἐκεῖθεν. Οὐκ ἐνῆν ἄνευ τοῦ προσκαλέσασθαι δήπου τοῖς Λοκροῖς δίκην κατὰ τῆς πόλεως τελέσασθαι. Τίς οὖν ἐκλήτευσεν ἡμᾶς; ἐπὶ ποίας ἀρχῆς; εἰπὲ τὸν εἰδότα, δεῖξον. Ἀλλ' οὐκ ἂν ἔχοις, ἀλλὰ κενῇ προφάσει ταύτῃ κατεχρῶ καὶ ψευδεῖ. [151] Περιιόντων τοίνυν τὴν χώραν τῶν Ἀμφικτυόνων κατὰ τὴν ὑφήγησιν τὴν τούτου, προσπεσόντες οἱ Λοκροὶ μικροῦ κατηκόντισαν ἅπαντας, τινὰς δὲ καὶ συνήρπασαν τῶν ἱερομνημόνων. Ὡς δ' ἅπαξ ἐκ τούτων ἐγκλήματα καὶ πόλεμος πρὸς τοὺς Ἀμφισσεῖς ἐταράχθη, τὸ μὲν πρῶτον ὁ Κόττυφος αὐτῶν τῶν Ἀμφικτυόνων ἤγαγε στρατιὰν, ὡς δ' οἱ μὲν οὐκ ἦλθον, οἱ δ' ἐλθόντες οὐδὲν ἐποίουν, εἰς τὴν ἐπιοῦσαν πυλαίαν ἐπὶ τὸν Φίλιππον εὐθὺς ἡγε-

NC. 1. Variantes : οὗτος λέγων προφασίζεται, πρ. οὗτος λ., πρ. λέγων. Westermann écartait οὗτος. — γνώσεσθαι S. — 3. συντελέσασθαι F. — ὑμᾶς avant Bekker. — ἐπὶ A. ἀπὸ S, L, vulg. On traduit cette dernière leçon : « à quelle occasion? pour quel prétexte? » Mais ici il ne s'agit pas de cela. — 5. καινῆι S et A. — 6. ευφήγησιν (c'est-à-dire ἐφήγησιν ou ὑφήγησιν) S. — 7. μικροῦ S et L[1] seuls. μικροῦ μὲν vulg, — ἅπαντας κατηκόντισαν vulg. Cela donne un faux sens. — 8. [τῶν ἱερομνημόνων] Herwerden. — 11. οἱ δ' ἐλθόντες, mots omis, avant ουδ, dans le texte de S et L.

fendre sa patrie. Suivant lui, ils proposaient, à l'instigation des Thébains, d'infliger aux Athéniens une amende de cinquante talents pour avoir fait dans le temple de Delphes une dédicace injurieuse à l'endroit de Thèbes. A entendre Démosthène, tout cela n'est que mensonge. Mais son argument porte à faux; ses plus chauds partisans en conviennent. Si les Locriens ne notifièrent pas aux Athéniens une citation (πρόσκλησις) en forme, c'est qu'Eschine ne leur en laissa pas le temps, mais les accabla aussitôt. Cependant je ne crois pas que la proposition de frapper Athènes d'une amende se soit produite effectivement, et je ne sais si le dessein de le faire était bien arrêté. Eschine dit (§ 116) : Ἐξηγγέλλετο δ' ἡμῖν.... ὅτι οἱ Ἀμφισσεῖς.... εἰσέφερον δόγμα κατὰ τῆς ὑμετέρας πόλεως, ce qui veut dire : « On nous donnait avis que les Amphisséens préparaient une résolution contre Athènes. » Là-dessus, Eschine se fait introduire au conseil des hiéromnémons et y dénonce le sacrilége des Amphisséens.

2-3. Δίκην.... τελέσασθαι se dit de la suite effective donnée à une plainte intentée. Cf. *Contre Bœotos*, I, § 38 et *passim*.

3-4. Ἐπὶ ποίας ἀρχῆς; devant quelle (à quelle) autorité athénienne la citation fut-elle notifiée? L'explication de Reiske : « sous quel archonte? » est inadmissible (ἐπὶ ποίας ἀρχῆς ne peut se dire pour ἐπὶ τίνος ἄρχοντος) : mais sa leçon est bonne. Voy. *NC*.

5-7. Περιιόντων. Les Amphictyons firent le tour du territoire sacré et, en même temps, détruisirent le port de Cirrha et mirent le feu aux habitations. C'était au printemps de 339. Voy. Eschine, § 123. — Ὑφήγησιν, suggestion. — Μικροῦ porte sur κατηκόντισαν, non sur ἅπαντας. Cf. *NC*.

10. Κόττυφος : de Pharsale. Il présidait alors l'assemblée amphictyonique. Cf. Eschine, §§ 124 et 128.

11. Ἤγαγε στρατιάν. On avait convoqué à cet effet une réunion extraordinaire des Amphictyons, à laquelle Démosthène ne laissa pas participer les Athéniens.

12-1. Εἰς τὴν ἐπιοῦσαν πυλαίαν, pour la prochaine réunion des Amphictyons :

μόν' ἦγον οἱ κατεσκευασμένοι καὶ πάλαι πονηροὶ τῶν Θετταλῶν καὶ τῶν ἐν ταῖς ἄλλαις πόλεσιν. [152] Καὶ προφάσεις εὐλόγους εἰλήφεσαν· ἢ γὰρ αὐτοὺς εἰσφέρειν καὶ ξένους τρέ-
278 φειν ἔφασαν δεῖν καὶ ζημιοῦν τοὺς μὴ ταῦτα ποιοῦντας, ἢ 'κεῖνον αἱρεῖσθαι. Τί δεῖ τὰ πολλὰ λέγειν; ᾑρέθη γὰρ ἐκ τούτων ἡγεμών. Καὶ μετὰ ταῦτ' εὐθέως δύναμιν συλλέξας καὶ παρελθὼν ὡς ἐπὶ τὴν Κιρραίαν, ἐρρῶσθαι φράσας πολλὰ Κιρραίοις καὶ Λοκροῖς, τὴν Ἐλάτειαν καταλαμβάνει. [153] Εἰ μὲν οὖν μὴ μετέγνωσαν εὐθέως, ὡς τοῦτ' εἶδον, οἱ Θηβαῖοι καὶ μεθ' ἡμῶν ἐγένοντο, ὥσπερ χειμάρρους ἂν ἅπαν τοῦτο τὸ πρᾶγμ' εἰς τὴν πόλιν εἰσέπεσεν· νῦν δὲ τό γ' ἐξαίφνης ἐπέσχον [αὐτὸν] ἐκεῖνοι, μάλιστα μέν, ὦ ἄνδρες Ἀθηναῖοι, θεῶν τινὸς εὐνοίᾳ πρὸς ὑμᾶς, εἶτα μέντοι καὶ ὅσον καθ' ἕν' ἄνδρα, καὶ δι' ἐμέ. Δὸς δέ μοι τὰ δόγματα ταῦτα καὶ τοὺς χρόνους ἐν οἷς ἕκαστα πέπρακται, ἵν' εἰδῆθ' ἡλίκα πράγμαθ' ἡ μιαρὰ κεφαλὴ ταράξασ' αὕτη δίκην οὐκ ἔδωκεν. [154] Λέγε μοι τὰ δόγματα.

ΔΟΓΜΑ ΑΜΦΙΚΤΥΟΝΩΝ.

« Ἐπὶ ἱερέως Κλειναγόρου, ἐαρινῆς πυλαίας, ἔδοξε τοῖς πυλαγόροις καὶ τοῖς συνέδροις τῶν Ἀμφικτυόνων καὶ τῷ κοινῷ

NC. 6. εὐθὺς vulg. — 7. κιρραν S et L[1] seuls. — καὶ Κιρραίοις F. — 9. εὐθὺς Θηβαῖοι, en omettant ὡς τοῦτ' εἶδον οἱ, F. — 11. τό γ' S, L, F. Variantes : τότε, τότε γ', τοῦτο γ'. — 12. αὐτὸν est avec raison omis dans A et dans le texte de B. [Christ.] — 17. δόγματα S, L. — 19-1. καὶ τῷ Ἀμφικτυόνων : omis dans S, L, A. Cf. p. 497, 8.

celle de l'automne de 339. Primitivement ces assemblées avaient lieu aux Thermopyles : aussi continuait-on de s'y réunir chaque fois avant de se rendre à Delphes. De là le nom de Πυλαία. Cf. Schœmann, *Ant. jur. publ.*, p. 394. — Ἐπὶ.... ἦγον, ils intriguaient pour qu'à la prochaine assemblée Philippe fût chargé du commandement.

7-8. Ἐρρῶσθαι.... Λοκροῖς. Ces mots seraient fort étranges, si Philippe n'avait occupé Élatée, comme Plutarque (*Dém.*, 18) semble le dire, qu'après avoir détruit Amphisse. Mais il est probable que Philippe commença par prendre possession d'Élatée. Voy. Grote, *Hist. gr.*, XVII, p. 357 (trad. franç.); Curtius, *Griech. Geschichte*, III, pp. 703 et 781, lequel cite Kœchly, *Neues Schweizer. Museum*, II.

13-14. Εἶτα μέντοι καὶ..., καὶ δι' ἐμέ, mais en second lieu et autant que cela dépend d'un seul homme, aussi par moi.

17. Δόγμα. Outre les mémoires cités dans la *Notice*, voy. au sujet de ce décret et du suivant, Franke, *Commentatio de decretis Amphictyonum quæ apud Demosth. reperiuntur*, Leipzig, 1844. D'accord avec Droysen, Franke dit avec raison que l'auteur de ces deux documents aurait pu mieux faire s'il s'était servi du récit d'Eschine.

19. Τοῖς συνέδροις. Il faut entendre les

τῶν Ἀμφικτυόνων, ἐπειδὴ Ἀμφισσεῖς ἐπιβαίνουσιν ἐπὶ τὴν ἱερὰν χώραν καὶ σπείρουσι καὶ βοσκήμασι κατανέμουσιν, ἐπελθεῖν τοὺς πυλαγόρους καὶ τοὺς συνέδρους, καὶ στήλαις διαλαβεῖν τοὺς ὅρους, καὶ ἀπειπεῖν τοῖς Ἀμφισσεῦσι τοῦ λοιποῦ μὴ ἐπιβαίνειν. »

ΕΤΕΡΟΝ ΔΟΓΜΑ.

[155] « Ἐπὶ ἱερέως Κλειναγόρου, ἐαρινῆς πυλαίας, ἔδοξε τοῖς πυλαγόροις καὶ τοῖς συνέδροις τῶν Ἀμφικτυόνων καὶ τῷ κοινῷ 279 τῶν Ἀμφικτυόνων, ἐπειδὴ οἱ ἐξ Ἀμφίσσης τὴν ἱερὰν χώραν κατανειμάμενοι γεωργοῦσι καὶ βοσκήματα νέμουσι, καὶ κωλυόμενοι τοῦτο ποιεῖν, ἐν τοῖς ὅπλοις παραγενόμενοι, τὸ κοινὸν τῶν Ἑλλήνων συνέδριον κεκωλύκασι μετὰ βίας, τινὰς δὲ καὶ τετραυματίκασι, [καὶ] τὸν στρατηγὸν τὸν ᾑρημένον τῶν Ἀμφικτυόνων Κόττυφον τὸν Ἀρκάδα πρεσβεῦσαι πρὸς Φίλιππον τὸν Μακεδόνα, καὶ ἀξιοῦν ἵνα βοηθήσῃ τῷ τε Ἀπόλλωνι καὶ τοῖς Ἀμφικτύοσιν, ὅπως μὴ περιίδῃ ὑπὸ τῶν ἀσεβῶν Ἀμφισσέων τὸν θεὸν πλημμελούμενον· καὶ διότι αὐτὸν στρατηγὸν αὐτοκράτορα αἱροῦνται οἱ Ἕλληνες οἱ μετέχοντες τοῦ συνεδρίου τῶν Ἀμφικτυόνων. »

Λέγε δὴ καὶ τοὺς χρόνους ἐν οἷς ταῦτ' ἐγίγνετο· εἰσὶ γὰρ καθ' οὓς ἐπυλαγόρησεν οὗτος. Λέγε.

NC. 4. ὅρχους vulg. — 13. καὶ a été supprimé par G. H. Schæfer.

hiéromnémons; mais ils devraient être nommés avant les pylagores. On dirait que le faussaire prend ces derniers pour des magistrats directeurs et qu'il les oppose, comme les démiurges de la Lettre de Philippe (§ 157), au sénat et au peuple.

2-3. Καὶ.... κατανέμουσιν. Ils y avaient aussi fait des constructions, et ils avaient rétabli le port de Cirrha. Ces griefs, mentionnés par Eschine, sont ici passés sous silence. — Στήλαις.... τοὺς ὅρους. Les Amphictyons décrétèrent la destruction des travaux exécutés par les Locriens. Voy. Eschine, § 122.

7. Ἐαρινῆς. Il fallait dire μετοπωρινῆς. Le faussaire semble mettre une année d'intervalle entre les deux décrets. Il ignorait que, des trois réunions rappelées au paragraphe 151, la deuxième était une réunion extraordinaire. [Franke.]

14. Τὸν Ἀρκάδα. Cottyphos, on l'a vu, était de Pharsale dans la Thessalie.

ΧΡΟΝΟΙ.

« Ἄρχων Μνησιθείδης, μηνὸς ἀνθεστηριῶνος ἕκτῃ ἐπὶ δέκα. »

[156] Δὸς δὴ τὴν ἐπιστολὴν ἥν, ὡς οὐχ ὑπήκουον οἱ Θηβαῖοι, πέμπει πρὸς τοὺς ἐν Πελοποννήσῳ συμμάχους ὁ Φίλιππος, ἵν' εἰδῆτε καὶ ἐκ ταύτης σαφῶς ὅτι τὴν μὲν ἀληθῆ πρόφασιν τῶν πραγμάτων, τὸ ταῦτ' ἐπὶ τὴν Ἑλλάδα καὶ τοὺς Θηβαίους καὶ ὑμᾶς πράττειν, ἀπεκρύπτετο, κοινὰ δὲ καὶ τοῖς Ἀμφικτύοσιν δόξαντα ποιεῖν προσεποιεῖτο· ὁ δὲ τὰς ἀφορμὰς ταύτας καὶ τὰς προφάσεις αὐτῷ παρασχὼν οὗτος ἦν. Λέγε.

280

ΕΠΙΣΤΟΛΗ.

[157] « Βασιλεὺς Μακεδόνων Φίλιππος Πελοποννησίων τῶν ἐν τῇ συμμαχίᾳ τοῖς δημιουργοῖς καὶ τοῖς συνέδροις καὶ τοῖς ἄλλοις συμμάχοις πᾶσι χαίρειν. Ἐπειδὴ Λοκροὶ οἱ καλούμενοι Ὀζόλαι, κατοικοῦντες ἐν Ἀμφίσσῃ, πλημμελοῦσιν εἰς τὸ ἱερὸν τοῦ Ἀπόλλωνος τοῦ ἐν Δελφοῖς καὶ τὴν ἱερὰν χώραν ἐρχόμενοι μεθ' ὅπλων λεηλατοῦσι, βούλομαι τῷ θεῷ μεθ' ὑμῶν βοηθεῖν καὶ ἀμύνασθαι τοὺς παραβαίνοντάς τι τῶν ἐν ἀνθρώποις εὐσεβῶν· ὥστε συναντᾶτε μετὰ τῶν ὅπλων εἰς τὴν Φωκίδα, ἔχοντες ἐπισιτισμὸν ἡμερῶν τετταράκοντα, τοῦ ἐνεστῶτος μηνὸς Λώου, ὡς ἡμεῖς ἄγομεν, ὡς δὲ Ἀθηναῖοι, Βοηδρομιῶνος, ὡς δὲ Κορίνθιοι, Πανήμου. Τοῖς δὲ μὴ συναντήσασι πανδημεὶ

NC. 2. ἐπὶ δέκα Taylor. ἐπὶ δεκάτῃ manuscrits. — 3. δή μοι vulg. — ὑπήκουσαν (?) S[1]. — 9. αὐτῷ παρασχὼν οὗτος ἦν L. αὐτῷ παρασχὼν S[1] οὗτος ἦν αὐτῷ S[2]. παραδοὺς αὐτῷ οὗτος ἦν vulg. παραδοὺς οὗτος ἦν αὐτῷ A. Ces variantes rendent le pronom αὐτῷ suspect. — 17. ἀμύνεσθαι S[1] seul. — 20-21. λῴου et πανέμου vulg.

2. Μνησιθείδης. Pseudéponyme. On s'attendrait à trouver ici deux dates, puisqu'il s'agit de deux décrets.

5. Τὴν μὲν ἀληθῆ πρόφασιν, le vrai motif. Thucydide (I, 23) oppose τὴν μὲν ἀληθεστάτην πρόφασιν à αἱ δ' ἐς τὸ φανερὸν λεγόμεναι αἰτίαι.

7-8. Καὶ τοῖς Ἀμφικτύοσι δόξαντα. Ce point essentiel a été négligé par l'auteur de la lettre insérée ci-dessous.

12-13. Τοῖς δημιουργοῖς. Nom d'une haute magistrature dans plusieurs États du Péloponnèse. Cf. Schœmann, *Griechische Alterthümer*, I, p. 153. — Συνέδροις semble ici désigner le sénat; τοῖς ἄλλοις συμμάχοις, le peuple dans chacune de ces cités. [Dissen.]

20-21. Λώου.... Βοηδρομιῶνος.... Πανήμου. L'assimilation de ces mois est contestée par les chronologistes.

χρησόμεθα τοῖς δὲ συμβούλοις ἡμῖν κειμένοις ἐπιζημίοις. Εὐτυχεῖτε. »

[158] Ὁρᾶθ' ὅτι φεύγει τὰς ἰδίας προφάσεις, εἰς δὲ τὰς Ἀμφικτυονικὰς καταφεύγει. Τίς οὖν ὁ ταῦτα συμπαρασκευάσας αὐτῷ; τίς ὁ τὰς προφάσεις ταύτας ἐνδούς; τίς ὁ τῶν κακῶν τῶν γεγενημένων μάλιστ' αἴτιος; οὐχ οὗτος; Μὴ τοίνυν λέγετ', ὦ ἄνδρες Ἀθηναῖοι, περιιόντες ὡς ὑφ' ἑνὸς τοιαῦτα πέπονθεν ἡ Ἑλλὰς ἀνθρώπου. Οὐχ ὑφ' ἑνός, ἀλλ' ὑπὸ πολλῶν καὶ πονηρῶν τῶν παρ' ἑκάστοις, ὦ γῆ καὶ θεοί · [159] ὧν εἷς οὑτοσί, ὅν, εἰ μηδὲν εὐλαβηθέντα τἀληθὲς εἰπεῖν δέοι, οὐκ ἂν ὀκνήσαιμ' ἔγωγε κοινὸν ἀλιτήριον τῶν μετὰ ταῦτ' ἀπολωλότων ἁπάντων εἰπεῖν, ἀνθρώπων, τόπων, πόλεων · ὁ γὰρ τὸ σπέρμα παρασχών, οὗτος τῶν φύντων [κακῶν] αἴτιος. Ὃν ὅπως ποτ' οὐκ εὐθὺς ἰδόντες ἀπεστράφητε θαυμάζω. Πλὴν πολύ τι σκό- 281
τος, ὡς ἔοικεν, ἐστὶν παρ' ὑμῖν πρὸ τῆς ἀληθείας.

[160] Συμβέβηκε τοίνυν μοι τῶν κατὰ τῆς πατρίδος τούτῳ πεπραγμένων ἁψαμένῳ εἰς ἃ τούτοις ἐναντιούμενος αὐτὸς πεπολίτευμαι ἀφῖχθαι · ἃ πολλῶν μὲν εἵνεκ' ἂν εἰκότως ἀκούσαιτέ μου, μάλιστα δ' ὅτι αἰσχρόν ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ 'γὼ

NC. 1. μὴ κειμένοις vulg. τοῖς συμβόλοις τοῖς ἡμῖν κειμένοις G. Hermann. τοῖς διὰ συμβόλων, ou τοῖς ἐν τοῖς συμβόλοις ἡμῖν κ. Sauppe et Westermann. χρησόμεθα ἐπιζημίοις, en supprimant les mots intermédiaires, G. H. Schæfer. Peut-être τοῖς ἀσυμβόλοις, « les peines établies parmi nous contre ceux qui ne payent pas leur part. » Cf. *Corp. Inscr.*, II, n° 2271 : Ἔστω δὲ ἀσύμβολος καὶ ἀλειτούργητος ἐν ταῖς γινομέναις συνόδοις πάσαις, et, pour les deux datifs, *Phil.* I, 32; *Olynth.* I, 22. — 3. φεύγει S et L¹. φεύγει μὲν vulg. — 6. λέγετε, omis par S¹ seul. — 10. οὑτοσί S et L¹. οὗτός ἐστιν vulg. — 13. κακῶν, pointé dans L, omis dans plusieurs manuscrits, doit être regardé comme une glose. — 15. ἐστιν S. — 18. ἀφῖχθαι, omis à la fin de la ligne par S¹ seul. — 18. ἕνεκ' ἂν et ἀκούσετε (*sic*) S et L seuls. ἕνεκα et ἀκούσετε F. ἕνεκα et ἀκούσατε A.

1. Χρησόμεθα.... ἐπιζημίοις. Passage altéré. Cf. *NC.*

7. Περιιόντες. Cf. *Phil.* I, §§ 10 et 48; et *passim.*

7-8. Ἑνὸς.... ἀνθρώπου. Entendez Philippe de Macédoine.

11. Κοινὸν ἀλιτήριον. Les deux adversaires se renvoient cette injure. Eschine (§§ 131 et 157) n'y met point de façons ni de préambule.

12-13. Ὁ γὰρ τὸ σπέρμα.... αἴτιος. On rapproche Cicéron, *Phil.* II, § 22 : « Ut « igitur in seminibus est causa arborum « et stirpium, sic hujus luctuosissimi belli « causa tu fuisti. »

16. Συμβέβηκε. L'orateur ne veut pas avoir l'air de suivre un plan habilement combiné. C'est le hasard de l'improvisation qui le ramène à la justification de ses actes politiques, quoiqu'il ait déclaré au paragraphe 110 qu'il était inutile de rien ajouter à ce sujet. Voyez la *Notice.*

μὲν τὰ ἔργα τῶν ὑπὲρ ὑμῶν πόνων ὑπέμεινα, ὑμεῖς δὲ μηδὲ τοὺς λόγους αὐτῶν ἀνέξεσθε. [161] Ὁρῶν γὰρ ἐγὼ Θηβαίους, σχεδὸν δὲ καὶ ὑμᾶς, ὑπὸ τῶν τὰ Φιλίππου φρονούντων καὶ διεφθαρμένων παρ' ἑκατέροις, ὃ μὲν ἦν ἀμφοτέροις φοβερὸν καὶ φυλακῆς πολλῆς δεόμενον, τὸ τὸν Φίλιππον ἐᾶν αὐξάνεσθαι, παρορῶντας καὶ οὐδὲ καθ' ἓν φυλαττομένους, εἰς ἔχθραν δὲ καὶ τὸ προσκρούειν ἀλλήλοις ἑτοίμως ἔχοντας, ὅπως τοῦτο μὴ γένοιτο παρατηρῶν διετέλουν, [162] οὐκ ἀπὸ τῆς ἐμαυτοῦ γνώμης μόνον ταῦτα συμφέρειν ὑπολαμβάνων, ἀλλ' εἰδὼς Ἀριστοφῶντα καὶ πάλιν Εὔβουλον πάντα τὸν χρόνον βουλομένους πρᾶξαι ταύτην τὴν φιλίαν, καὶ περὶ τῶν ἄλλων πολλάκις ἀντιλέγοντας ἑαυτοῖς τοῦθ' ὁμογνωμονοῦντας ἀεί. Οὓς σὺ ζῶντας μέν, ὦ κίναδος, κολακεύων παρηκολούθεις, τεθνεώτων δ' οὐκ αἰσθάνει κατηγορῶν· ἃ γὰρ περὶ Θηβαίων ἐπιτιμᾷς ἐμοί, ἐκείνων πολὺ μᾶλλον ἢ ἐμοῦ κατηγορεῖς, τῶν προτέρων ἢ 'γὼ ταύτην τὴν συμμαχίαν δοκιμασάντων. [163] Ἀλλ' ἐκεῖσ' ἐπάνειμι, ὅτι τὸν ἐν Ἀμφίσσῃ πόλεμον τούτου μὲν ποιήσαντος, συμπεραναμένων δὲ τῶν ἄλλων τῶν συνεργῶν αὐτῷ τὴν πρὸς
282 Θηβαίους ἔχθραν, συνέβη τὸν Φίλιππον ἐλθεῖν ἐφ' ἡμᾶς, οὗπερ εἵνεκα τὰς πόλεις οὗτοι συνέκρουον, καὶ εἰ μὴ προεξανέστημεν

NC. 3. φρονούντων S et L[1]. πραττόντων vulg. — 7-8. γένοιτο S et L[1] seuls. γενήσεται vulg. — 12. ἑαυτοῖς est omis par S[1] seul. — 14. αἰσθάνει ou αἰσθάνῃ S et L seuls. αἰσχύνῃ vulg. — 15. προτέρων Hertlein. πρότερον mss. — 18. πρὸς τοὺς F. — 20. ἕνεκα mss.

1-2. Τὰ ἔργα τῶν.... πόνων, la réalité des labeurs. Cette périphrase amène l'antithèse τοὺς λόγους αὐτῶν, « leur exposition par la parole ». On rapproche Thucydide, I, 22 : Καὶ ὅσα μὲν λόγῳ εἶπον ἕκαστοι.... τὰ δὲ ἔργα τῶν πραχθέντων. — Ἀνέξεσθε. Les hommes supportent impatiemment qu'on vante les services qu'on leur a rendus.

3-4. Ὑπό, sous l'influence de. — Παρ' ἑκατέροις, « apud utrosque seorsim. » Ἀμφοτέροις, « utrisque simul. » [Dissen.]

9. Ἀριστοφῶντα. Cet homme d'État (cf. § 70 et *Lept.*, § 146) avait été dans le temps partisan de l'alliance thébaine contre Sparte. C'est probablement dans les mêmes circonstances et au commencement de sa carrière qu'Eubule suivait cette politique. Cf. A. Schæfer, I, pp. 120 et 165.

12-13. Οὓς.... παρηκολούθεις. Voy. *Ambass.*, § 291, avec la note.

14. Ἐπιτιμᾷς ἐμοί. A vrai dire, Eschine ne reproche pas à son adversaire d'avoir voulu l'alliance thébaine : il dit (§ 137 sqq.) que cette alliance s'est faite par la force des circonstances, mais qu'elle a été onéreuse pour Athènes par la faute de Démosthène.

15. Προτέρων. Cela est vrai, mais il faut ajouter que c'était en des conjectures toutes différentes.

17. Τὸν ἐν Ἀμφίσσῃ πόλεμον.... L'hyperbate a pour effet que les trois termes opposés se suivent, dans les deux membres de phrase, en ordre inverse.

19-20. Οὗπερ ἕνεκα, c.-à-d. pour favoriser la marche de Philippe contre Athènes.

μικρὸν, οὐδ' ἀναλαβεῖν ἂν ἠδυνήθημεν· οὕτω μέχρι πόρρω προήγαγον οὗτοι [τὴν ἔχθραν]. Ἐν οἷς δ' ἦτ' ἤδη τὰ πρὸς ἀλλήλους, τουτωνὶ τῶν ψηφισμάτων ἀκούσαντες καὶ τῶν ἀποκρίσεων εἴσεσθε. Καί μοι λέγε ταῦτα λαβών.

ΨΗΦΙΣΜΑ.

[164] « Ἐπὶ ἄρχοντος Ἡροπύθου, μηνὸς Ἐλαφηβολιῶνος ἕκτῃ φθίνοντος, φυλῆς πρυτανευούσης Ἐρεχθηΐδος, βουλῆς καὶ στρατηγῶν γνώμῃ, ἐπειδὴ Φίλιππος ἃς μὲν κατείληφεν πόλεις τῶν ἀστυγειτόνων, τινὰς δὲ πορθεῖ, κεφαλαίῳ δὲ ἐπὶ τὴν Ἀττικὴν παρασκευάζεται παραγίγνεσθαι, παρ' οὐδὲν ἡγούμενος τὰς ἡμετέρας συνθήκας, καὶ τοὺς ὅρκους λύειν ἐπιβάλλεται καὶ τὴν εἰρήνην, παραβαίνων τὰς κοινὰς πίστεις, δεδόχθαι τῇ βουλῇ καὶ τῷ δήμῳ πέμπειν πρὸς αὐτὸν πρέσβεις, οἵτινες αὐτῷ διαλέξονται καὶ παρακαλέσουσιν αὐτὸν μάλιστα μὲν τὴν πρὸς ἡμᾶς ὁμόνοιαν διατηρεῖν καὶ τὰς συνθήκας, εἰ δὲ μή, πρὸς τὸ βουλεύσασθαι δοῦναι χρόνον τῇ πόλει καὶ τὰς ἀνοχὰς ποιήσασθαι μέχρι τοῦ Θαργηλιῶνος μηνός. Ἡιρέθησαν ἐκ βουλῆς Σῖμος Ἀναγυράσιος, Εὐθύδημος Φυλάσιος, Βουλαγόρας Ἀλωπεκῆθεν. »

NC. 1. ἀναλαβεῖν αὐτοὺς F. — 2. οὗτοι A et marge de S. οὗτοι τὴν ἔχθραν texte de S. οὗτοι τὸ πρᾶγμα vulg. — 3. ψηφίσματα S et L seuls. — 17. ἐκ τῆς βουλῆς vulg. — 18. ἀναγυρράσιος S, vulg. — Φυλάσιος Bœhnecke. Φλιάσιος vulg.

1-2. Ἀναλαβεῖν, nous recueillir, revenir de notre consternation. Cf. Isocrate, *Phil.*, § 22 : Ὡς μὲν τὸ πρῶτον ἐξεπλάγην, καὶ πάλιν ὡς ἀναλαβὼν ἐμαυτὸν ἀντεῖχον. — Προήγαγον. On peut sous-entendre τὸ πρᾶγμα.

2-3. Τὰ πρὸς ἀλλήλους. L'auteur des documents semble avoir entendu les rapports entre Athènes et Philippe. Mais le sens général de ce paragraphe et, mieux encore, le paragraphe 168 prouvent que Démosthène parle des relations entre Athènes et Thèbes, et qu'il fait lire des dépêches échangées avec Thèbes, et non avec le roi de Macédoine.

6-8. Ἡροπύθου. Pseudéponyme. — Ἐλαφηβολιῶνος. Date qui ne s'accorde guère avec les faits. Nommé général des Amphictyons en automne, pourquoi Philippe aurait-il différé l'expédition jusqu'au printemps? — Στρατηγῶν γνώμῃ. Les stratéges n'avaient pas, que nous sachions, à préparer les décrets à soumettre au peuple; aussi peu que le polémarque, mentionné dans le document suivant.

8-10. Ἐπειδὴ.... παραγίγνεσθαι. Le projet d'envahir l'Attique se dévoila tout à coup par l'occupation d'Élatée. Mais les documents que Démosthène fit lire étaient antérieurs à cet événement : on le voit par le paragraphe 168.

11-12. Συνθήκας.... εἰρήνην. Mais Athènes était alors en guerre avec Philippe. Cf. § 145.

15-16. Πρὸς τὸ βουλεύσασθαι δοῦναι χρόνον. Ceci est naïf.

λαιπώρους Φωκέας ἐποίησ' ἀπολέσθαι τὰ ψευδῆ δεῦρ' ἀπαγγείλας. [143] Τὸν γὰρ ἐν Ἀμφίσσῃ πόλεμον, δι' ὃν εἰς Ἐλάτειαν ἦλθε Φίλιππος, καὶ δι' ὃν ᾑρέθη τῶν Ἀμφικτυόνων ἡγεμὼν ὃς ἅπαντ' ἀνέτρεψε τὰ τῶν Ἑλλήνων, οὗτός ἐστιν ὁ συγκατασκευάσας καὶ πάντων εἷς ἀνὴρ τῶν μεγίστων αἴτιος κακῶν. Καὶ τότ' εὐθὺς ἐμοῦ διαμαρτυρομένου καὶ βοῶντος ἐν τῇ ἐκκλησίᾳ « πόλεμον εἰς τὴν Ἀττικὴν εἰσάγεις, Αἰσχίνη, « πόλεμον Ἀμφικτυονικόν », οἱ μὲν ἐκ παρακλήσεως συγκαθήμενοι οὐκ εἴων με λέγειν, οἱ δ' ἐθαύμαζον καὶ κενὴν αἰτίαν διὰ τὴν ἰδίαν ἔχθραν ἐπάγειν μ' ὑπελάμβανον αὐτῷ. [144] Ἥτις δ' ἡ φύσις, ἄνδρες Ἀθηναῖοι, γέγονεν τούτων τῶν πραγμάτων, καὶ τίνος εἵνεκα ταῦτα συνεσκευάσθη καὶ πῶς ἐπράχθη, νῦν ἀκούσατε, ἐπειδὴ τότ' ἐκωλύθητε· καὶ γὰρ εὖ πρᾶγμα συντεθὲν ὄψεσθε, καὶ μεγάλ' ὠφελήσεσθε πρὸς ἱστορίαν τῶν κοινῶν, καὶ ὅση δεινότης ἦν ἐν τῷ Φιλίππῳ θεάσεσθε.

[145] Οὐκ ἦν τοῦ πρὸς ὑμᾶς πολέμου πέρας οὐδ' ἀπαλ-
276 λαγὴ Φιλίππῳ, εἰ μὴ Θηβαίους καὶ Θετταλοὺς ἐχθροὺς ποιήσειε τῇ πόλει· ἀλλὰ καίπερ ἀθλίως καὶ κακῶς τῶν στρατηγῶν τῶν ὑμετέρων πολεμούντων αὐτῷ, ὅμως ὑπ' αὐτοῦ

NC. 1. ἐποίησεν mss. — 3. ἐλατιαν S. — 5. τῶν manque dans S, L, F. — 6. κακῶν γεγενημένος A. — 7. ἄγεις F. — 10. με, après ἐπάγειν, est omis par S[1] seul. — 11. ὦ ἄνδρες vulg. — γέγονεν S. — 13. ὑπακούσατε S, L. ἐπακούσατε Rauchenstein. — 15. θεάσεσθε L. θεάσασθε S et vulg.

4. Ἡγεμὼν ὃς (sans virgule), « on choisit pour chef celui qui.... » Avant Vœmel on référait ὃς à πόλεμον.

6-7. Ἐν τῇ ἐκκλησίᾳ. Cette assemblée eut lieu après les faits qui seront rappelés aux paragraphes 149 et 150. Eschine y rendit compte de ce qu'il avait fait comme pylagore, et fut favorablement écouté. Les protestations de Démosthène n'y purent rien changer : le mal était fait, les Locriens d'Amphisse étaient déjà déclarés sacriléges par les Amphictyons, et les hostilités contre eux étaient commencées. Cependant Démosthène eut assez de crédit pour empêcher toute participation d'Athènes aux décrets ultérieurs des Amphictyons (cf. Eschine, § 126 sqq.). Cette politique, favorable aux Locriens, était un premier pas fait vers une alliance avec Thèbes, l'amie déclarée des Locriens.

14. Ἱστορίαν, la connaissance.

16 sqq. Οὐκ ἦν.... Ce morceau ressemble, pour le procédé de l'exposition, aux §§ 315 sqq. de l'*Amb.*, dans lesquels l'orateur explique d'autres intrigues de Philippe.

17-18. Θηβαίους.... τῇ πόλει. Les Thébains, comme les Thessaliens, étaient alors brouillés avec Athènes; mais ils ne l'étaient pas assez pour laisser Philippe envahir l'Attique en passant par leur pays.

18-19. Κακῶς.... πολεμούντων αὐτῷ. Nous ne connaissons pas les faits auxquels Démosthène fait ici allusion : ils doivent être postérieurs au siége de Byzance et à l'échec que Philippe y avait éprouvé.

τοῦ πολέμου καὶ τῶν λῃστῶν μυρί' ἔπασχε κακά. Οὔτε γὰρ ἐξήγετο τῶν ἐκ τῆς χώρας γιγνομένων οὐδὲν οὔτ' εἰσήγεθ' ὧν ἐδεῖτ' αὐτῷ· [146] ἦν δ' οὔτ' ἐν τῇ θαλάττῃ τότε κρείττων ὑμῶν οὔτ' εἰς τὴν Ἀττικὴν ἐλθεῖν δυνατὸς μήτε Θετταλῶν ἀκολουθούντων μήτε Θηβαίων διιέντων· συνέβαινε δ' αὐτῷ, τῷ πολέμῳ κρατοῦντι τοὺς ὁποιουσδήποθ' ὑμεῖς ἐξεπέμπετε στρατηγούς (ἐῶ γὰρ τοῦτό γε), αὐτῇ τῇ φύσει τοῦ τόπου καὶ τῶν ὑπαρχόντων ἑκατέροις κακοπαθεῖν. [147] Εἰ μὲν οὖν τῆς ἰδίας ἕνεκ' ἔχθρας ἢ τοὺς Θετταλοὺς ἢ τοὺς Θηβαίους συμπείθοι βαδίζειν ἐφ' ὑμᾶς, οὐδέν' ἡγεῖτο προσέξειν αὐτῷ τὸν νοῦν· ἐὰν δὲ τὰς ἐκείνων κοινὰς προφάσεις λαβὼν ἡγεμὼν αἱρεθῇ, ῥᾷον ἤλπιζεν τὰ μὲν παρακρούσεσθαι, τὰ δὲ πείσειν. Τί οὖν; ἐπιχειρεῖ (θεάσασθ' ὡς εὖ) πόλεμον ποιῆσαι τοῖς Ἀμφικτύοσι καὶ περὶ τὴν Πυλαίαν ταραχήν· εἰς γὰρ ταῦτ' εὐθὺς αὐτοὺς ὑπελάμβανεν αὐτοῦ δεήσεσθαι. [148] Εἰ μὲν τοίνυν τοῦτ' ἢ τῶν παρ' ἑαυτοῦ πεμπομένων ἱερομνημόνων ἢ τῶν ἐκείνου

NC. 2. οὔτ' ἐσήγετο S. — 3. κρείττων τότε vulg. — 6. τοῖς ὅπλοις κρατοῦντι Dobree. — 10. οὐδένα L et A. Variantes : οὐδὲν ἂν (S) et οὐδέν' ἂν. Cf. *Lept.* § 35, *NC.* — προσέχειν A. « Scribam aut οὐδέν' ἂν.... προσέχειν aut οὐδένα.... προσέξειν. » [G. H. Schæfer.] — 11. τὰς ἐκείνων κοινὰς n'est pas exact, puisque les Thébains tenaient pour Amphisse. Faut-il retrancher τάς et construire ἐκείνων avec ἡγεμών? — 11-12. ηρεθῆι S[1]. — 15. τοῦτον vulg.

1. Λῃστῶν, corsaires, partisans.

2-3. Ἐκ τῆς χώρας, pour ἐν τῇ χώρᾳ, par assimilation avec ἐξήγετο. — Ἐδεῖτ' αὐτῷ. Cf. Platon, *Ménon*, p. 79 C : Δεῖταί σοι τῆς αὐτῆς ἐρωτήσεως.

4. Μήτε (non οὔτε) ἀκολουθούντων, si les Thessaliens ne le suivaient pas.

6-7. Τούς.... στρατηγούς. Enclavée entre le substantif et son article, la phrase incidente ὁποιουσδήποτ(ε).... ἐξεπέμπετε, joue le rôle d'un adjectif. Cf. *Ambass.*, § 254 : Σόλων ἐμίσει τοὺς οἵους οὗτος ἀνθρώπους, et Krüger, *Griech. Sprachl.*, §§ 60, 8, 20.

7-8. Τῇ φύσει τοῦ τόπου. Ces mots se rapportent à οὔτ' εἰς τὴν Ἀττικὴν ἐλθεῖν δυνατός. — Τῶν ὑπαρχόντων ἑκατέροις (c'est-à-dire Φιλίππῳ καὶ ὑμῖν). Ceci se réfère à ἦν δ' οὔτ' ἐν τῇ θαλάττῃ τότε κρείττων ὑμῶν. L'armée de terre faisait la force de Philippe, mais elle ne pouvait rien contre la flotte d'Athènes.

11. Τὰς ἐκείνων κοινὰς προφάσεις λαβών, ayant trouvé des prétextes dans une cause qui leur était commune, c'est-à-dire dans une affaire amphictyonique : cf. § 158. [Voy. cependant *NC.*] Plus loin, παρακρούσεσθαι porte plus particulièrement sur les Thébains, πείσειν sur les Thessaliens. [Dissen.]

13-14. Πόλεμον ποιῆσαι (non ποιήσασθαι) τοῖς Ἀμφικτύοσι, créer une guerre aux Amphictyons. Cf. *Cherson.*, § 6, avec la note. — Πυλαίαν. Cf. § 151.

16. Ἱερομνημόνων. Cf. § 149. — Ἐκείνου reprend l'idée de ἑαυτοῦ du point de vue de l'orateur, par un certain mélange du style direct avec le style indirect. Cf. Xénophon, *Mém.*, I, II, 3 : (Σωκράτης) ἐλπίζειν ἐποίει τοὺς συνδιατρίβον-

συμμάχων εἰσηγοῖτό τις, ὑπόψεσθαι τὸ πρᾶγμ' ἐνόμιζεν, καὶ τοὺς Θηβαίους καὶ τοὺς Θετταλοὺς καὶ πάντας φυλάξεσθαι, ἂν δ' Ἀθηναῖος ᾖ καὶ παρ' ὑμῶν τῶν ὑπεναντίων ὁ τοῦτο ποιῶν, εὐπόρως λήσειν· ὅπερ συνέβη. [149] Πῶς οὖν ταῦτ' ἐποίησεν; μισθοῦται τουτονί. Οὐδενὸς δὲ προειδότος, οἶμαι, τὸ πρᾶγμα οὐδὲ φυλάττοντος, ὥσπερ εἴωθε τὰ τοιαῦτα παρ' 277 ὑμῖν γίγνεσθαι, προβληθεὶς πυλάγορος οὗτος [καὶ] τριῶν ἢ τεττάρων χειροτονησάντων αὐτὸν ἀνερρήθη. Ὡς δὲ τὸ τῆς πόλεως ἀξίωμα λαβὼν ἀφίκετ' εἰς τοὺς Ἀμφικτύονας, πάντα τἄλλ' ἀφεὶς καὶ παριδὼν ἐπέραινεν ἐφ' οἷς ἐμισθώθη, καὶ λόγους εὐπροσώπους καὶ μύθους, ὅθεν ἡ Κιρραία χώρα καθιερώθη, συνθεὶς καὶ διεξελθὼν [150] ἀνθρώπους ἀπείρους λόγων καὶ τὸ μέλλον οὐ προορωμένους, τοὺς ἱερομνήμονας, πείθει ψηφίσασθαι περιελθεῖν τὴν χώραν ἣν οἱ μὲν Ἀμφισσεῖς σφῶν αὐτῶν οὖσαν γεωργεῖν ἔφασαν, οὗτος δὲ τῆς ἱερᾶς χώρας ᾐτιᾶτ' εἶναι, οὐδεμίαν δίκην τῶν Λοκρῶν ἐπαγόντων ἡμῖν, οὐδ' ἃ νῦν

NC. 1. εἰσηγεῖτο S et L : leçon vicieuse, adoptée par Vœmel. — 7. πυλαγόρας vulg. — καὶ est une glose. [Cobet.] — 13. τοὺς ἱερομνήμονας : peut-être une glose, suivant Westermann et Cobet.

τας ἑαυτῷ μιμουμένους ἐκεῖνον τοιούσδε γενήσεσθαι; Thucydide, II, 11 : Ὅταν ἐν τῇ γῇ ὁρῶσιν ἡμᾶς δῃοῦντάς τε καὶ τἀκείνων φθείροντας. Voy. Funkhænel, *Jahrb. für Philol.*, 1858, p. 316 sqq.

1. Ὑπόψεσθαι : sous-ent. αὐτούς. Cela vaut mieux que de mettre la virgule avant le troisième καί. En effet, καὶ πάντας, « enfin tous », clôt une énumération. Cf. § 86 ; *Mid.*, § 92 et *passim*.

7. Πυλάγορος. Les peuples qui faisaient partie de l'amphictyonie delphique déléguaient aux assemblées un hiéromnémon, lequel était, à ce qu'il paraît, leur vrai représentant et avait seul vote délibératif. Les pylagores assistaient l'hiéromnémon de leurs conseils. Mais, comme ils étaient élus par leurs concitoyens, tandis que l'hiéromnémon était, du moins à Athènes, désigné par le sort, ils avaient généralement plus de talent et de valeur personnelle que le chef de la délégation. (Cf. Schœmann, *Gr. Alterth.*, II, p. 33. P. Foucart, dans *Dict. des antiq. gr. et rom.*, p. 236.) Aussi Démosthène représente-t-il les hiéromnémons comme des hommes simples et faciles à tromper.

7-8. Τριῶν ἢ τεττάρων, quatre pelés et un tondu. Si Démosthène dit vrai, il avait manqué de vigilance, lui et son parti. Herwerden compare Aristoph. *Ach.* 598 : Ἐχειροτόνησαν γάρ με — κόκκυγές γε τρεῖς.

11-12. Ὅθεν.... καθιερώθη. Du temps de Solon, les Amphictyons détruisirent la ville des Cirrhéens pour cause de sacrilége, et déclarèrent maudit quiconque oserait cultiver leur territoire. Eschine accusa les Amphisséens de s'être emparés d'une partie de ce territoire. Cf. Eschine, *l. c.*

15-16. Ἠτιᾶτ' εἶναι. Si, après ces mots, on passait tout de suite au paragraphe 151, l'exposition se suivrait mieux. Les lignes intermédiaires sont évidemment une digression provoquée par une assertion d'Eschine. On peut donc croire qu'elles ont été insérées après coup, et que le morceau sur l'affaire d'Amphissa (sauf l'introduction, § 140 sq.) avait été préparé d'avance.

16. Οὐδεμίαν δίκην.... ἡμῖν. Eschine dit qu'il attaqua les Amphisséens pour dé-

οὗτος προφασίζεται, λέγων οὐκ ἀληθῆ. Γνώσεσθε δ' ἐκεῖθεν. Οὐκ ἐνῆν ἄνευ τοῦ προσκαλέσασθαι δήπου τοῖς Λοκροῖς δίκην κατὰ τῆς πόλεως τελέσασθαι. Τίς οὖν ἐκλήτευσεν ἡμᾶς; ἐπὶ ποίας ἀρχῆς; εἰπὲ τὸν εἰδότα, δεῖξον. Ἀλλ' οὐκ ἂν ἔχοις, ἀλλὰ κενῇ προφάσει ταύτῃ κατεχρῶ καὶ ψευδεῖ. [151] Περιιόντων τοίνυν τὴν χώραν τῶν Ἀμφικτυόνων κατὰ τὴν ὑφήγησιν τὴν τούτου, προσπεσόντες οἱ Λοκροὶ μικροῦ κατηκόντισαν ἅπαντας, τινὰς δὲ καὶ συνήρπασαν τῶν ἱερομνημόνων. Ὡς δ' ἅπαξ ἐκ τούτων ἐγκλήματα καὶ πόλεμος πρὸς τοὺς Ἀμφισσεῖς ἐταράχθη, τὸ μὲν πρῶτον ὁ Κόττυφος αὐτῶν τῶν Ἀμφικτυόνων ἤγαγε στρατιάν, ὡς δ' οἱ μὲν οὐκ ἦλθον, οἱ δ' ἐλθόντες οὐδὲν ἐποίουν, εἰς τὴν ἐπιοῦσαν πυλαίαν ἐπὶ τὸν Φίλιππον εὐθὺς ἡγε-

NC. 1. Variantes : οὗτος λέγων προφασίζεται, πρ. οὗτος λ., πρ. λέγων. Westermann écartait οὗτος. — γνώσεσθαι S. — 3. συντελέσασθαι F. — ὑμᾶς avant Bekker. — ἐπὶ A. ἀπὸ S, L, vulg. On traduit cette dernière leçon : « à quelle occasion? pour quel prétexte? » Mais ici il ne s'agit pas de cela. — 5. καινῇ S et A. — 6. ευφήγησιν (c'est-à-dire ἐφήγησιν ou ὑφήγησιν) S. — 7. μικροῦ S et L[1] seuls. μικροῦ μὲν vulg. — ἅπαντας κατηκόντισαν vulg. Cela donne un faux sens. — 8. [τῶν ἱερομνημόνων] Herwerden. — 11. οἱ δ' ἐλθόντες, mots omis, avant ουδ, dans le texte de S et L.

fendre sa patrie. Suivant lui, ils proposaient, à l'instigation des Thébains, d'infliger aux Athéniens une amende de cinquante talents pour avoir fait dans le temple de Delphes une dédicace injurieuse à l'endroit de Thèbes. A entendre Démosthène, tout cela n'est que mensonge. Mais son argument porte à faux; ses plus chauds partisans en conviennent. Si les Locriens ne notifièrent pas aux Athéniens une citation (πρόσκλησις) en forme, c'est qu'Eschine ne leur en laissa pas le temps, mais les accabla aussitôt. Cependant je ne crois pas que la proposition de frapper Athènes d'une amende se soit produite effectivement, et je ne sais si le dessein de le faire était bien arrêté. Eschine dit (§ 116) : Ἐξηγγέλλετο δ' ἡμῖν.... ὅτι οἱ Ἀμφισσεῖς.... εἰσέφερον δόγμα κατὰ τῆς ὑμετέρας πόλεως, ce qui veut dire : « On nous donnait avis que les Amphisséens préparaient une résolution contre Athènes. » Là-dessus, Eschine se fait introduire au conseil des hiéromnémons et y dénonce le sacrilége des Amphisséens.

2-3. Δίκην.... τελέσασθαι se dit de la suite effective donnée à une plainte intentée. Cf. *Contre Bœotos*, I, § 38 et *passim*.

3-4. Ἐπὶ ποίας ἀρχῆς; devant quelle (à quelle) autorité athénienne la citation fut-elle notifiée? L'explication de Reiske : « sous quel archonte? » est inadmissible (ἐπὶ ποίας ἀρχῆς ne peut se dire pour ἐπὶ τίνος ἄρχοντος) : mais sa leçon est bonne. Voy. *NC*.

5-7. Περιιόντων. Les Amphictyons firent le tour du territoire sacré et, en même temps, détruisirent le port de Cirrha et mirent le feu aux habitations. C'était au printemps de 339. Voy. Eschine, § 123. — Ὑφήγησιν, suggestion. — Μικροῦ porte sur κατήκοντισαν, non sur ἅπαντας. Cf. *NC*.

10. Κόττυφος : de Pharsale. Il présidait alors l'assemblée amphictyonique. Cf. Eschine, §§ 124 et 128.

11. Ἤγαγε στρατιάν. On avait convoqué à cet effet une réunion extraordinaire des Amphictyons, à laquelle Démosthène ne laissa pas participer les Athéniens.

12-1. Εἰς τὴν ἐπιοῦσαν πυλαίαν, pour la prochaine réunion des Amphictyons :

μόν' ἦγον οἱ κατεσκευασμένοι καὶ πάλαι πονηροὶ τῶν Θετταλῶν καὶ τῶν ἐν ταῖς ἄλλαις πόλεσιν. [152] Καὶ προφάσεις εὐλόγους εἰλήφεσαν· ἢ γὰρ αὐτοὺς εἰσφέρειν καὶ ξένους τρέ-
278 φειν ἔφασαν δεῖν καὶ ζημιοῦν τοὺς μὴ ταῦτα ποιοῦντας, ἢ 'κεῖνον αἱρεῖσθαι. Τί δεῖ τὰ πολλὰ λέγειν; ᾑρέθη γὰρ ἐκ τούτων ἡγεμών. Καὶ μετὰ ταῦτ' εὐθέως δύναμιν συλλέξας καὶ παρελθὼν ὡς ἐπὶ τὴν Κιρραίαν, ἐρρῶσθαι φράσας πολλὰ Κιρραίοις καὶ Λοκροῖς, τὴν Ἐλάτειαν καταλαμβάνει. [153] Εἰ μὲν οὖν μὴ μετέγνωσαν εὐθέως, ὡς τοῦτ' εἶδον, οἱ Θηβαῖοι καὶ μεθ' ἡμῶν ἐγένοντο, ὥσπερ χειμάρρους ἂν ἅπαν τοῦτο τὸ πρᾶγμ' εἰς τὴν πόλιν εἰσέπεσεν· νῦν δὲ τό γ' ἐξαίφνης ἐπέσχον [αὐτὸν] ἐκεῖνοι, μάλιστα μέν, ὦ ἄνδρες Ἀθηναῖοι, θεῶν τινὸς εὐνοίᾳ πρὸς ὑμᾶς, εἶτα μέντοι καὶ ὅσον καθ' ἕν' ἄνδρα, καὶ δι' ἐμέ. Δὸς δέ μοι τὰ δόγματα ταῦτα καὶ τοὺς χρόνους ἐν οἷς ἕκαστα πέπρακται, ἵν' εἰδῆθ' ἡλίκα πράγμαθ' ἡ μιαρὰ κεφαλὴ ταράξασ' αὕτη δίκην οὐκ ἔδωκεν. [154] Λέγε μοι τὰ δόγματα.

ΔΟΓΜΑ ΑΜΦΙΚΤΥΟΝΩΝ.

« Ἐπὶ ἱερέως Κλειναγόρου, ἐαρινῆς πυλαίας, ἔδοξε τοῖς πυλαγόροις καὶ τοῖς συνέδροις τῶν Ἀμφικτυόνων καὶ τῷ κοινῷ

NC. 6. εὐθὺς valg. — 7. κιρραν S et L[1] seuls. — καὶ Κιρραίοις F. — 9. εὐθὺς Θηβαῖοι, en omettant ὡς τοῦτ' εἶδον οἱ, F. — 11. τό γ' S, L, F. Variantes : τότε, τότε γ', τοῦτο γ'. — 12. αὐτὸν est avec raison omis dans A et dans le texte de B. [Christ.] — 17. δόγματα S, L. — 19-1. καὶ τῷ Ἀμφικτυόνων : omis dans S, L, A. Cf. p. 497, 8.

celle de l'automne de 339. Primitivement ces assemblées avaient lieu aux Thermopyles : aussi continuait-on de s'y réunir chaque fois avant de se rendre à Delphes. De là le nom de Πυλαία. Cf. Schœmann, *Ant. jur. publ.*, p. 391. — Ἐπὶ.... ἦγον, ils intriguaient pour qu'à la prochaine assemblée Philippe fût chargé du commandement.

7-8. Ἐρρῶσθαι.... Λοκροῖς. Ces mots seraient fort étranges, si Philippe n'avait occupé Élatée, comme Plutarque (*Dém.*, 18) semble le dire, qu'après avoir détruit Amphisse. Mais il est probable que Philippe commença par prendre possession d'Élatée. Voy. Grote, *Hist. gr.*, XVII, p. 357 (trad. franç.); Curtius, *Griech. Geschichte*, III, pp. 703 et 781, lequel cite Kœchly, *Neues Schweizer. Museum*, II.

13-14. Εἶτα μέντοι καὶ..., καὶ δι' ἐμέ, mais en second lieu et autant que cela dépend d'un seul homme, aussi par moi.

17. Δόγμα. Outre les mémoires cités dans la *Notice*, voy. au sujet de ce décret et du suivant, Franke, *Commentatio de decretis Amphictyonum quæ apud Demosth. reperiuntur*, Leipzig, 1844. D'accord avec Droysen, Franke dit avec raison que l'auteur de ces deux documents aurait pu mieux faire s'il s'était servi du récit d'Eschine.

19. Τοῖς συνέδροις. Il faut entendre les

τῶν Ἀμφικτυόνων, ἐπειδὴ Ἀμφισσεῖς ἐπιβαίνουσιν ἐπὶ τὴν ἱερὰν χώραν καὶ σπείρουσι καὶ βοσκήμασι κατανέμουσιν, ἐπελθεῖν τοὺς πυλαγόρους καὶ τοὺς συνέδρους, καὶ στήλαις διαλαβεῖν τοὺς ὅρους, καὶ ἀπειπεῖν τοῖς Ἀμφισσεῦσι τοῦ λοιποῦ μὴ ἐπιβαίνειν. »

ΕΤΕΡΟΝ ΔΟΓΜΑ.

[155] « Ἐπὶ ἱερέως Κλειναγόρου, ἐαρινῆς πυλαίας, ἔδοξε τοῖς πυλαγόροις καὶ τοῖς συνέδροις τῶν Ἀμφικτυόνων καὶ τῷ κοινῷ 279
τῶν Ἀμφικτυόνων, ἐπειδὴ οἱ ἐξ Ἀμφίσσης τὴν ἱερὰν χώραν κατανειμάμενοι γεωργοῦσι καὶ βοσκήματα νέμουσι, καὶ κωλυόμενοι τοῦτο ποιεῖν, ἐν τοῖς ὅπλοις παραγενόμενοι, τὸ κοινὸν τῶν Ἑλλήνων συνέδριον κεκωλύκασι μετὰ βίας, τινὰς δὲ καὶ τετραυματίκασι, [καὶ] τὸν στρατηγὸν τὸν ᾑρημένον τῶν Ἀμφικτυόνων Κόττυφον τὸν Ἀρκάδα πρεσβεῦσαι πρὸς Φίλιππον τὸν Μακεδόνα, καὶ ἀξιοῦν ἵνα βοηθήσῃ τῷ τε Ἀπόλλωνι καὶ τοῖς Ἀμφικτύοσιν, ὅπως μὴ περιίδῃ ὑπὸ τῶν ἀσεβῶν Ἀμφισσέων τὸν θεὸν πλημμελούμενον· καὶ διότι αὐτὸν στρατηγὸν αὐτοκράτορα αἱροῦνται οἱ Ἕλληνες οἱ μετέχοντες τοῦ συνεδρίου τῶν Ἀμφικτυόνων. »

Λέγε δὴ καὶ τοὺς χρόνους ἐν οἷς ταῦτ' ἐγίγνετο· εἰσὶ γὰρ καθ' οὓς ἐπυλαγόρησεν οὗτος. Λέγε.

NC. 4. ὅρκους vulg. — 13. καὶ a été supprimé par G. H. Schæfer.

hiéromnémons ; mais ils devraient être nommés avant les pylagores. On dirait que le faussaire prend ces derniers pour des magistrats directeurs et qu'il les oppose, comme les démiurges de la Lettre de Philippe (§ 157), au sénat et au peuple.

2-3. Καὶ.... κατανέμουσιν. Ils y avaient aussi fait des constructions, et ils avaient rétabli le port de Cirrha. Ces griefs, mentionnés par Eschine, sont ici passés sous silence. — Στήλαις.... τοὺς ὅρους. Les Amphictyons décrétèrent la destruction des travaux exécutés par les Locriens. Voy. Eschine, § 122.

7. Ἐαρινῆς. Il fallait dire μετοπωρινῆς. Le faussaire semble mettre une année d'intervalle entre les deux décrets. Il ignorait que, des trois réunions rappelées au paragraphe 151, la deuxième était une réunion extraordinaire. [Franke.]

14. Τὸν Ἀρκάδα. Cottyphos, on l'a vu, était de Pharsale dans la Thessalie.

ΧΡΟΝΟΙ.

« Ἄρχων Μνησιθείδης, μηνὸς ἀνθεστηριῶνος ἕκτη ἐπὶ δέκα. »

[156] Δὸς δή τὴν ἐπιστολὴν ἣν, ὡς οὐχ ὑπήκουον οἱ Θηβαῖοι, πέμπει πρὸς τοὺς ἐν Πελοποννήσῳ συμμάχους ὁ Φίλιππος, ἵν' εἰδῆτε καὶ ἐκ ταύτης σαφῶς ὅτι τὴν μὲν ἀληθῆ πρόφασιν τῶν πραγμάτων, τὸ ταῦτ' ἐπὶ τὴν Ἑλλάδα καὶ τοὺς Θηβαίους καὶ ὑμᾶς πράττειν, ἀπεκρύπτετο, κοινὰ δὲ καὶ τοῖς Ἀμφικτύοσιν δόξαντα ποιεῖν προσεποιεῖτο· ὁ δὲ τὰς ἀφορμὰς ταύτας καὶ τὰς προφάσεις αὐτῷ παρασχὼν οὗτος ἦν. Λέγε.

280 ΕΠΙΣΤΟΛΗ.

[157] « Βασιλεὺς Μακεδόνων Φίλιππος Πελοποννησίων τῶν ἐν τῇ συμμαχίᾳ τοῖς δημιουργοῖς καὶ τοῖς συνέδροις καὶ τοῖς ἄλλοις συμμάχοις πᾶσι χαίρειν. Ἐπειδὴ Λοκροὶ οἱ καλούμενοι Ὀζόλαι, κατοικοῦντες ἐν Ἀμφίσσῃ, πλημμελοῦσιν εἰς τὸ ἱερὸν τοῦ Ἀπόλλωνος τοῦ ἐν Δελφοῖς καὶ τὴν ἱερὰν χώραν ἐρχόμενοι μεθ' ὅπλων λεηλατοῦσι, βούλομαι τῷ θεῷ μεθ' ὑμῶν βοηθεῖν καὶ ἀμύνασθαι τοὺς παραβαίνοντάς τι τῶν ἐν ἀνθρώποις εὐσεβῶν· ὥστε συναντᾶτε μετὰ τῶν ὅπλων εἰς τὴν Φωκίδα, ἔχοντες ἐπισιτισμὸν ἡμερῶν τετταράκοντα, τοῦ ἐνεστῶτος μηνὸς Λώου, ὡς ἡμεῖς ἄγομεν, ὡς δὲ Ἀθηναῖοι, Βοηδρομιῶνος, ὡς δὲ Κορίνθιοι, Πανήμου. Τοῖς δὲ μὴ συναντήσασι πανδημεὶ

NC. 2. ἐπὶ δέκα Taylor. ἐπὶ δεκάτῃ manuscrits. — 3. δή μοι vulg. — ὑπήκουσαν (?) S¹. — 9. αὐτῷ παρασχὼν οὗτος ἦν L. αὐτῷ παρασχὼν S¹ οὗτος ἦν αὐτῷ S². παραδοὺς αὐτῷ οὗτος ἦν vulg. παραδοὺς οὗτος ἦν αὐτῷ A. Ces variantes rendent le pronom αὐτῷ suspect. — 17. ἀμύνεσθαι S¹ seul. — 20-21. λῴου et πανέμου vulg.

2. Μνησιθείδης. Pseudéponyme. On s'attendrait à trouver ici deux dates, puisqu'il s'agit de deux décrets.

5. Τὴν μὲν ἀληθῆ πρόφασιν, le vrai motif. Thucydide (I, 23) oppose τὴν μὲν ἀληθεστάτην πρόφασιν à αἱ δ' ἐς τὸ φανερὸν λεγόμεναι αἰτίαι.

7-8. Καὶ τοῖς Ἀμφικτύοσι δόξαντα. Ce point essentiel a été négligé par l'auteur de la lettre insérée ci-dessous.

7. Ἀμφότεροι : Philippe et les Thébains.

8-9. Τὰ δέοντα λέγειν δόξειν, que vous approuverez mes conseils comme opportuns. Cf. *NC*.

11. Μεταθέσθαι καὶ φοβεῖσθαι équivaut à μεταθεμένους φοβεῖσθαι, « en revanche, trembler, tous, pour les Thébains. »

14. Τοὺς ἐν ἡλικίᾳ. Depuis dix-huit à soixante ans les citoyens étaient obligés de servir comme hoplites; mais on appelait rarement, comme dans cette occasion, toutes les classes à la fois. La cavalerie (οἱ ἱππεῖς) formait un corps à part, recruté parmi les plus riches et toujours composé de mille hommes. — Ὑμᾶς καὶ αὐτούς, vous aussi (comme Philippe).

16. Ἐξ ἴσου. Sous-entendez : ὡς τοῖς φιλιππίζουσιν.

22. Βαδίζειν se rapporte au voyage des ambassadeurs; ἐξόδου désigne la sortie de l'armée.

« πῶς χρήσασθαι τῷ πράγματι [παραινῶ]; τούτῳ πάνυ μοι « προσέχετε τὸν νοῦν. Μὴ δεῖσθαι Θηβαίων μηδὲν (αἰσχρὸς γὰρ « ὁ καιρὸς), ἀλλ' ἐπαγγέλλεσθαι βοηθήσειν, ἂν κελεύωσιν, ὡς « ἐκείνων ὄντων ἐν τοῖς ἐσχάτοις, ἡμῶν δ' ἄμεινον ἢ 'κεῖνοι τὸ « μέλλον προορωμένων· ἵν' ἐὰν μὲν δέξωνται ταῦτα καὶ πει-
288 « σθῶσιν ἡμῖν, καὶ ἃ βουλόμεθ' ὦμεν διῳκημένοι καὶ μετὰ προ- « σχήματος ἀξίου τῆς πόλεως ταῦτα πράξωμεν, ἂν δ' ἄρα « μὴ συμβῇ κατατυχεῖν, ἐκεῖνοι μὲν αὑτοῖς ἐγκαλῶσιν, ἄν τι « νῦν ἐξαμαρτάνωσιν, ἡμῖν δὲ μηδὲν αἰσχρὸν μηδὲ ταπεινὸν ᾖ « πεπραγμένον. » [179] Ταῦτα καὶ παραπλήσια τούτοις εἰπὼν κατέβην. Συνεπαινεσάντων δὲ πάντων καὶ οὐδενὸς εἰπόντος ἐναντίον οὐδὲν, οὐκ εἶπον μὲν ταῦτα, οὐκ ἔγραψα δὲ, οὐδ' ἔγραψα μὲν, οὐκ ἐπρέσβευσα δὲ, οὐδ' ἐπρέσβευσα μὲν, οὐκ ἔπεισα δὲ Θηβαίους, ἀλλ' ἀπὸ τῆς ἀρχῆς διὰ πάντων ἄχρι τῆς τελευτῆς διεξῆλθον, καὶ ἔδωκ' ἐμαυτὸν ὑμῖν ἁπλῶς εἰς τοὺς περιεστηκότας τῇ πόλει κινδύνους. Καί μοι φέρε τὸ ψήφισμα τὸ τότε γενόμενον.

[180] Καίτοι τίνα βούλει σὲ, Αἰσχίνη, καὶ τίν' ἐμαυτὸν ἐκείνην τὴν ἡμέραν εἶναι θῶ; βούλει ἐμαυτὸν μὲν, ὃν ἂν σὺ

NC. 1. Var. : χρήσεσθε et τούτῳ παραινῶ; πάνυ. J'écarte παραινῶ, avec Herwerden. — 2. προσέσχετε S[1]. — 2-3. δεῖσθε et ἐπαγγείλασθε, ou ἐπαγγέλλεσθε, vulg. — 4. ἐκείνων μὲν A. — ἐσχ άτοις S et L. ἐσχάτοις κινδύνοις vulg. — Variante : ἢ ἐκείνων ou ἢ κείνων. — 4-5. τὸ μέλλον : omis dans le texte de S[1] seul. — 6. βουλώμεθα S. — 8. Variante : συμβῇ κατὰ τύχην. G. H. Schæfer rapproche la glose d'Hesychios : κατατυχεῖν· ἐπιτυχεῖν. — 9. ἐξαμαρτάνωσιν S et L. ἐξαμάρτωσιν vulg. — 14. διὰ πάντων : omis par S[1] seul. — 18. σε avant Bekker.

1-3. Χρήσασθαι.... δεῖσθαι.... ἐπαγγέλλεσθαι. Sous-ent. κελεύω, p. 507, 21.

6-7. Μετὰ προσχήματος. La conduite d'Athènes avait un air de grandeur. Il était généreux de ne rien exiger des Thébains, et c'était aussi d'une bonne politique.

12-14. Οὐκ εἶπον μὲν ταῦτα, οὐκ ἔγραψα δέ, je ne donnai pas le conseil sans faire la motion. La première négation porte sur l'ensemble des deux membres de phrase : cf. *Rhodiens*, § 6 ; *Phil.* III, §§ 27 et 57. Il en est de même dans la suite de cette période, dont les échelons sont cités à l'envi par les rhéteurs anciens comme exemple de la figure appelée κλῖμαξ ou *gradatio*. Renvoyons seulement à Tibère, Περὶ σχημάτων, § 28 ; Quintilien, IX, III, 56 (« Priusquam ad aliud ascendat, in « prioribus resistit. ») ; Aquila Romanus, § 40 (p. 34 Halm). Ces deux derniers rapprochent Licinius Calvus, *In Vatinium* : « Non ergo magis pecuniarum repetunda- « rum quam majestatis, neque majestatis « magis quam Plautiæ legis, neque Plautiæ « legis magis quam ambitus, neque ambitus « magis quam omnium legum judicia pe- « rierunt. »

19. Ὅν, « du nom que, comme, » se réfère, par assimilation, à Βάτταλον

λοιδορούμενος καὶ διασύρων καλέσαις, Βάτταλον, σὲ δὲ μηδ' ἥρω τὸν τυχόντα, ἀλλὰ τούτων τινὰ τῶν ἀπὸ τῆς σκηνῆς, Κρεσφόντην ἢ Κρέοντα ἢ ὃν ἐν Κολλυτῷ ποτ' Οἰνόμαον κακῶς ἐπέτριψας; Τότε τοίνυν κατ' ἐκεῖνον τὸν καιρὸν ὁ Παιανιεὺς ἐγὼ Βάτταλος Οἰνομάου τοῦ Κοθωκίδου σοῦ πλείονος ἄξιος ὢν ἐφάνην τῇ πατρίδι. Σὺ μέν γ' οὐδὲν οὐδαμοῦ χρήσιμος ἦσθα· ἐγὼ δὲ πάνθ' ὅσα προσῆκεν τὸν ἀγαθὸν πολίτην ἔπραττον. Λέγε τὸ ψήφισμά μοι.

ΨΗΦΙΣΜΑ ΔΗΜΟΣΘΕΝΟΥΣ.

[181] « Ἐπὶ ἄρχοντος Ναυσικλέους, φυλῆς πρυτανευούσης Αἰαντίδος, Σκιροφοριῶνος ἕκτῃ ἐπὶ δέκα, Δημοσθένης Δημοσθένους Παιανιεὺς εἶπεν, ἐπειδὴ Φίλιππος ὁ Μακεδὼν ἔν τε τῷ 289
παρεληλυθότι χρόνῳ παραβαίνων φαίνεται τὰς γεγενημένας

NC. 1. λυδορούμενος S[1] — Βάτταλον ou Βαταλον : l'orthographe flotte. — ἥρωα S et vulg. — 3. κολυτωι S. — Var. : κακὸς κακῶς. — 4. ἐπέτριψας S[1] seul. ὑποκρινόμενος ἐπέτριψας vulg. — 7. προσῆκε mss. — ἔπραττον omis dans Y et Urbinas. — 8. μοι manque dans F. — 12. μακεδὼν F. μακεδόνων S et texte de L. μακεδόνων βασιλεὺς vulg.

1. Βάτταλον. Ce sobriquet, déjà obscur pour les anciens, semble désigner un efféminé : cf. Plutarque, *Dém.*, 4 ; A. Schæfer, I, p. 306 sq. Eschine y revient plusieurs fois dans ses deux autres plaidoyers, *Contre Timarque*, §§ 126, 131, 164 ; *Ambass.*, § 99 ; mais il est à remarquer qu'il n'y fait point allusion dans le discours *Contre Ctésiphon*. On dirait que Démosthène s'y était attendu encore, et que, trompé dans ses prévisions, il substitua la tournure ἂν.... καλέσαις, qui marque la possibilité, à καλεῖς, dont il avait compté se servir. Cf. A. Schæfer, III, II, p. 80 sq.

2-3. Κρεσφόντην. Dans le *Cresphonte* d'Euripide, dont le sujet était celui de la *Mérope* de Voltaire. — Κρέοντα. Nom de roi très-commun. Il faut, sans doute, entendre le Créon de l'*Antigone* de Sophocle. Cf. *Amb.*, § 247. — Κολλυτῷ. Faubourg d'Athènes. — Οἰνόμαον. Celui de Sophocle, d'après Harpocration. Euripide avait traité le même sujet. Au dire de Démocharès, neveu de Démosthène, Eschine aurait fait une chute ridicule en poursuivant, dans le rôle d'OEnomaüs, l'acteur qui jouait Pélops (cf. Westermann, Βιογράφοι, p. 269). Il n'est pas évident que la locution κακῶς ἐπέτριψας « tu as pitoyablement maltraité » fasse allusion à une telle mésaventure.

10-11. Ναυσικλέους.... ἕκτῃ ἐπὶ δέκα. Dans les décrets des paragraphes 164-165, on a vu un autre pseudéponyme, ce qui est singulier : car les mois de ces trois documents s'accordent assez entre eux, tout en ne s'accordant pas avec l'histoire. Si la prise d'Élatée avait eu lieu au milieu de Scirophorion, elle n'eût précédé la bataille de Chéronée (livrée le 7 de Métagitnion) que de sept semaines : intervalle insuffisant pour y placer les faits intermédiaires. Tout porte à croire qu'Élatée fut occupée par Philippe dans l'hiver précédent (archonte Lysimachidès) et probablement dès le commencement de cet hiver.

12. Ἐπειδὴ Φίλιππος.... Ces considérants se comprendraient au début de la guerre, au moment où Athènes déclarait que la paix avait été rompue par Philippe. Mais déjà sous l'archonte précédent, la stèle du traité avait été renversée et la guerre poussée activement. Voy. Denys, *Lettre à Ammée*, I, 11.

αὐτῷ συνθήκας πρὸς τὸν Ἀθηναίων δῆμον περὶ τῆς εἰρήνης, ὑπεριδὼν τοὺς ὅρκους καὶ τὰ παρὰ πᾶσι τοῖς Ἕλλησι νομιζόμενα εἶναι δίκαια, καὶ πόλεις παραιρεῖται οὐδὲν αὐτῷ προσηκούσας, τινὰς δὲ καὶ Ἀθηναίων οὔσας δοριαλώτους πεποίηκεν οὐδὲν προαδικηθεὶς ὑπὸ τοῦ δήμου τοῦ Ἀθηναίων, ἔν τε τῷ παρόντι ἐπὶ πολὺ προάγει τῇ τε βίᾳ καὶ τῇ ὠμότητι· [182] καὶ γὰρ Ἑλληνίδας πόλεις ἃς μὲν ἐμφρούρους ποιεῖ καὶ τὰς πολιτείας καταλύει, τινὰς δὲ καὶ ἐξανδραποδιζόμενος κατασκάπτει, εἰς ἐνίας δὲ καὶ ἀντὶ Ἑλλήνων βαρβάρους κατοικίζει ἐπὶ τὰ ἱερὰ καὶ τοὺς τάφους ἐπάγων, οὐδὲν ἀλλότριον ποιῶν οὔτε τῆς ἑαυτοῦ πατρίδος οὔτε τοῦ τρόπου, καὶ τῇ νῦν αὐτῷ παρούσῃ τύχῃ κατακόρως χρώμενος, ἐπιλελησμένος ἑαυτοῦ ὅτι ἐκ μικροῦ καὶ τοῦ τυχόντος γέγονεν ἀνελπίστως μέγας. [183] Καὶ ἕως μὲν πόλεις ἑώρα παραιρούμενον αὐτὸν βαρβάρους καὶ ἰδίας, ὑπελάμβανεν ἔλαττον εἶναι ὁ δῆμος ὁ Ἀθηναίων τὸ εἰς αὐτὸν πλημμελεῖσθαι· νῦν δὲ ὁρῶν Ἑλληνίδας πόλεις τὰς μὲν ὑβριζομένας, τὰς δὲ ἀναστάτους γιγνομένας, δεινὸν ἡγεῖται εἶναι καὶ ἀνάξιον τῆς τῶν προγόνων δόξης τὸ περιορᾶν τοὺς Ἕλληνας καταδουλουμένους. [184] Διὸ δέδοχται τῇ βουλῇ καὶ τῷ δήμῳ τῷ Ἀθηναίων, εὐξαμένους καὶ θύσαντας τοῖς θεοῖς καὶ ἥρωσι τοῖς κατέχουσι τὴν πόλιν καὶ τὴν χώραν τὴν Ἀθηναίων, καὶ ἐνθυμηθέντας τῆς τῶν προγόνων ἀρετῆς, διότι περὶ πλείο-
290 νος ἐποιοῦντο τὴν τῶν Ἑλλήνων ἐλευθερίαν διατηρεῖν ἢ τὴν ἰδίαν πατρίδα, διακοσίας ναῦς καθέλκειν εἰς τὴν θάλατταν καὶ τὸν ναύαρχον ἀναπλεῖν ἐντὸς Πυλῶν, καὶ τὸν στρατηγὸν καὶ τὸν ἵππαρχον τὰς πεζὰς καὶ τὰς ἱππικὰς δυνάμεις Ἐλευσῖνάδε ἐξάγειν, πέμψαι δὲ καὶ πρέσβεις πρὸς τοὺς ἄλλους Ἕλληνας,

NC. 2. ὑπερειδὼν S. — 3. παραιτεῖται S et L seuls. — 5. δήμου τοῦ S. δήμου τῶν vulg. — 13. μέγας manque dans S, L[1]. Peut-être ἰσχυρός. — καὶ. Dobree voulait supprimer ce mot. — 19. δεδόχθαι Taylor. — 20. δήμῳ τῶν L et vulg. — 21. χώραν τῶν vulg. — 22. ἐνθυμηθεῖσι presque tous les manuscrits. — 27. καὶ τοὺς πρέσβεις S et L[1] seuls.

13-14. Καὶ ἕως. Anacoluthe. La longueur de la période qui précède a fait perdre le fil de la construction. — Πόλεις.... βαρβάρους καὶ ἰδίας. G. H. Schæfer explique ce texte obscur : « des villes barbares qui appartenaient en propre au peuple d'Athènes. » Cf. l. 4 : Τινὰς δὲ καὶ Ἀθηναίων οὔσας.

25. Τὸν ναύαρχον. Cf. § 73, avec la note. — Τὸν στρατηγόν. Il n'y avait donc qu'un seul stratége présent à Athènes!

πρῶτον δὲ πάντων πρὸς Θηβαίους διὰ τὸ ἐγγυτάτω εἶναι τὸν Φίλιππον τῆς ἐκείνων χώρας, [185] παρακαλεῖν δὲ αὐτοὺς μηδὲν καταπλαγέντας τὸν Φίλιππον ἀντέχεσθαι τῆς ἑαυτῶν καὶ τῆς τῶν ἄλλων Ἑλλήνων ἐλευθερίας, καὶ ὅτι ὁ Ἀθηναίων δῆμος, οὐδὲν μνησικακῶν εἴ τι πρότερον γέγονεν ἀλλότριον ταῖς πόλεσι πρὸς ἀλλήλας, βοηθήσει καὶ δυνάμεσι καὶ χρήμασι καὶ βέλεσι καὶ ὅπλοις, εἰδὼς ὅτι [καὶ] αὐτοῖς μὲν πρὸς ἀλλήλους διαμφισβητεῖν περὶ τῆς ἡγεμονίας οὖσιν Ἕλλησι καλόν, ὑπὸ δὲ ἀλλοφύλου ἀνθρώπου ἄρχεσθαι καὶ τῆς ἡγεμονίας ἀποστερεῖσθαι ἀνάξιον εἶναι καὶ τῆς τῶν Ἑλλήνων δόξης καὶ τῆς τῶν προγόνων ἀρετῆς. [186] Ἔτι δὲ οὐδὲ ἀλλότριον ἡγεῖται εἶναι ὁ Ἀθηναίων δῆμος τὸν Θηβαίων δῆμον οὔτε τῇ συγγενείᾳ οὔτε τῷ ὁμοφύλῳ. Ἀναμιμνήσκεται δὲ καὶ τὰς τῶν προγόνων τῶν ἑαυτοῦ εἰς τοὺς Θηβαίων προγόνους εὐεργεσίας· καὶ γὰρ τοὺς Ἡρακλέους παῖδας ἀποστερουμένους ὑπὸ Πελοποννησίων τῆς πατρῴας ἀρχῆς κατήγαγον, τοῖς ὅπλοις κρατήσαντες τοὺς ἀντιβαίνειν πειρωμένους τοῖς Ἡρακλέους ἐκγόνοις, καὶ τὸν Οἰδίπουν καὶ τοὺς μετ' ἐκείνου ἐκπεσόντας ὑπεδεξάμεθα, καὶ ἕτερα πολλὰ ἡμῖν ὑπάρχει φιλάνθρωπα καὶ ἔνδοξα πρὸς Θηβαίους· [187] διόπερ οὐδὲ νῦν ἀποστήσεται ὁ Ἀθηναίων δῆμος τῶν Θηβαίοις τε καὶ < τοῖς > ἄλλοις Ἕλλησι συμφερόντων. Συνθέσθαι δὲ πρὸς αὐτοὺς [καὶ] συμμαχίαν καὶ ἐπιγαμίαν ποιήσασθαι καὶ ὅρκους δοῦναι καὶ λαβεῖν. Πρέσβεις Δημοσθένης Δημοσθένους Παιανιεύς, Ὑπερείδης Κλεάν-

NC. 5. ετι, pour εἴ τι, S[1]. — 6. βοηθήσεσι S et L[1]. — 7. καὶ a été écarté par Reiske et G. H. Schæfer. On pourrait aussi supposer une lacune avant καί. — 10. εἶναι : suspect à Dobree. — Ἑλλήνων Ald. προγόνων manuscrits. — 17-18. ἐγγόνοις S, vulg. — 20. ὁ, omis par S[1]. — 21. τοῖς, inséré par Reiske. — 22. καὶ est de trop. [G. H. Schæfer.]

4. Avant ὅτι, sous-entendez « et de leur annoncer ».

9. Ὑπὸ δὲ ἀλλοφύλου.... Cf. *Phil.* III, § 31.

18-19. Καὶ τοὺς μετ' ἐκείνου ἐκπεσόντας. Ce détail doit être tiré d'une version pseudo-historique de la fable d'OEdipe. Droysen (*Zeitschr. f. d. Alterthumsw.*, 1839, p. 711) rapproche Aristide, I, p. 667 Dindorf : Ἥσθην δὲ ἐφ' οἷς Ἡρακλέους καὶ τῶν Ἡρακλέους παίδων ἐμνήσθη τις.... θαυμάζω δὲ ὅπως οὐ καὶ τὸν Οἰδίπουν προσέθηκαν.

23-4. Πρέσβεις. Ils étaient au nombre de dix (cf. § 178). Cependant ce document, comme celui du paragraphe 29, n'en donne que cinq. — Ὑπερείδης.... Σφήττιος. Que l'orateur Hypéride ait fait partie de cette ambassade, cela n'a rien que de très-probable. Malheureusement il était

δρου Σφήττιος, Μνησιθείδης Ἀντιφάνους Φρεάρριος, Δημοκράτης Σωφίλου Φλυεύς, Κάλλαισχρος Διοτίμου Κοθωκίδης. »

[188] Αὕτη τῶν περὶ Θήβας ἐγίγνετο πραγμάτων ἀρχὴ καὶ κατάστασις πρώτη, τὰ πρὸ τούτων εἰς ἔχθραν καὶ μῖσος καὶ ἀπιστίαν τῶν πόλεων ὑπηγμένων ὑπὸ τούτων. Τοῦτο τὸ ψήφισμα τὸν τότε τῇ πόλει περιστάντα κίνδυνον παρελθεῖν ἐποίησεν ὥσπερ νέφος. Ἦν μὲν τοίνυν τοῦ δικαίου πολίτου τότε δεῖξαι πᾶσιν, εἴ τι τούτων εἶχεν ἄμεινον, μὴ νῦν ἐπιτιμᾶν. [189] Ὁ γὰρ σύμβουλος καὶ ὁ συκοφάντης, οὐδὲ τῶν ἄλλων οὐδὲν ἐοικότες, ἐν τούτῳ πλεῖστον ἀλλήλων διαφέρουσιν· ὁ μέν γε πρὸ τῶν πραγμάτων γνώμην ἀποφαίνεται, καὶ δίδωσιν ἑαυτὸν ὑπεύθυνον τοῖς πεισθεῖσι, τῇ τύχῃ, τοῖς καιροῖς, τῷ βουλομένῳ· ὁ δὲ, σιγήσας ἡνίκ' ἔδει λέγειν, ἄν τι δύσκολον συμβῇ, τοῦτο βασκαίνει. [190] Ἦν μὲν οὖν, ὅπερ εἶπον, ἐκείνος ὁ καιρὸς τοῦ γε φροντίζοντος ἀνδρὸς τῆς πόλεως καὶ τῶν δικαίων λόγων· ἐγὼ δὲ τοσαύτην ὑπερβολὴν ποιοῦμαι ὥστε, ἂν νῦν ἔχῃ τις δεῖξαί τι βέλτιον, ἢ ὅλως εἴ τι ἄλλ' ἐνῆν πλὴν ὧν ἐγὼ προειλόμην, ἀδικεῖν ὁμολογῶ. Εἰ γάρ ἐσθ' ὅ τι τις νῦν ἑόρακεν, ὃ συνήνεγκεν ἂν τότε πραχθὲν, τοῦτ' ἐγώ φημι δεῖν ἐμὲ μὴ λαθεῖν. Εἰ δὲ μήτ' ἔστι μήτ' ἦν μήτ' ἂν εἰπεῖν ἔχοι
292 μηδεὶς μηδέπω καὶ τήμερον, τί τὸν σύμβουλον ἐχρῆν ποιεῖν; οὐ τῶν φαινομένων καὶ ἐνόντων τὰ κράτισθ' ἑλέσθαι;

NC. 3. ἐγίνετο S, L, A. ἐγένετο vulg. — 9. οὐδὲ S et marge de L seuls. ἐν οὐδενὶ vulg. — 10. ουδενι ἐοικότες S[1]. — 10-11. μέν γε S. μὲν γὰρ L et vulg. — 12. τῷ καιρῷ S et L seuls. τοῖς καιροῖς vulg. — 15. τοῦ τε A. — 18. ὅ τις avant Reiske.

fils de Glaucippe et du bourg de Collyte. Voy. les faux homonymes d'Eubule et d'Aristophon, §§ 73 et 75.

3-4. Αὕτη.... L'orateur reprendra la suite du récit des faits au paragraphe 211. — Κατάστασις est ici le contraire de ταραχή : « c'est ainsi que nos rapports avec Thèbes commencèrent à être établis sur un pied normal ». Cf. *Lept.*, § 11 : Τὰ πράγματ' ἐκεῖνα κατέστη. Aristophane, *Gren.*, 1003 : Πνεῦμα λεῖον καὶ καθεστηκός.

7. Ὥσπερ νέφος. On voit fuir le nuage. Longin, *Subl.* 39, admire cette chute.

12-13. Τοῖς πεισθεῖσι.... τῷ βουλομένῳ. Les deux termes extérieurs, ainsi que les deux termes intérieurs, se répondent et se tiennent. Voy. la note sur *Cherson.*, § 69.

16. Ὑπερβολὴν ποιοῦμαι, je vais au delà de ce qu'on peut exiger d'un conseiller, j'accorde plus que je ne suis obligé d'accorder. Cf. *Ambass.*, § 332.

21-22. Μηδέπω καὶ τήμερον, non pas même aujourd'hui encore. — Τῶν φαινομένων, de ce qui se présentait, de ce qui se voyait alors. Ἐνόντων, de ce qui était possible, quand même on ne l'indiquerait qu'aujourd'hui.

[191] Τοῦτο τοίνυν ἐποίησα, τοῦ κήρυκος ἐρωτῶντος, Αἰσχίνη, « τίς ἀγορεύειν βούλεται, » οὐ « τίς αἰτιᾶσθαι περὶ τῶν παρεληλυθότων, » οὐδὲ « τίς ἐγγυᾶσθαι τὰ μέλλοντ' ἔσεσθαι. » Σοῦ δ' ἀφώνου κατ' ἐκείνους τοὺς χρόνους ἐν ταῖς ἐκκλησίαις καθημένου, ἐγὼ παριὼν ἔλεγον. Ἐπειδὴ δ' οὐ τότε, ἀλλὰ νῦν δεῖξον, εἰπέ, τίς ἢ λόγος, ὅντιν' ἐχρῆν εὐπορεῖν, ἢ καιρὸς συμφέρων ὑπ' ἐμοῦ παρελείφθη τῇ πόλει; τίς δὲ συμμαχία, τίς πρᾶξις, ἐφ' ἣν μᾶλλον ἔδει μ' ἀγαγεῖν τουτουσί;

[192] Ἀλλὰ μὴν τὸ μὲν παρεληλυθὸς ἀεὶ παρὰ πᾶσιν ἀφεῖται, καὶ οὐδεὶς περὶ τούτου προτίθησιν οὐδαμοῦ βουλήν· τὸ δὲ μέλλον ἢ τὸ παρὸν τὴν τοῦ συμβούλου τάξιν ἀπαιτεῖ. Τότε τοίνυν τὰ μὲν ἤμελλεν, ὡς ἐδόκει, τῶν δεινῶν, τὰ δ' ἤδη παρῆν, ἐν οἷς τὴν προαίρεσίν μου σκόπει τῆς πολιτείας, μὴ τὰ συμβάντα συκοφάντει. Τὸ μὲν γὰρ πέρας, ὡς ἂν ὁ δαίμων βουληθῇ, πάντων γίγνεται· ἡ δὲ προαίρεσις αὐτὴ τὴν τοῦ συμβούλου διάνοιαν δηλοῖ. [193] Μὴ δὴ τοῦθ' ὡς ἀδίκημ' ἐμὸν θῇς, εἰ κρατῆσαι συνέβη Φιλίππῳ τῇ μάχῃ· ἐν γὰρ τῷ θεῷ τὸ τούτου τέλος ἦν, οὐκ ἐμοί. Ἀλλ' ὡς οὐχ ἅπανθ' ὅσ' ἐνῆν κατ' ἀνθρώπινον λογισμὸν εἱλόμην, καὶ δικαίως ταῦτα καὶ ἐπιμελῶς ἔπραξα καὶ φιλοπόνως ὑπὲρ δύναμιν, ἢ ὡς οὐ καλὰ καὶ τῆς πόλεως ἄξια πράγματ' ἐνεστησάμην καὶ ἀναγκαῖα, ταῦτά μοι δεῖξον, καὶ τότ' ἤδη κατηγόρει μου. [194] Εἰ δ' ὁ συμβὰς σκηπτὸς [ἢ χειμὼν] μὴ μόνον ἡμῶν, ἀλλὰ καὶ πάντων τῶν

NC. 1. ἐποίησα ἐγὼ A. — 2. αἰτιάσασθαι F. — 5. παριὼν A. περιιων (d'abord περιων) S et L. παρελθὼν vulg. — 6, On mettait un point après δεῖξον. Cobet regarde εἰπέ comme une glose. — εὐπορεῖν S seul. εὑρεῖν vulg. Les mêmes variantes se trouvent dans Platon, *Euthyd.*, p. 279 A. [Vœmel.] εἰπεῖν Herwerden, *Mnemos.*, III (1875), p. 126. — 7. Cobet veut supprimer τῇ πόλει. — 10. ἀφίεται Dobree. — 11. δε S². τε S¹. — 14. συμβαίνοντα avant Reiske. — 17. Variante : τὴν μάχην. — 18. οὐκ ἐμοί S et L. οὐκ ἐν ἐμοί vulg. — 19. προειλόμην Reiske. προειδόμην Dobree. — 23. ἢ χειμὼν : glose. [Reiske.] — ὑμῶν F.

6. Ὅντιν(α).... εὐπορεῖν, que j'aurais dû avoir à ma disposition. La locution εὐπορῶ ὅ τι λέγω est usuelle.

10. Ἀφεῖται. Le parfait marque que cette matière est définitivement mise de côté.

12. Ἤμελλεν, sans son complément ordinaire ἔσεσθαι, est amené par τὸ μέλλον. La relation de cette période avec la période précédente ne permet guère de sous-entendre παρεῖναι.

293 ἄλλων Ἑλλήνων μείζων γέγονεν, τί χρὴ ποιεῖν; Ὥσπερ ἂν εἴ τις ναύκληρον πάντ' ἐπὶ σωτηρίᾳ πράξαντα, καὶ κατασκευάσαντα τὸ πλοῖον ἀφ' ὧν ὑπελάμβανεν σωθήσεσθαι, εἶτα χειμῶνι χρησάμενον καὶ πονησάντων αὐτῷ τῶν σκευῶν ἢ καὶ συντριβέντων ὅλως, τῆς ναυαγίας αἰτιῷτο. Ἀλλ' οὔτ' ἐκυβέρνων τὴν ναῦν, φήσειεν ἄν, (ὥσπερ οὐδ' ἐστρατήγουν ἐγώ,) οὔτε τῆς τύχης κύριος ἦν, ἀλλ' ἐκείνη τῶν πάντων. [195] Ἀλλ' ἐκεῖνο λογίζου καὶ ὅρα· εἰ μετὰ Θηβαίων ἡμῖν ἀγωνιζομένοις οὕτως εἵμαρτο πρᾶξαι, τί χρῆν προσδοκᾶν, εἰ μηδὲ τούτους ἔσχομεν συμμάχους, ἀλλὰ Φιλίππῳ προσέθεντο, ὑπὲρ οὗ τότ' ἐκεῖνος πάσας ἀφῆκε φωνάς; Καὶ εἰ νῦν, τριῶν ἡμερῶν ἀπὸ τῆς Ἀττικῆς ὁδὸν τῆς μάχης γενομένης, τοσοῦτος κίνδυνος καὶ φόβος περιέστη τὴν πόλιν, τί ἄν, εἴ που τῆς χώρας ταὐτὸ τοῦτο πάθος συνέβη, προσδοκῆσαι χρῆν; ἆρ' οἶσθ' ὅτι νῦν μὲν στῆναι, συνελθεῖν, ἀναπνεῦσαι, πολλὰ μία ἡμέρα καὶ δύο καὶ τρεῖς ἔδοσαν τῶν εἰς σωτηρίαν τῇ πόλει, τότε δέ —, οὐκ ἄξιον εἰπεῖν, ἅ γε μηδὲ πεῖραν ἔδωκε θεῶν τινὸς εὐνοίᾳ καὶ τῷ προβαλέσθαι τὴν πόλιν ταύτην τὴν συμμαχίαν, ἧς σὺ κατηγορεῖς.

[196] Ἔστι δὲ ταυτὶ πάντα μοι, τὰ πολλά, πρὸς ὑμᾶς, ὦ ἄνδρες δικασταί, καὶ τοὺς περιεστηκότας ἔξωθεν καὶ ἀκροωμέ-

NC. 1. τί χρῆν Markland, comme l. 9. — 2. καὶ S et L[1] seuls. καὶ πᾶσι vulg. — 9. χρῆν Markland. χρὴ manuscrits. Cf. l. 14. — 11-12. ἀπὸ τῆς Ἀττικῆς ὁδόν S. ὁδὸν ἀ. τ. Ἀ. vulg. — γεγενημένης F. — 13. Mauvaise variante : που πλησίον τῆς χώρας. — 14. οἶεσθ' S et F. — 17-18. εὔνοια (et cependant τῷ) S. — προβαλλεσθαι S et L.

1. Τί χρὴ ποιεῖν; qu'y faire? il faut nous résigner, et non nous accuser entre nous. G. H. Schæfer complète ainsi la pensée de l'orateur : Σιγᾶν χρὴ καὶ μὴ κατηγορεῖν, εἰ μὴ ἄρα συκοφαντῆσαι προέλοιο αἰτιασάμενός με τῶν συμβάντων, ὥσπερ ἂν εἴ τις κτλ.

5. Οὔτ' ἐκυβέρνων. Cf. Eschine, § 158 : Ἐπὶ μὲν τοὺς πορθμέας τοὺς εἰς Σαλαμῖνα πορθμεύοντας νόμον ἔθεσθε, ἐάν τις αὐτῶν ἄκων ἐν τῷ πόρῳ πλοῖον ἀνατρέψῃ, τούτῳ μὴ ἐξεῖναι πάλιν πορθμεῖ γενέσθαι κτλ.

10-11. Ὑπὲρ οὗ.... πάσας ἀφῆκε φωνάς, ce qu'il demanda sur tous les tons. On rapproche Euripide, *Hécube*, 337 : Πάσας, ὥστ' ἀηδόνος στόμα, φθογγὰς ἀφεῖσα. Platon, *Rép*. V, p. 475 A : Πάσας προφάσεις προφασίζεσθε καὶ πάσας φωνὰς ἀφίετε. Cf. la locution πάντα λόγον κινεῖν.

11-12. Τριῶν ἡμερῶν.... ὁδόν. Sept cents stades, d'après le paragraphe 230.

15. Πολλὰ μία. Pour faire ressortir cette antithèse, l'orateur a séparé πολλά de son complément τῶν εἰς σωτηρίαν. La tournure μία καὶ δύο καὶ τρεῖς prolonge, en quelque sorte, la durée de ces trois jours.

16-17. Τότε δέ : dans le cas supposé, si la bataille avait eu lieu quelque part dans l'Attique, εἴ που τῆς χώρας.... — Ἅ γε μηδὲ πεῖραν (sous-ent. αὐτῶν) ἔδωκε, puisque ces choses ne se sont pas fait connaître à l'expérience (ne se sont pas vérifiées), il ne faut pas en parler non

νους, ἐπεὶ πρός γε τοῦτον τὸν κατάπτυστον βραχὺς καὶ σαφὴς ἐξήρκει λόγος. Εἰ μὲν γὰρ ἦν σοὶ πρόδηλα τὰ μέλλοντ', Αἰσχίνη, μόνῳ τῶν ἄλλων, ὅτ' ἐβουλεύεθ' ἡ πόλις περὶ τούτων, τότ' ἔδει προλέγειν· εἰ δὲ μὴ προῄδεις, τῆς αὐτῆς ἀγνοίας ὑπεύθυνος εἶ τοῖς ἄλλοις, ὥστε τί μᾶλλον ἐμοῦ σὺ ταῦτα κατη- 294
γορεῖς ἢ ἐγὼ σοῦ; [197] Τοσοῦτον γὰρ ἀμείνων ἐγὼ σοῦ πολίτης γέγον' εἰς αὐτὰ ταῦθ' ἃ λέγω (καὶ οὔπω περὶ τῶν ἄλλων διαλέγομαι), ὅσον ἐγὼ μὲν ἔδωκ' ἐμαυτὸν εἰς τὰ πᾶσι δοκοῦντα συμφέρειν, οὐδένα κίνδυνον ὀκνήσας ἴδιον οὐδ' ὑπολογισάμενος, σὺ δ' οὔθ' ἕτερ' εἶπες βελτίω τούτων (οὐ γὰρ ἂν τούτοις ἐχρῶντο), οὔτ' εἰς ταῦτα χρήσιμον οὐδὲν σαυτὸν παρέσχες, ὅπερ δ' ἂν ὁ φαυλότατος καὶ δυσμενέστατος ἄνθρωπος τῇ πόλει, τοῦτο πεποιηκὼς ἐπὶ τοῖς συμβᾶσιν ἐξήτασαι, καὶ ἅμ' Ἀρίστρατος ἐν Νάξῳ καὶ Ἀριστόλεως ἐν Θάσῳ, οἱ καθάπαξ ἐχθροὶ τῆς πόλεως, τοὺς Ἀθηναίων κρίνουσι φίλους καὶ Ἀθήνησιν Αἰσχίνης Δημοσθένους κατηγορεῖ. [198] Καίτοι ὅτῳ τὰ τῶν Ἑλλήνων ἀτυχήματ' ἐνευδοκιμεῖν ἀπέκειτο, ἀπολωλέναι μᾶλλον οὗτός ἐστι δίκαιος ἢ κατηγορεῖν ἑτέρου· καὶ ὅτῳ συνενηνόχασιν οἱ αὐτοὶ καιροὶ καὶ τοῖς τῆς πόλεως ἐχθροῖς, οὐκ ἔνι τοῦτον εὔνουν εἶναι τῇ πατρίδι. Δηλοῖς δὲ καὶ ἐξ ὧν ζῇς καὶ ποιεῖς καὶ πολιτεύει καὶ πάλιν οὐ πολιτεύει. Πράττεταί τι

NC. 1. τοῦτον S. τοῦτον αὐτὸν vulg. — 7. ταυτα λέγω S[1]. — 9. οδ (pour οὐδ') S[1]. — 12. ἄνθρωπος ποιήσειε τῇ πόλει F. — 14. ἀριστόλεος S. ἀριστόλαος F. — 20. δηλοιι S[1]. — δὲ ἐξ avant Reiske.

plus. En français, nous transposons l'idée contenue dans le second élément de μηδέ. Quant à πεῖραν διδόναι, cf. § 107.

2. Ἐξήρκει, sans ἄν, comme en latin *satis erat*.

3-4. Μόνῳ τῶν ἄλλων. Hellénisme. Cf. *Lept.* § 62, et *passim*. — Ὅτ(ε) doit être séparé de ce qui précède et rapporté à τότ(ε). Cf. p. 516, l. 3, et *passim*.

5. Τοῖς ἄλλοις se construit avec τῆς αὐτῆς.

7-8. Καὶ οὔπω περὶ τῶν ἄλλων διαλέγομαι. Démosthène ne veut apprécier ici que la partie de sa conduite qu'il a pleinement exposée (αὐτὰ ἃ λέγω); il se réserve de faire valoir plus bas les succès qu'il remporta à Thèbes, succès que jusqu'ici il n'a mentionnés qu'incidemment.

9. Κίνδυνον. C'est la responsabilité que prenait l'auteur d'un décret.

12. Ἂν : sous-ent. ποιήσειεν. — Τῇ πόλει dépend de δυσμενέστατος.

13-14. Ἀρίστρατος.... Θάσῳ. Ces faits ne sont connus que par ces lignes de Démosthène.

17. Ἑλλήνων.... ἀπέκειτο. L'orateur a laissé échapper un hexamètre. [Dobree.] Ἐνευδοκιμεῖν équivaut à ὥστε ἐν αὐτοῖς εὐδοκιμεῖν. Le verbe ἀποκεῖσθαι se dit des choses qu'on a mises en réserve pour en faire usage à l'occasion.

20. Ἐξ ὧν ζῇς, par ta manière de vivre, ta conduite. Cf. § 130 : Ἀπ' αὐτῶν ὧν αὐτὸς βεβίωκεν. *Amb.*, § 199 : Τὸν βεβιωμένον αὐτῷ βίον.

τῶν ὑμῖν δοκούντων συμφέρειν, ἄφωνος Αἰσχίνης· ἀντέκρουσέ
τι καὶ γέγονεν οἷον οὐκ ἔδει, πάρεστιν Αἰσχίνης· ὥσπερ τὰ
ῥήγματα καὶ τὰ σπάσματα, ὅταν τι κακὸν τὸ σῶμα λάβῃ,
τότε κινεῖται.

[199] Ἐπειδὴ δὲ πολὺς τοῖς συμβεβηκόσιν ἔγκειται, βούλο-
μαί τι καὶ παράδοξον εἰπεῖν. Καί μου πρὸς Διὸς καὶ θεῶν μηδεὶς
τὴν ὑπερβολὴν θαυμάσῃ, ἀλλὰ μετ' εὐνοίας ὃ λέγω θεωρη-
σάτω. Εἰ γὰρ ἦν ἅπασι πρόδηλα τὰ μέλλοντα γενήσεσθαι, καὶ
προῄδεσαν πάντες, καὶ σὺ προύλεγες, Αἰσχίνη, καὶ διεμαρτύ-
ρου βοῶν καὶ κεκραγώς, ὃς οὐδ' ἐφθέγξω, οὐδ' οὕτως ἀποστα-
295 τέον τῇ πόλει τούτων ἦν, εἴπερ ἢ δόξης ἢ προγόνων ἢ τοῦ
μέλλοντος αἰῶνος εἶχε λόγον. [200] Νῦν μέν γ' ἀποτυχεῖν
δοκεῖ τῶν πραγμάτων, ὃ πᾶσι κοινόν ἐστιν ἀνθρώποις, ὅταν τῷ
θεῷ ταῦτα δοκῇ· τότε δ' ἀξιοῦσα προεστάναι τῶν ἄλλων, εἶτ'
ἀποστᾶσα τούτου, Φιλίππῳ προδεδωκέναι πάντας ἂν ἔσχεν αἰ-
τίαν. Εἰ γὰρ ταῦτα προεῖτ' ἀκονιτὶ, περὶ ὧν οὐδένα κίνδυνον ὄν-
τιν' οὐχ ὑπέμειναν οἱ πρόγονοι, τίς οὐχὶ κατέπτυσεν ἂν σοῦ;

NC. 9. Αἰσχίνη, donné par S et L. manque dans la plupart des autres manuscrits. — 11. ἢ, avant δόξης, ajoute à l'emphase. Dissen le retranchait pour des raisons trop subtiles. — 12. μὲν γὰρ F. — 16. ἀκονειτι S. Dans *Rhod.* § 31, S porte ἀκονητί, et Spengel (*Philologus*, XXXII, p. 365) juge que cette orthographe est seule conforme à l'analogie. Cependant ἀκόνιτος et ἀκονιτί ne se tirent-ils pas régulièrement du verbe κονίω ? — 14. Var. : τῶν Ἑλλήνων. — 16-17. Variante vicieuse : ὁτινοῦν οὐχ.

1-3. Αἰσχίνης.... Αἰσχίνης. Ce nom revient comme un refrain. Les rhéteurs grecs appellent cette figure ἀντιστροφή. Westermann rapproche Cicéron, *Phil.* II, 22, 55 : « Doletis tris exercitus populi « Romani interfectos : interfecit Antonius. « Desideratis clarissimos civis : eos quoque « nobis eripuit Antonius. Auctoritas hujus « ordinis adflicta est : adflixit Antonius. Om- « nia denique...uni accepta referemus Anto- « nio. » Chez Démosthène, l'antithèse ajoute à l'effet de la figure. Voy. aussi *Mid.* 202.

3-4. Ῥήγματα, déchirures. Σπάσματα, luxations. Κινεῖται, elles se réveillent. Cf. *Olynth.* II, § 21, avec la note. On cite beaucoup d'imitations de ce passage. Ajoutons Josèphe, *Bell. Jud.* VI, vi, 2 : Καθάπερ ῥήγματα ἢ σπάσματα, τὸν ἄλλον χρόνον κακοήθως ἠρεμοῦντες ἐν τῇ μείζονι νόσῳ διεφάνητε.

5-6. Πολὺς.... ἔγκειται. Cf. πολλῷ ῥέοντι, § 136. — Παράδοξον. Cf. *Olynth.* III, § 10; *Phil.* III, § 5; *Symmories*, § 24 : Παράδοξον μὲν οἶδα λόγον μέλλων λέγειν, ὅμως δ' εἰρήσεται. Mais nulle part Démosthène n'a fait applaudir de paradoxe plus sublime que celui qu'on va lire.

12-13. Νῦν μέν γ' ἀποτυχεῖν ... ἀνθρώποις. Périclès, chez Thucydide, II, 64, dans un discours qui a plus d'un rapport avec ce morceau de Démosthène, dit : Ἧς (δυνάμεως) ἐς ἀΐδιον τοῖς ἐπιγιγνομένοις, ἢν καὶ νῦν ὑπενδῶμέν ποτε (πάντα γὰρ πέφυκε καὶ ἐλασσοῦσθαι), μνήμη καταλελείψεται.

14. Τότε est opposé à νῦν, comme au paragraphe 195.

16. Οὐδένα κίνδυνον ὄντιν(α). Assimilation usuelle, assez voisine de ἑτέρῳ δ' ὅτῳ.... δώσομεν ζητεῖν, § 16.

μὴ γὰρ τῆς πόλεως γε, μηδ' ἐμοῦ. [201] Τίσι δ' ὀφθαλμοῖς πρὸς Διὸς ἑωρῶμεν ἂν τοὺς εἰς τὴν πόλιν ἀνθρώπους ἀφικνουμένους, εἰ τὰ μὲν πράγματ' εἰς ὅπερ νυνὶ περιέστη, ἡγεμὼν δὲ καὶ κύριος ᾑρέθη Φίλιππος ἁπάντων, τὸν δ' ὑπὲρ τοῦ μὴ γενέσθαι ταῦτ' ἀγῶν' ἕτεροι χωρὶς ἡμῶν ἦσαν πεποιημένοι, καὶ ταῦτα μηδεπώποτε τῆς πόλεως ἐν τοῖς ἔμπροσθεν χρόνοις ἀσφάλειαν ἄδοξον μᾶλλον ἢ τὸν ὑπὲρ τῶν καλῶν κίνδυνον ᾑρημένης. [202] Τίς γὰρ οὐκ οἶδεν Ἑλλήνων, τίς δὲ βαρβάρων, ὅτι καὶ παρὰ Θηβαίων καὶ παρὰ τῶν ἔτι τούτων πρότερον ἰσχυρῶν γενομένων Λακεδαιμονίων καὶ παρὰ τοῦ Περσῶν βασιλέως μετὰ πολλῆς χάριτος τοῦτ' ἂν ἀσμένως ἐδόθη τῇ πόλει, ὅ τι βούλεται λαβούσῃ καὶ τὰ ἑαυτῆς ἐχούσῃ τὸ κελευόμενον ποιεῖν καὶ ἐᾶν ἕτερον τῶν Ἑλλήνων προεστάναι. [203] Ἀλλ' οὐκ ἦν ταῦθ', ὡς ἔοικεν, τοῖς Ἀθηναίοις πάτρια οὐδ' ἀνεκτὰ οὐδ' ἔμφυτα, οὐδ' ἐδυνήθη πώποτε τὴν πόλιν οὐδεὶς ἐκ παντὸς τοῦ χρόνου πεῖσαι τοῖς ἰσχύουσι μέν, μὴ δίκαια δὲ πράττουσι προσθεμένην ἀσφαλῶς δουλεύειν, ἀλλ' ἀγωνιζομένη περὶ πρωτείων καὶ τιμῆς καὶ δόξης κινδυνεύουσα πάντα τὸν αἰῶνα διατετέλεκεν. 296

NC. 5. ὑμῶν S et L seuls. — 7. ἀραμένης (?) S, avant correction par une main récente. Cette leçon peut se défendre. — 11. Cobet écarte ἀσμένως. — 14. ἔοικεν S. — τοῖς τότε (ou τότε τοῖς) A, S², L : cf. § 205. Cette restriction ne s'accorde guère avec πώποτε. — Je propose ΔΙΔακτὰ pour ΑΝεκτὰ, mot tout étonné de se trouver entre πάτρια et ἔμφυτα. — 18. καὶ κινδυνεύουσα A : correction inutile.

1. Μὴ γὰρ.... « abeit ut dicam ».

9. Ἔτι. Cet *encore* s'explique par l'idée sous-entendue que la suprématie de Thèbes était elle-même antérieure à celle de la Macédoine.

10-12. Παρὰ τοῦ Περσῶν βασιλέως. Cf. *Phil.* II, § 11. — Τὸ κελευόμενον ποιεῖν, obéir aux ordres d'un maître. Locution usuelle. Cf. *Paix*, § 24. Isocrate, *Archidamos*, § 94 : Αἰσχρὸν γὰρ τοὺς ἄρξαι τῶν Ἑλλήνων ἀξιωθέντας ὀφθῆναι τὸ προσταττόμενον ποιοῦντας. — Après l'idée d'*accorder* (ἐδόθη), on s'attendrait à ὅ τι βούλεται λαβεῖν καὶ τὰ ἑαυτῆς ἔχειν τὸ κελευόμενον ποιοῦσαν καὶ ἐῶσαν.... (ou ὥστε τ. κ. ποιεῖν καὶ ἐᾶν). Westermann trouvait quelque chose de sarcastique dans la tournure préférée par l'orateur. Je crains qu'il n'y ait cherché trop de finesse. Les anciens attachaient beaucoup plus d'importance à l'ordre des idées et des mots qu'à leur subordination grammaticale. Cf. Eschyle, *Sept Chefs*, 636, où Polynice souhaite κτανὼν θανεῖν πέλας.

13. Si l'on écrivait οὐδὲ διδακτὰ pour οὐδ' ἀνεκτά, on traduirait : « cela n'était ni dans les traditions de leurs pères, ni dans leur éducation, ni dans leurs sentiments naturels. » Euripide, *Hippolyte*, 79, oppose διδακτόν à ce qui est inné, ἐν τῇ φύσει.

17. Ἀσφαλῶς δουλεύειν, jouir du repos de l'esclavage. Ce sont les mots mêmes dont Périclès se sert chez Thucydide, II, 63.

18. Κινδυνεύουσα. Ce second participe est lié au verbe διατετέλεκεν plus étroitement que ἀγωνιζομένη. « En luttant....

[204] Καὶ ταῦθ' οὕτω σεμνὰ καὶ προσήκοντα τοῖς ὑμετέροις ἤθεσιν ὑμεῖς ὑπολαμβάνετ' εἶναι ὥστε καὶ τῶν προγόνων τοὺς ταῦτα πράξαντας μάλιστ' ἐπαινεῖτε. Εἰκότως· τίς γὰρ οὐκ ἂν ἀγάσαιτο τῶν ἀνδρῶν ἐκείνων τῆς ἀρετῆς, οἳ καὶ τὴν χώραν καὶ τὴν πόλιν ἐκλιπεῖν ὑπέμειναν εἰς τὰς τριήρεις ἐμβάντες ὑπὲρ τοῦ μὴ τὸ κελευόμενον ποιῆσαι, τὸν μὲν ταῦτα συμβουλεύσαντα Θεμιστοκλέα στρατηγὸν ἑλόμενοι, τὸν δ' ὑπακούειν ἀποφηνάμενον τοῖς ἐπιταττομένοις Κυρσίλον καταλιθώσαντες, οὐ μόνον αὐτόν, ἀλλὰ καὶ αἱ γυναῖκες αἱ ὑμέτεραι τὴν γυναῖκ' αὐτοῦ. [205] Οὐ γὰρ ἐζήτουν οἱ τότ' Ἀθηναῖοι οὔτε ῥήτορα οὔτε στρατηγὸν δι' ὅτου δουλεύσουσιν εὐτυχῶς, ἀλλ' οὐδὲ ζῆν ἠξίουν, εἰ μὴ μεθ' ἐλευθερίας ἐξέσται τοῦτο ποιεῖν. Ἡγεῖτο γὰρ αὐτῶν ἕκαστος οὐχὶ τῷ πατρὶ καὶ τῇ μητρὶ μόνον γεγενῆσθαι, ἀλλὰ καὶ τῇ πατρίδι. Διαφέρει δὲ τί; ὅτι ὁ μὲν τοῖς γονεῦσι μόνον γεγενῆσθαι νομίζων τὸν τῆς εἱμαρμένης καὶ τὸν

NC. 1. Variante : ἡμετέροις. — 2. ὑπολάμβανετ' S et L. ὑπελαμβάνετε vulg. — 4. Cobet demande ἀγασθείη. — 7-8. ὑπακούειν τοῖς ἐπιταττομένοις ἀποφηνάμενον F. — 8. Il faut probablement écrire avec Cobet καταλεύσαντες. — 11. εὐτυχῶς n'est omis que dans S et L[1], à la fin d'une ligne. Certes, ce mot n'a pas l'air d'une glose. Il se trouve aussi chez Denys, *Demosth.*, 31. — 12. ἐξέσται S et L[1] seuls, ainsi que Denys, *l. c.*, αὐτοῖς ἐξέσται vulg.

elle a toujours vécu dans les dangers. » Cf. Krüger, *Gr. Spr.*, § 56, 15, 4.

4. Ἀγάσαιτο. Les écrivains attiques se servent de l'aoriste ἀγασθῆναι. [Cobet.] Cf. *NC*.

4-5. Τὴν χώραν καὶ τὴν πόλιν. Pendant les invasions de la guerre du Péloponnèse, les Athéniens abandonnèrent à l'ennemi leur pays (τὴν χώραν), c'est-à-dire la campagne de l'Attique; dans la guerre Médique, ils abandonnèrent jusqu'à leur ville.

8. Κυρσίλον. Hérodote, IX, 4, l'appelle Lycidas, et il place ce fait, non, comme Démosthène, avant la bataille de Salamine, mais après cette bataille, quand les Perses, sous la conduite de Mardonios, envahirent l'Attique une seconde fois. Il a évidemment raison : car c'est alors seulement que des ouvertures de paix et d'alliance furent faites aux Athéniens. Voy. la note sur *Phil.* II, § 11, où l'orateur est tombé dans la même erreur. — Καταλιθώσαντες. Ce verbe ne se retrouve pas chez les Attiques. [Cobet.] Cf. *NC*.

9. Ἀλλὰ καὶ αἱ γυναῖκες. Par une tournure vive et rapide, ce nouveau sujet est introduit ici, sans qu'un sujet correspondant l'ait annoncé dans le membre de phrase précédent.

11-12. Δι' ὅτου δουλεύσουσιν εὐτυχῶς, qui leur procurât une heureuse servitude. Alliance de mots sarcastique, comme ἀσφαλῶς δουλεύειν, p. 517, l. 17. Cf. *NC*. — Ἐξέσται équivaut à ἐξεῖναι ἤμελλεν. — Τοῦτο ποιεῖν. Cf. *Lept.*, § 126.

15. Τὸν τῆς εἱμαρμένης καὶ τὸν αὐτόματον θάνατον. En se plaçant à différents points de vue, on peut désigner la même chose de plusieurs manières. « La mort fatale » est opposée à la mort volontairement bravée, « la mort naturelle » à la mort violente. Aulu-Gelle, XIII, 1, rapproche Cic., *Phil.* I, § 4 : « Præter naturam præterque fatum. » [Westermann.]

αὐτόματον θάνατον περιμένει, ὁ δὲ καὶ τῇ πατρίδι, ὑπὲρ τοῦ μὴ ταύτην ἐπιδεῖν δουλεύουσαν ἀποθνήσκειν ἐθελήσει, καὶ φοβερωτέρας ἡγήσεται τὰς ὕβρεις καὶ τὰς ἀτιμίας, ἃς ἐν δουλευούσῃ τῇ πόλει φέρειν ἀνάγκη, τοῦ θανάτου.

[206] Εἰ μὲν τοίνυν τοῦτ' ἐπεχείρουν λέγειν, ὡς ἐγὼ προήγαγον ὑμᾶς ἄξια τῶν προγόνων φρονεῖν, οὐκ ἔσθ' ὅστις οὐκ ἂν εἰκότως ἐπιτιμήσειέ μοι. Νῦν δ' ἐγὼ μὲν ὑμετέρας τὰς τοιαύτας προαιρέσεις ἀποφαίνω, καὶ δείκνυμι ὅτι καὶ πρὸ ἐμοῦ τοῦτ' εἶχεν τὸ φρόνημ' ἡ πόλις, τῆς μέντοι διακονίας τῆς ἐφ' 297
ἑκάστοις τῶν πεπραγμένων καὶ ἐμαυτῷ μετεῖναί φημι· [207] οὗτος δὲ τῶν ὅλων κατηγορῶν, καὶ κελεύων ὑμᾶς ἐμοὶ πικρῶς ἔχειν ὡς φόβων καὶ κινδύνων αἰτίῳ τῇ πόλει, τῆς μὲν εἰς τὸ παρὸν τιμῆς ἔμ' ἀποστερῆσαι γλίχεται, τὰ δ' εἰς ἅπαντα τὸν λοιπὸν χρόνον ἐγκώμι' ὑμῶν ἀφαιρεῖται. Εἰ γὰρ ὡς οὐ τὰ βέλτιστ' ἐμοῦ πολιτευσαμένου, τουδὶ καταψηφιεῖσθε, ἡμαρτηκέναι δόξετε, οὐ τῇ τῆς τύχης ἀγνωμοσύνῃ τὰ συμβάντα παθεῖν. [208] Ἀλλ' οὐκ ἔστιν, οὐκ ἔστιν ὅπως ἡμάρτετ', ἄνδρες Ἀθηναῖοι, τὸν ὑπὲρ τῆς ἁπάντων ἐλευθερίας καὶ σωτηρίας κίνδυνον ἀράμενοι, μὰ τοὺς Μαραθῶνι προκινδυνεύσαντας τῶν προγό-

NC. 1. περιμενεῖ Markland : sans nécessité. — 4. τοῦ θανάτου, omis dans le texte de F et ailleurs, ainsi que dans quelques éditions anciennes, se lit après ἡγήσεται chez Denys. — 6-7. ἔστιν vulg. — ἂν οὐκ ἂν L et texte de S. οὐκ ἂν οὐκ F. On ne savait s'il fallait placer ἂν avant ou après la négation. — ἐπετίμησε A. — 12. τῇ πόλει γεγενημένῳ F, L². — 14. λοιπὸν est omis dans Denys. — 19. μὰ S. οὐ μὰ L et vulg. — Μαραθῶνι S seul. ἐν Μαραθῶνι L et vulg.

1. Περιμένει (au présent), il attend (toujours). Mais ἐθελήσει, il voudra (quand la patrie sera en danger). Cf. *NC*. [Dissen.]

9-10. Τῆς μέντοι διακονίας.... μετεῖναί φημι. L'orateur est ici plus modeste que plus haut (§§ 79-80; 170-173; 179) : Plutarque (*Mor.*, p. 542 B) et Hermogène (III, p. 331 Walz) en ont fait l'observation. C'est qu'il s'agit ici d'intéresser à sa cause et d'exciter contre Eschine le point d'honneur athénien. Cf. § 125.

15-16. Τουδί. Ctésiphon. — Τῇ τῆς τύχης ἀγνωμοσύνῃ, par l'injustice de la fortune. Scholiaste : ἀδικίᾳ.

19. Μὰ τοὺς.... Longin, *Subl.*, XVI : Φαίνεται δι' ἑνὸς τοῦ ὀμοτικοῦ σχήματος.... τοὺς μὲν προγόνους ἀποθεώσας, ὅτι δεῖ τοὺς οὕτως ἀποθανόντας ὡς θεοὺς ὀμνύναι παριστάνων, τοῖς δὲ κρίνουσι τὸ τῶν ἐκεῖ προκινδυνευσάντων ἐντιθεὶς φρόνημα, τὴν δὲ τῆς ἀποδείξεως φύσιν μεθεστακὼς εἰς ὑπερβάλλον ὕψος καὶ πάθος καὶ ξένων καὶ ὑπερφυῶν ὅρκων ἀξιοπιστίαν, καὶ ἅμα παιώνιόν τινα καὶ ἀλεξιφάρμακον εἰς τὰς ψυχὰς τῶν ἀκουόντων καθιεὶς λόγον, ὡς, κουφιζομένοις ὑπὸ τῶν ἐγκωμίων, μηδὲν ἔλαττον τῇ μάχῃ τῇ πρὸς Φίλιππον ἢ ἐπὶ τοῖς κατὰ Μαραθῶνα καὶ Σαλαμῖνα νικητηρίοις παρίστασθαι φρονεῖν. — Μαραθῶνι, sans préposition, comme nom d'un bourg (δῆμος) de l'Attique. Voy. Krüger, *Gr. Spr.*, § 46, 1, 3.

19-6. Προκινδυνεύσαντας (verbe que Thucydide aussi (I, 73) applique particu-

νων, καὶ τοὺς ἐν Πλαταιαῖς παραταξαμένους, καὶ τοὺς ἐν Σαλαμῖνι ναυμαχήσαντας καὶ τοὺς ἐν Ἀρτεμισίῳ, καὶ πολλοὺς ἑτέρους τοὺς ἐν τοῖς δημοσίοις μνήμασι κειμένους ἀγαθοὺς ἄνδρας, οὓς ἅπαντας ὁμοίως ἡ πόλις τῆς αὐτῆς ἀξιώσασα τιμῆς ἔθαψεν, Αἰσχίνη, οὐχὶ τοὺς κατορθώσαντας αὐτῶν οὐδὲ τοὺς κρατήσαντας μόνους. Δικαίως· ὃ μὲν γὰρ ἦν ἀνδρῶν ἀγαθῶν ἔργον, ἅπασι πέπρακται· τῇ τύχῃ δ', ἣν ὁ δαίμων ἔνειμεν ἑκάστοις, ταύτῃ κέχρηνται.

[209] Ἔπειτ', ὦ κατάρατε καὶ γραμματοκύφων, σὺ μὲν τῆς παρὰ τουτωνὶ τιμῆς καὶ φιλανθρωπίας ἔμ' ἀποστερῆσαι βουλόμενος τρόπαια καὶ μάχας καὶ παλαί' ἔργ' ἔλεγες, ὧν τίνος προσεδεῖθ' ὁ παρὼν ἀγὼν οὑτοσί; ἐμὲ δ', ὦ τριταγωνιστά, τὸν περὶ τῶν πρωτείων σύμβουλον τῇ πόλει παριόντα, τὸ τίνος φρόνημα λαβόντ' ἀναβαίνειν ἐπὶ τὸ βῆμ' ἔδει; τὸ τοῦ τούτων ἀνάξι' ἐροῦντος; δικαίως μεντἂν ἀπέθανον. [210] Ἐπεὶ οὐδ'
298 ὑμᾶς, ἄνδρες Ἀθηναῖοι, ἀπὸ τῆς αὐτῆς διανοίας δεῖ τάς τ' ἰδίας δίκας καὶ τὰς δημοσίας κρίνειν, ἀλλὰ τὰ μὲν τοῦ καθ'

NC. 1. Πλατειας S[1]. — 5. κατορθώσαντας αὐτοὺς S et L[1] seuls. Cette erreur de copiste a trouvé des défenseurs. — 7. ἀπένειμεν F. — 14. τὸ τοῦ τούτων. Variante : τὸ τούτων. — 15. ἐπεί S et texte de L seuls. ἔπειτα vulg. ἐπεί γ' Reiske.

lièrement à la bataille de Marathon, où les Athéniens formaient, en quelque sorte, l'avant-garde de la Grèce).... παραταξαμένους.... ναυμαχήσαντας. Longin : Διδάσκων ὅτι κἀν βακχεύμασι νήφειν ἀναγκαῖον.... οὐδαμοῦ νικήσαντας εἶπεν, ἀλλὰ πάντη τὸ τοῦ τέλους διακέκλοφεν ὄνομα, ἐπειδήπερ ἦν εὐτυχὲς καὶ τοῖς κατὰ Χαιρώνειαν ὑπεναντίον. Διόπερ καὶ τὸν ἀκροατὴν φθάνων εὐθὺς ὑποφέρει· « οὓς ἅπαντας ἔθαψε δημοσίᾳ » φησὶν « ἡ πόλις, Αἰσχίνη, οὐχὶ τοὺς κατορθώσαντας μόνους. » — Ἐν τοῖς δημοσίοις μνήμασι. Cf. Thucydide, II, 34. — Dans sa péroraison Eschine tourne les mêmes souvenirs contre Démosthène : Θεμιστοκλέα δὲ καὶ τοὺς ἐν Μαραθῶνι τελευτήσαντας καὶ τοὺς ἐν Πλαταιαῖς καὶ αὐτοὺς τοὺς τάφους τῶν προγόνων οὐκ οἴεσθε στενάξειν, εἰ ὁ μετὰ τῶν βαρβάρων ὁμολογῶν τοῖς Ἕλλησιν ἀντιπράττειν στεφανωθήσεται.

9. Γραμματοκύφων : terme de dénigrement pour γραμματεύς. *Etym. Magn.* : Ἀντὶ τοῦ γραμματέως· ὅτι οἱ γραμματεῖς προκεκυφότες γράφουσιν. L'orateur change brusquement de ton : des hauteurs où il s'était élevé il fond soudain sur son adversaire; si l'aigle a des ailes, il a aussi des griffes. Quant au morceau qui précède, on peut croire qu'il fut écrit d'avance; cette invective provoquée par un passage du discours d'Eschine dut être improvisée à l'audience. En l'insérant ici, Démosthène l'amena habilement par l'apostrophe Αἰσχίνη, l. 5.

11. Τρόπαια.... ἔλεγες. Voy. Eschine. § 181-188.

12-13. Ὦ τριταγωνιστά fait une antithèse plaisante à περὶ τῶν πρωτείων.

14. Τούτων se réfère à τρόπαια καὶ μάχας καὶ παλαί' ἔργα.

17-2. Ἀλλὰ τὰ μὲν.... ἀποβλέποντας, mais il faut juger (δεῖ κρίνειν ἑκάστους δηλαδή, schol.) en ayant devant les yeux

ἡμέραν βίου συμβόλαι' ἐπὶ τῶν ἰδίων νόμων καὶ ἔργων σκοποῦντας, τὰς δὲ κοινὰς προαιρέσεις εἰς τὰ τῶν προγόνων ἀξιώματ' ἀποβλέποντας· καὶ παραλαμβάνειν γ' ἅμα τῇ βακτηρίᾳ καὶ τῷ συμβόλῳ τὸ φρόνημα τὸ τῆς πόλεως νομίζειν ἕκαστον ὑμῶν [δεῖ], ὅταν τὰ δημόσι' εἰσίητε κρινοῦντες, εἴπερ ἄξι' ἐκείνων πράττειν οἴεσθε χρῆναι.

[211] Ἀλλὰ γὰρ ἐμπεσὼν εἰς τὰ πεπραγμένα τοῖς προγόνοις ὑμῶν ἔστιν ἃ τῶν ψηφισμάτων παρέβην καὶ τῶν πραχθέντων· ἐπανελθεῖν οὖν, ὅθεν ἐνταῦθ' ἐξέβην, βούλομαι.

Ὡς γὰρ ἀφικόμεθ' εἰς τὰς Θήβας, κατελαμβάνομεν Φιλίππου καὶ Θετταλῶν καὶ τῶν ἄλλων συμμάχων παρόντας πρέσβεις, καὶ τοὺς μὲν ἡμετέρους φίλους ἐν φόβῳ, τοὺς δ' ἐκείνου θρασεῖς. Ὅτι δ' οὐ νῦν ταῦτα λέγω τοῦ συμφέροντος εἵνεκ' ἐμαυτῷ, λέγε μοι τὴν ἐπιστολὴν ἣν τότ' ἐπέμψαμεν εὐθὺς οἱ πρέσβεις. [212] Καίτοι τοσαύτῃ γ' ὑπερβολῇ συκοφαντίας οὗτος κέχρηται, ὥστ', εἰ μέν τι τῶν δεόντων ἐπράχθη, τὸν καιρὸν, οὐκ ἐμέ φησιν αἴτιον γεγενῆσθαι, τῶν δ' ὡς ἑτέρως συμβάντων ἁπάντων ἐμὲ καὶ τὴν ἐμὴν τύχην αἰτίαν εἶναι. Καὶ ὡς ἔοικεν,

NC. 5. δεῖ est omis dans quelques manuscrits. — 6. οἴεσθαι S. — 9. ὁπόθεν ἐνταῦθ' S et L seuls. ὅθεν εἰς ταῦτα vulg. — 10. καταλαμβάνομεν F. — ἕνεκ' mss.

le commerce de la vie journalière, quand il est question de lois et d'actes d'un caractère privé ; il faut, au contraire, juger la politique des hommes publics en tournant vos regards vers les nobles résolutions de vos ancêtres. Évidemment τὰ τοῦ καθ' ἡμέραν βίου συμβόλαια est opposé à τὰ τῶν προγόνων ἀξιώματα, et τῶν ἰδίων νόμων καὶ ἔργων à τὰς κοινὰς προαιρέσεις. G. et W. Simcox ont indiqué le sens de ce passage. L'explication ordinaire, qui fait dépendre συμβόλαια de κρίνειν, ne tient pas compte des antithèses si nettement marquées par l'orateur, et force quelque peu le sens de la préposition ἐπί. Voy. la note sur le paragraphe 233.

4. Συμβόλῳ. La marque que recevaient les juges à leur entrée dans le tribunal, et qui leur servait de jeton de présence, quand ils allaient toucher leur salaire. Cf. Schœmann, *Ant. jur. publ.*, p. 266. — Νομίζειν. Ce mot a choqué Cobet. Voici comment j'entends le texte. En lui remettant le bâton, l'insigne de l'autorité judiciaire, la ville remet à chacun des juges le dépôt de ses nobles sentiments : c'est là une croyance et comme un article de foi dont les juges doivent se pénétrer.

9. Οὖν répond à γάρ. Il ne faut donc pas mettre un point après πραχθέντων.

11. Καὶ τῶν ἄλλων συμμάχων. Les Æmianes, Étoliens, Dolopes, Phthiotes, d'après Philochore cité par Denys, *Lettre à Ammée*, I, 11.

16-18. Τὸν καιρὸν. Cf. Eschine, § 137; § 141 : Ὁ δ' εἰσάγων ἦν ὑμᾶς εἰς τὰς Θήβας καιρὸς καὶ φόβος καὶ χρεία συμμάχων, ἀλλ' οὐ Δημοσθένης. L'historien Théopompe, tout en étant peu favorable à Démosthène, n'en jugeait pas comme Eschine. Voy. Plutarque, *Dém.*, 19. — Τὴν ἐμὴν τύχην. L'orateur examinera ce point aux paragraphes 252 sqq. — Le paragraphe 212 est une réponse heureuse et bien

ὁ σύμβουλος καὶ ῥήτωρ ἐγὼ τῶν μὲν ἐκ λόγου καὶ τοῦ βουλεύσασθαι πραχθέντων οὐδὲν αὐτῷ συναίτιος εἶναι δοκῶ, τῶν δ' ἐν τοῖς ὅπλοις καὶ κατὰ τὴν στρατηγίαν ἀτυχηθέντων μόνος αἴτιος εἶναι. Πῶς ἂν ὠμότερος συκοφάντης γένοιτ' ἢ καταρατότερος; Λέγε τὴν ἐπιστολήν.

299

ΕΠΙΣΤΟΛΗ.

[213] Ἐπειδὴ τοίνυν ἐποιήσαντο τὴν ἐκκλησίαν, προσῆγον ἐκείνους προτέρους διὰ τὸ τὴν τῶν συμμάχων τάξιν ἐκείνους ἔχειν. Καὶ παρελθόντες ἐδημηγόρουν πολλὰ μὲν Φίλιππον ἐγκωμιάζοντες, πολλὰ δ' ὑμῶν κατηγοροῦντες, πάνθ' ὅσα πώποτ' ἐναντί' ἐπράξατε Θηβαίοις ἀναμιμνήσκοντες. Τὸ δ' οὖν κεφάλαιον, ἠξίουν ὧν μὲν εὖ 'πεπόνθεσαν ὑπὸ Φιλίππου χάριν αὐτοὺς ἀποδοῦναι, ὧν δ' ὑφ' ὑμῶν ἠδίκηντο δίκην λαβεῖν, ὁποτέρως βούλονται, ἢ διέντας αὐτοὺς ἐφ' ὑμᾶς ἢ συνεμβαλόντας εἰς τὴν Ἀττικήν, καὶ ἐδείκνυσαν, ὡς ᾤοντο, ἐκ μὲν ὧν αὐτοὶ συνεβούλευον τὰ ἐκ τῆς Ἀττικῆς βοσκήματα καὶ ἀνδράποδα καὶ τἄλλ' ἀγάθ' εἰς τὴν Βοιωτίαν ἥξοντα, ἐκ δ' ὧν ἡμᾶς ἐρεῖν ἔφασαν τὰ ἐν τῇ Βοιωτίᾳ διαρπασθησόμεν' ὑπὸ τοῦ πολέμου. Καὶ ἄλλα πολλὰ πρὸς τούτοις, εἰς ταὐτὰ δὲ πάντα συντείνοντ' ἔλεγον. [214] Ἃ δ' ἡμεῖς πρὸς ταῦτα, τὰ μὲν καθ' ἕκαστ' ἐγὼ μὲν ἀντὶ παντὸς ἂν τιμησαίμην εἰπεῖν τοῦ βίου, ὑμᾶς δὲ

NC. 2. οὐδὲν S seul. οὐδενὸς L et vulg. L'antithese recommande οὐδέν. — 4. γένοιτο S, A, L. γένοιτ' ἂν vulg. — 4-5. καταρατότερος τούτου F. — 8. τῶν est de trop suivant Cobet, et pourrait être supprimé. Voy. cependant τὴν τοῦ συμβούλου τάξιν, § 192. [Westermann.] — 10. ἅπανθ' F. — 13. αὐτοὺς S et L. αὐτοῖς vulg. — ἠδίκηντο L et, probablement, S[1]. ἠδίκηνται vulg. — δίκην : omis par S[1]. — 14. Variante : διιέντας. — αὐτοὺς Bekker. Peut-être αὐτὸν. [H. Wolf.] — 15. ὥς γ' ᾤοντο Cobet. — 18. Les mots ὑπὸ τοῦ πολέμου me sont suspects. — 19. εἰς ταῦτα avant Bekker. — 20. πρὸς ταῦτα S[1] seul. La vulgate ajoute ἀντείπομεν, ἀντείπαμεν ou εἴπομεν.

placée. Cependant, comme il peut s'enlever facilement, il me confirme dans l'opinion que l'ensemble de cette partie du discours, comme de la plupart des autres, a été composé avant le débat judiciaire.

2-3. Οὐδὲν συναίτιος est opposé à μόνος αἴτιος.

21. Ἐγὼ μὲν.... βίου. Quoi qu'il en dise, Démosthène aurait résumé ce discours, aussi bien que celui des paragraphes 174 sqq., s'il l'avait jugé utile à sa cause. Mais il n'y avait aucun intérêt : au contraire, en laissant les arguments de Philippe et de ses alliés sans réfutation, il les fait paraître plus forts, et son propre mérite s'en accroît d'autant.

δέδοικα, μὴ παρεληλυθότων τῶν καιρῶν, ὥσπερ ἂν εἰ κατακλυσμὸν γεγενῆσθαι τῶν πραγμάτων ἡγούμενοι, μάταιον ὄχλον τοὺς περὶ τούτων λόγους νομίσητε· ὅ τι δ' οὖν ἐπείσαμεν ἡμεῖς καὶ ἡμῖν ἀπεκρίναντο, ἀκούσατε. Λέγε ταυτὶ λαβών.

ΑΠΟΚΡΙΣΙΣ ΘΗΒΑΙΩΝ.

[215] Μετὰ ταῦτα τοίνυν ἐκάλουν ὑμᾶς καὶ μετεπέμποντο. Ἐξῆτε, ἐβοηθεῖτε· ἵνα τἀν μέσῳ παραλείπω, οὕτως οἰκείως ὑμᾶς ἐδέχονθ', ὥστ' ἔξω τῶν ὁπλιτῶν καὶ τῶν ἱππέων ὄντων εἰς τὰς οἰκίας καὶ τὸ ἄστυ δέχεσθαι τὴν στρατιὰν ἐπὶ παῖδας 300
καὶ γυναῖκας καὶ τὰ τιμιώτατα. Καίτοι τρί' ἐν ἐκείνῃ τῇ ἡμέρᾳ πᾶσιν ἀνθρώποις ἔδειξαν ἐγκώμια Θηβαῖοι καθ' ὑμῶν τὰ κάλλιστα, ἓν μὲν ἀνδρείας, ἕτερον δὲ δικαιοσύνης, τρίτον δὲ σωφροσύνης. Καὶ γὰρ τὸν ἀγῶνα μεθ' ὑμῶν μᾶλλον ἢ πρὸς ὑμᾶς ἑλόμενοι ποιήσασθαι καὶ ἀμείνους εἶναι καὶ δικαιότερ' ἀξιοῦν ὑμᾶς ἔκριναν Φιλίππου· καὶ τὰ παρ' αὐτοῖς καὶ παρὰ πᾶσι δ' ἐν πλείστῃ φυλακῇ, παῖδας καὶ γυναῖκας, ἐφ' ὑμῖν ποιήσαντες σωφροσύνης πίστιν περὶ ὑμῶν ἔχοντες ἔδειξαν. [216] Ἐν οἷς πᾶσιν, ἄνδρες Ἀθηναῖοι, κατά γ' ὑμᾶς ὀρθῶς ἐφάνησαν ἐγνωκότες. Οὔτε γὰρ εἰς τὴν πόλιν εἰσελθόντος τοῦ στρατοπέδου οὐδεὶς οὐδὲν, οὐδ' ἀδίκως, ὑμῖν ἐνεκάλεσεν· οὕτω σώφρονας παρέσχεθ' ὑμᾶς αὐτούς· δίς τε συμπαραταξάμενοι τὰς πρώτας

NC. 1. καὶ, avant κατακλυσμὸν S seul. — 3. ὅτι S et marge de L seuls. ἃ vulg. — 4. ἡμῖν S. ἃ ἡμῖν vulg. — τουτὶ vulg. — 5. αποκρισεις S. — 13. μᾶλλον μεθ' ὑμῶν, avec des signes de transposition, S. — 15. ἢ Φιλιππον avant Reiske. — καὶ τὰ παρὰ πᾶσι avant Bekker. — 16. παῖδας καὶ γυναῖκας. Ces mots pourraient être une glose tirée de l. 9. [Herwerden, *l. c.*, p. 130.] — 18. ἅπασιν F. — 19. τοῦ, après εἰσελθόντος, est omis dans S. — 21. παρέσχεσθε F : « in quo latet παρέσχεθ'. » [Cobet.]

8. Τῶν ὁπλιτῶν καὶ τῶν ἱππέων. Entendez les hommes d'Athènes, non ceux de Thèbes. [Dissen.]

9-10. Παῖδας καὶ γυναῖκας καὶ τὰ τιμιώτατα. Le second καί ne trompera personne. Cf. Platon, *Lois*, I, p. 650 A : 'Επιτρέποντα αὑτοῦ θυγατέρας τε καὶ υἱεῖς καὶ γυναῖκας, οὕτως ἐν τοῖς φιλτάτοις κινδυνεύσαντα, ἦθος ψυχῆς θεάσασθαι.

11. Καθ' ὑμῶν· ἀντὶ τοῦ ὑπὲρ ὑμῶν. [Schol.] On rapproche *Phil.* II, § 9.

18. Κατά γ' ὑμᾶς, du moins quant à vous. La restriction porte sur l'issue de la guerre. On peut sous-entendre : εἰ καὶ μὴ κατὰ τὴν τύχην.

20-21. Οὐδ' ἀδίκως, « ne immerito « quidem ». — Δίς τε. Ici τε répond à οὔτε. Cf. *Lept.*, § 76, et *passim*.

μάχας, τήν τ' ἐπὶ τοῦ ποταμοῦ καὶ τὴν χειμερινήν, οὐκ ἀμέμπτους μόνον ὑμᾶς αὐτούς, ἀλλὰ καὶ θαυμαστοὺς ἐδείξατε τῷ κόσμῳ, ταῖς παρασκευαῖς, τῇ προθυμίᾳ. Ἐφ' οἷς παρὰ μὲν τῶν ἄλλων ὑμῖν ἐγίγνοντ' ἔπαινοι, παρὰ δ' ὑμῶν θυσίαι καὶ πομπαὶ τοῖς θεοῖς. [217] Καὶ ἔγωγ' ἡδέως ἂν ἐροίμην Αἰσχίνην, ὅτε ταῦτ' ἐπράττετο καὶ ζήλου καὶ χαρᾶς καὶ ἐπαίνων ἡ πόλις ἦν μεστή, πότερον συνέθυε καὶ συνευφραίνετο τοῖς πολλοῖς, ἢ λυπούμενος καὶ στένων καὶ δυσμεναίνων τοῖς κοινοῖς ἀγαθοῖς οἴκοι καθῆτο. Εἰ μὲν γὰρ παρῆν καὶ μετὰ τῶν ἄλλων ἐξητάζετο, πῶς οὐ δεινὰ ποιεῖ, μᾶλλον δ' οὐδ' ὅσια, εἰ ὧν ὡς ἀρίστων αὐτὸς τοὺς θεοὺς ἐποιήσατο μάρτυρας, ταῦθ' ὡς οὐκ
301 ἄριστα νῦν ὑμᾶς ἀξιοῖ ψηφίσασθαι τοὺς ὀμωμοκότας τοὺς θεούς; Εἰ δὲ μὴ παρῆν, πῶς οὐκ ἀπολωλέναι πολλάκις ἐστὶ δίκαιος, εἰ ἐφ' οἷς ἔχαιρον οἱ ἄλλοι, ταῦτ' ἐλυπεῖθ' ὁρῶν; Λέγε δὴ καὶ ταῦτα τὰ ψηφίσματά μοι.

ΨΗΦΙΣΜΑΤΑ ΘΥΣΙΩΝ.

[218] Οὐκοῦν ἡμεῖς μὲν ἐν θυσίαις ἦμεν τότε, Θηβαῖοι δ' ἐν τῷ δι' ἡμᾶς σεσῶσθαι νομίζειν, καὶ περιειστήκει τοῖς βοηθείας δεήσεσθαι δοκοῦσιν ἀφ' ὧν ἔπραττον οὗτοι, αὐτοὺς βοηθεῖν ἑτέ-

NC. 1. μάχας est omis dans S seul. Rauchenstein et Westermann sous-entendent παρατάξεις. — τὴν ἐπὶ F. — 6. ἐπαίνων. Cobet : παιάνων. Cf. *Ambass.*, § 86, avec la note. — ἦν ἡ πόλις F. — 8. ἐπὶ τοῖς κοινοῖς L² et F. — 10-11. ἀρίστων ὄντων (A) αὐτοὺς Morel. — 12. ἄξια νῦν A. — 16. ψήφισμα S. — 19. δεήσεσθαι νομίζουσιν S et (avec la variante δοκοῦσιν) L seuls. — αὐτοῖς βοηθεῖν F.

1. Ἐπὶ τοῦ ποταμοῦ. Sans doute le Céphise de Béotie, dans la partie supérieure de son cours. — Την χειμερινήν, « la bataille hivernale », non « accompagnée d'une tempête », ce qui serait τὴν χειμέριον. [G. H. Schæfer.] On ne sait rien de ces deux engagements, qui n'étaient sans doute pas des batailles proprement dites.

6. Ἐπαίνων. Les louanges venaient des étrangers (l'orateur vient de le dire). L. Spengel (*l. c.*) fait observer à propos qu'il y en avait toujours un grand nombre à Athènes. Cf. *NC*.

10-12. Εἰ.... ἀξιοῖ. Ce second εἰ répond au latin *quod*, ici et dans le membre de phrase correspondant. — Ὡς οὐκ ἄριστα. Allusion au décret contesté par Eschine et dans lequel Démosthène était loué ὅτι διατελεῖ λέγων καὶ πράττων τὰ ἄριστα τῷ δήμῳ. [Westermann.] — Τοὺς ὀμωμοκότας τοὺς θεούς. Ils avaient prêté serment comme juges. [Scholiaste.]

18-19. Καὶ περιειστήκει.... οὗτοι, et les choses avaient tourné pour ceux qui, par suite des intrigues de ces hommes, semblaient être sur le point d'avoir besoin de secours (c.-à-d. pour les Athéniens), de manière à....

ροις ἐξ ὧν ἐπείσθητ' ἐμοί. Ἀλλὰ μὴν οἵας τότ' ἠφίει φωνὰς ὁ Φίλιππος καὶ ἐν οἵαις ἦν ταραχαῖς ἐπὶ τούτοις, ἐκ τῶν ἐπιστολῶν τῶν ἐκείνου μαθήσεσθ' ὧν εἰς Πελοπόννησον ἔπεμπεν. Καί μοι λέγε ταύτας λαβών, ἵν' εἰδῆτε, ἡ ἐμὴ συνέχεια καὶ πλάνοι καὶ ταλαιπωρίαι καὶ τὰ πολλὰ ψηφίσματα, ἃ νῦν οὗτος διέσυρεν, τί ἀπειργάσατο.

[219] Καίτοι πολλοὶ παρ' ὑμῖν, ἄνδρες Ἀθηναῖοι, γεγόνασι ῥήτορες ἔνδοξοι καὶ μεγάλοι πρὸ ἐμοῦ, Καλλίστρατος ἐκεῖνος, Ἀριστοφῶν, Κέφαλος, Θρασύβουλος, ἕτεροι μυρίοι· ἀλλ' ὅμως οὐδεὶς πώποτε τούτων διὰ παντὸς ἔδωκεν ἑαυτὸν εἰς οὐδὲν τῇ πόλει, ἀλλ' ὁ μὲν γράφων οὐκ ἂν ἐπρέσβευσεν, ὁ δὲ πρεσβεύων οὐκ ἂν ἔγραψεν. Ὑπέλειπε γὰρ αὑτῶν ἕκαστος ἑαυτῷ ἅμα μὲν ῥᾳστώνην, ἅμα δ', εἴ τι γένοιτ', ἀναφοράν. [220] Τί οὖν; εἴποι τις ἄν, σὺ τοσοῦτον ὑπερῆρας ῥώμῃ καὶ τόλμῃ, ὥστε πάντα ποιεῖν αὐτός; Οὐ ταῦτα λέγω, ἀλλ' οὕτως ἐπεπείσμην μέγαν εἶναι τὸν κατειληφότα κίνδυνον τὴν πόλιν, ὥστ' οὐκ ἐδόκει μοι χώραν οὐδὲ πρόνοιαν οὐδεμίαν τῆς ἰδίας ἀσφαλείας διδόναι, ἀλλ' ἀγαπητὸν εἶναι, εἰ μηδὲν παραλείπων τις ἃ δεῖ 302
πράξειεν. [221] Ἐπεπείσμην δ' ὑπὲρ ἐμαυτοῦ, τυχὸν μὲν ἀναισθητῶν, ὅμως δ' ἐπεπείσμην, μήτε γράφοντ' ἂν ἐμοῦ

NC. 3. επεμπεν (επεμπον première main) S et L[1]. ἔπεμψε vulg. — 4. εἰδῆτε ὅτι F. Cobet veut transposer τί (l. 6) après εἰδῆτε. — πλάνη avant Reiske. — 10. τούτων πώποτε F. — 12. ὑπέλειπε S et L[1]. ὑπελείπετο vulg. — 13. γίγνοιτο vulg. — 14. ὑπερῆρας.... τόλμῃ S et L[1] seuls. τοὺς ἄλλους, après τόλμῃ ou après ὑπερῆρας, vulg. — 15. ταῦτα λέγω S et L[1] seuls. λέγω ταῦτα vulg. — 17. Peut-être : οὐδὲ προνοίᾳ χώραν οὐδεμίᾳ. A : ὥραν; marge ancienne de S : ὁρᾶν γρ.; G. H. Schæfer : ὥραν. — 18. παραλιπών A. — 20. ἀναισθητων L[1]. ἀναίσθητον S et vulg. ἀναισθήτως Cobet

1-3. Ἠφίει φωνάς. Cf. § 195. — Εἰς Πελοπόννησον. A ses alliés. Cf. § 156.

5-6. Ἃ νῦν οὗτος διεσύρε. On ne trouve rien de pareil dans le discours qu'Eschine a laissé par écrit. Au paragraphe 100, il se moque d'un décret rédigé par Démosthène à une autre occasion : Ψήφισμα.... μακρότερον μὲν τῆς Ἰλιάδος, κενώτερον δὲ τῶν λόγων ὧν εἴωθε λέγειν κτλ.

8-9. Καλλίστρατος ἐκεῖνος. C'est l'orateur dont l'éloquence, dit-on, décida de la vocation du jeune Démosthène. Son nom se trouve en tête d'une autre énumération d'hommes d'État, *Amb.*, § 297. — Ἀριστοφῶν. Cf. § 70. — Κέφαλος. Voy. la note sur le paragraphe 251. — Θρασύβουλος. Le fameux Thrasybule de Collyte, qui mit fin à la domination des Trente et rétablit la démocratie.

13. Ἀναφορὰν, le moyen de rejeter la faute sur un autre, τὸ ἀναφέρειν τὴν αἰτίαν εἰς ἄλλους. [Harpocration.]

16-18. Οὐκ ἐδόκει.... ἀσφαλείας διδόναι, le péril public ne me semblait pas laisser de place à la propre sécurité (du bon citoyen) ni en permettre la pensée. Après (διδόναι) χώραν, « donner lieu », il faut sous-entendre le datif ἀσφαλείᾳ. [Westermann.] Voy. *NC*.

γράψαι [βέλτιον] μηδένα, μήτε πράττοντα πρᾶξαι, μήτε πρεσβεύοντα πρεσβεῦσαι προθυμότερον μηδὲ δικαιότερον. Διὰ ταῦτ' ἐν πᾶσιν ἐμαυτὸν ἔταττον. Λέγε τὰς ἐπιστολὰς τὰς τοῦ Φιλίππου.

ΕΠΙΣΤΟΛΑΙ.

[222] Εἰς ταῦτα κατέστησε Φίλιππον ἡ ἐμὴ πολιτεία, Αἰσχίνη· ταύτην τὴν φωνὴν ἐκεῖνος ἀφῆκε, πολλοὺς καὶ θρασεῖς τὰ πρὸ τούτων τῇ πόλει λόγους ἐπαιρόμενος. Ἀνθ' ὧν δικαίως ἐστεφανούμην ὑπὸ τουτωνὶ, καὶ σὺ παρὼν οὐκ ἀντέλεγες, ὁ δὲ γραψάμενος Διώνδας τὸ μέρος τῶν ψήφων οὐκ ἔλαβεν. Καί μοι λέγε ταῦτα τὰ ψηφίσματα τὰ ἀποπεφευγότα, ὑπὸ τούτου δ' οὐδὲ γραφέντα.

ΨΗΦΙΣΜΑΤΑ.

[223] Ταυτὶ τὰ ψηφίσματ', ἄνδρες Ἀθηναῖοι, τὰς αὐτὰς συλλαβὰς καὶ ταὐτὰ ῥήματ' ἔχει ἅπερ πρότερον μὲν Ἀριστόνι-

NC. 1. βέλτιον rompt la symétrie des trois membres de phrase, et répugne aux mœurs oratoires. [Madvig, *Adv. crit.*, I, p. 458.] — πράττοντά τι F. — 2. μήτε δικαιότερον vulg. — 3. ἐν ἅπασιν vulg. — λέγε δὴ vulg. Cf. p. 524, l. 15. — τὰς τοῦ : omis dans l'ancienne vulgate. — 7. ἀφῆκε S et L[1]. ἀφῆκε δι' ἐμέ vulg. — 8. τῇ πόλει λόγους ἐπαιρόμενος A. τῇ πόλει ἐπαιρόμενος λόγους S, L, vulg. Cobet propose προέμενος λόγους (en supprimant τῇ πόλει?). Le texte laisse à désirer. — 10. τὸ μέρος S et L. τὸ πέμπτον μέρος vulg. Cf. § 103. — 11. λαβε, pour λέγε, S et L[1] seuls, peut-être sous l'influence de ἔλαβεν. — 11. τὰ ἀποπεφευγότα, Sauppe. ἀποπεφευγότα S[1] seul. τὰ τότε μὲν ἀποπεφευγότα vulg. — 14. ὦ ἄνδρες vulg.

3. Ἐν πᾶσιν ἐμαυτὸν ἔταττον, je m'assignais à moi tous les postes, je m'imposais de remplir moi-même tous les postes.

8. Λόγους ἐπαιρόμενος équivaut, d'après Harpocration, à λ. ἐπανατεινόμενος, « levant d'une manière menaçante ». Cf. Euripide, *Iph. Taur.*, 1484 : Παύσω δὲ λόγχην ἣν ἐπαίρομαι ξένοις. Voy. *NC*.

10. Διώνδας. On le retrouvera, au paragraphe 249, parmi les adversaires politiques de Démosthène. — Τὸ μέρος. Voy. la note sur le paragraphe 103.

11-12. Τὰ ψηφίσματα. L'ensemble de ce passage tend à prouver qu'il ne s'agit que d'un seul décret. Si l'orateur se sert du pluriel, c'est qu'Hypéride ajouta peut-être une clause additionnelle à la proposition de Démomélès. On trouve des exemples de décrets complémentaires dans le *Corp. Inscr. gr.*, n[os] 84, 87, 92, 106. [Westermann.] — Τὰ ἀποπεφευγότα, ὑπὸ τούτου δ' οὐδὲ γραφέντα, décrets qui furent acquittés (c'est-à-dire déclarés légaux) quand Diondas les poursuivit παρανόμων, mais contre lesquels Eschine n'avait pas même élevé de plainte judiciaire.

15. Ἀριστόνικος. Après la délivrance de l'Eubée et de Byzance. Cf. § 83.

χος, νῦν δὲ Κτησιφῶν γέγραφεν οὑτοσί. Καὶ ταῦτ' Αἰσχίνης οὔτ' ἐδίωξεν αὐτὸς οὔτε τῷ γραψαμένῳ συγκατηγόρησεν. Καίτοι τότε τὸν Δημομέλη τὸν ταῦτα γράφοντα καὶ τὸν Ὑπερείδην, εἴπερ ἀληθῆ μου νῦν κατηγορεῖ, μᾶλλον ἂν εἰκότως ἢ τόνδ' ἐδίωκεν. [224] Διὰ τί; ὅτι τῷδε μὲν ἔστ' ἀνενεγκεῖν ἐπ' ἐκείνους καὶ τὰς τῶν δικαστηρίων γνώσεις καὶ τὸ τοῦτον αὐτὸν ἐκείνων μὴ κατηγορηκέναι ταὐτὰ γραψάντων ἅπερ οὗτος νῦν, 303 καὶ τὸ τοὺς νόμους μηκέτ' ἐᾶν περὶ τῶν οὕτω πραχθέντων κατηγορεῖν, καὶ πόλλ' ἕτερα· τότε δ' αὐτὸ τὸ πρᾶγμ' ἂν ἐκρίνετ' ἐφ' αὑτοῦ, πρίν τι τούτων προλαβεῖν. [225] Ἀλλ' οὐκ ἦν, οἶμαι, τότε, ὃ νυνὶ ποιεῖ, ἐκ παλαιῶν χρόνων καὶ ψηφισμάτων πολλῶν ἐκλέξανθ', ἃ μήτε προῄδει μηδεὶς μήτ' ἂν ᾠήθη τήμερον ῥηθῆναι, διαβάλλειν, καὶ μετενεγκόντα τοὺς χρόνους καὶ προφάσεις ἀντὶ τῶν ἀληθῶν ψευδεῖς μεταθέντα τοῖς πεπραγμένοις δοκεῖν τι λέγειν. [226] Οὐκ ἦν τότε ταῦτα, ἀλλ' ἐπὶ τῆς ἀληθείας, ἐγγὺς τῶν ἔργων, ἔτι μεμνημένων ὑμῶν καὶ μόνον οὐκ ἐν ταῖς χερσὶν ἕκαστ' ἐχόντων, πάντες ἐγίγνοντ' ἂν οἱ λόγοι. Διόπερ τοὺς παρ' αὐτὰ τὰ πράγματ' ἐλέγχους φυγὼν νῦν ἥκει, ῥητόρων ἀγῶνα νομίζων, ὥς γ' ἐμοὶ δοκεῖ, καὶ οὐχὶ τῶν πεπολιτευμένων ἐξέτασιν ποιήσειν ὑμᾶς, καὶ λόγου κρίσιν, οὐχὶ τοῦ τῇ πόλει συμφέροντος ἔσεσθαι.

NC. 3. Variante : Δημομέλην. — 5. τῷδε S et L seuls. τῷ vulg. τούτῳ A. — 7. ταῦτα avant Reiske. — νυνί vulg. — 8. Peut-être ταχθέντων. — 9. Leçon vicieuse : ἀνεκρίνετο. — 10. τι τούτου S[1] seul. τούτων τι A. — προσλαβεῖν (σ pointé) S, L. — 11. ἃ vulg. — ποιεῖν S seul. — 15. ἐπὶ τῆς S et A. ἐπ' αὐτῆς vulg. — 16. ἐγγὺς S et A. ἐγγὺς οὔσης vulg. — 18. νῦν ὕστερον vulg. — 20. ὑμᾶς ὑπολαμβάνων vulg. — λόγων avant Bekker. — 21. οὐ vulg.

3-5. Δημομέλη. Fils de Démon et cousin de Démosthène. Cf. *Contre Aphobos*, I, § 11. A. Schæfer, I, p. 271. — Τόνδ(ε). Ctésiphon.

8. Τοὺς νόμους.... κατηγορεῖν. C'est le principe « ne bis in idem ». Cependant, il n'était applicable, dans ce cas, que par analogie. S'il y avait eu vraiment chose jugée, Démosthène aurait mis cet argument en avant et plaidé d'une tout autre manière.

9. Αὐτὸ τὸ πρᾶγμ(α).... πρίν τι τούτων προλαβεῖν, la cause eût été jugée en elle-même, sans avoir acquis d'avance un de ces points, c'est-à-dire un de ces antécédents, ces *prejugés* favorables. Cf. *Ambass.*, § 79.

11-13. Παλαιῶν χρόνων καὶ ψηφισμάτων πολλῶν. Ceci fait allusion à ce qu'Eschine avait dit (§ 58 sqq.) des négociations pour la paix de 346. Dissen l'a vu, et les paragraphes 227 sqq. prouvent que Démosthène avait remarqué cette partie du discours de son adversaire. — Μετενεγκόντα τοὺς χρόνους. Cf. *Ambass.*, § 236.

15-19. Ἐπὶ τῆς ἀληθείας.... τοὺς παρ' αὐτὰ τὰ πράγματ' ἐλέγχους. On a déjà vu ces arguments aux paragraphes 13 15, et 17. — Ῥητόρων ἀγῶνα νομίζων.... Cf. *Ambass.*, § 217.

[227] Εἶτα σοφίζεται, καί φησι προσήκειν, ἧς μὲν οἴκοθεν ἥκετ' ἔχοντες δόξης περὶ ἡμῶν ἀμελῆσαι, ὥσπερ δ', ὅταν οἰόμενοι περιεῖναι χρήματά τῳ λογίζησθε, ἂν καθαραὶ ὦσιν αἱ ψῆφοι καὶ μηδὲν περιῇ, συγχωρεῖτε, οὕτω καὶ νῦν τοῖς ἐκ τοῦ λόγου φαινομένοις προσθέσθαι. Θεάσασθε τοίνυν ὡς σαθρόν, ὡς ἔοικεν, ἔστι φύσει πᾶν ὅ τι ἂν μὴ δικαίως ᾖ πεπραγμένον. [228] Ἐκ γὰρ αὐτοῦ τοῦ σοφοῦ τούτου παραδείγματος ὡμολόγηκε νῦν γ' ἡμᾶς ὑπάρχειν ἐγνωσμένους ἐμὲ μὲν λέγειν ὑπὲρ τῆς πατρίδος, αὐτὸν δ' ὑπὲρ Φιλίππου· οὐ γὰρ ἂν μεταπείθειν
304 ὑμᾶς ἐζήτει μὴ τοιαύτης οὔσης τῆς ὑπαρχούσης ὑπολήψεως περὶ ἑκατέρου. [229] Καὶ μὴν ὅτι γ' οὐ δίκαια λέγει μεταθέσθαι ταύτην τὴν δόξαν ἀξιῶν, ἐγὼ διδάξω ῥᾳδίως, οὐ τιθεὶς ψήφους (οὐ γάρ ἐστιν ὁ τῶν πραγμάτων οὗτος λογισμός), ἀλλ'

NC. 3. λογίζεσθε S[1]. — ἂν S, A. κἂν L et vulg. — καθαραὶ ὦσιν vulg. καθαιρωσιν S[1] seul. καθαιρῶσιν Vœmel : leçon obscure. On comprendrait : ἂν αἱρῶσιν (« si evincant ») αἱ ψῆφοι μηδὲν περιεῖναι. Rauchenstein : καθαιρεθῶσιν, conjecture excellente, s'il y avait un exemple de ce verbe employé dans le sens de ἀναιρεῖν ou ἀνταναιρεῖν. Herwerden : ἀνταιρεθῶσιν. — 8. νῦν γ' ἡμᾶς S et L. νυνὶ ὑμᾶς vulg. La conjecture de Cobet : ἐγνωκότας καὶ πεπεισμένους, a pour point de départ la leçon ὑμᾶς.— 12. τὴν, après ταύτην, avait été omis par S[1]. — ἀξιῶν ὑμᾶς vulg.

1. Σοφίζεται, καὶ φησί. Eschine assure que Démosthène fut, dans le temps, le promoteur le plus actif de la paix, dite de Philocrate, et qu'il aida Philippe à obtenir des conditions avantageuses. Mais, comme le même Démosthène passe pour avoir toujours été un ardent adversaire de Philippe, Eschine prie les juges de ne pas se laisser entraîner par des opinions préconçues. Dans les affaires d'argent, dit-il (§ 59), aucune prévention ne tient contre les chiffres établis par le calcul : la trahison de Démosthène peut être démontrée par des pièces de conviction aussi irréfutables que des chiffres. Εἰ δέ τισιν ὑμῶν ἐξαίφνης ἀκούσασιν ἀπιστότερος προσπέπτωκεν ὁ τοιοῦτος λόγος, ἐκείνως τὴν ὑπόλοιπον ποιήσασθ' ἀκρόασιν, ὥσπερ ὅταν περὶ χρημάτων ἀνηλωμένων διὰ πολλοῦ χρόνου καθεζώμεθα. Ἐρχόμεθα δή που ψευδεῖς οἴκοθεν ἐνίοτε δόξας ἔχοντες, ἀλλ' ὅμως, ἐπειδὰν ὁ λογισμὸς συγκεφαλαιωθῇ, οὐδεὶς ὑμῶν ἐστιν οὕτω δύσκολος τὴν φύσιν, ὅστις οὐκ ἀπέρχεται τοῦθ' ὁμολογήσας καὶ ἐπινεύσας ἀληθὲς εἶναι, ὅ τι ἂν αὐτὸς ὁ λογισμὸς αἱρῇ. Οὕτω καὶ νῦν τὴν ἀκρόασιν ποιήσασθε. Eschine voulait prouver qu'à un certain moment Démosthène avait été gagné par Philippe; Démosthène lui répond comme s'il avait voulu le faire passer, d'une manière générale, pour partisan du roi de Macédoine; et, grâce à cet artifice, il a beau jeu pour accabler son adversaire.

2-4. Ὅταν οἰόμενοι .... μηδὲν περιῇ, συγχωρεῖτε. Voici le cas supposé. Vous croyez qu'il reste de l'argent à un fonctionnaire du trésor, qu'il en a reçu plus qu'il n'en a dépensé et rendu ; vous faites le calcul; s'il se trouve que le compte est apuré et qu'il n'y a pas de solde, vous vous rendez à l'évidence. Ψῆφοι désigne les jetons (*calculi*) dont on se servait pour calculer. Malheureusement la locution καθαραί εἰσιν αἱ ψῆφοι ne se trouve pas ailleurs. Cf. *NC*.

8. Νῦν γ' ἡμᾶς ὑπάρχειν ἐγνωσμένους, que, aujourd'hui, il est bien établi, quant à nous deux, par l'opinion publique.

13. Οὐ γάρ ἐστιν ὁ τῶν πραγμάτων

ἀναμιμνήσκων ἕκαστ' ἐν βραχέσι, λογισταῖς ἅμα καὶ μάρτυσι τοῖς ἀκούουσιν ὑμῖν χρώμενος. Ἡ γὰρ ἐμὴ πολιτεία, ἧς οὗτος κατηγορεῖ, ἀντὶ μὲν τοῦ Θηβαίους μετὰ Φιλίππου συνεμβαλεῖν εἰς τὴν χώραν, ὃ πάντες ᾤοντο, [230] μεθ' ἡμῶν παραταξαμένους ἐκεῖνον κωλύειν ἐποίησεν· ἀντὶ δὲ τοῦ ἐν τῇ Ἀττικῇ τὸν πόλεμον εἶναι, ἑπτακόσια στάδι' ἀπὸ τῆς πόλεως ἐπὶ τοῖς Βοιωτῶν ὁρίοις γενέσθαι· ἀντὶ δὲ τοῦ τοὺς λῃστὰς ἡμᾶς φέρειν καὶ ἄγειν ἐκ τῆς Εὐβοίας, ἐν εἰρήνῃ τὴν Ἀττικὴν ἐκ θαλάττης εἶναι πάντα τὸν πόλεμον· ἀντὶ δὲ τοῦ τὸν Ἑλλήσποντον ἔχειν Φίλιππον λαβόντα Βυζάντιον, συμπολεμεῖν τοὺς Βυζαντίους μεθ' ἡμῶν πρὸς ἐκεῖνον. [231] Ἆρά σοι ψήφοις ὅμοιος ὁ τῶν ἔργων λογισμὸς φαίνεται; ἢ δεῖν ἀντανελεῖν ταῦτα, ἀλλ' οὐχ ὅπως τὸν ἅπαντα χρόνον μνημονευθήσεται σκέψασθαι; Καὶ οὐκέτι προστίθημι ὅτι τῆς μὲν ὠμότητος, ἣν ἐν οἷς καθάπαξ τινῶν κύριος κατέστη Φίλιππος ἔστιν ἰδεῖν, ἑτέροις πειραθῆναι συνέβη, τῆς δὲ φιλανθρωπίας, ἣν τὰ λοιπὰ τῶν πραγμάτων ἐκεῖνος περιβαλλόμενος ἐπλάττετο, ὑμεῖς καλῶς ποιοῦντες τοὺς καρποὺς κεκόμισθε. Ἀλλ' ἐῶ ταῦτα.

NC. 4. ᾤοντο ἔσεσθαι vulg. — συμπαραταξαμένους A. — 17. ἐπλάττετο S et L[1] seuls. πρὸς ὑμᾶς ἐπλάττετο vulg.

οὗτος λογισμός, car ce n'est pas ainsi (par le calcul des jetons) que se vérifient les actes politiques.

1. Λογισταῖς, vérificateurs. Cf. § 117; *Amb.*, § 211.

5. Κωλύειν : sous-ent. ἐμβαλεῖν εἰς τὴν χώραν.

8. Ἐκ τῆς Εὐβοίας. Grâce à la politique de Démosthène, l'Eubée avait été arrachée à l'influence et à la domination macédoniennes. Cf. §§ 79 et 87.

10. Βυζάντιον. Cf. §§ 80 et 88.

12. Ἀντανελεῖν ταῦτα, balancer ces choses (les effets de ma politique contre ceux qu'aurait eus la tienne), comme on balance un compte, en ôtant les jetons (en retranchant les chiffres) équivalents du débit et du crédit. [G. H. Schæfer.] Ἀντανελεῖν est amené par la préposition ἀντί, qu'on a vue, aux lignes 3-9, répétée en tête de quatre membres de phrase. Les mots se suivent; mais la comparaison est quelque peu forcée. L'orateur a raison (il ne l'a que trop) de déclarer qu'une balance pareille serait absurde. Elle a si peu de sens, qu'on ne voit pas comment elle pourrait venir à l'esprit de personne.

13-14. Καὶ οὐκέτι προστίθημι, et je m'arrête là, sans faire entrer en ligne de compte.

14-17. Ἐν οἷς.... κατέστη Φίλιππος, là où d'un seul coup il devint le maître d'un peuple (comme dans la Chalcidique ou dans la Phocide). Ce n'est pas à ce point qu'Athènes se trouva au pouvoir de Philippe après Chéronée (et Démosthène laisse entendre qu'il pourrait se faire un mérite de cette situation); et, comme le roi cherchait à s'emparer de ce qui lui manquait encore pour dominer complétement (τὰ λοιπὰ τῶν πραγμάτων περιβαλλόμενος), il feignait de l'humanité. Quant à περιβαλλόμενος, cf. *Phil.* I, § 9 : Ἀεί τι προσπεριβάλλεται.

17. Καλῶς ποιοῦντες, et cela était très-

[232] Καὶ μὴν οὐδὲ τοῦτ' εἰπεῖν ὀκνήσω, ὅτι ὁ τὸν ῥήτορα βουλόμενος δικαίως ἐξετάζειν καὶ μὴ συκοφαντεῖν, οὐκ ἂν οἷα
305 σὺ νῦν ἔλεγες, τοιαῦτα κατηγόρει, παραδείγματα πλάττων καὶ ῥήματα καὶ σχήματα μιμούμενος (πάνυ γὰρ παρὰ τοῦτο, οὐχ ὁρᾷς; γέγονεν τὰ τῶν Ἑλλήνων, εἰ τουτὶ τὸ ῥῆμα, ἀλλὰ μὴ τουτὶ διελέχθην ἐγὼ, ἢ δευρὶ τὴν χεῖρα, ἀλλὰ μὴ δευρὶ παρήνεγκα), [233] ἀλλ' ἐπ' αὐτῶν τῶν ἔργων ἂν ἐσκόπει τίνας εἶχεν ἀφορμὰς ἡ πόλις καὶ τίνας δυνάμεις, ὅτ' εἰς τὰ πράγματ' εἰσῄειν, καὶ τίνας συνήγαγον αὐτῇ μετὰ ταῦτ' ἐπιστὰς ἐγὼ, καὶ πῶς εἶχεν τὰ τῶν ἐναντίων. Εἶτ' εἰ μὲν ἐλάττους ἐποίησα τὰς δυνάμεις, παρ' ἐμοὶ τἀδίκημ' ἂν ἐδείκνυεν ὄν, εἰ δὲ πολλῷ μείζους, οὐκ ἂν ἐσυκοφάντει. Ἐπειδὴ δὲ σὺ τοῦτο πέφευγας, ἐγὼ ποιήσω· καὶ σκοπεῖτ' εἰ δικαίως χρήσομαι τῷ λόγῳ.

[234] Δύναμιν μὲν τοίνυν εἶχεν ἡ πόλις τοὺς νησιώτας, οὐχ ἅπαντας, ἀλλὰ τοὺς ἀσθενεστάτους· οὔτε γὰρ Χίος οὔτε Ῥόδος οὔτε Κέρκυρα μεθ' ἡμῶν ἦν· χρημάτων δὲ σύνταξιν εἰς πέντε καὶ τετταράκοντα τάλαντα, καὶ ταῦτ' ἦν προεξειλεγμένα· ὁπλίτην δὲ, ἱππέα πλὴν τῶν οἰκείων οὐδένα. Ὃ δὲ πάντων καὶ

NC. 1. ταῦτ' S et L. — 5. Ἑλλήνων πράγματα vulg. — 10. εἶχεν S. — 11-12. Avant Reiske : ἐδείκνυες et ἐσυκοφάντεις. — 17. προεξηλεγμένα avant Reiske. — 18. ἢ ἱππέα A.

bien, on ne peut vous en blâmer. Cf. *Ol.* I, § 28 ; *Mid.*, § 212.

3-4. Παραδείγματα πλάττων. Comme la comparaison dont Démosthène vient de se moquer. — Ῥήματα καὶ σχήματα μιμούμενος. Au paragraphe 166 sq. de son discours, Eschine tourne en ridicule des tropes qu'il prête à Démosthène, et critique son action immodérée (ὅτε κύκλῳ περιδινῶν σεαυτὸν ἐπὶ τοῦ βήματος ἔλεγες....). Cf. *Harangues*, p. VIII, sq. — Πάνυ γὰρ παρὰ τοῦτο..., car c'est à cela, bien évidemment, que tenait le sort de la Grèce. Cf. *Lept.*, § 26 : Παρὰ.... δαπάνας, et *passim*. Cicéron rappelle ces mots dans l'*Orator*, ch. VIII, § 26 : « Itaque se « purgans jocatur Demosthenes : negat in « eo positas esse fortunas Græciæ, hoc an « illud verbum dixerit, huc an illuc manum « porrexerit. »

7. Ἐπ' αὐτῶν τῶν ἔργων, en s'attachant aux faits mêmes. Cf. § 294 : Ἐπ' ἀληθείας σκοπεῖσθαι; *Olynth.* II, § 1 : Ἐπὶ πολλῶν ἰδεῖν; et *passim*. Dans ces locutions, il s'agit toujours de la partie des objets examinés sur laquelle on fonde son jugement, et non d'un critérium pris en dehors de ces objets. Voy. la note sur le paragraphe 210.

14. Δύναμιν μέν.... L'empire maritime d'Athènes, fondé à la suite des guerres Médiques et détruit par la guerre du Péloponnèse, s'était reconstitué sur de nouvelles bases depuis l'an 378. On voit ici à quoi cette puissance avait été réduite par l'issue malheureuse (en 355) de la guerre contre les alliés rebelles, Chios, Rhodes, Cos, Byzance. — Ce morceau pouvait être autrement amené dans le projet de discours primitif. Dans ce qui précède (§§ 225 sqq.), l'orateur a accumulé toute une série de réponses à divers passages d'Eschine : la première seule se rattache assez étroitement au grand courant de l'argumentation. Il est évident qu'elles n'ont pu être préparées d'avance.

17. Προεξειλεγμένα. Les contributions

φοβερώτατον καὶ μάλισθ' ὑπὲρ τῶν ἐχθρῶν, οὗτοι παρεσκευάκεσαν τοὺς περιχώρους πάντας ἔχθρας ἢ φιλίας ἐγγυτέρω, Μεγαρέας, Θηβαίους, Εὐβοᾶς. [235] Τὰ μὲν τῆς πόλεως οὕτως ὑπῆρχεν ἔχοντα, καὶ οὐδεὶς ἂν ἔχοι παρὰ ταῦτ' εἰπεῖν ἄλλ' οὐδέν· τὰ δὲ τοῦ Φιλίππου, πρὸς ὃν ἦν ἡμῖν ὁ ἀγὼν σκέψασθε πῶς. Πρῶτον μὲν ἦρχε τῶν ἀκολουθούντων αὐτὸς αὐτοκράτωρ, ὃ τῶν εἰς τὸν πόλεμον μέγιστόν ἐστιν ἁπάντων· εἶθ' οὗτοι τὰ ὅπλ' εἶχον ἐν ταῖς χερσὶν ἀεί· ἔπειτα χρημάτων ηὐπόρει, καὶ ἔπραττεν ἃ δόξειεν αὐτῷ, οὐ προλέγων ἐν τοῖς ψηφίσμασιν, 306 οὐδ' ἐν τῷ φανερῷ βουλευόμενος, οὐδ' ὑπὸ τῶν συκοφαντούντων κρινόμενος, οὐδὲ γραφὰς φεύγων παρανόμων, οὐδ' ὑπεύθυνος ὢν οὐδενί, ἀλλ' ἁπλῶς αὐτὸς δεσπότης, ἡγεμών, κύριος πάντων. [236] Ἐγὼ δ' ὁ πρὸς τοῦτον ἀντιτεταγμένος (καὶ γὰρ τοῦτ' ἐξετάσαι δίκαιον) τίνος κύριος ἦν; οὐδενός· αὐτὸ γὰρ τὸ δημηγορεῖν πρῶτον, οὗ μόνου μετεῖχον ἐγώ, ἐξ ἴσου προυτίθεθ' ὑμεῖς τοῖς παρ' ἐκείνου μισθαρνοῦσιν καὶ ἐμοί, καὶ ὅσ' οὗτοι περιγένοιντ' ἐμοῦ (πολλὰ δ' ἐγίγνετο ταῦτα, δι' ἣν ἕκαστον τύχοι πρόφασιν), ταῦθ' ὑπὲρ τῶν ἐχθρῶν ἀπῆτε βεβουλευμένοι. [237] Ἀλλ' ὅμως ἐκ τοιούτων ἐλαττωμάτων ἐγὼ συμμάχους μὲν ὑμῖν ἐποίησα Εὐβοᾶς, Ἀχαιούς, Κορινθίους, Θηβαίους, Μεγαρέας, Λευκαδίους, Κερκυραίους, ἀφ' ὧν μύριοι μὲν καὶ πεντακισχίλιοι ξένοι, δισχίλιοι δ' ἱππεῖς ἄνευ τῶν πολιτικῶν δυνάμεων συνήχθησαν· χρημάτων δ' ὅσων ἐδυνήθην ἐγὼ πλείστων

NC. 1-2. παρεσκευάκεισαν S et vulg. — 3. Μεγαρεῖς et Εὐβοέας (ici et l. 20 et p. 532, l. 2) manuscrits. — 6-7. αὐτοκράτωρ ὤν, ὃ τῶν A. αὐτοκράτωρ τῶν ancienne vulgate. — 10-11. οὐδ' ὑπὸ.... κρινόμενος. Ces mots sont omis par S[1] seul, et suspectés par plusieurs éditeurs. — 15. οὐ μόνον vulg. — 15-16. προυτίθεσθ' S. — 17. ταῦτα S. τοιαῦτα L et vulg. — 19. ἐγὼ ἐλαττωμάτων avant Bekker. — 23. ὅσων.... πλείστων Westermann. ὅσην.... πλείστην Dobree. ὅσων.... πλείστην manuscrits.

avaient été levées d'avance, par anticipation.

5. Τὰ δὲ τοῦ Φιλίππου.... Cf. *Olynth.* I, 4; *Phil.* III, 48 sqq., où l'on trouve les traits épars de ce tableau de la situation de Philippe.

15. Πρῶτον, tout d'abord. Cette locution ne demande pas de « ensuite ». Le membre de phrase : καὶ ὅσ' οὗτοι énonce une conséquence, qui ne saurait être considérée comme un second point.

18. Ἀπῆτε βεβουλευμένοι. Cette périphrase indique que le mal était sans remède : l'assemblée du peuple une fois séparée, on ne pouvait la faire revenir sur sa décision.

22. Πολιτικῶν, composées de soldats citoyens.

συντέλειαν ἐποίησα. [238] Εἰ δὲ λέγεις ἢ τὰ πρὸς Θηβαίους δίκαι', Αἰσχίνη, ἢ τὰ πρὸς Βυζαντίους ἢ τὰ πρὸς Εὐβοᾶς, ἢ περὶ τῶν ἴσων νυνὶ διαλέγει, πρῶτον μὲν ἀγνοεῖς ὅτι καὶ πρότερον τῶν ὑπὲρ τῶν Ἑλλήνων ἐκείνων ἀγωνισαμένων τριήρων, τριακοσίων οὐσῶν τῶν πασῶν, τὰς διακοσίας ἡ πόλις παρέσχετο, καὶ οὐκ ἐλαττοῦσθαι νομίζουσα οὐδὲ κρίνουσα τοὺς ταῦτα συμβουλεύσαντας οὐδ' ἀγανακτοῦσ' ἐπὶ τούτοις ἑωρᾶτο (αἰσχρὸν γάρ), ἀλλὰ τοῖς θεοῖς ἔχουσα χάριν, εἰ κοινοῦ κινδύνου τοῖς Ἕλλησι περιστάντος αὐτὴ διπλάσια τῶν ἄλλων εἰς τὴν ἁπάντων σωτηρίαν παρέσχετο. [239] Εἶτα κενὰς χαρίζει
307 χάριτας τουτοισὶ συκοφαντῶν ἐμέ. Τί γὰρ νῦν λέγεις οἷ' ἐχρῆν πράττειν, ἀλλ' οὐ τότ' ὢν ἐν τῇ πόλει καὶ παρὼν ταῦτ' ἔγραφες, εἴπερ ἐνεδέχετο παρὰ τοὺς παρόντας καιρούς, ἐν οἷς οὐχ ὅσ' ἐβουλόμεθα, ἀλλ' ὅσα δοίη τὰ πράγματ' ἔδει δέχεσθαι. Ὁ γὰρ ἀντωνούμενος καὶ ταχὺ τοὺς παρ' ἡμῶν ἀπελαυνομένους προσδεξόμενος καὶ χρήματα προσθήσων ὑπῆρχεν ἕτοιμος.

[240] Ἀλλ' εἰ νῦν ἐπὶ τοῖς πεπραγμένοις κατηγορίας ἔχω, τί ἂν οἴεσθ', εἰ τότ' ἐμοῦ περὶ τούτων ἀκριβολογουμένου, ἀπῆλθον αἱ πόλεις καὶ προσέθεντο Φιλίππῳ, καὶ ἅμ' Εὐβοίας καὶ Θηβῶν καὶ Βυζαντίου κύριος κατέστη, τί ποιεῖν ἂν ἢ τί λέγειν

NC. 13. ἐνεδέχετο est peut-être la glose de ἐνῆν. — 14. ἐβουλόμεθ' (αἱρεῖσθαι)? — 18. εἰ τότ' S, A. εἴ ποτ' L et vulg. — περὶ τούτου S, L. — 18-20. οἴεσθε λέγειν, ou λέγειν οἴεσθε, vulg.

1-3. Εἰ δὲ λέγεις.... Eschine (§ 143) reproche à Démosthène de n'avoir fait supporter aux Thébains qu'un tiers des frais de la guerre, tout en leur accordant dans le commandement une part égale et même supérieure à celle d'Athènes. Il lui fait un crime (§ 91) d'avoir conclu un traité avec Chalcis sur le pied d'une entière égalité. A l'entendre, Démosthène aurait reçu de l'argent pour trahir les intérêts d'Athènes dans ces deux occasions. Sans accepter le rôle d'accusé, sans descendre à une justification proprement dite, Démosthène répond victorieusement; et cette réponse avait peut-être été écrite d'avance en prévision d'attaques encore plus étendues de l'adversaire. Car il est à remarquer qu'Eschine ne dit rien de Byzance. Cf. § 95, avec la note. — Τὰ δίκαι(α)..., les droits à faire valoir. — Τῶν ἴσων, l'égalité des charges.

4. Πρότερον. A Salamine. Quant au chiffre des vaisseaux, voy. la note sur *Symmories*, § 29.

10-11. Κενὰς.... χάριτας. En se montrant préoccupé des intérêts d'Athènes longtemps après l'événement, Eschine essaye de plaire au peuple (τουτοισί) par de vaines paroles.

12. Παρών : sous-ent. ἐν ταῖς ἐκκλησίαις.

14-16. Ὁ γὰρ ἀντωνούμενος.... προσδεξόμενος, l'enchérisseur qui nous faisait concurrence et qui allait recevoir à bras ouverts ceux que nos exigences nous auraient aliénés.

18-20. Τί ἂν οἴεσθ(ε) ... τί ποιεῖν. Cf. *Phil.* III, § 35, avec la note.

τοὺς ἀσεβεῖς ἀνθρώπους τουτουσί; [241] οὐχ ὡς ἐξεδόθησαν; οὐχ ὡς ἀπηλάθησαν βουλόμενοι μεθ' ὑμῶν εἶναι; Εἶτα « τοῦ « μὲν Ἑλλησπόντου διὰ Βυζαντίων ἐγκρατὴς καθέστηκε καὶ « τῆς σιτοπομπίας τῆς τῶν Ἑλλήνων κύριος, πόλεμος δ' ὅμο- « ρος καὶ βαρὺς εἰς τὴν Ἀττικὴν διὰ Θηβαίων κεκόμισται, « ἄπλους δ' ἡ θάλαττα ὑπὸ τῶν ἐκ τῆς Εὐβοίας ὁρμωμένων « λῃστῶν γέγονεν »· οὐκ ἂν ταῦτ' ἔλεγον, καὶ πολλά γε πρὸς τούτοις ἕτερα; [242] Πονηρὸν, ἄνδρες Ἀθηναῖοι, πονηρὸν ὁ συκοφάντης ἀεὶ καὶ πανταχόθεν βάσκανον καὶ φιλαίτιον· τοῦτο δὲ καὶ φύσει κίναδος τἀνθρώπιόν ἐστιν, οὐδὲν ἐξ ἀρχῆς ὑγιὲς πεποιηκὸς οὐδ' ἐλεύθερον, αὐτοτραγικὸς πίθηκος, ἀρουραῖος Οἰνόμαος, παράσημος ῥήτωρ. Τί γὰρ ἡ σὴ δεινότης εἰς ὄνησιν ἥκει τῇ πατρίδι; νῦν ἡμῖν λέγεις περὶ τῶν παρεληλυθότων; [243] ὥσπερ ἂν εἴ τις ἰατρὸς ἀσθενοῦσι μὲν τοῖς κάμνουσιν εἰσιὼν μὴ λέγοι μηδὲ δεικνύοι δι' ὧν ἀποφεύξονται τὴν νόσον, 308
ἐπειδὴ δὲ τελευτήσειέ τις αὐτῶν καὶ τὰ νομιζόμεν' αὐτῷ

NC. 2. Le second οὐχ ὡς manque dans S[1] seul. — ὑμῶν S et L seuls. ἡμῶν vulg. — 3. καθέστηκε Φίλιππος L et S[2]. — 4. κύριος γέγονε vulg. — 6. ἐκ manque dans S et L[1] seuls. — 11. ἐλευθέριον Halm. — 12-13. Cobet : τίνα γάρ.... ὄνησιν ἤνεγκε. Voy. la note explicative. — τῇ est ajouté à la marge de S par la première main. — περὶ. Variante : ὑπὲρ. — 15. δεικνύῃ S.

4-7. Τῆς σιτοπομπίας. Cf. la note sur le paragraphe 87. — Ἐκ τῆς Εὐβοίας.... λῃστῶν. Cf. § 230.

10-12. Κίναδος. Les deux orateurs se renvoient cette injure. Voy. Eschine, § 167. — Αὐτοτραγικὸς πίθηκος, singe qui n'est que gravité et que solennité, c'est-à-dire qui s'en donne les airs. Démosthène veut dire, je crois, que la dignité solennelle d'Eschine, sa vertueuse indignation, son onction en parlant des choses sacrées, ne sont que pure grimace. D'après les grammairiens grecs, τραγικὸς πίθηκος est une locution proverbiale, ἐπὶ τῶν παρ' ἀξίαν σεμνυνομένων. Harpocration dit : Ἔοικε λέγειν τοῦτο ὁ ῥήτωρ, ὡς καὶ περὶ τὴν ὑπόκρισιν ἀτυχοῦντος τοῦ Αἰσχίνου καὶ μιμουμένου μᾶλλον τραγῳδοὺς ἢ τραγῳδεῖν δυναμένου. — Ἀρουραῖος Οἰνόμαος, OEnomaos de village, hué dans les bourgs de l'Attique, aux Dionysiaques rurales. Cf. § 180. Westermann soupçonne une allusion à ce qui sera raconté au paragraphe 262. — Παράσημος, de mauvais aloi. Harpocration : Ἐκ μεταφορᾶς εἴρηται ἀπὸ τῶν νομισμάτων, ἃ καλοῦσι παράσημα, ἤτοι ὅτι ὑποχαράττεται ὑπὸ τῶν ἀργυραμοιβῶν σημείῳ τινὶ ὃ τὴν φαυλότητα δηλοῖ, ἢ ἐπειδὴ παρατετύπωται καὶ παρακεχάρακται.

12-13. Εἰς ὄνησιν ἥκει est dit d'après l'analogie de εἰς καιρὸν ἥκει. « Ton talent est-il venu en temps opportun pour être utile en quoi que ce soit à la patrie? »

14. Ἀσθενοῦσι μὲν τοῖς κάμνουσιν. Ce dernier participe joue le rôle d'un substantif, et désigne les malades, les clients d'un médecin. Eschine, § 225, dans un passage évidemment ajouté après l'audience, dit, en mentionnant cette comparaison de Démosthène : Ὅστις τῷ νοσοῦντι μεταξὺ μὲν ἀσθενοῦντι μηδὲν συμβουλεύοι.

16. Τὰ νομιζόμεν(α), *justa*. Les mots suivants, φέροιτο, μνῆμα, indiquent que l'orateur entend moins l'enterrement que

φέροιτο, ἀκολουθῶν ἐπὶ τὸ μνῆμα διεξίοι « εἰ τὸ καὶ τὸ ἐποίησεν « ἄνθρωπος οὑτοσὶ, οὐκ ἂν ἀπέθανεν. » Ἐμβρόντητ᾽, εἶτα νῦν λέγεις;

[244] Οὐ τοίνυν οὐδὲ τὴν ἧτταν, εἰ ταύτῃ γαυριᾷς ἐφ᾽ ᾗ στένειν σ᾽, ὦ κατάρατε, προσῆκεν, ἐν οὐδενὶ τῶν παρ᾽ ἐμοὶ γεγονυῖαν εὑρήσετε τῇ πόλει. Οὑτωσὶ δὲ λογίζεσθε. Οὐδαμοῦ πώποθ᾽, ὅποι πρεσβευτὴς ἐπέμφθην ὑφ᾽ ὑμῶν ἐγὼ, ἡττηθεὶς ἀπῆλθον τῶν παρὰ Φιλίππου πρέσβεων, οὐκ ἐκ Θετταλίας οὐδ᾽ ἐξ Ἀμβρακίας, οὐκ ἐξ Ἰλλυριῶν οὐδὲ παρὰ τῶν Θρᾳκῶν βασιλέων, οὐκ ἐκ Βυζαντίου, οὐκ ἄλλοθεν οὐδαμόθεν, οὐ τὰ τελευταῖ᾽ ἐκ Θηβῶν, ἀλλ᾽ ἐν οἷς κρατηθεῖεν οἱ πρέσβεις αὐτοῦ τῷ λόγῳ, ταῦτα τοῖς ὅπλοις ἐπιὼν κατεστρέφετο. [245] Ταῦτ᾽ οὖν ἀπαιτεῖς παρ᾽ ἐμοῦ, καὶ οὐκ αἰσχύνει τὸν αὐτὸν εἴς τε μαλακίαν σκώπτων καὶ τῆς Φιλίππου δυνάμεως ἀξιῶν ἕν᾽ ὄντα κρείττω γενέσθαι; καὶ ταῦτα τοῖς λόγοις; Τίνος γὰρ ἄλλου κύριος ἦν ἐγώ; οὐ γὰρ τῆς γ᾽ ἑκάστου ψυχῆς, οὐδὲ τῆς τύχης τῶν παραταξαμένων, οὐδὲ τῆς στρατηγίας, ἧς ἔμ᾽ ἀπαιτεῖς εὐθύνας· οὕτω σκαιὸς εἶ. [246] Ἀλλὰ μὴν ὧν γ᾽ ἂν ὁ ῥήτωρ ὑπεύθυνος εἴη, πᾶσαν ἐξέτασιν λαμβάνετε· οὐ παραιτοῦμαι. Τίν᾽ οὖν ἐστι ταῦτα; ἰδεῖν τὰ πράγματ᾽ ἀρχόμενα καὶ προαισθέσθαι καὶ προειπεῖν τοῖς ἄλλοις. Ταῦτα πέπρακταί μοι. Καὶ

NC. 1. φαίνοιτο, pour φέροιτο, S. — 7. ὅπου vulg. — 9. οὐδ᾽.... οὐδὲ. Variante : οὐκ.... οὐ. — 10-11. τὰ τελευταῖα S et L[1] seuls. τὰ τελευταῖα πρώην, ou τ. τ. νῦν vulg. — 19. λαμβάνετε S et L seuls. λάμβανε vulg.

les sacrifices d'usage qui s'offraient plus tard sur les tombeaux et qui répondent à notre service de quarantal. Eschine, *l. c.*, dit τὰ ἔνατα, « les cérémonies du neuvième jour après la mort. »

2. Ἐμβρόντητ(ε). Cette brusque apostrophe s'adresse au médecin, et ne porte qu'indirectement sur Eschine. Celui-ci répond (*l. c.*) : « Tu flattais le peuple, tu accusais les hommes sensés de trahison, et tu demandes maintenant à ceux que tes violences empêchèrent alors de parler, pourquoi ils t'ont laissé perdre la république! »

4-6. Εἰ ταύτῃ γαυριᾷς. Mot méchant. — Ἐν οὐδενὶ τῶν παρ᾽ ἐμοὶ γεγονυῖαν, qu'elle n'a tenu à rien de ce qui était en mon pouvoir. Ἐν οὐδενί ne diffère guère de παρ᾽ οὐδέν. Cf. § 232 : Παρὰ τοῦτο.... γέγονε τὰ τῶν Ἑλλήνων. Thucydide, II, 61 : Τὸν ἐμὸν λόγον ἐν τῷ ὑμετέρῳ ἀσθενεῖ τῆς γνώμης μὴ ὀρθὸν φαίνεσθαι,

11-12. Ἐν οἷς κρατηθεῖεν.... κατεστρέφετο. Cf. *Phil.* IV, § 2-3. Mais là l'orateur ajoute : Εἰκότως οἶμαι τοὺς λόγους τὰ ἔργα παρέρχεται.

13. Μαλακίαν. Voy. la note sur le sobriquet de Βάταλος, § 180.

16. Ψυχῆς, vie.

19. Λαμβάνετε. Laissant là Eschine, Démosthène s'adresse au peuple et aux jurés pris dans son sein. Voy. *NC*.

ἔτι τὰς ἑκασταχοῦ βραδυτῆτας, ὄκνους, ἀγνοίας, φιλονεικίας, ἃ
πολιτικὰ ταῖς πόλεσι πρόσεστιν ἁπάσαις καὶ ἀναγκαῖ' ἁμαρτή- 309
ματα, ταῦθ' ὡς εἰς ἐλάχιστα συστεῖλαι, καὶ τοὐναντίον εἰς ὁμό-
νοιαν καὶ φιλίαν καὶ τοῦ τὰ δέοντα ποιεῖν ὁρμὴν προτρέψαι. Καὶ
ταῦτά μοι πάντα πεποίηται, καὶ οὐδεὶς μήποθ' εὕρῃ κατ' ἔμ'
οὐδὲν ἐλλειφθέν. [247] Εἰ τοίνυν τις ἔροιτ' ὁντινοῦν, τίσιν τὰ
πλεῖστα Φίλιππος ὧν κατέπραξε διῳκήσατο, πάντες ἂν εἴποιεν
τῷ στρατοπέδῳ καὶ τῷ διδόναι καὶ διαφθείρειν τοὺς ἐπὶ τῶν
πραγμάτων. Οὐκοῦν τῶν μὲν δυνάμεων οὔτε κύριος οὔθ' ἡγε-
μὼν ἦν ἐγώ, ὥστ' οὐδ' ὁ λόγος τῶν κατὰ ταῦτα πραχθέντων
πρὸς ἐμέ. Καὶ μὴν τὸ διαφθαρῆναι χρήμασιν ἢ μὴ κεκράτηκα
Φιλίππου· ὥσπερ γὰρ ὁ ὠνούμενος νενίκηκε τὸν λαβόντα [ἐὰν
πρίηται], οὕτως ὁ μὴ λαβὼν [καὶ διαφθαρεὶς] νενίκηκε τὸν
ὠνούμενον. Ὥστ' ἀήττητος ἡ πόλις τὸ κατ' ἐμέ.

[248] Ἃ μὲν τοίνυν ἐγὼ παρεσχόμην εἰς τὸ δικαίως τοιαῦτα γράφειν τοῦτον περὶ ἐμοῦ, πρὸς πολλοῖς ἑτέροις ταῦτα καὶ παραπλήσια τούτοις ἐστίν· ἃ δ' οἱ πάντες ὑμεῖς, ταῦτ' ἤδη λέξω. Μετὰ γὰρ τὴν μάχην εὐθὺς ὁ δῆμος, εἰδὼς καὶ ἑορακὼς

NC. 2. πηλίκα ταῖς A. — Faut-il transposer καὶ avant ταῖς πόλεσι, ou écrire ἅπερ οἰκεῖα? — 3. ἐλάχιστα S et L seuls. ἐλάχιστον vulg. — 4. τὴν, au-dessus de τοῦ, S, τὴν τοῦ L seuls. — 5. μήποτε ἀνθρώπων εὕροι τὸ κατ' ἐμὲ vulg. — 6. ὁντινοῦν ἔροιτο vulg. — τίσιν S. — 11. τῷ S et L[1] seuls. τῷ γε vulg. διαφθαρῆναι χρήμασιν ἢ μὴ S, L[1], A. μὴ διαφθαρῆναι χρήμασιν F. Avec δ. χρ. ἢ μή, l'accusatif τό m'a semblé indispensable. — 12. Φιλίππου L et vulg. Φίλιππον S. L'accusatif est admissible; cependant, il semble dû ici à l'influence de τὸν λαβόντα. — 12-13. J'écarte ἐὰν πρίηται et, avec Herwerden, καὶ διαφθαρείς, deux interpolations parallèles. καὶ S[1] et L[1] seuls. μηδὲ vulg. — τουτονὶ A. — 17. ὑμεῖς S et L[1] seuls. ὑμεῖς ἴστε (mauvaise glose) vulg.

2. Πολιτικὰ.... ἁμαρτήματα, des défauts inhérents au régime populaire. L'adjectif πολιτικά énonce nettement l'idée qui est aussi indiquée par πόλεσι : on dit à tort qu'il équivaut à οἰκεῖα. Cf. *NC*. Du reste l'orateur complète ici ce qu'il a dit aux paragraphes 235 sq. sur les inconvénients du régime démocratique.

5-6. Οὐδεὶς μήποθ' εὕρῃ.... οὐδέν. Cf. *Phil.* II, § 24 : Οὐδὲν μὴ δεινὸν πάθητε, et *passim*. Voy. Bailly, *Gr. gr.*, p. 327.

10-11. Οὐδ' ὁ λόγος.... πρὸς ἐμέ, la responsabilité de ce qui s'est fait à ce sujet ne me concerne pas non plus.

11. Τὸ διαφθαρῆναι χρήμασιν ἢ μή, pour ce qui est de céder ou de résister à la corruption.

12-13. Ὁ ὠνούμενος et τὸν ὠνούμενον, « l'acheteur, celui qui cherche à acheter, » comme plus haut (l. 8) τῷ διδόναι « en offrant des présents ». Cf. § 103 ; *Ambassade*, §§ 166 et 222 ; *Symmories*, § 26, et πείθειν « chercher à persuader » *Symm.*, § 11 ; *Rhodiens*, § 5 ; *Paix*, § 5. Voy. aussi λύωνται, *Timocrate*, § 23.

17. Ἃ δ' οἱ πάντες ὑμεῖς, en quoi vous avez, tous ensemble, contribué à justifier la motion de Ctésiphon.

πάνθ' ὅσ' ἔπραττον ἐγώ, ἐν αὐτοῖς τοῖς δεινοῖς καὶ φοβεροῖς ἐμβεβηκώς, ἡνίκ' οὐδ' ἀγνωμονῆσαί τι θαυμαστὸν ἦν τοὺς πολλοὺς πρὸς ἐμέ, πρῶτον μὲν περὶ σωτηρίας τῆς πόλεως τὰς ἐμὰς γνώμας ἐχειροτόνει, καὶ πάνθ' ὅσα τῆς φυλακῆς εἵνεκ' ἐπράττετο, ἡ διάταξις τῶν φυλάκων, αἱ τάφροι, τὰ εἰς τὰ
310 τείχη χρήματα, διὰ τῶν ἐμῶν ψηφισμάτων ἐγίγνετο· ἔπειθ' αἱρούμενος σιτώνην ἐκ πάντων ἔμ' ἐχειροτόνησεν ὁ δῆμος. [249] Καὶ μετὰ ταῦτα συστάντων οἷς ἦν ἐπιμελὲς κακῶς ἐμὲ ποιεῖν, καὶ γραφάς, εὐθύνας, εἰσαγγελίας, πάντα ταῦτ' ἐπαγόντων μοι, οὐ δι' ἑαυτῶν τό γε πρῶτον, ἀλλὰ δι' ὧν μάλισθ' ὑπελάμβανον ἀγνοήσεσθαι (ἴστε γὰρ δήπου καὶ μέμνησθ' ὅτι τοὺς πρώτους χρόνους κατὰ τὴν ἡμέραν ἑκάστην ἐκρινόμην ἐγώ, καὶ οὔτ' ἀπόνοια Σωσικλέους οὔτε συκοφαντία Φιλοκράτους οὔτε Διώνδου καὶ Μελάντου μανία οὔτ' ἄλλ' οὐδὲν ἀπείρατον ἦν τούτοις κατ' ἐμοῦ), ἐν τοίνυν τούτοις πᾶσι μάλιστα μὲν διὰ τοὺς θεούς, δεύτερον δὲ δι' ὑμᾶς καὶ τοὺς ἄλλους Ἀθηναίους ἐσῳζόμην. Δικαίως· τοῦτο γὰρ καὶ ἀληθές ἐστι καὶ ὑπὲρ τῶν ὀμωμοκότων καὶ γνόντων τὰ εὔορκα δικαστῶν. [250] Οὐ-

NC. 3. Après πόλεως, S² et L¹ insèrent βουλευόμενος. — 5. τῶν φυλακῶν S. — 9. ταῦτ' était suspect à Dobree. — 11. ἀγνοήσεσθαι S et L¹ seuls. ἀγνοηθήσεσθαι vulg. — 12. Variantes : καθ' ἑκάστην ἡμέραν, σχεδὸν κατὰ τὴν ἡμέραν ἑκάστην, etc. — 14. Μελάνου vulg. Μελανίου Reiske. — 16. τοὺς ἄλλους ἅπαντας F. — 18. καὶ ὑπὲρ τῶν τὰ εὔορκα γνόντων F.

4-6. Πάνθ' ὅσα.... ἐπράττετο. Le fait est qu'une partie de ces mesures était due à l'initiative d'Hypéride. Cet orateur, ainsi que Lycurgue, agirent alors de concert avec Démosthène. Voy. A. Schæfer, III, p. 6 sqq. — Αἱ τάφροι.... χρήματα. Il faut distinguer ces réparations tumultuaires des travaux qui se firent par la suite, après la conclusion de la paix, et qui donnèrent lieu à la motion de Ctésiphon. La crainte de voir marcher Philippe sur Athènes stimulait le zèle de tous les citoyens. Cf. Lycurgue, *Léocr.*, § 44 : Κατ' ἐκείνους τοὺς χρόνους οὐκ ἔστιν ἥτις ἡλικία οὐ παρέσχετο ἑαυτὴν εἰς τὴν πόλεως σωτηρίαν, ὅτε ἡ μὲν χώρα δένδρα συνεβάλλετο, οἱ δὲ τελευτηκότες τὰς θήκας, οἱ δὲ νεῲ τὰ ὅπλα· ἐπεμελοῦντο γὰρ οἱ μὲν τῆς τῶν τειχῶν κατασκευῆς, οἱ δὲ τῆς χαρακώσεως, οὐδεὶς δ' ἦν ἀργὸς ἐν τῇ πόλει. [Westermann.]

9. Γραφάς : sous-ent. παρανόμων. Cela résulte du paragraphe 250. — Εὐθύνας. Cf. *Ambass.*, § 223, et *passim*. — Εἰσαγγελίας. Cf. *ib.*, § 103.

13-14. Φιλοκράτους. Non le fameux Philocrate, qui vivait dans l'exil, mais Philocrate d'Éleusis, dont il est question dans *Timocr.*, § 44 sqq. [Westermann.] — Διώνδου. Il ne forma certainement pas une nouvelle γραφὴ παρανόμων : les lois le lui interdisaient après l'échec mentionné au paragraphe 222. Mais il a pu intenter à Démosthène un procès d'une autre espèce.

17-18. Τοῦτο.... ἀληθές ἐστι, mon acquittement est juste, conforme à la vérité des choses. Cf. τὴν ἀλήθειαν, p. 537, l. 9; Horace, *Ép.*, I, vii, 98 : « Metiri se quem-

κοῦν ἐν μὲν οἷς εἰσηγγελλόμην, ὅτ' ἀπεψηφίζεσθέ μου καὶ τὸ μέρος τῶν ψήφων τοῖς διώκουσιν οὐ μετεδίδοτε, τότ' ἐψηφίζεσθε τἄριστά με πράττειν· ἐν οἷς δὲ τὰς γραφὰς ἀπέφευγον, ἔννομα καὶ γράφειν καὶ λέγειν ἀπεδεικνύμην· ἐν οἷς δὲ τὰς εὐθύνας ἐπεσημαίνεσθε, δικαίως καὶ ἀδωροδοκήτως πάντα πεπρᾶχθαί μοι προσωμολογεῖτε. Τούτων οὖν οὕτως ἐχόντων τί προσῆκεν ἢ τί δίκαιον ἦν τοῖς ὑπ' ἐμοῦ πεπραγμένοις θέσθαι τὸν Κτησιφῶντ' ὄνομα, οὐχ ὃ τὸν δῆμον ἑώρα τιθέμενον, οὐχ ὃ τοὺς ὀμωμοκότας δικαστάς, οὐχ ὃ τὴν ἀλήθειαν παρὰ πᾶσι βεβαιοῦσαν;

[251] Ναί, φησίν, ἀλλὰ τὸ τοῦ Κεφάλου καλόν, τὸ μηδεμίαν γραφὴν φυγεῖν. Καὶ νὴ Δί' εὔδαιμόν γε. Ἀλλὰ τί μᾶλλον ὁ πολλάκις μὲν φυγών, μηδεπώποτε δ' ἐξελεγχθεὶς ἀδικῶν ἐν 311
ἐγκλήματι γίγνοιτ' ἂν διὰ τοῦτο δικαίως; Καίτοι πρός γε τοῦ-

NC. 1-2. τὸ μέρος S et L¹ seuls. τὸ πέμπτον μέρος vulg. — 6-7. προσῆκεν A. προσῆκον S, L, F. — 11. φεύγειν S, A.

« que suo modulo ac pede verum est. » En se servant du présent ἐστι, l'orateur confond le procès présent avec ceux d'autrefois. — Ὑπὲρ τῶν.... δικαστῶν, dans l'intérêt des juges, c'est-à-dire dans l'intérêt de leur conscience.

1-2. Ἐν μὲν οἷς. Cf. οἷς γὰρ εὐτυχήκεσαν, § 18, avec la note. — Τὸ μέρος. Cf. §§ 103 et 222.

5. Ἐπεσημαίνεσθε. Ce verbe se dit au propre du seing apposé par les magistrats contrôleurs (λογισταί) aux comptes qu'ils approuvaient. Cf. Bœckh, *Staatsh.*, I, p. 272.

8-9. Τὸν δῆμον. La plainte extraordinaire de la εἰσαγγελία était portée devant l'assemblée du peuple. — Τὴν ἀλήθειαν : la vérité constatée par les *logistes* et le tribunal qu'ils présidaient. Βεβαιοῦσαν se réfère à ἐπεσημαίνεσθε.

10. Τὸ τοῦ Κεφάλου, « Cephali illud », ce dont Céphalos pouvait se vanter. Cf. Eschine, § 194 : Ὁ Κέφαλος ὁ παλαιὸς ἐκεῖνος, ὁ δοκῶν δημοτικώτατος γεγονέναι.... ἐφιλοτιμεῖτο λέγων ὅτι πλεῖστα πάντων γεγραφὼς ψηφίσματα, οὐδεμίαν πώποτε γραφὴν πέφευγε παρανόμων, καλῶς, οἶμαι, σεμνυνόμενος. — Καλόν est attribut. L'interpolateur de p. 538, l. 1 s'y est trompé. — Ce passage a fourni aux rhéteurs grecs l'occasion d'une fiction ingénieuse. Sous le titre Νόμος καλοῦ βίου γέρας εἶναι, καὶ ἀμφισβητοῦσι πρὸς ἀλλήλους Κέφαλος καὶ Ἀριστοφῶν, Libanios a écrit deux déclamations récemment publiées par M. R. Fœrster dans *Hermès*, IX, p. 22 sqq. Nous croyons, avec M. Cobet (*Mnemosyne*, *Nov. Ser.*, III, p. 11 sqq.) qu'il n'y eut jamais de débat pareil dans la vieille Athènes et que la loi qui motive ce débat a été imaginée par le rhéteur du quatrième siècle. Nous pensons aussi que les mots ὁ παλαιὸς ἐκεῖνος servent, dans le discours d'Eschine, comme au paragraphe 191 de l'*Ambassade* de Démosthène, à distinguer un homme célèbre d'une autre génération d'un homonyme vivant. Mais il n'est pas impossible que Céphalos ait combattu le décret qui conféra à Aristophon l'immunité et d'autres honneurs (cf. *Lept.*, § 148). M. Cobet va trop loin en niant que ces deux hommes d'État aient été contemporains. Ils ont pris l'un et l'autre une part considérable au gouvernement d'Athènes dans les temps qui suivirent le rétablissement de la démocratie après la domination des Trente. Aussi le nom de Céphalos figure-t-il au paragraphe 219 entre ceux d'Aristophon et de Thrasybule. Mais Aristophon survécut à Céphalos et ne mourut qu'à un âge très-avancé. Voy. A. Schæfer, I, p. 122 sq. ; R. Fœrster, *Hermès*, X, p. 11 sqq. ; notre note sur le paragraphe 70.

τον, ἄνδρες Ἀθηναῖοι, καὶ τὸ τοῦ Κεφάλου [καλὸν] εἰπεῖν ἔστι μοι. Οὐδεμίαν γὰρ πώποτ' ἐγράψατό μ' οὐδ' ἐδίωξε γραφήν, ὥστ' ὑπὸ σοῦ γ' ὡμολόγημαι μηδὲν εἶναι τοῦ Κεφάλου χείρων πολίτης.

[252] Πανταχόθεν μὲν τοίνυν ἄν τις ἴδοι τὴν ἀγνωμοσύνην αὐτοῦ καὶ τὴν βασκανίαν, οὐχ ἥκιστα δ' ἀφ' ὧν περὶ τῆς τύχης διελέχθη. Ἐγὼ δ' ὅλως μέν, ὅστις ἄνθρωπος ὢν ἀνθρώπῳ τύχην προφέρει, ἀνόητον ἡγοῦμαι· ἣν γὰρ ὁ βέλτιστα πράττειν νομίζων καὶ ἀρίστην ἔχειν οἰόμενος οὐκ οἶδεν εἰ μενεῖ τοιαύτη μέχρι τῆς ἑσπέρας, πῶς χρὴ περὶ ταύτης λέγειν ἢ πῶς ὀνειδίζειν ἑτέρῳ; Ἐπειδὴ δ' οὗτος πρὸς πολλοῖς ἄλλοις καὶ περὶ τούτων ὑπερηφάνως χρῆται τῷ λόγῳ, σκέψασθ', ὦ ἄνδρες Ἀθηναῖοι, καὶ θεωρήσαθ' ὅσῳ καὶ ἀληθέστερον καὶ ἀνθρωπινώτερον ἐγὼ περὶ τῆς τύχης τούτου διαλεχθήσομαι. [253] Ἐγὼ τὴν τῆς πόλεως τύχην ἀγαθὴν ἡγοῦμαι, καὶ ταῦθ' ὁρῶ καὶ τὸν Δία τὸν Δωδωναῖον ὑμῖν μαντευόμενον, τὴν μέντοι τῶν πάντων ἀνθρώπων, ἣ νῦν ἐπέχει, χαλεπὴν καὶ δεινήν· τίς γὰρ Ἑλλήνων ἢ τίς βαρβάρων οὐ πολλῶν κακῶν ἐν τῷ παρόντι πεπείραται; [254] τὸ μὲν τοίνυν προελέσθαι τὰ κάλλιστα καὶ τὸ τῶν οἰηθέντων Ἑλλήνων, εἰ πρόοινθ' ἡμᾶς, ἐν εὐδαιμονίᾳ διάξειν αὐτῶν ἄμεινον πράττειν, τῆς ἀγαθῆς τύχης τῆς πόλεως εἶναι
312 τίθημι· τὸ δὲ προσκροῦσαι καὶ μὴ πάνθ' ὡς ἐβουλόμεθ' ἡμῖν συμβῆναι, τῆς τῶν ἄλλων ἀνθρώπων τύχης τὸ ἐπιβάλλον ἐφ'

NC. 1. [καλὸν] Herwerden. — 5. πολλαχόθεν vulg. — 8. παντελῶς ἀνόητον vulg. — βέλτιστα S[1]. τὰ βέλτιστα vulg. — 12. ὑπερηφάνῳ F. — χρῆται S et L. κέχρηται vulg. 14. τὴν μὲν vulg. — 15. τοῦθ' avant Bekker. — 16. Variante : ἡμῖν. Ensuite plusieurs manuscrits ajoutent : καὶ τὸν Ἀπόλλω τὸν Πύθιον. — 18. παρόντι καιρῷ avant Bekker. — 21. αὐτῶν (variante αὐτούς, à la marge) S. αὐτῶν ἐκείνων, ou τούτων αὐτῶν, vulg.

2. Ἐγράψατο, il intenta une plainte. — Ἐδίωξε, il y donna suite en me poursuivant en justice.

6-7. Περὶ τῆς τύχης διελέχθη. Cf. Eschine, §§ 114 et 157 sq.

8-10. Ἣν γάρ.... ἑσπέρας. On croit entendre Hérodote ou Sophocle. Démosthène s'entend merveilleusement aux mœurs oratoires. Cf. Sophocle, *OEd. Col.*, 567 : Ἔξοιδ' ἀνὴρ ὤν, χὤτι τῆς ἐς αὔριον ‖ οὐδὲν πλέον μοι σοῦ μέτεστιν ἡμέρας.

19-21. Τὸ τῶν οἰηθέντων.... αὐτῶν ἄμεινον πράττειν. Ceux-là mêmes qui pensaient qu'une neutralité égoïste serait avantageuse pour eux, s'en sont, suivant Démosthène, moins bien trouvés qu'Athènes. L'orateur l'a déjà dit aux paragraphes 64 sq.

23-1. Τῆς τῶν ἄλλων.... νομίζω τὴν πόλιν, je crois qu'en cela la ville n'a eu que la part qui nous revenait de l'infortune générale. La virgule que nous avons mise

ἡμᾶς μέρος μετειληφέναι νομίζω τὴν πόλιν. [255] Τὴν δ' ἰδίαν τύχην τὴν ἐμὴν καὶ τὴν ἑνὸς ἡμῶν ἑκάστου ἐν τοῖς ἰδίοις ἐξετάζειν δίκαιον εἶναι νομίζω. Ἐγὼ μὲν οὑτωσὶ περὶ τῆς τύχης ἀξιῶ, ὀρθῶς καὶ δικαίως, ὡς ἐμαυτῷ δοκῶ, νομίζω δὲ καὶ ὑμῖν· ὁ δὲ τὴν ἰδίαν τύχην τὴν ἐμὴν τῆς κοινῆς τῆς πόλεως κυριωτέραν εἶναί φησι, τὴν μικρὰν καὶ φαύλην τῆς ἀγαθῆς καὶ μεγάλης. Καὶ πῶς ἔνι τοῦτο γενέσθαι;

[256] Καὶ μὴν εἴ γε τὴν ἐμὴν τύχην πάντως ἐξετάζειν, Αἰσχίνη, προαιρεῖ, πρὸς τὴν σεαυτοῦ σκόπει, κἂν εὕρῃς τὴν ἐμὴν βελτίω τῆς σῆς, παῦσαι λοιδορούμενος αὐτῇ. Σκόπει τοίνυν εὐθὺς ἐξ ἀρχῆς. Καί μου πρὸς Διὸς μηδεμίαν ψυχρότητα καταγνῷ μηδείς. Ἐγὼ γὰρ οὔτ' εἴ τις πενίαν προπηλακίζει, νοῦν ἔχειν ἡγοῦμαι, οὔτ' εἴ τις ἐν ἀφθόνοις τραφεὶς ἐπὶ τούτῳ σεμνύνεται· ἀλλ' ὑπὸ τῆς τουτουὶ τοῦ χαλεποῦ βλασφημίας καὶ συκοφαντίας εἰς τοιούτους λόγους ἐμπίπτειν ἀναγκάζομαι, οἷς ἐκ τῶν ἐνόντων ὡς ἂν δύνωμαι μετριώτατα χρήσομαι.

[257] Ἐμοὶ μὲν τοίνυν ὑπῆρξεν, Αἰσχίνη, παιδὶ μὲν ὄντι φοιτᾶν εἰς τὰ προσήκοντα διδασκαλεῖα, καὶ ἔχειν ὅσα χρὴ τὸν μηδὲν αἰσχρὸν ποιήσοντα δι' ἔνδειαν, ἐξελθόντι δ' ἐκ παίδων ἀκόλουθα τούτοις πράττειν, χορηγεῖν, τριηραρχεῖν, εἰσφέρειν, μηδεμιᾶς φιλοτιμίας μήτ' ἰδίας μήτε δημοσίας ἀπολείπεσθαι,

NC. 1. μέρος, avant μετειληφέναι, est omis dans A. — 3. μὲν οὖν vulg. — 4. ἀξιῶ S et A. ἐξετάζειν ἀξιῶ L et vulg. — 5. ὑμῖν συνδοκεῖν vulg. — 11. πρὸς Διὸς L et S[1] seuls. πρὸς Διὸς καὶ θεῶν vulg. — 12-13. προπηλακιζειν ου ἔχειν S[1]. — 16. μετριώτητα S. — 17-18. μὲν ὄντι φοιτᾶν εἰς. Ces mots omis (par erreur, suivant nous) dans le texte de S et L, s'y trouvent ajoutés en marge par une main ancienne. Vœmel et Westermann les suppriment.

après συμβῆναι, comme après πράττειν, doit indiquer un repos de voix, non une division grammaticale.

3-5. Οὑτωσὶ.... ἀξιῶ, j'en juge ainsi. — Νομίζω.... ὑμῖν, et je crois que j'ai aussi raison à vos yeux.

7. Καὶ πῶς ἔνι τοῦτο γενέσθαι : le raisonnement est plausible. Mais Eschine avait pour lui les vieilles croyances populaires et les vers d'Hésiode, qu'il cite au paragraphe 135 : Πολλάκι δὴ ξύμπασα πόλις κακοῦ ἀνδρὸς ἀπηύρα, ‖ Ὅς κεν ἀλιτραίνῃ καὶ ἀτάσθαλα μητιάαται κτλ.

9. Πρὸς τὴν σεαυτοῦ σκόπει (sous-ent. αὐτήν), examine-la en regard de la tienne.

10-11. Σκόπει.... ἐξ ἀρχῆς. Le morceau annoncé par ces mots ne viendra qu'au paragraphe 257, l'orateur sentant le besoin de le faire précéder d'une excuse (προδιόρθωσις).

11. Ψυχρότητα, mauvais ton.

20-21. Χορηγεῖν, τριηραρχεῖν, εἰσφέρειν. Cf. *Mid.*, § 154 sqq. — Φιλοτιμίας.... ἰδίας. Cf. § 268.

ἀλλὰ καὶ τῇ πόλει καὶ τοῖς φίλοις χρήσιμον εἶναι, ἐπειδὴ δὲ
313 πρὸς τὰ κοινὰ προσελθεῖν ἔδοξέ μοι, τοιαῦτα πολιτεύμαθ' ἑλέσθαι ὥστε καὶ ὑπὸ τῆς πατρίδος καὶ ὑπ' ἄλλων Ἑλλήνων πολλῶν πολλάκις ἐστεφανῶσθαι, καὶ μηδὲ τοὺς ἐχθροὺς ὑμᾶς, ὡς οὐ καλά γ' ἦν ἃ προειλόμην, ἐπιχειρεῖν λέγειν. [258] Ἐγὼ μὲν δὴ τοιαύτῃ συμβεβίωκα τύχῃ, καὶ πόλλ' ἂν ἔχων ἕτερ' εἰπεῖν περὶ αὐτῆς παραλείπω, φυλαττόμενος τὸ λυπῆσαί τιν' ἐν οἷς σεμνύνομαι. Σὺ δ', ὁ σεμνὸς ἀνὴρ καὶ διαπτύων τοὺς ἄλλους, σκόπει πρὸς ταύτην ποίᾳ τινὶ κέχρησαι τύχῃ, δι' ἣν παῖς μὲν ὢν μετὰ πολλῆς τῆς ἐνδείας ἐτράφης, ἅμα τῷ πατρὶ πρὸς τῷ διδασκαλείῳ προσεδρεύων, τὸ μέλαν τρίβων καὶ τὰ βάθρα σπογγίζων καὶ τὸ παιδαγωγεῖον κορῶν, οἰκέτου τάξιν, οὐκ ἐλευθέρου παιδὸς ἔχων, [259] ἀνὴρ δὲ γενόμενος τῇ μητρὶ τελούσῃ τὰς βίβλους ἀνεγίγνωσκες καὶ τἄλλα συνεσκευωροῦ, τὴν μὲν νύκτα νεβρίζων καὶ κρατηρίζων καὶ καθαίρων τοὺς τελουμένους καὶ ἀπομάττων τῷ πηλῷ καὶ τοῖς πιτύροις, καὶ ἀνιστὰς ἀπὸ τοῦ καθαρμοῦ κελεύων λέγειν « ἔφυγον κακόν, εὗρον « ἄμεινον », ἐπὶ τῷ μηδένα πώποτε τηλικοῦτ' ὀλολύξαι σεμνυνόμενος (καὶ ἔγωγε νομίζω· μὴ γὰρ οἴεσθ' αὐτὸν φθέγγεσθαι

NC. 2. Variante : προσῆλθον, ἔδοξέ μοι τοιαῦτα.... — 3-4. ὑπ' ἄλλων Ἑλλήνων πολλῶν S et L seuls. ὑπὸ τῶν ἄλλων Ἑλλήνων vulg. Dobree voulait : ὑπ' ἄλλων πολλῶν. — 5. ὡς οὐκ ἀλλαγῆναι προειλόμην S. — 8. σεμνός vulg., et les rhéteurs qui citent ce passage. σεμνυνόμενος (erreur due à l'influence de σεμνύνομαι) S et L seuls. — 10. πολλῆς τῆς L seul. πολλῆς τὴν (ce mot pointé) S seul. πολλῆς vulg. — 16-17. Variante vicieuse : ἀναστὰς. — 17. καὶ κελεύων L, F. — 18. τηλικοῦτον vulg.

4. Τοὺς ἐχθροὺς ὑμᾶς. Eschine et ceux qui l'assistent.

8. Ἐν οἷς σεμνύνομαι. Cf. § 260 : Ἐν μὲν οἷς εἰσηγγελλόμην.

11. Πρὸς τῷ διδασκαλείῳ. Cf. § 129. — Τὸ μέλαν τρίβων. Comme on broie l'encre de Chine.

13-14. Τῇ μητρὶ τελούσῃ τὰς βίβλους ἀνεγίγνωσκες. C'est ce que Démosthène a déjà dit, *Ambass.*, § 199. Ici il se plaît à réunir les pratiques d'une superstition étrangère et méprisée dans un tableau digne d'un poëte comique, et que Plutarque (*Symp. Probl.*, IV, vi, 2) a rapproché des peintures de Ménandre.

15-16. Νεβρίζων, revêtant d'une peau de biche : costume des sectateurs de Bacchus. Voy. Euripide, *Bacch.*, 23 : Πρώτας δὲ Θήβας τῆσδε γῆς Ἑλληνίδος | ἀνωλόλυξα, νεβρίδ' ἐξάψας χροός. — Κρατηρίζων, initiant au cratère mystique. Un poëme Orphique, attribué à Zopyre, portait le titre de Κρατῆρες. — Ἀπομάττων équivaut à ἀποψῶν καὶ λυμαινόμενος. [Harpocration.]

16-17. Ἀνιστὰς ἀπὸ τοῦ καθαρμοῦ, en les faisant lever de la place où ils étaient assis pendant la lustration.

19-1. Φθέγγεσθαι μὲν οὕτω μέγα. Démosthène vante ironiquement la belle voix d'Eschine, § 285, *Amb.*, §§ 206, 337 sqq., et *passim*.

μὲν οὕτω μέγα, ὀλολύζειν δ' οὐχ ὑπέρλαμπρον), [260] ἐν δὲ ταῖς ἡμέραις τοὺς καλοὺς θιάσους ἄγων διὰ τῶν ὁδῶν, τοὺς ἐστεφανωμένους τῷ μαράθῳ καὶ τῇ λεύκῃ, τοὺς ὄφεις τοὺς παρείας θλίβων καὶ ὑπὲρ τῆς κεφαλῆς αἰωρῶν, καὶ βοῶν « εὐοῖ « σαβοῖ », καὶ ἐπορχούμενος « ὑῆς ἄττης ἄττης ὑῆς », ἔξαρχος καὶ προηγεμὼν καὶ κιττοφόρος καὶ λικνοφόρος καὶ τοιαῦθ' ὑπὸ τῶν γραδίων προσαγορευόμενος, μισθὸν λαμβάνων τούτων ἔν- 314 θρυπτα καὶ στρεπτοὺς καὶ νεήλατα, ἐφ' οἷς τίς οὐκ ἂν ὡς ἀληθῶς αὐτὸν εὐδαιμονίσειε καὶ τὴν αὑτοῦ τύχην; [261] Ἐπειδὴ δ' εἰς τοὺς δημότας ἐνεγράφης ὁπωσδήποτε, (ἐῶ γὰρ τοῦτο,) ἐπειδὴ δ' οὖν ἐνεγράφης, εὐθέως τὸ κάλλιστον ἐξελέξω τῶν ἔργων, γραμματεύειν καὶ ὑπηρετεῖν τοῖς ἀρχιδίοις. Ὡς δ' ἀπηλλάγης ποτὲ καὶ τούτου, πάνθ' ἃ τῶν ἄλλων κατηγορεῖς αὐτὸς ποιήσας, οὐ κατῄσχυνας μὰ Δί' οὐδὲν τῶν προϋπηργμένων τῷ μετὰ ταῦτα βίῳ, [262] ἀλλὰ μισθώσας σαυτὸν τοῖς

NC. 3. Variante : μαράθρῳ. — 4. ευ (et, au-dessus, οι de la seconde main) σάβοι S. — 6. κιττοφόρος. Harpocration atteste l'ancienne variante : κισσοφόρος. — καὶ τοιαῦτα S et L. καὶ τὰ τοιαῦτα vulg. — 9. αὐτὸν.... αὐτοῦ Bekker. αὐτὸν.... αὑτοῦ vulg. — 10-11. τοῦτό γε, en omettant ἐπειδὴ (ἐπειδὴ γ' S, vulg.) δ' οὖν ἐνεγράφης, A. — 12. γραμματεύειν S, L¹, A. ὑπογραμματεύειν vulg. — Variante : ἀρχείοις. — 13. κατηγόρεις A. — 14. κατησχύνας S. — 15. μισθώσας αὐτὸν S.

3. Μαράθῳ. On attribuait au fenouil des propriétés merveilleuses, surtout par rapport aux serpents, et on en faisait usage dans les mystères. Voy. Photios, *Lex.*; Élien, *Hist. des anim.*, IX, 16. — Λεύκῃ, peuplier blanc. Harpocration : Οἱ τὰ Βακχικὰ τελούμενοι τῇ λεύκῃ στέφονται, τῷ χθόνιον μὲν εἶναι τὸ φυτὸν, χθόνιον δὲ καὶ τὸν τῆς Περσεφόνης Διόνυσον. L'*Odyssée* (X. 510) place des peupliers et des saules à l'entrée des Enfers : Μακραί τ' αἴγειροι καὶ ἰτέαι ὠλεσίκαρποι.

3. Τοὺς ὄφεις. Les Bacchantes d'Euripide (v. 697) se ceignent de serpents qui leur lèchent la figure. Olympias, qui était adonnée au culte du Bacchus thrace, avait apprivoisé de grands serpents. Cf. Plutarque, *Alex.*, 2.

5. Σαβοῖ. C'est de ce cri que vient le nom de Sabazios, espèce de Bacchus phrygien et thrace. — Ἐπορχούμενος, dansant pendant que les autres criaient : « Hyès Attès. »

6. Λικνοφόρος, porteur du van, de la *mystica vannus*, de Bacchus.

7-8. Ἔνθρυπτα.... στρεπτοὺς.... νεήλατα. Différentes espèces de pâtisseries. Voy. Lobeck, *Aglaophamus*, p. 1072 sqq. Harpocration dit des νεήλατα qu'on les distribuait aux initiés en les désignant du nom d'ambroisie, ἀμβροσία, ou de félicité, c'est-à-dire pain des bienheureux, μακαρία. La raillerie de Démosthène, ἐφ' οἷς.... εὐδαιμονίσειε, n'en est que plus piquante.

10. Ὁπωσδήποτε. Démosthène insinue que c'était par fraude. Cf. § 130.

12. Γραμματεύειν.... ἀρχιδίοις. Ces greffiers subalternes, salariés par les magistrats qui se servaient d'eux, ne doivent pas être confondus avec les greffiers publics nommés par le peuple. Cf. *Amb.*, § 249, Ἀρχίδιον est un mot comique. Cf. *Ois.* 1111.

βαρυστόνοις ἐπικαλουμένοις ἐκείνοις ὑποκριταῖς, Σιμύλῳ καὶ Σωκράτει, ἐτριταγωνίστεις, σῦκα καὶ βότρυς καὶ ἐλάας συλλέγων ὥσπερ ὀπωρώνης ἐκ τῶν ἀλλοτρίων χωρίων, πλείω λαμβάνων ἀπὸ τούτων ἢ τῶν ἀγώνων, οὓς ὑμεῖς περὶ τῆς ψυχῆς ἠγωνίζεσθε· ἦν γὰρ ἄσπονδος καὶ ἀκήρυκτος ὑμῖν πρὸς τοὺς θεατὰς πόλεμος, ὑφ' ὧν πολλὰ τραύματ' εἰληφὼς εἰκότως τοὺς ἀπείρους τῶν τοιούτων [κινδύνων] ὡς δειλοὺς σκώπτεις. [263] Ἀλλὰ γὰρ παρεὶς ὧν τὴν πενίαν αἰτιάσαιτ' ἄν τις, πρὸς αὐτὰ τὰ τοῦ τρόπου σου βαδιοῦμαι κατηγορήματα. Τοιαύτην γὰρ εἵλου πολιτείαν, ἐπειδή ποτε καὶ τοῦτ' ἐπῆλθέ σοι ποιῆσαι, δι' ἣν, εὐτυχούσης μὲν τῆς πατρίδος, λαγὼ βίον ἔζης δεδιὼς καὶ τρέμων καὶ ἀεὶ πληγήσεσθαι προσδοκῶν ἐφ' οἷς σαυτῷ συνῄδεις ἀδικοῦντι, ἐν οἷς δ' ἠτύχησαν οἱ ἄλλοι, θρασὺς ὢν ὑφ' ἁπάντων ὤφθαι. [264] Καίτοι ὅστις χιλίων πολιτῶν ἀποθανόντων ἐθάρρησεν, τί οὗτος παθεῖν ὑπὸ τῶν ζώντων δίκαιός ἐστιν;
315 Πολλὰ τοίνυν ἕτερ' εἰπεῖν ἔχων περὶ αὐτοῦ παραλείψω· οὐ γὰρ ὅσ' ἂν δείξαιμι προσόντ' αἰσχρὰ τούτῳ καὶ ὀνείδη, πάντ' οἶμαι δεῖν εὐχερῶς λέγειν, ἀλλ' ὅσα μηδὲν αἰσχρόν ἐστιν εἰπεῖν ἐμοί.

NC. 1. Σιμύκκαι texte de S. Σιμμύκκα L. — 3. Deux manuscrits : ὀπωρώνης ἐκεῖνος ἐκ. — 4. τούτων S^1 seul. τούτων τραύματα L, vulg. Pour conserver cette leçon, il faudrait au moins écrire οὐ πλείω. Mais τραύματα est une glose tirée de l. 6. — 5. ὁ πρὸς vulg. — 6. τὰ πολλὰ avant Reiske. — 7. κινδύνων manque dans A. — 8. Ancienne vulgate : ἐξ ὧν.

1. Βαρυστόνοις est, je crois, à double sens. Ils rugissaient en déclamant les vers, et aussi en recevant les pierres lancées contre eux par les spectateurs. Schol. Patm. : Δέον εἰπεῖν βαρυτόνους ἢ βαρυφώνους..., σκώπτων ἐκάλεσε βαρυστόνους. Quand il prononçait le discours de l'*Ambassade*, Démosthène ne semble pas encore avoir fait cette découverte : on y voit (§ 246) Eschine figurer en plus honorable compagnie, comme tritagoniste d'acteurs renommés, tels que Théodore et Aristodème.

3. Ὥσπερ ὀπωρώνης. On entre dans les propriétés étrangères dont on a acheté la récolte; Eschine y entrait aussi, mais pour voler les fruits. Et ce métier lui rapportait plus que celui d'acteur, qu'il exerçait en même temps, les Dionysiaques rurales se célébrant à l'époque des vendanges.

4-5. Ἀγώνων.... ἠγωνίζεσθε, des jeux où vous jouiez votre vie. Ἀγών se dit d'un concours scénique, comme d'un combat réel, d'une bataille. Quant aux pierres, cf. *Amb.*, § 337.

7. Ὡς δειλοὺς σκώπτεις. Vengeance de Démosthène. Eschine l'accuse de lâcheté en plusieurs endroits · §§ 148, 152 sqq.; 175.

11. Λαγὼ βίον ἔζης. Locution proverbiale, ou devenue proverbiale. On rapproche Dion Chrysostome, LXVI, 24; Lucien, *Songe*, 9. Ajoutez *Trag. fr. adesp.* 373 Nauck : Λαγὼ βίον ζῇς, ὢν πρὶν ἄτρομος λέων.

14. Χιλίων πολιτῶν ἀποθανόντων. A Chéronée. Cf. Lycurgue, *Léocrate*, § 142; Diodore, XVI, 88.

16-17. Οὐ γάρ.... ὀνείδη. Insinuation perfide.

[265] Ἐξέτασον τοίνυν παρ' ἄλληλα τὰ σοὶ κἀμοὶ βεβιωμένα, πράως, μὴ πικρῶς, Αἰσχίνη· εἶτ' ἐρώτησον τουτουσὶ τὴν ποτέρου τύχην ἂν ἕλοιθ' ἕκαστος αὐτῶν. Ἐδίδασκες γράμματα, ἐγὼ δ' ἐφοίτων. Ἐτέλεις, ἐγὼ δ' ἐτελούμην. Ἐγραμμάτευες, ἐγὼ δ' ἠκκλησίαζον. Ἐτριταγωνίστεις, ἐγὼ δ' ἐθεώρουν. Ἐξέπιπτες, ἐγὼ δ' ἐσύριττον. Ὑπὲρ τῶν ἐχθρῶν πεπολίτευσαι πάντα, ἐγὼ δ' ὑπὲρ τῆς πατρίδος. [266] Ἐῶ τἆλλα, ἀλλὰ νυνὶ τήμερον ἐγὼ μὲν ὑπὲρ τοῦ στεφανωθῆναι δοκιμάζομαι, τὸ δὲ μηδ' ὁτιοῦν ἀδικεῖν ἀνωμολόγημαι, σοὶ δὲ συκοφάντῃ μὲν εἶναι δοκεῖν ὑπάρχει, κινδυνεύεις δ' εἴτε δεῖ σ' ἔτι τοῦτο ποιεῖν, εἴτ' ἤδη πεπαῦσθαι μὴ μεταλαβόντα τὸ πέμπτον μέρος τῶν ψήφων. Ἀγαθῇ γ', οὐχ ὁρᾷς; τύχῃ συμβεβιωκὼς τῆς ἐμῆς ὡς φαύλης κατηγορεῖς.

[267] Φέρε δὴ καὶ τὰς τῶν λητουργιῶν μαρτυρίας ὧν λε-

NC. 2. μὴ S[1] seul. καὶ μὴ L, vulg. — 3. ὁποτέρου vulg. — 4. Après ἐτελούμην, la vulgate porte : ἐχόρευες, ἐγὼ δ' ἐχορήγουν. Ces mots, omis dans S et le texte de L, ainsi que par les rhéteurs qui citent ce passage, sont une amplification du texte. — 6. ἐξέπιπτες, ἐγὼ δ' ἐσύριττον. Quoique donnés par tous les manuscrits, et par les rhéteurs grecs, ainsi que le *Carmen de figuris*, v. 23 (p. 64 Halm), ces mots aussi, Spengel l'a vu, sont peut-être une ancienne interpolation. En effet, ils rompent la symétrie du morceau ; une antithèse résume chacune des cinq professions exercées par Eschine ; il ne faut pas qu'il y en ait deux pour la profession d'acteur. — 11-12. πέμπτον est retranché par Dindorf, peut-être avec raison. Partout ailleurs dans ce discours, les meilleurs manuscrits portent simplement τὸ μέρος ; cependant, dans les autres discours, ils donnent la locution complète. — 12. γ' S, A. δ' L et vulg. — συμβεβηκὼς S[1]. — 13. ὡς φαύλης. Ces mots sont omis dans S et le texte de L seuls, peut-être accidentellement, après ἐμῆς. Cependant il se peut aussi qu'ils aient été interpolés pour faire antithèse à ἀγαθῇ. — 14. λειτουργῶν S[1].

2. Πράως, μὴ πικρῶς. On ne saurait pousser plus loin la moquerie.

4. Ἐφοίτων, sous-ent. εἰς διδασκάλου. — Ἐτελούμην. Dissen veut qu'on entende ici l'initiation aux mystères d'Éleusis, quoique ἐτέλεις se rapporte au culte de Sabazios. De quel droit un commentateur ajoute-t-il des idées qu'aucun lecteur ne peut deviner ?

6. Ἐξέπιπτες, ἐγὼ δ' ἐσύριττον. Cette jolie antithèse n'est peut-être pas de Démosthène. Cf. *NC*. — Démétrios, Περὶ ἑρμηνείας, § 250, critique tout ce morceau : il le trouve trop travaillé, d'un rhéteur qui s'amuse à aligner des antithèses, non d'un homme qui laisse éclater son indignation (κακοτεχνοῦντι γὰρ ἔοικε διὰ τὴν ἀνταπόδοσιν, μᾶλλον δὲ παίζοντι, οὐκ ἀγανακτοῦντι). Nous répondrons que Démosthène ne veut point paraître indigné ; il pousse froidement sa pointe, il la retourne dans la blessure, il jouit du plaisir de bafouer son ennemi dans les règles.

10-11. Ὑπάρχει, « est acquis », répond à ἀνωμολόγημαι, et est opposé à l'incertitude exprimée par κινδυνεύεις. — Τοῦτο ποιεῖν, c'est-à-dire συκοφαντεῖν. — Πεπαῦσθαι. Cf. § 82.

λητούργηκα, ὑμῖν ἀναγνῶ. Παρ' ἃς παρανάγνωθι καὶ σύ μοι τὰς ῥήσεις ἃς ἐλυμαίνου,

ἥκω νεκρῶν κευθμῶνα καὶ σκότου πύλας

καὶ

κακαγγελεῖν μὲν ἴσθι μὴ θέλοντά με,

καὶ « κακὸν κακῶς σε » μάλιστα μὲν οἱ θεοί, ἔπειθ' οὗτοι πάντες ἀπολέσειαν, πονηρὸν ὄντα καὶ πολίτην καὶ τριταγωνιστήν.

Λέγε τὰς μαρτυρίας.

ΜΑΡΤΥΡΙΑΙ.

[268] Ἐν μὲν τοίνυν τοῖς πρὸς τὴν πόλιν τοιοῦτος· ἐν δὲ
316 τοῖς ἰδίοις εἰ μὴ πάντες ἴσθ' ὅτι κοινὸς καὶ φιλάνθρωπος καὶ τοῖς δεομένοις ἐπαρκῶν, σιωπῶ καὶ οὐδὲν ἂν εἴποιμι οὐδὲ παρασχοίμην περὶ τούτων οὐδεμίαν μαρτυρίαν, οὔτ' εἴ τινας ἐκ τῶν πολεμίων ἐλυσάμην, οὔτ' εἴ τισι θυγατέρας συνεξέδωκα, οὔτε τῶν τοιούτων οὐδέν. [269] Καὶ γὰρ οὕτω πως ὑπείληφα. Ἐγὼ νομίζω τὸν μὲν εὖ παθόντα δεῖν μεμνῆσθαι πάντα τὸν χρόνον, τὸν δὲ ποιήσαντ' εὐθὺς ἐπιλελῆσθαι, εἰ δεῖ τὸν μὲν χρηστοῦ,

NC. 1. παρ' ἃς S, L[1]. πάσας vulg. — Variantes : παρανάγνωθι δὴ καὶ σύ μοι, π. δ' ἡμῖν καὶ σύ. — 3. νεκρῶν S[1]. λιπὼν L, vulg. — 5. κακ' ἀγγέλλειν S. — 6. ἔπειτα δὲ vulg. — 7. καὶ πολίτην S, L. πολίτην καὶ προδότην avant Bekker. — 10. τοιοῦτος ἐγώ Reiske. — 12-13. παρασχοίμην ἂν A, vulg. — 15-16. ὑπείληφ' ἐγώ· [νομίζω] τὸν Dobree. — 16. Vulgate : τὸν πάντα χρόνον. — 17. τὸν δ' εὖ ποιήσαντα A.

1. Παρανάγνωθι καὶ σύ. C'est, je crois, une réponse plaisante à la lecture parallèle qu'Eschine avait fait faire (§ 188) du décret de Ctésiphon et d'un ancien décret en l'honneur des restaurateurs de la démocratie.

3-5. Ἥκω.... πύλας. Début de l'*Hécube* d'Euripide. Le sens se complète par λιπών, mot rejeté au commencement du vers suivant. Cf. *NC*. On voit que le rôle de l'ombre de Polydore était rempli par le tritagoniste. — Κακαγγελεῖν. On ne sait de quelle tragédie est tiré ce vers. La situation du personnage qui le prononçait dut être à peu près celle de Talthybios quand il dit, *Troy.*, 705 : Μή με στυγήσῃς· οὐχ ἑκὼν γὰρ ἀγγελῶ | Δαναῶν τε κοινὰ Πελοπιδῶν τ' ἀγγέλματα.

6. Κακὸν κακῶς σε. Commencement d'un autre trimètre iambique, peut-être : Κακὸν κακῶς σέ γ' ἀπολέσειαν οἱ θεοί, vers que Meineke a reconnu dans la prose d'Athénée, IV, p. 150 C.

10. Τοιοῦτος : sous-ent. ἦν ἐγώ. Ellipse plus rare que celle de la troisième personne. Cf. *Lept.*, § 55.

14. Ἐλυσάμην. Après la première guerre contre Philippe. Cf. *Ambass.*, § 169 sq.

16-3. Τὸν μὲν εὖ παθόντα.... τῷ δεῖ-

τὸν δὲ μὴ μικροψύχου ποιεῖν ἔργον ἀνθρώπου. Τὸ δὲ τὰς ἰδίας εὐεργεσίας ὑπομιμνήσκειν καὶ λέγειν μικροῦ δεῖν ὅμοιόν ἐστι τῷ ὀνειδίζειν. Οὐ δὴ ποιήσω τοιοῦτον οὐδέν, οὐδὲ προαχθήσομαι, ἀλλ' ὅπως ποθ' ὑπείλημμαι περὶ τούτων, ἀρκεῖ μοι.

[270] Βούλομαι δὲ τῶν ἰδίων ἀπαλλαγεὶς ἔτι μικρὰ πρὸς ὑμᾶς εἰπεῖν περὶ τῶν κοινῶν. Εἰ μὲν γὰρ ἔχεις, Αἰσχίνη, τῶν ὑπὸ τοῦτον τὸν ἥλιον εἰπεῖν ἀνθρώπων ὅστις ἀθῷος τῆς Φιλίππου πρότερον καὶ νῦν τῆς Ἀλεξάνδρου δυναστείας γέγονεν, ἢ τῶν Ἑλλήνων ἢ τῶν βαρβάρων, ἔστω, συγχωρῶ τὴν ἐμὴν εἴτε τύχην εἴτε δυστυχίαν ὀνομάζειν βούλει πάντων αἰτίαν γεγενῆσθαι. [271] Εἰ δὲ καὶ τῶν μηδεπώποτ' ἰδόντων ἐμὲ μηδὲ φωνὴν ἀκηκοότων ἐμοῦ πολλοὶ πολλὰ καὶ δεινὰ πεπόνθασι, μὴ μόνον κατ' ἄνδρα, ἀλλὰ καὶ πόλεις ὅλαι καὶ ἔθνη, πόσῳ δικαιότερον καὶ ἀληθέστερον τὴν ἁπάντων, ὡς ἔοικεν, ἀνθρώπων τύχην κοινὴν καὶ φοράν τινα πραγμάτων χαλεπὴν καὶ οὐχ οἵαν ἔδει τούτων αἰτίαν ἡγεῖσθαι. [272] Σὺ τοίνυν ταῦτ' ἀφεὶς ἐμὲ τὸν παρὰ τουτοισὶ πεπολιτευμένον αἰτιᾷ, καὶ ταῦτ' εἰδὼς ὅτι, καὶ εἰ μὴ τὸ ὅλον, μέρος γ' ἐπιβάλλει τῆς βλασφημίας ἅπασι, 317 καὶ μάλιστα σοί. Εἰ μὲν γὰρ ἐγὼ κατ' ἐμαυτὸν αὐτοκράτωρ περὶ τῶν πραγμάτων ἐβουλευόμην, ἦν ἂν τοῖς ἄλλοις ῥήτορσιν ὑμῖν ἔμ' αἰτιᾶσθαι· [273] εἰ δὲ παρῆτε μὲν ἐν ταῖς ἐκκλησίαις ἁπάσαις, ἀεὶ δ' ἐν κοινῷ τὸ συμφέρον ἡ πόλις προυτίθει σκο-

NC. 1. μικροψύχρου S[1]. — 2. Herwerden (*l. c.*, p. 130) propose καὶ καταλέγειν, ou κἀεὶ λέγειν. — 7. τοῦτον S et L seuls. τουτονὶ vulg. — 9. συγχωρῶ σοι vulg. — 10. αἰτίαν est omis par S[1] seul, sans doute accidentellement, après πάντων. Vœmel s'est cru obligé de soutenir que la vulgate est plus obscure que l'erreur de S. — 11. ιδοτων S[1]. — 17. Leçon fautive : πολιτευόμενον. — 19. αὐτοκράτωρ ὢν vulg. — 22. ἁπάσαις, ἀεὶ δ' ἐν κοινῷ S et L seuls. ἁπάσαις ἀεί, ἐν κοινῷ δὲ vulg.

δίζειν. On rapproche Cicéron, *De amic.*, XX, § 71 ; Sénèque, *De benef.*, II, 10.

4. Ὅπως ποθ' ὑπείλημμαι. Cette tournure équivaut à ὁποίαν ποτὲ περὶ ἐμοῦ ὑπόληψιν ἔχετε.

6. Περὶ τῶν κοινῶν. Il importait de terminer le morceau relatif à la fortune par quelques considérations d'un ordre plus général et plus élevé. Voilà pourquoi Démosthène développe ici une idée déjà indiquée au paragraphe 253, et revient même sur des points traités plus haut, aux paragraphes 242 sq.

13. Κατ' ἄνδρα tient lieu de sujet et est opposé aux nominatifs πόλεις ὅλαι καὶ ἔθνη, comme καθ' ἕνα à πάντας, *Olynth.* II, § 24. Cf. *Phil.* I, § 20 ; III, § 22.

18. Μέρος γ' ἐπιβάλλει. Ce verbe est ici employé intransitivement, comme dans τὸ ἐπίβαλλον ἐφ' ἡμᾶς μέρος, § 264.

πεῖν, πᾶσι δὲ ταῦτ' ἐδόκει τότ' ἄριστ' εἶναι, καὶ μάλιστα σοὶ (οὐ γὰρ ἐπ' εὐνοίᾳ γ' ἐμοὶ παρεχώρεις ἐλπίδων καὶ ζήλου καὶ τιμῶν, ἃ πάντα προσῆν τοῖς τότε πραττομένοις ὑπ' ἐμοῦ, ἀλλὰ τῆς ἀληθείας ἡττώμενος δηλονότι καὶ τῷ μηδὲν ἔχειν εἰπεῖν βέλτιον), πῶς οὐκ ἀδικεῖς καὶ δεινὰ ποιεῖς τούτοις νῦν ἐγκαλῶν ὧν τότ' οὐκ εἶχες λέγειν βελτίω; [274] Παρὰ μὲν τοίνυν τοῖς ἄλλοις ἔγωγ' ὁρῶ πᾶσιν ἀνθρώποις διωρισμένα καὶ τεταγμένα πως τὰ τοιαῦτα. Ἀδικεῖ τις ἑκών· ὀργὴν καὶ τιμωρίαν κατὰ τούτου. Ἐξήμαρτέ τις ἄκων· συγγνώμην ἀντὶ τῆς τιμωρίας τούτῳ. Οὔτ' ἀδικῶν τις οὔτ' ἐξαμαρτάνων, εἰς τὰ πᾶσι δοκοῦντα συμφέρειν ἑαυτὸν δοὺς οὐ κατώρθωσεν μετὰ πάντων· οὐκ ὀνειδίζειν οὐδὲ λοιδορεῖσθαι τῷ τοιούτῳ δίκαιον, ἀλλὰ συνάχθεσθαι. [275] Φανήσεται ταῦτα καταστάνθ' οὕτως οὐ μόνον τοῖς νόμοις τοῖς ἀνθρωπίνοις, ἀλλὰ καὶ ἡ φύσις αὐτὴ τοῖς ἀγράφοις νομίμοις διώρικεν. Αἰσχίνης τοίνυν τοσοῦτον ὑπερβέβληκεν ἅπαντας ἀνθρώπους ὠμότητι καὶ συκοφαντίᾳ, ὥστε καὶ ὧν αὐτὸς ὡς ἀτυχημάτων ἐμέμνητο, καὶ ταῦτ' ἐμοῦ κατηγορεῖ.

[276] Καὶ πρὸς τοῖς ἄλλοις, ὥσπερ αὐτὸς ἁπλῶς καὶ μετ'

NC. 4-5. Les mots καὶ.... βέλτιον pourraient être une interpolation tirée de l. 6. [Dobree.] — 8-9. ὀργὴ καὶ τιμωρία κατ' αὐτοῦ.... συγγνώμη vulg. — 11. μεθ' ἁπάντων S. — 12. τῷ, avant τοιούτῳ, est omis dans le texte de S. — 13-15. J'ai corrigé la leçon : φανήσεται (φανησται S¹) [τοίνυν] ταῦτα πάνθ' οὕτως οὐ μόνον [ἐν] τοῖς νόμοις, ἀλλὰ καὶ ἡ φύσις αὐτὴ τοῖς ἀγράφοις νομίμοις (var. νόμοις) καὶ τοῖς ἀνθρωπίνοις [ἤθεσι] διώρικεν. S et, en partie, L et Α, ne portent pas les mots mis entre crochets. Ils ont été insérés par des copistes qui ne voyaient pas où était le mal. Le mot parasite πάνθ' vient de στάνθ', κατα ayant été omis après ταυτα; le déplacement de τοῖς ἀνθρωπίνοις vient d'une omission mal réparée. — 18. Variante : κατηγόρει.

1. Ταῦτ(α), comme plus bas τούτοις, désigne la politique conseillée par Démosthène, politique qui fait l'objet du débat et qui est toujours présente à l'esprit de l'orateur, comme des auditeurs.

8. Ὀργὴν καὶ τιμωρίαν : sous-ent. ὁρῶ τεταγμένα. — Dissen renvoie à Aristote, *Rhétor.*, I, 13, où l'on voit la même distinction entre ἀδικήματα, ἁμαρτήματα, ἀτυχήματα. Je pense qu'elle remonte plus haut, et qu'elle était traditionnelle dans les écoles des rhéteurs.

13. Φανήσεται. On peut sous-entendre ἂν σκοπῆτε, ou ἄν τις ὀρθῶς σκοπῇ. Cf. § 317; *Lept.*, § 30. [Westermann.]

13-14. Καταστάντ(α), établis. — Τοῖς ἀνθρωπίνοις. Les lois faites par les hommes sont opposées aux lois non écrites, naturelles, ou bien divines (suivant le point de vue des auteurs). Cf. *Aristocr.*, § 70 : Παρὰ.... τοὺς γεγραμμένους νόμους καὶ τἄγραφα νόμιμα.

17. Ὡς ἀτυχημάτων ἐμέμνητο. Eschine, § 57 : Τῶν δὲ ἀτυχημάτων πάντων Δημοσθένην αἴτιον γεγενημένον.

18. Καὶ πρὸς τοῖς ἄλλοις.... Dès le début de son discours (§ 16), Eschine met les Athéniens en garde contre l'éloquence prestigieuse de Démosthène : il l'appelle : κακοῦργον σοφιστὴν οἰόμενον

εὐνοίας πάντας εἰρηκὼς τοὺς λόγους, φυλάττειν ἐμὲ καὶ τηρεῖν ἐκέλευεν, ὅπως μὴ παρακρούσομαι μηδ' ἐξαπατήσω, δεινὸν 318 καὶ γόητα καὶ σοφιστὴν καὶ τὰ τοιαῦτ' ὀνομάζων, ὡς, ἐὰν πρότερός τις εἴπῃ τὰ προσόνθ' ἑαυτῷ περὶ ἄλλου, καὶ δὴ ταῦθ' οὕτως ἔχοντα, καὶ οὐκέτι τοὺς ἀκούοντας σκεψομένους τίς ποτ' αὐτός ἐστιν ὁ ταῦτα λέγων. Ἐγὼ δ' οἶδ' ὅτι γιγνώσκετε τοῦτον ἅπαντες, καὶ πολὺ τούτῳ μᾶλλον ἢ ἐμοὶ νομίζετε ταῦτα προσεῖναι. [277] Κἀκεῖν' εὖ οἶδ' ὅτι τὴν ἐμὴν δεινότητα — ἔστω γάρ (καίτοι ἔγωγ' ὁρῶ τῆς τῶν λεγόντων δυνάμεως τοὺς ἀκούοντας τὸ πλεῖστον κυρίους· ὡς γὰρ ἂν ὑμεῖς ἀποδέξησθε καὶ πρὸς ἕκαστον ἔχητ' εὐνοίας, οὕτως ὁ λέγων ἔδοξε φρονεῖν·) εἰ δ' οὖν ἐστι καὶ παρ' ἐμοί τις ἐμπειρία τοιαύτη, ταύτην μὲν εὑρήσετε πάντες ἐν τοῖς κοινοῖς ἐξεταζομένην ὑπὲρ ὑμῶν ἀεὶ καὶ οὐδαμοῦ καθ' ὑμῶν οὐδ' ἰδίᾳ, τὴν δὲ τούτου τοὐναντίον οὐ μόνον [τῷ λέγειν] ὑπὲρ τῶν ἐχθρῶν, ἀλλὰ καὶ εἴ τις ἐλύπησέ τι τοῦτον ἢ προσέκρουσέ που, κατὰ τούτων. Οὐκ ἄρ' αὐτῇ δικαίως, οὐδ' ἐφ' ἃ συμφέρει τῇ πόλει, χρῆται. [278] Οὔτε γὰρ τὴν ὀργὴν οὔτε τὴν ἔχθραν οὔτ' ἄλλ' οὐδὲν τῶν τοιούτων τὸν καλὸν κἀγαθὸν πολίτην δεῖ τοὺς ὑπὲρ τῶν κοινῶν εἰσεληλυθό-

NC. 2. παρακρούσομαι S. παρακρούσωμαι L, vulg. — 5. ἕξοντα Naber. — 8. καὶ ἐκεῖνο δ' F. — 10. τὸ πλεῖστον κυρίους S et L seuls. τὸ πλεῖστον μέρος κυρίους ὄντας vulg. — 15. Je regarde τῷ λέγειν comme une mauvaise glose. — 16. οὐκ ἄρ' est notre correction pour οὐ γὰρ, leçon qui rompait la suite des idées.

ῥήμασι τοὺς νόμους ἀναιρήσειν. Plus loin, § 207, il le traite de fourbe, de parjure, de brigand, usant de la parole comme d'un maléfice : Τὸν γόητα καὶ βαλαντιοτόμον καὶ διατετμηκότα τὴν πολιτείαν. Οὗτος κλάει μὲν ῥᾷον ἢ ἄλλοι γελῶσιν, ἐπιορκεῖ δὲ πάντων προχειρότατα κτλ. C'est à ces violences que Démosthène répond ici avec non moins de violence.

3-5. Ὡς.... ἔχοντα.... σκεψομένους. Accusatifs absolus. Cf. § 122; *Symmories*, § 15. — Καὶ δή, aussitôt. Cf. *Lept.*, § 65 et *passim*.

8-10. Τὴν ἐμὴν δεινότητα. Suspension. Au lieu de continuer ainsi : εὑρήσετε πάντες ἐν τοῖς κοινοῖς ἐξεταζομένην, l'orateur fait d'abord une restriction à cette puissance de la parole dont (il veut bien l'admettre) il n'est pas entièrement dépourvu. — Τοὺς ἀκούοντας.... κυρίους. Voy. la même considération, *Amb*, § 340.

14. Οὐδαμοῦ καθ' ὑμῶν οὐδ' ἰδίᾳ, nulle part (jamais) contre vous, ni dans mon intérêt personnel. Ἰδίᾳ est opposé à ἐν τοῖς κοινοῖς, comme καθ' ὑμῶν à ὑπὲρ ὑμῶν. Toute la différence, c'est que, dans le premier membre de phrase, les deux termes ne sont pas liés par une conjonction.

15-16. Εἴ τις ἐλύπησέ τι τοῦτον. Il est difficile de ne pas penser à Timarque. — Τούτων. Pluriel du démonstratif après εἴ τις. Cf. § 99; *Ol.* II, § 18.

16. Οὐκ ἄρ(α)..., il ne s'en sert donc pas, comme il voudrait le faire croire....

τας δικαστὰς ἀξιοῦν αὐτῷ βεβαιοῦν, οὐδ' ὑπὲρ τούτων εἰς ὑμᾶς εἰσιέναι, ἀλλὰ μάλιστα μὲν μὴ ἔχειν ταῦτ' ἐν τῇ φύσει, εἰ δ' ἄρ' ἀνάγκη, πράως καὶ μετρίως διακείμεν' ἔχειν. Ἐν τίσιν οὖν σφοδρὸν εἶναι τὸν πολιτευόμενον καὶ τὸν ῥήτορα δεῖ; ἐν οἷς τῶν ὅλων τι κινδυνεύεται τῇ πόλει, καὶ ἐν οἷς πρὸς τοὺς ἐναντίους ἐστὶ τῷ δήμῳ, ἐν τούτοις· ταῦτα γὰρ γενναίου καὶ ἀγαθοῦ πο-
319 λίτου. [279] Μηδενὸς δ' ἀδικήματος πώποτε δημοσίου, προσθήσω δὲ μηδ' ἰδίου, δίκην ἀξιώσαντα λαβεῖν παρ' ἐμοῦ μήθ' ὑπὲρ τῆς πόλεως μήθ' ὑπὲρ αὐτοῦ, στεφάνου καὶ ἐπαίνου κατηγορίαν ἥκειν συνεσκευασμένον καὶ τοσουτουσὶ λόγους ἀνηλωκέναι, ἰδίας ἔχθρας καὶ φθόνου καὶ μικροψυχίας ἐστὶ σημεῖον, οὐδενὸς χρηστοῦ. Τὸ δὲ δὴ καὶ τοὺς πρὸς ἔμ' αὐτὸν ἀγῶνας ἐάσαντα νῦν ἐπὶ τόνδ' ἥκειν, καὶ πᾶσαν ἔχει κακίαν. [280] Καί μοι δοκεῖς ἐκ τούτων, Αἰσχίνη, λόγων ἐπίδειξίν τινα καὶ φωνασκίας βουλόμενος ποιήσασθαι τοῦτον προελέσθαι τὸν ἀγῶνα, οὐκ ἀδικήματος οὐδενὸς λαβεῖν τιμωρίαν. Ἔστι δ' οὐχ ὁ λόγος τοῦ ῥήτορος, Αἰσχίνη, τίμιον, οὐδ' ὁ τόνος τῆς φωνῆς, ἀλλὰ τὸ ταὐτὰ προαιρεῖσθαι τοῖς πολλοῖς καὶ τὸ τοὺς αὐτοὺς μισεῖν καὶ φιλεῖν οὕσπερ ἂν ἡ πατρίς. [281] Ὁ γὰρ οὕτως ἔχων τὴν ψυχήν, οὗτος ἐπ' εὐνοίᾳ πάντ' ἐρεῖ· ὁ δ' ἀφ' ὧν ἡ πόλις προο-

NC. 3. διακείμενον F. — 6. ἐστί τι F. — 9. αὐτοῦ τοῦ στεφάνου L seul. αυτοῦτ première main, αυτοῦτοῦ seconde main, στεφάνου S. αὐτοῦ, τοῦ στεφάνου Vœmel. Mais l'origine de l'erreur est évidente. — 9-10. κατηγορίαν S et L. κατηγορίαν.νῦν, ou νῦν κατηγορίαν, vulg. — 13. καὶ πᾶσαν A. πᾶσαν L et vulg. Dans S, καιμοι δοκεῖς se lit immédiatement après ἥκειν, omission qui confirme en quelque sorte la leçon de A: le copiste aura sauté d'un και à l'autre. — 13-14. Variante : καὶ ἔμοιγε. — 14-15. Avant Bekker : ἐκ τούτων, Αἰσχίνη, τῶν λόγων ἐ. τινα φωνασκίας. — Herwerden veut qu'on écrive φωνασκίαν. Voy. la note explicative. — 17. τίμιον S, L. τίμιος vulg.

1. Βεβαιοῦν, confirmer, ratifier, donner une consécration publique par votre verdict. — Ὑπὲρ τούτων, dans l'intérêt de ces sentiments personnels et haineux.

5-6. Ἐν οἷς.... ἐστὶ τῷ δήμῳ, « res est populo », là où le peuple a affaire à ses ennemis. On rapproche *Stephan.*, I, 22 : Οὔτε γὰρ νῦν μοι πρὸς ἐκεῖνόν ἐστιν. Isocrate, *Panég.*, § 12 : Ἐμοὶ δ' οὐδὲν πρὸς τοὺς τοιούτους, ἀλλὰ πρὸς ἐκείνους ἐστὶ τοὺς οὐδὲν ἀποδεξομένους τῶν εἰκῆ λεγομένων. — Ἐν τούτοις. Le démonstratif resume avec insistance. Cf. *Olynth.* II, §§ 6, 7, et *passim*.

7-8. Μηδενὸς δ' ἀδικήματος.... L'orateur revient ici sur des considérations qu'il avait déjà fait valoir aux paragraphes 12 sqq.

13. Ἐπὶ τόνδ' ἥκειν, s'attaquer à Ctésiphon. Cf. § 16. — Καί, avant πᾶσαν, est intensif, comme dans καὶ μάλα, καὶ λίαν.

14-15. Λόγων ἐπίδειξιν. Cf. § 226. — Φωνασκίας. Ce mot désigne ici la virtuosité acquise au moyen des exercices par les-

ρᾶταί τινα κίνδυνον ἑαυτῇ, τούτους θεραπεύων οὐκ ἐπὶ τῆς αὐτῆς ὁρμεῖ τοῖς πολλοῖς, οὔκουν οὐδὲ τῆς ἀσφαλείας τὴν αὐτὴν ἔχει προσδοκίαν. Ἀλλ', ὁρᾷς; ἐγώ· ταὐτὰ γὰρ συμφέρονθ' εἰλόμην τουτοισί, καὶ οὐδὲν ἐξαίρετον οὐδ' ἴδιον πεποίημαι. [282] Ἆρ' οὖν οὐδὲ σύ; Καὶ πῶς; ὃς εὐθέως μετὰ τὴν μάχην πρεσβευτὴς ἐπορεύου πρὸς Φίλιππον, ὃς ἦν τῶν ἐν ἐκείνοις τοῖς χρόνοις συμφορῶν αἴτιος τῇ πατρίδι, καὶ ταῦτ' ἀρνούμενος πάντα τὸν ἔμπροσθε χρόνον ταύτην τὴν χρείαν, ὡς πάντες ἴσασιν. Καίτοι τίς ὁ τὴν πόλιν ἐξαπατῶν; οὐχ ὁ μὴ λέγων ἃ φρονεῖ; Τῷ δ' ὁ κῆρυξ καταρᾶται δικαίως; οὐ τῷ τοιούτῳ; Τί δὲ μεῖζον ἔχοι τις ἂν εἰπεῖν ἀδίκημα κατ' ἀνδρὸς ῥήτορος ἢ εἰ 320 μὴ ταὐτὰ φρονεῖ καὶ λέγει; Σὺ τοίνυν οὗτος εὑρέθης. [283] Εἶτα σὺ φθέγγει καὶ βλέπειν εἰς τὰ τούτων πρόσωπα τολμᾷς; Πότερ' οὐχ ἡγεῖ γιγνώσκειν αὐτοὺς ὅστις εἶ; ἢ τοσοῦτον ὕπνον καὶ λήθην ἅπαντας ἔχειν ὥστ' οὐ μεμνῆσθαι τοὺς λόγους οὓς ἐδημηγόρεις ἐν τῷ πολέμῳ, καταρώμενος καὶ διομνύμενος μηδὲν εἶναι σοὶ καὶ Φιλίππῳ πρᾶγμα, ἀλλ' ἐμὲ τὴν αἰτίαν σοι ταύτην ἐπάγειν τῆς ἰδίας ἕνεκ' ἔχθρας, οὐκ οὖσαν ἀληθῆ. [284] Ὡς δ' ἀπηγγέλθη τάχισθ' ἡ μάχη, οὐδὲν τούτων φροντίσας εὐθέως ὡμολόγεις καὶ προσεποιοῦ φιλίαν καὶ ξενίαν εἶναί σοι πρὸς αὐτόν, τῇ μισθαρνίᾳ ταῦτα μετατιθέμενος τὰ ὀνόματα. Ἐκ ποίας γὰρ ἴσης ἢ δικαίας προφάσεως Αἰσχίνῃ τῷ Γλαυκοθέας τῆς τυμπανιστρίας ξένος ἢ φίλος ἢ γνώριμος ἦν Φιλιπ-

NC. 1. κίνδυνόν τινα L et, avec des signes de transposition, S seuls. — 6. ἐν, avant ἐκείνοις, manque dans S. — 11-12. Variantes : εἰ, sans ἢ, et ταῦτα ἃ φρονεῖ. — 12. Variante : τοιοῦτος. — 13. τουτωνὶ vulg. — 16. Variante : ἐν τῷ δήμῳ. — 20. εὐθέως S[1]. εὐθὺς vulg. — 22. Αἰσχίνη vulg. — γλυκοθέας S.

quels les acteurs habituaient leur voix à passer du grave à l'aigu, et de l'aigu au grave. C'est par l'étendue et la force, ὁ τόνος τῆς φωνῆς (l. 17), qu'excellait la voix de l'ancien comédien. Cf. *Ambass.*, §§ 255 et 336.

1-2. Οὐκ ἐπὶ τῆς αὐτῆς ὁρμεῖ τοῖς πολλοῖς, ne s'appuie pas sur la même ancre que le peuple. Harpocration : Παροιμία ἐστὶν ἐλλειπτικῶς λεγομένη· προσυπακουστέον οὖν ἔξωθεν τὸ ἀγκύρας.

7-8. Ἀρνούμενος.... ταύτην τὴν χρείαν, toi qui refusais cette mission, ταύτην τὴν ὑπηρεσίαν. [Schol.] Ce qui précède autorise cette explication. Mais ce qui suit recommande l'interprétation de Westermann : « toi qui niais ces relations avec Philippe, » τὸ οὕτως οἰκείως χρήσασθαι τῷ Φιλίππῳ.

10. Ὁ κῆρυξ καταρᾶται. Cf. § 130. *Ambass.*, § 70.

16. Ἅπαντας est le régime de ἔχειν. On dit ὕπνος ἔχει (« tenet ») τινά.

21-23. Τῇ μισθαρνίᾳ.... ὀνόματα. Cf. § 51. — Τῆς τυμπανιστρίας. La musique

πος; ἐγὼ μὲν οὐχ ὁρῶ, ἀλλ' ἐμισθώθης ἐπὶ τῷ τὰ τουτωνὶ συμφέροντα διαφθείρειν. Ἀλλ' ὅμως, οὕτω φανερῶς αὐτὸς εἰλημμένος προδότης καὶ κατὰ σαυτοῦ μηνυτὴς ἐπὶ τοῖς συμβᾶσιν γεγονώς, ἐμοὶ λοιδορεῖ καὶ ὀνειδίζεις ταῦτα, ὧν πάντας μᾶλλον αἰτίους εὑρήσεις.

[285] Πολλὰ καὶ καλὰ καὶ μεγάλ' ἡ πόλις, Αἰσχίνη, καὶ προείλετο καὶ κατώρθωσεν δι' ἐμοῦ, ὧν οὐκ ἠμνημόνησεν. Σημεῖον δέ· χειροτονῶν γὰρ ὁ δῆμος τὸν ἐροῦντ' ἐπὶ τοῖς τετελευτηκόσι παρ' αὐτὰ τὰ συμβάντα, οὐ σὲ ἐχειροτόνησεν προβληθέντα, καίπερ εὔφωνον ὄντα, οὐδὲ Δημάδην, ἄρτι πεποιηκότα τὴν εἰρήνην, οὐδ' Ἡγήμονα, οὐδ' ἄλλον ὑμῶν οὐδένα, ἀλλ' ἐμέ.
321 Καὶ παρελθόντος σοῦ καὶ Πυθοκλέους ὠμῶς καὶ ἀναιδῶς, ὦ Ζεῦ καὶ θεοί, καὶ κατηγορούντων ἐμοῦ ταὔθ' ἃ καὶ σὺ νυνί, καὶ λοιδορουμένων, ἔτ' ἄμεινον ἐχειροτόνησ' ἐμέ. [286] Τὸ δ' αἴτιον οὐκ ἀγνοεῖς μέν, ὅμως δὲ φράσω σοι κἀγώ. Ἀμφότερ' ᾔδεσαν οὗτοι, τήν τ' ἐμὴν εὔνοιαν καὶ προθυμίαν μεθ' ἧς τὰ πράγματ' ἔπραττον, καὶ τὴν ὑμετέραν ἀδικίαν· ἃ γὰρ εὐθενούντων τῶν πραγμάτων ἠρνεῖσθε διομνύμενοι, ταῦτ' ἐν οἷς ἔπταισεν ἡ πόλις ὡμολογήσατε. Τοὺς οὖν ἐπὶ τοῖς κοινοῖς ἀτυχήμασιν ὧν ἐφρόνουν λαβόντας ἄδειαν ἐχθροὺς μὲν πάλαι, φανεροὺς δὲ τόθ' ἡγήσανθ' αὑτοῖς γεγενῆσθαι. [287] Εἶτα καὶ προσήκειν

NC. 5. εὑρήσεις S et L[1] seuls. εὑρήσεις ἢ ἐμέ vulg. — 6-7. Πολλὰ.... ἠμνημόνησεν. Dobree voulait supprimer ces mots. — 9. οὐ σ' ἐχειροτόνησεν S. — 13. ταὐτὰ ἃ Bekker. ταῦτα ἃ manuscrits. — 14. ἐχειροτόνησέν με S et L seuls. ἐχειροτόνησεν ἐμέ vulg. — 16. οὗτοι A. αὐτοὶ S, L, vulg.

bruyante des tambours et des cymbales était propre aux cultes orgiastiques de la Phrygie. Cf. Euripide, *Bacch.*, 59 : Αἴρεσθε τἀπιχώρι' ἐν πόλει Φρυγῶν | τύμπανα, Ῥέας τε μητρὸς ἐμά θ' εὑρήματα.

3. Προδότης καὶ κατὰ σαυτοῦ μηνυτής. En rappelant le fait qui lui est reproché par Démosthène, Eschine dit (§ 227) ὑπὲρ τῆς σωτηρίας τῆς πόλεως ἐπρεσβεύσαμεν. Il a raison : la haine seule et les besoins d'un combat à outrance pouvaient lui faire un crime d'un acte utile à la patrie. Voy. Spengel, *l. c.*, p. 64.

6-7. Καὶ προείλετο καὶ κατώρθωσε. Au dénouement fatal, dont il ne porte pas la faute (§ 284), Démosthène oppose ici, comme plus haut, les nobles résolutions qu'il inspira et les succès obtenus, grâce à lui, dans le cours de la guerre.

12-14. Πυθοκλέους. Cf. *Ambassade*, §§ 225, 314. Il fut, ainsi que Hégémon, mis à mort en même temps que Phocion. Voy. Plutarque, *Phoc.*, 35. — Ἔτ' ἄμεινον, d'autant plus. Cette locution semble avoir quelque chose de familier.

19-20. Ἐπὶ τοῖς κοινοῖς ἀτυχήμασιν ὧν ἐφρόνουν λαβόντας ἄδειαν, qui avaient gagné aux malheurs publics de pouvoir manifester leurs sentiments en sécurité.

ὑπολαμβάνοντες τὸν ἐροῦντ' ἐπὶ τοῖς τετελευτηκόσι καὶ τὴν ἐκείνων ἀρετὴν κοσμήσοντα μήθ' ὁμωρόφιον μήθ' ὁμόσπονδον γεγενημένον εἶναι τοῖς πρὸς ἐκείνους παραταξαμένοις, μηδ' ἐκεῖ μὲν κωμάζειν καὶ παιωνίζειν ἐπὶ ταῖς τῶν Ἑλλήνων συμφοραῖς μετὰ τῶν αὐτοχείρων τοῦ φόνου, δεῦρο δ' ἐλθόντα τιμᾶσθαι, μηδὲ τῇ φωνῇ δακρύειν ὑποκρινόμενον τὴν ἐκείνων τύχην, ἀλλὰ τῇ ψυχῇ συναλγεῖν· τοῦτο δ' ἑώρων παρ' ἑαυτοῖς καὶ παρ' ἐμοί, παρὰ δ' ὑμῖν οὔ. [288] Διὰ ταῦτ' ἔμ' ἐχειροτόνησαν καὶ οὐχ ὑμᾶς. Καὶ οὐχ ὁ μὲν δῆμος οὕτως, οἱ δὲ τῶν τετελευτηκότων πατέρες καὶ ἀδελφοὶ οἱ ὑπὸ τοῦ δήμου τόθ' αἱρεθέντες ἐπὶ τὰς ταφὰς ἄλλως πως, ἀλλά, δέον ποιεῖν αὐτοὺς τὸ περίδειπνον, ὡς παρ' οἰκειοτάτῳ τῶν τετελευτηκότων, ὥσπερ τἄλλ' εἴωθε γίγνεσθαι, τοῦτ' ἐποίησαν παρ' ἐμοί. Εἰκότως· γένει μὲν γὰρ ἕκαστος ἑκάστῳ μᾶλλον οἰκεῖος ἦν ἐμοῦ, κοινῇ δὲ πᾶσιν οὐδεὶς ἐγγυτέρω· ᾧ γὰρ ἐκείνους σωθῆναι καὶ 322
κατορθῶσαι μάλιστα διέφερεν, οὗτος καί, παθόντων ἃ μήποτ' ὤφελον, τῆς ὑπὲρ ἁπάντων λύπης πλεῖστον μετεῖχεν.

[289] Λέγε δ' αὐτῷ τουτὶ τὸ ἐπίγραμμα, ὃ δημοσίᾳ προείλεθ' ἡ πόλις αὐτοῖς ἐπιγράψαι, ἵν' εἰδῇς, Αἰσχίνη, καὶ ἐν αὐτῷ τούτῳ σαυτὸν ἀγνώμονα καὶ συκοφάντην ὄντα καὶ μιαρόν. Λέγε.

NC. 1. ὑπελάμβανον A. — ἐροῦντα τότ' F. — 4. παιανίζειν vulg. — 5. δεῦρ' ἐλθόντα S¹. — ἐλθόντας F. — 6. καὶ μηδὲ avant Reiske. — ὑποκρινόμενον A. ὑποκρινομένους S, L, vulg. — 10. οἱ ὑπὸ S et L. ὑπὸ vulg. — 12. οἰκειοτάτωι S. — 15. ἐκείνους S et L. τὸ ἐκείνους vulg. — 18. τοῦτο vulg.

1. Ὑπολαμβάνοντες, « parce qu'ils pensaient » : sous-ent. οὐ σὲ ἐχειροτόνησαν, ἀλλ' ἐμέ. Cf. §§ 285 et 288.

2-4. Ὁμόσπονδον s'explique par ἐκεῖ.... παιωνίζειν. Philippe invita les ambassadeurs athéniens au festin qu'il donna. Voy. Théopompe chez Athénée, X, p. 435 B, et les autres passages cités par A. Schæfer, III, p. 23 sq. Cf. aussi *Ambass.*, § 128. — Γεγενημένον εἶναι : peut-être pour éviter la répétition de γεγενῆσθαι. Cependant εἶναι suffirait, et aurait même plus de force.

9-10. Οὐχ ὁ μέν.... La négation porte sur l'ensemble des deux membres de phrase, comme aux §§ 13, 179 et ailleurs.

13. Ὥσπερ τἄλλ' εἴωθε γίγνεσθαι, comme cela se fait habituellement dans les autres occasions, dans les funérailles particulières.

14-15. Γένει μὲν.... ἐγγυτέρω. Cf. Sophocle, *Œd. Roi*, 62 : Τὸ μὲν γὰρ ὑμῶν ἄλγος εἰς ἕν' ἔρχεται ‖ μόνον καθ' αὑτόν, κοὐδέν' ἄλλον· ἡ δ' ἐμὴ ‖ ψυχὴ πόλιν τε κἀμὲ καὶ σ' ὁμοῦ στένει.

19-20. Καὶ ἐν αὐτῷ τούτῳ, aussi d'après cette inscription même. Cf. *Lept.*, § 158 : Ἔν γε τοῖς παρ' ὑμῖν νόμοις ἐξέσται; *Lettre* III, § 6 : Πολλὰ τῶν δικαίων ἐν τῷ φῆσαι Λυκοῦργον ἐκρίνετε. Sophocle, *Ant.*, 925 : Ἀλλ' εἰ μὲν οὖν τάδ' ἐστὶν ἐν θεοῖς καλά.

ΕΠΙΓΡΑΜΜΑ.

Οἵδε πάτρας μὲν ἑκὰς σφετέρας εἰς δῆριν ἔθεντο
ὅπλα καὶ ἀντιπάλων ὕβριν ἀπεσκέδασαν.
Μαρνάμενοι δ' ἄρεως τε καὶ αἵματος οὐκ ἐσάωσαν

NC. 2-7. οἵδε.... ἔπορεν. Ces vers sont omis dans S, A, L : ce qui a, sans doute, contribué au mauvais état où se trouve leur texte, mais ne prouve rien contre leur authenticité. Les vers de Solon (*Ambass.*, § 255) manquent dans les mêmes manuscrits; ceux de Sophocle (*ib.*, § 247) manquent dans A; l'inscription poétique (*Halonn.*, § 40) est omise dans S et ajoutée d'une autre main dans L. Voy. la collation, par M. H. Vitelli (Florence, 1876, p. 11), des manuscrits de Florence qui contiennent ce discours. Condamnés par Karsten (*Verslagen en Mededeelingen der K. Akademie*, 1re série, IV, 1), comme indignes du siècle de Démosthène, les présents vers passent pour apocryphes aux yeux de beaucoup de critiques. Kaibel (*De monumentorum aliquot græc. carminibus*, Bonn, 1871) regarde comme la véritable épigramme en l'honneur des guerriers morts à Chéronée celle qui figure dans l'*Anthologie Palat.*, VII, 245, sous le nom de Gætulicus, et dont il a reconnu des fragments sur un marbre antique. La voici :

Ὦ χρόνε, παντοίων θνητοῖς πανεπίσκοπε δαίμων,
ἄγγελος ἡμετέρων πᾶσι γενοῦ παθέων·
ὡς ἱερὰν σῴζειν πειρώμενον Ἑλλάδα χώραν
Βοιωτῶν κλεινοῖς θνήσκομεν ἐν δαπέδοις.

Voyez nos notes explicatives plus bas. L. Spengel (*Sitzungsberichte der philos.... Classe der k. bayerischen Akad. der Wiss.*, 1875, I, p. 287) défend l'authenticité du morceau. Il a raison; mais, comme il s'en tient au texte des manuscrits, je crains qu'il n'ait pas convaincu beaucoup de lecteurs. J'ai motivé mes corrections dans un mémoire lu à l'Académie des inscriptions et belles-lettres le 17 novembre 1876 et inséré dans le premier numéro de la *Revue de Philologie.* — 2. πάτρας μὲν ἑκὰς σφετέρας est notre correction, justifiée par les mots ὕβριν ἀπεσκέδασαν et par p. 553, l. 4. La leçon πάτρας ἕνεκα σφετέρας était mauvaise, à côté de οὕνεκεν Ἑλλήνων, amené *ib.*, l. 2, sans que rien indiquât le rapport entre ces deux idées. — 4. J'écris ἄρεως τε καὶ αἵματος pour ἀρετῆς καὶ δείματος. Toutes les conjectures (et elles sont nombreuses) avaient porté sur μαρνάμενοι, ou sur καὶ δείματος, sans aboutir à un résultat satisfaisant. La plus acceptable était celle de Passow : μνησάμενοι δ' ἀρετῆς καὶ λήματος. D'autres ont voulu expliquer une leçon inintelligible en rattachant les génitifs ἀρετῆς καὶ δείματος à βραβῆ : « juge de la vertu et de l'effroi, c'est-à-dire du courage et de la timidité. » C'était forcer à la fois la construction et le sens des mots.

2-3. Εἰς δῆριν ἔθεντο ὅπλα. Le poëte a varié la phrase homérique (*Il.*, XVII., 157) : Ἀνδράσι δυσμενέεσσι πόνον καὶ δῆριν ἔθεντο. — Ἀντιπάλων ὕβριν ἀπεσκέδασαν. Ces mots, dont Spengel avait deviné le sens, se comprennent maintenant, grâce au complément commun aux deux membres de phrase, πάτρας ἑκὰς σφετέρας. En marchant au-devant de l'ennemi et lui offrant la bataille en dehors de l'Attique, les Athéniens détournèrent de leur propre pays les excès (ὕβριν) de l'invasion. Cf. § 230 sq. *Epitaphios*, § 20 : Νομίζω τοίνυν καὶ τοῦ τῆς χώρας μὴ ἐπιβῆναι τοὺς πολεμίους.... τὴν τούτων ἀρετὴν αἰτίαν γεγενῆσθαι. Lycurgue, *Léocr.*, § 46 : Τοῖς πολεμίοις ἀπήντησαν ἐπὶ τοῖς ὁρίοις τῆς Βοιωτίας.... οὐδὲ τὴν χώραν κακῶς ποιεῖν προέμενοι τοῖς ἐχθροῖς.

4-1. Ἄρεως τε καὶ αἵματος.... ψυχάς,

ψυχάς, ἀλλ' Ἀΐδην κοινὸν ἔθεντο βραβῆ,
οὕνεκεν Ἑλλήνων, ὡς μὴ ζυγῷ αὐχένα θέντες
δουλοσύνης στυγερὰν ἀμφὶς ἔχωσιν ὕβριν.
Γαῖα δὲ πατρὶς ἔχει κόλποις τῶν πλεῖστα καμόντων
σώματ', ἐπεὶ θνητοῖς ἐκ Διὸς ἥδε κρίσις.
Μηδὲν ἁμαρτεῖν ἐστι θεῶν καὶ πάντα κατορθοῦν,
ἐν βροτέᾳ μοίρᾳ δ' ἔκ τι φυγεῖν ἔπορον.

NC. 1. βραβῆ J. G. Schneider. βραβῆν manuscrits. — 2. ζυγὸν αὐχένι θέντες manuscrits : ce qui ne pourrait se dire que des oppresseurs. θεῖσαν Vœmel. θέντων Spengel. J'avais écrit ζυγῷ αὐχένα δόντες. Aujourd'hui je pense avec Vitelli (*Publicazioni del R. Instituto di studj superiori in Firenze*, 1877) que θέντες peut être conservé. — 6. θεοῦ Dindorf, d'après Libanios, *Epist.* 1554; Suidas, art. Συγγνώμονα. — 7. ἐν βιοτῇ· μοῖραν δ' οὔτι φυγεῖν (ou φεύγειν) ἔπορεν, ou ἔπορον, manuscrits. Les uns expliquaient : « Il dépend des dieux que (les hommes) n'échouent en rien et soient toujours heureux dans la vie; mais Zeus ne (leur) a pas donné d'échapper à la mort. » Pensée qui n'est ni juste, ni clairement exprimée, ni appropriée à la circonstance : elle s'appliquerait mieux à une victoire qu'à une défaite. Les autres ponctuaient après κατορθοῦν, et expliquaient : « Il appartient aux dieux de n'échouer en rien et de tout accomplir heureusement; mais dans la vie (des hommes) Zeus n'a pas donné d'échapper au destin. » Mais les mots ἐν βιοτῇ ne peuvent avoir le sens qu'on y attache; et, d'après les idées des Grecs, les dieux ne sont pas non plus soustraits au pouvoir du destin. Bergk (*Lyrici Græci*, 2e édition, p. 644) proposait ἐν βροτέῃ, sous-entendu γενεῇ. Je n'admets pas une ellipse pareille, mais je me sers de cette belle conjecture pour corriger le texte plus discrètement que je n'avais fait dans la première édition.

ils n'ont pas voulu sauver leur vie (se sauver) du carnage de la bataille. Cf. Homère, *Il.*, XVII, 452 : Αὐτομέδοντα σαώσετον ἐκ πολέμοιο. XI, 194 : Ἕκτορα δ' ἐκ βελέων ὕπαγε Ζεὺς ἔκ τε κονίης | ἔκ τ' ἀνδροκτασίης ἔκ θ' αἵματος ἔκ τε κυδοιμοῦ. Sans préposition, Sophocle, *Antig.*, 1162 : Σώσας μὲν ἐχθρῶν τήνδε Καδμείων χθόνα. — Ἀΐδην κοινὸν ἔθεντο βραβῆ, ils prirent pour arbitre entre eux et les ennemis Pluton, qui frappe indifféremment les deux parties combattantes : c'est-à-dire ils affrontèrent la mort. L'épithète κοινός a le même sens dans Homère, *Il.*, XVIII, 309 : Ξυνὸς Ἐνυάλιος, καί τε κτανέοντα κατέκτα. Cf. *Odyssée*, XI, 537 : Ἐπιμὶξ δέ τε μαίνεται Ἄρης.

2. Ζυγῷ αὐχένα θέντες. Cf. Théognis, v. 1023 : Οὔποτε τοῖς ἐχθροῖσιν ὑπὸ ζυγὸν αὐχένα θήσω. Euripide, *Hécube*, 376 : Αὐχέν' ἐντιθεὶς ζυγῷ.

3. Δουλοσύνης.... ἀμφὶς ἔχωσιν ὕβριν. L'outrage de la servitude est le joug qui a serré le cou de côté et d'autre. Simcox rapproche Homère, *Od.*, III, 486 : Σεῖον ζυγὸν ἀμφὶς ἔχοντες.

4. Γαῖα δὲ πατρὶς ἔχει κόλποις. Ils avaient combattu πάτρας ἑκὰς σφετέρας (v. 1); mais la patrie reconnaissante les a reçus dans son sein. Transportés dans l'Attique, leurs cendres reposent dans le tombeau commun (ἐν τοῖς δημοσίοις μνήμασι, § 208) sur lequel ces vers se trouvent inscrits. — Τῶν πλεῖστα καμόντων. Cf. Homère, *Il.*, VIII, 22 : Οὐδ' εἰ μάλα πολλὰ κάμοιτε.

5. Ἐπεὶ.... κρίσις, puisque cette décision (le résultat des batailles) dépend de Zeus. Si ἥδε se rapportait à la phrase qui suit, cette dernière serait tournée autrement. Cependant l'idée indiquée ici sera développée dans le distique suivant. Les guerriers morts pour la liberté des Hellènes sont dignes de l'honneur qu'on leur a rendu, quoiqu'ils n'aient pas été victorieux. Le poëte touche ce point délicatement : il fait allusion à la défaite, sans la rappeler en propres termes.

6-7. Μηδὲν ἁμαρτεῖν.... ἔπορον. Le

[290] Ἀκούεις, Αἰσχίνη; [καὶ ἐν αὐτῷ τούτῳ] « μηδὲν ἁμαρ« τεῖν ἐστι θεῶν καὶ πάντα κατορθοῦν ». Οὐ τῷ συμβούλῳ τὴν τοῦ κατορθοῦν τοὺς ἀγωνιζομένους ἀνέθηκε δύναμιν, ἀλλὰ τοῖς θεοῖς. Τί οὖν, ὦ κατάρατ', ἐμοὶ περὶ τούτων λοιδορεῖ, καὶ λέγεις ἃ σοὶ καὶ τοῖς σοῖς οἱ θεοὶ τρέψειαν εἰς κεφαλήν;

[291] Πολλὰ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ἄλλα κατηγορηκότος αὐτοῦ καὶ κατεψευσμένου, μάλιστ' ἐθαύμασα πάντων ὅτε τῶν συμβεβηκότων τότε τῇ πόλει μνησθεὶς οὐχ ὡς ἂν εὔνους καὶ δίκαιος πολίτης ἔσχε τὴν γνώμην, οὐδ' ἐδάκρυσεν, οὐδ' ἔπαθε τοιοῦτον οὐδὲν τῇ ψυχῇ, ἀλλ' ἐπάρας τὴν φωνὴν καὶ
323 γεγηθὼς καὶ λαρυγγίζων ᾤετο μὲν ἐμοῦ κατηγορεῖν δηλονότι, δεῖγμα δ' ἐξέφερεν καθ' ἑαυτοῦ, ὅτι τοῖς γεγενημένοις ἀνιαροῖς

NC. 1. καὶ ἐν αὐτῷ τούτῳ : mots bien placés après Αἰσχίνη au paragraphe 289, et répétés ici par erreur. [Reiske et Spengel.] — μηδὲν S, A. ὡς τὸ μηδὲν L, vulg. τὸ Μηδὲν Vœmel et d'autres. — 2. θεῶν vulg. θεον, changé en θεων, S. θεοῦ A. — 2-3. οὐ τῷ.... κατορθοῦν : mots oubliés, après κατορθοῦν, dans le texte de S. — 5. οἱ θεοὶ : omis dans L seul. — 7-8. μάλιστα ἐθαύμασα πάντων ὅτε S, A. ἐν μάλιστα ἐθαύμασα ἁπάντων, ὅτι vulg. — 8. ἀναμνησθεὶς avant Reiske. — 9. οὐδὲ δίκαιος F. — 10. οὐδὲν τοιοῦτον vulg. — [τῇ ψυχῇ] Herwerden. — 12. δεγμα S[1].

premier de ces deux vers est attribué par le scholiaste Laurentien de Grégoire de Nazianze (fol. 304, *recto*) à l'élégie de Simonide sur la bataille de Marathon. (Voy. Kirchhoff, dans *Hermes*, VI, p. 487.) L'emprunt d'un vers devenu proverbial se comprend aisément. Thémistios (*Or.* XXII, p. 276 B) le cite comme étant inscrit Ἀθήνησιν ἐν τῷ τάφῳ τῷ δημοσίῳ. Cela prouve tout au moins que Thémistios le lisait déjà dans son exemplaire de ce discours. — Ἔχ τι φυγεῖν est opposé à μηδὲν ἁμαρτεῖν. Cf. § 33; *Symm.*, § 15 : Ὅσα μὲν πώποθ' ἅπαντες ἐβουλήθητε.... οὐδὲν πώποθ' ὑμᾶς ἐξέφυγεν.

1-2. Μηδὲν ἁμαρτεῖν.... πάντα κατορθοῦν. Kirchhoff et Kaibel (*Epigrammata Græca ex lapidibus conlecta*, Berlin, 1878, p. 11) regardent ces mots comme interpolés. Mais ils ont beau les éliminer, il suffit des mots suivants pour se convaincre que Démosthène n'avait pas en vue les deux distiques de l'*Anthologie Palatine* que nous avons cités plus haut. Que ces distiques proviennent du monument des guerriers morts à Chéronée, on peut l'admettre; mais ce monument portait sans doute plusieurs épigrammes. Voyez les trois épigrammes pour les citoyens morts devant Potidée dans *C. I. A.* I, 442, et les trois épigrammes citées par Eschine, *Ctésiph.*, § 181-185.

2-4. Οὐ τῷ συμβούλῳ.... τοῖς θεοῖς. Ici, comme ailleurs, Démosthène abuse quelque peu du texte qu'il cite. Dans l'épigramme, les mots πάντα κατορθοῦν veulent dire « réussir en tout »; il les interprète « faire tout réussir ». — Ἀνέθηκε a pour sujet τὸ ἐπίγραμμα, ou plutôt ἡ πόλις ἡ ἐπιγράψασα τὸ ἐπίγραμμα (§ 289). Cf. φησίν, *Ambass.*, § 62.

8. Τῶν συμβεβηκότων.... τῇ πόλει μνησθείς. Je ne vois pas trop à quel passage du discours laissé par Eschine ces mots peuvent s'appliquer; on pense généralement aux paragraphes 132 sqq.

11. Λαρυγγίζων. Harpocration : Λαρυγγίζειν τὸ πλατύνειν τὴν φωνὴν καὶ μὴ κατὰ φύσιν φθέγγεσθαι, ἀλλ' ἐπιτηδεύειν περιεργότερον τῷ λάρυγγι χρῆσθαι ἐλέγετο.

12. Τοῖς.... ἀνιαροῖς équivaut à ἐπὶ τοῖς ἀνιαροῖς. Cf. § 217 : Δυσμεναίνων τοῖς κοινοῖς ἀγαθοῖς.

οὐδὲν ὁμοίως ἔσχε τοῖς ἄλλοις. [292] Καίτοι τὸν τῶν νόμων καὶ τῆς πολιτείας φάσκοντα φροντίζειν, ὥσπερ οὗτος νυνί, καὶ εἰ μηδὲν ἄλλο, τοῦτό γ' ἔχειν δεῖ, ταὐτὰ λυπεῖσθαι καὶ ταὐτὰ χαίρειν τοῖς πολλοῖς, καὶ μὴ τῇ προαιρέσει τῶν κοινῶν ἐν τῷ τῶν ἐναντίων μέρει τετάχθαι· ὃ σὺ νυνὶ πεποιηκὼς εἶ φανερός, ἐμὲ πάντων αἴτιον καὶ δι' ἐμὲ εἰς πράγματα φάσκων ἐμπεσεῖν τὴν πόλιν, οὐκ ἀπὸ τῆς ἐμῆς πολιτείας οὐδὲ προαιρέσεως ἀρξαμένων ὑμῶν τοῖς Ἕλλησι βοηθεῖν, [293] ἐπεί, ἔμοιγ' εἰ τοῦτο δοθείη παρ' ὑμῶν, δι' ἔμ' ὑμᾶς ἠναντιῶσθαι τῇ κατὰ τῶν Ἑλλήνων ἀρχῇ πραττομένῃ, μείζων ἂν δοθείη δωρειὰ συμπασῶν ὧν τοῖς ἄλλοις δεδώκατε. Ἀλλ' οὔτ' ἂν ἐγὼ ταῦτα φήσαιμι (ἀδικοίην γὰρ ἂν ὑμᾶς), οὔτ' ἂν ὑμεῖς εὖ οἶδ' ὅτι συγχωρήσαιτε· οὗτός τ' εἰ δίκαι' ἐποίει, οὐκ ἂν εἵνεκα τῆς πρὸς ἔμ' ἔχθρας τὰ μέγιστα τῶν ὑμετέρων καλῶν ἔβλαπτεν καὶ διέβαλλεν.

[294] Ἀλλὰ τί ταῦτ' ἐπιτιμῶ, πολλῷ σχετλιώτερ' ἄλλα κατηγορηκότος αὐτοῦ καὶ κατεψευσμένου; ὃς γὰρ ἐμοῦ φιλιππισμόν, ὦ γῆ καὶ θεοί, κατηγορεῖ, τί οὗτος οὐκ ἂν εἴποι; Καίτοι νὴ τὸν Ἡρακλέα καὶ πάντας θεούς, εἴ γ' ἐπ' ἀληθείας δέοι σκοπεῖσθαι, τὸ καταψεύδεσθαι καὶ δι' ἔχθραν τι λέγειν ἀνελόντας ἐκ μέσου, τίνες ὡς ἀληθῶς εἰσὶν οἷς ἂν εἰκότως καὶ δικαίως τὴν τῶν γεγενημένων αἰτίαν ἐπὶ τὴν κεφαλὴν ἀναθεῖεν ἅπαντες, τοὺς ὁμοίους τούτῳ παρ' ἑκάστῃ τῶν πόλεων εὕροιτ' 324 ἄν, οὐ τοὺς ἐμοί· [295] οἵ, ὅτ' ἦν ἀσθενῆ τὰ Φιλίππου πράγματα καὶ κομιδῇ μικρά, πολλάκις προλεγόντων ἡμῶν καὶ παρακαλούντων καὶ διδασκόντων τὰ βέλτιστα, τῆς ἰδίας ἕνεκ' αἰσχροκερδίας τὰ κοινῇ συμφέροντα προΐεντο, τοὺς ὑπάρχοντας

NC. 3. δεῖ ταὐτὰ S. δεῖ τὸ ταὐτὰ vulg. — 9. Après ὑμῶν, la vulgate porte τοσαῦτα. — 14. ἔβλαπτεν S. — 19. πάντας τοὺς θεοὺς F. — 23-24. εὕροι τις ἂν L et vulg. — οὐχὶ vulg.

4. Τῇ προαιρέσει τῶν κοινῶν équivant à τῇ προαιρέσει τῆς πολιτείας. [G. H. Schæfer.]

10. Πραττομένῃ équivaut à κατασκευαζομένῃ. Cf. *Aristocr.*, § 14 : Ὁ Κερσοβλέπτῃ πράττων τὴν ἀρχὴν Χαρίδημος.

14-15. Τὰ μέγιστα.... διέβαλλεν. Démosthène aime à confondre ainsi sa cause avec la gloire d'Athènes. Aussi y revient-il plusieurs fois. Cf. §§ 125, 207.

17. Φιλιππισμόν. Cf. §§ 23 et 228.

27-1. Τοὺς ὑπάρχοντας ἕκαστοι πο-

ἕκαστοι πολίτας ἐξαπατῶντες καὶ διαφθείροντες, ἕως δούλους ἐποίησαν, Θετταλοὺς Δάοχος, Κινέας, Θρασύδαος, Ἀρκάδας Κερκιδᾶς, Ἱερώνυμος, Εὐκαμπίδας, Ἀργείους Μύρτις, Τελέδαμος, Μνασέας, Ἠλείους Εὐξίθεος, Κλεότιμος, Ἀρίσταιχμος, Μεσσηνίους οἱ Φιλιάδου τοῦ θεοῖς ἐχθροῦ παῖδες Νέων καὶ Θρασύλοχος, Σικυωνίους Ἀρίστρατος, Ἐπιχάρης, Κορινθίους Δείναρχος, Δημάρετος, Μεγαρέας Πτοιόδωρος, Ἕλιξος, Περίλαος, Θηβαίους Τιμόλας, Θεογείτων, Ἀνεμοίτας, Εὐβοᾶς Ἵππαρχος, Κλείταρχος, Σωσίστρατος. Ἐπιλείψει με λέγονθ' ἡ ἡμέρα τὰ τῶν προδοτῶν ὀνόματα. [296] Οὗτοι πάντες εἰσὶν, ἄνδρες Ἀθηναῖοι, τῶν αὐτῶν βουλευμάτων ἐν ταῖς αὐτῶν πατρίσιν ὧνπερ οὗτοι παρ' ὑμῖν, ἄνθρωποι μιαροὶ καὶ κόλακες καὶ ἀλάστορες, ἠκρωτηριασμένοι τὰς ἑαυτῶν ἕκαστοι πατρίδας,

NC. 2. Κεινέας Harpocration. — Θρασύδαος S, L. Variantes : Θρασύδαιος, Θρασύλαος, Θρασύβουλος. — 3. Εὐκαλπίδας F. — Variante : Μύρτης. — 4. Πασέας Théopompe chez Harpocration. — 7. Δημάρετος S, L, A. Δημάρατος vulg. — 7-8. Variante : Πέριλλος. S et L seuls : Περίαλος. — 8. Τιμόλαος vulg. Cf. § 48. — Θεογείτων. Dinarque, *Démosth.*, § 74, l'appelle Θεαγένης ou Θεογένης. — 9. Σωσίστρατος. Dans *Phil.*, III, 59, il est question d'un certain Σωκράτης d'Oréos. Ce dernier nom a-t-il été altéré, et s'agit-il du même personnage dans les deux passages? Les lettres ισ et κ se confondent facilement. — επιλιψει S[1].

λίτας, chacun de ceux qui étaient, avec lui, citoyens d'un État libre. Ὑπάρχοντας πολίτας est opposé à δούλους ἐποίησαν. Je crois que πολίτας signifie ici « concitoyens », sans perdre le sens de « membre d'une πολιτεία ». — Ἕκαστοι est au pluriel, parce que Démosthène nomme plusieurs traîtres dans chaque ville : quatre fois trois, trois fois deux, trois fois trois. — L'histoire doit-elle ratifier ces jugements sommaires, cette exécution en bloc? Théopompe (dans Athénée, VI, p. 249 C) disait du Thessalien Thrasydée, qu'il était un petit esprit, mais un grand flatteur : μικρὸν μὲν ὄντα τὴν γνώμην, κόλακα δὲ μέγιστον. Le même historien (*ib.*, X, p. 436 B) donnait le Thébain Timolas pour l'un des hommes les plus débauchés de son temps. Le souvenir d'Aristrate, tyran de Sicyone, était odieux à Aratos (cf. Plutarque, *Ar.*, 16). Quant aux menées de Ptéodore et de Périlaos à Mégare, voy. *Ambass.*, § 295. Hipparque et Clitarque, tyrans d'Érétrie, grâce aux soldats de Philippe, sont connus par *Phil.* III, § 58. Cependant Démosthène est trop disposé à taxer de trahison quiconque lui faisait obstacle dans sa lutte contre la Macédoine et pour la prééminence d'Athènes. Polybe (XVII, 14) dit qu'il y avait dans ce nombre des hommes honorables, et il défend particulièrement les citoyens de l'Arcadie et de Messène qui s'appuyaient sur Philippe, comme autrefois sur Épaminondas, pour défendre la liberté de leurs villes contre les entreprises de Sparte.

9-10. Ἐπιλείψει.... ὀνόματα. On rapproche Cicéron, *Verr.*, II, IV, 26, lequel clôt une énumération semblable par les mots : « Vox me citius defecerit quam nomina. »

10-11. Εἰσίν.... τῶν αὐτῶν βουλευμάτων, ils sont les hommes des mêmes conseils, de la même politique. Cf. *Phil.* III, § 56 : Τινὲς δὲ τοῦ βελτίστου (ἦσαν).

13. Ἠκρωτηριασμένοι· ἀντὶ τοῦ λελυμασμένοι· οἱ γὰρ λυμαινόμενοί τισιν εἰώθασιν περικόπτειν αὐτῶν τὰ ἄκρα. [Harpocration.]

τὴν ἐλευθερίαν προπεπωκότες πρότερον μὲν Φιλίππῳ, νῦν δὲ Ἀλεξάνδρῳ, τῇ γαστρὶ μετροῦντες καὶ τοῖς αἰσχίστοις τὴν εὐδαιμονίαν, τὴν δ' ἐλευθερίαν καὶ τὸ μηδέν' ἔχειν δεσπότην αὐτῶν, ἃ τοῖς προτέροις Ἕλλησιν ὅροι τῶν ἀγαθῶν ἦσαν καὶ κανόνες, ἀνατετροφότες.

[297] Ταύτης τοίνυν τῆς οὕτως αἰσχρᾶς καὶ περιβοήτου συστάσεως καὶ κακίας, μᾶλλον δ', ὦ ἄνδρες Ἀθηναῖοι, προδοσίας, 325 εἰ δεῖ μὴ ληρεῖν, τῆς τῶν Ἑλλήνων ἐλευθερίας. ἥ τε πόλις παρὰ πᾶσιν ἀνθρώποις ἀναίτιος γέγονεν ἐκ τῶν ἐμῶν πολιτευμάτων καὶ ἐγὼ παρ' ὑμῖν. Εἶτά μ' ἐρωτᾷς ἀντὶ ποίας ἀρετῆς ἀξιῶ τιμᾶσθαι; ἐγὼ δέ σοι λέγω, ὅτι τῶν πολιτευομένων παρὰ τοῖς Ἕλλησι διαφθαρέντων ἁπάντων, ἀρξαμένων ἀπὸ σοῦ, [πρότερον μὲν ὑπὸ Φιλίππου, νῦν δ' ὑπ' Ἀλεξάνδρου,] [298] ἔμ' οὔτε καιρὸς οὔτε φιλανθρωπία λόγων οὔτ' ἐπαγγελιῶν μέγεθος οὔτ' ἐλπὶς οὔτε φόβος οὔτ' ἄλλ' οὐδὲν ἐπῆρεν οὐδὲ προηγάγετο, ὧν ἔκρινα δικαίων καὶ συμφερόντων τῇ πατρίδι οὐδὲν προδοῦναι, οὐδ', ὅσα συμβεβούλευκα πώποτε τουτοισί, ὁμοίως ὑμῖν, ὥσπερ ἂν τρυτάνη, ῥέπων ἐπὶ τὸ λῆμμα συμβεβούλευκα, ἀλλ'

5. ανατετραφότες S. — 11. δέ S, L. δή vulg. — 13. πρότερον.... Ἀλεξάνδρου. Mots dont la répétition était avec raison suspecte à Dobree. Il faut les supprimer ici, non l. 1-2, où l'on ne saurait s'en passer. — 15. οὔτε φόβος S[1]. οὔτε φόβος οὔτε χάρις L, vulg. — 18. ὡσπερὰν τρυτάνηι S[1], F. ὥσπερ ἐν τρυτάνῃ A. ὥσπερ ἂν εἰ ἐν τρυτάνῃ S[2], L, vulg. Dobree et Cobet regardent ces mots comme une glose provenant du discours de la *Paix*, § 12.

1-3. Προπεπωκότες, qui ont fait cadeau. Cf. la note sur *Olynth.* III, § 22 : *Προπέποται τῆς παραυτίκα χάριτος τὸ τῆς πόλεως πράγματα.* — Τῇ γαστρὶ μετροῦντες.... τὴν εὐδαιμονίαν. On rapproche Cicéron, *De nat. Deor.*, I, 40 : «Omnia quæ ad beatam vitam pertineant «ventre metiri.» — Quant à l'accumulation des métaphores, voy. *Traité du Sublime*, 32 : Ὁ τῆς χρείας δὲ καιρὸς, ἔνθα τὰ πάθη χειμάρρου δίκην ἐλαύνεται, καὶ τὴν πολυπλήθειαν αὐτῶν (sc. τῶν μεταφορῶν) ἀναγκαίαν ἐνταῦθα συνεφέλκεται.

4. Ἦσαν : pluriel amené par l'attribut ὅροι. Cf. Krüger, *Gr. Spr.*, § 63, 6.

8. Εἰ δεῖ μὴ ληρεῖν, s'il faut appeler les choses par leur nom. Cf. Eschine, *Ctés.*, § 143 : Τὴν δὲ κατὰ γῆν (sc. ἡγεμονίαν), εἰ μὴ δεῖ ληρεῖν, ἄρδην φέρων ἀνέθηκε Θηβαίοις.

10. Εἶτά μ' ἐρωτᾷς. Réponse à Eschine, § 236 : Ἡδέως δ' ἂν ἔγωγε, ὦ Ἀθηναῖοι, ἐναντίον ὑμῶν ἀναλογισαίμην πρὸς τὸν γράψαντα τὸ ψήφισμα, διὰ ποίας εὐεργεσίας ἀξιοῖ Δημοσθένην στεφανῶσαι.

12. Ἀρξαμένων ἀπὸ σοῦ, à commencer par toi. Cf. *Phil.* III, § 22.

17-18. Ὁμοίως ὑμῖν, à votre exemple. — Ὥσπερ ἂν τρυτάνη, comme la languette d'une balance (incline vers le plateau chargé). Voy. *Paix*, § 12, où cette comparaison se trouve plus développée. Hirschig rapproche à propos Lucien, *Amours*, 4 : Ἐγὼ μὲν γὰρ ὁ πληγεὶς ἑκατέρῳ, καθάπερ ἀκριβὴς τρυτάνη ταῖς ἐπ' ἀμφότερα πλάστιγξιν, ἰσορρόπως ταλαντεύομαι.

ἀπ' ὀρθῆς καὶ δικαίας καὶ ἀδιαφθόρου τῆς ψυχῆς, καὶ μεγίστων δὴ πραγμάτων τῶν κατ' ἐμαυτὸν ἀνθρώπων προστὰς πάντα ταῦθ' ὑγιῶς καὶ δικαίως πεπολίτευμαι. [299] Διὰ ταῦτ' ἀξιῶ τιμᾶσθαι. Τὸν δὲ τειχισμὸν τοῦτον, ὃν σύ μου διέσυρες, καὶ τὴν ταφρείαν ἄξια μὲν χάριτος καὶ ἐπαίνου κρίνω, πῶς γὰρ οὔ; πόρρω μέντοι που τῶν ἐμαυτῷ πεπολιτευμένων τίθεμαι. Οὐ λίθοις ἐτείχισα τὴν πόλιν οὐδὲ πλίνθοις ἐγώ, οὐδ' ἐπὶ τούτοις μέγιστον τῶν ἐμαυτοῦ φρονῶ· ἀλλ' ἐὰν τὸν ἐμὸν τειχισμὸν βούλῃ δικαίως σκοπεῖν, εὑρήσεις ὅπλα καὶ πόλεις καὶ τόπους καὶ λιμένας καὶ ναῦς καὶ [πολλοὺς] ἵππους καὶ τοὺς ὑπὲρ τούτων ἀμυνουμένους. [300] Ταῦτα προυβαλόμην ἐγὼ πρὸ τῆς Ἀττικῆς, ὅσον ἦν ἀνθρωπίνῳ λογισμῷ δυνατόν, καὶ τούτοις
326 ἐτείχισα τὴν χώραν, οὐχὶ τὸν κύκλον τοῦ Πειραιῶς οὐδὲ τοῦ ἄστεως. Οὐδέ γ' ἡττήθην ἐγὼ τοῖς λογισμοῖς Φιλίππου, πολλοῦ γε καὶ δεῖ, οὐδὲ ταῖς παρασκευαῖς, ἀλλ' οἱ τῶν συμμάχων

NC. 1. ψυχῆς πάντα (ou τὰ πάντα) μοι πέπρακται vulg. — 2. τῶν omis par S[1]. — 7. οὐ γὰρ λίθοις avant Bekker. — 10. πολλοὺς a été mis entre crochets par Reiske. καὶ ἵππους καὶ πολλοὺς τοὺς G. H. Schæfer, Dindorf. La faute viendrait-elle de ὅπλα καὶ ἵππους, mots qui pouvaient flotter entre cette place et celle du commencement? On aurait ainsi trois groupes binaires, et cette conjecture a pour elle la citation abrégée de Plutarque, *De sui laude*, 12 : Εὑρήσεις καὶ ὅπλα καὶ ἵππους καὶ συμμάχους. Cependant Hermogène, III, p. 431 Walz, ainsi que l'Anonyme, *de Fig.*, VIII, p. 633, cite εὑρήσεις ὅπλα καὶ πόλεις καὶ συμμάχους; Tibère, *de Fig*, ib., p. 548 : ὅπλα καὶ πόλεις; enfin Aristide, IX, p. 352 : ὅπλα καὶ πόλεις καὶ τόπους καὶ λιμένας. — 11. ἀμυνομένους S, L, vulg. Variante : ἀγωνιζομένους. — 13. τὸν κύκλον μόνον F et vulg.

1. Ὃν σύ μου διέσυρες. Cf. τοῦτό μου διαβάλλει, § 28, avec la note. Eschine (§ 236) avait dit qu'il aurait mieux valu ne pas mettre la ville dans la nécessité de faire des travaux de défense : τοῦ γὰρ ταῦτ' ἐξεργασθῆναι καλῶς τὸ γεγενῆσθαι τούτων αἴτιον μείζω κατηγορίαν ἔχει.

7. Οὐ λίθοις ἐτείχισα τὴν πόλιν. On rapproche le mot de Lycurgue (Plutarque, *Lyc.*, 19) : Οὐκ ἂν εἴη ἀτείχιστος πόλις, ἅτις ἀνδράσι καὶ οὐ πλίνθοις ἐστεφάνωται. Pseudo-Démade, fr. § 2 : Τὸν ἡσύχιον βίον.... ᾧ τὴν Ἀττικὴν ἐτείχισα, τοὺς ὅρους τῆς χώρας περιβαλὼν οὐ λίθοις, ἀλλὰ τῇ τῆς πόλεως ἀσφαλείᾳ. Si l'orateur ajoute οὐδὲ πλίνθοις, c'est qu'une partie des murs d'Athènes, construits avec précipitation, étaient en briques. Cf. Vitruve, II, 8. [Dissen.]

10. Τοὺς ὑπὲρ τούτων (sc. τῶν Ἀθηναίων) ἀμυνουμένους. Ces mots équivalent à συμμάχους. Cf. Plutarque et Hermogène dans *NC*.

14. Φιλίππου dépend de ἡττήθην.

15-1. Οἱ τῶν συμμάχων στρατηγοί. Démosthène parle ainsi, parce que la défaite des Thébains à l'aile droite décida de la journée. Je ne pense pas que ces mots contiennent une improbation indirecte de la condamnation à mort du général athénien Lysiclès : Lycurgue semble l'avoir accusé, non d'avoir contribué au désastre, mais de s'être lâchement conduit après la perte de la bataille.

στρατηγοὶ καὶ αἱ δυνάμεις τῇ τύχῃ. Τίνες αἱ τούτων ἀποδείξεις; ἐναργεῖς καὶ φανεραί. Σκοπεῖτε δέ.

[301] Τί χρῆν τὸν εὔνουν πολίτην ποιεῖν, τί τὸν μετὰ πάσης προνοίας καὶ προθυμίας καὶ δικαιοσύνης ὑπὲρ τῆς πατρίδος πολιτευόμενον; οὐκ ἐκ μὲν θαλάττης τὴν Εὔβοιαν προβαλέσθαι πρὸ τῆς Ἀττικῆς, ἐκ δὲ τῆς μεσογείας τὴν Βοιωτίαν, ἐκ δὲ τῶν πρὸς Πελοπόννησον τόπων τοὺς ὁμόρους ταύτῃ; οὐ τὴν σιτοπομπίαν, ὅπως παρὰ πᾶσαν φιλίαν ἄχρι τοῦ Πειραιῶς κομισθήσεται, προϊδέσθαι; [302] καὶ τὰ μὲν σῶσαι τῶν ὑπαρχόντων ἐκπέμποντα βοηθείας καὶ λέγοντα καὶ γράφοντα τοιαῦτα, τὴν Προκόννησον, τὴν Χερρόνησον, τὴν Τένεδον, τὰ δ' ὅπως οἰκεῖα καὶ σύμμαχ' ὑπάρξει πρᾶξαι, τὸ Βυζάντιον, τὴν Ἄβυδον, τὴν Εὔβοιαν; καὶ τῶν μὲν τοῖς ἐχθροῖς ὑπαρχουσῶν δυνάμεων τὰς μεγίστας ἀφελεῖν, ὧν δ' ἐνέλειπε τῇ πόλει, ταῦτα προσθεῖναι; Ταῦτα τοίνυν ἅπαντα πέπρακται τοῖς ἐμοῖς ψηφίσμασι καὶ τοῖς ἐμοῖς πολιτεύμασιν, [303] ἃ καὶ βεβουλευμέν', ὦ ἄνδρες Ἀθηναῖοι, ἐὰν ἄνευ φθόνου τις βούληται σκοπεῖν, ὀρθῶς εὑρήσει καὶ πεπραγμένα πάσῃ δικαιοσύνῃ, καὶ τὸν ἑκάστου καιρὸν οὐ παρεθέντ' οὐδ' ἀγνοηθέντ' οὐδὲ προεθένθ' ὑπ' ἐμοῦ, καὶ ὅσ' εἰς ἑνὸς ἀνδρὸς δύναμιν καὶ λογισμὸν ἧκεν, οὐδὲν ἐλλειφθέν. Εἰ δ' ἢ δαίμονός τινος ἢ τύχης ἰσχὺς ἢ στρατηγῶν φαυλότης ἢ τῶν προδιδόντων τὰς πόλεις ὑμῶν κακία ἢ πάντα

NC. 8. Πειρεως S[1]. — 13. τὴν Εὔβοιαν. Cette île, déjà nommée parmi les pays voisins de l'Attique, ne doit pas revenir ici, où il s'agit de points éloignés. Les doutes de Markland et de Reiske étaient fondés. Faut-il écrire τὴν Σηλυ(μ)βρίαν? La faute s'explique par l'omission des lettres ηλ. — 14. ἐνέλιπε F. — 15. τοίνυν S, A. τοίνυν ὑμῖν L, F. — 19. προεθέντα S, A. προδοθέντα vulg. πραθέντα Dobree. — 20. ἑνὸς ἀνδρὸς S, L. ἀνδρὸς ἑνὸς vulg.

5-6. Τὴν Εὔβοιαν προβαλέσθαι πρὸ τῆς Ἀττικῆς. On pense qu'Eschine a parodié ce passage, ou plutôt tout ce morceau, en écrivant, § 84 : Ναὶ, ἀλλὰ χαλκοῖς καὶ ἀδαμαντίνοις τείχεσιν, ὥς αὐτός φησι, τὴν χώραν ἡμῶν ἐτείχισε, τῇ τῶν Εὐβοέων καὶ Θηβαίων συμμαχίᾳ.

7-8. Τοὺς ὁμόρους ταύτῃ, nos voisins de ce côté. Ταύτῃ est adverbe, et n'équivaut pas à τῇ Ἀττικῇ. Il faut entendre Mégare, Corinthe, l'Achaïe. Cf. § 237, et, pour l'ensemble de ce passage, §§ 79-89, 229 sq., 240 sq. — Παρὰ πᾶσαν φιλίαν, tout le long de côtes amies.

10. Τοιαῦτα équivaut à οἷα σῶσαι, des résolutions de nature à conserver ce que nous possédions.

13. Τὴν Εὔβοιαν. Cf. *NC*.

19-20. Παρεθέντ(α), négligés. — Προεθέντ(α), livrés. — Ὅσ(α).... ἧκεν. Cf. *Ambass.*, § 30 : Ὅσα τῆς Φωκέων σωτηρίας ἐπὶ τὴν πρεσβείαν ἧκεν.

327 ταῦτ' ἐλυμαίνετο τοῖς ὅλοις, ἕως ἀνέτρεψεν, τί Δημοσθένης ἀδικεῖ; [304] Εἰ, δ' οἷος ἐγὼ παρ' ὑμῖν κατὰ τὴν ἐμαυτοῦ τάξιν, εἷς ἐν ἑκάστῃ τῶν Ἑλληνίδων πόλεων ἀνὴρ ἐγένετο, μᾶλλον δ' εἰ ἕν' ἄνδρα μόνον Θετταλία καὶ ἕν' ἄνδρ' Ἀρκαδία ταὐτὰ φρονοῦντ' ἔσχεν ἐμοί, οὐδένες οὔτε τῶν ἔξω τῶν Πυλῶν Ἑλλήνων οὔτε τῶν εἴσω τοῖς παροῦσι κακοῖς ἐκέχρηντ' ἄν, [305] ἀλλὰ πάντες ἂν ὄντες ἐλεύθεροι καὶ αὐτόνομοι μετὰ πάσης ἀδείας ἀσφαλῶς ἐν εὐδαιμονίᾳ τὰς ἑαυτῶν ᾤκουν πατρίδας, τῶν τοσούτων καὶ τοιούτων ἀγαθῶν ὑμῖν καὶ τοῖς ἄλλοις Ἀθηναίοις ἔχοντες χάριν δι' ἐμέ. Ἵνα δ' εἰδῆθ' ὅτι πολλῷ τοῖς λόγοις ἐλάττοσι χρῶμαι τῶν ἔργων, εὐλαβούμενος τὸν φθόνον, λέγε μοι ταυτὶ καὶ ἀνάγνωθι λαβὼν, τὸν ἀριθμὸν τῶν βοηθειῶν κατὰ τὰ ἐμὰ ψηφίσματα.

ΑΡΙΘΜΟΣ ΒΟΗΘΕΙΩΝ.

[306] Ταῦτα καὶ τοιαῦτα πράττειν, Αἰσχίνη, τὸν καλὸν κἀγαθὸν πολίτην ἔδει, ὧν κατορθουμένων μὲν μεγίστοις ἀναμ-

NC. 1. ταῦτα ἐλυμαίνετο texte de S, L. ταῦτα ἅμα ἐλυμήνατο vulg. — ἀνέτρεψαν S, L. — 2. ει ος (pour εἰ δ' οἷος) S[1]. — ἦν ἐγὼ F. — 5. ἔσχον F. — 5-6. οὐδένες Cobet. οὐδεὶς manuscrits. Mais, plus loin, ἐκέχρηντ' ἂν S et L seuls. ἐκέχρητ' ἂν vulg. — 8. ἀσφαλῶς est retranché par Cobet. — 9. τῶν vulg. τούτων S et, avant correction, L seuls. τούτων τῶν Aristide, II, p. 516 Dind. — 12. λάβε μοι A. Cf. *Amb.*, § 70, *NC.* — 12-14. λαβὼν.... ΒΟΗΘΕΙΩΝ. S et L[1], confondant le texte et le titre, ne portent que λαβων. αριθμος βοηθειων κατα τα εμα ψηφισματα. Plusieurs manuscrits répètent les mots κατὰ τὰ ἐμὰ ψηφίσματα après le titre. — 15. καὶ τὰ τοιαῦτα vulg. — 16. ἔδει L. Spengel, *l. c.*, p. 68. δεῖ manuscrits. — μὲν S, texte de L. μὲν, ὦ γῆ καὶ θεοὶ vulg. — ἐν μεγίστοις vulg.

2. Εἰ δ' οἷος ἐγώ. L'orateur parle de plus en plus en homme qui s'est emparé de l'esprit des juges et qui a gagné sa cause. Le rhéteur Marcellin, IV, p. 422 Walz, fait observer : Ἐν ἀρχῇ καταστέλλει ὁρῶν φλεγμαίνουσαν τῶν δικαστῶν τὴν ὀργήν· « Πρῶτον μὲν, ὦ Ἀθηναῖοι, τοῖς θεοῖς εὔχομαι κτλ. »... ἐν τοῖς ἐπιλόγοις.... τοσοῦτον ἴσχυσεν, ὥστε καὶ ἐκόμπασε περὶ τὴν ἑαυτοῦ πολιτείαν· λέγει γάρ· « Εἰ οἷος ἐγὼ κτλ. »

4. Θετταλία.... Ἀρκαδία. C'étaient les États les plus considérables, le premier, parmi ceux qui marchèrent avec Philippe contre la Grèce, le second parmi ceux qui restèrent neutres dans la lutte décisive. Cf. § 63-64.

5. Οὐδένες. Cf. *Ambass.*, §§ 31, 66, 312, et *passim*.

12. Λέγε.... καὶ ἀνάγνωθι. Pléonasme. Cf. *Ambass.*, § 70.

15-16. Ταῦτα.... ἔδει. Au paragraphe 301, l'orateur avait demandé : Τί χρῆν τὸν εὔνουν πολίτην ποιεῖν; Une série d'autres questions contenant l'énumération indirecte des services rendus par lui, avait

φισβητήτως ὑπῆρχεν εἶναι, καὶ τὸ δικαίως προσῆν, ὡς ἑτέρως δὲ συμβάντων τὸ γοῦν εὐδοκιμεῖν περίεστι καὶ τὸ μηδένα μέμφεσθαι τὴν πόλιν μηδὲ τὴν προαίρεσιν αὐτῆς, ἀλλὰ τὴν τύχην κακίζειν τὴν οὕτω τὰ πράγματα κρίνασαν· [307] οὐ μὰ Δί' οὐκ ἀποστάντα τῶν συμφερόντων τῇ πόλει, μισθώσαντα δ' αὑτὸν τοῖς ἐναντίοις, τοὺς ὑπὲρ τῶν ἐχθρῶν καιροὺς ἀντὶ τῶν τῆς πατρίδος θεραπεύειν, οὐδὲ τὸν μὲν [πράγματ'] ἄξια τῆς πόλεως ὑποστάντα λέγειν καὶ γράφειν καὶ μένειν ἐπὶ τούτων προελόμενον βασκαίνειν, ἂν δέ τις ἰδίᾳ τι λυπήσῃ, τοῦτο μεμνῆσθαι καὶ τηρεῖν, οὐδέ γ' ἡσυχίαν ἄγειν ἄδικον καὶ ὕπουλον, ὃ σὺ 328
ποιεῖς πολλάκις. [308] Ἔστι γάρ, ἔστιν ἡσυχία δικαία καὶ συμφέρουσα τῇ πόλει, ἣν οἱ πολλοὶ τῶν πολιτῶν ὑμεῖς ἁπλῶς ἄγετε. Ἀλλ' οὐ ταύτην οὗτος ἄγει τὴν ἡσυχίαν, πολλοῦ γε καὶ δεῖ, ἀλλ' ἀποστὰς ὅταν αὐτῷ δόξῃ τῆς πολιτείας (πολλάκις δὲ δοκεῖ) φυλάττει πηνίκ' ἔσεσθε μεστοὶ τοῦ συνεχῶς λέγοντος ἢ παρὰ τῆς τύχης τι συμβέβηκεν ἐναντίωμα ἢ ἄλλο τι δύσκολον γέγονεν (πολλὰ δὲ τἀνθρώπινα)· εἶτ' ἐπὶ τούτῳ τῷ καιρῷ ῥήτωρ ἐξαίφνης ἐκ τῆς ἡσυχίας ὥσπερ πνεῦμ' ἐφάνη, καὶ πεφωνασκηκὼς καὶ συνειλοχὼς ῥήματα καὶ λόγους

NC. 4. τούτω, le premier τ pointé, S. — 7. Il me semble que πράγματ' est de trop. — 8. ἐπὶ τοῦτον (τούτων), ou τούτοις, προελόμενον A, L. ἐπὶ τούτων S, F et les derniers éditeurs. — 9. λυπήισηι S. — 10. οὐδέ γ' S, L, A. οὐδὲ vulg. — ὃ σὺ S, L, A. ὡς σὺ vulg. — 15. πηνίκ' S, L. ὁπηνίκα vulg. — ἔσεσθαι S[1] seul. ἐστὲ L, vulg. — 16. ἢ, avant παρὰ, omis par S[1]. — 19. ἀνεφάνη A. — συνειλεχὼς S, L.

été suivie (§ 302) des mots : Ταῦτα τοίνυν ἅπαντα πέπρακται.... Après la lecture d'une pièce plus complète encore, Démosthène répond ici à la première question, en disant : Ταῦτα.... ἔδει.

1-2. Καὶ τὸ δικαίως προσῆν : c'est-à-dire καὶ τῷ μεγίστους εἶναι προσῆν τὸ δικαίως τοῦτο εἶναι. Du reste, cette première partie de la période, ὧν κατορθουμένων μὲν.... ὑπῆρχεν.... προσῆν, est hypothétique ; la seconde, ὡς ἑτέρως δὲ.... περίεστι, est l'expression d'un fait.

4-5. Οὐ μὰ Δί' οὐκ : sous-ent. ἔδει, § 306.

9. Ἂν δέ τις ἰδίᾳ τι λυπήσῃ. Cf. § 277, avec la note.

Ἐπειδὴ δὲ οὐ πρόκειται ἡμῖν περὶ τῆς ἐν Ἀρείῳ πάγῳ βουλῆς, ἀλλὰ περὶ τῶν πεντακοσίων, ἀναγκαῖον μαθεῖν ἡμᾶς πῶς ἦρχεν. Ἰστέον ὅτι οὐκ ἐψήφιζον οἱ Ἀθηναῖοι τοὺς μῆνας κατὰ τὸν ἡλιακὸν δρόμον, ὡς ἡμεῖς, ἀλλὰ κατὰ τὸν σεληνιακόν. Κατὰ γὰρ τὸν ἡλιακὸν ἔχει ὁ ἐνιαυτὸς ἡμέρας τριακοσίας ἑξήκοντα πέντε, ὥστε συμβαίνει ἔχειν τὸν μῆνα ἡμέρας τριάκοντα καὶ τρίτον ⟨καὶ δωδέκατον⟩. Δεκάκις γὰρ τριάκοντα τριακόσια, δὶς τριάκοντα ἑξήκοντα· λοιπὰ πέντε. Τὸ τρίτον τῶν δώδεκα τέσσαρα· λοιπὴ μία. Δωδέκατον δὲ ἡ μία τῶν δώδεκα ἐστί. Κατὰ δὲ τὸν σεληνιακὸν δρόμον ὁ ἐνιαυτὸς ἔχει τριακοσίας πεντήκοντα τέσσαρας, ὥστε συμβαίνει τὸν μῆνα ἔχειν ἡμέρας εἰκοσιεννέα ἥμισυ. Δεκάκις γὰρ εἴκοσι διακόσια, δὶς εἴκοσι τεσσαράκοντα, δεκάκις ἐννέα ἐνενήκοντα, δὶς ἐννέα δεκαοκτώ, καὶ τὸ ἥμισυ τῶν δώδεκα ἕξ. Ὥστε ὁμοῦ εἶναι ἡμέρας τριακοσίας πεντήκοντα τέσσαρας, ὑπολείπεσθαι δὲ κατὰ τὸν ἡλιακὸν δρόμον ἡμέρας ἕνδεκα, ἃς Ἀθηναῖοι κατὰ τριετίαν συνάγοντες ἐποίουν τὸν ἐμβόλιμον μῆνα τριάκοντα τριῶν 590
ἡμερῶν. Ἔχει γοῦν ὁ ἐνιαυτὸς κατὰ τὸν σεληνιακὸν δρόμον τριακοσίας πεντήκοντα τέσσαρας ἡμέρας. Καὶ τὰς μὲν δʹ ἡμέρας ἐκάλουν οἱ Ἀθηναῖοι ἀρχαιρεσίας· ἐν αἷς ἄναρχος ἡ Ἀττικὴ ἦν (ἐν ταύταις προεβάλλοντο τοὺς ἄρχοντας)· ἦρχον οὖν οἱ πεντακόσιοι τὰς τριακοσίας πεντήκοντα ἡμέρας. Ἀλλ' ἐπειδὴ πολλοὶ ἦσαν καὶ δυσχερῶς ἤνυον τὰ πράγματα, διεῖλον ἑαυτοὺς εἰς δέκα μερίδας κατὰ τὰς φυλάς, ἀνὰ πεντήκοντα (τοσούτους γὰρ ἑκάστη φυλὴ προεβάλλετο)· ὥστε συνέβαινε τοὺς πεντήκοντα ἄρχειν τῶν ἄλλων ἀνὰ τριάκοντα πέντε ἡμέρας. Αὗται γὰρ αἱ τριάκοντα πέντε ἡμέραι εἰσὶ τὸ δέκατον μέρος τοῦ ἐνιαυτοῦ· δεκάκις γὰρ τριάκοντα τριακόσια, πεντάκις δέκα πεντήκοντα. Ἀλλ' ἐπειδὴ πάλιν οἱ πεντήκοντα πολλοὶ ἦσαν εἰς τὸ ἄρχειν ἅμα, οἱ δέκα κατὰ κλῆρον μίαν ἡμέραν τῶν ἑπτά, ὁμοίως δὲ ἕκαστος τῶν ἄλλων ἀπὸ κλήρου ἦρχε τὴν ἑαυτοῦ ἡμέραν, ἄχρις οὗ πληρωθῶσιν αἱ ἑπτὰ ἡμέραι· καὶ συνέ-

6-7. καὶ δωδέκατον : supplément de Jurin.

9. δωδέκατον Felic. δώδεκα mss

9. δὲ τῆς μιᾶς δώδεκα ἐστί mss. δὲ τῆς μιᾶς δύο (*duo horæ*) ἐστί H. Wolf. δὲ τῶν δώδεκα μία ἐστί Jurin, en transposant les mots sans nécessité.

16-17. τριάκοντα τριῶν ἡμερῶν. Le scholiaste croyait que la τριετηρίς était un cycle de trois ans. Par le fait, les Athéniens inséraient anciennement tous les deux ans (διὰ τρίτου ἔτους) un mois de trente jours.

19-20. Peut-être : ἀρχαιρεσίας, ἐν αἷς προεβάλοντο τοὺς ἄρχοντας· ἐν ταύταις ἄναρχος ἡ Ἀττικὴ ἦν. Du reste, tout cela est faux.

28-29. Le texte est mutilé. Jurin proposait : ἅμα, διεῖλον πάλιν ἑαυτοὺς εἰς ἄλλας πέντε μερίδας ἀνὰ δέκα. Καὶ οἱ δέκα ἦρχον ἑπτὰ ἡμέρας, καὶ εἷς αὐτῶν κατὰ κλῆρον....

βαινε τοῖς ἄρχουσι τρεῖς μὴ ἄρχειν. Ἕκαστος δὲ ἄρχων ἐν μιᾷ ἡμέρᾳ ἐκαλεῖτο ἐπιστάτης. Διὰ τί δὲ μίαν μόνην ἦρχεν; ἐπειδὴ αὐτὸς τας κλεῖς τῆς ἀκροπόλεως ἐπιστεύετο, καὶ πάντα τὰ χρήματα τῆς πόλεως· ἵν' οὖν μὴ ἐρασθῇ τυραννίδος, διὰ τοῦτο μίαν ἡμέραν ἐποίουν αὐτὸν ἄρξαι. Ἰστέον δ' ὅτι οἱ μὲν πεντήκοντα ἐκαλοῦντο πρυτάνεις, οἱ δὲ δέκα πρόεδροι, ὁ δὲ εἷς ἐπιστάτης. Μετιτέον δὲ ἐπὶ τὴν ὑπόθεσιν τοῦ προκειμένου λόγου.

Ἔθος ἦν τὴν βουλὴν τῶν πεντακοσίων λαμβάνουσαν χρήματα ἀπὸ τοῦ δήμου καινὰς τριήρεις ποιεῖν· νόμος δὲ ἦν τὴν βουλὴν τὴν δόξασαν τῷ δήμῳ καλῶς βεβουλευκέναι στεφανοῦσθαι. Αὕτη
591 οὖν ἡ βουλή, περὶ ἧς ὁ λόγος, λαβοῦσα τὰ χρήματα ἐκ τοῦ δήμου τὰς τριήρεις οὐκ ἐποίησεν, ἐδόκει δ' εἰς τὰ ἄλλα πάντα καλῶς βεβουλευκέναι. Ὁ γοῦν Ἀνδροτίων ὁ ῥήτωρ, προστάτης ὢν ταύτης τῆς βουλῆς, ἔγραψε ψήφισμα στεφανωθῆναι τὴν βουλήν. Τούτου ἐλάβοντο τοῦ ψηφίσματος ὡς παρανόμως γραφέντος Εὐκτήμων καὶ Διόδωρος, ἐχθροὶ ὄντες τοῦ Ἀνδροτίωνος. Ἔστιν οὖν ἡ στάσις πραγματικὴ ἔγγραφος, ἐπίσκεψις μέλλοντος χρόνου, εἰ δεῖ τόδε ποιῆσαι ἢ εἰ δεῖ τόδε δοῦναι ἢ μή. Καὶ ἐπειδὴ πρὸς τὴν στάσιν τοῦ λόγου συμβάλλεται ὑμῖν τὸ μαθεῖν τὰς δικαιολογίας, φέρε πρῶτον τὰς τῶν κατηγόρων ἐξετάσωμεν. Εὐκτήμων οὖν καὶ Διόδωρος ἐπιλαμβάνονται κατὰ τέσσαρας νόμους τοῦ ψηφίσματος, ὧν πρῶτός ἐστιν, ἀπροβούλευτον ψήφισμα μὴ εἰσιέναι ἐν τῷ δήμῳ. Ἐπειδὴ γὰρ πολὺς ἦν ὁ δῆμος καὶ πολλάκις παρεκρούετο, μὴ νοῶν εἰ ἔχει ἐμφωλεύουσαν κακουργίαν, πρῶτον παρεπέμπετο εἰς τὴν βουλὴν τῶν πεντακοσίων, καὶ αὕτη ἠρεύνα, εἰ ἔχει βλάβην τινὰ ἢ κακουργίαν, καὶ οὕτως εἰσήγετο εἰς τὸν δῆμον. Ἔδει οὖν αὐτὸν πρῶτον εἰσενέγκαι τὸ ψήφισμα εἰς τὴν βουλήν· οὐκ εἰσήνεγκε δέ, ἐπειδὴ νεωστὶ ἄρξασα ἦν ἡ βουλή, καὶ ἐφοβεῖτο μὴ διαφωνηθῇ· ἕκαστος γὰρ τὸν πρὸ αὐτοῦ θέλει δεῖξαι κακῶς ἄρξαντα. Δεύτερος νόμος, τὴν βουλὴν τὴν ποιήσασαν τὰς τριήρεις αἰτεῖν τὴν δωρεάν. Τρίτος νόμος, τὸν ἡταιρηκότα μὴ πολιτεύεσθαι· Ἀνδροτίων ἄρα, ⟨ὃς⟩ ἡταίρηκεν, οὐκ ὤφειλε πολιτεύεσθαι. Τέταρτος νόμος, τὸν ἐποφείλοντα τῷ δημοσίῳ μὴ πολιτεύεσθαι· σὺ δέ, ὦ Ἀνδρο-

15. ἐπελάβοντο H. Wolf

24. Ἔχει a pour sujet « une motion, un décret proposé », ψήφισμα.

28. Νεωστὶ.... βουλή, récemment un autre conseil était entré en fonction [H Wolf.]

28-29. διαφωνηθῇ. Dindorf : διαφθονηθῇ.—ἄρξαντα H. Wolf. πράξαντα mss.

30. τὴν μὴ ποιήσασαν ... μὴ αἰτεῖν Jurin.

32. ὃς inséré dans l'édition de Paris (1570)

τιων, ὀφείλεις· οὐκ ἄρα δεῖ σε πολιτεύεσθαι. Εἴπωμεν δὲ καὶ τὰς 592 τοῦ φεύγοντος δικαιολογίας. Ὁ τοίνυν Ἀνδροτίων πρὸς τὸν πρῶτον νόμον ἔθει ἀγωνίζεται· λέγει γὰρ ὅτι ἔθος ἐκράτησεν ἀπροβούλευτον ψήφισμα εἰσάγεσθαι ἐν τῷ δήμῳ. Πρὸς δὲ τὸν δεύτερον ἀντινομικῶς· παραφέρει γὰρ καὶ αὐτὸς ἕτερον νόμον λέγοντα τὴν βουλήν, ἐὰν δόξῃ καλῶς βεβουλευκέναι [ἐν] τῷ δήμῳ, στεφανοῦσθαι. Πρὸς δὲ τοὺς ἄλλους δύο παραγραφικῶς ἀγωνίζεται, λέγων ὅτι ἄρτι οὐκ ὤφειλε κρίνεσθαι περὶ τούτων.

Τινὲς δ' ἐπεχείρησαν τοῦτον τὸν λόγον ⟨ἀνενεγκεῖν εἰς⟩ πραγματικὴν ⟨τὴν⟩ πρὸς ἀντινομίαν, λέγοντες ὅτι « ἰδοὺ καὶ ἐνταῦθα « δύο νόμοι μάχονται ἀλλήλοις ἐκ περιστάσεως, ὧν ὁ εἷς παρα« βέβασται διὰ τὸ κυρωθῆναι τὸν ἕτερον ». Ἀλλὰ λέγομεν ὅτι ἐν τῇ πραγματικῇ τῇ πρὸς ἀντινομίαν οὐδέτερος παραβαίνεται, ἀλλὰ σκοποῦμεν ποῖον δεῖ παραβαθῆναι· ἐν δὲ τῷ παρόντι λόγῳ οὐχ οὕτως. Ὁ εἷς γὰρ τῶν νόμων παραβέβασται, ὁ λέγων τὴν βουλὴν τὴν μὴ ποιήσασαν τὰς τριήρεις μὴ αἰτεῖν δωρεάν· τοῦτο δὲ οὐκ ἴδιον πραγματικῆς ⟨τῆς⟩ πρὸς ἀντινομίαν, ἀλλὰ μόνης ἀντινομίας.

Ἰστέον δὲ ὅτι, ἡνίκα δύο ὦσι κατήγοροι, ὧν ὁ μὲν εἷς ⟨νεώτερος, ὁ δὲ ἕτερος⟩ πρεσβύτερος, οὗτος λαμβάνει τὴν πρωτολογίαν κατὰ τιμήν, ὥσπερ καὶ ἐνταῦθα ὁ Εὐκτήμων ἔλαβε τὴν πρωτολογίαν ὡς πρεσβύτερος, καὶ εἶπε τὰ προοίμια καὶ τὴν κατάστασιν καὶ μέρος τι τῶν ἀγώνων. Ὁ δὲ Διόδωρος, ἰδιώτης ὤν, ἔλαβεν ἀπὸ τοῦ Δημοσθένους τὸν παρόντα λόγον. Καὶ ἔστι δευτερολογία, ἔχει δὲ ἃ παρέλιπεν ὁ Εὐκτήμων.

Ὅπερ Εὐκτήμων, ὦ ἄνδρες δικασταί, παθὼν ὑπ' Ἀν- 593
δροτίωνος κακῶς, ἅμα τῇ τε πόλει βοηθεῖν οἴεται δεῖν καὶ δίκην ὑπὲρ αὑτοῦ λαβεῖν, τοῦτο κἀγὼ πειράσομαι ποιεῖν,

NC. 2. ᾤετο A. — 3. αὐτοῦ S et L.

6. [ἐν] mis entre crochets par Bekker.
9-10. ἀνενεγκεῖν εἰς et τὴν insérés dans l'édition de Paris.
17. τῆς inséré *ibid.*
19-20. νεώτερος, ὁ δὲ ἕτερος inséré *ibid.*
22. Ὡς πρεσβύτερος. Dans le procès contre Timocrate, les rôles sont intervertis et Diodore prononce le discours principal. On voit que l'âge n'y était pour rien.
2-3. Ἅμα τῇ τε πόλει βοηθεῖν.... καὶ δίκην ὑπὲρ αὑτοῦ λαβεῖν. C'est le déve-

ἐὰν ἄρ' οἷός τ' ὦ. Συμβέβηκε δὲ, πολλὰ καὶ δεινὰ καὶ παρὰ πάντας τοὺς νόμους Εὐκτήμονος ὑβρισμένου, ἐλάττω ταῦτ' εἶναι τῶν ἐμοὶ γεγενημένων δι'. Ἀνδροτίωνος πραγμάτων. Οὗτος μέν γ' εἰς χρήματα καὶ τὸ παρ' ὑμῶν ἀδίκως ἐκπεσεῖν ἐπεβουλεύθη· ἐμὲ δ' οὐδ' ἂν ἐδέξατο τῶν ὄντων ἀνθρώπων οὐδὲ εἷς, εἰ τὰ κατασκευασθέντα ὑπὸ τούτου παρ' ὑμῖν ἐπιστεύθη. [2] Αἰτιασόμενος γάρ μ' ἃ καὶ λέγειν ἂν ὀκνήσειέ τις, εἰ μὴ τύχοι προσόμοιος ὢν τούτῳ, τὸν πατέρ' ὡς ἀπέκτον' ἐγὼ τὸν ἐμαυτοῦ, [καὶ] κατασκευάσας ἀσεβείας γραφὴν οὐκ ἐπ' ἐμὲ, ἀλλ' ἐπὶ τὸν θεῖόν μου, γράψας ἀσεβεῖν

NC. 1. ἆρα S. — 4. Variante : μὲν γάρ. — Je propose : καὶ τὸ πατρῴων (πατρωιων) ἀδίκως ἐκπεσεῖν. Le scholiaste dit : Ἐπειδὴ ὁ κλέπτων τὰ κοινὰ εἰς ζημίαν χρημάτων βλάπτεται καὶ τῆς οὐσίας ἐκπίπτει, διὰ τοῦτο οὕτως εἴρηκεν. La suite de la scholie, qui se rapporte à la leçon des manuscrits, est, je crois, une addition postérieure. Voy. la note explicative. — 5. τῶν πάντων ἀνθρώπων L. — 7. J'écris αἰτιασόμενος pour αἰτιασάμενος, et je supprime καὶ avant κατασκευάσας (l. 9). — κἂν λέγειν ὀκνήσειέ τις Cobet, *Misc. Crit.*, p. 520.

loppement du verbe ποιεῖν, que l'on peut sous-entendre avec ὅπερ οἴεται δεῖν, et qui se lit dans le membre de phrase suivant. Brachylogie. Du reste, on voit que les accusateurs ne prétendent pas n'avoir d'autre mobile que l'intérêt de l'État, mais déclarent hautement qu'ils obéissent à des ressentiments personnels. Ils ne veulent pas qu'on les prenne pour des sycophantes. Voy. la note sur *Lept.*, § 1. — Hermogène (III, p. 281 Walz) fait remarquer que des assonances aussi nombreuses que βοηθεῖν.... δεῖν... λαβεῖν.... ποιεῖν sont rares dans Démosthène.

4. Εἰς.... τὸ παρ' ὑμῶν ἀδίκως ἐκπεσεῖν. On a vainement essayé d'expliquer ces mots. Depuis Jurin et Reiske, la plupart des éditeurs entendent παρ' ὑμῶν ἐκπεσεῖν de l'exil, et croient qu'il s'agit d'une poursuite pour impiété (ἀσέβεια) qu'Androtion aurait intentée à Euctémon : c'est qu'ils confondent gratuitement ce dernier avec l'oncle de Diodore, qui sera mentionné au § 2. Par le fait, Euctémon avait été accusé par Androtion de détenir des sommes qu'il devait recouvrer pour le fisc (§ 48), et ce procès, qui le menaçait de peines pécuniaires, était le seul dont il eût à se plaindre, comme on le voit par le § 7 du discours *Contre Timocrate*. L'explication donnée par un scholiaste : « perdre injustement les honneurs qu'il tient de vous », outre qu'elle demanderait τὸ τῶν παρ' ὑμῶν.... ἐκπεσεῖν, ne peut se concilier non plus avec les faits : car les fonctions de collecteur-percepteur, dont Euctémon avait été destitué, étaient conférées, non par l'élection, mais par le sort, κληρωτὴ ἀρχή (§ 43). Le sens des mots altérés était sans doute στερηθῆναι τῶν ὄντων (cf. *Tim.*, § 7). Voy. NC.

6. Τῶν ὄντων ἀνθρώπων, de tout ce qu'il y a d'hommes. Cf. *Paix*, § 2 ; *Chers.*, § 58.

9. Ἐγὼ τὸν ἐμαυτοῦ. Emphase. — Κατασκευάσας se prend en mauvaise part. Le procès fait à l'oncle de Diodore était une machination pour faire courir à ce dernier un grand péril judiciaire (εἰς ἀγῶνα κατέστησεν).

10. Οὐκ ἐπ' ἐμὲ, ἀλλ' ἐπὶ τὸν θεῖόν μου. Il ne pouvait l'atteindre qu'indirectement : car, d'après la législation d'Athènes (le scholiaste le fait observer), la poursuite pour homicide était réservée, comme un droit et comme un devoir, au plus proche parent de la victime. C'était là un reste de l'antique *vendetta* exercée par la famille. — Γράψας ἀσεβεῖν, ayant écrit, ayant allégué, dans l'acte d'accusation, que l'oncle de Diodore commettait une impiété.

ἐμοὶ συνιόντ' εἰς ταὐτὸν ὡς πεποιηκότι ταῦτα, εἰς ἀγῶνα κατέστησεν· ὃν εἰ συνέβη τόθ' ἁλῶναι, τίς ἂν ἀθλιώτερ' ἐμοῦ πεπονθὼς ἦν [ὑπὸ τούτου]. Τίς γὰρ ἂν ἢ φίλος ἢ ξένος εἰς ταὐτό ποτ' ἐλθεῖν ἠθέλησεν ἐμοί; τίς δ' ἂν εἴασε πόλις που παρ' ἑαυτῇ γενέσθαι τὸν τὸ τοιοῦτ' ἀσέβημα δοκοῦντ' εἰργάσθαι; οὐκ ἔστιν οὐδὲ μία. [3] Ἐγὼ τοίνυν ταῦτα μὲν οὐ παρὰ μικρὸν ἀγωνιζόμενος παρ' ὑμῖν ἀπελυσάμην, ἀλλ' ὥστε τὸ πέμπτον μέρος μὴ λαβεῖν τοῦτον τῶν ψήφων· 594 τοῦτον δὲ μεθ' ὑμῶν πειράσομαι καὶ νῦν καὶ τὸν ἄλλον ἅπαντ' ἀμύνεσθαι χρόνον.

Καὶ περὶ μὲν τῶν ἰδίων ἔχων ἔτι πολλὰ λέγειν ἐάσω· περὶ δ' ὧν οἴσετε τὴν ψῆφον νυνὶ καὶ περὶ ὧν οὗτος δημοσίᾳ πεπολιτευμένος οὐκ ὀλίγ' ὑμᾶς ἔβλαψεν, ἅ μοι παραλιπεῖν Εὐκτήμων ἐδόκει, βέλτιον δ' ὑμᾶς ἀκοῦσαι, ταῦτα διεξελθεῖν ἐν βραχέσι πειράσομαι. [4] Ἐγὼ γὰρ εἰ μὲν ἑώρων τιν' ἁπλῆν τούτῳ περὶ ὧν φεύγει πρὸς ὑμᾶς οὖσαν ἀπολογίαν,

NC. 1. ταὐτὸν A. ταυτὸ S, L, vulg. — ταῦτα S[1], vulg. ταὐτὰ S par correction de l'un des reviseurs, L. — 3. J'écarte ὑπὸ τούτου, mots qui seraient de mise après ἢ ἐγώ. — 4. εἴασεν S. — 5. τὸ τοιοῦτο S, L, F. τοιοῦτο ou τοιοῦτο vulg. — 6. οὐδὲ μία S. Cf. οὐδὲ εἷς au § 1. οὐδεμία L, vulg. — 8. La variante μὴ (ou οὐ) μεταλαβεῖν vient de *Timocr.*, § 7. — τοῦτον τῶν S, L[1]. τούτους τῶν vulg. — τουτονὶ δὲ A. — 9. πειράσομαι μεθ' ὑμῶν A. — 9-10. ἅπαντα χρόνον ἀμύνεσθαι avant Bekker. Quatre brèves successives donneraient à cette phrase un mouvement sautillant. — 13. Probablement παραλείπειν. L'infinitif de l'aoriste devrait être suivi du présent δοκεῖ [Blass, *Rhein Mus.*, XXXIII, p. 494.]

1. Συνιόντ' εἰς ταὐτόν. Le contact du meurtrier souillait. Cf. *Midienne*, § 118, avec la note.

2. Ὃν se rapporte à τὸν θεῖόν μου.

3-4. Τίς γὰρ ἂν ἢ φίλος ἢ ξένος.... τίς δ' ἂν πόλις ... Cf. Euripide, *Électre*, 1194 : Τίνα δ' ἑτέραν μόλω πόλιν; τίς ξένος, τίς εὐσεβὴς ἐμὸν κάρα προσόψεται ματέρα κτανόντος;

6-7. Ταῦτα μὲν οὐ παρὰ μικρὸν.... ἀπελυσάμην, je me purgeai de ces accusations, je réfutai ces calomnies et me fis acquitter, non à une petite majorité, mais.... Cf. *Aristocr.*, § 205 : Παρὰ τρεῖς μὲν ἀφεῖσαν ψήφους τὸ μὴ θανάτῳ ζημιῶσαι. — Diodore porta lui-même la parole pour se défendre en défendant son oncle.

8-9. Τοῦτον.... τοῦτον δέ.... Le premier τοῦτον se trouve dissimulé au milieu d'un groupe de mots, afin que la voix n'y insiste pas; le second τοῦτον est mis en relief.

12. Περὶ δ' ὧν.... καὶ περὶ ὧν... Des chefs d'accusation proprement dits. l'orateur distingue les autres méfaits qu'il reproche à Androtion. — Δημοσίᾳ doit être rattaché à ἔβλαψεν.

13. Ἃ a pour corrélatif ταῦτα et ne se réfère pas au membre de phrase précédent. L'orateur ne dit pas qu'Euctémon ait passé sous silence la mauvaise administration d'Androtion, mais qu'il n'a dit, ni sur cette administration ni sur le fond du procès, tout ce qu'il y avait à dire.

οὐκ ἂν ἐποιούμην περὶ αὐτῆς μνείαν οὐδεμίαν. Νῦν δ' οἶδα σαφῶς ὅτι οὗτος ἁπλοῦν μὲν οὐδὲ δίκαιον οὐδὲν ἂν εἰπεῖν ἔχοι, ἐξαπατᾶν δ' ὑμᾶς πειράσεται πλάττων καὶ παράγων πρὸς ἕκαστα τούτων κακούργους λόγους. Ἔστι γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, τεχνίτης τοῦ λέγειν, καὶ πάντα τὸν βίον ἐσχόλακεν [ἐν] τούτῳ. Ὑπὲρ οὖν τοῦ μὴ παρακρουσθέντας ὑμᾶς ἐναντία μὲν τοῖς ὀμωμοσμένοις πεισθῆναι ψηφίσασθαι, ἀφεῖναι δὲ τοῦτον ὃν ὑμῖν πολλῶν ἕνεκ' ἄξιον κολάσαι, προσέχετε τὸν νοῦν οἷς ἐρῶ, ἵν' ἀκούσαντες ἐμοῦ πρὸς ἕκαστον τῶν ὑπὸ τούτου ῥηθησομένων ἔχηθ' ὑπολαμβάνειν ἃ δεῖ.

[5] Ἔστι γὰρ εἷς μὲν ὃν οἴεται τεχνικῶς ἔχειν αὐτῷ λόγος περὶ τοῦ ἀπροβουλεύτου. Νόμος ἐστί, φησίν, ἐὰν ἀξίως ἡ βουλὴ δοκῇ βουλεῦσαι δωρειᾶς, διδόναι τὸν δῆμον τὴν δωρειὰν αὐτῇ. Ταῦτ' ἐπήρετο, φησίν, ὁ ἐπιστάτης, διεχειροτόνησεν ὁ δῆμος, ἔδοξεν. Οὐδὲν δεῖ, φησί, προβουλεύματος ἐνταῦθα· κατὰ γὰρ νόμον ἦν τὰ γιγνόμενα. Ἐγὼ δ' αὐτὸ τοὐναντίον
595 οἴομαι, νομίζω δὲ καὶ ὑμῖν συνδόξειν, περὶ τούτων τὰ προβου-

NC. 1. περὶ αὐτῶν μνείαν, variante mal autorisée, Reiske, Bekker, Dindorf. — οὐδεμίαν manque dans S et L[1] seuls, omission facile à expliquer après μνείαν. — 3. Dobree proposait παράγων καὶ πλάττων. Cobet, *l. c.*, écarte καὶ παράγων. — 6. ἐνὶ τούτῳ Reiske. [ἐν] Blass. — 8. εἵνεκα F. — 12. ὧν Reiske. — 14. δωρεὰς διδόναι S, L — δωρεὰν mss, ici et partout. — 17. αὖ τοὐναντίον A. Cf. *Mid.*, § 120

1. Περὶ αὐτῆς, c.-à-d. τῆς ἀπολογίας. L'orateur explique pourquoi il s'attachera à réfuter d'avance les arguments que pourra produire l'accusé. Ces *procatalepses*, négligées par l'accusateur principal, seront développées dans cette deutérologie.

3-4. Πλάττων καὶ παράγων, inventant dans le dessein d'égarer. Cf. *Contre Nausimaque*, 9 : Τοῦτο γὰρ πλάττουσι καὶ παράγουσι. Le second verbe est un développement accessoire, logiquement subordonné au premier verbe. Cf. *Mid.*, § 208; *Phil.*, III, §§ 72 et 74, avec les notes. — Τούτων, c.-à-d. περὶ ὧν φεύγει.

10. Ὑπολαμβάνειν, répondre. Cf. *Leptin.*, § 146, avec la note, et *passim*. Ailleurs ὑποβάλλειν est employé dans le même sens. Cf. *Midienne*, § 204.

12. Τεχνικῶς, conformément à l'art (τέχνη), aux préceptes des rhéteurs. L'orateur veut rendre son adversaire suspect aux juges.

13. Περὶ τοῦ ἀπροβουλεύτου. La loi voulait que rien ne fût soumis aux délibérations du peuple sans une délibération préliminaire (προβούλευμα) du Conseil des Cinq-cents.

14. Δωρειᾶς. Entendez une couronne.

15. Ὁ ἐπιστάτης, le président des prytanes ou plutôt des *proèdres*, lesquels dirigeaient les délibérations du sénat et du peuple : voy. la note sur *Mid.*, § 8. Cf. ci-dessous § 9.

17. Αὐτὸ τοὐναντίον, tout au contraire.

φίσματ' ἐκφέρειν μόνων περὶ ὧν κελεύουσιν οἱ νόμοι, ἐπεὶ περὶ ὧν γε μὴ κεῖνται νόμοι οὐδὲ γράφειν τὴν ἀρχὴν προσήκει οὐδὲ ἓν δήπου. [6] Φήσει τοίνυν τοῦτον ἁπάσας τὸν τρόπον εἰληφέναι τὰς βουλάς, ὅσαι πώποτ' ἔχουσι παρ' ὑμῶν δωρειάν, καὶ οὐδὲ μιᾷ γεγενῆσθαι προβούλευμα πώποτε. Ἐγὼ δ' οἴομαι μὲν οὐχὶ λέγειν αὐτὸν ἀληθῆ, μᾶλλον δ' οἶδα σαφῶς· οὐ μὴν ἀλλ' εἰ τοῦτο τοιοῦτ' ἐστὶν τὰ μάλιστα, ὁ νόμος δὲ λέγει τἀναντία, οὐχ, ὅτι πολλάκις ἡμάρτηται δήπου πρότερον, διὰ τοῦτ' ἐπεξαμαρτητέον ἐστὶ καὶ νῦν, ἀλλὰ τοὐναντίον ἀρκτέον, ὡς ὁ νόμος κελεύει, τὰ τοιαῦτα ποιεῖν ἀναγκάζειν ἀπὸ σοῦ πρώτου. [7] Σὺ δὴ μὴ λέγ' ὡς γέγονεν τοῦτο πολλάκις, ἀλλ' ὡς οὕτω προσήκει γίγνεσθαι. Οὐ γὰρ εἴ τι πώποτε μὴ κατὰ τοὺς νόμους ἐπράχθη, σὺ δὲ τοῦτ' ἐμιμήσω, διὰ τοῦτ' ἀποφύγοις ἂν δικαίως, ἀλλὰ πολλῷ μᾶλλον ἁλίσκοιο· ὥσπερ γὰρ εἴ τις ἐκείνων προήλω, σὺ τάδ' οὐκ ἂν ἔγραψας, οὕτως, ἂν σὺ νῦν δίκην δῷς, ἄλλος οὐ γράψει.

[8] Περὶ τοίνυν τοῦ νόμου τοῦ διαρρήδην οὐκ ἐῶντος ἐξεῖναι μὴ ποιησαμένῃ τῇ βουλῇ τὰς τριήρεις αἰτῆσαι τὴν

NC. 2. προσῆκεν A, Benseler. — 3. φησι S et L[1] seuls. — ἁπάσας τοῦτον τὸν τρόπον F. τοῦτον τὸν τρόπον ἁπάσας A. — 4. Peut-être ὅσαιπερ ἔχουσ.. 5. οὐδὲ μιᾶι S. οὐδεμιᾷ vulg. — 6. ἀληθῆ A. ἀλήθειαν S, L, vulg. Cette dernière leçon demanderait l'article τήν. [Reiske.] — 13. τοὺς est omis dans L. — 14. ἀποφεύγοις S et L[1].

1. Ἐκφέρειν, porter devant l'assemblée du peuple. L'idée sous-entendue de δεῖν se tire de δεῖ, p. 20, l. 16.

2. Μὴ κεῖνται. Le raisonnement ne serait concluant que si l'orateur pouvait dire περὶ ὧν οὐκ ἐῶσιν οἱ νόμοι. Mais l'auditeur ne s'aperçoit pas du sophisme. — Blass (p. 230) trouve que la pensée de l'orateur reste obscure faute d'avoir été assez développée. Mais Démosthène n'a garde d'ajouter des développements qui eussent mis en lumière sa rouerie d'avocat.

4. Ἔχουσι. Le décret d'honneur subsiste. Cf. NC.

10. Ὡς ὁ νόμος κελεύει, τὰ τοιαῦτα équivaut à οὕτως ὡς ὁ νόμος κελεύει. — Ἀπὸ σοῦ πρώτου se rattache à ἀρκτέον. Cf. *Cour.*, § 297, et *passim*.

12-16. Οὐ γάρ.... ἄλλος οὐ γράψει. L'enthymème est si bien tourné que l'orateur l'a reproduit dans les mêmes termes, ou peu s'en faut, dans *Aristocr.*, § 99, passage que Quintilien, V, 11, 4, a traduit en latin. Aulu-Gelle, X, 19, en admire les cadences harmonieuses : « Sententia.... quæ, quia lepidis et venustis « vocum modis vincta est, quasi quædam « cantilena rhetorica facilius adhærere « memoriæ tuæ potuit. » Muret et Seager rapprochent Cicéron, *Verr.*, III, §§ 205, 208, 210, 213.

17-18. Οὐκ ἐῶντος ἐξεῖναι. Pléonasme. Cf. *Aristocr.*, § 28 : Ταῦτα ἀπείρηκεν... ἐξεῖναι ποιεῖν. § 122 : Τὸ ποιεῖν ἐξεῖναι ταῦτα κωλῦσαι. *Néère*, § 106 : Οὐκ ἐᾷ γίγνεσθαι Ἀθηναῖον ἐξεῖναι. § 143 : Ἂν ἄδειαν λάβωσι τοῦ ἐξεῖναι.

18. Τὰς τριήρεις : les galères dont le nombre était déterminé par la loi. L'o-

δωρειὰν, ἄξιόν ἐστιν ἀκοῦσαι τὴν ἀπολογίαν ἣν ποιήσεται,
καὶ θεωρῆσαι τὴν ἀναίδειαν τοῦ τρόπου δι' ὧν ἐγχειρεῖ λέ-
γειν. « Ὁ νόμος, φησὶν, οὐκ ἐᾷ τὴν βουλὴν αἰτῆσαι τὴν δω-
« ρειὰν, ἐὰν μὴ ποιήσηται τὰς τριήρεις· ὁμολογῶ. Δοῦναι
« δ' οὐδαμοῦ, φησὶ, κωλύει τὸν δῆμον. Ἐγὼ δὲ, εἰ μὲν ἔδωκ'
« αἰτούσῃ, παρὰ τὸν νόμον εἴρηκα· εἰ δὲ μὴ, <μηδὲ> πεποίη-
« μαι μνείαν περὶ τῶν νεῶν ἐν ὅλῳ τῷ ψηφίσματι, ἀλλ' ἕτερ'
596 « ἄττα λέγω δι' ἃ τὴν βουλὴν στεφανῶ, πῶς παρὰ τὸν νόμον
« εἴρηκα; » [9] Ἔστι δὴ πρὸς ταῦτ' οὐ χαλεπὸν τὰ δίκαι'
ὑμῖν ἀντειπεῖν, ὅτι πρῶτον μὲν οἱ προεδρεύοντες τῆς βουλῆς
καὶ ὁ ταῦτ' ἐπιψηφίζων ἐπιστάτης ἠρώτων καὶ διαχειροτο-
νίαν ἐδίδοσαν, ὅτῳ δοκεῖ δωρειᾶς ἀξίως ἡ βουλὴ βεβουλευκέ-
ναι καὶ ὅτῳ μή· καίτοι τούς γε μὴ αἰτοῦντας μηδὲ λαβεῖν
ἀξιοῦντας τὴν ἀρχὴν οὐδ' ἐπερωτᾶν προσῆκεν. [10] Πρὸς
τοίνυν τούτοις ἔστιν ἃ Μειδίου κατηγοροῦντος τῆς βουλῆς
καὶ ἄλλων τινῶν, ἀναπηδῶντες οἱ βουλευταὶ ἐδέοντο μὴ
σφᾶς ἀφελέσθαι τὴν δωρειάν. Καὶ ταῦτ' οὐ παρ' ἐμοῦ δεῖ
πυθέσθαι τοὺς δικάζοντας ὑμᾶς, ἀλλ' αὐτοὶ παρόντες ἴστ'
ἐν τῷ δήμῳ γενόμενα. Ὥσθ' ὅταν μὲν μὴ φῇ τὴν βουλὴν
αἰτεῖν, ταῦθ' ὑπολαμβάνετε· ὅτι δ' οὐδὲ τὸν δῆμον ἐᾷ διδό-
ναι μὴ ποιησαμένοις τὰς ναῦς ὁ νόμος, καὶ τοῦτ' ἐπιδείξω.
[11] Διὰ ταῦτα γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτον ἔχει τὸν

NC. 2. Dobree et Cobet : ἐξ ὧν. — 4-5. δοῦναι δέ γε A. — 5. φησὶν S. — κωλύει A. κωλύειν S, L, vulg. — 6. τὸν νόμον L[1]. — ἐγὼ δ' mss. ἐγὼ δὴ Bekker, Dindorf. — 6. J'ai inséré μηδὲ après μή, afin de mettre de la suite dans le raisonnement. Cf. *Revue de philol.*, 1883, p. 11. — 8. διὰ τὴν L. — 9. ἐστὶ δὲ A. — 14. προσήκει A. προσῆκεν οὐδὲ ἐν δήπου, reviseur à la marge de S. Cf. § 7. — 18. ἴστε τὰ A, F. — 21. ποιησαμένοις S, L, F. ποιησαμένῃ A. Depuis Reiske, les éditeurs ont adopté cette dernière leçon, que je regarde comme une correction inutile.

rateur se réfère à un point connu, déjà mentionné par Euctémon.

2. Δι' ὧν a été préféré par l'orateur à ἐξ ὧν, afin d'éviter l'hiatus.

6. Εἰ δὲ μή : sous-ent. αἰτούσῃ ἔδωκα.

10. Οἱ προεδρεύοντες.... Les neuf *proèdres* et leur *épistate* sont considérés comme les interprètes du sénat dans l'assemblée du peuple. C'est le sénat qui a demandé la couronne par leur organe quand ils ont posé la question et ont fait voter le peuple. — Ἐπιψηφίζων, qui met aux voix.

14. Τὴν ἀρχήν. Cf. § 5, à la fin.

15. Construisez : Μειδίου καὶ ἄλλων τινῶν (κατηγορούντων).

21. Μὴ ποιησαμένοις : sous-ent. τοῖς βουλευταῖς.

τρόπον [ὁ νόμος μὴ ἐξεῖναι τῇ βουλῇ μὴ ποιησαμένῃ τὰς τριήρεις αἰτῆσαι τὴν δωρεὰν], ἵνα μηδὲ πεισθῆναι μηδ' ἐξαπατηθῆναι γένοιτ' ἐπὶ τῷ δήμῳ. Οὐ γὰρ ᾤετο δεῖν ὁ τιθεὶς τὸν νόμον ἐπὶ τῇ τῶν λεγόντων δυνάμει τὸ πρᾶγμα καταστῆσαι, ἀλλ' ὃ δίκαιον ἦν εὑρεῖν ἅμα καὶ συμφέρον τῷ δήμῳ, νόμῳ τετάχθαι. Τὰς τριήρεις οὐ πεποίησαι; μὴ τοίνυν αἴτει τὴν δωρειάν. Ὅπου δ' αἰτεῖν οὐκ ἐᾷ, πῶς οὐ σφόδρα γε δοῦναι κωλύει;

[12] Ἄξιον τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, κἀκεῖν' ἐξετάσαι, τί δήποτε, ἂν τἄλλα πάνθ' ἡ βουλὴ καλῶς βουλεύσῃ καὶ μηδεὶς ἔχῃ μηδὲν ἐγκαλέσαι, τὰς δὲ τριήρεις μὴ ποιήσηται, τὴν δωρειὰν οὐκ ἔξεστιν αἰτῆσαι. Εὑρήσετε γὰρ τοῦτο τὸ 597
ἰσχυρὸν ὑπὲρ τοῦ δήμου κείμενον. Οἶμαι γὰρ ἂν μηδέν' ἀντειπεῖν ὡς οὐχ, ὅσα πώποτε τῇ πόλει γέγονεν ἢ νῦν ἔστιν ἀγαθὰ ἢ θἄτερα, ἵνα μηδὲν εἴπω φλαῦρον, ἐκ τῆς τῶν τριήρων τὰ μὲν κτήσεως, τὰ δ' ἀπουσίας γέγονεν. [13] Οἷον πολλὰ μὲν ἄν τις ἔχοι λέγειν καὶ παλαιὰ καὶ καινά· ἃ δ' οὖν πᾶσι μάλιστ' ἀκοῦσαι γνώριμα, τοῦτο μέν, εἰ βούλεσθε, οἱ τὰ προπύλαια καὶ τὸν παρθενῶνα οἰκοδομήσαντες ἐκεῖνοι καὶ τἄλλ' ἀπὸ τῶν βαρβάρων ἱερὰ κοσμήσαντες, ἐφ' οἷς φιλοτιμούμεθα πάντες εἰκότως, ἴστε [γὰρ] δήπου

NC. 1-2. μὴ ἐξεῖναι.... τὴν δωρεάν. Cette glose, mal rattachée à τοῦτον ἔχει τὸν τρόπον, a été reconnue par Cobet. Blass a écarté ὁ νόμος. — 7. σφόδρα δοῦναί γε A, F. — 11. ποιήσεται (avec un signe de renvoi sur α) S¹. — 12-13. τοῦτο ἰσχυρόν A, F. — 20 τἄλλα πάντα F. — 21. γὰρ est omis dans A.

2-3. Ἵνα μηδὲ.... γένοιτ' ἐπὶ τῷ δήμῳ, pour qu'il ne fût pas même au pouvoir du peuple de se laisser persuader.

3-4. Ὁ τιθείς. Cf. *Couronne*, § 6, avec la note.

5. Ὃ δίκαιον ἦν εὑρεῖν, ce que l'on pouvait trouver de conforme à la justice. Cf. *Aristocr.*, § 66 : Τὸ δίκαιον εὑρεῖν. Jurin.]

7-8. Ὅπου.... κωλύει; alors que la loi ne veut pas que le sénat demande la récompense, à plus forte raison interdit-elle de l'accorder : comment en serait-il autrement?

12-13. Τοῦτο τὸ ἰσχυρόν, cette sauvegarde. Cf. *Timocr.*, § 153 : Ἄλλο τι τῶν τῆς πόλεως ἰσχυροτάτων.

15. Ἢ θἄτερα. Euphémisme : aussi l'orateur ajoute-t-il ἵνα μηδὲν εἴπω φλαῦρον.

18. Ἀκοῦσαι est amené par λέγειν. L'orateur dit qu'il choisit des faits que tous ses auditeurs (οἱ ἀκούοντες) connaissent pour vrais.

19. Τὰ προπύλαια. Un historien exact ferait remarquer que la génération qui construisit les Propylées n'était pas celle qui avait combattu à Salamine.

21. Ἐφ' οἷς se réfère à ἱερά, non à οἱ οἰκοδομήσαντες.

τοῦτ' ἀκοῇ, ὅτι τὴν πόλιν ἐκλιπόντες καὶ κατακλεισθέντες εἰς Σαλαμῖνα, ἐκ τοῦ τριήρεις ἔχειν πάντα μὲν τὰ σφέτερ' αὐτῶν καὶ τὴν πόλιν, τῇ ναυμαχίᾳ νικήσαντες, ἔσωσαν, πολλῶν δὲ καὶ μεγάλων ἀγαθῶν τοῖς ἄλλοις Ἕλλησι κατέστησαν αἴτιοι, ὧν οὐδ' ὁ χρόνος τὴν μνήμην ἀφελέσθαι δύναται. [14] Εἶεν· ἀλλ' ἐκεῖνα μὲν ἀρχαῖα καὶ παλαιά· ἀλλ' ἃ πάντες ἑοράκατε, ἴσθ' ὅτι πρῴην Εὐβοεῦσιν ἡμερῶν τριῶν ἐβοηθήσατε καὶ Θηβαίους ὑποσπόνδους ἀπεπέμψατε. Ἆρ' οὖν ταῦτ' ἐπράξατ' ἂν οὕτως ὀξέως, εἰ μὴ ναῦς εἴχετε καινὰς ἐν αἷς ἐβοηθήσατε; ἀλλ' οὐκ ἂν ἠδύνασθε. Ἄλλα πόλλ' ἔχοι τις ἂν εἰπεῖν ἃ τῇ πόλει γέγονεν ἐκ τοῦ ταύτας κατεσκευάσθαι καλῶς ἀγαθά. [15] Εἶεν· ἐκ δὲ τοῦ κακῶς πόσα δεινά; Τὰ μὲν πόλλ' ἐάσω· ἀλλ' ἐπὶ τοῦ Δεκελεικοῦ πολέμου (τῶν γὰρ ἀρχαίων ἕν, ὃ πάντες ἐμοῦ μᾶλλον ἐπίστασθ', ὑπομνήσω) πολλῶν καὶ δεινῶν ἀτυχημάτων συμβάντων τῇ πόλει οὐ πρότερον τῷ πολέμῳ παρέστησαν πρὶν
598 τὸ ναυτικὸν αὐτῶν ἀπώλετο. Καὶ τί δεῖ τὰ παλαιὰ λέγειν; τὸν τελευταῖον γὰρ ἴστε τῶν πρὸς Λακεδαιμονίους

NC. 6. ἃ δὲ A. — 7. ἑωράκατε mss, ici et ailleurs. — ἀλλὰ πάντες ἴσθ' ὅτι Cobet. — 9-10. ναῦς εἴχετε καὶ ναῦς ἐν αἷς L. — 10-11. ἂν ἔχοι τις εἰπεῖν A. — 15. πολλῶν γὰρ F. πολλῶν τε avant Bekker. ἀτυχημάτων est omis dans Tibère, Περὶ σχημάτων, § 32. — 16. πρὶν ἢ L², A, F. — 18. J'écris τῶν πρὸς pour τὸν πρὸς. La guerre de Décélie s'était aussi faite contre Sparte, et il ne s'agit pas de la dernière guerre, mais de la dernière des guerres contre Lacédémone.

6. Ἀρχαῖα καὶ παλαιά. Locution usuelle.

6-7. Ἀλλ' ἃ πάντες ἑοράκατε, mais (voici des) choses que vous avez tous vues.

7. Πρῴην Εὐβοεῦσιν. C'est l'expédition de 357 contre les Thébains, qui avaient envahi l'Eubée : cf. *Cherson.*, 74, et *passim*. Démosthène la rappelle souvent et avec une certaine prédilection : il y avait pris part comme triérarque volontaire. — Ἡμερῶν τριῶν ἐβοηθήσατε, vous vîntes à leur secours dans les trois jours. Eschine, *Contre Ctésiph.*, § 85, dit, en parlant des mêmes faits, ἐν πένθ' ἡμέραις ἐβοηθήσατε.

12. Ἀγαθά : placé avec insistance à la fin de la phrase, en prévision de l'antithèse δεινά.

13. Ἐπὶ τοῦ Δεκελεικοῦ πολέμου. On appelait ainsi la dernière partie de la guerre du Péloponnèse.

14. Ὃ πάντες ἐμοῦ μᾶλλον ἐπίστασθε. C'est que Diodore, qui porte la parole, est jeune.

16. Παρέστησαν (aoriste second), ils cédèrent, ils furent vaincus. Le moyen παραστήσεται (il se soumettra) se lit dans *Olynth.*, I, § 18. — Le pluriel se rapporte à τῇ πόλει, collectif synonyme de τοῖς πολίταις.

18. Τὸν τελευταῖον.... πόλεμον. Le scholiaste dit ὁ γενόμενος περὶ Κέρκυραν, et renvoie à Xénophon, *Hellén.*, VI, 2. En 373, Timothée, à la tête d'une flotte respectable, ne put, faute d'argent, faire voile pour Corcyre. Cette situation

πόλεμον, ὅτε μὲν ναῦς οὐκ ἐδοκεῖτ' ἀποστεῖλαι δυνήσεσθαι, πῶς διέκειθ' ἡ πόλις· ἴστ' ὀρόβους ὄντας ὠνίους. Ἐπειδὴ δ' ἀπεστείλατε, εἰρήνης ἐτύχεθ' ὁποίας τινὸς ἠβούλεσθε. [16] Ὥστε δικαίως, ὦ ἄνδρες Ἀθηναῖοι, τηλικαύτην ἐχουσῶν ῥοπὴν ἐφ' ἑκάτερα τῶν τριήρων, τοῦτον ὅρον τεθείκατε τῇ βουλῇ, πότερ' αὐτὴν δεῖ λαβεῖν τὴν δωρειὰν ἢ οὔ. Εἰ γὰρ πάντα τἄλλα διοικήσειε καλῶς, δι' ὧν δὲ τ τ' ἐξ ἀρχῆς ταῦτ' ἐκτησάμεθα καὶ νῦν σῴζομεν, ταύτας μ ποιήσαιτο, τὰς τριήρεις λέγω, οὐδὲν ἐκείνων ὄφελος· τὴ γὰρ τῶν ὅλων σωτηρίαν πρῶτον ὑπάρχειν δεῖ παρεσκευασμένην τῷ δήμῳ. Οὗτος τοίνυν εἰς τοῦτ' ἐλήλυθε τοῦ νομίζειν αὐτῷ καὶ λέγειν καὶ γράφειν ἐξεῖναι πᾶν ὅ τι ἂν βούληται, ὥστε βεβουλευκυίας μὲν τἄλλ' ὃν τρόπον ὑμεῖς ἀκούετε τῆς βουλῆς, οὐ πεποιημένης δὲ τὰς τριήρεις, γέγραφε δοῦναι τὴν δωρειάν.

[17] Καὶ ταῦτα μὲν ὡς οὐ παρὰ τὸν νόμον ἐστίν, οὔτ' ἂν οὗτος ἔχοι λέγειν οὔθ' ὑμεῖς πεισθείητε· ἀκούω δ' αὐτὸν τοιοῦτον ἐρεῖν τιν' ἐν ὑμῖν λόγον, ὡς οὐχ ἡ βουλὴ γέγονεν

NC. 5. Variante : ὅρον τοῦτον. — 7-8. διοικήσει S, L. — τότ' ἐξαρχῆς ταῦτ' vulg. ταῦτα ἐξ ἀρχῆς A. — 9. τὰς τριήρεις λέγω : mots suspects à Cobet. — 16. ὡς μὲν A. — 17. αὐτὸς ἔχοι F, L². — πεισθείητε S, L¹. πεισθείητ' ἄν L², vulg. — αὐτὸ S¹. — 18. καὶ τοιοῦτόν τινα ἐρεῖν A.

ne répond pas assez à celle qu'indique notre passage. Nous croyons donc (avec Rehdantz, *Iphicrates*, p. 66) que l'orateur pense au commencement de la guerre dite béotienne et à l'époque où les Athéniens n'avaient pas encore établi la nouvelle organisation de l'impôt foncier sous l'archonte Nausinikos (378), ni construit les galères avec lesquelles ils remportèrent la victoire de Naxos (376).

2. Ὀρόβους.... ὠνίους. Il faut conclure de ces mots que cette légumineuse *Ervum Ervilia*, Linné) ne se vendait généralement point à Athènes. Nous voyons dans Athénée, IX, p. 406, C, et ailleurs, qu'on en nourrissait les bœufs; dans Galien, *De alim. facult.*, I, 29 (VI, p. 546, Kühn), que les hommes n'y recouraient qu'en cas de disette. Cf. Lenz, *Botanik der alten Griechen und Römer*, p. 725.

3. Εἰρήνης. Cette paix fut conclue à Sparte en 371.

5. Τοῦτον ὅρον τεθείκατε, vous avez fait de cela la règle, la raison déterminante. « Cette règle » serait en grec τοῦτον τὸν ὅρον.

8. Ταῦτ(α), notre puissance actuelle.

11-12. Εἰς τοῦτ' ἐλήλυθε τοῦ νομίζειν αὐτῷ.... ἐξεῖναι.... Amplification de εἰς τοῦτ' ἐλήλυθεν ἐξουσίας.

13. Ὃν τρόπον ὑμεῖς ἀκούετε. Le premier orateur avait exposé comme quoi le Conseil avait mal rempli ses fonctions à tout égard.

16. Ἂν se rapporte aux deux membres de phrase.

18. Οὐχ ἡ βουλὴ γέγονεν αἰτία....,

μὲν εἰς τὸ πρᾶγμα τοὺς νόμους· παρέχονται δὲ καὶ κατὰ τοῦ προσώπου δύο, τὸν τῆς ἑταιρήσεως καὶ τὸν τῶν ὀφειλόντων τῷ δημοσίῳ, καὶ φασὶ τὸν Ἀνδροτίωνα κατὰ ἀμφοτέρους ἄτιμον εἶναι· καὶ γὰρ πεπορνεῦσθαι καὶ χρέος πατρῷον ὀφείλειν τῇ πόλει.

ΕΤΕΡΑ ΥΠΟΘΕΣΙΣ.

Διάφοροι παρ' Ἀθηναίοις ὑπῆρχον ἀρχαί, ὧν αἱ μὲν κληρωταί, αἱ δὲ χειροτονηταί, αἱ δὲ αἱρεταί. Καὶ κληρωταὶ μὲν αἱ κατὰ κλῆρον γινόμεναι, ὡς αἱ τῶν δικαστῶν, χειροτονηταὶ δὲ αἱ κατὰ χειροτονίαν τοῦ δήμου γινόμεναι, ὡς αἱ τῶν στρατηγῶν, αἱρεταὶ δὲ αἱ κατὰ αἵρεσιν, ὡς αἱ τῶν χορηγῶν. Τούτων μία ἦν τῶν κληρωτῶν ἡ βουλὴ τῶν πεντακοσίων, τῶν πεντακοσίων δὲ εἴπομεν πρὸς ἀντιδιαστολὴν τῆς ἐν Ἀρείῳ πάγῳ. Εἰσὶ δὲ τούτων διαφοραὶ τρεῖς. Καὶ πρώτη ἐστὶ τὸ τὴν τῶν πεντακοσίων τὰ δημόσια πράγματα διοικεῖν, τὴν δὲ ἐν Ἀρείῳ πάγῳ τὰ φονικὰ μόνον. Εἰ δέ τις εἴποι ὅτι καὶ αὕτη δημόσια διῴκει, λέγομεν ὅτι, ἡνίκα μεγίστη ἀνάγκη ἐγίγνετο, τότε μόνον περὶ δημοσίων συνήγετο. Δευτέρα διαφορά, ὅτι ἡ μὲν τῶν πεντακοσίων ἀριθμῷ ὑποπίπτει ὡρισμένῳ, ἡ δὲ ἀορίστῳ. Ὡς γάρ τινες τῶν ῥητόρων λέγουσι, κατ' ἔτος οἱ ἐννέα ἄρχοντες αὐτῇ προσετίθεντο· ὡς δέ τινες, ὅτι οἱ ἓξ μόνον θεσμοθέται. Ἦσαν γὰρ ἓξ θεσμοθέται, οἱ περὶ ἑταιρήσεως δικάζοντες· ἦσαν δὲ καὶ ἄλλοι τρεῖς, εἷς ἐπώνυμος, ἐξ οὗ καὶ ὁ ἐνιαυτὸς [ἐπώνυμος] ὠνομάζετο, δεύτερος ὁ βασιλεύς, ὁ τὰ τῶν ὀρφανῶν καὶ ἀσεβειῶν διοικῶν, τρίτος ὁ πολέμαρχος, ὁ τῶν
589 πολεμικῶν ἐπιμελούμενος. Οἱ δὲ θεσμοθέται ἐνιαυτὸν μόνον ἦρχον, πρὸ τῆς ἀρχῆς κρινόμενοι περὶ τοῦ προλαβόντος παντὸς βίου· καὶ εἰ μὲν εὑρέθησαν ἐν πᾶσι δίκαιοι, ἦρχον τὸν ἐνιαυτόν. Εἶτα πάλιν μετὰ τὸν ἐνιαυτὸν ἐκρίνοντο, εἰ καλῶς ἐν αὐτῷ ἦρξαν· καὶ εἰ δικαίως ὤφθησαν ἄρξαντες, προσετίθεντο τῇ βουλῇ τῶν Ἀρειοπαγιτῶν (καὶ διὰ τοῦτο οὐχ ὑπέπιπτον ἀριθμῷ)· εἰ δὲ μή, ἐξεβάλλοντο. Τρίτη διαφορά, ὅτι ἡ μὲν τῶν πεντακοσίων κατ' ἐνιαυτὸν διεδέχετο, ἡ δὲ τῶν Ἀρειοπαγιτῶν ἦν ἀδιάδοχος· εἰ μὴ γάρ τις ἥμαρτε μεγάλως, οὐκ ἐξεβάλλετο.

20. οἱ ἓξ Jurin. καὶ ἓξ mss.

20-21. οἱ περὶ ἑταιρήσεως δικάζοντες. Le scholiaste s'attache à un détail qu'il connaissait par le § 21 de ce discours. Il est inutile de relever les autres inexactitudes de son exposition.

24. Peut-être : οἱ δὲ θ', c.-à-d. οἱ δ' ἐννέα (ἄρχοντες).

Ἐπειδὴ δὲ οὐ πρόκειται ἡμῖν περὶ τῆς ἐν Ἀρείῳ πάγῳ βουλῆς, ἀλλὰ περὶ τῶν πεντακοσίων, ἀναγκαῖον μαθεῖν ἡμᾶς πῶς ἦρχεν. Ἰστέον δὲ ὅτι οὐκ ἐψήφιζον οἱ Ἀθηναῖοι τοὺς μῆνας κατὰ τὸν ἡλιακὸν, ὡς ἡμεῖς, ἀλλὰ κατὰ τὸν σεληνιακόν. Κατὰ γὰρ τὸν ἡλιακὸν δρόμον ἔχει ὁ ἐνιαυτὸς ἡμέρας τριακοσίας ἑξήκοντα πέντε, ὥστε συμβαίνει ἔχειν τὸν μῆνα ἡμέρας τριάκοντα καὶ τρίτον ⟨καὶ δωδέκατον⟩. Δεκάκις γὰρ τριάκοντα τριακόσια, δὶς τριάκοντα ἑξήκοντα· λοιπὰ πέντε. Τὸ τρίτον τῶν δώδεκα τέσσαρα· λοιπὴ μία. Δωδέκατον δὲ ἡ μία τῶν δώδεκα ἐστί. Κατὰ δὲ τὸν σεληνιακὸν δρόμον ὁ ἐνιαυτὸς ἔχει τριακοσίας πεντήκοντα τέσσαρας, ὥστε συμβαίνει τὸν μῆνα ἔχειν ἡμέρας εἰκοσιεννέα ἥμισυ. Δεκάκις γὰρ εἴκοσι διακόσια, δὶς εἴκοσι τεσσαράκοντα, δεκάκις ἐννέα ἐννενήκοντα, δὶς ἐννέα δεκαοκτὼ, καὶ τὸ ἥμισυ τῶν δώδεκα ἕξ. Ὥστε ὁμοῦ εἶναι ἡμέρας τριακοσίας πεντήκοντα τέσσαρας, ὑπολείπεσθαι δὲ κατὰ τὸν ἡλιακὸν δρόμον ἡμέρας ἕνδεκα, ἃς Ἀθηναῖοι κατὰ τριετίαν συνάγοντες ἐποίουν τὸν ἐμβόλιμον μῆνα τριάκοντα τριῶν 590
ἡμερῶν. Ἔχει γοῦν ὁ ἐνιαυτὸς κατὰ τὸν σεληνιακὸν δρόμον τριακοσίας πεντήκοντα τέσσαρας ἡμέρας. Καὶ τὰς μὲν δ' ἡμέρας ἐκάλουν οἱ Ἀθηναῖοι ἀρχαιρεσίας· ἐν αἷς ἄναρχος ἡ Ἀττικὴ ἦν (ἐν ταύταις προεβάλλοντο τοὺς ἄρχοντας)· ἦρχον οὖν οἱ πεντακόσιοι τὰς τριακοσίας πεντήκοντα ἡμέρας. Ἀλλ' ἐπειδὴ πολλοὶ ἦσαν καὶ δυσχερῶς ἤνυον τὰ πράγματα, διεῖλον ἑαυτοὺς εἰς δέκα μερίδας κατὰ τὰς φυλὰς, ἀνὰ πεντήκοντα (τοσούτους γὰρ ἑκάστη φυλὴ προεβάλλετο)· ὥστε συνέβαινε τοὺς πεντήκοντα ἄρχειν τῶν ἄλλων ἀνὰ τριάκοντα πέντε ἡμέρας. Αὗται γὰρ αἱ τριάκοντα πέντε ἡμέραι εἰσὶ τὸ δέκατον μέρος τοῦ ἐνιαυτοῦ· δεκάκις γὰρ τριάκοντα τριακόσια, πεντάκις δέκα πεντήκοντα. Ἀλλ' ἐπειδὴ πάλιν οἱ πεντήκοντα πολλοὶ ἦσαν εἰς τὸ ἄρχειν ἅμα, οἱ δέκα κατὰ κλῆρον μίαν ἡμέραν τῶν ἑπτὰ, ὁμοίως δὲ ἕκαστος τῶν ἄλλων ἀπὸ κλήρου ἦρχε τὴν ἑαυτοῦ ἡμέραν, ἄχρις οὗ πληρωθῶσιν αἱ ἑπτὰ ἡμέραι· καὶ συνέ-

6-7. καὶ δωδέκατον : supplément de Jurin.

9. δωδέκατον Felic. δώδεκα mss

9. δὲ τῆς μιᾶς δώδεκα ἐστί mss. δὲ τῆς μιᾶς δύο (*duo horæ*) ἐστί H. Wolf. δὲ τῶν δώδεκα μία ἐστί Jurin, en transposant les mots sans nécessité.

16-17. τριάκοντα τριῶν ἡμερῶν. Le scholiaste croyait que la τριετηρίς était un cycle de trois ans. Par le fait, les Athéniens inséraient anciennement tous les deux ans (διὰ τρίτου ἔτους) un mois de trente jours.

19-20. Peut-être : ἀρχαιρεσίας, ἐν αἷς προεβάλοντο τοὺς ἄρχοντας· ἐν ταύταις ἄναρχος ἡ Ἀττικὴ ἦν. Du reste, tout cela est faux.

28-29. Le texte est mutilé. Jurin proposait : ἅμα, διεῖλον πάλιν ἑαυτοὺς εἰς ἄλλας πέντε μερίδας ἀνὰ δέκα. Καὶ οἱ δέκα ἦρχον ἑπτὰ ἡμέρας, καὶ εἷς αὐτῶν κατὰ κλῆρον....

βαινε τοῖς ἄρχουσι τρεῖς μὴ ἄρχειν. Ἕκαστος δὲ ἄρχων ἐν μιᾷ ἡμέρᾳ ἐκαλεῖτο ἐπιστάτης. Διὰ τί δὲ μίαν μόνην ἦρχεν; ἐπειδὴ αὐτὸς τας κλεῖς τῆς ἀκροπόλεως ἐπιστεύετο, καὶ πάντα τὰ χρήματα τῆς πόλεως· ἵν' οὖν μὴ ἐρασθῇ τυραννίδος, διὰ τοῦτο μίαν ἡμέραν ἐποίουν αὐτὸν ἄρξαι. Ἰστέον δ' ὅτι οἱ μὲν πεντήκοντα ἐκαλοῦντο πρυτάνεις, οἱ δὲ δέκα πρόεδροι, ὁ δὲ εἱς ἐπιστάτης. Μετιτέον δὲ ἐπὶ τὴν ὑπόθεσιν τοῦ προκειμένου λόγου.

Ἔθος ἦν τὴν βουλὴν τῶν πεντακοσίων λαμβάνουσαν χρήματα ἀπὸ τοῦ δήμου καινὰς τριήρεις ποιεῖν· νόμος δὲ ἦν τὴν βουλὴν τὴν δόξασαν τῷ δήμῳ καλῶς βεβουλευκέναι στεφανοῦσθαι. Αὕτη
591 οὖν ἡ βουλὴ, περὶ ἧς ὁ λόγος, λαβοῦσα τὰ χρήματα ἐκ τοῦ δήμου τὰς τριήρεις οὐκ ἐποίησεν, ἐδόκει δ' εἰς τὰ ἄλλα πάντα καλῶς βεβουλευκέναι. Ὁ γοῦν Ἀνδροτίων ὁ ῥήτωρ, προστάτης ὢν ταύτης τῆς βουλῆς, ἔγραψε ψήφισμα στεφανωθῆναι τὴν βουλήν. Τούτου ἐλάβοντο τοῦ ψηφίσματος ὡς παρανόμως γραφέντος Εὐκτήμων καὶ Διόδωρος, ἐχθροὶ ὄντες τοῦ Ἀνδροτίωνος. Ἔστιν οὖν ἡ στάσις πραγματικὴ ἔγγραφος, ἐπίσκεψις μέλλοντος χρόνου, εἰ δεῖ τόδε ποιῆσαι ἢ εἰ δεῖ τόδε δοῦναι ἢ μή. Καὶ ἐπειδὴ πρὸς τὴν στάσιν τοῦ λόγου συμβάλλεται ὑμῖν τὸ μαθεῖν τὰς δικαιολογίας, φέρε πρῶτον τὰς τῶν κατηγόρων ἐξετάσωμεν. Εὐκτήμων οὖν καὶ Διόδωρος ἐπιλαμβάνονται κατὰ τέσσαρας νόμους τοῦ ψηφίσματος, ὧν πρῶτός ἐστιν, ἀπροβούλευτον ψήφισμα μὴ εἰσιέναι ἐν τῷ δήμῳ. Ἐπειδὴ γὰρ πολὺς ἦν ὁ δῆμος καὶ πολλάκις παρεκρούετο, μὴ νοῶν εἰ ἔχει ἐμφωλεύουσαν κακουργίαν, πρῶτον παρεπέμπετο εἰς τὴν βουλὴν τῶν πεντακοσίων, καὶ αὕτη ἠρεύνα, εἰ ἔχει βλάβην τινὰ ἢ κακούργίαν, καὶ οὕτως εἰσήγετο εἰς τὸν δῆμον. Ἔδει οὖν αὐτὸν πρῶτον εἰσενέγκαι τὸ ψήφισμα εἰς τὴν βουλήν· οὐκ εἰσήνεγκε δὲ, ἐπειδὴ νεωστὶ ἄρξασα ἦν ἡ βουλὴ, καὶ ἐφοβεῖτο μὴ διαφωνηθῇ· ἕκαστος γὰρ τὸν πρὸ αὐτοῦ θέλει δεῖξαι κακῶς ἄρξαντα. Δεύτερος νόμος, τὴν βουλὴν τὴν ποιήσασαν τὰς τριήρεις αἰτεῖν τὴν δωρεάν. Τρίτος νόμος, τὸν ἡταιρηκότα μὴ πολιτεύεσθαι· Ἀνδροτίων ἄρα, ⟨ὅς⟩ ἡταίρηκεν, οὐκ ὤφειλε πολιτεύεσθαι. Τέταρτος νόμος, τὸν ἐποφείλοντα τῷ δημοσίῳ μὴ πολιτεύεσθαι· σὺ δὲ, ὦ Ἀνδρο-

15. ἐπελάβοντο H. Wolf

24. Ἔχει a pour sujet « une motion, un décret proposé », ψήφισμα.

28. Νεωστὶ.... βουλή, récemment un autre conseil était entré en fonction [H Wolf.]

28-29. διαφωνηθῇ. Dindorf : διαφθονηθῇ.—ἄρξαντα H. Wolf. πράξαντα mss.

30. τὴν μὴ ποιήσασαν ... μὴ αἰτεῖν Jurin.

32. ὅς inséré dans l'édition de Paris (1570)

τιων, ὀφείλεις· οὐκ ἄρα δεῖ σε πολιτεύεσθαι. Εἴπωμεν δὲ καὶ τὰς 592 τοῦ φεύγοντος δικαιολογίας. Ὁ τοίνυν Ἀνδροτίων πρὸς τὸν πρῶτον νόμον ἔθει ἀγωνίζεται· λέγει γὰρ ὅτι ἔθος ἐκράτησεν ἀπροβούλευτον ψήφισμα εἰσάγεσθαι ἐν τῷ δήμῳ. Πρὸς δὲ τὸν δεύτερον ἀντινομικῶς· παραφέρει γὰρ καὶ αὐτὸς ἕτερον νόμον λέγοντα τὴν βουλήν, ἐὰν δόξῃ καλῶς βεβουλευκέναι [ἐν] τῷ δήμῳ, στεφανοῦσθαι. Πρὸς δὲ τοὺς ἄλλους δύο παραγραφικῶς ἀγωνίζεται, λέγων ὅτι ἄρτι οὐκ ὤφειλε κρίνεσθαι περὶ τούτων.

Τινὲς δ' ἐπεχείρησαν τοῦτον τὸν λόγον ⟨ἀνενεγκεῖν εἰς⟩ πραγματικὴν ⟨τὴν⟩ πρὸς ἀντινομίαν, λέγοντες ὅτι « ἰδοὺ καὶ ἐνταῦθα « δύο νόμοι μάχονται ἀλλήλοις ἐκ περιστάσεως, ὧν ὁ εἷς παρα« βέβασται διὰ τὸ κυρωθῆναι τὸν ἕτερον ». Ἀλλὰ λέγομεν ὅτι ἐν τῇ πραγματικῇ τῇ πρὸς ἀντινομίαν οὐδέτερος παραβαίνεται, ἀλλὰ σκοποῦμεν ποῖον δεῖ παραβαθῆναι· ἐν δὲ τῷ παρόντι λόγῳ οὐχ οὕτως. Ὁ εἷς γὰρ τῶν νόμων παραβέβασται, ὁ λέγων τὴν βουλὴν τὴν μὴ ποιήσασαν τὰς τριήρεις μὴ αἰτεῖν δωρεάν· τοῦτο δὲ οὐκ ἴδιον πραγματικῆς ⟨τῆς⟩ πρὸς ἀντινομίαν, ἀλλὰ μόνης ἀντινομίας.

Ἰστέον δὲ ὅτι, ἡνίκα δύο ὦσι κατήγοροι, ὧν ὁ μὲν εἷς ⟨νεώτερος, ὁ δὲ ἕτερος⟩ πρεσβύτερος, οὗτος λαμβάνει τὴν πρωτολογίαν κατὰ τιμήν, ὥσπερ καὶ ἐνταῦθα ὁ Εὐκτήμων ἔλαβε τὴν πρωτολογίαν ὡς πρεσβύτερος, καὶ εἶπε τὰ προοίμια καὶ τὴν κατάστασιν καὶ μέρος τι τῶν ἀγώνων. Ὁ δὲ Διόδωρος, ἰδιώτης ὤν, ἔλαβεν ἀπὸ τοῦ Δημοσθένους τὸν παρόντα λόγον. Καὶ ἔστι δευτερολογία, ἔχει δὲ ἃ παρέλιπεν ὁ Εὐκτήμων.

Ὅπερ Εὐκτήμων, ὦ ἄνδρες δικασταί, παθὼν ὑπ' Ἀν- 593 δροτίωνος κακῶς, ἅμα τῇ τε πόλει βοηθεῖν οἴεται δεῖν καὶ δίκην ὑπὲρ αὑτοῦ λαβεῖν, τοῦτο κἀγὼ πειράσομαι ποιεῖν,

NC. 2. ᾤετο A. — 3. αὐτοῦ S et L.

6. [ἐν] mis entre crochets par Bekker.

9-10. ἀνενεγκεῖν εἰς et τὴν insérés dans l'édition de Paris.

17. τῆς inséré *ibid.*

19-20. νεώτερος, ὁ δὲ ἕτερος inséré *ibid.*

22. Ὡς πρεσβύτερος. Dans le procès contre Timocrate, les rôles sont intervertis et Diodore prononce le discours principal. On voit que l'âge n'y était pour rien.

2-3. Ἅμα τῇ τε πόλει βοηθεῖν.... καὶ δίκην ὑπὲρ αὑτοῦ λαβεῖν. C'est le déve-

ἐὰν ἄρ' οἷός τ' ὦ. Συμβέβηκε δὲ, πολλὰ καὶ δεινὰ καὶ παρὰ πάντας τοὺς νόμους Εὐκτήμονος ὑβρισμένου, ἐλάττω ταῦτ' εἶναι τῶν ἐμοὶ γεγενημένων δι' Ἀνδροτίωνος πραγμάτων. Οὗτος μέν γ' εἰς χρήματα καὶ τὸ παρ' ὑμῶν ἀδίκως ἐκπεσεῖν ἐπεβουλεύθη· ἐμὲ δ' οὐδ' ἂν ἐδέξατο τῶν ὄντων ἀνθρώπων οὐδὲ εἷς, εἰ τὰ κατασκευασθέντα ὑπὸ τούτου παρ' ὑμῖν ἐπιστεύθη. [2] Αἰτιασόμενος γάρ μ' ἃ καὶ λέγειν ἂν ὀκνήσειέ τις, εἰ μὴ τύχοι προσόμοιος ὢν τούτῳ, τὸν πατέρ' ὡς ἀπέκτον' ἐγὼ τὸν ἐμαυτοῦ, [καὶ] κατασκευάσας ἀσεβείας γραφὴν οὐκ ἐπ' ἐμὲ, ἀλλ' ἐπὶ τὸν θεῖόν μου, γράψας ἀσεβεῖν

NC. 1. ἄρα S. — 4. Variante : μὲν γάρ. — Je propose : καὶ τὸ πατρῴων (πατρωιων) ἀδίκως ἐκπεσεῖν. Le scholiaste dit : Ἐπειδὴ ὁ κλέπτων τὰ κοινὰ εἰς ζημίαν χρημάτων βλάπτεται καὶ τῆς οὐσίας ἐκπίπτει, διὰ τοῦτο οὕτως εἴρηκεν. La suite de la scholie, qui se rapporte à la leçon des manuscrits, est, je crois, une addition postérieure. Voy. la note explicative. — 5. τῶν πάντων ἀνθρώπων L. — 7. J'écris αἰτιασόμενος pour αἰτιασάμενος, et je supprime καὶ avant κατασκευάσας (l. 9). — κἂν λέγειν ὀκνήσειέ τις Cobet, *Misc. Crit.*, p. 520.

loppement du verbe ποιεῖν, que l'on peut sous-entendre avec ὅπερ οἴεται δεῖν, et qui se lit dans le membre de phrase suivant. Brachylogie. Du reste, on voit que les accusateurs ne prétendent pas n'avoir d'autre mobile que l'intérêt de l'État, mais déclarent hautement qu'ils obéissent à des ressentiments personnels. Ils ne veulent pas qu'on les prenne pour des sycophantes. Voy. la note sur *Lept.*, § 1. — Hermogène (III, p. 284 Walz) fait remarquer que des assonances aussi nombreuses que βοηθεῖν.... δεῖν... λαβεῖν.... ποιεῖν sont rares dans Démosthène.

4. Εἰς.... τὸ παρ' ὑμῶν ἀδίκως ἐκπεσεῖν. On a vainement essayé d'expliquer ces mots. Depuis Jurin et Reiske, la plupart des éditeurs entendent παρ' ὑμῶν ἐκπεσεῖν de l'exil, et croient qu'il s'agit d'une poursuite pour impiété (ἀσέβεια) qu'Androtion aurait intentée à Euctémon : c'est qu'ils confondent gratuitement ce dernier avec l'oncle de Diodore, qui sera mentionné au § 2. Par le fait, Euctémon avait été accusé par Androtion de détenir des sommes qu'il devait recouvrer pour le fisc (§ 48), et ce procès, qui le menaçait de peines pécuniaires, était le seul dont il eût à se plaindre, comme on le voit par le § 7 du discours *Contre Timocrate*. L'explication donnée par un scholiaste : « perdre injustement les honneurs qu'il tient de vous », outre qu'elle demanderait τὸ τῶν παρ' ὑμῶν.... ἐκπεσεῖν, ne peut se concilier non plus avec les faits : car les fonctions de collecteur-percepteur, dont Euctémon avait été destitué, étaient conférées, non par l'élection, mais par le sort, κληρωτὴ ἀρχή (§ 43). Le sens des mots altérés était sans doute στερηθῆναι τῶν ὄντων (cf. *Tim.*, § 7). Voy. NC.

6. Τῶν ὄντων ἀνθρώπων, de tout ce qu'il y a d'hommes. Cf. *Paix*, § 2 ; *Chers.*, § 58.

9. Ἐγὼ τὸν ἐμαυτοῦ. Emphase. — Κατασκευάσας se prend en mauvaise part. Le procès fait à l'oncle de Diodore était une machination pour faire courir à ce dernier un grand péril judiciaire (εἰς ἀγῶνα κατέστησεν).

10. Οὐκ ἐπ' ἐμὲ, ἀλλ' ἐπὶ τὸν θεῖόν μου. Il ne pouvait l'atteindre qu'indirectement : car, d'après la législation d'Athènes (le scholiaste le fait observer), la poursuite pour homicide était réservée, comme un droit et comme un devoir, au plus proche parent de la victime. C'était là un reste de l'antique *vendetta* exercée par la famille. — Γράψας ἀσεβεῖν, ayant écrit, ayant allégué, dans l'acte d'accusation, que l'oncle de Diodore commettait une impiété.

ἐμοὶ συνιόντ' εἰς ταὐτὸν ὡς πεποιηκότι ταῦτα, εἰς ἀγῶνα κατέστησεν· ὃν εἰ συνέβη τόθ' ἁλῶναι, τίς ἂν ἀθλιώτερ' ἐμοῦ πεπονθὼς ἦν [ὑπὸ τούτου]. Τίς γὰρ ἂν ἢ φίλος ἢ ξένος εἰς ταὐτό ποτ' ἐλθεῖν ἠθέλησεν ἐμοί; τίς δ' ἂν εἴασε πόλις που παρ' ἑαυτῇ γενέσθαι τὸν τὸ τοιοῦτ' ἀσέβημα δοκοῦντ' εἰργάσθαι; οὐκ ἔστιν οὐδὲ μία. [3] Ἐγὼ τοίνυν ταῦτα μὲν οὐ παρὰ μικρὸν ἀγωνιζόμενος παρ' ὑμῖν ἀπελυσάμην, ἀλλ' ὥστε τὸ πέμπτον μέρος μὴ λαβεῖν τοῦτον τῶν ψήφων· τοῦτον 594 δὲ μεθ' ὑμῶν πειράσομαι καὶ νῦν καὶ τὸν ἄλλον ἅπαντ' ἀμύνεσθαι χρόνον.

Καὶ περὶ μὲν τῶν ἰδίων ἔχων ἔτι πολλὰ λέγειν ἐάσω· περὶ δ' ὧν οἴσετε τὴν ψῆφον νυνὶ καὶ περὶ ὧν οὗτος δημοσίᾳ πεπολιτευμένος οὐκ ὀλίγ' ὑμᾶς ἔβλαψεν, ἅ μοι παραλιπεῖν Εὐκτήμων ἐδόκει, βέλτιον δ' ὑμᾶς ἀκοῦσαι, ταῦτα διεξελθεῖν ἐν βραχέσι πειράσομαι. [4] Ἐγὼ γὰρ εἰ μὲν ἑώρων τιν' ἁπλῆν τούτῳ περὶ ὧν φεύγει πρὸς ὑμᾶς οὖσαν ἀπολογίαν,

NC. 1. ταὐτὸν A. ταυτὸ S, L, vulg. — ταῦτα S[1], vulg. ταὐτὰ S par correction de l'un des reviseurs, L. — 3. J'écarte ὑπὸ τούτου, mots qui seraient de mise après ἢ ἐγώ. — 4. εἴασεν S. — 5. τὸ τοιοῦτο S, L, F. τοιοῦτο ou τοιοῦτο vulg. — 6. οὐδὲ μία S. Cf. οὐδὲ εἷς au § 1. οὐδεμία L, vulg. — 8. La variante μὴ (ou οὐ) μεταλαβεῖν vient de *Timocr.*, § 7. — τοῦτον τῶν S, L[1]. τούτους τῶν vulg. — τουτονὶ δὲ A. — 9. πειράσομαι μεθ' ὑμῶν A. — 9-10. ἅπαντα χρόνον ἀμύνεσθαι avant Bekker. Quatre brèves successives donneraient à cette phrase un mouvement sautillant. — 13. Probablement παραλείπειν. L'infinitif de l'aoriste devrait être suivi du présent δοκεῖ [Blass, *Rhein Mus.*, XXXIII, p. 494.]

1. Συνιόντ' εἰς ταὐτόν. Le contact du meurtrier souillait. Cf. *Midienne*, § 118, avec la note.

2. Ὃν se rapporte à τὸν θεῖόν μου.

3-4. Τίς γὰρ ἂν ἢ φίλος ἢ ξένος.... τίς δ' ἂν πόλις ... Cf. Euripide, *Électre*, 1194 : Τίνα δ' ἑτέραν μόλω πόλιν; τίς ξένος, τίς εὐσεβὴς ἐμὸν κάρα προσόψεται ματέρα κτανόντος;

6-7. Ταῦτα μὲν οὐ παρὰ μικρὸν.... ἀπελυσάμην, je me purgeai de ces accusations, je réfutai ces calomnies et me fis acquitter, non à une petite majorité, mais.... Cf. *Aristocr.*, § 205 : Παρὰ τρεῖς μὲν ἀφεῖσαν ψήφους τὸ μὴ θανάτῳ ζημιῶσαι. — Diodore porta lui-même la parole pour se défendre en défendant son oncle.

8-9. Τοῦτον.... τοῦτον δέ.... Le premier τοῦτον se trouve dissimulé au milieu d'un groupe de mots, afin que la voix n'y insiste pas; le second τοῦτον est mis en relief.

12. Περὶ δ' ὧν.... καὶ περὶ ὧν... Des chefs d'accusation proprement dits. l'orateur distingue les autres méfaits qu'il reproche à Androtion. — Δημοσίᾳ doit être rattaché à ἔβλαψεν.

13. Ἃ a pour corrélatif ταῦτα et ne se réfère pas au membre de phrase précédent. L'orateur ne dit pas qu'Euctémon ait passé sous silence la mauvaise administration d'Androtion, mais qu'il n'a dit, ni sur cette administration ni sur le fond du procès, tout ce qu'il y avait à dire.

οὐκ ἂν ἐποιούμην περὶ αὐτῆς μνείαν οὐδεμίαν. Νῦν δ' οἶδα σαφῶς ὅτι οὗτος ἁπλοῦν μὲν οὐδὲ δίκαιον οὐδὲν ἂν εἰπεῖν ἔχοι, ἐξαπατᾶν δ' ὑμᾶς πειράσεται πλάττων καὶ παράγων πρὸς ἕκαστα τούτων κακούργους λόγους. Ἔστι γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, τεχνίτης τοῦ λέγειν, καὶ πάντα τὸν βίον ἐσχόλακεν [ἐν] τούτῳ. Ὑπὲρ οὖν τοῦ μὴ παρακρουσθέντας ὑμᾶς ἐναντία μὲν τοῖς ὀμωμοσμένοις πεισθῆναι ψηφίσασθαι, ἀφεῖναι δὲ τοῦτον ὃν ὑμῖν πολλῶν ἕνεκ' ἄξιον κολάσαι, προσέχετε τὸν νοῦν οἷς ἐρῶ, ἵν' ἀκούσαντες ἐμοῦ πρὸς ἕκαστον τῶν ὑπὸ τούτου ῥηθησομένων ἔχηθ' ὑπολαμβάνειν ἃ δεῖ.

[5] Ἔστι γὰρ εἷς μὲν ὃν οἴεται τεχνικῶς ἔχειν αὐτῷ λόγος περὶ τοῦ ἀπροβουλεύτου. Νόμος ἐστί, φησίν, ἐὰν ἀξίως ἡ βουλὴ δοκῇ βουλεῦσαι δωρειᾶς, διδόναι τὸν δῆμον τὴν δωρειὰν αὐτῇ. Ταῦτ' ἐπήρετο, φησίν, ὁ ἐπιστάτης, διεχειροτόνησεν ὁ δῆμος, ἔδοξεν. Οὐδὲν δεῖ, φησί, προβουλεύματος ἐνταῦθα· κατὰ γὰρ νόμον ἦν τὰ γιγνόμενα. Ἐγὼ δ' αὐτὸ τοὐναντίον
595 οἴομαι, νομίζω δὲ καὶ ὑμῖν συνδόξειν, περὶ τούτων τὰ προβου-

NC. 1. περὶ αὐτῶν μνείαν, variante mal autorisée, Reiske, Bekker, Dindorf. — οὐδεμίαν manque dans S et L[1] seuls, omission facile à expliquer après μνείαν. — 3. Dobree proposait παράγων καὶ πλάττων. Cobet, *l. c.*, écarte καὶ παράγων. — 6. ἐνὶ τούτῳ Reiske. [ἐν] Blass. — 8. εἵνεκα F. — 12. ὧν Reiske. — 14. δωρεὰς διδόναι S, L — δωρεὰν mss, ici et partout. — 17. αὖ τοὐναντίον A. Cf. *Mid.*, § 120

1. Περὶ αὐτῆς, c.-à-d. τῆς ἀπολογιας. L'orateur explique pourquoi il s'attachera à réfuter d'avance les arguments que pourra produire l'accusé. Ces *procatalepses*, négligées par l'accusateur principal, seront développées dans cette deutérologie.

3-4. Πλάττων καὶ παράγων, inventant dans le dessein d'égarer. Cf. *Contre Nausimaque*, 9 : Τοῦτο γὰρ πλάττουσι καὶ παράγουσι. Le second verbe est un développement accessoire, logiquement subordonné au premier verbe. Cf. *Mid.*, § 208; *Phil.*, III, §§ 72 et 74, avec les notes. — Τούτων, c.-à-d. περὶ ὧν φεύγει.

10. Ὑπολαμβάνειν, répondre. Cf. *Leptin.*, § 146, avec la note, et *passim* Ailleurs ὑποβάλλειν est employé dans le même sens. Cf. *Midienne*, § 204.

12. Τεχνικῶς, conformément à l'art (τέχνη), aux préceptes des rhéteurs. L'orateur veut rendre son adversaire suspect aux juges.

13. Περὶ τοῦ ἀπροβουλεύτου. La loi voulait que rien ne fût soumis aux délibérations du peuple sans une délibération préliminaire (προβούλευμα) du Conseil des Cinq-cents.

14. Δωρειᾶς. Entendez une couronne.

15. Ὁ ἐπιστάτης, le président des prytanes ou plutôt des *proèdres*, lesquels dirigeaient les délibérations du sénat et du peuple : voy. la note sur *Mid.*, § 8. Cf. ci-dessous § 9.

17. Αὐτὸ τοὐναντίον, tout au contraire.

λεύματ' ἐκφέρειν μόνων περὶ ὧν κελεύουσιν οἱ νόμοι, ἐπεὶ περὶ ὧν γε μὴ κεῖνται νόμοι οὐδὲ γράφειν τὴν ἀρχὴν προσήκει οὐδὲ ἓν δήπου. [6] Φήσει τοίνυν τοῦτον ἁπάσας τὸν τρόπον εἰληφέναι τὰς βουλάς, ὅσαι πώποτ' ἔχουσι παρ' ὑμῶν δωρειάν, καὶ οὐδὲ μιᾷ γεγενῆσθαι προβούλευμα πώποτε. Ἐγὼ δ' οἴομαι μὲν οὐχὶ λέγειν αὐτὸν ἀληθῆ, μᾶλλον δ' οἶδα σαφῶς· οὐ μὴν ἀλλ' εἰ τοῦτο τοιοῦτ' ἐστὶν τὰ μάλιστα, ὁ νόμος δὲ λέγει τἀναντία, οὐχ, ὅτι πολλάκις ἡμάρτηται δήπου πρότερον, διὰ τοῦτ' ἐπεξαμαρτητέον ἐστὶ καὶ νῦν, ἀλλὰ τοὐναντίον ἀρκτέον, ὡς ὁ νόμος κελεύει, τὰ τοιαῦτα ποιεῖν ἀναγκάζειν ἀπὸ σοῦ πρώτου. [7] Σὺ δὴ μὴ λέγ' ὡς γέγονεν τοῦτο πολλάκις, ἀλλ' ὡς οὕτω προσήκει γίγνεσθαι. Οὐ γὰρ εἴ τι πώποτε μὴ κατὰ τοὺς νόμους ἐπράχθη, σὺ δὲ τοῦτ' ἐμιμήσω, διὰ τοῦτ' ἀποφύγοις ἂν δικαίως, ἀλλὰ πολλῷ μᾶλλον ἁλίσκοιο· ὥσπερ γὰρ εἴ τις ἐκείνων προήλω, σὺ τάδ' οὐκ ἂν ἔγραψας, οὕτως, ἂν σὺ νῦν δίκην δῷς, ἄλλος οὐ γράψει.

[8] Περὶ τοίνυν τοῦ νόμου τοῦ διαρρήδην οὐκ ἐῶντος ἐξεῖναι μὴ ποιησαμένῃ τῇ βουλῇ τὰς τριήρεις αἰτῆσαι τὴν

NC. 2. προσῆκεν A, Benseler. — 3. φησι S et L¹ seuls. — ἁπάσας τοῦτον τὸν τρόπον F. τοῦτον τὸν τρόπον ἁπάσας A. — 4. Peut-être ὅσαιπερ ἔχουσ.. 5. οὐδὲ μιᾶι S. οὐδεμιᾷ vulg. — 6. ἀληθῆ A. ἀλήθειαν S, L, vulg. Cette dernière leçon demanderait l'article τήν. [Reiske.] — 13. τοὺς est omis dans L. — 14. ἀποφεύγοις S et L¹.

1. Ἐκφέρειν, porter devant l'assemblée du peuple. L'idée sous-entendue de δεῖν se tire de δεῖ, p. 20, l. 16.

2. Μὴ κεῖνται. Le raisonnement ne serait concluant que si l'orateur pouvait dire περὶ ὧν οὐκ ἐῶσιν οἱ νόμοι. Mais l'auditeur ne s'aperçoit pas du sophisme. — Blass (p. 230) trouve que la pensée de l'orateur reste obscure faute d'avoir été assez développée. Mais Démosthène n'a garde d'ajouter des développements qui eussent mis en lumière sa rouerie d'avocat.

4. Ἔχουσι. Le décret d'honneur subsiste. Cf. NC.

10. Ὡς ὁ νόμος κελεύει, τὰ τοιαῦτα équivaut à οὕτως ὡς ὁ νόμος κελεύει. — Ἀπὸ σοῦ πρώτου se rattache à ἀρκτέον. Cf. *Cour.*, § 297, et *passim.*

12-16. Οὐ γάρ.... ἄλλος οὐ γράψει. L'enthymème est si bien tourné que l'orateur l'a reproduit dans les mêmes termes, ou peu s'en faut, dans *Aristocr.*, § 99, passage que Quintilien, V, 11, 4, a traduit en latin. Aulu-Gelle, X, 19, en admire les cadences harmonieuses : « Sententia.... quæ, quia lepidis et venustis « vocum modis vincta est, quasi quædam « cantilena rhetorica facilius adhærere « memoriæ tuæ potuit. » Muret et Seager rapprochent Cicéron, *Verr.*, III, §§ 205, 208, 210, 213.

17-18. Οὐκ ἐῶντος ἐξεῖναι. Pléonasme. Cf. *Aristocr.*, § 28 : Ταῦτα ἀπείρηκεν... ἐξεῖναι ποιεῖν. § 122 : Τὸ ποιεῖν ἐξεῖναι ταῦτα κωλῦσαι. *Néère*, § 106 : Οὐκ ἐᾷ γίγνεσθαι Ἀθηναῖον ἐξεῖναι. § 143 : Ἂν ἄδειαν λάβωσι τοῦ ἐξεῖναι.

18. Τὰς τριήρεις : les galères dont le nombre était déterminé par la loi. L'o-

δωρειάν, ἄξιόν ἐστιν ἀκοῦσαι τὴν ἀπολογίαν ἣν ποιήσεται, καὶ θεωρῆσαι τὴν ἀναίδειαν τοῦ τρόπου δι' ὧν ἐγχειρεῖ λέγειν. « Ὁ νόμος, φησὶν, οὐκ ἐᾷ τὴν βουλὴν αἰτῆσαι τὴν δω-« ρειὰν, ἐὰν μὴ ποιήσηται τὰς τριήρεις· ὁμολογῶ. Δοῦναι « δ' οὐδαμοῦ, φησὶ, κωλύει τὸν δῆμον. Ἐγὼ δὲ, εἰ μὲν ἔδωκ' « αἰτούσῃ, παρὰ τὸν νόμον εἴρηκα· εἰ δὲ μὴ, ⟨μηδὲ⟩ πεποίη-« μαι μνείαν περὶ τῶν νεῶν ἐν ὅλῳ τῷ ψηφίσματι, ἀλλ' ἕτερ'
596 « ἄττα λέγω δι' ἃ τὴν βουλὴν στεφανῶ, πῶς παρὰ τὸν νόμον « εἴρηκα; » [9] Ἔστι δὴ πρὸς ταῦτ' οὐ χαλεπὸν τὰ δίκαι' ὑμῖν ἀντειπεῖν, ὅτι πρῶτον μὲν οἱ προεδρεύοντες τῆς βουλῆς καὶ ὁ ταῦτ' ἐπιψηφίζων ἐπιστάτης ἠρώτων καὶ διαχειροτονίαν ἐδίδοσαν, ὅτῳ δοκεῖ δωρειᾶς ἀξίως ἡ βουλὴ βεβουλευκέναι καὶ ὅτῳ μή· καίτοι τούς γε μὴ αἰτοῦντας μηδὲ λαβεῖν ἀξιοῦντας τὴν ἀρχὴν οὐδ' ἐπερωτᾶν προσῆκεν. [10] Πρὸς τοίνυν τούτοις ἔστιν ἃ Μειδίου κατηγοροῦντος τῆς βουλῆς καὶ ἄλλων τινῶν, ἀναπηδῶντες οἱ βουλευταὶ ἐδέοντο μὴ σφᾶς ἀφελέσθαι τὴν δωρειάν. Καὶ ταῦτ' οὐ παρ' ἐμοῦ δεῖ πυθέσθαι τοὺς δικάζοντας ὑμᾶς, ἀλλ' αὐτοὶ παρόντες ἴστ' ἐν τῷ δήμῳ γενόμενα. Ὥσθ' ὅταν μὲν μὴ φῇ τὴν βουλὴν αἰτεῖν, ταῦθ' ὑπολαμβάνετε· ὅτι δ' οὐδὲ τὸν δῆμον ἐᾷ διδόναι μὴ ποιησαμένοις τὰς ναῦς ὁ νόμος, καὶ τοῦτ' ἐπιδείξω. [11] Διὰ ταῦτα γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτον ἔχει τὸν

NC. 2. Dobree et Cobet : ἐξ ὧν. — 4-5. δοῦναι δέ γε A. — 5. φησὶν S. — κωλύει A. κωλύειν S, L, vulg. — 6. τὸν νόμον L[1]. — ἐγὼ δ' mss. ἐγὼ δὴ Bekker, Dindorf. — 6. J'ai inséré μηδὲ après μή, afin de mettre de la suite dans le raisonnement. Cf. *Revue de philol.*, 1883, p. 11. — 8. διὰ τὴν L. — 9. ἐστὶ δὲ A. — 14. προσήκει A. προσῆκεν ουδε ἐν δήπου, reviseur à la marge de S. Cf. § 7. — 18. ἴστε τὰ A, F. — 21. ποιησαμένοις S, L, F. ποιησαμένῃ A. Depuis Reiske, les éditeurs ont adopté cette dernière leçon, que je regarde comme une correction inutile.

rateur se réfère à un point connu, déjà mentionné par Euctémon.

2. Δι' ὧν a été préféré par l'orateur à ἐξ ὧν, afin d'éviter l'hiatus.

6. Εἰ δὲ μή : sous-ent. αἰτούσῃ ἔδωκα.

10. Οἱ προεδρεύοντες.... Les neuf *proèdres* et leur *épistate* sont considérés comme les interprètes du sénat dans l'assemblée du peuple. C'est le sénat qui a demandé la couronne par leur organe quand ils ont posé la question et ont fait voter le peuple. — Ἐπιψηφίζων, qui met aux voix.

14. Τὴν ἀρχήν. Cf. § 5, à la fin.

15. Construisez : Μειδίου καὶ ἄλλων τινῶν (κατηγορούντων).

21. Μὴ ποιησαμένοις : sous-ent. τοῖς βουλευταῖς.

τρόπον [ὁ νόμος μὴ ἐξεῖναι τῇ βουλῇ μὴ ποιησαμένῃ τὰς τριήρεις αἰτῆσαι τὴν δωρεὰν], ἵνα μηδὲ πεισθῆναι μηδ' ἐξαπατηθῆναι γένοιτ' ἐπὶ τῷ δήμῳ. Οὐ γὰρ ᾤετο δεῖν ὁ τιθεὶς τὸν νόμον ἐπὶ τῇ τῶν λεγόντων δυνάμει τὸ πρᾶγμα καταστῆσαι, ἀλλ' ὃ δίκαιον ἦν εὑρεῖν ἅμα καὶ συμφέρον τῷ δήμῳ, νόμῳ τετάχθαι. Τὰς τριήρεις οὐ πεποίησαι; μὴ τοίνυν αἴτει τὴν δωρειάν. Ὅπου δ' αἰτεῖν οὐκ ἐᾷ, πῶς οὐ σφόδρα γε δοῦναι κωλύει;

[12] Ἄξιον τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, κἀκεῖν' ἐξετάσαι, τί δήποτε, ἂν τἄλλα πάνθ' ἡ βουλὴ καλῶς βουλεύσῃ καὶ μηδεὶς ἔχῃ μηδὲν ἐγκαλέσαι, τὰς δὲ τριήρεις μὴ ποιήσηται, τὴν δωρειὰν οὐκ ἔξεστιν αἰτῆσαι. Εὑρήσετε γὰρ τοῦτο τὸ 597 ἰσχυρὸν ὑπὲρ τοῦ δήμου κείμενον. Οἶμαι γὰρ ἂν μηδέν' ἀντειπεῖν ὡς οὐχ, ὅσα πώποτε τῇ πόλει γέγονεν ἢ νῦν ἔστιν ἀγαθὰ ἢ θάτερα, ἵνα μηδὲν εἴπω φλαῦρον, ἐκ τῆς τῶν τριήρων τὰ μὲν κτήσεως, τὰ δ' ἀπουσίας γέγονεν. [13] Οἷον πολλὰ μὲν ἄν τις ἔχοι λέγειν καὶ παλαιὰ καὶ καινά· ἃ δ' οὖν πᾶσι μάλιστ' ἀκοῦσαι γνώριμα, τοῦτο μέν, εἰ βούλεσθε, οἱ τὰ προπύλαια καὶ τὸν παρθενῶνα οἰκοδομήσαντες ἐκεῖνοι καὶ τἄλλ' ἀπὸ τῶν βαρβάρων ἱερὰ κοσμήσαντες, ἐφ' οἷς φιλοτιμούμεθα πάντες εἰκότως, ἴστε [γὰρ] δήπου

NC. 1-2. μὴ ἐξεῖναι.... τὴν δωρεάν. Cette glose, mal rattachée à τοῦτον ἔχει τὸν τρόπον, a été reconnue par Cobet. Blass a écarté ὁ νόμος. — 7. σφόδρα δοῦναί γε A, F. — 11. ποιήσεται (avec un signe de renvoi sur α) S[1]. — 12-13. τοῦτο ἰσχυρόν A, F. — 20 τἄλλα πάντα F. — 21. γὰρ est omis dans A.

2-3. Ἵνα μηδὲ.... γένοιτ' ἐπὶ τῷ δήμῳ, pour qu'il ne fût pas même au pouvoir du peuple de se laisser persuader.

3-4. Ὁ τιθείς. Cf. *Couronne*, § 6, avec la note.

6. Ὃ δίκαιον ἦν εὑρεῖν, ce que l'on pouvait trouver de conforme à la justice. Cf. *Aristocr.*, § 66 : Τὸ δίκαιον εὑρεῖν. [Jurin.]

7-8. Ὅπου.... κωλύει; alors que la loi ne veut pas que le sénat demande la récompense, à plus forte raison interdit-elle de l'accorder : comment en serait-il autrement?

12-13. Τοῦτο τὸ ἰσχυρόν, cette sauvegarde. Cf. *Timocr.*, § 153 : Ἄλλο τι τῶν τῆς πόλεως ἰσχυροτάτων.

15. Ἢ θάτερα. Euphémisme : aussi l'orateur ajoute-t-il ἵνα μηδὲν εἴπω φλαῦρον.

18. Ἀκοῦσαι est amené par λέγειν. L'orateur dit qu'il choisit des faits que tous ses auditeurs (οἱ ἀκούοντες) connaissent pour vrais.

19. Τὰ προπύλαια. Un historien exact ferait remarquer que la génération qui construisit les Propylées n'était pas celle qui avait combattu à Salamine.

21. Ἐφ' οἷς se réfère à ἱερά, non à οἱ οἰκοδομήσαντες.

τοῦτ' ἀκοῇ, ὅτι τὴν πόλιν ἐκλιπόντες καὶ κατακλεισθέντες εἰς Σαλαμῖνα, ἐκ τοῦ τριήρεις ἔχειν πάντα μὲν τὰ σφέτερ' αὐτῶν καὶ τὴν πόλιν, τῇ ναυμαχίᾳ νικήσαντες, ἔσωσαν, πολλῶν δὲ καὶ μεγάλων ἀγαθῶν τοῖς ἄλλοις Ἕλλησι κατέστησαν αἴτιοι, ὧν οὐδ' ὁ χρόνος τὴν μνήμην ἀφελέσθαι δύναται. [14] Εἶεν· ἀλλ' ἐκεῖνα μὲν ἀρχαῖα καὶ παλαιά· ἀλλ' ἃ πάντες ἑοράκατε, ἴσθ' ὅτι πρῴην Εὐβοεῦσιν ἡμερῶν τριῶν ἐβοηθήσατε καὶ Θηβαίους ὑποσπόνδους ἀπεπέμψατε. Ἆρ' οὖν ταῦτ' ἐπράξατ' ἂν οὕτως ὀξέως, εἰ μὴ ναῦς εἴχετε καινὰς ἐν αἷς ἐβοηθήσατε; ἀλλ' οὐκ ἂν ἠδύνασθε. Ἄλλα πόλλ' ἔχοι τις ἂν εἰπεῖν ἃ τῇ πόλει γέγονεν ἐκ τοῦ ταύτας κατεσκευάσθαι καλῶς ἀγαθά. [15] Εἶεν· ἐκ δὲ τοῦ κακῶς πόσα δεινά; Τὰ μὲν πόλλ' ἐάσω· ἀλλ' ἐπὶ τοῦ Δεκελεικοῦ πολέμου (τῶν γὰρ ἀρχαίων ἕν, ὃ πάντες ἐμοῦ μᾶλλον ἐπίστασθ', ὑπομνήσω) πολλῶν καὶ δεινῶν ἀτυχημάτων συμβάντων τῇ πόλει οὐ πρότερον τῷ πολέμῳ παρέστησαν πρὶν
598 τὸ ναυτικὸν αὐτῶν ἀπώλετο. Καὶ τί δεῖ τὰ παλαιὰ λέγειν; τὸν τελευταῖον γὰρ ἴστε τῶν πρὸς Λακεδαιμονίους

NC. 6. ἃ δὲ A. — 7. ἑωράκατε mss, ici et ailleurs. — ἀλλὰ πάντες ἴσθ' ὅτι Cobet. — 9-10. ναῦς εἴχετε καὶ ναῦς ἐν αἷς L. — 10-11. ἂν ἔχοι τις εἰπεῖν A. — 15. πολλῶν γὰρ F. πολλῶν τε avant Bekker. ἀτυχημάτων est omis dans Tibère, Περὶ σχημάτων, § 32. — 16. πρὶν ἢ L², A, F. — 18. J'écris τῶν πρὸς pour τὸν πρὸς. La guerre de Décélie s'était aussi faite contre Sparte, et il ne s'agit pas de la dernière guerre, mais de la dernière des guerres contre Lacédémone.

6. Ἀρχαῖα καὶ παλαιά. Locution usuelle.

6-7. Ἀλλ' ἃ πάντες ἑοράκατε, mais (voici des) choses que vous avez tous vues.

7. Πρῴην Εὐβοεῦσιν. C'est l'expédition de 357 contre les Thébains, qui avaient envahi l'Eubée : cf. *Cherson.*, 74, et *passim*. Démosthène la rappelle souvent et avec une certaine prédilection : il y avait pris part comme triérarque volontaire. — Ἡμερῶν τριῶν ἐβοηθήσατε, vous vîntes à leur secours dans les trois jours. Eschine, *Contre Ctésiph.*, § 85, dit, en parlant des mêmes faits, ἐν πένθ' ἡμέραις ἐβοηθήσατε.

12. Ἀγαθά : placé avec insistance à la fin de la phrase, en prévision de l'antithèse δεινά.

13. Ἐπὶ τοῦ Δεκελεικοῦ πολέμου. On appelait ainsi la dernière partie de la guerre du Péloponnèse.

14. Ὃ πάντες ἐμοῦ μᾶλλον ἐπίστασθε. C'est que Diodore, qui porte la parole, est jeune.

16. Παρέστησαν (aoriste second), ils cédèrent, ils furent vaincus. Le moyen παραστήσεται (il se soumettra) se lit dans *Olynth.*, I, § 18. — Le pluriel se rapporte à τῇ πόλει, collectif synonyme de τοῖς πολίταις.

18. Τὸν τελευταῖον.... πόλεμον. Le scholiaste dit ὁ γενόμενος περὶ Κέρκυραν, et renvoie à Xénophon, *Hellén.*, VI, 2. En 373, Timothée, à la tête d'une flotte respectable, ne put, faute d'argent, faire voile pour Corcyre. Cette situation

πόλεμον, ὅτε μὲν ναῦς οὐκ ἐδοκεῖτ' ἀποστεῖλαι δυνήσεσθαι, πῶς διέκειθ' ἡ πόλις· ἴστ' ὀρόβους ὄντας ὠνίους. Ἐπειδὴ δ' ἀπεστείλατε, εἰρήνης ἐτύχεθ' ὁποίας τινὸς ἠβούλεσθε. [16] Ὥστε δικαίως, ὦ ἄνδρες Ἀθηναῖοι, τηλικαύτην ἐχουσῶν ῥοπὴν ἐφ' ἑκάτερα τῶν τριήρων, τοῦτον ὅρον τεθείκατε τῇ βουλῇ, πότερ' αὐτὴν δεῖ λαβεῖν τὴν δωρειὰν ἢ οὔ. Εἰ γὰρ πάντα τἄλλα διοικήσειε καλῶς, δι' ὧν δὲ τ τ' ἐξ ἀρχῆς ταῦτ' ἐκτησάμεθα καὶ νῦν σῴζομεν, ταύτας μ ποιήσαιτο, τὰς τριήρεις λέγω, οὐδὲν ἐκείνων ὄφελος· τὴ γὰρ τῶν ὅλων σωτηρίαν πρῶτον ὑπάρχειν δεῖ παρεσκευασμένην τῷ δήμῳ. Οὗτος τοίνυν εἰς τοῦτ' ἐλήλυθε τοῦ νομίζειν αὐτῷ καὶ λέγειν καὶ γράφειν ἐξεῖναι πᾶν ὅ τι ἂν βούληται, ὥστε βεβουλευκυίας μὲν τἄλλ' ὃν τρόπον ὑμεῖς ἀκούετε τῆς βουλῆς, οὐ πεποιημένης δὲ τὰς τριήρεις, γέγραφε δοῦναι τὴν δωρειάν.

[17] Καὶ ταῦτα μὲν ὡς οὐ παρὰ τὸν νόμον ἐστὶν, οὔτ' ἂν οὗτος ἔχοι λέγειν οὔθ' ὑμεῖς πεισθείητε· ἀκούω δ' αὐτὸν τοιοῦτον ἐρεῖν τιν' ἐν ὑμῖν λόγον, ὡς οὐχ ἡ βουλὴ γέγονεν

NC. 5. Variante : ὅρον τοῦτον. — 7-8. διοικήσει S, L. — τότ' ἐξαρχῆς ταῦτ' vulg. ταῦτα ἐξ ἀρχῆς A. — 9. τὰς τριήρεις λέγω : mots suspects à Cobet. — 16. ὡς μὲν A. — 17. αὐτὸς ἔχοι F, L ². — πεισθείητε S, L ¹. πεισθείητ' ἂν L ², vulg. — αὐτὸ S ¹. — 18. καὶ τοιοῦτόν τινα ἐρεῖν A.

ne répond pas assez à celle qu'indique notre passage. Nous croyons donc (avec Rehdantz, *Iphicrates*, p. 65) que l'orateur pense au commencement de la guerre dite béotienne et à l'époque où les Athéniens n'avaient pas encore établi la nouvelle organisation de l'impôt foncier sous l'archonte Nausinikos (378), ni construit les galères avec lesquelles ils remportèrent la victoire de Naxos (376).

2. Ὀρόβους.... ὠνίους. Il faut conclure de ces mots que cette légumineuse *Ervum Ervilia*, Linné) ne se vendait généralement point à Athènes. Nous voyons dans Athénée, IX, p. 406, C, et ailleurs, qu'on en nourrissait les bœufs; dans Galien, *De alim. facult.*, I, 29 (VI, p. 546, Kühn), que les hommes n'y recouraient qu'en cas de disette. Cf. Lenz, *Botanik der alten Griechen und Römer*, p. 725.

3. Εἰρήνης. Cette paix fut conclue à Sparte en 371.

5. Τοῦτον ὅρον τεθείκατε, vous avez fait de cela la règle, la raison déterminante. « Cette règle » serait en grec τοῦτον τὸν ὅρον.

8. Ταῦτ(α), notre puissance actuelle.

11-12. Εἰς τοῦτ' ἐλήλυθε τοῦ νομίζειν αὐτῷ.... ἐξεῖναι.... Amplification de εἰς τοῦτ' ἐλήλυθεν ἐξουσίας.

13. Ὃν τρόπον ὑμεῖς ἀκούετε. Le premier orateur avait exposé comme quoi le Conseil avait mal rempli ses fonctions à tout égard.

16. Ἂν se rapporte aux deux membres de phrase.

18. Οὐχ ἡ βουλὴ γέγονεν αἰτία....,

αἰτία τοῦ μὴ πεποιῆσθαι τὰς ναῦς, ἀλλ' ὁ τῶν τριηροποιικῶν ταμίας ἀποδρὰς ᾤχετ' ἔχων πένθ' ἡμιτάλαντα, καὶ τὸ πρᾶγμα ἀτύχημα συμβέβηκεν. Ἐγὼ δὲ πρῶτον μὲν αὐτὸ τοῦτο θαυμάζω, εἰ στεφανοῦν ἐπὶ τοῖς ἠτυχημένοις ἠξίου τὴν βουλήν· τῶν κατορθουμένων γὰρ ἔγωγ' ἡγούμην ἔργων τὰς τοιαύτας ὡρίσθαι τιμάς· ἔπειτα δὲ κἀκεῖν' ἔτι βούλομαι
599 φράσαι πρὸς ὑμᾶς. [18] Οὔ φημι δίκαιον εἶναι περὶ ἀμφοῖν λέγειν, καὶ ὡς οὐ παρὰ τὸν νόμον ἡ δωρειὰ δέδοται, καὶ ὡς οὐ διὰ τὴν βουλὴν οὐκ εἰσὶν αἱ τριήρεις. Εἰ μὲν γὰρ διδόναι καὶ μὴ ποιησαμένῃ προσήκει, τί τοῦτο δεῖ λέγειν, δι' ὅντινα δήποτ' οὐ πεποίηνται; Εἰ δ' οὐκ ἔξεστιν, τί μᾶλλον, ἂν διὰ τὸν δεῖν' ἢ τὸν δεῖν' ἐπιδείξῃ μὴ πεποιημένας, ἐκείνῃ προσῆκε λαβεῖν; [19] Χωρὶς δὲ τούτων ἔμοιγε δοκοῦσιν αἵρεσιν ὑμῖν οἱ τοιοῦτοι λόγοι διδόναι, πότερ' οἴεσθε δεῖν προφάσεις καὶ λόγους ἀκούειν τῶν ἀδικούντων ὑμᾶς ἢ ναῦς κεκτῆσθαι. Εἰ μὲν γὰρ τούτου ταῦτ' ἀποδέξεσθε, ἔσται δῆλον ἁπάσαις ταῖς βουλαῖς ὅτι δεῖ πρόφασιν πιθανὴν ἐξευρεῖν πρὸς ὑμᾶς, οὐχὶ τριήρεις ποιήσασθαι· ἐκ δὲ τούτου τὰ μὲν χρήματ' ἀναλωθήσεται, ναῦς δ' οὐχ ἕξεθ' ὑμεῖς. [20] Ἐὰν δ', ὡς ὁ νόμος λέγει καὶ δεῖ τοὺς ὀμωμοκότας, πικρῶς

NC. 2. τριηροποιῶν mss. Mais les documents officiels portent ταμίας τῶν τειχοποιικῶν. Cf. Bœckh, *Staatsh.*, p. 235 ; *Seewesen* p. 59 [Dareste]. — ὃς ἀποδρὰς avant Bekker — 6. ἔπειτα δὲ S, L, A. ἔπειτα vulg. — 8-9. καὶ ὡς οὐ παρὰ Dobree. ὡς καὶ παρὰ S[1]. ὡς καὶ οὐ πάρα reviseur de S et L. Dans L, l'abréviation de καὶ est pointée de première main. ὡς οὐ παρὰ vulg. — 11. ἔξεστιν αἰτεῖν L[2], F. — 13. προσήκει L[2], A, F. — 18. τριήρεις καινὰς A. — 20. λέγῃ S. λέγῃ καὶ δὴ καὶ τοὺς L.

ἀλλ' ὁ.... ταμίας ἀποδρὰς ᾤχετ(ο). La régularité grammaticale demanderait ἀλλ' ὁ ταμίας ὃς ἀποδρὰς ᾤχετο. Mais la vivacité grecque s'exprime plus rapidement. Funkhænel rapproche *Mid.*, § 218 ; *Aristocr.*, § 203. — Ὁ τῶν τριηροποιικῶν ταμίας, le trésorier des fonds destinés à la construction de trirèmes.

7. Περὶ ἀμφοῖν. L'artifice de Démosthène consiste à rapprocher les deux moyens de défense dans le même raisonnement. Mais Androtion avait le droit d'ajouter subsidiairement le second argument, afin d'agir sur l'esprit de ceux qui n'auraient pas admis le premier argument.

11. Εἰ δ' οὐκ ἔξεστιν. Telle est, en effet, la loi : aussi l'orateur ne se sert-il pas de la négation μή.

20. Καὶ δεῖ τοὺς ὀμωμοκότας, et comme doivent faire des juges qui ont prêté serment.

20-1. Πικρῶς καὶ ἁπλῶς, sévèrement et simplement, sans vous laisser toucher par des prières ni égarer par des sophismes. Scholiaste : Πικρῶς μὲν ἀντὶ τοῦ δικαίως, ἁπλῶς δὲ ἀντὶ τοῦ ἀπανουργεύτως.

καὶ ἁπλῶς τὰς μὲν προφάσεις ἀνέλητε, φανῆτε δ' ἀφῃρημένοι τὴν δωρειὰν ὅτι τὰς ναῦς οὐ πεποίηνται, πάντες, ὦ ἄνδρες Ἀθηναῖοι, πεποιημένας ὑμῖν παραδώσουσι τὰς τριήρεις, πάντα τἄλλα παρ' ὑμῖν ἑορακότες ἀσθενέστερα τοῦ νόμου γεγενημένα. Ὅτι τοίνυν οὐδ' αἴτιος ἄλλος οὐδεὶς ἀνθρώπων ἐστὶ τοῦ μὴ πεποιῆσθαι τὰς ναῦς, τοῦτο σαφῶς ὑμῖν ἐπιδείξω· ἀνελοῦσα γὰρ ἡ βουλὴ τὸν νόμον τοῦτον ἐχειροτόνησεν αὐτήν.

[21] Ἔτι τοίνυν ἐπιχειρεῖ λέγειν περὶ τοῦ τῆς ἑταιρήσεως νόμου, ὡς ὑβρίζομεν ἡμεῖς καὶ βλασφημίας οὐχὶ προσηκούσας κατ' αὐτοῦ ποιούμεθα. Καὶ φησὶ δεῖν ἡμᾶς, εἴπερ ἐπιστεύομεν εἶναι ταῦτ' ἀληθῆ, πρὸς τοὺς θεσμοθέτας ἀπαντᾶν, ἵν' ἐκεῖ περὶ χιλιῶν ἐκινδυνεύομεν, εἰ καταψευδόμενοι ταῦτ' ἐφαινόμεθα· νῦν δὲ φενακίζειν αἰτίας καὶ λοιδορίας κενὰς 600
ποιουμένους, καὶ ἐνοχλεῖν οὐ δικασταῖς τούτων οὖσιν

NC. 5-6. ἐστὶν τοῦ S. ἐστὶν entre ἄλλος et οὐδεὶς A, F. — καὶ τοῦτο A, F. καὶ dans l'interligne L. — 8. αὐτήν ou αὑτῇ : variantes déjà attestées par les grammairiens anciens. Voyez la note explicative. αὐτή Jurinus. — 11. φήσει S, L[1]. — 13. χιλίων mss. χιλιῶν Dindorf, d'après Suidas : χιλιῶν δραχμῶν · οὕτως οἱ Ἀττικοὶ περισπῶσιν, et d'autres grammairiens. — 14. φενακίζειν φησὶν avant Reiske.

7-8. Ἀνελοῦσα.... αὐτήν. Ceux qui essayent d'expliquer ou de corriger ce passage perdent leur peine. Harpocration le déclare avec raison obscur et mutilé ; Taylor et Cobet en jugent de même. Harpocration : Ἀνελοῦσα.... αὑτῇ Δημοσθένης ἐν τῷ κατὰ Ἀνδροτίωνός φησιν· ἀσαφῶς δ' αὐτοῦ ἔχοντος καὶ ἐλλιπῶς, ἄλλοι ἄλλως ἐξηγοῦνται. Ἐν δὲ τοῖς Ἀττικιανοῖς διττὴ ἦν γραφή· ἡ μὲν οὕτως· « ἀνελοῦσα γὰρ τὸν νόμον τοῦ- « τον ἐχειροτόνησεν αὐτὴν » ἀντὶ τοῦ· παραβᾶσα γὰρ τοῦτον τὸν νόμον, διαχειροτονίαν περὶ αὑτῆς ἔδωκεν, εἰ χρὴ στεφανοῦν αὐτήν· ἡ δ' ἄλλη· « ἀνε- « λοῦσα γὰρ τὸν νόμον τοῦτον ἐχειρο- « τόνησεν λαβοῦσα ἐκεῖνον αὑτῇ. » Mais, dans ces derniers mots, les copistes ont confondu l'explication avec la variante, laquelle était simplement αὑτῇ ou αὐτῇ, au datif. On le voit par Bekker, *Anecdota*, p. 397, et par le scholiaste de Démosthène. Ce dernier dit : Ἐὰν δὲ στίξωμεν ἄχρι τοῦ τὸν νόμον, τοιοῦτόν ἐστι· καταφρονήσασα ἡ βουλὴ τοῦ νόμου κελεύοντος γνώμῃ τοῦ δήμου χειροτονεῖσθαι τὸν ταμίαν (lisez τὸν στέφανον), αὐτὴ ἑαυτῇ τοῦτον ἐχειροτόνησε καθ' ἑαυτήν φησι. Une autre scholie, tirée du ms. B par Christ (*Die Attikusausgabe des Demosth.*, p. 33), est encore plus explicite : Διττὴ φέρεται ἡ γραφή· καὶ ἡ μὲν κατ' αἰτιατικὴν προαγομένη τοιοῦτον ἔχει τὸν νοῦν· ἀνελοῦσα τοῦτον τὸν νόμον ἤτοι παραβᾶσα διαχειροτονίαν παρ' (περὶ Christ) ἑαυτῆς ἔδωκεν ὅτι χρὴ στεφανοῦν αὐτόν (αὐτήν Chr.)· ἡ δὲ κατὰ δοτικὴν ἀνελοῦσα τοῦτον τὸν νόμον ἐχειροτόνησεν ἐκεῖνον ἑαυτῇ.

9. Ἑταιρήσεως. La loi d'Athènes privait les infâmes de tous les droits politiques.

12. Πρὸς τοὺς θεσμοθέτας ἀπαντᾶν, l'accuser directement devant les six archontes thesmothètes. — Περὶ χιλιῶν. Dans les actions publiques, si l'accusé était acquitté, l'accusateur devait payer une amende de mille drachmes

ὑμῖν. [22] Ἐγὼ δ' οἴομαι δεῖν ὑμᾶς πρῶτον μὲν ἐκεῖνο λογίζεσθαι παρ' ὑμῖν αὐτοῖς, ὅτι πάμπολυ λοιδορία τε καὶ αἰτία κεχωρισμένον ἐστὶν ἐλέγχου. Αἰτία μὲν γάρ ἐστιν, ὅταν τις ψιλῷ χρησάμενος λόγῳ μὴ παράσχηται πίστιν ὧν λέγει, ἔλεγχος δὲ, ὅταν ὧν ἂν εἴπῃ τις καὶ τἀληθὲς ὁμοῦ δείξῃ. Ἔστι τοίνυν ἀνάγκη τοὺς ἐλέγχοντας ἢ τεκμήρια δεικνύναι δι' ὧν ἐμφανιοῦσι τὸ πιστὸν ὑμῖν, ἢ τὰ εἰκότα φράζειν, ἢ μάρτυρας παρέχεσθαι· οὐ γὰρ οἷόν τ' ἔργων αὐτόπτας ὑμᾶς ἐστι καταστῆσαι, ἀλλ' ἐὰν ἐπιδεικνύῃ τίς τι τούτων, ἱκανὸν νομίζετ' ἔλεγχον ἔχειν ὑμεῖς εἰκότως τῆς ἀληθείας ἑκάστοτε. [23] Ἡμεῖς τοίνυν οὐκ ἐκ λόγων εἰκότων οὐδὲ τεκμηρίων, ἀλλὰ παρ' οὗ μάλιστα δίκην ἔστι λαβεῖν τούτῳ, ταῦτ' ἐπιδείκνυμεν, ἄνδρα παρεσχηκότα γραμματεῖον, ἐν ᾧ τὰ τούτῳ βεβιωμέν' ἔνεστιν, ὃς αὐτὸν ὑπεύθυνον ποιήσας μαρτυρεῖ ταῦτα. Ὥσθ' ὅταν μὲν λοιδορίαν ταῦτα καὶ αἰτίαν εἶναι φῇ, ὑπολαμβάνεθ' ὡς ταῦτα μέν ἐστιν ἔλεγχος, ἃ δ' οὗτος ποιεῖ, ταῦτα λοιδορία καὶ αἰτία· ὅταν δ' ὅτι πρὸς τοὺς θεσμοθέτας προσῆκεν ἐπαγγέλλειν ἡμῖν, ἐκεῖν' ὑπολαμβάνετε, ὅτι καὶ τοῦτο ποιήσομεν καὶ νῦν προσηκόν-

NC. 5. ὧν ἂν εἴπηι **S, A.** ὧν εἴπῃ, **avec indication de la var.** οἷς, **L. — 8. J'écris** ἔργων **pour** ἐνίων, **leçon qui ne s'accorde ni avec la vérité des choses ni avec la suite des idées. Dans *Phil.*, IV, 52, les mss portent** ἔνιοι **pour** ἔργῳ. **— 9.** ὑμᾶς **est omis après** αὐτόπτας **dans S, L¹.** ἡμᾶς **L². —** ὅταν τις ἐπιδεικνύῃ τι **L², F. — 11.** οὐδ' ἐκ **variante mal autorisée. — 12-13.** λαβεῖν, τούτῳ ταῦτ' **avant Bekker. — 13. Lambin :** ἄνδρα παρέχοντες ἔχοντα γραμματεῖον. **Bekker proposait** ἀνδρὸς παρεσχηκότος. **Peut-être :** ἄνδρα <παραστησάμενοι> παρέχοντα. **— 17.** τε καὶ **A. — 18.** ὅτε **S¹.** ὅτι **reviseur de S. —** ἀπαγγέλλειν **F, interligne de L.**

2-3. Λοιδορία.... ἐλέγχου. **On rapproche la distinction entre *accusatio* et *maledictio* dans Cicéron, *Pro Cælio*, 3, 6.**

4. Ψιλῷ.... λόγῳ, **une simple affirmation. Le sens de** ψιλός **est déterminé par l'antithèse.**

9-10. Τι τούτων, **c.-à-d. un indice probant (**τεκμήριον**), une probabilité ou un témoin**

12-13. Παρ' οὗ μάλιστα δίκην ἔστι λαβεῖν τούτῳ, **(par un homme) que l'accusé a toute facilité de faire punir en justice (s'il est par lui calomnié). Ces mots s'expliquent par les lignes suivantes. En effet, l'homme qui fournissait l'écrit accusateur déposait comme témoin de la vérité du contenu et en prenait la responsabilité,** αὐτὸν ὑπεύθυνον ποιήσας.

13. Ἄνδρα παρεσχηκότα : **anacoluthie choquante après** ταῦτ' ἐπιδείκνυμεν. **Voyez NC.**

18. Πρὸς τοὺς θεσμοθέτας ἐπαγγέλλειν. **Cf. Harpocration :** Ἐπαγγελία σημαίνει καὶ ἄλλα, ἰδίως δὲ λέγεται ἐπὶ τῶν ἐγκαλούντων τινὶ δημηγορεῖν καὶ πολιτεύεσθαι οὐκ ἐξόν. **Eschine, *Timarque*, § 2 :** Ἐπήγγειλα αὐτῷ τὴν δοκιμασίαν ταυτηνί

τως περὶ τοῦ νόμου λέγομεν. [24] Εἰ μὲν γὰρ ἄλλον τιν' ἀγῶν' ἀγωνιζομένου σου ταῦτα κατηγοροῦμεν, δικαίως ἂν ἠγανάκτεις· εἰ δ' ὁ μὲν νῦν ἐνεστηκὼς ἀγών ἐστιν παρανόμων, οἱ νόμοι δ' οὐκ ἐῶσι λέγειν οὐδὲ τὰ ἔννομα τοὺς οὕτω βεβιω- 601 κότας, ἡμεῖς δ' ἐπιδείκνυμεν οὐ μόνον εἰρηκότ' αὐτὸν παράνομα, ἀλλὰ καὶ βεβιωκότα παρανόμως, πῶς οὐχὶ προσήκει λέγειν περὶ τούτου τοῦ νόμου, δι' οὗ ταῦτ' ἐλέγχεται;

[25] Καὶ μὴν κἀκεῖνό γε δεῖ μαθεῖν ὑμᾶς, ὅτι τοὺς νόμους ὁ τιθεὶς τούτους Σόλων καὶ τῶν ἄλλων τοὺς πολλούς, οὐδὲν ὅμοιος ὢν τούτῳ νομοθέτης, οὐχ ἕν' ἔδωκε τρόπον περὶ τῶν ἀδικημάτων ἑκάστων λαμβάνειν δίκην τοῖς βουλομένοις παρὰ τῶν ἀδικούντων, ἀλλὰ πολλαχῶς. Ἤδει γάρ, οἶμαι, τοῦθ', ὅτι τοὺς ἐν τῇ πόλει γενέσθαι πάντας ὁμοίους, ἢ δεινούς, ἢ θρασεῖς, ἢ μετρίους, οὐκ ἂν εἴη. Εἰ μὲν οὖν, ὡς τοῖς μετρίοις δίκην ἐξαρκέσει λαβεῖν, οὕτω τοὺς νόμους θήσει, μετ' ἀδείας ἔσεσθαι πολλοὺς πονηροὺς ἡγεῖτο· εἰ δ' ὡς τοῖς θρασέσι καὶ δυνατοῖς λέγειν, τοὺς ἰδιώτας οὐ δυνήσεσθαι τὸν αὐτὸν τούτοις τρόπον λαμβάνειν δίκην. [26] Δεῖν δ' ᾤετο μηδέν' ἀποστερεῖσθαι τοῦ δίκης τυχεῖν, ὡς ἕκαστος δύναται. Πῶς οὖν ἔσται τοῦτο; ἐὰν πολλὰς ὁδοὺς δῷ διὰ

NC. 4. ἐῶσιν S. — 6. Faut-il écarter παρανόμως? — 10. ἕν' ἔδωκε τρόπον Blass. ἑνὶ ἔδωκε τρόπῳ S, L, F. ἑνὶ δέδωκε τρόπῳ vulg. — 13. ὁμοίους L, vulg. ὁμοίως S et Dindorf. C'est une mauvaise correction. ὁμοίως δεινοὺς καὶ θρασεῖς οὐκ ἂν εἴη Dobree et Cobet. La vulgate est bonne. — 19. ᾤετο est supprimé par Cobet.

1-7. Εἰ μὲν γάρ... En lisant cet admirable raisonnement, présenté dans les formes de la logique la plus serrée et la plus rigoureuse, on oublie que l'accusation d'infamie ne repose que sur le témoignage d'un *quidam* et qu'aucune sentence judiciaire n'a confirmé l'allégation de l'accusateur. — Εἰρηκότα est, comme εἶπεν, le terme qui s'applique proprement à l'auteur d'une motion. — Ἐλέγχεται a pour sujet Androtion.

8-9. Τοὺς νόμους ὁ τιθείς. Cf. § 11.

10-11. Ἕν' ἔδωκε τρόπον.... λαμβάνειν δίκην. De même, à l'accusatif, τὸν αὐτὸν τούτοις τρόπον λαμβάνειν δίκην (l. 18), τρόπον, ὅντινα (§ 28), πάντας τρόπους et μηδένα τρόπον (§ 29). [Blass.]

12-14. Ἤδει.... οὐκ ἂν εἴη : Solon savait qu'il était impossible que tous les Athéniens fussent semblables, tous diserts (δεινούς équivalant à δυνατοὺς λέγειν, l. 18), ou tous hardis (θρασεῖς), ou tous modestes, moyens de caractère et de talent (μετρίους, ἰδιώτας).

15. Οὕτω est le corrélatif de ὡς. — Θήσει. Cette troisième personne du futur de l'indicatif répond à la première personne θήσω, dont on se servirait dans le style direct, en faisant parler Solon lui-même. Ni le latin ni le français n'admettent ces tournures de la vivacité grecque.

16-17. Ὡς τοῖς θρασέσι. Sous-ent., non ἐξαρκέσει, mais ἐπιτήδειον ἔσται ou un verbe équivalent.

τῶν νόμων ἐπὶ τοὺς ἠδικηκότας. Οἷον τῆς κλοπῆς. Ἔρρωσαι καὶ σαυτῷ πιστεύεις· ἄπαγε· ἐν χιλίαις δ' ὁ κίνδυνος. Ἀσθενέστερος εἶ· τοῖς ἄρχουσιν ἐφηγοῦ· τοῦτο ποιήσουσιν ἐκεῖνοι. Φοβεῖ καὶ τοῦτο· γράφου. [27] Καταμέμφει σεαυτὸν καὶ πένης ὢν οὐκ ἂν ἔχοις χιλίας ἐκτεῖσαι· δικάζου κλοπῆς πρὸς διαιτητὴν, καὶ οὐ κινδυνεύσεις. [Οὐδέτερον βούλει τούτων· γράφου. Κατοκνεῖς καὶ τοῦτο· ἐφηγοῦ. Τούτων οὐδέν ἐστι τὸ αὐτό]. Τῆς ἀσεβείας κατὰ ταὔτ' ἔστιν ἀπάγειν, γράφεσθαι, δικάζεσθαι πρὸς Εὐμολπίδας, φαίνειν πρὸς τὸν βασιλέα. Περὶ τῶν ἄλλων ἁπάντων τὸν αὐτὸν τρόπον σχεδόν. [28] Εἰ δή τις
602 ὡς μὲν οὐχὶ κακοῦργός ἐστι μὴ λέγοι, ἢ ὡς οὐκ ἀσεβὴς, ἢ ὅ τι δήποτ' εἴη δι' ὃ κρίνοιτο, διὰ ταῦτα δ' ἐκφεύγειν ἀξιοίη, εἰ μὲν ἀπηγμένος εἴη, διότι πρὸς διαιτητὴν ἐξῆν αὐτῷ λαχεῖν καὶ γράφεσθαι χρῆν, εἰ δὲ πρὸς διαιτητῇ φεύγοι, ὅτι χρῆν σ' ἀπάγειν, ἵν' ἐκινδύνευες περὶ χιλιῶν, γέλως ἂν εἴη δήπουθεν. Οὐ γὰρ τόν γε μηδὲν πεποιηκότα δεῖ περὶ τοῦ τρόπον

NC. 3. πήσουσιν S[1]. — 6. Les mots οὐδέτερον.... ἐφηγοῦ, qui ont déjà embarrassé les scholiastes, ont été écartés par Taylor. Je crois qu'il en faut faire autant de τούτων.... τὸ αὐτό. — 9. φράζειν mss. Voyez la note explicative. — 12-13. καὶ εἰ μὲν F. — 14. γράφεσθαι ἐχρῆν S, L. —διαιτητὴν A. — 16. περὶ τοῦ τρόπον Reiske. περὶ τὸν τρόπον S, L et vulg. περὶ τὸν τρόπον, avec indication de περὶ τοῦ τρόπου, F.

1. Οἷον τῆς κλοπῆς. On peut sous-entendre τοῖς δίκην λαμβάνουσιν. « Comme dans les poursuites pour vol. »

2. Ἄπαγε, *in jus rape*, traîne-le devant les magistrats : dans le cas présent, devant les Onze. Cf. *Timocr.*, § 113 : Ἀπαγωγὴν πρὸς τοὺς ἕνδεκ' εἶναι. — Ἐν χιλίαις. Cf. § 21. L'accusateur, débouté par les quatre cinquièmes des suffrages, devait payer une amende de mille drachmes, non seulement dans le cas de l'ἀπαγωγή, mais aussi dans celui de l'ἐφήγησις et de la γραφή.

3. Ἐφηγοῦ. Gloses démosthéniques, publ. par Sakkélion dans *Bull. de corresp. hellén.*, I, p. 13 : Ἐφηγεῖσθαι· τὸ ἐπάγειν ἄρχοντα ὅπου δεῖ ἐπὶ τὸ δεῖξαί τι παράνομον.

4. Καταμέμφει σεαυτόν, tu n'as pas assez bonne opinion de toi-même, tu te défies du succès de ton plaidoyer.

5. Δικάζου. C'est la ἰδία δίκη κλοπῆς, le procès civil, opposé à la γραφή. Cf. *Timocr.*, § 114.

9. Πρὸς Εὐμολπίδας : seulement, je suppose, pour la profanation des mystères d'Éleusis. — Φαίνειν πρὸς τὸν βασιλέα. *Schol.* : ἵνα ὁ βασιλεὺς τὴν φάσιν λαβὼν (φάσις δὲ κατηγορίας ὄνομα) τοῖς θεσμοθέταις φανερὸν καταστήσῃ καὶ παρὰ τῶν θεσμοθετῶν γνωρισθῇ τοῖς δικάζουσι τὰ ἐγκλήματα. D'après cette scholie, j'ai écrit φαίνειν, pour φράζειν, qui n'est pas un terme de droit. La φάσις s'appliquait en particulier à la destruction des oliviers sacrés : cf. Meier et Schœmann, p. 251. Dans une autre scholie (p. 685, l. 14 Dind.), il faut écrire : Ὁ γὰρ βασιλεὺς... εἰσῆγε τὰς τῆς ἀσεβείας γραφὰς πρὸς τοὺς θεσμοθέτας (pour εὐμολπίδας, faute facile à expliquer).

13. Λαχεῖν, ou δίκην λαχεῖν, est dit de l'accusateur, comme *Mid.*, § 120.

14. Καί. Nous dirions *ou*.

ὅντινα χρὴ διδόναι δίκην ἀντιλέγειν, ἀλλ' ὡς οὐ πεποίηκεν ἐπιδεικνύναι. [29] Τὸν αὐτὸν δὴ τρόπον, Ἀνδροτίων, καὶ σὺ μὴ διὰ ταῦτ' οἴου σοι προσήκειν μὴ δοῦναι δίκην, εἰ γράφεις ἡταιρηκώς, ὅτι καὶ πρὸς τοὺς θεσμοθέτας ἔσθ' ἡμῖν ἐπαγγελία. Ἀλλ' ἢ δεῖξον οὐ πεποιηκότα ταῦτα σεαυτόν, ἢ δίκην ὕπεχ' ὧν γέγραφας τοιοῦτος ὤν· οὐ γὰρ ἔξεστί σοι. Εἰ δέ σε μὴ πάντας, ὅσους οἱ νόμοι διδόασι, τρόπους τιμωρούμεθα, χάριν ἡμῖν ὧν παραλείπομεν ἐκείνων ἔχε, μὴ διὰ ταῦτ' ἀξίου μηδένα δοῦναι τρόπον δίκην.

[30] Ἄξιον τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τὸν θέντα τὸν νόμον ἐξετάσαι Σόλωνα, καὶ θεάσασθαι ὅσην πρόνοιαν ἐποιεῖτ' ἐν ἅπασιν οἷς ἐτίθει νόμοις τῆς πολιτείας, καὶ ὅσῳ περὶ τούτου μᾶλλον ἐσπούδαζεν ἢ περὶ τοῦ πράγματος οὗ τιθείη τὸν νόμον. Πολλαχόθεν μὲν οὖν ἄν τις ἴδοι τοῦτο, οὐχ ἥκιστα δ' ἐκ τούτου τοῦ νόμου, τοῦ μήτε λέγειν μήτε γράφειν ἐξεῖναι τοῖς ἡταιρηκόσιν. Ἑώρα γὰρ ἐκεῖνο, ὅτι τοῖς πολλοῖς ὑμῶν ἐξὸν λεγειν οὐ λέγετε, ὥστε τοῦτ' οὐδὲν ἡγεῖτο βαρύ, καὶ πόλλ' ἂν εἶχεν, εἴ γε κολάζειν ἐβούλετο τούτους, χαλεπώτερα θεῖναι. [31] Ἀλλ' οὐ τοῦτ' ἐσπούδασεν, ἀλλὰ ταῦτ' ἀπεῖπεν ὑπὲρ ὑμῶν καὶ τῆς πολιτείας. Ἤδει γάρ, ᾔδει τοῖς

NC. 6. ὧν γέγραφάς τι S, L. εἰ γέγραφάς τι vulg. Τι vient de cette dernière leçon : G. H. Schæfer et Cobet l'écartent avec raison. — 7. διδόασιν οἱ νόμοι A. — 8. Peut-être ὧν παραλείπομεν, ἐκείνων χάριν ἡμῖν ἔχε. — 9. μηδὲ καθ' ἕνα A, F. — δοῦναι τρόπον δίκην S, L. τρόπον δοῦναι δίκην vulg. τρόπον δίκην διδόναι A. — 12. τῆς πολιτείας ajouté par une autre main dans L. — 13. πράγματος S, L, A. πράγματος αὐτοῦ vulg. — 15. J'insère τοῦ avant μήτε, avec L, l'ancien reviseur de S, et une main récente dans F. ἐκ τοῦ νόμου τούτου μητε A. Le texte ordinaire, sans article, donne un faux sens. — 17-18. τοῦτο et καὶ S, L[1]. τοῦτό γε et καίτοι L[2], vulg. — 18. τούτου χαλεπώτερα A

2. Τὸν αὐτὸν δὴ τρόπον. Voilà où est le paralogisme. Dans les exemples que l'orateur vient de citer, la procédure variait, mais l'objet de la poursuite restait le même. Ici l'accusation de vie infâme est introduite incidemment dans un procès tout différent, sans instruction préalable, sans discussion régulière, sans possibilité pour les juges de se prononcer directement sur ce point.

3-4. Εἰ γράφεις, si tu fais des motions.

8 Χάριν ἡμῖν ὧν παραλείπομεν ἐκείνων ἔχε. Reiske explique : τῶν τρόπων ὧν (οὓς) παραλείπομεν ἐκ τοῦ ἐκείνων τρόπων ἀριθμοῦ, sache-nous gré des moyens de poursuite que nous négligeons parmi ceux que les lois autorisent, c'est-à-dire sache-nous gré de ce que nous ne nous servons pas de toutes les voies judiciaires autorisées par les lois. Cf. NC.

12-13. Περὶ τούτου, sur ce point. Voy. la note sur *Ol.* II, § 15.

503 αἰσχρῶς βεβιωκόσιν ἁπασῶν οὖσαν ἐναντιωτάτην πολιτείαν ἐν ᾗ πᾶσιν ἔξεστι λέγειν τἀκείνων ὀνείδη. Ἔστι δ' αὕτη τίς; δημοκρατία. Οὔκουν ἐνόμιζεν ἀσφαλές, εἴ ποτε συμβήσεται γενέσθαι συχνοὺς ἀνθρώπους κατὰ τοὺς αὐτοὺς χρόνους εἰπεῖν μὲν δεινοὺς καὶ θρασεῖς, τοιούτων δ' ὀνειδῶν καὶ κακῶν μεστούς· [32] πολλὰ γὰρ ἂν τὸν δῆμον ὑπ' αὐτῶν ὑπαχθέντ' ἐξαμαρτεῖν, κἀκείνους ἤτοι καταλῦσαί γ' ἂν πειρᾶσθαι τὸ παράπαν τὸν δῆμον (ἐν γὰρ ταῖς ὀλιγαρχίαις, οὐδ' ἂν ὦσιν ἔτ' Ἀνδροτίωνός τινες αἴσχιον βεβιωκότες, οὐκ ἔστι λέγειν κακῶς τοὺς ἄρχοντας), ἢ προάγειν ἂν ὡς πονηροτάτους εἶναι, ἵν' ὡς ὁμοιότατοι σφίσιν ὦσιν. Τὴν οὖν ἀρχὴν τοῖς τοιούτοις ἀπεῖπεν μὴ μετέχειν τοῦ συμβουλεύειν, ἵνα μὴ φενακισθεὶς ὁ δῆμος ἐξαμάρτοι μηδέν. Ὧν ὀλιγωρήσας ὁ καλὸς κἀγαθὸς οὗτος οὐ μόνον ᾤετο δεῖν λέγειν καὶ γράφειν οὐκ ἐξόν, ἀλλὰ καὶ παρὰ τοὺς νόμους ταῦτα ποιεῖν.

[33] Περὶ μὲν τοίνυν τοῦ νόμου, καθ' ὅν, ὠφληκότος αὐτοῦ τοῦ πατρὸς τῷ δημοσίῳ χρήματα καὶ οὐκ ἐκτετεικότος, οὐκ ἔξεστι λέγειν οὐδὲ γράφειν τούτῳ, ταὐτὰ δίκαια λέγειν ἂν ἔχοιτ' εἰκότως, ἐὰν φῇ δεῖν ἡμᾶς ἐνδεικνύναι. Τότε γὰρ τοῦτο ποιήσομεν, οὐ μὰ Δί' οὐχὶ νῦν, ἡνίκα δεῖ σ' ἑτέρων ὧν ἀδικεῖς δοῦναι λόγον, ἀλλ' ὅταν ᾖ προσῆκον ἐκ τοῦ νόμου.

NC. 5-6. λέγειν μεν A. — 8. ἐὰν γὰρ L[1]. — 9. οὐκ ἔξεστι λέγειν, var. notée en marge par le reviseur de S. — 11. εἶναι τοὺς πολίτας (glose) A. — 12. ἀπεῖπεν S. — ἵνα δὴ μὴ A. — 18. ταὐτὰ A. ταῦτα S, L, vulg., leçon que je tiens pour inadmissible. — 19. ὑμᾶς ἐνδεικνύναι S, L[1]. ἡμᾶς αὐτὸν ἐνδεικνύναι vulg. — 20. τοῦτο est omis dans A, F, ce qui semble indiquer la variante τοῦτο γὰρ ποιήσομεν.

8. Ἐν γὰρ ταῖς ὀλιγαρχίαις.... En renversant la démocratie, ces hommes y substitueraient évidemment une oligarchie. C'est ce qu'il faut sous-entendre pour comprendre la parenthèse. Dans une forme de gouvernement où la liberté de parler (ἡ παρρησία) n'existe pas, ceux qui se trouvent à la tète des affaires n'ont pas à craindre qu'on leur reproche leur inconduite.

11. Τὴν οὖν ἀρχὴν, dès le principe, absolument : dans une phrase négative. Cf. § 5

15. Ἀλλὰ.... ταῦτα ποιεῖν équivaut à ἀλλὰ καὶ παράνομα λέγειν καὶ γράφειν.

18. Ταὐτὰ δίκαια, les mèmes raisons que l'orateur a invoquées à propos du dernier chef d'accusation, περὶ τοῦ τῆς ἑταιρήσεως νόμου. Cf. § 21.

19. Ἐνδεικνύναι, accuser directement par la voie de l'ἔνδειξις.

19-21. Sans l'enchevètrement oratoire des membres de phrase, on aurait : Τότε... ποιήσομεν, ὅταν ᾖ... νόμου, οὐ μὰ Δί' οὐχὶ νῦν, ἡνίκα...

Καὶ νῦν δὲ δείκνυμεν οὐκ ἐῶντα γράφειν σε, οὐδ' ἃ τοῖς ἄλλοις ἔξεστι, τὸν νόμον. [34] Ὡς οὖν οὐκ ὦφλεν ὁ πατήρ σου, τοῦτ' ἐπίδειξον, ἢ ὡς οὐκ ἀποδρὰς ἐξῆλθεν ἐκ τοῦ δεσμωτηρίου, ἀλλὰ τὰ χρήματ' ἐκτείσας. Εἰ δὲ μὴ ταῦθ' ἕξεις δεικνύναι, οὐκ ἐξὸν γέγραφας· κληρονόμον γάρ σε καθίστησιν ὁ νόμος τῆς ἀτιμίας τῆς τοῦ πατρός, ὄντι δ' ἀτίμῳ 604
σοι λέγειν οὐ προσῆκεν οὐδὲ γράφειν.

Καὶ περὶ μὲν τῶν νόμων οὓς παρεγραψάμεθ' οἶμαι δεῖν ὑμᾶς, ἄν τι φενακίζειν ἐγχειρῇ καὶ παράγειν οὗτος, ταῦθ' ὑπολαμβάνειν ἃ διεξελήλυθ' ἐγώ. [35] Εἰσὶ δὲ καὶ περὶ τῶν ἄλλων αὐτῷ λόγοι πρὸς τὸ φενακίζειν ὑμᾶς εὖ μεμηχανημένοι, περὶ ὧν βέλτιον ὑμᾶς προακοῦσαι. Ἔστι γὰρ εἷς αὐτῷ τοιοῦτος, μὴ πεντακοσίους ὑμῶν αὐτῶν ἀφελέσθαι τὴν δωρειὰν μηδ' ὀνείδει περιβαλεῖν· ἐκείνων ὁ ἀγὼν, οὐκ ἐμός. Ἐγὼ δ', εἰ μὲν ἐμέλλετ' ἀφαιρήσεσθαι τούτους μόνον, ἄλλο δὲ μηδὲν ὠφελήσειν τὴν πόλιν, οὐδὲν ἂν ὑμᾶς σφόδρα σπουδάζειν ἠξίουν· εἰ δὲ τῷ τοῦτο ποιῆσαι πλείους ἢ μυρίους τοὺς ἄλλους πολίτας βελτίους εἶναι προτρέψετε, πόσῳ κάλλιον τοσούτους παρασκευάσαι χρηστοὺς ἢ πεντακοσίοις ἀδίκως χαρίσασθαι. [36] Ὡς δ' οὐδ' ἔστιν ἁπάσης τὸ πρᾶγμα τῆς βουλῆς, ἀλλὰ τινῶν, οἵπερ εἰσὶν αἴτιοι τῶν κακῶν, καὶ

NC. 1. καὶ νῦν δείκνυμεν δὲ οὐκ S, L. — 3. ἀποδρὰς ᾤχετο A. — 5. δεικνύναι A. δεικνύειν S, L, vulg. — 6. τῆς τοῦ πατρὸς ἀτιμίας A. — 9. ἐπιχειρῇ A. — 10. εἰσὶν S. — 13-14. Les variantes ἀφέλησθε et περιβάλητε, ainsi que ὀνείδη, sont notées en marge de S par le reviseur, et dans d'autres mss. — 17. δισμυρίους Reiske (cf. *Aristog.*, I, 51), en y mettant trop d'exactitude. — 18. προτρίψεται S[1]. προτρέψετε ancien reviseur.

1-2. Γράφειν.... οὐδ' ἃ τοῖς ἄλλοις ἔξεστι équivaut à οὐ μόνον παράνομα, ἀλλ' οὐδ' ἔννομα γράφειν. — Τὸν νόμον, mots placés avec insistance à la fin de la phrase.

5-6. Κληρόνομον.... τῆς ἀτιμίας. Le fils héritait de la dette du père, et aussi de la dégradation civique, tant qu'il ne s'était pas acquitté envers le trésor public.

7. Παρεγραψάμεθ(α). Dans l'acte d'accusation, l'auteur d'une γραφὴ παρανόμων écrivait en regard (παρεγράφετο) de la motion qu'il attaquait les lois existantes violées, suivant lui, par cette motion. Cf. *Cour.*, 111, et la note sur *Lept.* 98.

13-14. Du style indirect (μὴ.... ἀφελέσθαι.... μηδὲ.... περιβαλεῖν), l'orateur passe vivement au style direct et fait parler Androtion lui-même : ἐκείνων ὁ ἀγὼν (prononcez ἀγὼν), οὐκ ἐμός.

15-16. Εἰ μὲν ἐμέλλετ(ε).... ὠφελήσειν τὴν πόλιν, si votre verdict devait avoir pour unique conséquence de priver de la couronne les cinq cents conseillers sortants, sans autre avantage pour la cité.

Ἀνδροτίωνος, ἔχω λέγειν. Τῷ γάρ ἐστιν ὄνειδος, εἰ σιωπῶντος αὐτοῦ καὶ μηδὲν γράφοντος, ἴσως δὲ οὐδὲ τὰ πόλλ' εἰς τὸ βουλευτήριον εἰσιόντος, μὴ λάβοι ἡ βουλὴ τὸν στέφανον; οὐδενὶ δήπουθεν, ἀλλὰ τοῦ γράφοντος καὶ πολιτευομένου καὶ πείθοντος ἃ βούλοιτο τὴν βουλήν· διὰ γὰρ τούτους ἀνάξια τοῦ στεφανωθῆναι βεβούλευκεν. [37] Οὐ μὴν ἀλλ' εἰ καὶ τὰ μάλιστα πάσης ἔσθ' ὁ ἀγὼν τῆς βουλῆς, ὅσῳ συμφέρει μᾶλλον ὑμῖν καταγνοῦσιν ἢ μὴ θεάσασθε. Εἰ μὲν ἀπογνώσεσθε, ἐπὶ τοῖς λέγουσι τὸ βουλευτήριον ἔσται, ἐὰν δὲ καταγνῶτε, ἐπὶ τοῖς ἰδιώταις· ἑορακότες γὰρ οἱ πολλοὶ διὰ τὴν τῶν λεγόντων πονηρίαν τήνδ' ἀφῃρημένην τὴν βουλὴν 606 τὸν στέφανον, οὐχὶ προήσονται τούτοις τὰς πράξεις, ἀλλὰ τὰ βέλτιστ' ἐροῦσιν αὐτοί. Εἰ δὲ γενήσεται τοῦτο καὶ τῶν ἠθάδων καὶ συνεστηκότων ῥητόρων ἀπαλλαγήσεσθε, ὄψεσθ', ὦ ἄνδρες Ἀθηναῖοι, πάνθ' ἃ προσήκει γιγνόμενα. Ὥστ' εἰ μηδενὸς ἄλλου ἕνεκα, διὰ ταῦτα καταψηφιστέον.

[38] Ὃ τοίνυν ἕτερον δεῖ μὴ λαθεῖν ὑμᾶς, ἀκούσατε. Ἴσως ἀναβήσεται καὶ συνερεῖ τῇ βουλῇ Φίλιππος καὶ Ἀντιγένης καὶ ὁ ἀντιγραφεὺς καί τινες ἄλλοι, οἵπερ ἐκεῖ δι' ἑαυτῶν εἶχον μετὰ τούτου τὸ βουλευτήριον καὶ τούτων τῶν κακῶν εἰσιν αἴτιοι. Δεῖ δὴ πάντας ὑμᾶς γιγνώσκειν ὅτι τού-

NC. 3. ἡ βουλή. Blass écarte ces deux mots pour remédier à l'hiatus. — 8. θεάσασθαι S[1], corrigé par le reviseur ancien. — 14. La leçon flotte entre ἠθάδων (S[1]) et ἐθάδων (ancien reviseur de S, L[1]); puis entre συνεστηκότων (reviseur de S) et παρεστηκότων (S[1], L). — 16. Peut-être εἵνεκ' ἄλλου. — διὰ S, L. διά γε vulg.

2. Αὐτοῦ, « lui-même », se réfère à la personne désignée par l'interrogatif τῷ.

4. Τοῦ γράφοντος : sous-ent. τὸ ὄνειδός ἐστιν. Précédée de l'article, cette locution se construit mieux avec le génitif; plus haut, le datif était à sa place.

5. Τούτους : au pluriel, parce que τοῦ γράφοντος, « celui qui fait des motions », équivaut à « ceux qui font des motions. »

10. Τοῖς ἰδιώταις, étant ici opposé à τοῖς λέγουσιν, désigne ceux qui ne sont pas orateurs. Le sens de ce mot se détermine toujours par l'antithèse.

14. Συνεστηκότων, qui se sont ligués entre eux et conspirent contre votre indépendance. Cf. *Aristog.*, I, 64 : Πάντες οὗτοι συνεστᾶσιν· προδέδοσθε, et *passim*. Démosthène attaque les orateurs dirigeants par la bouche de ses clients, en attendant de le faire en son propre nom.

19. Ὁ ἀντιγραφεύς, le sénateur chargé des fonctions de contrôleur de son corps. Voy. Bœckh, *Staatshaush.*, p. 261.

19-20. Ἐκεῖ, là, alors. [Reiske.] — Δι' ἑαυτῶν εἶχον, avaient sous leur dépendance, dirigeaient. Cf. *Sur la liberté des Rhodiens*, § 14.

τοις ἐστὶ μὲν ἡ πρόφασις τῆς συνηγορίας τῇ βουλῇ βοηθεῖν, τῇ δ' ἀληθείᾳ ὑπὲρ αὑτῶν ἀγωνιοῦνται καὶ τῶν εὐθυνῶν, ἃς αὐτοὺς προσήκει δοῦναι τῶν πεπραγμένων. [39] Ἔχει γὰρ οὕτως. Ἂν μὲν ἀπογνῶτε τὴν γραφὴν ταύτην, ἅπαντές εἰσιν ἀπηλλαγμένοι καὶ δίκην οὐδεὶς οὐδεμίαν μὴ δῷ· τίς γὰρ ἔτ' ἂν καταψηφίσαιτ' ἐκείνων, τὴν βουλὴν ὑμῶν ἐστεφανωκότων ἧς οὗτοι προέστασαν. Ἐὰν δὲ καταγνῶτε, πρῶτον μὲν τὰ εὔορκ' ἔσεσθ' ἐψηφισμένοι, εἶτ' ἐπὶ ταῖς εὐθύναις ἕκαστον τούτων λαμβάνοντες, ὃς μὲν ἂν ὑμῖν ἀδικεῖν δοκῇ, κολάσετε, ὃς δ' ἂν μή, τότ' ἀφήσετε. Μὴ οὖν ὡς ὑπὲρ τῆς βουλῆς λεγόντων καὶ τῶν πολλῶν ἀκούετε, ἀλλ' ὡς ὑπὲρ αὑτῶν παρακρουομένοις ὀργίζεσθε.

[40] Ἔτι τοίνυν Ἀρχίαν οἶμαι τὸν Χολαργέα (καὶ γὰρ οὗτος ἐβούλευεν πέρυσιν) ὡς ἐπιεικῆ δεήσεσθαι καὶ συνερεῖν αὐτοῖς. Ἐγὼ δ' οἴομαι δεῖν ὡδί πως ἀκούειν Ἀρχίου, ἐρωτᾶν αὐτόν, ταῦθ', ἃ κατηγόρηται τῆς βουλῆς, πότερ' αὐτῷ δοκεῖ καλῶς ἔχειν ἢ κακῶς· κἂν μὲν φῇ καλῶς, μηκέτι τὸν νοῦν 606
ὡς ἐπιεικεῖ προσέχειν, ἂν δὲ κακῶς, τί δὴ ταῦτ' εἴα, φάσκων ἐπιεικὴς εἶναι, πάλιν αὐτὸν ἐρωτᾶτε. [41] Κἂν μὲν ἀντιλέγειν φῇ, μηδένα δ' αὐτῷ πείθεσθαι, ἄτοπον δήπου νῦν λέγειν ὑπὲρ τῆς τὰ βέλτιστ' οὐχὶ πειθομένης ἑαυτῷ βουλῆς· ἂν δὲ σιωπᾶν, πῶς οὐκ ἀδικεῖ, εἰ, παρὸν ἐξαμαρτάνειν μέλλοντας ἀποτρέπειν, τοῦτο μὲν οὐκ ἐποίει, νῦν δὲ λέγειν

NC. 10. κολάσατε S¹. — 13. χολαρχέα S¹, corrigé par l'ancien reviseur. χολαριέα L. — 14. συνεργεῖν S¹, L¹. — 15. δεῖν S, L. δεῖν ὑμᾶς A. — 16. κατηγορεῖται A. — 18. ἐπιεικῆ S, L. — τί δῆτα εἰ (deux lettres grattées) φάσκων S¹, corrigé par l'ancien reviseur. — 19-20. ἀντιλέγειν vulg. Cobet, *Miscell.*, p. 525. ἐναντία λέγειν S, L¹ ἀντία λέγειν L².

2. Τῶν εὐθυνῶν. Quoique le Conseil des Cinq-cents fût irresponsable comme corps, chacun de ses membres pouvait être poursuivi en justice pour ses actes, ses motions. Voy. Schœmann, *Gr. Alterth.*, I, p. 396.

4. Ἂν μὲν ἀπογνῶτε τὴν γραφὴν ταύτην, si vous acquittez celui contre lequel est dirigée cette poursuite.

10. Τότ' ἀφήσετε : vous l'acquitterez directement alors, quand il aura à rendre ses comptes, et non maintenant indirectement, en couronnant le Conseil dont il était membre.

11. Τῶν πολλῶν, le grand nombre, la masse des conseillers. [Jurin.]

22-23. Παρὸν ἐξαμαρτάνειν μέλλοντας ἀποτρέπειν, quand il pouvait détourner des collègues d'une faute qu'ils allaient commettre.

τολμᾷ ὡς δεῖ τοὺς τοσαῦτα κάκ' εἰργασμένους στεφανῶσαι;

[42] Οἴομαι τοίνυν αὐτὸν οὐδ' ἐκείνων ἀφέξεσθαι τῶν λόγων, ὅτι ταῦτα πάντ' αὐτῷ διὰ τὰς εἰσπράξεις γέγονεν, ἃς ὑπὲρ ὑμῶν ὀλίγους εἰσπρᾶξαι φήσει πολλὰ χρήματ' ἀναιδῶς οὐ τιθέντας. Καὶ κατηγορήσει τούτων, πρᾶγμα ῥᾴδιον, οἶμαι [διαπραξάμενος, τῶν μὴ τιθέντων τὰς εἰσφορὰς], καὶ φήσει πᾶσαν ἄδειαν ἔσεσθαι τοῦ μὴ τιθέναι τὰς εἰσφοράς, εἰ καταψηφιεῖσθ' αὐτοῦ. [43] Ὑμεῖς δ', ὦ ἄνδρες Ἀθηναῖοι, πρῶτον μὲν ἐκεῖν' ἐνθυμεῖσθε, ὅτι οὐ περὶ τούτων δικάσειν ὀμωμόκατε, ἀλλ' εἰ κατὰ τοὺς νόμους τὸ ψήφισμ' εἶπεν, εἶθ' ὅτι πάνδεινόν ἐστι, κατηγορίαν ποιούμενον ὡς ἀδικοῦσί τινες τὴν πόλιν, αὐτὸν ἀξιοῦν ὧν ἀδικεῖ μειζόνων ὄντων μὴ δοῦναι δίκην· πολὺ γὰρ δήπου μεῖζόν ἐστ' ἀδίκημα γράφειν παρὰ τοὺς νόμους ἢ τὴν εἰσφορὰν μὴ τιθέναι. [44] Ὅτι τοίνυν οὐδ' εἰ φανερῶς ἔμελλεν ἁλόντος τούτου μηδεὶς εἰσοίσειν μηδ' ἐθελήσειν εἰσπράττειν, οὐδ' οὕτως ἀποψηφιστέον, ἐκ τῶνδε γνώσεσθε. Ὑμῖν παρὰ τὰς εἰσφορὰς τὰς ἀπὸ Ναυσινίκου, παρ' ἴσως τάλαντα τριακόσια ἢ μικρῷ πλείω, ἔλλειμμα τέτταρα καὶ δέκα ἐστὶ τάλαντα, ὧν ἑπτὰ οὗτος εἰσέπραξεν,

NC. 3. οὐκ ἐκείνων L. — 6. οἶμαι A, F[1]. οἶμαι διαπραξάμενος S, L, vulg. διαπραττόμενος Dobree. — 7. τῶν μὴ.... εἰσφοράς : glose reconnue par Dobree. — 11. ψήφισμα εἴρηται A. — 12. ἐστιν S. — ἀδικοῦσιν S. — 15. μὴ θεῖναι F. — 16. οὐ δεῖ S[1], corrigé par le reviseur ancien, L[1]. —17. μηδὲ θελήσειν S, L. — 18. παρὰ est omis dans S et L. — 19. παρ' ἴσως F. παρίσως S, L, vulg. — ἔλλειμα A. ἐλλείματα S, L, vulg. —20. ἑπτὰ τάλαντα S, L.

3. Αὐτόν : Androtion. Les mots οἴομαι τοίνυν et la pause qui a dû précéder ces mots indiquent assez que l'orateur passe à un autre point. Il était donc clair pour les auditeurs que le pronom αὐτόν désignait l'accusé, et non Archias.

5. Ὀλίγους.... πολλά. Double mérite : Androtion prétend avoir fait rentrer dans le fisc beaucoup d'argent en prenant des mesures de rigueur contre un petit nombre de citoyens.

18. Παρὰ, par rapport à, sur. G.-H. Schæfer cite *Lept*, § 32 : Παρὰ μὲν τὰς τριάκοντα μυριάδας μυρίους δίδωσι μεδίμνους ἡμῖν. — Τὰς εἰσφορὰς τὰς ἀπὸ Ναυσινίκου. C'est sous cet archonte, en 378 avant J.-C., que l'impôt foncier fut modifié et réglé à nouveau. Voy. Bœckh, *Staatshaush.*, p. 667 sqq. Quant à la préposition ἀπό, que Taylor voulait changer en ἐπί, elle s'explique par l'hellénisme connu qui se retrouve au § 52 (τοὺς ἐκ τῆς ἀγορᾶς ἀπῆγον) et *passim*. Les arriérés datent de l'année de Nausinique. L'explication de Grote, qui entend tous les impôts fonciers levés depuis l'année de Nausinique, a été réfutée par A. Schæfer, I, p. 20.

ἐγὼ δὲ τίθημ' ἅπαντα. Ἐπὶ μὲν δὴ τοὺς ἐκόντας τιθέντας 607 οὐ δεῖσθ' Ἀνδροτίωνος, ἐπὶ δὲ τοὺς ἐλλείποντας. [45] Ἔστι τοίνυν ὑμῖν νυνὶ σκεπτέον εἰ τοσούτου τιμᾶσθε τὴν πολιτείαν καὶ τοὺς κειμένους νόμους καὶ τὸ εὐορκεῖν· εἰ γὰρ ἀποψηφιεῖσθε τούτου φανερῶς οὕτως παρὰ τοὺς νόμους εἰρηκότος, δόξετε πᾶσιν τὰ χρήματα ταῦτ' ἀντὶ τῶν νόμων καὶ τῆς εὐορκίας ᾑρῆσθαι. Ἃ οὐδ' ἂν εἰ παρ' ἑαυτοῦ δοίη τις ὑμῖν λαβεῖν ἄξιον, μή τί γ' ἐφ' ᾧ ἑτέρους εἰσπράττειν. [46] Ὥσθ' ὅταν ταῦτα λέγῃ, μέμνησθε τῶν ὅρκων καὶ τὴν γραφὴν ἐνθυμεῖσθε, ὅτι νῦν οὐ περὶ πράξεως εἰσφορῶν ἐστὶν, ἀλλ' εἰ δεῖ κυρίους εἶναι τοὺς νόμους.

Καὶ περὶ τούτων μὲν, ὃν τρόπον ὑμᾶς ἀπαγαγὼν ἀπὸ τοῦ νόμου παρακρούεσθαι ζητήσει, καὶ ἃ πρὸς ταῦθ' ὑμᾶς μνημονεύοντας μὴ ἐπιτρέπειν προσήκει, πολλὰ λέγειν ἔχων ἔτι, καὶ ταῦθ' ἱκάν' εἶναι νομίζων, ἐάσω. [47] Βούλομαι δὲ καὶ τὰ πολιτεύματ' ἐξετάσαι τοῦ καλοῦ κἀγαθοῦ τούτου, δι' ὧν οὐκ ἔσθ' ὅ τι τῶν δεινοτάτων ἐλλιπὼν φανήσεται· καὶ γὰρ ἀναιδῆ καὶ θρασὺν καὶ κλέπτην καὶ ὑπερήφανον καὶ πάντα μᾶλλον ἢ ἐν δημοκρατίᾳ πολιτεύεσθαι ἐπιτήδειον ὄντ' αὐτὸν δείξω. Καὶ πρῶτον μὲν, ἐφ' ᾧ μέγιστον φρονεῖ, τὴν τῶν χρημάτων εἴσπραξιν ἐξετάσωμεν αὐτοῦ, μὴ τῇ τούτου προσέχοντες

NC. 2. Après ἐλλείποντας quelques mss insèrent εὖ ou (L[2]) αὖ. — ἐπὶ τοὺς δ' ἐλλείποντας Blass. — 3. τιμᾶσθαι S. — 6. πᾶσιν S. — 12. ἀπάγων A. — 16-17. οὐδὲν ἔσθ' F. — 17. ἐλλιπὼν A. ἐλλείπων S, F. ἐλλείπειν L. — 19. ἐπιδείξω F. — 21. ἐξετάσομεν avant Bekker.

2. Ἐπὶ δὲ τοὺς ἐλλείποντας. Or, l'arriéré ne dépasse pas, on l'a vu, et ne dépassera pas à l'avenir, une somme relativement faible.

8. Δοίη, offrait. Avant ἐφ' ᾧ, sous-ent. εἰ δοίη ou εἰ δίδωσί τις ὑμῖν, « à plus forte raison si on offre de vous procurer cet argent en le réclamant à d'autres. »

10. Πράξεως équivaut à εἰσπράξεως.

13-14. Ἃ dépend de μνημονεύοντας. — Μὴ ἐπιτρέπειν : sous-ent. ὑμᾶς.... παρακρούεσθαι.

15. Καί est ici intensif, non copulatif : *vel hæc*.

20. Καὶ πρῶτον μέν.... Il a été question des mêmes faits aux §§ 42-46. Là l'orateur, admettant un instant qu'Androtion avait rendu service à l'État en faisant rentrer certains arriérés, avait soutenu que ce n'était pas là une raison de l'acquitter aujourd'hui. Ici, il présente les mêmes faits sous un jour odieux et s'efforce de montrer que ces prétendus services n'ont été rendus qu'au prix de violences révoltantes. — Tout ce morceau, jusqu'au § 56, revient, avec de légères modifications, dans *Timocr.*, § 160-168.

ἀλαζονείᾳ τὸν νοῦν, ἀλλὰ τὸ πρᾶγμ' οἷον γέγονεν τῇ ἀληθείᾳ σκοποῦντες. [48] Οὗτος Εὐκτήμονα φήσας τὰς ὑμετέρας ἔχειν εἰσφορὰς καὶ τοῦτ' ἐξελέγξειν ἢ παρ' ἑαυτοῦ κα-
608 ταθήσειν, καταλύσας ψηφίσματι κληρωτὴν ἀρχὴν ἐπὶ τῇ προφάσει ταύτῃ ἐπὶ τὴν εἴσπραξιν παρέδυ. Δημηγορίαν δ' ἐπὶ τούτοις ποιούμενος, ὡς ἔστι τριῶν αἵρεσις, ἢ τὰ πομπεῖα κατακόπτειν ἢ πάλιν εἰσφέρειν ἢ τοὺς ὀφείλοντας εἰσπράττειν, [49] αἱρουμένων εἰκότως ὑμῶν τοὺς ὀφείλοντας εἰσπράττειν, ταῖς ὑποσχέσεσιν κατέχων, καὶ διὰ τὸν καιρὸν ὃς ἦν τότ' ἔχων ἐξουσίαν, τοῖς μὲν κειμένοις νόμοις περὶ τούτων οὐχ ᾤετο δεῖν χρῆσθαι, οὐδ', εἰ μὴ τούτους ἐνόμιζεν ἱκανούς, ἑτέρους τιθέναι, ψηφίσματα δ' εἶπεν ἐν ὑμῖν δεινὰ καὶ παράνομα, δι' ὧν ἠργολάβει καὶ πολλὰ τῶν ὑμετέρων κέκλοφεν, τοὺς ἕνδεκα γράψας ἀκολουθεῖν μεθ' ἑαυτοῦ· [50] εἶτ' ἔχων τούτους ἦγεν ἐπὶ τὰς τῶν πολιτῶν οἰκίας. Καὶ τὸν μὲν Εὐκτήμονα, ὃν εἰσπράξειν ἢ καταθήσειν αὐτὸς ἔφη τὰς εἰσφοράς, οὐδὲν εἶχεν ἐλέγχειν περὶ τούτων, ὑμᾶς δ' εἰσέπραττεν, ὥσπερ οὐ διὰ τὴν Εὐκτήμονος ἔχθραν ἐπὶ ταῦτ' ἐλθών, ἀλλὰ διὰ τὴν ὑμετέραν. [51] Καὶ μηδεὶς ὑπολαμβανέτω με λέγειν ὡς οὐ χρῆν εἰσπράττειν τοὺς ὀφείλοντας. Χρῆν γάρ. Ἀλλὰ

NC. 1. ἀλαζονίαι S. — γέγονεν S. — 2. εὐκτήμων ‖ ἀφήσας S[1]. εὐκτήμων φήσας L. — 4. καταθήσειν ὑποσχόμενος vulg. Ce dernier mot est ajouté par le reviseur à la marge de S, dans l'interligne par une autre main dans L. Il provient de *Timocr.*, § 160, où il est à sa place : Cobet l'a vu. — 4. κλήρωι τὴν S et L[1]. — ἐπὶ προφάσει, sans τῇ, S, L. — 5. δημηγορίαν avant Reiske, et S, L dans *Timocr.* δημηγορίας S, L, A, F ici. — 6. αἵρεσις S, L[1], ici et *Timocr.*, § 161. αἵρεσις ὑμῖν vulg. — 9. ὃς ἦν τότε A. ὅσην τότε S, L, F. — 12. ψήφισμα τάδ' εἶπεν S[1].

2. Εὐκτήμονα. Euctémon était alors un des percepteurs ordinaires (ἐκλογεῖς), désignés par le sort. Androtion l'accusa de malversation, et fit nommer par voie d'élection une commission extraordinaire chargée de faire rentrer l'arriéré. Il y eut dix commissaires, au nombre desquels se trouva Androtion lui-même. Cela résulte de l'ensemble de ce passage et de *Timocr.*, § 179. Cf. Bœckh, *Staatshaush.*, p. 212.

6. Τὰ πομπεῖα. Harpocration, art. Πουπείας.... Πομπεῖα δὲ λέγεται τὰ εἰς τὰς πομπὰς κατασκευαζόμενα σκεύη.... πομπείοις δέ φησι Φιλόχορος πρότερον ἐχρῶντο οἱ Ἀθηναῖοι ἐκ τῆς οὐσίας τῶν Τριάκοντα κατασκευασθεῖσιν· ὀψὲ δέ φησι καὶ Ἀνδροτίων ἄλλα κατεσκεύασεν.

10. Ἔχων a pour sujet Androtion.

14. Τοὺς ἕνδεκα. Il se faisait accompagner des Onze, afin de pouvoir emprisonner des citoyens. Car ces magistrats étaient chargés de tout ce qui regardait les prisons. Cf. § 56 : Εἰς δὲ τὸ δεσμωτήριον ἕλκεσθαι.

πῶς; ὡς ὁ νόμος κελεύει, τῶν ἄλλων ἕνεκα· τοῦτο γάρ ἐστι δημοτικόν. Οὐ γὰρ τοσοῦτον, ὦ ἄνδρες Ἀθηναῖοι, τοσούτων χρημάτων τοῦτον τὸν τρόπον εἰσπραχθέντων ὠφέλησθε, ὅσον ἐζημίωσθε τοιούτων ἐθῶν εἰς τὴν πολιτείαν εἰσαγομένων. Εἰ γὰρ θέλετ' ἐξετάσαι τίνος εἵνεκα μᾶλλον ἄν τις ἕλοιτ' ἐν δημοκρατίᾳ ζῆν ἢ ἐν ὀλιγαρχίᾳ, τοῦτ' ἂν εὕροιτε προχειρότατον, ὅτι πάντα πρᾳότερ' ἐστὶν ἐν δημοκρατίᾳ. 609
[52] Ὅτι μὲν τοίνυν τῆς ὅπου βούλεσθ' ὀλιγαρχίας οὗτος ἀσελγέστερος γέγονεν, παραλείψω. Ἀλλὰ παρ' ἡμῖν πότε πώποτε δεινότατ' ἐν τῇ πόλει γέγονεν; ἐπὶ τῶν τριάκοντα, πάντες ἂν εἴποιτε. Τότε τοίνυν, ὡς ἔστιν ἀκούειν, οὐδείς ἐστιν ὅστις ἀπεστερεῖτο τοῦ σωθῆναι, ὅστις ἑαυτὸν οἴκοι κρύψειεν, ἀλλὰ τοῦτο κατηγοροῦμεν τῶν τριάκοντα, ὅτι τοὺς ἐκ τῆς ἀγορᾶς ἀδίκως ἀπῆγον. Οὗτος τοίνυν τοσαύτην ὑπερβολὴν ἐποιήσατ' ἐκείνων τῆς αὑτοῦ βδελυρίας ὥστ' ἐν δημοκρατίᾳ πολιτευόμενος τὴν ἰδίαν οἰκίαν ἑκάστῳ δεσμωτήριον καθίστη, τοὺς ἕνδεκ' ἄγων ἐπὶ τὰς οἰκίας. [53] Καίτοι, ὦ ἄνδρες Ἀθηναῖοι, τί οἴεσθ', ὁπότ' ἄνθρωπος πένης (ἢ καὶ

NC. 1. Peut-être τῶν ἀνθρώπων (ΑΝΩΝ) ἕνεκα. — 3. τοῦτον τὸν τρόπον τοσούτων χρημάτων A. — 5. εἰ γὰρ θέλετ' S, L ici et *Tim.*, § 163. Cf. § 55. ἐθέλοιτε (A) ou ἐθέλητε vulg. — ἕνεκα mss. — 11-12. πότε τῶν πώποτε Cobet. — 13-14. οὐκ ἔστιν A.

1. Τῶν ἄλλων ἕνεκα. Personne n'a pu expliquer ces mots d'une manière satisfaisante. Cf. NC.

2-3. Τοσούτων χρημάτων, « pour une somme pareille », ce qui signifie ici « pour une somme aussi insignifiante ». Ἀντὶ τοῦ βραχέων. [Schol.] Dans *Timocrate*, § 162, ces mots sont remplacés par πέντε ταλάντων.

5. Εἰ γὰρ θέλετ(ε) : à l'indicatif. C'est que, dans la seconde partie de la phrase, l'optatif τοῦτ' ἂν εὕροιτε ne marque qu'une assertion adoucie.

10. Ὅπου βούλεσθ(ε), « dans une autre ville quelconque », est opposé à παρ' ἡμῖν.

11-12. Πότε πώποτε, quand jamais.... ? Je ne sais si cette locution se retrouve ailleurs. Cf. NC.

16-17. Ὑπερβολὴν ἐποιήσατ' ἐκείνων τῆς αὑτοῦ βδελυρίας, il les dépassa par son atrocité à lui, plus littéralement, « il porta l'excès de son atrocité au-delà de la leur ». Ὑπερβολήν gouverne ici deux génitifs ; l'un, βδελυρίας, est celui qui sert d'ordinaire de complément aux substantifs ; l'autre, ἐκείνων, est le génitif comparatif.

20. Τί οἴεσθε, que pensez-vous de ce cas ? que vous en semble ? — Ἄνθρωπος πένης (ἢ καὶ πλούσιος.... οὐκ εὐπορῶν ἀργυρίου). L'orateur veut qu'Androtion ait fait subir des vexations à des citoyens pauvres, afin de le rendre plus odieux au jury populaire ; mais on voit bien par les mots que nous avons mis entre parenthèses, et sur lesquels il faut, en lisant ce passage à haute voix, glisser, comme sur un détail accessoire, que par le fait les retardataires étaient des gens aisés, mais gênés dans leurs affaires, nous dit-on, et aussi intéressants que des pauvres.

πλούσιος, πολλὰ δ' ἀνηλωκὼς καί τιν' ἴσως τρόπον εἰκότως οὐκ εὐπορῶν ἀργυρίου), ἢ τέγος ὡς τοὺς γείτονας ὑπερβαίνοι, ἢ ὑποδύοιθ' ὑπὸ κλίνην ὑπὲρ τοῦ μὴ τὸ σῶμ' ἁλοὺς εἰς τὸ δεσμωτήριον ἕλκεσθαι, ἢ ἄλλ' ἀσχημονοίη ἃ δούλων, οὐκ ἐλευθέρων ἐστὶν ἔργα, καὶ ταῦθ' ὑπὸ τῆς αὑτοῦ γυναικὸς ὁρῷτο ποιῶν, ἣν ὡς ἐλεύθερος ἠγγυήσατο καὶ τῆς πόλεως πολίτης, ὁ δὲ τούτων αἴτιος Ἀνδροτίων εἴη, ὃν οὐδ' ὑπὲρ αὑτοῦ δίκην λαμβάνειν ἐᾷ τὰ πεπραγμένα καὶ βεβιωμένα, μή τί γ' ὑπὲρ τῆς πόλεως; [54] Καίτοι εἴ τις ἔροιτ' αὐτὸν, τὰς εἰσφορὰς πότερον τὰ κτήματ' ἢ τὰ σώματ' ὀφείλει, τὰ κτήματα φήσειεν ἂν, εἴπερ ἀληθῆ λέγειν βούλοιτο· ἀπὸ γὰρ τούτων εἰσφέρομεν. Τίνος οὖν ἕνεχ' ἀφεὶς τὸ τὰ χωρία δημεύειν καὶ τὰς οἰκίας καὶ ταῦτ' ἀπογράφειν, ἔδεις καὶ ὕβριζες πολίτας ἀνθρώπους καὶ τοὺς ταλαιπώρους μετοίκους, οἷς ὑβριστικώτερον ἢ τοῖς οἰκέταις τοῖς σαυτοῦ κέχρησαι;
610 [55] Καὶ μὴν εἰ θέλετε σκέψασθαι τί δοῦλον ἢ ἐλεύθερον εἶναι διαφέρει, τοῦτο μέγιστον ἂν εὕροιτε, ὅτι τοῖς μὲν δούλοις τὸ σῶμα τῶν ἀδικημάτων ἁπάντων ὑπεύθυνόν ἐστι, τοῖς δ' ἐλευθέροις, κἂν τὰ μέγιστ' ἀτυχῶσιν, τοῦτό γ' ἔνεστι σῶσαι· εἰς χρήματα γὰρ τὴν δίκην περὶ τῶν πλείστων παρὰ τούτων προσήκει λαμβάνειν. Ὁ δὲ τοὐναντίον εἰς τὰ σώματα, ὥσ-

NC. 1. δ', après πολλὰ, est omis dans F, L² et dans *Timocr.*, § 165. — εἰκότως manque dans L. — 2. εἰ τέγος S, L¹. — 3. τὸ σῶμα, mots écartés par Cobet. — 6. ἐνεγγυήσατο A. — 9. μήτοι γε L. καίτοι γ' A. — 10. πότερον ἢ τὰ κτήματα ἢ S, L ici, mais non dans *Timocr.* — 14. ἀνθρώπους πολίτας A. — 16. εἰ θέλετε S, L, A, etc., ici et *Timocr.*, § 167. εἰ θέλοιτε vulg. — 19. ἀτυχῶσι S, L¹. τύχωσιν ἀδικοῦντες vulg. — ἔσται A. — 20. τὴν est omis dans S et L¹.

3. Τὸ σῶμα est ajouté pour qu'on ne prenne pas ἁλούς dans le sens judiciaire de « convaincu d'un délit ». [G.-H. Schæfer.]

13. Ἀπογράφειν, dresser l'inventaire des biens dont la confiscation (δήμευσις) avait été décrétée. — Ἔδεις. Passage de la troisième à la deuxième personne : apostrophe vive et imprévue.

16. Εἰ 'θέλετε. Cf. § 51, avec la note.

19. Ἀτυχῶσιν peut s'entendre d'une condamnation judiciaire, comme συμφορά, ἀτυχία et ἠτυχηκώς dans *Mid.*, §§ 58 et 60. On peut aussi l'entendre, par euphémisme, d'un acte coupable, en comparant *Aristocr.*, § 39 : Τοῖς ἀτυχοῦσιν, où il s'agit des homicides.

20. Περὶ τῶν πλείστων. Ces mots restreignent ce qu'il y avait de trop absolu dans κἂν τὰ μέγιστ' ἀτυχῶσιν. Dans *Timocr.*, § 167, l'orateur s'exprimera avec plus de justesse.

8. Ἢ.... κατατεθῶσι, pour ἢ ὁπόσοι ἂν.... κατεθῶσιν. Cf. § 39, avec la note.

9. Τοῦ γραμματέως τοῦ κατὰ πρυτανείαν : le sénateur désigné par le sort pour rédiger et conserver les décrets rendus par le sénat pendant la durée d'une prytanie. Cf. Hermann, *Staatsalt.*, § 127,

10. Δεδόχθαι τοῖς νομοθέταις. La motion de Timocrate dut être portée devant les nomothètes et décrétée par eux. La leçon du meilleur manuscrit, restée inaperçue jusqu'ici, rétablit le sens de ce passage. La vulgate τοῖς θεσμοθέταις ne s'expliquait pas et avait fait croire à une interpolation.

11. Τοὺς ἕνδεκα. On sait que les Onze avaient la garde des prisons. « Toute cette loi est faite pour abréger la prison préventive. » [Dareste.]

14. Οἷς ἔξεστιν : formule usuelle, qui exclut les citoyens frappés d'incapacité, ἀτιμία.

ΝΟΜΟΣ.

« Ἐὰν δ' ἀργυρίου τιμηθῇ, δεδέσθω τέως ἂν ἐκτείσῃ. » Πέπαυσο. Ἔστιν οὖν ὅπως ἐναντιώτερ' ἄν τις δύο θείη τοῦ δεδέσθαι, τέως ἂν ἐκτείσωσι, τοὺς ἁλόντας, καὶ τοῦ καθιστάναι τοὺς αὐτοὺς τούτους ἐγγυητάς, ἀλλὰ μὴ δεῖν; ταῦτα τοίνυν κατηγορεῖ Τιμοκράτης Τιμοκράτους, οὐ Διόδωρος, οὐδ' ἄλλος ὑμῶν οὐδεὶς τοσούτων ὄντων τὸ πλῆθος. [65] Καίτοι τίνος ἂν ὑμῖν ἀποσχέσθαι δοκεῖ λήμματος ἢ τί ποιεῖν ἂν ὀκνῆσαι κέρδους ἕνεκα, ὅστις ἐναντί' αὐτὸς αὑτῷ νομοθετεῖν ἠξίωσεν, οὐδὲ τοῖς ἄλλοις τῶν νόμων ἐώντων; Ἐμοὶ μὲν γὰρ εἵνεκ' ἀναιδείας ὁ τοιοῦτος δοκεῖ πᾶν ἂν ἑτοίμως ἔργον ποιῆσαι. Ὥσπερ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν περὶ τἄλλα κακούργων τοὺς ὁμολογοῦντας ἄνευ κρίσεως κολάζειν οἱ νόμοι κελεύουσιν, οὕτω δίκαιον καὶ τούτου, ἐπειδὴ τοὺς νόμους κακουργῶν εἴληπται, μὴ δόντας λόγον μηδ' ἐθελήσαντας ἀκοῦσαι καταψηφίσασθαι· ὡμολόγηκε γὰρ θάτερον, τῷ προτέρῳ νόμῳ τόνδ' ἐπιθείς, ἀδικεῖν.

[66] Ὅτι μὲν τοίνυν καὶ παρὰ τούτους τοὺς νόμους καὶ

NC. 2. ὅπως ἂν ἐναντιώτερα vulg. Mais ἂν omis dans A, un second ἄν ajouté dans S au-dessus de τις par le reviseur (?), indiquent la leçon que nous donnons. — 4. τεώσ S. τε ἕως A. ἕως Dindorf, par parti pris. — 7. ὑμῖν ἄλλος A. — 8. τίνος ὑμῖν ἂν Blass, à tort. — 10. τῶν νόμων οὐδὲ τοῖς ἄλλοις A. — 13. κακουργούντων A. — 14. κελεύουσιν οἱ νόμοι A. — 15. τούτου Feliciano. τοῦτον mss. — 17-18. θάτερον S, A. θατέρῳ vulg. — νόμωι S seul. νόμῳ ἐναντίον vulg. — τόνδ' ἐπιθεὶς est notre correction. τόνδε τιθεὶς mss. Dindorf écartait θάτερον, ou θατέρῳ, en conservant ἐναντίον. Benseler voulait θάτερον ἀδικεῖν, en supprimant les mots intermédiaires. Blass : θάτερον, τὸν πρότερον νόμον ⟨ἢ⟩ τόνδε τιθείς, ἀδικεῖν.

5. Ἀλλὰ μὴ δεῖν, mais qu'on ne les mette pas en prison. Changement de sujet, sans doute afin d'opposer à καθιστάναι un autre infinitif actif (δεῖν), plutôt qu'un infinitif passif (δεδέσθαι).

10. Τοῖς ἄλλοις : sous-ent. ἐναντία νομοθετεῖν.

11. Εἵνεκ' ἀναιδείας, pour ce qui est de l'impudence, autant que cela tient à l'impudence. Cf. *Olynth.*, III, 15 : Εἵνεκά γε ψηφισμάτων, avec la note.

17. Θάτερον, l'une ou l'autre fois.

19. Τούτους τοὺς νόμους. Quoique au pluriel, ces mots ne peuvent guère désigner que la loi de Timocrate que l'orateur vient de faire lire. [Reiske.]

παρὰ τοὺς προειρημένους, καὶ μικροῦ δέω παρὰ πάντας εἰπεῖν τοὺς ὄντας ἐν τῇ πόλει, τέθεικε τὸν νόμον, οἶμαι δῆλον ἅπασιν ὑμῖν εἶναι. Θαυμάζω δ' αὐτοῦ τί ποτε καὶ τολμήσει λέγειν περὶ τούτων. Οὔτε γὰρ ὡς οὐκ ἐναντίος ἔσθ' ὁ νόμος τοῖς ἄλλοις δεικνύειν ἕξει, οὔθ' ὡς δι' ἀπειρίαν ἰδιώτην αὐτὸν
722 ὄντα τοῦτ' ἔλαθεν δύναιτ' ἂν πεῖσαι· πάλαι γὰρ μισθοῦ καὶ γράφων καὶ νόμους εἰσφέρων ὦπται. [67] Καὶ μὴν οὐδ' ἐκεῖνό γ' ἔνεστιν αὐτῷ, ἀδίκημα μὲν εἶναι τὸ πρᾶγμ' ὁμολογῆσαι, συγγνώμης δὲ τυχεῖν ἀξιοῦν· οὐ γὰρ ἄκων οὐδ' ὑπὲρ ἠτυχηκότων οὐδ' ὑπὲρ συγγενῶν καὶ ἀναγκαίων αὐτῷ τεθεικὼς φαίνεται τὸν νόμον, ἀλλ' ἑκὼν ὑπὲρ μεγάλ' ἠδικηκότων ὑμᾶς, οὐδὲν προσηκόντων αὐτῷ, πλὴν εἰ συγγενεῖς ὑπολαμβάνειν φησὶ τοὺς μισθουμένους αὐτόν.

[68] Ὡς τοίνυν οὐδ' ἐπιτήδειον νόμον ὑμῖν οὐδὲ συμφέροντ' εἰσενήνοχεν, τοῦτ' ἤδη πειράσομαι νυνὶ δεικνύναι. Οἶμαι δὴ πάντας ἂν ὑμᾶς ὁμολογῆσαι, δεῖν τὸν ὀρθῶς ἔχοντα νόμον καὶ συνοίσειν μέλλοντα τῷ πλήθει πρῶτον μὲν ἁπλῶς καὶ πᾶσι γνωρίμως γεγράφθαι, καὶ μὴ τῷ μὲν εἶναι ταυτὶ περὶ αὐτοῦ νομίζειν, τῷ δὲ ταυτί. Ἔπειτ' εἶναι δυνατὰς τὰς πράξεις ἃς δεῖ γίγνεσθαι διὰ τοῦ νόμου· εἰ γὰρ αὖ καλῶς μὲν ἔχοι, μὴ δυνατὸν δέ τι φράζοι, εὐχῆς, οὐ νόμου διαπράττοιτ' ἂν ἔργον. [69] Πρὸς δὲ τούτοις μηδενὶ τῶν

NC. 1. παρ' ἅπαντασ S. — 5-6. αὐτὸν et τοῦτ' omis dans A. — 9. οὐδὲ γὰρ A, F. — 12-13. εἰ S seul.... φησὶν S. εἰ μὴ et φήσει reviseur en marge de S. — αὐτό S. — 15. νυνὶ m'est suspect. — δεικνύειν S. — 16. δὴ πάντας vulg. ἅπαντασ S seul. — ἂν omis dans S. — Peut-être δ' ἂν πάντας. — 18. πᾶσι S seul. πᾶσιν ὁμοίως vulg.

3. Θαυμάζω δ(έ).... En commençant par ὅτι μὲν τοίνυν, l'orateur avait indiqué qu'il passerait à un autre point, et la suite régulière du discours demanderait ὅτι δ' οὐδ' ἐπιτήδειον νόμον ὑμῖν εἰσενήνοχεν.... Mais, comme il se laisse aller à faire d'abord quelques réflexions sur l'impossibilité où se trouve l'accusé de se justifier au sujet du point précédent, cette longue parenthèse rompt le fil du discours, et le point suivant est introduit au § 68 par les mots : Ὡς τοίνυν οὐδ' ἐπιτήδειον....

5. Δεικνύειν, forme moins familière aux Attiques, est préféré ici à δεικνύναι, afin d'éviter l'hiatus.

7. Γράφων équivaut à γράφων ψηφίσματα. [G. H. Schæfer.]

12. Πλὴν εἰ.... αὐτόν : un de ces traits sarcastiques que Démosthène aime à lancer à l'improviste à la fin d'un développement.

21. Καλῶς μὲν ἔχοι. Ces mots désignent ici une rédaction claire (πᾶσι γνωρίμως) et ne se prêtant pas à des interprétations diverses (ἁπλῶς).

ἀδικούντων φαίνεσθαι μηδεμίαν διδόντα ῥᾳστώνην. Εἰ γὰρ δημοτικόν τις ὑπείληφεν τὸ πράους εἶναι τοὺς νόμους, τίσιν τούτοις προσεξεταζέτω, κἄνπερ ὀρθῶς βούληται σκοπεῖν, εὑρήσει τοῖς κρίνεσθαι μέλλουσιν, οὐ τοῖς ἐξεληλεγμένοις· ἐν μὲν γὰρ τοῖς ἄδηλον εἴ τις ἔστ' ἀδίκως διαβεβλημένος, τοῖς δὲ οὐδὲ λόγος λείπεται τὸ μὴ οὐ πονηροῖς εἶναι. [70] Τούτων τοίνυν ὧν διεξελήλυθ' ἐγὼ νῦν οὐδ' ὁτιοῦν οὗτος ἔχων ὁ νόμος φανήσεται, τἀναντία δ' ἐξῆς πάντα. Πολλαχόθεν μὲν οὖν ἄν τις ἔχοι τοῦτο διδάσκειν, μάλιστα δὲ 723
τὸν νόμον αὐτὸν ὃν τέθεικε διεξιών. Ἔστι γὰρ οὐ τὸ μὲν αὐτοῦ καλῶς κείμενον, τὸ δ' ἡμαρτημένον, ἀλλ' ὅλος ἐξ ἀρχῆς, ἀπὸ τῆς πρώτης συλλαβῆς μέχρι τῆς τελευταίας, ἐφ' ὑμῖν κεῖται. [71] Λαβὲ δ' αὐτοῖς τὴν γραφὴν αὐτήν, καὶ μέχρι τοῦ πρώτου μέρους ἀνάγνωθι τὸν νόμον· ῥᾷστα γὰρ οὕτως ἐγώ τε διδάξω καὶ ὑμεῖς μαθήσεσθ' ἃ λέγω.

ΝΟΜΟΣ.

« Ἐπὶ τῆς Πανδιονίδος πρώτης δωδεκάτῃ τῆς πρυτανείας τῶν προέδρων ἐπεψήφισεν Ἀριστοκλῆς Μυρρινούσιος, Τιμοκράτης εἶπεν, καὶ εἴ τινι τῶν ὀφειλόντων τῷ δημοσίῳ προστετίμηται κατὰ νόμον ἢ κατὰ ψήφισμα δεσμοῦ ἢ τὸ λοιπὸν

NC. 2-3. Peut-être τίσιν (*sic* S) τοῦτο. — 5. εἴ τις ἔνεστιν A. — 8. ἐφεξῆς A. — 11. ὅλον S seul. — 12. ἀπὸ πρώτησ S. — 17. πρώτησ πρυτανείασ S, πρυτανείασ δωδεκάτη τῆσ reviseur en marge. πρώτης πρυτανείας δωδεκάτῃ τῆς πρυτανείας A, Y. πρώτης πρυτανείας δωδεκάτῃ vulg. Cf. § 27 et 39.

2-3. Τίσι τούτοις προσεξεταζέτω équivaut à προσεξεταζέτω τίνες οὗτοι οἷς πράους εἶναι τοὺς νόμους δημοτικόν ἐστιν. [G. H. Schæfer.] Voy. NC.

8. Πολλαχόθεν, de plusieurs manières, par plus d'une voie.

13. Ἐφ' ὑμῖν κεῖται veut dire ici : « la loi a été portée contre vous, a été faite pour vous nuire. » Cf. *Ambass.*, § 205 : Χρήμαθ' οὗτοι μὲν ἔχουσιν ἐφ' ὑμῖν. — Λαβὲ δ' αὐτοῖς, prends-le pour le leur lire. Cf. § 27.

18. Τῶν προέδρων.... Μυρρινούσιος. Le nom du proèdre qui mit la proposition aux voix ne se trouve pas dans la copie du même document au § 39. Comme les proèdres n'étaient jamais pris dans la tribu de la prytanie, et que le dème de Μυρρινοῦς appartenait à la tribu Pandionide, Meier (*Die Privatschiedsrichter*..., p. 17) pense que le copiste aurait dû écrire ἐκ Μυρρινούττης, qui est un dème de la tribu Ægéis. Quant aux proèdres, voy. la note sur le § 33.

προστιμηθῇ, εἶναι αὐτῷ ἢ ἄλλῳ ὑπὲρ ἐκείνου ἐγγυητὰς καταστῆσαι ⟨τοῦ ὀφλήματος, οὓς ἂν ὁ δῆμος χειροτονήσῃ, ἦ μὴν ἐκτείσειν τὸ ἀργύριον ὃ ὦφλεν⟩. »

[72] Ἐπίσχες· αὐτίκα γὰρ καθ' ἕκαστον [ἀναγνώσει]. Τουτὶ πάντων, ὦ ἄνδρες δικασταί, τῶν γεγραμμένων ἐν τῷ νόμῳ σχεδόν ἐστι δεινότατον. Οἶμαι γὰρ οὐδὲ ἕν' ἄνθρωπον ἄλλον τολμῆσαι, νόμον εἰσφέροντ' ἐπὶ τῷ χρῆσθαι τοὺς πολίτας αὐτῷ, τὰς κατὰ τοὺς πρότερον κυρίους νόμους κρίσεις γεγενημένας ἐπιχειρῆσαι λύειν. Τοῦτο τοίνυν οὑτοσὶ Τιμοκράτης ἀναιδῶς καὶ οὐδ' ἀποκρυψάμενος πεποίηκεν γράψας διαρρήδην « καὶ εἴ τινι τῶν ὀφειλόντων τῷ δημο- « σίῳ προστετίμηται κατὰ νόμον ἢ κατὰ ψήφισμα δεσμοῦ « ἢ τὸ λοιπὸν προστιμηθῇ. » [73] Περὶ μὲν δὴ τῶν μελλόντων εἴ τι δίκαιον ἔπεισεν ὑμᾶς, οὐκ ἠδίκει· περὶ δ' ὧν
724 δικαστήριον ἔγνωκεν καὶ τέλος ἔσχηκεν, πῶς οὐ δεινὰ ποιεῖ νόμον εἰσφέρων δι' οὗ ταῦτα λυθήσεται; Ὥσπερ ἂν εἴ τις ἐάσας κύριον τὸν τούτου γενέσθαι νόμον γράψειεν ἕτερον τοιόνδε « καὶ εἴ τινες, ὠφληκότες χρήματα καὶ δεσμοῦ προσ- « τετιμημένον αὐτοῖς, ἐγγυητὰς κατέστησαν κατὰ τὸν νό- « μον, μὴ εἶναι τὴν διεγγύησιν αὐτοῖς, μηδὲ τὸ λοιπὸν « ἐξεγγυᾶν μηδένα. » [74] Ἀλλ' οὔτε ταῦτα ποιήσειεν ἂν οὐδεὶς ὑγιαίνων, οἶμαι, σύ τ' ἐκεῖνα λύων ἠδίκεις. Χρῆν γὰρ αὐτὸν, εἰ τὸ πρᾶγμ' ἐνόμιζε δίκαιον, ἐπὶ τοῖς ὕστερον γενησομένοις θεῖναι τὸν νόμον, καὶ μὴ συνενεγκόντα εἰς ταὐτὸ τὰ μέλλοντα τοῖς παρεληλυθόσιν καὶ τὰ μὴ δῆλα

NC. 2-3. J'ajoute les mots τοῦ ὀφλήματος.... ὦφλεν, évidemment omis par négligence. Le πρῶτον μέρος ne s'arrête pas au milieu d'une phrase. Cf. § 77, et la scholie que nous citons au § 84. — 4. Je regarde ἀναγνώσει comme interpolé. — 6. ἐστιν S. — 6-7. Variante ἀνθρώπων. — 20. τὴν ἐγγύησιν A, Y. — 23. ἐνόμιζεν S.

4. Ἀναγνώσει est suspect pour deux raisons. D'abord l'orateur ne fera pas lire le reste par le greffier; ensuite, il n'a pas l'habitude de raisonner avec le greffier; il dit aux juges : « Examinons tout de suite point par point. »

13. Ἢ.... προστιμηθῇ. Cf. § 41, et note.

15. Après καὶ, sous-entendez ἅ. — Du reste, cf. § 44, avec la note.

18-19. Προστετιμημένον : cas absolu, comme δέον, ἐξόν, εἰρημένον.

22. Ὑγιαίνων, étant dans son bon sens. Cf. la note sur *Chers.*, § 36.

22-23. Χρῆν γὰρ αὐτόν.... Après avoir

τοῖς φανεροῖς ἀδικήμασιν, εἶτ' ἐπὶ πᾶσι γράψαι τὴν αὐτὴν γνώμην. Πῶς γὰρ οὐ δεινὸν τῶν αὐτῶν ἠξιωκέναι δικαίων τοὺς ἐξεληλεγμένους ἀδικοῦντας τὴν πόλιν πρότερον καὶ τοὺς μηδ' εἰ κρίσεως ἄξιον ἐργάσονταί τι δήλους;

[75] Καὶ μὴν κἀκεῖθεν ἴδοι τις ἂν ὡς δεινὸν πεποίηκεν τὸ θεῖναι περὶ τῶν παρεληλυθότων τὸν νόμον, εἰ λογίσαιτο παρ' αὑτῷ τί ποτ' ἐστὶν ᾧ νόμος ὀλιγαρχίας διαφέρει, καὶ τί δή ποθ' οἱ μὲν ὑπὸ νόμων ἐθέλοντες ἄρχεσθαι σώφρονες καὶ χρηστοὶ [πολῖται] νομίζονται, οἱ δ' ὑπὸ τῶν ὀλιγαρχιῶν ἄνανδροι καὶ δοῦλοι. Εὕροι γὰρ ἂν ὡς ἀληθῶς τοῦτο προχειρότατον, ὅτι τῶν μὲν ἐν ταῖς ὀλιγαρχίαις ἕκαστος καὶ τὰ πεπραγμένα λῦσαι καὶ περὶ τῶν μελλόντων ἃ ἂν αὐτῷ δοκῇ προστάξαι κύριός ἐστιν, οἱ δὲ νόμοι περὶ τῶν μελλόντων ἃ χρὴ γίγνεσθαι φράζουσιν, μετὰ τοῦ πεῖσαι τεθέντες ὡς συνοίσουσι τοῖς χρωμένοις. Τιμοκράτης τοίνυν ἐν δημοκρατουμένῃ τῇ πόλει νομοθετῶν τὴν ἐκ τῆς ὀλιγαρχίας ἀδικίαν εἰς τὸν αὑτοῦ νόμον μετήνεγκεν, καὶ περὶ τῶν παρ- **725**
εληλυθότων αὑτὸν κυριώτερον τῶν καταγνόντων δικαστῶν ἠξίωσε ποιῆσαι.

[77] Καὶ οὐ τοῦτο μόνον πεποίηκεν ὑβριστικὸν, ἀλλὰ καὶ

NC. 1. πᾶσιν S. — 3. αδικειν την πολιν reviseur en marge de S. — 4. ἐργάσοντέτι S[1]. — 5-6. τὸ θεῖναι... τὸν νόμον: mots suspects. — 8. σώφρονεσ S, F. σώφρονες καὶ ἐλεύθεροι vulg. — 9. πολῖται est omis dans A. — 20. μόνον πεποίηκεν. S[4] a mis des signes indiquant transposition de ces deux mots.

apostrophé l'accusé, l'orateur se tourne de nouveau vers les juges.

1. Μηδ' εἰ κρίσεως ἄξιον ἐργάσονταί τι δήλους. L'antithèse est triomphante ; cependant il suffit d'un peu de réflexion pour comprendre que la loi de Timocrate vise ceux qui seront convaincus et condamnés à l'avenir.

8. Νόμος. Aux yeux de l'orateur athénien, gouvernement légal est synonyme de démocratie. Dans *Phil.*, II, § 25, les lois sont opposées au régime monarchique, comme ici au régime oligarchique. Voy. la note sur ce passage.

11. Τῶν μὲν ἐν ταῖς ὀλιγαρχίαις désigne les membres de l'oligarchie, non ceux qui vivent dans un état oligarchique. Le terme ὀλιγαρχία équivaut à ὀλίγαρχοι ici, comme dans οἱ ὑπὸ τῶν ὀλιγαρχιῶν (ἄρχεσθαι ἐθέλοντες) au § 75.

14. Μετὰ τοῦ πεῖσαι est dit comme μετὰ τῶν νόμων, § 52 : la préposition μετὰ peut se tourner par οὐκ ἄνευ. Dans une démocratie on ne peut porter une loi sans persuader aux citoyens qu'elle leur sera utile.

16. Τὴν ἐκ τῆς ὀλιγαρχίας ἀδικίαν. La préposition ἐκ remplace ἐν sous l'influence du verbe μετήνεγκεν. Rien n'est plus commun que cet hellénisme, que plusieurs commentateurs modernes semblent vouloir n'admettre, je ne sais trop pourquoi,

γέγραπται, « ἢ τὸ λοιπὸν ἐάν τινι προστιμηθῇ δεσμοῦ, εἶναι καταστήσαντι τοὺς ἐγγυητάς, ἢ μὴν ἐκτείσειν, ἀφεῖσθαι. » Καίτοι χρῆν αὐτόν, εἰ τὸ δεδέσθαι δεινὸν ἡγεῖτο, μηδενὶ προστιμᾶν ὃς ἂν ὑμῖν ἐγγυητὰς καθιστῇ δεσμοῦ νομοθετῆσαι, μὴ προλαβόντα κατεγνωκότας ὑμᾶς τὸν δεσμὸν μηδ' ἐχθρῶς διατεθέντα πρὸς ὑμᾶς τὸν ἡλωκότα, τηνικαῦτα ποιεῖν τὴν ἐξεγγύησιν. Νυνὶ δ', ὥσπερ ἐνδεικνύμενος ὅτι, κἂν ὑμῖν δοκῇ δεδέσθαι τινά, αὐτὸς ἀφήσει, τοῦτον τὸν τρόπον τὸν νόμον εἰσήνεγκεν. [78] Ἆρ' οὖν τῳ δοκεῖ συμφέρειν τῇ πόλει τοιοῦτος νόμος ὃς δικαστηρίου γνώσεως αὐτὸς κυριώτερος ἔσται καὶ τὰς ὑπὸ τῶν ὀμωμοκότων γνώσεις τοῖς ἀνωμότοις προστάξει λύειν; ἐγὼ μὲν οὐκ οἶμαι. Φαίνεται τοίνυν ὁ τούτου νόμος ταῦτ' ἔχων ἀμφότερα. Ὥστ' εἴπερ ὑμῶν ἑκάστῳ μέλει τι τῆς πολιτείας καὶ δεῖν οἴεται κυρίαν εἶναι τὴν αὐτοῦ γνώμην περὶ ὧν ἂν ὀμωμοκὼς ψηφίσηται, λυτέος καὶ οὐκ ἐατέος ὁ τοιοῦτος νόμος κύριος νυνὶ γενέσθαι.

[79] Οὐ τοίνυν ἀπέχρησεν αὐτῷ τὰ δικαστήρι' ἄκυρα ποιῆσαι τῶν προστιμημάτων, ἀλλ' οὐδ' ἃ δίκαι' ὡρίσατ' αὐτὸς ἐν τῷ νόμῳ καὶ προσέταξε τοῖς ὠφληκόσιν, οὐδὲ ταῦθ' ἁπλῶς οὐδ' ἀδόλως φανήσεται γεγραφώς, ἀλλ' ὡς ἂν

NC. 1. γέγραπται S, F. γέγραφεν vulg. — 4. Entre δεσμοῦ et νομοθετῆσαι, dans l'interligne, καὶ de l'un des reviseurs. — 6. διαθέντα F. — 11. τὰς τῶν ὀμωμοκότων γνώμας A. — 16. οὗτοσ ὁ τοιοῦτοσ (deux variantes juxtaposées ?) S. — 17. γίνεσθαι S. γεγενῆσθαι A.

qu'à leur corps défendant et aussi rarement que possible. Voy. les notes sur *Olynth.*, I, 15 et 27.

1-2. Γέγραπται, il est écrit dans sa loi. Changement de sujet. Les mots ἢ.... ἀφεῖσθαι reproduisent le texte de la loi plus librement que la citation du § 79.

4-5. Construisez νομοθετῆσαι μηδενὶ ὃς ἂν ὑμῖν ἐγγυητὰς καθιστῇ προστιμᾶν δεσμοῦ.

5-6. Προλαβόντα κατεγνωκότας, vous prenant au moment où vous avez déjà condamné, attendant que vous eussiez déjà prononcé la peine. Schol. : Λαβόντα ὑμᾶς ἤδη προκατεγνωκότας τινὸς τὸν δεσμόν, τότε λέγειν κτλ. — Προλαβόντα est aussi sous-entendu au second membre de phrase avant ἐχθρῶς διατεθέντα.

7. Ὥσπερ ἐνδεικνύμενος, comme pour faire parade de sa puissance.

11. Τὰς ὑπὸ τῶν ὀμωμοκότων γνώσεις. Le substantif γνῶσις est plus voisin de son origine verbale que γνώμη, et se construit comme τὰ γνωσθέντα.

21. Ὡς ἂν : sous-ent. γράφοι [G.-H. Schæfer.]

μάλιστά τις ὑμᾶς ἐξαπατῆσαι καὶ παρακρούσασθαι βουλόμενος. Σκέψασθε γὰρ ὡς γέγραφεν. « Τιμοκράτης εἶπεν, φησί, καὶ εἴ τινι τῶν ὀφειλόντων τῷ δημοσίῳ προστετίμηται κατὰ νόμον ἢ κατὰ ψήφισμα δεσμοῦ ἢ τὸ λοιπὸν 726 προστιμηθῇ, εἶναι αὐτῷ ἢ ἄλλῳ ὑπὲρ ἐκείνου ἐγγυητὰς καταστῆσαι, οὓς ἂν ὁ δῆμος χειροτονήσῃ, ἦ μὴν ἐκτείσειν. » [80] Ἐνθυμεῖσθ' ἀπὸ τοῦ δικαστηρίου καὶ τῆς καταγνώσεως οἷ διεπήδησεν· ἐπὶ τὸν δῆμον, ἐκκλέπτων τὸν ἠδικηκότα καὶ τὴν παράδοσιν αὐτοῦ τὴν τοῖς ἕνδεκα. Τίς γὰρ ἀρχὴ παραδώσει τὸν ὀφλόντα; τίς [τῶν ἕνδεκα] παραλήψεται; κελεύοντος μὲν τοῦ νόμου τούτου ἐν τῷ δήμῳ καθιστάναι τοὺς ἐγγυητάς, ἀδυνάτου δ' ὄντος αὐθημερὸν ἐκκλησίαν ἅμα καὶ δικαστήριον γενέσθαι, οὐδαμοῦ δ' ἐπιτάττοντος φυλάττειν ἕως ἂν καταστήσῃ τοὺς ἐγγυητάς. [81] Καίτοι τί ποτ' ἦν δι' ὃ προσγράψαι σαφῶς ὤκνησεν « τὴν δ' ἀρχὴν « τὸν ὀφλόντα φυλάττειν τέως ἂν καταστήσῃ τοὺς ἐγγυ- « ητάς; » Πότερ' οὐχὶ δίκαιον; εὖ οἶδ' ὅτι πάντες ἂν φήσαιτε. Ἀλλ' ἐναντίον ἦν τινὶ τοῦτο νόμῳ; οὔκ, ἀλλὰ μόνον κατὰ τοὺς νόμους. Τί ποτ' οὖν ἦν; οὐδὲν ἂν ἄλλο τις εὕροι πλὴν ὅτι οὐχ ὅπως δώσουσι δίκην ὧν ἂν ὑμεῖς καταγνῶτ' ἐσκόπει, ἀλλ' ὅπως μή.

[82] Εἶτα πῶς γέγραπται μετὰ ταῦτα; « καθιστάναι τοὺς ἐγγυητὰς ἦ μὴν ἐκτείσειν τὸ ἀργύριον ὃ ὦφλεν. » Ἐνταυθὶ

NC. 7. ἐνθυμεῖσθαι S¹. — 8. Dans S, le point ne se trouve pas après διεπήδησεν, mais après δῆμον. — 9. τῶν ἕνδεκα, glose écartée par Blass. — 11. κελεύοντοσ μὲν τούτου texte de S. κελεύοντοσ μὲν τοῦ νόμου τούτου reviseur en marge, vulg. — 16. τέωσ (l'esprit sur ω a été gratté) S. τε ἕως A. — 18-19. ἀλλὰ μᾶλλον κατὰ F. — 20. δώσουσιν S. — 22. S ponctue après γέγραπται.

8. Διεπήδησεν. Il sauta par-dessus les intermédiaires, en commettant une omission insidieuse (κλέπτων). L'accusateur y met une sagacité malveillante.

12. Ἀδυνάτου δ' ὄντος (construction impersonnelle).... αὐθημερόν. C'est que les citoyens qui siégeaient dans les tribunaux avaient aussi le droit de siéger dans l'assemblée du peuple, et recevaient un salaire pour chacune de ces fonctions.

16. Τέως, pour ἕως, sans motif d'euphonie, est conforme au style des lois. Cf. § 63 sq.

18-19. Ἀλλὰ μόνον κατὰ τοὺς νόμους; toute autre disposition eût été contraire aux lois.

20. Avant ὧν ἄν, sous-entendez ἐκεῖνοι.

πάλιν τῶν ἱερῶν μὲν χρημάτων τὴν δεκαπλασίαν ὑφήρηται, τῶν δ' ὁσίων, ὁπόσων ἐν τῷ νόμῳ διπλασιάζεται, τὸ ἥμισυ. Πῶς δὴ τοῦτο ποιεῖ; γράψας ἀντὶ μὲν τοῦ τιμήματος τὸ ἀργύριον, ἀντὶ δὲ τοῦ « τὸ γιγνόμενον », « ὃ ὤφλεν ». [83] Διαφέρει δὲ τί; εἰ μὲν ἔγραψε καθιστάναι τοὺς ἐγγυητὰς ἦ μὴν ἐκτείσειν τὸ τίμημα τὸ γιγνόμενον, προσπεριειλήφει τοὺς νόμους ἄν, καθ' οὓς τὰ μὲν διπλᾶ,
727 τὰ δὲ καὶ δεκαπλᾶ γίγνεται τῶν ὀφλημάτων· ὥστ' ἐκ τούτων ἦν ἀνάγκη τοῖς ὀφλοῦσι τὸ γεγραμμένον τ' ἐκτίνειν καὶ τὰς ἐκ τῶν νόμων προσούσας ζημίας καταβάλλειν. Νῦν δ', ἐν τῷ γράψαι « τὴν κατάστασιν εἶναι τῶν ἐγγυητῶν ἦ « μὴν ἐκτείσειν τὸ ἀργύριον ὃ ὤφλεν », ἐκ τῆς λήξεως καὶ τῶν γραμμάτων ἐφ' οἷς ἕκαστος εἰσήχθη ποιεῖ τὴν ἔκτισιν, ἐν οἷς πᾶσιν ἁπλοῦν, ὅ τις ὤφλεν, ἀργύριον γέγραπται.

[84] Μετὰ ταῦτα τοίνυν, τηλικοῦτο πρᾶγμ' ἀνελὼν ἐν τῇ τῶν ῥημάτων μεταθέσει, προσέγραψεν « τοὺς δὲ « προέδρους ἐπιχειροτονεῖν ἐπάναγκες, ὅταν τις καθιστάναι

NC. 1. τῶν ἱερῶν μὲν A, Blass. τῶν μὲν ἱερῶν vulg. τῶν ἱερῶν S seul. — 2. ἐν νόμῳ S seul. — 7. Je corrige la leçon τὰ μὲν δεκαπλᾶ, τὰ δὲ καὶ διπλᾶ, inconciliable avec la particule καί, *vel.* — 11. δ' ἐν τῶι S, B. δὲ τῷ vulg.

1. Τὴν δεκαπλασίαν. Pour être tout à fait exact, il aurait dû dire τὴν ἐνεαπλασίαν. La tournure dont il s'est servi dans le membre de phrase suivant est plus exacte.

2-3. Τῶν δ' ὁσίων.... τὸ ἥμισυ, et quant aux créances non sacrées (cf. § 9, note), la moitié du montant où les porte le doublement légal. Ὁπόσων, génitif qui dépend directement de τὸ ἥμισυ, marque la quantité mieux que n'aurait fait ὧν.

3-4. Ἀντὶ μὲν τοῦ τιμήματος équivaut à ἀντὶ μὲν τοῦ « τὸ τίμημα ». Comme deux substantifs sont opposés, le sens de ce membre de phrase est très clair. Mais ἀντὶ δὲ τοῦ γιγνομένου ὃ ὤφλεν eût été obscur.

6. Τὸ τίμημα τὸ γιγνόμενον, le montant de l'estimation. La locution τὸ γιγνόμενον indique le résultat d'un calcul.

7. Προσπεριειλήφει. Cf. § 44.

9. Τὸ γεγραμμένον. Scholiaste : αὐτὸ τὸ ἀρχαῖον, « le principal ». Cf. τῶν γραμμάτων... ἐν οἷς ἁπλοῦν ἀργύριον γέγραπται, l. 13.

11. Ἐν τῷ γράψαι. Voy., sur cet emploi de ἐν, la note sur *Cour.*, § 289.

12. Ἐκ τῆς λήξεως, d'après la plainte du demandeur. Ce terme, qui vient de la locution λαγχάνειν δίκην, est en quelque sorte expliqué dans les mots que l'orateur ajoute, καὶ τῶν γραμμάτων ἐφ' οἷς ἕκαστος εἰσήχθη.

14. Πᾶσιν, toujours, chaque fois. [Wayte.] Ce mot répond à ἕκαστος (l. 13) et équivaut à ἑκάστοτε.

15. Μετὰ ταῦτα.... C'est ici que l'orateur passe à une autre partie du texte de la loi de Timocrate (τόπος ἐφ' ἕτερον μέρος μεταβαίνων τοῦ νόμου), partie qu'il se contentera de citer lui-même à mesure qu'il en discutera les clauses, tandis qu'il avait fait lire par le greffier la première partie (τὸ πρῶτον μέρος) au § 71.

16. Ἐν τῇ τῶν ῥημάτων μεταθέσει.

« βούληται », παρὰ πάντα τὸν νόμον οἰόμενος δεῖν σῴζειν τὸν ἠδικηκότα καὶ τὸν ἐν ὑμῖν ἡλωκότα. Δοὺς γὰρ ὅταν βούληται τὴν κατάστασιν αὐτῷ τῶν ἐγγυητῶν, ἐπ' ἐκείνῳ πεποίηκε μηδέποτ' ἐκτεῖσαι μηδὲ δεθῆναι. [85] Τίς γὰρ οὐ ποριεῖται φαύλους ἀνθρώπους, οὓς ὅταν ὑμεῖς ἀποχειροτονήσητ' ἠπαλλάξεται. Ἐὰν γάρ τις ὡς οὐ καθιστάντα τοὺς ἐγγυητὰς ἀξιοῖ δεδέσθαι, φήσει καὶ καθιστάναι καὶ καταστήσειν, καὶ δείξει τὸν τούτου νόμον, ὃς καθιστάναι μὲν ὅταν βούληται κελεύει, φυλάττειν δὲ τέως οὐ λέγει, οὐδ', ἂν ἀποχειροτονήσηθ' ὑμεῖς τοὺς ἐγγυητάς, προστάττει δεδέσθαι, ἀλλ' ὡς ἀληθῶς ὥσπερ ἀλεξιφάρμακόν ἐστι τοῖς ἀδικεῖν βουλομένοις.

[86] « Τῷ δὲ καταστήσαντι, φησί, τοὺς ἐγγυητάς, ἐὰν ἀποδιδῷ τῇ πόλει τὸ ἀργύριον. » Πάλιν ἐνταῦθ' ἐπέμεινεν ἐπὶ τοῦ κακουργήματος ὃ μικρῷ πρότερον εἶπον, καὶ οὐκ ἐπελάθετο, οὐδ' ἔγραψε τὸ τίμημα τὸ γιγνόμενον, ἀλλὰ τὸ ἀργύριον ὃ ὦφλεν, ἐὰν ἀποδιδῷ, ἀφεῖσθαι τοῦ δεσμοῦ. **728**

[87] « Ἐὰν δὲ μὴ καταβάλῃ τὸ ἀργύριον ἢ αὐτὸς ἢ οἱ ἐγ-

NC. 1. παρ' ἅπαντα S seul. — 6. ἠπαλλάξεται Cobet. ἀπαλλάξετε A, Y. ἀπαλλάξονται S, F. Cf. *Lept.*, § 28, NC. — 7. φήσῃ et δείξῃ S, mais les signes de renvoi au-dessus des deux η vicieux indiquent que le copiste lui-même voulait ajouter les corrections en marge. — 10. προστάττει δεδέσθαι S. δεδέσθαι προστάττει vulg. — 14. Après ἀργύριον, la plupart des éditions portent ἐφ' ᾧ κατέστησε τοὺς ἐγγυητάς, ἀφεῖσθαι (ἀφεῖναι vulg.) τοῦ δεσμοῦ, mots inutiles, qui manquent dans A, Y, S[1], mais que le reviseur de S a ajoutés en bas de la page. La locution ἀφεῖσθαι τοῦ δεσμοῦ, bien placée plus bas, est incorrecte ici. Cf. § 40. — 15. τοῦ μικρῷ πρότερον [εἶπον] Blass. — εἶπε A.

C'est la substitution des termes critiquée dans les deux paragraphes précédents.

1. Παρὰ πάντα τὸν νόμον « per totam legem suam. » [Reiske.]

3. Ἐπ' ἐκείνῳ πεποίηκε, il a fait en sorte qu'il fût au pouvoir du débiteur.

4-6. Τίς γὰρ οὐ.... ἠπαλλάξεται, qui ne pourra se procurer de méchantes cautions, qu'il suffira de laisser rejeter par vous pour être libéré, c.-à-d. qu'il suffira d'avoir présentées, qu'elles soient acceptées par vous ou non. Mais l'orateur choisit un tour plus sarcastique.

8. Καθιστάναι.... ὅταν βούληται. L'accusateur torture ces mots fort inoffensifs pour en faire sortir des conséquences imprévues, qui durent étonner Timocrate tout le premier.

11. Ἀλεξιφάρμακον, un préservatif contre le mal des peines légales.

15. Μικρῷ πρότερον. Cf. § 82-83.

15-16. Καὶ οὐκ ἐπελάθετο : il a bonne mémoire quand il s'agit de frauder le trésor public.

17. Ἀφεῖσθαι τοῦ δεσμοῦ. Cet infinitif a le même sujet que les verbes ὦφλεν et ἀποδιδῷ. Il faut sous-entendre l'accusatif αὐτόν, non le datif αὐτῷ.

« γυηταὶ ἐπὶ τῆς ἐνάτης πρυτανείας, τὸν μὲν ἐξεγγυηθέντα « δεδέσθαι, τῶν δ' ἐγγυητῶν δημοσίαν εἶναι τὴν οὐσίαν. » Ἐν δὴ τῷ τελευταίῳ τούτῳ παντελῶς αὐτὸς αὑτοῦ κατήγορος, ὡς ἀδικεῖ, γεγονὼς φανήσεται. Οὐ γὰρ ὅλως τὸ δεδέσθαι τινὰ τῶν πολιτῶν αἰσχρὸν ἢ δεινὸν νομίσας ἀπεῖπε μὴ δεῖν, ἀλλά, τὸν καιρὸν ἐν ᾧ τὸν ἠδικηκότ' ἐνῆν παρόντα λαβεῖν ἐκκλέψας, τοὔνομα μὲν τῆς τιμωρίας ἔλιπεν τοῖς ἀδικουμένοις ὑμῖν, τὸ δ' ἔργον ἀφείλετο. Καὶ παρ' ἀκόντων ἔδωκεν ἄφεσιν τοῖς τὰ ὑμέτερ' ἀξιοῦσιν ἔχειν βίᾳ, καὶ μόνον οὐ προσέγραψε δίκην ἐξεῖναι λαχεῖν αὐτῷ κατὰ τῶν δικαστῶν τῶν προστιμησάντων τοῦ δεσμοῦ.

[88] Ὃ δέ, πολλῶν ὄντων καὶ δεινῶν ὧν ἐν τῷ νόμῳ τέθεικε, μάλιστ' ἄξιόν ἐστ' ἀγανακτῆσαι, βούλομαι πρὸς ὑμᾶς εἰπεῖν. Δι' ὅλου γὰρ τοῦ νόμου τῷ καταστήσαντι τοὺς ἐγγυητὰς ἅπαντα λέγει, τῷ δὲ μὴ καθιστάντι μήτε βελτίους μήτε χείρους, μηδ' ὅλως προσέχοντι τὸν νοῦν ὑμῖν, οὐδεμίαν οὔτε δίκην οὔτε τιμωρίαν προσγέγραφεν, ἀλλ' ἄδειαν πεποίηκε τοσαύτην ὅσην οἷόν τε γενέσθαι πλείστην. Καὶ γὰρ τὸν χρόνον ὃν διώρισε, τὴν ἐνάτην πρυτανείαν, τῷ καταστήσαντι λέγει [τοὺς ἐγγυητάς]. [89] Γνοίη δ' ἄν τις ἐκεῖθεν· προσέγραψε δημοσίαν εἶναι τὴν οὐσίαν τὴν τῶν ἐγγυητῶν, ἂν μή τις ἐκτείσῃ· τοῦ δὲ μὴ καταστήσαντος οὐκ ἔνι δήπουθεν ὑπάρχειν ἐγγυητάς. Καὶ τοῖς μὲν προέδροις, οἳ κεκληρωμένοι καθίζουσιν ἐξ ὑμῶν, ἐπάναγκες ἐποίησεν, ὅταν καθιστῇ τις, δέχεσθαι· τοῖς δ' ἀδικοῦσι τὴν πόλιν οὐδεμίαν προσέγραψεν ἀνάγκην, ἀλλ' ὥσπερ εὐεργέταις
729 αἵρεσιν αὐτοῖς ἔδωκεν εἰ χρὴ δοῦναι δίκην ἢ μή.

NC. 7. μὲν omis par S[1]. — 8. ὑμῖν λαβεῖν F. — 9. ἡμέτερα S, A. — 16. μήθ' ὅλωσ S, vulg. — 20. J'écarte τοὺς ἐγγυητάς. — γνοίην S. — 21. προσέγραψεν S. — 25. καθίστη S.

6-7. Τὸν καιρὸν.... ἐκκλέψας, comme ἐκκλέπτων τὸν ἠδικηκότα au § 80.

14-15. Τῷ καταστήσαντι.... ἅπαντα λέγει, toutes les clauses de sa loi visent le débiteur qui aura fourni des cautions. Il va sans dire que celui qui n'en fournit pas sera traité suivant la rigueur de la loi ; mais l'accusateur découvre une profonde scélératesse dans une omission très naturelle.

17. Δίκην, action, poursuite judiciaire. [Dareste.]

24. Ἐξ ὑμῶν, parmi vous, c.-à-d. parmi les citoyens (non, parmi les juges).

[90] Καίτοι πῶς ἂν ἀσυμφορώτερος ὑμῖν τούτου γένοιτο νόμος ἢ κάκιον ἔχων; ὃς πρῶτον μὲν περὶ τῶν ἐκ τοῦ παρεληλυθότος χρόνου κριθέντων ἐναντία τοῖς ὑφ' ὑμῶν ἐγνωσμένοις προστάττει· δεύτερον δὲ περὶ τῶν μελλόντων κριθήσεσθαι, προστιμᾶν κελεύων τοὺς δικαστὰς τοὺς ὀμωμοκότας, ἄκυρα τὰ προστιμήματα ποιεῖ· πρὸς δὲ τούτοις ἐπιτίμους τοὺς ὀφείλοντας οὐ τὰ προσήκοντ' ἐκτίνοντας καθίστησιν, ὅλως δ' ἐπιδείκνυσι μάτην ὀμνύντας, τιμῶντας, δικάζοντας, ὀργιζομένους, ἅπαντα ποιοῦντας ὑμᾶς. Ἐγὼ μὲν γάρ, εἰ Κριτίας, ὁ γενόμενος τῶν τριάκοντα, εἰσέφερεν τὸν νόμον, οὐκ ἂν ἄλλον τρόπον οἶμαι γράψαντ' εἰσενεγκεῖν ἢ τοῦτον.

[91] Ὅτι τοίνυν ὅλην συγχεῖ τὴν πολιτείαν καὶ καταλύει πάντα τὰ πράγμαθ' ὁ νόμος, καὶ πολλὰς φιλοτιμίας περιαιρεῖται τῆς πόλεως, καὶ τοῦτο ῥᾳδίως ὑμᾶς νομίζω μαθήσεσθαι. Ἴστε γὰρ δήπου τοῦθ', ὅτι σῴζεται πολλάκις ἡμῶν ἡ πόλις διὰ τὰς στρατείας καὶ τὰς ναυτικὰς καὶ τὰς πεζάς, καὶ πολλὰ καὶ καλὰ πολλάκις ἤδη διεπράξασθε καὶ σώσαντές τινας καὶ τιμωρησάμενοι καὶ διαλλάξαντες. [92] Πῶς οὖν ἀνάγκη τὰ τοιαῦτα διοικεῖν ἐστιν; διὰ ψηφισμάτων καὶ νόμων τοῖς μὲν εἰσφέρειν ἐπιτάττοντας, τοὺς δὲ τριηραρχεῖν κελεύοντας, τοὺς δὲ πλεῖν, τοὺς δ' ἕκαστα ποιεῖν ὧν δεῖ. Οὐκοῦν ταῦθ' ὅπως γίγνηται, δικαστήρια

NC. 4. δ' ὑπὲρ τῶν Blass. — 14. ὁ νόμος : mots écartés par Blass, toujours pour le même motif, éviter l'accumulation des brèves. — 20. ταῦτα A. Une lettre grattée entre τὰ et τοιαῦτα semble indiquer que le copiste de S était sur le point de commettre la même erreur d'omission. — ἐστιν S (ἐστὶ vulg.), et point de ponctuation après πῶς οὖν. Aussi faut-il, avec Dobree, transporter le point d'interrogation après ἐστίν. Autrement l'orateur aurait supprimé ce verbe.

5. Κελεύων, tout en prescrivant.

7-8. Οὐ τὰ προσήκοντ' ἐκτίνοντας ne veut pas dire « qui ne s'acquittent pas de leurs obligations ». Pour faire ce sens, il faudrait μή. La négation οὐ fait corps avec τὰ προσήκοντα : la loi de Timocrate réhabilite les débiteurs publics qui n'ont acquitté qu'une partie de ce qu'ils devraient payer d'après la loi. Voy. § 82-83.

9. Τιμῶντας, évaluant, fixant des peines, τιμήματα. — Ὀργιζομένους. Entendez la colère légitime, l'indignation provoquée par les attentats contre la loi.

23-1. Δικαστήρια πληροῦτε, vous composez les tribunaux de manière à parfaire le nombre de juges (nombre quelquefois très élevé) qui est requis pour chaque espèce de cause. Or tous ces juges doi-

πληροῦτε καὶ καταγιγνώσκετε δεσμὸν τῶν ἀκοσμούντων. Σκέψασθε δὴ τὸν τοῦ καλοῦ κἀγαθοῦ τούτου νόμον, ὡς λυμαίνεται ταῦτα καὶ διαφθείρει. [93] Γέγραπται γὰρ δήπου [ἐν τῷ νόμῳ αὐτοῦ], « καὶ εἴ τινι τῶν ὀφειλόντων
730 « προστετίμηται δεσμοῦ ἢ καὶ τὸ λοιπὸν προστιμηθῇ, « εἶναι καταστήσαντι ἐγγυητὰς, ἦ μὴν ἐπὶ τῆς ἐνάτης « πρυτανείας ἐκτείσειν τὸ ἀργύριον, ἀφεῖσθαι τοῦ δεσμοῦ.» Τίς οὖν πόρος ἔσται; τίν' ἀποσταλήσεται τρόπον ἡ στρατιά; πῶς τὰ χρήματ' εἰσπράξομεν, ἐὰν εἷς ἕκαστος ὀφλισκάνων ἐγγυητὰς καθιστῇ κατὰ τὸν τούτου νόμον, ἀλλὰ μὴ τὸ προσῆκον ποιῇ; [94] Ἐροῦμεν νὴ Δία τοῖς Ἕλλησιν « Τιμοκράτους νόμος ἐστὶ παρ' ἡμῖν· ἀναμείνατ' οὖν τὴν ἐνάτην « πρυτανείαν· εἶτά ποτ' ἔξιμεν »· τοῦτο γὰρ λοιπόν. Ἂν δ' ὑπὲρ ὑμῶν αὐτῶν ἀμύνεσθαι δέῃ, ἆρά γ' οἴεσθε τοὺς ἐχθροὺς τὰς τῶν παρ' ἡμῖν πονηρῶν διαδύσεις καὶ κακουργίας ἀναμενεῖν; ἢ τὴν πόλιν, αὐτὴν ἐμποδίζοντας νόμους εἰ θήσεται καὶ τἀναντία τῶν συμφερόντων λέγοντας, δυνήσεσθαί τι ποιῆσαι τῶν δεόντων; [95] Ἀλλ' ἀγαπητὸν, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ πάντων καλῶς ἐχόντων ἡμῖν καὶ μηδενὸς ὄντος τοιούτου νόμου, κρατοῖμεν τῶν ἐχθρῶν καὶ ταῖς ὀξύτησι δυναίμεθα [καὶ] τοῖς τοῦ πολέμου καιροῖς ἀκολουθεῖν καὶ μηδενὸς ὑστερίζειν. Ἀλλὰ μὴν εἰ φαίνει τοιοῦ-

NC. 4. ἐν τῷ νόμῳ αὐτοῦ, mots écartés par Benseler, comme inutiles et choquant par deux hiatus. — 9. εἰσπράξωμεν S. — εἷς, avant ἕκαστος, est omis dans S, A, Y. — 12. ἐστιν S. — 13. ποτ' S[1] seul. πότ' reviseur. τότ' vulg. — 14. ἡμῶν S, F. — 17. θήσετε vulg., noté en marge de S. — 17-18. δυνήσεσθέτι S, A, F. — 21. δυναίμεθ' ἂν A, F. — J'écarte καὶ. — 22. καὶ μὴν A. — φαίνῃ, η sur grattage, S[1].

vent être payés, il faut pourvoir à leur salaire.

1. Τῶν ἀκοσμούντων, les récalcitrants.

11. Ἐροῦμεν νὴ Δία τοῖς Ἕλλησιν. Rien n'est plus juste que l'éloge que les commentateurs anciens font de ce passage : ἡ χάρις μετὰ θυμοῦ μεμιγμένη· τοιοῦτος γὰρ ὁ ῥήτωρ, dit le scholiaste.

13. Εἶτά ποτ' ἔξιμεν, « tunc tandem exibimus ». C'est ainsi qu'on dit ὀψέ ποτε.

18. Ἀγαπητόν, il faudrait nous estimer heureux.

21. Ταῖς ὀξύτησι, par notre promptitude, par la promptitude de nos armements et de nos expéditions. Si l'orateur avait entendu parler de ταῖς τοῦ πολέμου ὀξύτησι, il aurait placé les mots autrement ; mais il veut certainement opposer les ὀξύτητες des Athéniens à τοῦ πολέμου καιροῖς. Aussi supprimons-nous la conjonction καί.

τον τεθεικὼς νόμον, ὃς τὰ τοιαῦτα λυμαίνεται δι' ὧν ἡ πόλις καὶ σεμνὴ καὶ λαμπρὰ παρὰ πᾶσι καθέστηκεν, πῶς οὐχὶ δικαίως ὁτιοῦν ἂν πάθοις;

[96] Ἔτι τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν διοίκησιν ἀναιρεῖ, τήν θ' ἱερὰν καὶ τὴν ὁσίαν. Ὡς δὲ, ἐγὼ φράσω. Ἔστιν ὑμῖν κύριος νόμος, καλῶς εἴπερ τις καὶ ἄλλος κείμενος, τοὺς ἔχοντας τά θ' ἱερὰ καὶ τὰ ὅσια χρήματα καταβάλλειν εἰς τὸ βουλευτήριον, εἰ δὲ μὴ, τὴν βουλὴν αὐτοὺς εἰσπράττειν χρωμένην τοῖς νόμοις τοῖς τελωνικοῖς. [97] Διὰ τοίνυν τοῦ νόμου τούτου διοικεῖται τὰ κοινά· τὰ γὰρ εἰς 731 τὰς ἐκκλησίας καὶ τὰς θυσίας καὶ τὴν βουλὴν καὶ τοὺς ἱππέας καὶ τἄλλα χρήματ' ἀναλισκόμενα, οὗτός ἐσθ' ὁ νόμος ὁ ποιῶν προσευπορεῖσθαι. Οὐ γὰρ ὄντων ἱκανῶν τῶν ἐκ τῶν τελῶν χρημάτων τῇ διοικήσει, τὰ προσκαταβλήματ' ὀνομαζόμενα διὰ τὸν τοῦ νόμου τούτου φόβον καταβάλλεται. [98] Πῶς οὖν οὐχ ἅπαντ' ἀνάγκη καταλυθῆναι τὰ τῆς πόλεως, ὅταν αἱ μὲν τῶν τελῶν καταβολαὶ μὴ ὦσιν ἱκαναὶ τῇ διοικήσει, ἀλλ' ἐνδέῃ πολλῶν, καὶ μηδὲ ταῦτ' ἀλλ' ἢ

NC. 2. λαμπρὰ καὶ σεμνὴ A. — πᾶσιν S. — 11. καὶ τὰσ οὐσίασ S. — Cobet insère καὶ τὰ δικαστήρια après τὰς ἐκκλησίας. On pourrait aussi suppléer καὶ τοὺς δικαστὰς avant καὶ τοὺς ἱππέας. — 12-13. ὁ νόμος : mots écartés par Blass. — προευπορεῖσθαι A. — 14. προκαταβλήματ', ici et p. 116, 1, Cobet. Voy. la note explicative. — 17. ὦσιν ἱκαναὶ Benseler : ἱκαναὶ ὦσιν mss. — 18. ἐνδεῇ S. ἐνδεεῖς vulg.

9. Χρωμένην τοῖς νόμοις τοῖς τελωνικοῖς, en leur appliquant les lois rigoureuses auxquelles étaient soumis les fermiers des impôts.

13. Προσευπορεῖσθαι. Quel est le complément de ressources financières procurées ainsi ? les mots suivants l'expliquent.

14. Τὰ προσκαταβλήματ' ὀνομαζόμενα. Ces versements additionnels sont ceux qui proviennent des condamnations au double et au décuple dont il a été question au § 83, et dont la loi de Timocrate prive l'État. Le scholiaste dit bien : Αὐτὰ τὰ προστιμήματα τοῖς χρεωστοῦσι.... οἵ, ὡς ἤδη ἔγνωμεν, κατέβαλλον τὰ διπλᾶ. Cf. A. Schæfer, *Demosth.*, I, p. 342, note. Il cite à propos la périphrase de προσκαταβλήματα que l'orateur donne lui-même au § 83 : Ἦν ἀνάγκη τοῖς ὀφλοῦσι τὸ γεγραμμένον τ' ἐκτίνειν καὶ τὰς ἐκ τῶν νόμων προσούσας ζημίας καταβάλλειν. Il ne peut s'agir ici du προσκατάβλημα des fermiers d'impôts dont Suidas et Photios parlent à l'article προκαταβολὴ καὶ προσκατάβλημα : ces fermiers sont hors de cause. On ne doit pas non plus penser, en écrivant προκαταβλήματα, à l'avance des contributions (προεισφορά) qui est mentionnée dans la *Midienne*, § 153 ; les retards des contribuables n'étaient pas si sévèrement punis (cf. § 166, ou *Androt.*, § 54), et l'impôt direct était un impôt extraordinaire levé seulement en temps de guerre.

18. Ταῦτα, cela. Le pluriel neutre se rapporte à l'idée d'argent contenue dans

περὶ λήγοντα τὸν ἐνιαυτὸν ἢ λαβεῖν, τὰ δὲ προσκαταβλήματα τοὺς μὴ τιθέντας μὴ κυρία ᾖ ἡ βουλὴ μηδὲ τὰ δικαστήρια δῆσαι, ἀλλὰ καθιστῶσιν ἐγγυητὰς ἄχρι τῆς ἐνάτης πρυτανείας; [99] Τὰς δ' ὀκτὼ τί ποιήσομεν; εἰπὲ, Τιμόκρατες. Οὐ σύνιμεν καὶ βουλευσόμεθ' ἄν τι δέῃ· εἶτ' ἔτι δημοκρατησόμεθα; Οὐ δικάσει τὰ δικαστήρια τά τ' ἴδια καὶ τὰ δημόσια· καὶ τίς ὑπάρξει τοῖς ἀδικουμένοις ἀσφάλεια; Οὐκ εἴσεισιν ἡ βουλὴ καὶ διοικήσει τὰ ἐκ τῶν νόμων· καὶ τί λοιπὸν ἔσθ' ἡμῖν ἀλλ' ἢ καταλελύσθαι; Ἀλλὰ νὴ Δί' ἀμισθὶ ταῦτα ποιήσομεν· καὶ πῶς οὐ δεινὸν, εἰ διὰ τὸν νόμον, ὃν σὺ τέθεικας μισθὸν λαβὼν, ἄμισθος ὁ δῆμος καὶ ἡ βουλὴ καὶ τὰ δικαστήρι' ἔσται; [100] Χρῆν γὰρ τοῦτό γέ σ', ὦ Τιμόκρατες, προσγράψαι τῷ νόμῳ, ὅπερ ἐποίεις κατὰ τῶν τελωνῶν καὶ τῶν ἐγγυητῶν [τὰς πράξεις κατὰ τοὺς ὑπάρχοντας νόμους], « καὶ εἰ κατά τινων ἐν « ἄλλῳ τινὶ νόμῳ ἢ ψηφίσματι τὰς αὐτὰς εἴρηται πράξεις « ὧν ὀφείλουσιν εἶναι ἃς περὶ τῶν τελωνῶν, καὶ κατὰ « τούτων εἶναι τὰς πράξεις κατὰ τοὺς ὑπάρχοντας νόμους. »
732 [101] Νῦν δὲ κύκλῳ φεύγων τοὺς νόμους τοὺς τελωνικοὺς, ὅτι τὸ ψήφισμα τὸ Εὐκτήμονος εἴρηκε πράττειν τοὺς

NC. 2. μὴ ᾖ κυρία δεῖν ἡ βουλὴ A. — 5. ἂν Blass. ἐὰν mss. — 6-7. τάς τ' ἰδίας καὶ τὰς δημοσίας Blass. — 14-15. τὰς πράξεις κατὰ τοὺς ὑπάρχοντας νόμους : glose écartée par G.-H. Schæfer.

le féminin καταβολαί. Cf. *Olynth.*, III, 11, ταῦτα se rapportant à νόμους, et la note sur *Olynth.*, II, 5.

5. Οὐ σύνιμεν, nous ne nous réunirons pas. Les éditeurs mettent un point d'interrogation à la fin de cette proposition et des propositions parallèles qui vont suivre. Je crois qu'ils ont tort. L'usage veut que la négation οὐ placée ainsi en tête d'une phrase interrogative ait le sens de *nonne*. Voy. *Plaid. pol.*, I, p. VI, note.

8. Διοικήσει. Le Sénat des Cinq-Cents était particulièrement chargé de l'administration des finances. Wayte fait observer avec raison que le verbe διοικεῖν a ici, comme dans tout ce morceau, ce sens précis.

9. Ἀλλ(ὰ) ἤ, *nisi*. Hellénisme. Cf. p. 115, l. 18, passage qui prouve bien qu'il ne faut pas écrire ici ἄλλ(ο) ἤ.

11. Μισθὸν λαβών : trait imprévu, et d'autant plus efficace.

13-14. Ὅπερ ἐποίεις équivaut à ὅπερ προσέγραψας.

16-17. Τὰς αὐτὰς.... τελωνῶν. Construisez εἴρηται εἶναι πράξεις ὧν ὀφείλουσιν τὰς αὐτὰς ἃς (c.-à-d. αἵ εἰσιν) περὶ τῶν τελωνῶν.

19. Κύκλῳ φεύγων. Cf. *Aristog.*, I, 36 : Τὴν μὲν ὀρθὴν ὁδὸν τῆς ἀπολογίας οὗτος φεύξεται, ἔξωθεν δὲ κύκλῳ περίεισιν.

20. Τὸ ψήφισμα τὸ Εὐκτήμονος. Voy. § 13.

ὠφληκότας κατὰ τούτους τοὺς νόμους, διὰ ταῦτ' οὐ προσέγραψε τοῦτο. Ἐκ δὲ τούτου τοῦ τρόπου, τὴν μὲν ὑπάρχουσαν τιμωρίαν λύσας κατὰ τῶν τὰ τῆς πόλεως ἐχόντων, ἑτέραν δ' οὐ γράψας, πάντα τὰ πράγματ' ἀναιρεῖ, δῆμον, ἱππέας, βουλήν, ἱερά, ὅσια· ἀνθ' ὧν, ἄνπερ ὑμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, σωφρονῆτε, κολασθεὶς καὶ δοὺς ἀξίαν δίκην τοῖς ἄλλοις παράδειγμα γενήσεται μὴ τιθέναι τοιούτους νόμους.

[102] Οὐ τοίνυν μόνον τὰ δικαστήρι' ἄκυρα ποιεῖ τῶν προστιμημάτων, τοῖς ἀδικοῦσι τὰ κοινὰ δίδωσιν ἄδειαν, τὰς ὑπὲρ τῆς πόλεως στρατείας λυμαίνεται, τὴν διοίκησιν καταλύει, ἀλλὰ καὶ τοῖς κακούργοις καὶ τοῖς πατραλοίαις καὶ τοῖς ἀστρατεύτοις βοηθοῦντα τέθεικε τὸν νόμον. Τὰς γὰρ ὑπαρχούσας ἐκ τῶν νῦν κυρίων νόμων τιμωρίας καταλύει. [103] Λεγόντων γὰρ τῶν νόμων οὓς ἔθηκε Σόλων, οὐδὲν ὅμοιος ὢν τούτῳ νομοθέτης, ἐάν τις ἁλῷ κλοπῆς καὶ μὴ τιμηθῇ θανάτου, προστιμᾶν αὐτῷ δεσμόν, κἄν τις ἁλοὺς [τῆς] κακώσεως τῶν γονέων εἰς τὴν ἀγορὰν ἐμβάλλῃ, δεδέσθαι, κἂν ἀστρατείας τις ὄφλῃ καί τι τῶν αὐτῶν τοῖς ἐπιτίμοις ποιῇ, καὶ τοῦτον δεδέσθαι, Τιμοκράτης ἅπασι τούτοις ἄδειαν

NC. 4. γράψασ S seul. προσγράψας vulg., erreur évidente. — 5. ἡμεῖσ S. — 10. ἀλλὰ καὶ τοῖς ἀδικοῦσι mss. Nous avons introduit dans le texte l'évidente correction de Dobree qui demandait la transposition de ἀλλὰ καί avant τοῖς κακούργοις, l. 12. L'erreur s'explique par une omission mal réparée. La scholie de S τόπος ἀθροίζων τὰ προειρημένα καὶ συνάπτων τὰ μέλλοντα suppose un texte correct. — 17. δεσμοῦ Y. — κἄν A. καὶ ἐάν S. Cf. l. 19. — J'écarte τῆς. « Fortasse erant duæ « lectiones, τις ἁλούς et ἁλούς τις. » [Dobree]. — 20. δ' ἅπασι A, Y, leçon recommandable.

1-2. Διὰ ταῦτ' οὐ προσέγραψε ταῦτα. En effet, s'il avait ajouté la clause formulée au § 100, les mots ἐν.... ψηφίσματι auraient exposé Androtion et consorts, ainsi que le prescrivait le pséphisma d'Euctémon, aux rigueurs de la loi sur les fermiers d'impôts.

12. Τοῖς κακούργοις a ici le sens précis de malfaiteurs, c.-à-d. voleurs, brigands. — Τοῖς πατραλοίαις, à ceux qui frappent leurs parents. Tel est le sens étymologique de ce mot malsonnant qui sert à désigner quiconque manque aux obligations légales des fils envers leurs parents vivants et morts. Cf. § 107.

16-17. Μὴ τιμηθῇ θανάτου. Cf. § 113.

18. Εἰς τὴν ἀγορὰν ἐμβάλλῃ (se sera intrus). Cf. § 60.

19. Κἂν ἀστρατείας τις ὄφλῃ, si quelqu'un est condamné comme réfractaire : condamnation qui privait, elle aussi, des droits de citoyen, frappait d'*atimie*.

ποιεῖ, τῇ καταστάσει τῶν ἐγγυητῶν τὸν δεσμὸν ἀφαιρῶν. [104] Ὥστ' ἔμοιγε δοκεῖ (καὶ γὰρ εἰ φορτικώτερον εἶναι τὸ ῥηθησόμενον δόξει, λέξω καὶ οὐκ ἀποτρέψομαι) κατὰ τοῦτ' αὔτ' ἄξιον αὐτὸν εἶναι θανάτῳ ζημιῶσαι, ἵν' ἐν Ἅιδου θῇ τοῖς ἀσεβέσιν τοῦτον τὸν νόμον, ἡμᾶς δὲ τοὺς ζῶντας τοῖσδε
733 τοῖς ὁσίοις καὶ δικαίοις ἐᾷ τὸ λοιπὸν χρῆσθαι. Ἀνάγνωθι δὲ
καὶ τούτους τοὺς νόμους.

ΝΟΜΟΙ ΚΛΟΠΗΣ, ΚΑΚΩΣΕΩΣ ΓΟΝΕΩΝ, ΑΣΤΡΑΤΕΙΑΣ.

[105] « Ὅ τι ἂν τις ἀπολέσῃ, ἐὰν μὲν αὐτὸ λάβῃ, τὴν διπλασίαν καταδικάζειν, ἐὰν δὲ μή, τὴν δεκαπλασίαν πρὸς

NC. 3. ἀποτρέψομαι S, A, Y. ἀποκρύψομαι, noté en marge de S par le reviseur, est la vulgate. Cf. § 200 et § 1. — 4-5. θῇ avant τοῖς Isidore de Péluse, *Ep.* III, 260; avant τοῦτον mss. — ἀσεβέσιν, avec S. — 10. ἀπολάβῃ Taylor. — 11. τὴν δεκαπλασίαν. Cf. la note explicative.

1. Τόν δεσμὸν ἀφαιρῶν. Il ne s'agit pas de la prison provisoire, mais de celle que le condamné subit jusqu'à l'acquittement de l'amende. Cf. § 105. Toutefois le δεσμός des voleurs est tout différent, et l'on ne voit pas comment la loi de Timocrate a pu l'abolir implicitement.

2. Φορτικώτερον est ce qui peut choquer le bon goût, ce qui sort du ton de la bonne société. Démosthène excuse un mot hyperbolique, d'une énergie quelque peu vulgaire.

4-5. Ἐν Ἅιδου τοῖς ἀσεβέσιν. Cf. *Aristog.*, § 53. *Hymn. hom.*, III, 259 : Ὑπὸ γαίῃ ‖ ἐρρήσεις ὀλοοῖσιν ἐν ἀνδράσιν ἡγεμονεύων. Aristophane, *Gren.*, 771 : Ὅτε δὴ κατῆλθ' Εὐριπίδης, ἐπεδείκνυτο ‖ τοῖς λωποδύταις καὶ τοῖς βαλαντιητόμοις ‖ καὶ τοῖσι πατραλοίαισι καὶ τοιχωρύχοις.

10. Ὅ τι ἂν τις ἀπολέσῃ.... Citation fragmentaire et par là-même obscure. Le commencement de la loi a dû indiquer qu'il s'agit de vol. Si l'homme qui a perdu son bien retrouve chez le voleur l'objet même qui lui avait été enlevé, le voleur sera condamné à une amende du double de la valeur de l'objet. Si l'objet ne se retrouve pas, sera-t-il condamné au décuple ? Schelling (*De Solonis legibus*, p. 133 sqq.) a très bien prouvé que cela est inadmissible, contraire à ce que Démosthène lui-même et d'autres nous disent de la δίκη κλοπῆς, action civile et privée : car il ne s'agit que de cela ici. Heraldus avait déjà proposé τὴν διπλασίαν pour τὴν δεκαπλασίαν. J'adopterais volontiers cette conjecture, en donnant aux mots πρὸς τοῖς ἐπαιτίοις le sens de « en sus de l'objet de la plainte », c.-à-d. en sus de la valeur de l'objet enlevé. Τὰ ἐπαίτια répond, je crois, à ce que l'on appelait τὸ γεγραμμένον (§ 83) dans une plainte publique, γραφή. Il est vrai que Pollux, VIII, 22, identifie ἐπαίτια avec προστιμήματα. Or, d'après le § 114, les προστιμήματα, c'était, dans l'espèce, la peine accessoire de l'emprisonnement. Cette interprétation est peut-être tirée de la clause suivante, quoique, à y bien regarder, cette clause la réfute. L'étymologie ne la favorise pas non plus.

τοῖς ἐπαιτίοις. Δεδέσθαι δ' ἐν τῇ ποδοκάκκῃ τὸν πόδα πένθ' ἡμέρας καὶ νύκτας ἴσας, ἐὰν προστιμήσῃ ἡ ἡλιαία. Προστιμᾶσθαι δὲ τὸν βουλόμενον, ὅταν περὶ τοῦ τιμήματος ᾖ. — Ἐὰν δέ τις ἀπαχθῇ, τῶν γονέων κακώσεως ἡλωκὼς ἢ ἀστρατείας ἢ προειρημένον αὐτῷ τῶν νόμων εἴργεσθαι, εἰσιὼν ὅποι μὴ χρή, δησάντων αὐτὸν οἱ ἕνδεκα καὶ εἰσαγόντων αὐτὸν εἰς τὴν ἡλιαίαν, κατηγορείτω δὲ ὁ βουλόμενος οἷς ἔξεστιν. Ἐὰν δὲ ἁλῷ, τιμάτω ἡ ἡλιαία ὅ τι χρὴ παθεῖν αὐτὸν ἢ ἀποτεῖσαι. Ἐὰν δὲ ἀργυρίου τιμηθῇ, δεδέσθω τέως ἂν ἐκτείσῃ. »

[106] Ὅμοιός γε, οὐ γάρ; ὦ ἄνδρες Ἀθηναῖοι, Σόλων νομοθέτης καὶ Τιμοκράτης. Ὁ μέν γε καὶ τοὺς ὄντας βελτίους ποιεῖ καὶ τοὺς μέλλοντας ἔσεσθαι· ὁ δὲ καὶ τοῖς γεγενημένοις πονηροῖς, ὅπως μὴ δώσουσι δίκην, ὁδὸν δείκνυσιν,

NC. 1. ποδοκάκκῃι A, F, Harpocration. ποδοκάκῃι S, vulg. — 4-5. J'ai mis des virgules avant τῶν et après εἴργεσθαι. — τῶν γενεῶν S. — ἢ après ἀστρατείας manque dans F. — προειρημενων S. — τῶν νομίμων Saumaise. — 7. αὐτὸν est omis dans A. — 9. τέως vulg. τὲ ἕως A. ἕωσ S. Cf. §§ 63, 64. — 11. οὐ γάρ, donné par Aristide, p. 359 W., manque dans presque tous les mss. λειπει οὐ γαρ quatrième (?) main en marge de S. Cf. *Aristocr.*, § 161, NC. Si un grammairien grec a inséré ce supplément, il avait raison.

1-2. Δεδέσθαι.... ἡλιαία. Cette clause est aussi citée par Lysias, X, 16, mais les manuscrits y portent ἡμέρας δέκα. Lysias explique le vieux mot ποδοκάκκη (bois qui entravait les pieds) par ἐν τῷ ξύλῳ δεδέσθαι.

2-3. Προστιμᾶσθαι, au moyen, ne se dit pas des juges, mais des parties. Il faut donc entendre τὸν βουλόμενον, ni d'un des juges, ni de tous les Athéniens, mais des demandeurs. Quand, la condamnation du défendeur étant prononcée, on en sera à l'évaluation de la peine, le demandeur pourra, s'il veut, requérir la peine accessoire.

4 sqq. Ἐὰν δέ τις.... Fragment d'une autre loi. Ceux qui avaient été condamnés comme mauvais fils ou comme réfractaires, les homicides, d'autres encore, étaient exclus de l'*agora*. Si, malgré cette interdiction, ils s'y introduisaient, on pouvait les traîner (ἀπάγειν) devant les Onze, et, s'ils étaient condamnés par l'Héliée à une amende, ils restaient en prison jusqu'à ce qu'ils eussent tout payé. Ἡλωκώς se rapporte à une condamnation antérieure. Ἢ προειρημένον αὐτῷ veut dire « ou si, défense lui ayant été faite pour toute autre raison, pour une raison quelconque. » Εἰσιών est le complément de ἀπαχθῇ. — Les §§ 60 et 103 expliquent assez ce texte de loi. Telfy l'a déchiqueté en dépit du bon sens dans les n°s 1066 et 1159 de son *Corpus juris attici*. Que dire des interprètes de Démosthène qui commencent par mal interpréter ce texte et accusent ensuite l'ineptie de je ne sais quel grammairien qui aurait rédigé cette loi!

5. Τῶν νόμων εἴργεσθαι. On lit dans *Aristocr.*, § 42, et ailleurs, τῶν νομίμων εἴργεσθαι. Cependant Dobree cite, à l'appui de la leçon νόμων, Lycurgue, *Léocr.*, § 63, et la locution νόμων στέρησις dans *Mid.*, § 92.

11. Οὐ γάρ; tournure familière. Cf. *Androt.*, § 73; *Ambass.*, § 253.

καὶ τοῖς οὖσιν ὅπως ἄδεια γενήσεται κακουργεῖν εὑρίσκει, καὶ τοῖς μέλλουσιν ἔσεσθαι, τοὺς ἐξ ἁπάντων τῶν χρόνων πονηρούς, ὅπως ἔσονται σῷ καὶ μηδὲν πείσονται, παρασκευάζων. [107] Καίτοι τίν' ἂν ἀξίαν δοίης δίκην ἢ τί σὺ παθὼν ἂν τὰ προσήκοντ' εἴης πεπονθώς, ὅς, τὰ μὲν ἄλλ' ἐῶ, ἀλλὰ τοὺς τῷ γήρᾳ ⟨νόμους⟩ βοηθοὺς λυμαίνει, οἳ καὶ ζῶντας ἀναγκάζουσι [τοὺς παῖδας] τοὺς γονέας τρέφειν, καί, ἐπειδὰν ἀποθάνωσιν, ὅπως τῶν νομιζομένων 734 τύχωσι παρασκευάζουσιν; ἢ πῶς οὐ κάκιστος ἁπάντων ἀνθρώπων δικαίως ἂν νομίζοιο, ὅστις, ὦ κατάρατε, περὶ πλείονος φαίνει τοὺς κλέπτας καὶ τοὺς κακούργους καὶ τοὺς ἀστρατεύτους τῆς πατρίδος ποιούμενος, καὶ διὰ τούτους καθ' ἡμῶν νόμον τιθεῖς;

[108] Βούλομαι τοίνυν ὑμῖν, ἃ ὑπεσχόμην ἐν ἀρχῇ τοῦ λόγου, ἀπολογίσασθαι πεποιηκότ' ἐμαυτόν. Ἔφην γὰρ αὐτὸν ἐξελέγξειν κατὰ πάντ' ἔνοχον ὄντα τῇ γραφῇ, πρῶτον μὲν παρὰ τοὺς νόμους νομοθετοῦντα, δεύτερον δ' ὑπεναντία τοῖς

NC. 3. σῷ Dindorf. σῷοι mss. — 1. τίνα ἀξίαν S. — τισὺ, ὺ sur grattage, grattage entre σ et ὺ, S (le copiste avait-il d'abord écrit τιπα ?). σὺ avant δοίης Y, (A ?), Blass. Cobet écarte le premier membre de phrase : τίν'.... δίκην ἢ. — 6. J'ai inséré νόμους avant βοηθούς. Dobree proposait βοηθοῦντας λυμαίνει νόμους. — 7. ζῶντεσ S. — τοὺς παῖδας, glose reconnue par Cobet. — 13. τιθεῖς Cobet. τιθείς vulg. τίθησ S. A. — 15. ἀπολογίσασθαι ms. 2998 de la Bibl. nat. par correction, et Zonaras, p. 266. ἀπολογήσασθαι S et vulg. — 16. Blass supprime ὄντα.

1. **Κακουργεῖν.** Cet infinitif ne dépend pas de ἄδεια (il faudrait τοῦ κακουργεῖν), mais de ἄδεια γενήσεται, locution qui équivaut à ἀδεῶς ἐξέσται. Cf. Krüger, *Gr. Gr.*, § 50, 6, 7.

4. **Τίν' ἂν.... ἢ τί σύ....** L'idée du premier membre de phrase est répétée, avec plus d'énergie, dans le second : abondance conforme au style oratoire et que la critique ne doit pas élaguer (cf. NC.). Les mots τίν' ἂν.... δοίης δίκην se réfèrent à ὅπως μὴ δώσουσι δίκην (l. 14 de la page précédente), les mots τί σὺ παθὼν.... à ὅπως.... μηδὲν πείσονται (l. 3).

5-6. **Τὰ μὲν ἄλλ' ἐῶ, ἀλλά.** Cf. *Phil.*, III, § 34 : Οὐχ ἡμῶν, ἐῶ τἄλλα, ἀλλὰ Χερρονήσου τὴν μεγίστην ἔχει πόλιν Καρδίαν ;

14. **Ἐν ἀρχῇ τοῦ λόγου.** Voy. § 18-19. Là, il est vrai, la division n'est pas faite avec autant de précision ; l'orateur n'y indique pas le troisième point, les conséquences nuisibles de la loi. C'est qu'il n'était pas nécessaire de faire tout connaître d'avance ; Démosthène le déclare lui-même par les mots ἄλλα περὶ ὧν οὐδὲν ἴσως ὑμᾶς κατεπείγει νῦν ἀκοῦσαι.

15. **Ἀπολογίσασθαι,** faire l'énumération. Les lexicographes expliquent τὸ ἐπεξελθεῖν ἕκαστα. L'auteur de la *Rhétorique à Alexandre* (XX, 2), cité par Dindorf, se sert de ce terme pour désigner la récapitulation. Ἀπολογήσασθαι voudrait dire « faire mon apologie ». Cf. NC.

οὖσι νόμοις γεγραφότα, τρίτον δὲ τοιαῦτα δι' ὧν βλάπτει τὴν πόλιν. Οὐκοῦν ἠκούσατε τῶν νόμων, ἃ κελεύουσι ποιεῖν τὸν τιθέντα νόμον καινόν· καὶ πάλιν ὑμᾶς ἐδίδαξ' ὅτι τούτων οὐδ' ὁτιοῦν ἐποίησεν οὗτος. [109] Καὶ μὴν κἀκείνων ἠκούετε τῶν νόμων οἷς ἐναντίος ὢν ἐφαίνεθ' ὁ τούτου· καὶ τούτους ὅτι πρὶν λῦσαι τόνδε τέθ ικεν ἐπίστασθε. Ἀλλὰ μὴν ὅτι γ' οὐκ ἐπιτήδειος, ἀκηκόατε· ἄρτι γὰρ λέγων ἐπαυσάμην. Οὐκοῦν κατὰ πάντ' ἀδικεῖ φανερῶς, καὶ οὐδὲν ἔσθ' ὅ τι φροντίσας οὐδ' εὐλαβηθεὶς φαίνεται, ἀλλ' ἔμοιγε δοκεῖ, κἂν εἰ πρὸς τούτοις ἄλλο τι μὴ ποιεῖν ἐγέγραπτο ἐν τοῖς οὖσι νόμοις, κἂν τοῦτο ποιῆσαι.

[110] Πανταχόθεν μὲν τοίνυν δῆλός ἐσθ' ὅτι ταῦτ' ἔγραψεν ἐπιβουλεύσας [μετὰ τοῦ βουλεύσασθαι ταῦτ' ἀδικεῖν] καὶ οὐ γνώμῃ διαμαρτών, μάλιστα δ' ἐκ τοῦ πάντα τὸν νόμον μέχρι τῆς ὑστάτης συλλαβῆς τοιοῦτον εἶναι· οὐδὲ γὰρ οὐδ' ἄκων οὐδὲν ἔθηκεν ὀρθῶς ἔχον, οὐδ' ὡς ὑμῖν ἔμελλε λυσιτελήσειν. Πῶς οὖν οὐκ εἰκὸς μισεῖν καὶ τιμωρεῖσθαι τοῦτον, ὅστις τοῦ μὲν δήμου ἠδικημένου ἠμέλησεν, ὑπὲρ δὲ τῶν ἠδικηκότων καὶ ὕστερον ἀδικησόντων τοὺς νόμους ἔθηκεν; [111] Θαυμάζω δ', ὦ ἄνδρες δικασταί, τῆς ἀναιδείας αὐτοῦ τό, ἡνίκα μὲν ἦρχεν αὐτὸς μετ' Ἀνδροτίωνος, τὸν ἔλεον τοῦτον ἐπὶ τῷ πλήθει τῷ ὑμετέρῳ μὴ ποιήσασθαι, τῷ ἀπειρηκότι 735 τὰ ἑαυτοῦ χρήματ' εἰσφέροντι, ἐπειδὴ δ' Ἀνδροτίων' ἔδει ἃ

NC. 5. Variante (correction) ἠκούσατε. — 9. φροντίσας ὑμῶν vulg. — 11. κἂν τούτῳ A, et peut-être S avant grattage. — 13. μετὰ.... ἀδικεῖν S, F. J'écarte ces mots, que la vulgate καὶ μετὰ.... ἀδικεῖ fait entrer tant bien que mal dans la construction de la phrase. Cf. § 48. — 15. ἐσχάτης A. — 16. ἔμελλεν S. — 18-19. καὶ ὑπὲρ τῶν ὕστερον A. — 21-22. τούτωι S.

3. Καὶ πάλιν, et d'un autre côté. Cobet estime que πάλιν n'est pas de mise ici.

5. Ἠκούετε. Remarquez cet imparfait après l'aoriste ἠκούσατε, et un peu plus bas le parfait ἀκηκόατε.

6. Τούτους dépend de λῦσαι.

14-15. Πάντα τὸν νόμον μέχρι τῆς ὑστάτης συλλαβῆς. Hyperbole qui a été développée au § 70.

16. Ἄκων, involontairement. Cf. § 67: Οὐ γὰρ ἄκων, où ce mot voulait dire « malgré lui ».

19. Καὶ ὕστερον ἀδικησόντων équivaut à καὶ ὑπὲρ τῶν ὕστερον ἀδικησόντων. Cf. NC.

21-22. Τὸν ἔλεον τοῦτον (la pitié qu'il montre dans cette loi).... μὴ ποιήσασθαι. Allusion aux faits qui seront rapportés aux §§ 162 et suiv.

πάλαι ὑφῄρητο τῆς πόλεως χρήματα καταθεῖναι, τὰ μὲν ἱερά, τὰ δ' ὅσια, τότε θεῖναι τὸν νόμον ἐπ' ἀποστερήσει τῶν μὲν ὁσίων τῆς διπλασίας, τῶν ἱερῶν δὲ τῆς δεκαπλασίας. Καὶ οὕτω πρὸς τὸ πλῆθος τὸ ὑμέτερον προσενήνεκται ὁ αὐτίκα δὴ μάλ' ὑπὲρ τοῦ δήμου φήσων τὸν νόμον τοῦτον θεῖναι. [112] Δικαίως δ' ἂν ἐμοὶ δοκεῖ παθεῖν ὁτιοῦν, ὅστις οἴεται δεῖν, εἰ μέν τις ἀγορανόμος ἢ ἀστυνόμος ἢ δικαστὴς κατὰ δήμους γενόμενος κλοπῆς ἐν ταῖς εὐθύναις ἥλωκεν, ἄνθρωπος πένης καὶ ἰδιώτης καὶ πολλῶν ἄπειρος καὶ κληρωτὴν ἀρχὴν ἄρξας, τούτῳ μὲν τὴν δεκαπλασίαν εἶναι, καὶ νόμον οὐδένα τοῖς τοιούτοις ἐπικουροῦντα τίθησιν· εἰ δέ τινες πρέσβεις αἱρεθέντες ὑπὸ τοῦ δήμου, πλούσιοι ὄντες, ὑφείλοντο χρήματα πολλά, τὰ μὲν ἱερά, τὰ δ' ὅσια, καὶ εἶχον χρόνον πολύν, τούτοις ὅπως μηδὲν πείσονται μήθ' ὧν οἱ νόμοι μήθ' ὧν τὰ ψηφίσματα προστάττει, μάλ' ἀκριβῶς εὗρεν. [113] Καίτοι γ' ὁ Σόλων, ὦ ἄνδρες δικασταί, ᾧ οὐδ' ἂν αὐτὸς Τιμοκράτης φήσειεν ὅμοιος νομοθέτης εἶναι, οὐχ ὅπως ἀσφαλῶς κακουργήσουσι φαίνεται παρασκευάζων τοῖς τοιούτοις, ἀλλ' ὅπως ἢ μὴ ἀδικήσουσιν ἢ δώσουσι δίκην ἀξίαν· καὶ νόμον εἰσήνεγκεν, εἰ μέν τις μεθ' ἡμέραν ὑπὲρ πεντήκοντα δραχμὰς κλέπτοι, ἀπαγωγὴν πρὸς τοὺς
736 ἕνδεκ' εἶναι, εἰ δέ τις νύκτωρ ὁτιοῦν κλέπτοι, τοῦτον ἐξεῖναι καὶ ἀποκτεῖναι καὶ τρῶσαι διώκοντα καὶ ἀπαγαγεῖν τοῖς

NC. 1. Peut-être πάλαι τῆς πόλεως ὑφῄρητο. — 4-5. αὐτίκα δὴ μάλα F. αὐτίκα μάλα S, vulg. Cf. §§ 32, 172, 208. *Androt.*, § 65. — 6. ὥστε δικαίως ἄν μοι A. — 7. ἀστυκόμοσ, le κ sur grattage, S[1]. — 9. κλήρῳ τὴν A, F, Y. — 16. καίτοι ὅ γε Σόλων Cobet. — 17. φῆσαι mss. Mais voy. *Androt.*, § 54. — 23. καὶ ἀποκτεῖναι τοῦτον ἐξεῖναι καὶ διώκοντα τρῶσαι A.

7. Ἀστυνόμος. Les dix astynomes étaient chargés de la police des rues, comme les dix agoranomes de la police du marché. — Δικαστὴς κατὰ δήμους. Il y avait quarante (avant l'archonte Euclide, trente) juges qui parcouraient les dèmes pour connaître sur place des petites contestations jusqu'à concurrence de dix drachmes. Cf. Aristote dans Harpocration, art. Κατὰ δήμους δικασταί; Pollux, VIII, 100.

10. Δεκαπλασίαν. On s'attendrait plutôt à διπλασίαν, et peut-être Démosthène a-t-il écrit ainsi.

16-17. Ὁ Σόλων.... ὅμοιος νομοθέτης εἶναι. Cf. §§ 103, 106. *Androt.*, 25.

17-18. Οὐχ ὅπως. Il faut séparer ces deux mots par une petite pause.

ἕνδεκ', εἰ βούλοιτο. Τῷ δ' ἁλόντι ὧν αἱ ἀπαγωγαί εἰσιν, οὐκ ἐγγυητὰς καταστήσαντι ἔκτισιν εἶναι τῶν κλεμμάτων, ἀλλὰ θάνατον τὴν ζημίαν. [114] Καὶ εἴ τίς γ' ἐκ Λυκείου ἢ ἐξ Ἀκαδημείας ἢ ἐκ Κυνοσάργους ἱμάτιον ἢ ληκύθιον ἢ ἄλλο τι φαυλότατον, ἢ εἰ τῶν σκευῶν τι τῶν ἐκ τῶν γυμνασίων ὑφέλοιτο ἢ ἐκ τῶν λιμένων, ὑπὲρ δέκα δραχμὰς, καὶ τούτοις θάνατον ἐνομοθέτησεν εἶναι τὴν ζημίαν. Εἰ δέ τις ἰδίαν δίκην κλοπῆς ἁλοίη, ὑπάρχειν μὲν αὐτῷ διπλάσιον ἀποτεῖσαι τὸ τιμηθὲν, προστιμῆσαι δ' ἐξεῖναι τῷ δικαστηρίῳ πρὸς τῷ ἀργυρίῳ δεσμὸν τῷ κλέπτῃ, πένθ' ἡμέρας καὶ νύκτας ἴσας, ὅπως ὁρῷεν ἅπαντες αὐτὸν δεδεμένον. Καὶ τούτων ὀλίγῳ πρότερον ἠκούσατε τῶν νόμων. [115] Ὤετο γὰρ δεῖν τόν γε τὰ αἰσχρ' ἐργαζόμενον μὴ ἃ ὑφείλετο μόνον ἀποδόντ' ἀπηλλάχθαι (πολλοὶ γὰρ [ἂν] αὐτῷ ἐδόκουν οὕτω γ' οἱ κλέπται ἔσεσθαι, εἰ μέλλοιεν λαθόντες μὲν ἕξειν, μὴ λαθόντες δ' αὐτὰ μόνον καταθήσειν), ἀλλὰ ταῦτα μὲν διπλάσια καταθεῖναι, δεθέντα δὲ πρὸς τούτῳ τῷ τιμήματι ἐν αἰσχύνῃ ζῆν ἤδη τὸν ἄλλον βίον. Ἀλλ' οὐ Τιμοκράτης, ἀλλ' ὅπως ἁπλᾶ μὲν, ἃ δεῖ διπλάσια, καταθήσουσιν παρεσκεύασεν, μηδ' ὁτιοῦν δ' ἐπιτίμιον ἔσται πρὸς τούτοις. [116] Καὶ οὐκ ἀπέχρησεν ὑπὲρ

NC. 1. τῶι δ' ἄλλο τι S seul. — 3. θάνατον εἶναι τὴν ζημίαν A, F. — 4. αχαδημίασ S, vulg. — 5. ἢ εἰ S, A. ἢ vulg. — 11. ἴσας omis après νύκτας dans S seul. Cf. § 105. — 13. γε est omis dans A, F. — αἰσχρὰ ἔργα ἐργαζόμενον S, Y. — 15. ἂν est avec raison écarté par Cobet. — 16-17. καταθήσειν ἃ ὑφείλοντο A. — 18. ζῆν ἤδη A. ἤδη ζῆν S, vulg.

1. Τῷ δ' ἁλόντι ὧν αἱ ἀπαγωγαί εἰσιν, quant au coupable convaincu d'un des délits auxquels s'applique la procédure de l'apagogué, c.-à-d. pour lesquels on peut être traîné devant les Onze.

2. Après οὐχ, sous-entendez ἐκέλευσεν. [G. H. Schæfer.]

4. Λυκείου.... Ἀκαδημείας.... Κυνοσάργους : les trois grands gymnases d'Athènes. L'intérêt public faisait assimiler le larcin d'objets exposés sans surveillance à un abus de confiance.

5. Τῶν σκευῶν : sans doute des ustensiles appartenant aux gymnases, à la différence des effets apportés par les jeunes gens qui s'y exerçaient.

8. Ἰδίαν δίκην κλοπῆς. On a vu dans *Androtion*, § 26-27, que, au lieu de poursuivre un voleur au criminel, on pouvait aussi se contenter d'une demande civile.

12. Ἠκούσατε τῶν νόμων. Cf. § 105.

15. Ἂν ne peut se justifier ici. L'infinitif du futur (ἔσεσθαι) repousse cette particule, et, si on voulait la rapporter à ἐδόκουν, il faudrait écrire εἰ ἔμελλον.

737 τῶν μελλόντων αὐτῷ ταῦτ' ἀδικεῖν, ἀλλὰ καὶ εἴ τις ἄρ' ἠδικηκὼς καὶ κεκολασμένος ἦν, καὶ τοῦτον ἀφῆκεν. Καίτοι ἔγωγ' ᾤμην δεῖν τὸν νομοθετοῦντα περὶ τῶν μελλόντων ἔσεσθαι, οἷα δεῖ γίγνεσθαι καὶ ὡς ἕκαστ' ἔχειν, καὶ τὰς τιμωρίας ὁποίας τινὰς ἐφ' ἑκάστοις δεῖ τοῖς ἀδικήμασιν εἶναι, περὶ τούτων νομοθετεῖν. Τοῦτο γάρ ἐστιν τὸ ἐφ' ἅπασι τοῖς πολίταις κοινοὺς τοὺς νόμους τιθέναι. Τὸ δὲ περὶ τῶν γεγονότων πραγμάτων νόμους γράφειν οὐ νομοθετεῖν ἐστιν, ἀλλὰ τοὺς ἀδικοῦντας σῴζειν. [117] Σκοπεῖτε δ', ὡς ἀληθῆ λέγω, ἐκ τωνδί. Εἰ μὲν γὰρ Εὐκτήμων ἥλω τὴν τῶν παρανόμων γραφήν, οὐκ ἂν ἔθηκε τοῦτον τὸν νόμον ὁ Τιμοκράτης, οὐδ' ἂν ἐδεῖθ' ἡ πόλις τούτου τοῦ νόμου, ἀλλ' ἐξήρκει ἂν αὐτοῖς ἀπεστερηκόσι τὴν πόλιν τὰ χρήματα τῶν ἄλλων μὴ φροντίζειν. Νῦν δ', ἐπειδὴ ἀπέφυγεν, τὸ μὲν ὑμέτερον δόγμα καὶ τὴν τοῦ δικαστηρίου ψῆφον καὶ τοὺς ἄλλους νόμους ἀκύρους οἴεται δεῖν εἶναι, αὐτὸν δὲ καὶ τὸν αὑτοῦ νόμον κύριον. [118] Καίτοι, ὦ Τιμόκρατες, οἱ μὲν ὄντες ἡμῖν κύριοι νόμοι τουτουσὶ ποιοῦσι κυρίους ἁπάντων, καὶ διδόασιν αὐτοῖς ἀκούσασιν, ὁποῖον ἄν τι νομίζωσι τὸ ἀδίκημα, τοιαύτῃ περὶ τοῦ ἠδικηκότος χρῆσθαι τῇ ὀργῇ, μέγα μεγάλῃ, μικρὸν μικρᾷ. Ὅταν γὰρ ᾖ « ὅ τι χρὴ παθεῖν

NC. 2. Dindorf supprime καὶ avant κεκολασμένος. — 18. ποιοῦσιν S. — 21. Bekker ponctue : μέγα ; μεγάλῃ, μικρόν ; μικρᾷ. — ὅ τι S, F. τὸ τί vulg. τὸ ὅ τι Dobree.

1. Αὐτῷ est placé après ὑπὲρ τῶν μελλόντων pour éviter l'hiatus et faire ressortir ces derniers mots.

2. Κεκολασμένος, déjà frappé de la peine. [Dareste.]

4. Οἷα δεῖ.... La conduite juste et légale est opposée aux délits, ἀδικήμασιν.

6. Ἑκάστοις, au pluriel, désigne les espèces de délit.

10 sqq. Εἰ μὲν γὰρ Εὐκτήμων ἥλω.... Les faits ont été rapportés aux §§ 13-14. — Οὐκ ἂν ἔθηκε τοῦτον τὸν νόμον.... La même tournure sarcastique se trouve dans Hypéride, *Pour Euxénippe*, col. XXX, 22 : Εἶτ' εἰ μὲν ἀπέφυγες τὴν γραφήν, οὐκ ἂν κατεψεύσαθ' οὗτος τοῦ θεοῦ· ἐπειδὴ δὲ συνέβη σοι ἁλῶναι, Εὐξένιππον δεῖ ἀπολωλέναι.

13-14. Τῶν ἄλλων, au masculin, est opposé à αὐτοῖς. Timocrate et consorts se seraient contentés de leur propre impunité, sans égard pour les autres coupables.

14-15. Τὸ μὲν ὑμέτερον δόγμα : le décret du peuple mentionné au § 13. — Τὴν τοῦ δικαστηρίου ψῆφον. Cf. § 14. — Τοὺς ἄλλους νόμους : par opposition à τὸν αὑτοῦ νόμον.

18. Τουτουσί : les juges, représentants du peuple souverain.

21. Il y a une suspension de la voix après μέγα (c.-à-d. ἂν μέγα νομίζωσι τὸ ἀδίκημα), ainsi qu'après μικρόν.

ἢ ἀποτεῖσαι », τὸ τιμᾶν ἐπὶ τούτοις γίγνεται. [119] Σὺ τοίνυν τὸ παθεῖν ἀφαιρεῖς τὸν δεσμὸν ἀφιείς· καὶ ταῦτα τίσιν; τοῖς κλέπταις, τοῖς ἱεροσύλοις, τοῖς πατραλοίαις, τοῖς ἀνδροφόνοις, τοῖς ἀστρατεύτοις, τοῖς λιποῦσι τὰς τάξεις· τούτους γὰρ πάντας σῴζεις τῷ νόμῳ. Καίτοι ὅστις ἐν δημοκρατίᾳ νομοθετῶν μήθ' ὑπὲρ τῶν ἱερῶν μήθ' ὑπὲρ τοῦ δήμου νομοθετεῖ, ἀλλ' ὑπὲρ ὧν εἶπον ἀρτίως, πῶς οὐ δίκαιός ἐστι τῆς ἐσχάτης τιμωρίας τυχεῖν; [120] Οὐ γὰρ δὴ 738
ἐρεῖ γ' ὡς τοὺς τοιούτους οὐ καὶ προσήκει καὶ οἱ νόμοι κελεύουσι ταῖς μεγίσταις τιμωρίαις ἐνόχους εἶναι, οὐδ' ὡς οὗτοι, ὑπὲρ ὧν εὕρηκε τὸν νόμον, οὐ καὶ κλέπται καὶ ἱερόσυλοί εἰσιν, τὰ μὲν ἱερά, τὰς δεκάτας τῆς θεοῦ καὶ τὰς πεντηκοστὰς τῶν ἄλλων θεῶν, σεσυληκότες καὶ ἀντὶ τοῦ ἀποδοῦναι αὐτοὶ ἔχοντες, τὰ δ' ὅσια, ἃ ἐγίγνεθ' ὑμέτερα, κεκλοφότες. Διαφέρει δὲ τοσοῦτον αὐτῶν ἡ ἱεροσυλία τῶν ἄλλων, ὅτι τὴν ἀρχὴν οὐδ' ἀνήνεγκαν εἰς τὴν ἀκρόπολιν, δέον αὐτούς. [121] Οἶμαι δέ, νὴ τὸν Δία τὸν Ὀλύμπιον, ὦ ἄνδρες δικασταί, οὐκ ἀπὸ ταὐτομάτου τὴν ὕβριν καὶ τὴν ὑπερηφανίαν ἐπελθεῖν Ἀνδροτίωνι, ἀλλ' ὑπὸ τῆς θεοῦ ἐπιπεμφθεῖσαν, ἵν', ὥσπερ οἱ τὰ ἀκρωτήρια τῆς Νίκης περικόψαντες ἀπώλοντ' αὐτοὶ ὑφ' αὑτῶν, οὕτω καὶ οὗτοι αὐτοὶ αὑτοῖς δικαζόμενοι ἀπόλοιντο, καὶ τὰ χρήματα καταθεῖεν δεκαπλάσια κατὰ τοὺς νόμους ἢ δεθεῖεν.

NC. 1. τὸ ajouté dans S à la fin de la ligne par le reviseur ancien. — 4. λειποῦσι S. — 6-7. ὑπὲρ τῶν τοῦ δήμου A. — 8. ἐστιν S. — 9. γε, sur grattage, S[1]. γε ἐρεῖ A. — 9-10. κελεύουσιν S. — 11. εἴρηκε vulg. — 16. οὐδὲ τὴν ἀρχὴν A. — 21. ἐν ἑαυτοῖς διαδικαζόμενοι A.

3-5. Τοῖς κλέπταις.... σῴζεις τῷ νόμῳ. L'orateur se réfère à ce qu'il a expliqué aux §§ 102-103.

18. Εὕρηκε, il inventa, imagina.

20. Τὰ ἀκρωτήρια τῆς Νίκης. Scholiaste : Τινὲς δὲ ἐξηγοῦνται, Νίκης Ἀθηνᾶς εἶναι ἄγαλμα ἐν τῇ ἀκροπόλει. Ταύτης δὲ τὰς πτέρυγας χρυσᾶς οὔσας ἐπεχείρησάν τινες κακοῦργοι ἀφελέσθαι. Dindorf cite *Corp. Inscr. Græc.*, I, p. 235, où ἀκρωτήριον a le sens de *aile*. — Ἀπώλοντ' αὐτοὶ ὑφ' αὑτῶν. Se dénoncèrent-ils à la suite d'une querelle survenue entre eux, comme dit le scholiaste, ou en vinrent-ils aux mains? N'importe; mais, quoi qu'il en soit, il faut entendre ὑφ' αὑτῶν dans le sens de ὑπ' ἀλλήλων La comparaison le prouve.

21. Αὐτοὶ αὑτοῖς δικαζόμενοι. Androtion, Glaukétès et Mélanopos s'étaient déjà accusés les uns les autres quand l'affaire fut d'abord portée devant l'assemblée du peuple. Voy. la note sur le paragraphe 13.

[122] Βούλομαι δ' ὑμῖν, ὃ μεταξὺ λέγων περὶ τούτων ἐνεθυμήθην, εἰπεῖν περὶ οὗ τέθεικε νόμου, παράδοξόν τι, θαυμαστὸν ἡλίκον. Οὗτος γάρ, ὦ ἄνδρες δικασταί, τοῖς μὲν τὰ τέλη ὠνουμένοις ἔγραψε τὰς τιμωρίας εἶναι, εἰ μὴ καταβάλοιεν τὰ χρήματα, κατὰ τοὺς νόμους τοὺς προτέρους, ἐν οἷς καὶ ὁ δεσμὸς καὶ ἡ διπλασία γέγραπται, ἀνθρώποις οἳ διὰ τὸ ζημιοῦσθαι ἐπὶ τῇ ὠνῇ ἄκοντες ἔμελλον τὴν πόλιν ἀδικήσειν· τοῖς δ' ὑφαιρουμένοις τὰ τῆς πόλεως καὶ ἱεροσυλοῦσι τὰ τῆς θεοῦ τὸν δεσμὸν ἀφεῖλεν. Καίτοι εἰ μὲν ἐλάττω τούτους ἀδικεῖν ἐκείνων
739 νομίσαι φήσεις, ἀνάγκη μαίνεσθαί σ' ὁμολογεῖν, εἰ δὲ μείζω νομίζων, ὥσπερ ἔστιν, [ἐκεῖνα τἀδικήματα,] τοὺς μὲν ἀφίῃς, τοὺς δὲ μή, οὐκ ἤδη δῆλος εἶ πεπρακὼς τὸ πρᾶγμα τούτοις;

[123] Ἄξιον τοίνυν καὶ τοῦτ' εἰπεῖν, ὅσον ὑμεῖς διαφέρετ', ὦ ἄνδρες δικασταί, μεγαλοφροσύνῃ τῶν ῥητόρων. Ὑμεῖς μέν γε τὰ ἐπὶ τῷ πλήθει νενομοθετημένα δεινά, ἐάν τις ἢ διχόθεν μισθοφορῇ ἢ ὀφείλων τῷ δημοσίῳ ἐκκλησιάζῃ ἢ

NC. 2. παράλογόν τι A, marqué comme variante en marge de S, F. — 3. καὶ inséré avant θαυμαστὸν par l'un des reviseurs de S, et marqué comme variante en marge. — 10. καίτοι vulg. et marge de S : καὶ texte de S. — 12. J'écarte ἐκεῖνα τἀδικήματα. On pourrait aussi écrire ἐκείνων ταῦτα τἀδικήματα — 13. ἀφίεισ S, A. ἀφιεῖς Cobet. — 15. Jusqu'à οὐ λύετε, p. 127, 1-2, le texte de S n'est intact qu'à gauche, et il a été rétabli à droite par une main récente ; de là jusqu'à ὅπως ἐξουσία, l. 3-4, il ne reste qu'une syllabe ou deux au commencement des lignes, le reste est presque détruit ; de là jusqu'à καλοὶ κἀγαθοί, l. 7, on commence à retrouver quelques lettres. — 17. πλήθει vulg. et, ce semble, S[1]. πλουσιων S actuellement. — 17-18. Les mots ἢ διχόθεν ont disparu dans S.

3. Θαυμαστὸν ἡλίκον, *mirum quantum*. Cf. θαυμάσι' ἡλίκα, *Lept.*, § 41 ; *Ambass.*, §§ 24 et 87.

4. Τὰ τέλη ὠνουμένοις. Cette clause a déjà été discutée aux §§ 59-60 ; mais ici l'orateur ajoute une considération nouvelle et qui, suivant lui, doit faire une grande impression sur les juges.

7. Ἀνθρώποις se rattache à la phrase principale. — Διὰ τὸ ζημιοῦσθαι ἐπὶ τῇ ὠνῇ, ayant fait une soumission trop forte et préjudiciable à eux-mêmes. Cf. Πρὸς Φορμίωνα, § 2 : Ἄπειροι τοῦ ζημιοῦσθαι, peu habitués à éprouver des pertes.

10. Τούτους : les derniers nommés.

15. Ἄξιον τοίνυν.... Avant de dénigrer les personnes, l'accusateur prend à partie toute la classe des orateurs qui s'occupent d'affaires publiques. Cf. *Androt.*, § 37.

18. Διχόθεν μισθοφορῇ. Il s'agit du salaire des sénateurs, des juges, des citoyens qui assistaient à une assemblée du peuple ou qui étaient chargés de certaines fonctions payées. Personne ne devait toucher de deux côtés. — Ὀφείλων τῷ δημοσίῳ ἐκκλησιάζῃ. Les débiteurs du fisc étaient privés d'une grande partie des droits politiques. Voy. *Contre Aristogiton*.

δικάζῃ ἢ ἄλλο τι ποιῇ ὧν οἱ νόμοι ἀπαγορεύουσιν, οὐ λύετε, καὶ ταῦτ' εἰδότες ὅτι διὰ πενίαν ⟨ἂν⟩ ποιήσειεν ὁ τούτων τι ποιῶν, οὐδὲ νόμους τοιούτους τίθεσθ', ὅπως ἐξουσία ἔσται ἐξαμαρτεῖν, ἀλλὰ τοὐναντίον ὅπως μή· οὗτοι δ', ὅπως οἱ τὰ αἴσχιστα καὶ τὰ δεινότατα ποιοῦντες δίκην μὴ δώσουσιν. [124] Εἶτα προπηλακίζουσιν ὑμᾶς ἰδίᾳ τοῖς λόγοις, ὡς αὐτοὶ καλοὶ κἀγαθοί, πονηρῶν καὶ ἀχαρίστων οἰκετῶν τρόπους ἔχοντες. Καὶ γὰρ ἐκείνων, ὦ ἄνδρες δικασταί, ὅσοι ἂν ἐλεύθεροι γένωνται, οὐ τῆς ἐλευθερίας χάριν ἔχουσι τοῖς δεσπόταις, ἀλλὰ μισοῦσι μάλιστ' ἀνθρώπων, ὅτι συνίσασιν αὐτοῖς δουλεύσασιν. Οὕτω δὴ καὶ οὗτοι οἱ ῥήτορες οὐκ ἀγαπῶσιν ἐκ πενήτων πλούσιοι ἀπὸ τῆς πόλεως γιγνόμενοι, ἀλλὰ καὶ προπηλακίζουσι τὸ πλῆθος, ὅτι σύνοιδεν αὐτῶν ἑκάστῳ τὰ ἐν τῇ πενίᾳ καὶ νεότητι ἐπιτηδεύματα.

[125] Ἀλλὰ νὴ Δί' αἰσχρὸν ἴσως ἦν Ἀνδροτίωνα δεθῆναι ἢ Γλαυκέτην ἢ Μελάνωπον· οὐ μὰ τὸν Δί', ὦ ἄνδρες δικασταί, ἀλλὰ [πολὺ] αἰσχρὸν τὴν πόλιν ἀδικουμένην καὶ ὑβριζομένην μὴ λαβεῖν δίκην καὶ ὑπὲρ τῆς θεοῦ καὶ ὑπὲρ αὑτῆς. Ἐπεὶ Ἀνδροτίωνί γε πότερ' οὐ πατρῷον τὸ δεδέσθαι; ἀλλ' αὐτοὶ ἴστε πολλὰς πεντετηρίδας ἐν τῷ δεσμωτηρίῳ 740

NC. 1-2. οὐ λύετε S[1]. κωλύετε S actuellement, vulg. — ἂν, après πενίαν, ajouté par Bekker. — ποιήσει F, Y et, ce semble, S. — 4. ἔσται αὐτοῖς vulg. — 10. μάλιστ' ἀνθρώπων S seul. μάλιστα πάντων ἀνθρώπων, ou ἀνθρώπων ἁπάντων vulg. — 11. Je préfère αὑτοῖς à αὐτοῖς. — δὴ A. δὲ S, F. — 14. ἑκάστῳ Cobet. ἕκαστοσ S, F. ἑκάστοις vulg. — 16. ἦν S, F. ἂν ἦν A, Y. — 18. πολὺ αἰσχρὸν S seul. γρ. πολὺ αἴσχιον reviseur en marge, vulg. πολὺ αἴσχιστον A. Je crois que la leçon de S indique deux leçons, αἰσχρόν et πολὺ αἴσχιον, et je préfère la première.

6. Ἰδίᾳ, dans les conversations particulières.

10. Μάλιστ' ἀνθρώπων (sans πάντων). Dindorf renvoie à *Panténète*, § 49 : Μισηθείης ἂν δικαιότατ' ἀνθρώπων.

11. Συνίσασιν a pour sujet les anciens maîtres des affranchis.

12. Οὐκ ἀγαπῶσιν, il ne se contentent pas.

12-13. Ἀπὸ τῆς πόλεως, par la gestion des affaires publiques. Cf. *Olynth.*, III, 29 ; *Cherson.*, § 66.

20. Πατρῷον, une tradition de famille. Quant aux faits, voy. *Androt.*, §§ 56 et 68.

21. Πολλὰς πεντετηρίδας. « La πεντετηρίς est une période financière de quatre ans, et non de cinq, comme le nom pourrait sembler l'indiquer. C'est pour cette période qu'était nommé l'intendant des

διατρίψαντα τὸν πατέρ' αὐτοῦ καὶ ἀποδράντα, ἀλλ' οὐκ ἀφεθέντα. [126] Ἀλλὰ διὰ τὰ ἐπιτηδεύματα τὰ ἐν τῇ ἡλικίᾳ; ἀλλὰ καὶ διὰ ταῦτα δεδέσθαι αὐτῷ οὐχ ἧττον προσήκει ἢ δι' ἅπερ ὠφείλετο. Ἢ ὅτι εἰσῄει εἰς τὴν ἀγορὰν οὐκ ἐξὸν αὐτῷ, καὶ ἐκ ταύτης τοὺς σωφρόνως βεβιωκότας αὐτὸς ἦγεν εἰς τὸ δεσμωτήριον; Ἀλλὰ Μελάνωπος δεινὸν νὴ Δί' ἐστὶν εἰ δεθήσεσθαι νῦν ἔμελλεν· ἀλλὰ περὶ μὲν τοῦ πατρὸς αὐτοῦ οὐδὲν ἂν φλαῦρον εἴποιμι, οὐδ' εἰ πάνυ πόλλ' ἔχω περὶ κλοπῆς λέγειν, ἀλλ' ἔστω ἐμοὶ ἐκεῖνός γε τοιοῦτος οἷον ἂν Τιμοκράτης αὐτὸν ἐγκωμιάσειεν. [127] Ἀλλ' εἰ χρηστοῦ πατρὸς ὢν πονηρὸς καὶ κλέπτης ἦν καὶ προδοσίας γ' ἁλοὺς τρία τάλαντ' ἀπέτεισεν, καὶ συνέδρου γενομένου κλοπὴν αὐτοῦ τὸ δικαστήριον κατέγνω καὶ δεκαπλάσιον ἀπέτεισεν, καὶ παρεπρεσβεύσατο εἰς Αἴγυπτον, καὶ τοὺς ἀδελφοὺς τοὺς ἑαυτοῦ ἠδίκει, οὐ τοσούτῳ μᾶλλον αὐτὸν

NC. 7. νῦν est omis dans A, Y. — 13. δεκαπλάσιον S. δεκαπλασίαν A, F.

revenus publics, ταμίας τῆς κοινῆς προσόδου. Il est probable qu'à chaque nouvelle période, les détenus pour dettes étaient mis en liberté. » [Dareste.] L'explication du scholiaste est inadmissible.

2-3. Τὰ ἐπιτηδεύματα τὰ ἐν τῇ ἡλικίᾳ.... εἰσῄει εἰς τὴν ἀγορὰν οὐκ ἐξὸν αὐτῷ. Quant à la vie infâme reprochée à Androtion, voy. *Androt.*, §§ 21-29 et 73.

6. Ἦγεν εἰς τὸ δεσμωτήριον. Cf. § 163-169; *Androt.*, § 50-56.

9. Περὶ κλοπῆς. On peut croire que Lachès, père de Mélanopos, auquel l'orateur fait ici allusion, est le même que le général de ce nom qui fut tué à Mantinée, en 418 (cf. Thucyd., V, 74), et qui avait été, en 426, accusé de malversation quand il commandait en Sicile (Thucyd., III, 86 sqq. Aristoph., *Guêpes*, 241; 895 sqq.). En effet, ce général était fils d'un Mélanopos, et notre Mélanopos eut à son tour un fils du nom de Lachès (Démosth., *Lettre*, III, § 21). Voy. Sievers, *Griech. Gesch.*, p. 307. Cependant comme le général Lachès avait un fils homonyme (cf. Lysias, *Contre Simon*, § 45), on peut aussi en faire le grand-père de notre Mélanopos. D'après Harpocration, Mélanopos aurait été beau-frère (κηδεστής de l'orateur Diophantos; mais il y a peut-être une lacune dans l'article du lexicographe; car on voit dans *Lakritos*, § 6, un Mélanopos fils de Diophantos.

12. Συνέδρου γενομένου, ayant été membre d'un congrès, συνέδριον, dans lequel il avait à défendre les intérêts d'Athènes. C'est l'explication du scholiaste, conforme au sens usuel de σύνεδρος. D'un autre côté, Aristote, *Rhét.*, I, 14, raconte que Mélanopos fut poursuivi en justice par Callistrate pour avoir détourné une obole et demie (!) des fonds destinés à la construction d'un temple. Comme il s'agit dans notre passage d'une amende décuple, Blume (*Proll. zu Dem. Timocr.*, p. xx, cité par A. Schæfer, I, p. 64) le rapporte à ce fait.

14. Εἰς Αἴγυπτον. Scholiaste : Περὶ τῆς οὐσίας φιλονεικήσας ὅτι (ὅτε ?) ἀπέστη βασιλέως Αἴγυπτος· λέγει δὲ ὅτι ἐπρέσβευσεν οὐκ ἐφ' οἷς ἐπέμφθη. Les faits ne sont pas connus. — Mélanopos est taxé de vénalité par Plutarque, *Démosth.*, 13, et le poète comique Anaxandride dans Athénée, XII, p. 533 D; XV, p. 689 F. Il figure parmi les ambassadeurs au congrès de Sparte (an 371) chez Xénophon, *Hellén.*, VI, III, 10.

ἔδει δεδέσθαι, εἰ χρηστοῦ πατρὸς ὢν τοιοῦτος ἦν; οἶμαι γὰρ ἔγωγε, εἴπερ τῷ ὄντι χρηστὸς ἦν Λάχης καὶ φιλόπολις, ὑπ' αὐτοῦ ἂν ἐκείνου δεθῆναι αὐτὸν τοιοῦτόν γ' ὄντα καὶ οὕτως αἰσχροῖς ὀνείδεσιν περιβάλλοντ' ἐκεῖνον. Καὶ τοῦτον μὲν δὴ ἐῶμεν, Γλαυκέτην δὲ σκεψώμεθα. [128] Οὐχ οὗτός ἐστιν ὁ πρῶτον μὲν εἰς Δεκέλειαν αὐτομολήσας, κἀκεῖθεν ὁρμώμενος καταθέων καὶ φέρων καὶ ἄγων ὑμᾶς; ἀλλὰ πάντες ἴστε ταῦτα. Καὶ ἀπὸ μὲν τῶν ὑμετέρων παίδων καὶ γυναικῶν καὶ τῶν ἄλλων χρημάτων ὅσα λάβοι, δεκάτας ἐκεῖ τῷ ἁρμοστῇ κατατιθεὶς τούτων ἀκριβῶς, [129] τὴν 741
δέ γ' ἐνθάδε θεόν, πρεσβευτὴς ἀξιωθεὶς εἶναι ὑφ' ὑμῶν, ἀποστερῶν τὰς ἀπὸ τῶν ὑμετέρων πολεμίων δεκάτας· ἔπειτα ταμιεύσας ἐν ἀκροπόλει τἀριστεῖα τῆς πόλεως, ἃ ἔλαβεν ἀπὸ τῶν βαρβάρων, ὑφῃρημένος ἐξ ἀκροπόλεως, τόν τε δίφρον τὸν ἀργυρόποδα καὶ τὸν ἀκινάκην τὸν Μαρδονίου, ὃς ἦγε τριακοσίους δαρεικούς; ἀλλὰ ταῦτά γ' οὕτω περιφανῆ ἐστιν ὥστε πάντας ἀνθρώπους εἰδέναι. Ἀλλὰ

NC. 1. τοιοῦτος ἐστὶν A, Y. — 5. ἐάσωμεν A, Y. — 8. ταῦτα S, F. ταῦθ' ἃ λέγω vulg. — Les mots ἀλλὰ πάντες ἴστε ταῦτα se transposeraient avantageusement entre πολεμίων δεκάτας et ἔπειτα, l. 12. — καὶ A, Y. καὶ ὁ S, F. — 9. Peut-être χρήμαθ' ὅσα. — 13. ἅ, avant ἔλαβεν, est omis dans S seul. — 14. Cobet écarte ἐξ ἀκροπόλεως. On pourrait supprimer plus haut ἐν ἀκροπόλει.

6. Εἰς Δεκέλειαν αὐτομολήσας. Le scholiaste fait observer que ce Glaukétès (d'ailleurs inconnu) dut être très vieux au temps du procès, et qu'il pouvait s'être trouvé à Décélée comme prisonnier plutôt que comme déserteur. Quoi qu'il en soit, on peut douter, avec A. Schæfer (I, p. 329), qu'il ait pris part aux hostilités contre ses concitoyens.

9. Τῶν ἄλλων χρημάτων, le reste du butin. Voy. NC. — Construisez ὅσα λάβοι (tirait) ἀπὸ τῶν ὑμετέρων κ. τ. λ.

11. Τὴν δέ γ' ἐνθάδε θεόν.... δεκάτας. Allusion aux faits rapportés au § 12 sqq.

13. Ταμιεύσας ἐν ἀκροπόλει, ayant été ταμίας τῶν ἱερῶν χρημάτων τῆς Ἀθηναίας. Ces trésoriers, au nombre de dix, étaient désignés par le sort. Voy. Aristote dans Harpocration; Gilbert, *Staatsalt.*, p. 234.

14-15. Τόν τε δίφρον. C'était, d'après le scholiaste, le trône du haut duquel Xerxès avait contemplé la bataille de Salamine.

15. Ἀκινάκην. Ce sabre fut encore montré, au siècle des Antonins, au voyageur Pausanias (I, XXVII, 1). — Ὃς ἦγε τριακοσίους δαρεικούς. La traduction qui « pesait trois cents dariques » serait exacte si on pouvait supposer que la dague fût toute en or. L'orateur estime à trois cents dariques la valeur déterminée d'après le poids, c.-à-d. la valeur intrinsèque de cette arme précieuse, abstraction faite de la façon et du prix qu'elle avait comme souvenir historique. Cf. *Contre Timothée*, § 32 : Πείθει αὐτὸν ὁ πατὴρ ὁ ἐμὸς τιμὴν ἀπολαβεῖν τῶν φιαλῶν, ὅσον ἦγον αἱ φιάλαι, διακοσίας τριάκοντα ἑπτά.

τἄλλ' οὐ βίαιος; ὡς οὐδείς γ' ἀνθρώπων. [130] Εἶτα φείσασθαί τινος αὐτῶν ἄξιόν ἐστιν, ὥστε διὰ τούτους ἢ τῶν δεκατῶν τῶν τῆς θεοῦ ἀμελῆσαι ἢ τῆς διπλασίας τῶν ὁσίων χρημάτων, ἢ τὸν τούτους πειρώμενον σῴζειν μὴ τιμωρήσασθαι, καὶ τί κωλύσει ἅπαντας εἶναι πονηρούς, ὦ ἄνδρες δικασταί, εἰ διὰ ταῦτα πλέον ἕξουσιν; ἐγὼ μὲν γὰρ οἶμαι οὐδέν.

[131] Μὴ τοίνυν αὐτοὶ διδάσκετε, ἀλλὰ τιμωρεῖσθε. Καὶ μὴ ἐᾶτ' ἀγανακτεῖν, εἰ δεθήσονται ἔχοντες τὰ ὑμέτερα, ἀλλ' ἄγετ' αὐτοὺς ὑπὸ τοὺς νόμους. Οὐδὲ γὰρ οἱ τῆς ξενίας ἁλισκόμενοι ἀγανακτοῦσιν ἐν τῷ οἰκήματι τούτῳ ὄντες, ἕως ἂν τῶν ψευδομαρτυριῶν ἀγωνίσωνται, ἀλλὰ μένουσιν καὶ οὐκ οἴονται δεῖν ἐγγυητὰς καταστήσαντες περιιέναι. [132] Ἔδοξε γὰρ τῇ πόλει ἀπιστεῖν αὐτοῖς καὶ οὐκ ᾤετο δεῖν διακρουσθῆναι τῆς τιμωρίας δι' ἐγγυητῶν καταστάσεως, ἀλλ' ἐνταῦθα μένειν αὐτοὺς οὗ καὶ ἄλλοι πολλοὶ τῶν πολιτῶν. Καίτοι καὶ ἐπὶ χρήμασιν ἤδη τινὲς ἐδέθησαν καὶ ἐπὶ κρίσεσιν, ἀλλ' ὅμως ὑπέμενον. Ἀηδὲς μὲν οὖν ἴσως ἐστὶν ὀνομαστὶ περί τινων μεμνῆσθαι, ἀναγκαῖον δὲ παρεξε-
742 τάσαι αὐτοὺς παρὰ τούτους. [133] Τοὺς μὲν οὖν πρὸ Εὐ-

NC. 1. οὐδείς γ' A. οὐδεὶσ S, vulg., sans ponctuation avant ὡς. — 3. τῶν, après δεκατῶν, est omis dans S, F. — 16. οὐ S[1], οὗ correction ancienne. — καὶ, avant ἄλλοι, gratté dans S. — 17. τινὲς ajouté par S[1] au-dessus de la ligne, omis dans A, Y.

1. Τὸν τούτους πειρώμενον σῴζειν. L'orateur revient à Timocrate.

6. Διὰ ταῦτα équivaut à διὰ τὸ εἶναι πονηρούς.

8. Διδάσκετε, sous-ent. εἶναι πονηρούς. [Reiske.]

10. Ἄγετ' αὐτοὺς ὑπὸ τοὺς νόμους. C'est ainsi que l'on dit ἄγειν ὑπὸ τὸν ζυγόν.

10-12. Οἱ τῆς ξενίας ἁλισκόμενοι.... ἀγωνίσωνται. Il n'y avait pas de cour d'appel à Athènes; mais on pouvait faire infirmer une condamnation judiciaire en établissant qu'elle avait été amenée par de faux témoignages. Ceux qui étaient condamnés pour usurpation des droits de cité (ξενίας) devaient cependant rester en prison pendant qu'ils poursuivaient en justice les faux témoins.

15. Διακρουσθῆναι τῆς τιμωρίας, être frustrée frauduleusement de sa vengeance. « Éluder le châtiment » se dirait en grec διακρούσασθαι τὸ δοῦναι δίκην.

16-17. Τῶν πολιτῶν. Les citoyens sont opposés aux intrus dans la cité.

17. Ἐπὶ χρήμασιν... ἐπὶ κρίσεσιν. Un citoyen d'Athènes pouvait être emprisonné faute de payer une amende, ἐπὶ χρήμασιν. La prison pouvait aussi lui être infligée comme une peine, toujours peine accessoire (προστίμημα), prononcée directement par les juges, κρίσει.

κλείδου ἄρχοντος ἐάσω καὶ τοὺς σφόδρα παλαιούς. Καίτοι κατὰ τοὺς χρόνους οὓς ἕκαστοι αὐτῶν ἦσαν, πολλοῦ ἄξιοι δοκοῦντες γεγενῆσθαι τὸν ἔμπροσθεν χρόνον ὅμως ἰσχυρᾶς παρὰ τοῦ δήμου ὀργῆς ἐτύγχανον ἐπὶ τοῖς ὕστερον γιγνομένοις ἀδικήμασιν· οὐ γὰρ χρόνον τινὰ δικαίους ᾤετο δεῖν αὐτοὺς ἡ πόλις εἶναι, εἶτα κλέπτας, ἀλλὰ περί γε τὰ κοίν' ἀεὶ δικαίους· ἐδόκει γὰρ τὸν ἔμπροσθεν χρόνον οὐ φύσει, ἀλλ' ἐπιβουλεύων, τοῦ πιστευθῆναι, δίκαιος γεγονέναι ὁ τοιοῦτος ἄνθρωπος. [134] Ἀλλὰ μετ' Εὐκλείδην ἄρχοντα, ὦ ἄνδρες δικασταί, πρῶτον μὲν Θρασύβουλον τὸν Κολλυτέα πάντες μέμνησθε δὶς δεθέντα καὶ κριθέντ' ἀμφοτέρας τὰς κρίσεις ἐν τῷ δήμῳ· καίτοι τῶν ἐκ Πειραιῶς καὶ ἀπὸ Φυλῆς οὗτος ἦν. Ἔπειτα Φιλέψιον τὸν Λαμπτρέα. Ἔπειτα Ἀγύρριον τὸν Κολλυτέα, ἄνδρα χρηστὸν καὶ δημοτικὸν καὶ περὶ τὸ πλῆθος τὸ ὑμέτερον πολλὰ σπουδάσαντα· [135] ἀλλ'

NC. 1. ἄρχοντας A, mauvaise variante que le reviseur de S voulait noter en marge, ainsi que cela résulte d'un signe de renvoi marqué au-dessus de la dernière syllabe de ἄρχοντος. — 2. οῦσ S seul. καθ' οὓς vulg. — 3. ὁμοίωσ S. — 8. τοῦ, chaque lettre pointée de première main dans S. — 13. λαμπρέα, fait par grattage de λαμπτρέα, S. λαμπρέα vulg. — 14. κολλυτέα S et inscriptions. κολυττέα vulg. — καὶ χρηστὸν S, A, Y.

1. Πρὸ Εὐκλείδου ἄρχοντος. L'archonte Euclide et le rétablissement de la démocratie après la domination des Trente est une ère dans l'histoire d'Athènes. — Καὶ.... παλαιούς. Ce membre de phrase n'est pas explicatif, mais nous fait remonter encore plus haut dans le passé.

8. Τοῦ πιστευθῆναι, afin de gagner la confiance du peuple. Cf. § 36 : Ἐκτιθέναι κελεύει τοῦ προειδέναι ἅπαντας.

10. Θρασύβουλον τὸν Κολλυτέα : moins célèbre que Thrasybule de Steiria, le libérateur. Eschine *Ctésiph.*, § 138, le nomme en tête des partisans de l'alliance Thébaine. Il est maltraité dans le discours de Lysias *Contre Évandre*, § 23 sq. Cf. A. Schæfer, I, p. 128.

11. Δεθέντα. Il s'agit de prison préventive. — Κριθέντα se dit quelquefois pour καταχριθέντα ; mais étant suivi du complément τὰς κρίσεις, « les jugements », ce participe doit avoir le sens de « jugé ».

12. Ἐν τῷ δήμῳ. Ces mots indiquent la gravité des deux affaires : c'étaient évidemment des cas d'εἰσαγγελία.

12-13. Ἐκ Πειραιῶς καὶ ἀπὸ Φυλῆς. La prise de la petite forteresse de Phylé, puis celle du Pirée, mirent les démocrates exilés en état de renverser les Trente. Cf. Xénophon, *Hellén.*, II, 4. Phylé avait été leur point de départ, ἀπὸ Φυλῆς ; et ils firent la guerre aux oligarques du Pirée, où ils s'étaient établis, ἐκ Πειραιῶς.

13. Φιλέψιον. Personnage inconnu d'ailleurs.

15. Περὶ τὸ πλῆθος τὸ ὑμέτερον πολλὰ σπουδάσαντα. Agyrrhios rétablit le fonds du Théorique et augmenta le salaire des citoyens qui assistaient aux assemblées du peuple. Voy. Boeckh, *Staatshaush.*, I, p. 315 ; 322. Les lecteurs d'Aristophane le connaissent, car il est bafoué dans

ὅμως τοὺς νόμους ᾤετο δεῖν καὶ αὐτὸς ἐκεῖνος ὁμοίως, ὥσπερ ἐπὶ τοῖς ἀδυνάτοις, οὕτω καὶ ἐφ' ἑαυτῷ ἰσχύειν, καὶ ἐγένετ' ἐν τῷ οἰκήματι τούτῳ πόλλ' ἔτη, ἕως τὰ χρήματ' ἀπέτεισεν ἃ ἔδοξε τῆς πόλεως ὄντ' ἔχειν· καὶ ἐπ' ἐκείνῳ Καλλίστρατος δυνάμενος καὶ ἀδελφιδοῦς ὢν αὐτοῦ οὐκ ἐτίθει νόμους. Καὶ Μυρωνίδης ὁ Ἀρχίνου υἱὸς τοῦ καταλαβόντος Φυλὴν καὶ μετά γε τοὺς θεοὺς αἰτιωτάτου ὄντος τῆς καθόδου τῷ δήμῳ καὶ ἄλλα πολλὰ καὶ καλὰ πεπολιτευμένου καὶ ἐστρατηγηκότος πολλάκις. [136] Ἀλλ' ὅμως
743 ἅπαντες οὗτοι ὑπέμενον τοὺς νόμους. Καὶ οἱ ταμίαι ἐφ' ὧν ὁ Ὀπισθόδομος ἐνεπρήσθη, καὶ οἱ τῶν τῆς θεοῦ καὶ οἱ τῶν ἄλλων θεῶν, ἐν τῷ οἰκήματι τούτῳ ἦσαν, ἕως ἡ κρίσις αὐτοῖς ἐγένετο. Καὶ οἱ περὶ τὸν σῖτον ἀδικεῖν δόξαντες, καὶ ἄλλοι πολλοί, ὦ ἄνδρες δικασταί, πάντες βελτίους Ἀνδροτίωνος ὄντες. [137] Εἶτα τούτοις μὲν ἔδει κυρίους τοὺς πάλαι κειμένους νόμους εἶναι, καὶ δεδωκέναι δίκην αὐτοὺς κατὰ τοὺς ὑπάρχοντας νόμους· δι' Ἀνδροτίωνα δὲ καὶ Γλαυκέτην καὶ Μελάνωπον καινὸν δεῖ γενέσθαι νόμον, τοὺς ἡλωκότας καὶ ψήφῳ κεχριμένους κατὰ τοὺς πάλαι κειμένους νόμους καὶ δόξαντας ἔχειν ἱερὰ χρήματα καὶ ὅσια;

NC. 11. ἅπαντες vulg. — 17. Dobree voulait retrancher les mots κατὰ τοὺς ὑπάρχοντας νόμους. J'aimerais autant supprimer tout le membre de phrase καὶ δεδωκέναι.... νόμους. — 18-19. διὰ τοὺς ἑαλωκότας S.

les comédies du temps, pour avoir rogné le salaire des poètes.

5. Καλλίστρατος. Le fameux orateur. Cf. *Couronne*, § 219, avec la note. — Ἐπ' ἐκείνῳ.... οὐκ ἐτίθει νόμους. Il ne porta pas de loi à propos de son oncle, comme Timocrate fait à propos d'Androtion.

6. Ἀρχίνου. Il figure parmi les libérateurs à côté de Thrasybule de Steiria, avec lequel il entra dans Phylé. Cf. Eschine, *Ambass.*, § 176; *Ctés.*, § 187; Dinarque, *Dém.*, § 76. Wayte pense, avec Elder, qu'il pourrait avoir été fils du fameux Myronide, qui gagna en 456 la bataille d'OEnophyta.

11. Ὀπισθόδομος. C'est la partie postérieure du Parthénon, qui servait de trésor public. Les charges des trésoriers de la Déesse et des trésoriers des autres dieux étaient tantôt distinctes, tantôt réunies. Voy. Gilbert, *Staatsalt.*, p. 235. Les trésoriers étaient évidemment accusés d'avoir mis le feu pour cacher des malversations.

12-13. Ἕως ἡ κρίσις αὐτοῖς ἐγένετο. Voy. au § 134, le cas de Thrasybule de Kollytos.

13. Περὶ τὸν σῖτον ἀδικεῖν. Les Athéniens avaient des lois très sévères contre les accapareurs de blé, ainsi que contre les habitants d'Athènes qui conduisaient un chargement de blé dans un port étranger. Voy. Boeckh, *Staatshaush.* p. 116 sqq.

Εἶτ' οὐ καταγέλαστος δόξει ἡ πόλις εἶναι, εἰ τοῖς ἱεροσύλοις, ὅπως σωθήσονται, νόμον φανεῖται τιθεμένη; ἔγωγ' οἶμαι. [138] Μὴ τοίνυν ἐάσηθ' ὑμᾶς αὐτοὺς ὑβρίζεσθαι μηδὲ τὴν πόλιν, ἀλλὰ μνησθέντες ὅτι Εὔδημον τὸν Κυδαθηναιᾶ νόμον δόξαντα θεῖναι οὐκ ἐπιτήδειον, οὐ πάλαι, ἀλλ' ἐπ' Εὐάνδρου ἄρχοντος, ἀπεκτείνατε, καὶ Φίλιππον, τὸν Φιλίππου τοῦ ναυκλήρου υἱόν, μικροῦ μὲν ἀπεκτείνατε, χρημάτων δὲ πολλῶν αὐτοῦ ἐκείνου ἀντιτιμωμένου παρ' ὀλίγας ψήφους ἐτιμήσατε, ταύτην τὴν ὀργὴν καὶ νῦν ἐπὶ τουτονὶ λάβετε, ἐκεῖνο πρὸς τούτοις ἅπασιν ἐνθυμηθέντες, τί ποτ' ἂν ἐπάθεθ' [ὑπὸ τούτου αὐτοῦ], εἰ οὗτος εἷς ὢν ἐπρέσβευσεν ὑπὲρ ὑμῶν. Οἶμαι γὰρ τοιοῦτον οὐδὲν εἶναι ὅτου ἂν ἀπέσχετο. Ὁρᾶτε δὲ τὴν διάνοιαν αὐτοῦ· ὁ γὰρ νόμος, ὃν ἐτόλμησε θεῖναι, τὸν τρόπον αὐτοῦ δείκνυσιν.

[139] Βούλομαι δ' ὑμῖν, ὦ ἄνδρες δικασταί, ἐν Λοκροῖς ὡς νομοθετοῦσι διηγήσασθαι· οὐδὲν γὰρ χείρους ἔσεσθε παράδειγμά τι ἀκηκοότες, ἄλλως τε καὶ ᾧ πόλις εὐνομου- 744
μένη χρῆται. Ἐκεῖ γὰρ οὕτως οἴονται δεῖν τοῖς πάλαι

NC. 2. θεμένη, comme § 205, Cobet. — ἐγὼ μὲν οἶμαι A. — 4-5. κυδαθηνέα S. Κυδαθηναιέα vulg. — 9. ἐτιμήσατε S seul. ἠτιμώσατε vulg. — 11. J'écarte ὑπὸ τούτου αὐτοῦ. F omet αὐτοῦ, qui n'est qu'une variante de τούτου. — 12. ἐπρέσβευσεν A et Scholiaste : leçon avec raison recommandée par Wayte : ἐπρέσβευεν S, vulg — οὐδὲν εἶναι τοιοῦτον vulg. — 13. δὲ S. δὴ A, F. — 17. παραδείγματι S[1]. — 18. ἐκεῖνοι γὰρ F.

1-2. Τοῖς ἱεροσύλοις : Hyperbole. Cf. § 120.

6. Ἐπ' Εὐάνδρου : Olymp. 99, 3; avant J.-C. 382-381.

7. Φιλίππου τοῦ ναυκλήρου. Mentionné dans le plaidoyer *Contre Timothée*, § 11 sqq.

8-9. Παρ' ὀλίγας ψήφους, à une petite majorité. Avant à se décider entre la peine de mort, demandée par l'accusateur, et une amende très considérable, dont l'accusé s'estimait digne (ἀντετιμᾶτο), les juges ne se prononcèrent pour cette dernière qu'à une faible majorité. Quant à παρά, voy. la note sur παρὰ μικρὸν, *Androt.*, § 3. — La vulgate ἠτιμώσατε n'est guère admissible. On ne pourrait l'entendre que de la conséquence indirecte du verdict, une amende qui excédait les facultés du condamné entraînant l'atimie.

11-12. Εἰ οὗτος εἷς ὢν ἐπρέσβευσεν ὑπὲρ ὑμῶν. L'hypothèse est des plus singulières et l'on ne voit pas ce qui pouvait la motiver. A. Schæfer (III, II, p. 141) suppose que Philippe avait été précisément condamné pour un délit commis dans une ambassade dont il avait été chargé seul et sans collègue.

12. Τοιοῦτον οὐδέν, rien de si grave, aucun acte coupable.

17-18. Πόλις εὐνομουμένη. Les lois que Zaleukos avait données aux Locriens d'Italie étaient célèbres dans la Grèce. Platon, *Timée*, p. 20 A, appelle leur cité εὐνομωτάτη πόλις.

κειμένοις χρῆσθαι νόμοις καὶ τὰ πάτρια περιστέλλειν καὶ μὴ πρὸς τὰς βουλήσεις μηδὲ πρὸς τὰς διαδύσεις τῶν ἀδικημάτων νομοθετεῖσθαι, ὥστ' ἐάν τις βούληται νόμον καινὸν τιθέναι, ἐν βρόχῳ τὸν τράχηλον ἔχων νομοθετεῖ, καὶ ἐὰν μὲν δόξῃ καλὸς καὶ χρήσιμος εἶναι ὁ νόμος, ζῇ ὁ τιθεὶς καὶ ἀπέρχεται, εἰ δὲ μή, τέθνηκεν ἐπισπασθέντος τοῦ βρόχου. [140] Καὶ γάρ τοι καινοὺς μὲν οὐ τολμῶσι τίθεσθαι, τοῖς δὲ πάλαι κειμένοις ἀκριβῶς χρῶνται. Ἐν πολλοῖς δὲ πάνυ ἔτεσιν, ὦ ἄνδρες δικασταί, εἷς λέγεται παρ' αὐτοῖς νόμος καινὸς τεθῆναι. Ὄντος γὰρ αὐτόθι νόμου, ἐάν τις ὀφθαλμὸν ἐκκόψῃ, ἀντεκκόψαι παρασχεῖν τὸν ἑαυτοῦ, καὶ οὐ χρημάτων τιμήσεως οὐδεμιᾶς, ἀπειλῆσαί τις λέγεται ἐχθρὸς ἐχθρῷ ἕν' ἔχοντι ὀφθαλμὸν ὅτι αὐτοῦ ἐκκόψει τοῦτον τὸν ἕνα. [141] Γενομένης δὲ ταύτης τῆς ἀπειλῆς χαλεπῶς ἐνεγκὼν ὁ ἑτερόφθαλμος, καὶ ἡγούμενος ἀβίωτον αὐτῷ εἶναι τὸν βίον τοῦτο παθόντι, λέγεται τολμῆσαι νόμον εἰσενεγκεῖν, ἐάν τις ἕν' ἔχοντος ὀφθαλμὸν ἐκκόψῃ, ἄμφω ἀντεκκόψαι παρασχεῖν, ἵνα τῇ ἴσῃ συμφορᾷ ἀμφό-

NC. 1. χρῆσθαι vulg. χρήσασθαι S seul. — 2. διαδύσεις A. διαλύσεις S, F. — τῶν ἀδικησάντων Sauppe, Bekker. — 3. νομοθετεῖν A. — ὥστε ἂν S. — 6. ἀπάρχεται S, avec un signe de renvoi qui indique un γρ. ἀπέρχεται, oublié en marge. — 8. τιθέναι A, F. — Ensuite la vulgate porte νόμους, mot omis dans S, A. — καὶ ἐν S seul. — 16. αὐτῷ εἶναι S seul. εἶναι αὐτῷ vulg.

1. Περιστέλλειν, entourer de soins, préserver de toute atteinte.

2. Πρὸς τὰς διαδύσεις τῶν ἀδικημάτων, pour laisser échapper les délits, permettre aux coupables de se soustraire au châtiment mérité. — Νομοθετεῖσθαι équivaut à νόμους τίθεσθαι, et se dit du peuple, qui accepte la loi que propose ὁ τιθεὶς τὸν νόμον.

4. Ἐν βρόχῳ τὸν τράχηλον ἔχειν. Ce moyen drastique d'agir sur l'imagination des hommes et de faire réfléchir les novateurs est vanté par Hiéroclès chez Stobée, *Anthol.*, XXXIX, 36. Diodore, XII, 17, l'attribue à Charondas, le législateur des Thuriens.

12. Οὐ χρημάτων τιμήσεως οὐδεμιᾶς, sous-ent. οὔσης : allusion à la loi d'Athènes, qui accordait des dommages-intérêts.

18. Ἵνα τῇ ἴσῃ συμφορᾷ ἀμφότεροι χρῶνται, Diodore, *l. c.*, raconte la même histoire légèrement modifiée, et Aristote y fait allusion dans sa *Rhétorique*, I, 7, à la fin. On prêtait aussi à Solon cette rectification de la loi du talion (Diog. Laërce, I, 57), fort gratuitement, cela va sans dire. Polybe, XII, 16, remplace cette histoire par une autre, dont l'esprit est le même, quoiqu'elle soit matériellement toute différente. Là, il ne s'agit pas d'une loi nouvelle, mais de l'interprétation d'une ancienne loi. On devait la proposer la corde au cou; mais, comme l'un des deux adversaires est un vieillard et l'autre un jeune homme, ce dernier

τεροι χρῶνται. Καὶ τοῦτον μόνον λέγονται Λοκροὶ θέσθαι τὸν νόμον ἐν πλεῖν ἢ διακοσίοις ἔτεσιν. [142] Οἱ δὲ παρ' ἡμῖν ῥήτορες, ὦ ἄνδρες δικασταί, πρῶτον μὲν ὅσοι μῆνες μικροῦ δέουσι νομοθετεῖν τὰ αὑτοῖς συμφέροντα, ἔπειτ' αὐτοὶ μὲν τοὺς ἰδιώτας εἰς τὸ δεσμωτήριον ἄγουσιν, ὅταν ἄρχωσιν, ἐφ' ἑαυτοῖς δ' οὐκ οἴονται δεῖν ταὐτὸ δίκαιον τοῦτ' εἶναι· ἔπειτα τοὺς μὲν τοῦ Σόλωνος νόμους, τοὺς πάλαι δεδοκιμασμένους, οὓς οἱ πρόγονοι ἔθεντο, λύουσιν 745 αὐτοί, τοῖς δ' ἑαυτῶν, οὓς ἐπ' ἀδικίᾳ τῆς πόλεως τιθέασιν, χρῆσθαι ὑμᾶς οἴονται δεῖν. [143] Εἰ οὖν μὴ τιμωρήσεσθε τούτους, οὐκ ἂν φθάνοι τὸ πλῆθος τούτοις τοῖς θηρίοις δουλεῦον. Εὖ δ' ἴστ', ὦ ἄνδρες δικασταί, ὅτι, ἐὰν μὲν σφόδρ' ὀργίζησθε, ἧττον ἀσελγανοῦσιν, ἂν δὲ μή, πολλοὺς τοὺς ἀσελγεῖς εὑρήσετε καὶ τοὺς ὑβρίζοντας ὑμᾶς ἐπὶ τῇ τοῦ φιλοτιμεῖσθαι προφάσει.

[144[Ἵνα δὲ καὶ περὶ ἐκείνου εἴπω τοῦ νόμου, ὦ ἄνδρες δικασταί, ᾧ ἀκούω μέλλειν παραδείγματι χρῆσθαι τοῦτον

NC. 2. πλεῖν Dindorf. πλέον S seul. πλείοσιν (marge de S) ou πλείοις vulg. — 9. δὲ αὑτῶν S. — 17. πράγματι χρῆσθαι S seul. — τουτονί vulg.

fait observer qu'il a beaucoup plus à perdre et que la partie n'est pas égale. Évidemment on s'amusait dans les écoles de rhétorique judiciaire à faire voir par des exemples ingénieusement imaginés qu'une pénalité égale pour tous peut impliquer une inégalité réelle et que le même châtiment n'est pas le même quand on l'applique à des personnes différentes. Ces histoires nous divertissent aujourd'hui, et je crois qu'on ne les prenait pas au sérieux dès le temps de Démosthène : l'orateur veut égayer la matière et dérider les juges. Voici une autre anecdote inventée par des esprits subtils. La loi de Zaleukos punissait, dit-on, l'adultère par la perte des yeux, considérés apparemment comme les grands séducteurs et les vrais coupables. Le fils du législateur ayant été convaincu de ce délit, Zaleukos obtint que l'on se contentât de l'éborgner, mais, comme la loi demandait deux yeux, il offrit l'un de ses propres yeux. Cf. Élien, *Var. Hist.*, XIII, 24; Valère-Maxime, V, v, 3.

1. Τοῦτον μόνον. Diodore, XII, 18, porte le nombre des innovations à trois et donne deux autres lois nouvelles *ejusdem farinæ*.

3. Ὅσοι μῆνες : locution elliptique comme ὅσαι ἡμέραι ou ὁσημέραι, ὅσα ἔτη ou ὁσέτη. [G. H. Schæfer.]

5. Τοὺς ἰδιώτας εἰς τὸ δεσμωτήριον ἄγουσιν. Cf. § 126; 162 sqq.

8-9. Ἔθεντο... τιθέασιν. Voy. la note sur νομοθετεῖσθαι, § 139.

11. Οὐκ ἂν φθάνοι.... δουλεῦον, il tombera on ne peut plus vite dans la servitude. Cf. *Aristog.* I, § 40 : Οὐκ ἂν φθάνοι κατακοπτόμενος. Quant à la manière de rendre compte de cet hellénisme, *grammatici certant*.

14-15. Ἐπὶ τῇ τοῦ φιλοτιμεῖσθαι προφάσει. Ils affichent l'ambition de rendre service au peuple en réformant la législation.

καὶ φήσειν ἀκόλουθον αὐτῷ τεθεικέναι, ἐν ᾧ ἔνι « οὐδὲ « δήσω Ἀθηναίων οὐδένα, ὃς ἂν ἐγγυητὰς τρεῖς καθιστῇ « τὸ αὐτὸ τέλος τελοῦντας, πλὴν ἐάν τις ἐπὶ προδοσίᾳ « τῆς πόλεως ἢ ἐπὶ καταλύσει τοῦ δήμου συνιὼν ἁλῷ, ἢ « τέλος πριάμενος ἢ ἐγγυησάμενος ἢ ἐκλέγων μὴ κατα- « βάλλῃ », ἀκούσατέ μου καὶ περὶ τούτου· [145] οὐ γὰρ ἐρῶ ὅτι αὐτὸς Ἀνδροτίων ἦγεν εἰς τὸ δεσμωτήριον καὶ ἔδει τούτου κειμένου τοῦ νόμου, ἀλλ' ἐφ' οἷς κεῖται ὁ νόμος οὗτος, διδάξω ὑμᾶς. Οὗτος γάρ, ὦ ἄνδρες δικασταί, οὐκ ἐπὶ τοῖς κεκριμένοις καὶ ἠγωνισμένοις κεῖται, ἀλλ' ἐπὶ τοῖς ἀκρίτοις, ἵνα μὴ διὰ τὸ δεδέσθαι χεῖρον ἀναγκά- ζοιντ' ἀγωνίζεσθαι ἢ καὶ παντάπασιν ἀπαράσκευοι εἶεν. Οὑτοσὶ δ', ἃ ἐπὶ τοῖς ἀκρίτοις κεῖται, ὡς περὶ ἁπάντων εἰρημένα μέλλει πρὸς ὑμᾶς λέγειν. [146] Ὡς δὲ σαφῶς γνώσεσθε ὅτι ἀληθῆ λέγω, ἐγὼ ὑμῖν ἐρῶ. Οὔτε γὰρ ἄν, ὦ ἄνδρες δικασταί, τιμᾶν ἐξῆν ὑμῖν ὅ τι χρὴ παθεῖν ἢ ἀποτεῖσαι (ἐν γὰρ τῷ παθεῖν καὶ ὁ δεσμὸς ἔνι· οὐκ ἂν οὖν
746 ἐξῆν δεσμοῦ τιμῆσαι), οὔθ' ὅσων ἔνδειξίς ἐστιν ἢ ἀπαγωγή, προσεγέγραπτο ἂν ἐν τοῖς νόμοις « τὸν δ' ἐνδειχθέντα ἢ « ἀπαχθέντα δησάντων οἱ ἕνδεκα ἐν τῷ ξύλῳ », εἴπερ μὴ ἐξῆν ἄλλους ἢ τοὺς ἐπὶ προδοσίᾳ τῆς πόλεως ἢ ἐπὶ κατα- λύσει τοῦ δήμου συνιόντας ἢ τοὺς τὰ τέλη ὠνουμένους καὶ μὴ καταβάλλοντας δῆσαι. [147] Νῦν δὲ ταῦθ' ὑμῖν

NC. 1. φησὶν A. — 5. πριάμενος S, F. τι πριάμενος vulg. — 15. ἂν est omis dans S, A. — 16. τιμᾶν ἐξῆν ὑμῖν A, F, Y. ἐξῆν ὑμῖν τιμᾶν S.

1. Ἀκόλουθον αὐτῷ τεθεικέναι, avoir proposé une loi conforme à la loi alléguée.

3. Τὸ αὐτὸ τέλος τελοῦντας, payant la même contribution, étant aussi riches que lui.

3-4. Ἐάν τις.... συνιὼν ἁλῷ, si quelqu'un a été pris en flagrant délit de conspiration. Comme il s'agit de citoyens qui n'ont pas encore été jugés (ἄκριτοι, § 145), le verbe ἁλῶναι ne saurait signifier ici « avoir été condamné », Schœmann l'a fait observer avec raison.

5. Τέλος πριάμενος ἢ ἐγγυησάμενος ἢ ἐκλέγων. Voy. § 40, avec la note.

7. Αὐτὸς Ἀνδροτίων ἦγεν. Ces faits, auxquels l'orateur aime à faire allusion (Cf. § 126 et 142), seront racontés plus bas, § 162 sqq.

14. Λέγειν, présenter dans son discours. — Ὡς.... γνώσεσθε, comment, par quel raisonnement, vous connaîtrez.

16. Τιμᾶν, évaluer, fixer la peine ou l'amende.

18. Ἔνδειξις.... ἀπαγωγή. Cf. *Androt.*, § 26.

19. Avant προσεγέγραπτο, sous-entendez περὶ τούτων. [G. H. Schæfer.]

τεκμήρι' ἔστω ὅτι ἔξεστι δῆσαι· παντελῶς γὰρ ἤδη ἄκυρ' ἂν ἦν τὰ τιμήματα. Ἔπειτα δ', ὦ ἄνδρες δικασταί, τοῦτο τὸ γράμμα αὐτὸ μὲν καθ' αὑτὸ οὐκ ἔστι νόμος, τὸ « οὐδὲ δήσω Ἀθηναίων οὐδένα », ἐν δὲ τῷ ὅρκῳ τῷ βουλευτικῷ γέγραπται, ἵνα μὴ συνιστάμενοι οἱ ῥήτορες οἱ ἐν τῇ βουλῇ δεσμὸν κατά τινος τῶν πολιτῶν λέγοιεν. [148] Ἄκυρον οὖν τοῦ δῆσαι τὴν βουλὴν ποιῶν ὁ Σόλων τοῦτο πρὸς τὸν ὅρκον τὸν βουλευτικὸν προσέγραψεν, ἀλλ' οὐ πρὸς τὸν ὑμέτερον· ἁπάντων γὰρ κυριώτατον ᾤετο δεῖν εἶναι τὸ δικαστήριον, καὶ ὅ τι γνοίη, τοῦτο πάσχειν τὸν ἁλόντα. Ἀναγνώσεται δ' ὑμῖν αὐτοῦ τούτου ἕνεκα τὸν τῶν δικαστῶν ὅρκον. Λέγε σύ.

ΟΡΚΟΣ ΗΛΙΑΣΤΩΝ.

[149] « Ψηφιοῦμαι κατὰ τοὺς νόμους καὶ τὰ ψηφίσματα τοῦ δήμου τοῦ Ἀθηναίων καὶ τῆς βουλῆς τῶν πεντακοσίων.

NC. 1. ἔξεστιν S. — 2. τίματα S[1]. — 7. ὁ manque dans S. — 11. δικαστῶν S seul. ἡλιαστῶν vulg. — 12. Le titre est laissé en blanc dans S.

1. Παντελῶς γὰρ.... τὰ τιμήματα, car autrement les sentences pénales seraient par cela seul (ἤδη) nulles et sans effet. Ἤδη, aussitôt, il n'en faudrait pas davantage.

5. Συνιστάμενοι οἱ ῥήτορες οἱ ἐν τῇ βουλῇ. Toujours le même système : dénigrer les orateurs et les tenir en suspicion. Cf. *Androt.*, § 71.

12. Ὅρκος Ἡλιαστῶν. Ce document a été soumis à un savant examen par Westermann, *Commentationes de jurisjurandi judicum formula, quæ extat in Dem. Timocr.* (Leipzig, 1859), et par Max Fränkel dans *Hermes*, XIII (1878), p. 452 sqq. Il en résulte que la première clause est textuelle, et que la fin (à partir des mots καὶ ἀκροάσομαι) est conforme à ce que nous savons d'ailleurs soit sur le serment des juges athéniens, soit sur d'autres serments analogues. M. Fränkel a recueilli avec soin toutes les données que les auteurs et les inscriptions fournissent à ce sujet, et il s'en est ingénieusement servi pour recomposer le serment des Héliastes. Aujourd'hui il faut ajouter à ces documents une inscription du *British Museum* que nous citons plus bas, et qui confirme une partie suspectée de notre document. Dans ce dernier, il y a une omission incontestable, et, d'un autre côté, on y trouve une foule de choses qui semblent en dehors des fonctions judiciaires, toutes sortes d'engagements relatifs aux lois fondamentales de l'État et à la nomination des magistrats. Cependant M. Dareste fait observer avec raison que les Héliastes avaient à juger les γραφαὶ παρανόμων et que la δοκιμασία des magistrats était de leur compétence. J'ajoute que les Nomothètes étant pris parmi les Héliastes, le serment de ces derniers pouvait et devait comprendre les engagements imposés aux législateurs. La question d'authenticité n'est donc pas encore définitivement tranchée ; sans doute, nous n'avons pas une transcription rigoureusement exacte du serment, mais on ne doit pas affirmer non plus que ce document est l'œuvre d'un faussaire.

13-14. Ψηφιοῦμαι.... πεντακοσίων. Il résulte de plusieurs témoignages anciens

Καὶ τύραννον οὐ ψηφιοῦμαι εἶναι οὐδ' ὀλιγαρχίαν, οὐδ' ἐάν τις καταλύῃ τὸν δῆμον τὸν Ἀθηναίων ἢ λέγῃ ἢ ἐπιψηφίζῃ παρὰ ταῦτα, οὐ πείσομαι· οὐδὲ τῶν χρεῶν τῶν ἰδίων ἀποκοπὰς οὐδὲ γῆς ἀναδασμὸν τῆς Ἀθηναίων οὐδ' οἰκιῶν· οὐδὲ τοὺς φεύγοντας κατάξω, οὐδὲ ὧν θάνατος κατέγνωσται, οὐδὲ τοὺς μένοντας ἐξελῶ παρὰ τοὺς νόμους τοὺς κειμένους καὶ τὰ ψηφίσματα τοῦ δήμου τοῦ Ἀθηναίων καὶ τῆς βουλῆς οὔτ' αὐτὸς ἐγὼ οὔτ' ἄλλον οὐδένα ἐάσω. [150] Οὐδ'
747 ἀρχὴν καταστήσω ὥστ' ἄρχειν ὑπεύθυνον ὄντα ἑτέρας ἀρχῆς, καὶ τῶν ἐννέα ἀρχόντων καὶ τοῦ ἱερομνήμονος καὶ ὅσοι μετὰ τῶν ἐννέα ἀρχόντων κυαμεύονται ταύτῃ τῇ ἡμέρᾳ, καὶ κήρυκος καὶ πρεσβείας καὶ συνέδρων· οὐδὲ δὶς

NC. 2. τὸν ἀθηναίων S seul. τῶν Ἀθηναίων vulg. — 4. οὐδὲ τῆσ S[1]. — οἰκειῶν, avant grattage, S. — 10. Peut-être τὸν ἱερομνήμονα. — 11. ὅσοι S seul. ὅσαι vulg. — 12. Peut-être κήρυκα.

que tel était en effet le commencement du serment héliastique. Voy. surtout Eschine, *Ctésiph.*, § 6; Démosthène, *Ambass.*, § 179. Mais il faudrait ajouter les mots : περὶ δ' ὧν ἂν νόμοι μὴ ὦσι, γνώμῃ τῇ δικαιοτάτῃ. Pollux, VIII, 122, s'accorde sur ce point avec Démosthène, *Bocotos*, I, 40, et *passim*. Cette omission peut être attribuée à la négligence d'un copiste, ou bien à celle du grammairien qui inséra ce document dans le texte du plaidoyer.

1. Οὐ ψηφιοῦμαι : comme nomothète ou comme juge dans un procès παρανόμων.

2-3. Λέγῃ se rapporte à l'auteur d'une motion, ἐπιψηφίζῃ, au président qui la met aux voix. — Παρὰ ταῦτα, contrairement à cela, c.-à-d. contrairement au principe constitutif qui exclut la tyrannie et l'oligarchie. — Πείσομαι est ici le futur de πείθομαι, non de πάσχω. [Wayte.]

3-4. Τῶν χρεῶν ἀποκοπὰς.... γῆς ἀναδασμόν. Cf. *Traité avec Alexandre*, § 15.

5. Τοὺς φεύγοντας, les exilés. Ὧν θάνατος κατέγνωσται, ceux qui sont allés en exil pour échapper à la peine de mort.

8-9. Οὐδ' ἀρχὴν καταστήσω.... Les juges étaient chargés de la δοκιμασία des magistrats élus ou désignés par le sort.

10. Ἱερομνήμονος (cf. NC). On voit dans *Couronne*, § 149, que les Pylagores envoyés à l'assemblée des Amphictyons étaient élus; mais ce qui est dit dans le même passage de l'Hiéromnémon s'accorde très bien avec notre document, qui donne ce dernier pour un fonctionnaire désigné par le sort.

11. Κυαμεύονται. Ce verbe, ainsi que son composé ἀποκυαμεύειν, se trouve dans les inscriptions. L'adjectif verbal κυαμευτός est dans Xénophon, *Mémor.*, I, II, 9. Ailleurs on lit κυάμῳ λαχεῖν, ἀπὸ κυάμου καθίστασθαι.

11-12. Ταύτῃ τῇ ἡμέρᾳ, en ce jour. Les Héliastes prêtent donc serment le même jour où a lieu le tirage au sort des fonctionnaires. — Je crois qu'il y a ici une lacune. Il me semble que les fonctions conférées par élection, χειροτονία, ont dû être mentionnées.

12. Καὶ κήρυκος (cf. NC) καὶ πρεσβείας. C'est ainsi que, dans une loi rapportée par Eschine, *Contre Timarque*, § 19, le législateur, après avoir exclu les infâmes d'abord de l'archontat, ensuite de toutes les fonctions publiques, ajoute μηδὲ κη-

τὴν αὐτὴν ἀρχὴν τὸν αὐτὸν ἄνδρα, οὐδὲ δύο ἀρχὰς ἄρξαι τὸν αὐτὸν ἐν τῷ αὐτῷ ἐνιαυτῷ. Οὐδὲ δῶρα δέξομαι τῆς ἡλιάσεως ἕνεκα οὔτ' αὐτὸς ἐγὼ οὔτ' ἄλλος ἐμοὶ οὔτ' ἄλλη εἰδότος ἐμοῦ, οὔτε τέχνῃ οὔτε μηχανῇ οὐδεμιᾷ. [151] Καὶ γέγονα οὐκ ἔλαττον ἢ τριάκοντα ἔτη. Καὶ ἀκροάσομαι τοῦ τε κατηγόρου καὶ τοῦ ἀπολογουμένου ὁμοίως ἀμφοῖν, καὶ διαψηφιοῦμαι περὶ αὐτοῦ οὗ ἂν ἡ δίωξις ᾖ. Ἐπομνύναι Δία, Ποσειδῶ, Δήμητρα, καὶ ἐπαρᾶσθαι ἐξώλειαν ἑαυτῷ καὶ οἰκίᾳ τῇ ἑαυτοῦ, εἴ τι τούτων παραβαίνοι, εὐορκοῦντι δὲ πολλὰ κἀγαθὰ εἶναι. »

NC. 6. τε, après τοῦ, est omis dans S seul. — 6-7. Peut-être καὶ ἀεὶ ψηφιοῦμαι. — οὗ ἐὰν S seul. — ᾖ ἡ δίωξις vulg. — 7. ἐπομνύναι Bekker. ἐπόμνυμαι S (γρ. ἐπόμνυμι reviseur en marge) et vulg. ὄμνυμι F. — 8. ποσειδῶνα (ι pour ει en marge) S seul. — 9. παραβαίνοιμι A. — 9-10. πολλὰ κἀγαθὰ vulgate, confirmée par tous les documents similaires. καλὰ καὶ ἀγαθὰ S seul.

ρυκευσάτω, μηδὲ πρεσβευσάτω. — Συνέδρων, députés, membres d'une conférence internationale ou d'une commission investie de pleins pouvoirs. Cf. Thucydide, IV, 22 ; V, 85 ; Isocrate, *Areop.*, 58.

1. Οὐδὲ δὶς τὴν αὐτὴν ἀρχήν.... Cf. Aristote, *Polit.*, III, 1, p. 1275 a. Cependant on pouvait remplir plusieurs fois les fonctions de stratège, même plusieurs fois de suite.

2-4. Οὐδὲ δῶρα δέξομαι.... οὐδεμιᾷ. Cette partie du serment se retrouve presque textuellement dans un décret de Calymna, réglant la procédure à suivre pour un procès important. Οὐδὲ δῶρα ἔλαβον τᾶς δίκας ταύτας ἕ<νεκεν ο>ὔτε αὐτὸς ἐγὼ οὔτε ἄλλος οὔτε ἄλλα ἐμι<ν οὐ μαχανᾷ οὐδ>εμιᾷ. Cf. Newton, *Greek inscriptions in the British Museum*, II (1883), n° 299. — Οὔτε τέχνῃ οὔτε μηχανῇ οὐδεμίᾳ. Cf. document dans Thucydide, V, 18, 4 : Μήτε τέχνῃ μήτε μηχανῇ μηδεμίᾳ. [G. H. Schæfer.]

5. Τριάκοντα ἔτη. Cf. Pollux, VIII, 122.

5-6. Ἀκροάσομαι.... ὁμοίως ἀμφοῖν. Cf. *Couronne*, § 2, et *passim*.

7. Διαψηφιοῦμαι περὶ αὐτοῦ οὗ ἂν ἡ δίωξις ᾖ. Cette partie du serment est formellement attestée dans *Stephanos*, I, § 45, et par Eschine, *Timarque*, § 154 : Περὶ αὐτῶν ψηφιεῖσθαι ὧν ἂν ἡ δίωξις ᾖ. Cobet et d'autres ont vu que le composé διαψηφιοῦμαι fait un faux sens. Cf. NC. Fränkel tient pour le pluriel αὐτῶν ὧν. — Ἐπομνύναι.... Le passage du style direct au style indirect a déjà choqué les copistes, comme on peut le voir dans NC. On peut dire, avec G. H. Schæfer, que le serment faisait partie d'une loi dont la formule initiale n'a pas été reproduite, et qu'après avoir dicté la plus grande partie du serment, le législateur reprend la parole pour en prescrire la fin. — Δία, Ποσειδῶ, Δήμητρα. Pollux, VIII, 122, fait invoquer Zeus, Apollon et Déméter, triade attestée pour des serments analogues. Cf. *C. I. Att.*, II, n° 578, serment de magistrats d'un dème attique, ainsi que I, n° 9. Aussi Meineke voulait-il substituer Ἀπόλλω à Ποσειδῶ dans notre document, et cette correction ne laisse pas d'être probable. Cependant le scholiaste de Venise, *Il.*, XV, 36, avait déjà eu sous les yeux la leçon de nos manuscrits, et la formule νὴ τὸν Δία, νὴ τὴν Ἀθηνάαν, νὴ τὸν Ποσειδῶ, νὴ τὴν Δήμητρα se lit dans un traité entre Athènes et Ioulis, Dittenberger, *Sylloge inscr. græc.*, n° 79.

8-10. Ἐπαρᾶσθαι.... πολλὰ κἀγαθὰ εἶναι. Fränkel dit qu'il faudrait intervertir les deux membres de phrase : car, dans les formules de serment assez nombreuses qui ont été conservées, l'impré-

Ἐνταῦθ' οὐκ ἔνι, ὦ ἄνδρες δικασταί, « οὐδὲ δήσω Ἀθη- « ναίων οὐδένα ». Τὰ γὰρ κρίνοντα τὰς κρίσεις ἁπάσας τὰ δικαστήρι' ἐστίν, οἷς ἐξουσία ἐστὶ καὶ δεσμὸν καὶ ἄλλ' ὅ τι ἂν βούλωνται καταγιγνώσκειν.

[152] Ὡς μὲν οὖν ἔξεστιν ὑμῖν δεσμὸν καταγιγνώσκειν, ταῦτ' ἐπιδείκνυμι· ὡς δὲ τὰ δεδικασμέν' ἄκυρα ποιεῖν καὶ δεινὸν καὶ ἀνόσιόν ἐστι καὶ δήμου κατάλυσις, πάντας ἂν οἶμαι ὁμολογῆσαι. Ἡ γὰρ πόλις ἡμῶν, ὦ ἄνδρες δικασταί, νόμοις καὶ ψηφίσμασιν διοικεῖται. Εἰ δή τις τὰ ψήφῳ κεκριμένα νόμῳ καινῷ λύσει, τί πέρας ἔσται; ἢ πῶς τοῦτον δίκαιόν ἐστι νόμον προσαγορεύειν, ἀλλ' οὐκ ἀνομίαν; ἢ πῶς οὐ τῆς μεγίστης ὀργῆς ὁ τοιοῦτος νομοθέτης ἄξιός ἐστιν; [153] Ἐγὼ μὲν γὰρ τῶν ἐσχάτων νομίζω, οὐχ ὅτι τοῦτον
748 μόνον τὸν νόμον ἔθηκεν, ἀλλ' ὅτι καὶ τοῖς ἄλλοις ὁδὸν δείκνυσι καὶ περὶ δικαστηρίων καταλύσεως καὶ περὶ τῶν φευγόντων καθόδου καὶ περὶ τῶν ἄλλων τῶν δεινοτάτων. Τί γὰρ κωλύει, ὦ ἄνδρες δικασταί, εἰ οὗτος χαίρων ἀπαλλάξει ὁ τοιοῦτον νόμον τιθείς, ἕτερον φανῆναι ἄλλο τι τῶν τῆς πόλεως ἰσχυροτάτων καταλύοντα νόμῳ καινῷ; ἐγὼ μὲν γὰρ οἶμαι οὐδέν. [154] Ἀκούω δ' ἔγωγε καὶ τὸ πρότερον

NC. 3. Il faut peut-être supprimer ἐστὶ après ἐξουσία. — ἄλλό τι ὃ ἂν S. ἄλλο omis dans A. — 6. ταῦτ' mss. ταύτῃ H. Wolf, Dindorf. Mais cet adverbe demanderait plutôt ἀποδείκνυμι. — ὡς δὲ καὶ τὰ S, F. — 7. ἔστιν S. — 9. δὴ S. δὲ vulg. — 13. τῶν ἐσχάτων S seul. τῆς ἐσχάτης vulg. — 18. θεὶς vulg.

cation vient en second lieu. Cependant on aimait aussi à s'arrêter sur le bien. Voy. Eschyle, *Eumén.*, 767-774.

5-6. Ὡς μὲν οὖν ἔξεστιν..., ταῦτ' ἐπιδείκνυμι, qu'il soit permis.... (en preuve de cette assertion) je vous montre ce document, la formule du serment que vous prêtez. Quant à l'ellipse, voy. *Mid.*, § 93 : Ἀλλὰ μὴν ὡς ἀληθῆ λέγω, κάλει μοι τούτων μάρτυρας, et *passim*.

6. Τὰ δεδικασμέν' ἄκυρα ποιεῖν. En examinant la loi de Timocrate point par point, l'orateur a déjà signalé cette énormité (§ 72 sqq.). Ici il y revient, pour en montrer toutes les conséquences fâcheuses. Il n'y a pas de double emploi.

11. Ἀνομίαν, une injure faite à la loi, un défi jeté aux lois.

13. Τῶν ἐσχάτων, le dernier châtiment. C'est la conséquence de la μεγίστη ὀργή.

16. Τῶν φευγόντων καθόδου. Comme la plupart des exilés étaient expulsés pour cause politique et qu'ils étaient nombreux, leur retour équivalait à une révolution dans la cité, au renversement de la démocratie. Cf. § 149.

17. Εἰ οὗτος χαίρων ἀπαλλάξει, si cet homme s'en tire impuni. Cf. Sophocle, *OEd. Roi*, 363 : Ἀλλ' οὔ τι χαίρων δίς γε πημονὰς ἐρεῖς, et *passim*. Dans ces locutions, le contraire de χαίρων est κλαίων.

οὕτω καταλυθῆναι τὴν δημοκρατίαν, παρανόμων πρῶτον γραφῶν καταλυθεισῶν καὶ τῶν δικαστηρίων ἀκύρων γενομένων. Ἴσως μὲν οὖν ἄν τις ὑπολάβοι ὅτι, οὐχ ὁμοίων ὄντων τῶν πραγμάτων νῦν καὶ τότε, λέγω περὶ καταλύσεως τοῦ δήμου. Ἀλλ' οὐδὲ σπέρμα δεῖ καταβάλλειν ἐν τῇ πόλει οὐδέν', ὦ ἄνδρες δικασταί, τοιούτων πραγμάτων, οὐδ' εἰ μή πω ἂν ἐκφύοι, ἀλλὰ τὸν ἐγχειροῦντα λέγειν ἢ ποιεῖν τι τοιοῦτον δίκην διδόναι.

[155] Ὅτι τοίνυν καὶ τέχνῃ κακῶς ἐνεχείρησε ποιεῖν ὑμᾶς, ἄξιόν ἐστιν ἀκοῦσαι. Ὁρῶν γὰρ ἑκάστοτε πάντας, καὶ τοὺς πολιτευομένους καὶ τοὺς ἰδιώτας, τοὺς νόμους τῶν τῆς πόλεως ἀγαθῶν αἰτίους ὑπολαμβάνοντας, ἐσκόπει πῶς λήσει τούτους καταλύσας, κἂν ἄρα ληφθῇ τοῦτο ποιῶν, μὴ δόξει δεινὸν μηδ' ἀναιδὲς μηδὲν εἰργάσθαι. [156] Εὗρεν οὖν τουθ' ὃ πεποίηκε, νόμῳ τοὺς νόμους καταλῦσαι, ἵνα τἀδικήματ' αὐτοῦ τὸ τῆς σωτηρίας ὄνομ' ἔχῃ. Οἵ τε γὰρ σῴζοντες τὴν πόλιν εἰσὶ νόμοι, ὃν θ' οὗτος ἔθηκεν οὐδὲν ἐκείνοις τῶν αὐτῶν ἔχοντα, νόμος. Τὴν μὲν οὖν τοῦ ὀνόματος φιλανθρωπίαν, ὅτι ταύτην ἂν μάλιστα προσεῖσθε,

NC. 6. Herwerden aimerait mieux οὐδέν. Mais οὐδένα s'accorde avec ἀλλὰ τὸν ἐγχειροῦντα κτλ. — 7. ἀλλὰ τὸν S seul. ἀλλὰ καὶ τὸν vulg. — 15. πεποίκεν S. — 16. λῦσαι A, F, Y. — 19. προσεῖσθε F, Dobree. προσίεσθε S et vulg. Dindorf conservait cette leçon et écrivait δὴ pour ἄν.

1. Παρανόμων πρῶτον γραφῶν καταλυθεισῶν. Cette mesure prépara l'établissement des Quatre-cents en 411. Cf. Thucydide, VIII, 67.

3. Ὑπολάβοι, répondrait, objecterait. Cf. *Leptine*, § 146; *Androt.*, § 23, et *passim*.

6. Οὐδ' εἰ μή πω ἂν ἐκφύοι, quand même les circonstances seraient telles que ce germe ne pourrait pas encore se développer. L'optatif avec ἄν exprime la possibilité, et il est indépendant de εἰ et de la tournure hypothétique de la phrase. Cf. *Ambass.*, § 172; *Leptine*, § 62, où cependant ἄν après εἰ s'explique d'une manière un peu différente.

13. Κἂν ἄρα, et s'il arrivait que.... Ἄρα marque un cas auquel on ne s'attend pas. Voy. la note sur εἰ ἄρ' ἐγχειρεῖν ἔγνωκε τοῖς Ἕλλησι, *Symmor.*, § 5.

15. Νόμῳ τοὺς νόμους καταλῦσαι. Cf. *Ambass.*, § 320. On y voit Philippe chercher une τέχνη pour tromper les Athéniens sans se compromettre personnellement, et le résultat de sa délibération intérieure y est aussi résumé dans une antithèse fine et expressive. Πῶς οὖν μήτε ψεύσομαι φανερῶς, μήτ' ἐπιορκεῖν δόξας πάνθ' ἃ βούλομαι διαπράξομαι; πῶς; οὕτως, ἂν Ἀθηναίων τινὰς εὕρω τοὺς Ἀθηναίους ἐξαπατήσοντας.

16. Τὸ τῆς σωτηρίας ὄνομ(α). Ces mots seraient obscurs, si l'orateur ne se hâtait pas de les expliquer lui-même.

18. Τὴν μὲν οὖν τοῦ ὀνόματος....

749 κατεῖδεν· τὴν δὲ χρείαν, ὅτι τἀναντί' ἔχουσα φανήσεται, παρεῖδεν. [157] Φέρε γὰρ πρὸς Διός, ἔστιν ὅστις ἂν ἢ πρόεδρός ποτ' ἐπεψήφισεν ἢ πρύτανις τούτων τι τῶν ἐν τῷ νόμῳ γεγραμμένων; ἐγὼ μὲν οὐδέν' ἂν οἶμαι. Πῶς οὖν τοῦθ' ὑπέδυ; νόμον ἔθετ' ὄνομα τοῖς αὑτοῦ κακουργήμασιν. Οὐ γὰρ ἁπλῶς, οὐδ' ὅπως ἔτυχον, ποιοῦσι κακῶς ὑμᾶς, ἀλλ' ἐσκεμμένως καὶ τοῦτ' αὐτὸ πράττοντες, οὐχ οὗτος μόνον, ἀλλὰ πολλοὶ τῶν πολιτευομένων, οἳ τούτῳ παριόντες αὐτίκα δὴ μάλα συναπολογήσονται, οὐ μὰ Δί' οὐ Τιμοκράτει χαρίσασθαι βουλόμενοι, πόθεν; ἀλλ' αὑτῷ συμφέρειν ἕκαστος ἡγούμενος τὸν νόμον. Ὥσπερ τοίνυν οὗτοι σφίσιν αὐτοῖς βοηθοῦσιν ἐφ' ὑμᾶς, οὕτω δεῖ καὶ ὑμᾶς ὑμῖν αὐτοῖς βοηθεῖν. [158] Καίτοι ἀνερωτῶντός τινος αὐτὸν ὅτου ἕνεκα τοιαῦτ' ἠθέλησε γράφειν, καὶ διεξιόντος ὡς χαλεπὸν τὸν ἀγῶν' ὑπολαμβάνοι τόνδε, τετυφῶσθαι τὸν ταῦτα λέγοντ' ἔφη· συμπαρέσεσθαι γὰρ Ἀνδροτίωνα ἑαυτῷ, καὶ τοιούτους λόγους σχολὴν ἄγοντα ἐσκέφθαι περὶ πάντων ὥστ' εὖ εἰδέναι ὅτι

NC. 2. Avant grattage S portait peut-être ὅστις ἂν ἢῖ. — 4. οὐδεν S[1]. — 6. ἔτυχον S seul. ἔτυχε vulg. — 7. J'ai écrit οὗτος pour οὗτοι, erreur facile à expliquer. — 10. βουλομένουσ S[1] — 15. Ponctuation avant τόνδε dans S. — τετυφλῶσθαι Y et, avant grattage, S. — ταῦτα est omis dans A, Y. — 17. σχολὴν ἄγοντα S seul. ἄγοντα σχολὴν vulg.

παρεῖδεν, il comprit très bien que rien ne pourrait vous allécher plus que la popularité de ce mot; il ne voulut pas comprendre qu'à l'usage et dans l'application la chose se montrerait toute différente. La subtilité de la pensée amène les assonances antithétiques κατεῖδεν et παρεῖδεν.

2-3. Ἢ πρόεδρος.... ἢ πρύτανις. Autrefois les assemblées du sénat et du peuple étaient présidées par les prytanes, c.-à-d. les cinquante membres du sénat appartenant à celle des dix tribus qui se trouvait chargée de la gestion des affaires pendant un laps de temps qu'on appelait une prytanie; du temps de Démosthène, neuf proèdres, pris dans les neuf autres tribus, avaient cette présidence. Voy. la note sur *Mid.*, § 8. Timocrate, dit l'orateur, n'aurait en aucun temps fait passer un décret d'une illégalité aussi flagrante; il prit donc le parti de proposer une loi.

4-5. Πῶς οὖν τοῦθ' ὑπέδυ; par quelle voie souterraine y est-il arrivé? Pour faire le sens de « comment a-t-il esquivé cela? » il faudrait en grec ὑπέδυ παρὰ ταῦτα. Cf. *Aristog.*, I, § 28.

6. Ὅπως ἔτυχον. Construction personnelle.

9-10. Οὐ μὰ Δί' οὐ Τιμοκράτει χαρίσασθαι βουλόμενοι. Midias aussi est représenté comme un homme pour lequel ses défenseurs mêmes n'ont aucune sympathie. Cf. *Mid.*, § 205 : Καὶ βοηθοῦσιν οἱ λέγοντες ὑπὲρ αὐτοῦ, οὐχ οὕτω τούτῳ χαρίσασθαι μὰ τοὺς θεοὺς βουλόμενοι....

11-12. Ὥσπερ τοίνυν οὗτοι..., οὕτω δεῖ καὶ ὑμεῖς.... La même pensée dans *Mid.*, § 213 : Ὥσπερ ἕκαστος τούτων ὑπὲρ τῶν ἰδίᾳ συμφερόντων καὶ ὑπὲρ τούτου σπουδάσεται, οὕτως ὑμεῖς ὑπὲρ ὑμῶν αὐτῶν καὶ τῶν νόμων.... σπουδάσατε.

οὐδὲν αὐτῷ γενήσοιτο φλαῦρον ἀπὸ τῆς γραφῆς τῆσδε. [159] Καὶ δῆτα καὶ τεθαύμακα τὴν ἀναισχυντίαν τὴν τούτου τε κἀκείνου, τοῦ μὲν, εἰ καλεῖ, τοῦ δ', εἰ πάρεισι καὶ συναπολογήσεται. Μαρτυρία γὰρ δήπου φανερὰ γενήσεται πᾶσιν ὑμῖν ὅτι τὸν νόμον τούτου ἕνεκ' ἐτίθει, ἀλλ' οὐκ ἐπὶ πᾶσι τὸν αὐτόν. Ὅμως δὲ καὶ περὶ τῶν ἐκείνῳ πεπολιτευμένων ὑμᾶς μικρὰ βέλτιόν ἐστιν ἀκοῦσαι, καὶ τούτων ταῦθ', ὧν κεκοινώνηκεν οὗτος καὶ δι' ἃ τοῦτον οὐδὲν ἧττον ἐκείνου δικαίως ἂν μισοῖτε. Λέξω δ' οὐδὲν ὧν ἀκηκόαθ' ὑμεῖς, εἰ μή 750 τινες ἄρ' ἐπὶ τοῖς Εὐκτήμονι γιγνομένοις ἀγῶσι παρῆσαν.

[160] Καὶ πρῶτον μὲν, ἐφ' ᾧ μέγιστον φρονεῖ, τὴν τῶν χρημάτων εἴσπραξιν ἐξετάσωμεν αὐτοῦ, ἣν μετὰ τούτου τοῦ χρηστοῦ πάντας εἰσέπραξεν ὑμᾶς. Αἰτιασάμενος γὰρ Εὐκτήμονα τὰς ὑμετέρας ἔχειν εἰσφορὰς, καὶ τοῦτ' ἐξελέγξειν ἢ παρ' ἑαυτοῦ καταθήσειν ὑποσχόμενος, καταλύσας ψηφίσματι κληρωτὴν ἀρχὴν ἐπὶ τῇ προφάσει ταύτῃ, ἐπὶ τὴν εἴσπραξιν παρέδυ, καὶ τοῦτον προυβάλετο, εἰπὼν τὴν τοῦ σώματος ἀρρωστίαν, ἵν', ἔφη, συνδιοικῇ μοι. [161] Δημηγορίαν δ' ἐπὶ τούτοις ποιούμενος, ὡς ἔστι τριῶν αἵρεσις, ἢ τὰ πομπεῖα κατακόπτειν ἢ πάλιν εἰσφέρειν ἢ τοὺς ὀφείλον-

NC. 3. τε après τούτου manque dans S, L, F. — 5. τούτων ἕνεκα A. — πᾶσιν S. — 8. διὰ τοῦτον οὐδὲν ἧττον ἐκεῖνον S, ἢ ajouté au-dessus de la ligne avant ἐκεῖνον par le reviseur. ἢ ἐκεῖνον L¹. — 10. γιγνομένοισ S, L¹. γενομένοις A, Y. γεγενημένοις F. — ἀγῶσιν S. — 18-19. δημηγορίας vulg. Cf. *Androt.*, § 48 NC. — αἵρεσισ S et L¹. αἵρεσις ὑμῖν vulg. Cf. *ib.*

3. Καλεῖ est au futur, comme συναπολογήσεται. On sait que πάρεισι a le sens d'un futur.

5. Οὐκ ἐπὶ πᾶσι τὸν αὐτόν. Cf. § 59.

6. Ἐκείνῳ désigne Androtion.

7-8. Ὧν κεκοινώνηκεν οὗτος. L'accusateur excuse ainsi sa digression au sujet d'Androtion.

9-10. Εἰ μή τινες.... On voit que l'orateur avoue les emprunts qu'il fait au plaidoyer contre Androtion. — Ἐπὶ τοῖς Εὐκτήμονι γιγνομένοις (comme ὅτε ἐγίγνοντο) ἀγῶσι παρῆσαν. On se souvient que, dans le procès intenté à Androtion, Euctémon, et non Diodore, avait été l'accusateur principal. Si le pluriel ἀγῶσι implique plusieurs affaires, on peut penser aussi au procès mentionné au commencement du § 14.

11. Καὶ πρῶτον μὲν.... Sauf quelques modifications, la plupart motivées par la circonstance, les § 160-168 sont empruntés aux § 47-56 du plaidoyer contre Androtion. Nous y renvoyons pour le commentaire.

17-18. Καὶ τοῦτον προυβάλετο (proposa), εἰπὼν (alléguant) τὴν τοῦ σώματος ἀρρωστίαν, ἵν', ἔφη, συνδιοικῇ μοι. C'est tout à fait le style de la conversation familière.

τας εἰσπράττειν, αἱρουμένων εἰκότως ὑμῶν τοὺς ὀφείλοντας εἰσπράττειν, ταῖς ὑποσχέσεσιν κατέχων καὶ διὰ τὸν καιρὸν ὃς ἦν τότ' ἔχων ἐξουσίαν, τοῖς μὲν κειμένοις νόμοις περὶ τούτων οὐκ ᾤετο δεῖν χρῆσθαι οὐδ', εἰ μὴ τούτους ἐνόμιζεν ἱκανούς, ἑτέρους τιθέναι, ψηφίσματα δ' εἶπεν ἐν ὑμῖν δεινὰ καὶ παράνομα, δι' ὧν ἠργολάβει, προσαγωγεῖ τούτῳ χρώμενος τῶν λημμάτων. [162] Καὶ πολλὰ τῶν ὑμετέρων κέκλοφεν μετὰ τούτου, γράψας τοὺς ἕνδεκα καὶ τοὺς ἀποδέκτας καὶ τοὺς ὑπηρέτας ἀκολουθεῖν μεθ' αὑτοῦ. Εἶτ' ἔχων τούτους ἦγεν ἐπὶ τὰς ὑμετέρας οἰκίας, καὶ σύ, ὦ Τιμόκρατες, συνηκολούθεις, μόνος τῶν συναρχόντων δέκ' ὄντων.
751 Καὶ μηδεὶς ὑπολαμβανέτω με λέγειν ὡς οὐ χρῆν εἰσπράττειν τοὺς ὀφείλοντας. Χρῆν γάρ. Ἀλλὰ πῶς; ὡς ὁ νόμος ἀγορεύει, τῶν ἄλλων ἕνεκα· τοῦτο γάρ ἐστι δημοτικόν. Οὐ γὰρ τοσοῦτον, ὦ ἄνδρες Ἀθηναῖοι, πέντε ταλάντων ὑμῖν, ὧν οὗτοι τότ' εἰσέπραξαν, τεθέντων ὠφέλησθε, ὅσον βέβλαφθε τοιούτων ἐθῶν εἰς τὴν πολιτείαν εἰσαγομένων. [163] Εἰ γὰρ θέλετ' ἐξετάσαι τίνος εἵνεκα μᾶλλον ἄν τις ἕλοιτ' ἐν δημοκρατίᾳ ζῆν ἢ ἐν ὀλιγαρχίᾳ, τοῦτ' ἂν εὕροιτε προχειρότατον, ὅτι πάντα πραότερ' ἐν τῇ δημοκρατίᾳ. Ὅτι μὲν τοίνυν τῆς ὅπου βούλεσθ' ὀλιγαρχίας πολλῷ ἀσελγέστερα καὶ δεινότερ' ἐποίουν οὗτοι, παραλείψω· ἀλλὰ παρ' ἡμῖν πότε πώποτε δεινότατ' ἐν τῇ πόλει γέγονεν; εὖ οἶδ' ὅτι

NC. 8. μετὰ τοῦτο S[1] par correction, et L[1] avant correction. — 10. τουτουσὶ S. L[1], F,. — 10. ὦ est omis dans A. — 13. ὁ νόμος κελεύει F, comme *Androt.*, § 51. — 15. ὑμῖν. Variante ὑμεῖς. — 18. θέλετ' S et L ici et *Androt.*, *ib.* ἐθέλοιτ' vulg. — ἕνεκα mss. — 20. πραότερα S et L[1]. πραότερά ἐστιν vulg., comme *Andr.* — ἐν τῇ S, L. ἐν A, F, et *Andr.* — 21. ὅποι mss ici, A, F dans *Androt.* — πολλῷ m'est suspect. — 22. ἀλλ' ἃ F et, par correction, L. — δεινότατα τὰ S, L[1].

6. Προσαγωγεῖ, agent chargé de procurer, d'attirer. Ce mot, qui par hasard ne se retrouve pas dans ce que nous avons conservé des auteurs attiques, se prenait, je crois, dans le sens fâcheux d'entremetteur.

8. Τοὺς ἀποδέκτας. Les dix Apodectes étaient les receveurs des revenus publics et se trouvaient chargés, en cette qualité, d'inscrire sur leurs registres les débiteurs du fisc. Cf. Bœckh, *Staatshaushaltung*, p. 214 sqq.

11. Δέκα ὄντων. Ils étaient dix, en comptant Androtion et Timocrate.

15. Πέντε ταλάντων. Dans *Androtion*, § 44, le montant de l'arriéré que les commissaires firent rentrer est évalué à sept talents.

ἐπὶ τῶν τριάκονθ' ἅπαντες ἂν εἴποιτε. [164] Τότε τοίνυν, ὡς ἔστιν ἀκούειν, οὐδείς ἐστιν ὅστις ἀπεστερεῖτο τοῦ σωθῆναι, ὅστις ἑαυτὸν οἴκοι κρύψειεν, ἀλλ' αὐτὸ τοῦτο κατηγοροῦσι τῶν τριάκοντα, ὅτι τοὺς ἐκ τῆς ἀγορᾶς ἀδίκως ἀπῆγον. Οὗτοι τοίνυν τοσαύτην ὑπερβολὴν ἐποιήσαντ' ἐκείνων τῆς αὑτῶν πονηρίας, ὥστ' ἐν δημοκρατίᾳ πολιτευόμενοι τὴν ἰδίαν οἰκίαν ἑκάστῳ δεσμωτήριον καθίστασαν, τοὺς ἕνδεκ' ἄγοντες ἐπὶ τὰς οἰκίας. [165] Καίτοι, ὦ ἄνδρες Ἀθηναῖοι, τί οἴεσθ' ὁπότ' ἄνθρωπος πένης (ἢ καὶ πλούσιος, πολλὰ δ' ἀνηλωκὼς καί τιν' ἴσως τρόπον εἰκότως οὐκ εὐπορῶν ἀργυρίου), μὴ μόνον εἰς τὴν ἀγορὰν φοβοῖτ' ἐμβαλεῖν, ἀλλὰ μηδ' οἴκοι μένειν ἀσφαλὲς ἡγοῖτο, ὁ δὲ τούτων αἴτιος Ἀνδροτίων εἴη, ὃν οὐδ' ὑπὲρ αὑτοῦ δίκην ἐᾷ λαβεῖν τὰ πεπραγμένα καὶ βεβιωμένα, μή τί γ' ὑπὲρ τῆς πόλεως [εἰσπράττειν εἰσφοράς]; [166] Καίτοι εἴ τις ἔροιτ' αὐτὸν ἢ σέ, 752 ὦ Τιμόκρατες, τὸν ἐπαινέτην τούτων καὶ συνεργόν, τὰς εἰσφορὰς πότερον τὰ κτήματ' ἢ τὰ σώματ' ὀφείλει, τὰ κτήματα φήσαιτ' ἄν, εἴπερ ἀληθῆ λέγειν βούλοισθε· ἀπὸ γὰρ τούτων εἰσφέρομεν. Τίνος οὖν ἕνεκ', ὦ κάκιστοι πάντων ἀνθρώπων, ἀφέντες τὸ τὰ χωρία δημεύειν καὶ τὰς οἰκίας, καὶ ταῦτ' ἀπογράφειν, ἐδεῖτε καὶ ὑβρίζετε πολίτας ἀνθρώπους καὶ τοὺς ταλαιπώρους μετοίκους, οἷς ὑβριστικώτερον ὑμεῖς ἢ τοῖς οἰκέταις τοῖς ὑμετέροις αὐτῶν ἐχρῆσθε; [167] Καὶ μὴν εἰ θέλετε σκέψασθαι παρ' ὑμῖν αὐτοῖς, ὦ ἄνδρες δικασταί, τί δοῦλον ἢ ἐλεύθερον εἶναι διαφέρει, τοῦτο

NC. 3. κατηγοροῦμεν F, comme dans *Androt.* — 5. ἐκείνων est omis dans A, Y. — 9. ὁπότ' ἂν S, L, comme F dans *Androt.* — 9-10. πολλ' ἀνηλωκὼς S, L, comme F dans *Androt.* — 12. ἂν ἀσφαλὲσ S, L, F. — ἧι τοῦτο, pour ἡγοῖτο, qui est noté en marge, S[1] et L[1] seuls. — 14-15. J'écarte, avec Herwerden, εἰσπράττειν εἰσφορας, mots parasites qui ne sont pas dans *Androt.* — 22. ἐδεῖτε complété par l'un des deux reviseurs, S[1] avait laissé un blanc entre ε et τε. — 24. αὐτῶν vulg. et reviseur de S. οὕτωσ S[1] et L[1]. — ἔχρησθε S et L[1]. κέχρησθε vulg. 25. — θέλοιτε un ms. Cf. *Androt.* — σκέψασθε S, L, A, Y

11-12. Μὴ μόνον.... ἀλλὰ μηδ' οἴκοι μένειν ἀσφαλὲς ἡγοῖτο. On peut trouver que la période a gagné à la suppression des longs détails qui se trouvaient dans la partie correspondante (§ 53) de l'autre plaidoyer.

μέγιστον ἂν εὕροιτε, ὅτι τοῖς μὲν δούλοις τὸ σῶμα τῶν ἀδικημάτων ἁπάντων ὑπεύθυνόν ἐστιν, τοῖς δ' ἐλευθέροις ὕστατον τοῦτο προσήκει κολάζειν. Οἱ δὲ τοὐναντίον εἰς τὰ σώμαθ', ὥσπερ ἀνδραπόδοις, ἐποιήσαντο τὰς τιμωρίας. [168] Οὕτω δ' ἀνίσως καὶ πλεονεκτικῶς ἔσχε πρὸς ὑμᾶς Ἀνδροτίων ὥστε τὸν μὲν αὑτοῦ πατέρ' ᾤετο δεῖν, δημοσίᾳ δεθέντ' ἐπὶ χρήμασιν ἐν τῷ δεσμωτηρίῳ, μήτ' ἀποδόντα ταῦτα μήτε κριθέντ' ἀποδρᾶναι, τῶν δ' ἄλλων πολιτῶν τὸν μὴ δυνάμενον τὰ ἑαυτοῦ θεῖναι οἴκοθεν εἰς τὸ δεσμωτήριον ἀχθέντ' ὑφ' ἑαυτοῦ δεδέσθαι. [169] Καὶ Τιμοκράτης τῶν μὲν πολλῶν ἡμῶν τόθ', ὅτε τὴν διπλασίαν εἰσέπραττεν, οὐδ' ἂν παρ' ἑνὸς λαβεῖν ἠθέλησεν ἐγγυητάς, μὴ ⟨ὅτι⟩ μέχρι τῆς ἐνάτης πρυτανείας, ἀλλ' οὐδὲ μιᾶς ἡμέρας, ἀλλ' ἢ διπλᾶ τὰ χρήματ' ἔδει καταβάλλειν ἢ παραχρῆμα δεδέσθαι· παρεδίδου δ' οὗτος τοῖς ἕνδεκα τὸν οὐκ ὠφληκότ' ἐν τῷ 753 δικαστηρίῳ. Νῦν δ' ὅπως ὧν ἂν ὑμεῖς καταγνῶτ' ἄδετοι περιίασιν, ὑπεύθυνον αὐτὸν ποιήσας νόμον εἰσενεγκεῖν ἐτόλμησεν.

[170] Ἀλλ' ὅμως κἀκεῖνα καὶ τάδε φήσουσιν ὑπὲρ ὑμῶν πράττειν. Εἶτα ταῦθ' ὑμεῖς ἀναδέξεσθε [ὑπὲρ ὑμῶν πε-

NC. 5. ἔσχεν S. — 10. ὑπ' αὐτοῦ vulg. — 12. ὅτι inséré par Cobet. — 13. ἀλλὰ μιᾶς S et L[1] seuls. — 15. οὐκ manque dans S et L[1] seuls. ⟨καὶ⟩ τὸν οὐκ Cobet. — 17. περιίωσιν A, Y. — 20. ἐφ' ἑαυτοὺς ἀναδέξεσθε F, comme *Androt.*, § 64. ἀνέξεσθε A, Y. — J'écarte les mots ὑπὲρ ὑμῶν πεπρᾶχθαι, qui se lieraient mieux à ἀποδέξεσθε qu'à ἀναδέξεσθε.

2-3. Τοῖς δ' ἐλευθέροις ὕστατον τοῦτο προσήκει κολάζειν. Dans *Androt.*, § 55, on lit : τοῖς δ' ἐλευθέροις, κἂν τὰ μέγιστ' ἀτυχῶσιν, τοῦτό γ' ἔνεστι σῶσαι. « Intellexit se antea nimium dixisse, quia « tot liberi cives capite plectebantur. » [Cobet.]

3. Οἱ δὲ τοὐναντίον εἰς τὰ σώματ(α)... Ces mots sont plus clairs dans l'autre discours, où ils se trouvent précédés du membre de phrase : εἰς χρήματα γὰρ τὴν δίκην παρὰ τούτων προσήκει λαμβάνειν. Y a-t-il une lacune ici ?

5. Ἀνίσως est plus juste que αἰσχρῶς dans le passage correspondant

9-10. Εἰς τὸ δεσμωτήριον ἀχθέντ' ὑφ' ἑαυτοῦ δεδέσθαι. Plus expressif que εἰς τὸ δεσμωτήριον ἕλκεσθαι, *Androt.*, § 56

10-11. Τῶν μὲν πολλῶν ἡμῶν. Ces mots semblent demander l'antithèse ῥήτορες, qui ne se lit cependant point plus bas après νῦν δέ.

15. Τὸν οὐκ ὠφληκότα, des citoyens qui n'avaient pas été condamnés. Avant un participe, l'article désigne l'espèce, non l'individu.

19. Ὑπὲρ ὑμῶν πράττειν (infinitif de l'imparfait). Cf. § 111.

20 sqq. Εἶτα ταῦθ'. En comparant *Androt.*, § 64, on verra combien ce morceau

πρᾶχθαι], καὶ τὰ τῆς τούτων θρασύτητος καὶ πονηρίας ἔργα πράως οἴσετε; ἀλλὰ μισεῖν ὀφείλετε τοὺς τοιούτους, ὦ ἄνδρες Ἀθηναῖοι, μᾶλλον ἢ σῴζειν. Τὸν γὰρ ὑπὲρ τῆς πόλεως πράττοντά τι καὶ πράων ὑμῶν τευξόμενον τὸ τῆς πόλεως ἦθος ἔχοντα δεῖ φαίνεσθαι. [171] Τοῦτο δ' ἐστὶν τί; τοὺς ἀσθενεῖς ἐλεεῖν, τοῖς ἰσχυροῖς καὶ δυναμένοις μὴ ἐπιτρέπειν ὑβρίζειν, οὐ τοὺς μὲν πολλοὺς ὠμῶς μεταχειρίζεσθαι, κολακεύειν δὲ τὸν ἀεί τι δύνασθαι δοκοῦντα. Ὃ σὺ ποιεῖς, ὦ Τιμόκρατες· δι' ἃ πολλῷ μᾶλλον ἂν εἰκότως μὴ θελήσαντες ἀκοῦσαι σοῦ θάνατον καταψηφίσαινθ' οὗτοι ἢ δι' Ἀνδροτίων' ἀφείησαν.

[172] Ὅτι τοίνυν οὐδὲ τὴν εἴσπραξιν αὐτὴν ὑπὲρ ὑμῶν πεποίηνται, καὶ τοῦτ' αὐτίκα δὴ μάλ' ὑμῖν δῆλον ποιήσω. Εἰ γάρ τις ἔροιτ' αὐτοὺς πότερ' αὐτοῖς δοκοῦσιν ἀδικεῖν μᾶλλον τὴν πόλιν οἱ γεωργοῦντες καὶ φειδόμενοι, διὰ παιδοτροφίας δὲ καὶ οἰκεῖ' ἀναλώματα καὶ λειτουργίας ἑτέρας ἐλλελοιπότες εἰσφορὰν, ἢ οἱ τὰ τῶν ἐθελησάντων εἰσενεγκεῖν χρήματα καὶ τὰ παρὰ τῶν συμμάχων κλέπτοντες καὶ ἀπολλύντες, οὐκ ἂν εἰς τοῦτο δήπου τόλμης, καίπερ ὄντες ἀναιδεῖς, ἔλθοιεν, ὥστε φῆσαι τοὺς τὰ ἑαυτῶν μὴ εἰσφέροντας μᾶλλον ἀδικεῖν ἢ τοὺς τὰ κοίν' ὑφαιρουμένους. [173] Τίνος οὖν ἕνεκ', ὦ Τιμόκρατες καὶ Ἀνδροτίων, ἐτῶν ὄντων πλειόνων ἢ τριάκοντα ἀφ' οὗ ὅ γ' ἕτερος ὑμῶν πολι- 754
τεύεται, καὶ ἐν τούτῳ τῷ χρόνῳ πολλῶν μὲν στρατηγῶν ἠδικηκότων τὴν πόλιν, πολλῶν δὲ ῥητόρων, οἳ παρὰ τουτοισὶ κέκρινται, ὧν οἱ μὲν τεθνᾶσιν ἐφ' οἷς ἠδίκουν, οἱ δ'

NC. 8 αἰεὶ *vulgo*, Blass. — ἃ σὺ A, Y — 9. μηδὲ A. — 11. ἀφείησαν Dindorf. ἀρίεσαν mss. — 14. πότερ' Benseler. πότεροι mss. — 17. εἰσφορὰν S et L dans *Androt.*, § 65. Ici εἰσφορὰσ S et L[1] seuls, τὰς εἰσφορὰς vulg. — 18. τὰ, avant παρὰ, est omis dans S et L seuls.

a gagné à être repris par l'orateur. — Ὑμεῖς ἀναδέξεσθε : prendrez-vous la responsabilité de ces actes, en admettant qu'ils aient été faits dans votre intérêt?

4. Καὶ πράων ὑμῶν τευξόμενον, et qui veut trouver en vous des juges indulgents.

10-11. Δι' Ἀνδροτίων(α), à cause du talent d'Androtion, qui lui a composé son plaidoyer : cf. § 158. Ces mots sont opposés à μὴ θελήσαντες ἀκοῦσαι.

12. Ὅτι τοίνυν.... Les paragraphes 172-173 sont tirés, à peu de chose près, d'*Androtion*, § 65-66.

23. Ὅ γ' ἕτερος ὑμῶν : Androtion.

ὑποχωρήσαντες ᾤχοντο καταγνόντες αὐτῶν, οὐδενὸς πώποτε τούτων ἐξητάσθη κατήγορος ὑμῶν οὐδέτερος, οὐδ' ἀγανακτῶν ὤφθη ὑπὲρ ὧν ἡ πόλις πάσχοι, ἀλλ' ἐνταῦθ' ἐφάνηθ' ἡμῶν κηδόμενοι, οὓ πολλοὺς ἔδει κακῶς ποιῆσαι; [174] Βούλεσθ', ὦ ἄνδρες Ἀθηναῖοι, τὸ τούτων αἴτιον ἐγὼ ὑμῖν εἴπω; ὅτι τούτων μὲν μετέχουσιν ὧν ἀδικοῦσιν ὑμᾶς τινες, ἀπὸ δὲ τῶν εἰσπραττομένων ὑφαιροῦνται· δι' ἀπληστίαν δὲ τρόπων διχόθεν καρποῦνται τὴν πόλιν. Οὔτε γὰρ ῥᾷον πολλοῖς καὶ τὰ μίκρ' ἀδικοῦσιν ἀπεχθάνεσθαι ἢ ὀλίγοις καὶ μεγάλα, οὔτε δημοτικώτερον δήπου τὰ τῶν πολλῶν ἀδικήμαθ' ὁρᾶν ἢ τὰ τῶν ὀλίγων. Ἀλλὰ τοῦτ' αἴτιον οὑγὼ λέγω. [175] Δεῖ τοίνυν ὑμᾶς ταῦτα λογισαμένους, καὶ μεμνημένους ὧν ἂν ἕκαστος ἁμάρτῃ, κολάζειν, ὅταν λάβητέ τινα, καὶ μὴ τὸν χρόνον, εἰ πολύς ἐστ' ἀπ' ἐκείνου, σκοπεῖν, ἀλλ' εἰ ταῦτ' ἐποίουν. Ὡς εἰ νῦν πράως οἴσετ' ἐφ' οἷς τότ' ἠγανακτεῖτε, δόξετ' ὀργιζόμενοι κατεγνωκέναι τὰ χρήματα τούτων, οὐκ ἀδικούμενοι. Τῶν μὲν γὰρ ὀργιζομένων ἐστὶν ὀξέως τι κακὸν τὸν λελυπηκότ' ἐργάσασθαι, τῶν δὲ ἀδικουμένων, ὅταν ποθ' ὑφ' αὑτοῖς λάβωσι τὸν ἠδικηκότα, τότε τιμωρήσασθαι. Οὔκουν δεῖ δοκεῖν, νῦν μαλακισθέντας, τότε τῶν ὀμωμοσμένων ὅρκων ἀμελήσαντας ὑμῖν αὐτοῖς χαρίσασθαι παρὰ τὸ δίκαιον, ἀλλὰ

NC. 3. πάσχοι Bekker. πάσχει S, L, F. ἔπασχεν vulg. — 7. ὑφαιροῦνται F, Y. ὑφῃροῦντο S, L[1]. Cf. *Androt.* — 8-9. καὶ τὰ μικρὰ dans *Androt.* καὶ κατὰ μικρὰ mss. ici. καὶ μικρὰ Reiske. — 12. λογισαμένους S, L. λογιζομένους A, F, B, Y. — 18-19. ὑπ' αὐτοῖσ mss.

1. Καταγνόντες αὐτῶν. Ces mots ne sont pas dans l'autre discours.

4. Κηδόμενοι répond à κηδεμὼν ὧν dans *Androt.*

6. Ὅτι τούτων μὲν.... Ce passage, jusqu'à la fin du paragraphe, a été à tort inséré dans *Androt.*, § 67. — Μετέχουσιν ὧν ἀδικοῦσιν ὑμᾶς τινες, ils ont leur part des profits que certaines gens font à vos dépens.

8. Ῥᾷον, plus facile à porter, moins odieux.

14. Ἀπ' ἐκείνου : sous-ent. τοῦ χρόνου ὅτε ἕκαστος ἥμαρτεν. [Reiske.] L'ambassade d'Androtion et consorts, et les faits rapportés au § 12, sont déjà anciens.

15. Τότ(ε) : quand Euctémon, poursuivi παρανόμων à cause du décret qu'il avait fait porter contre les détenteurs d'une prise faite par un navire de guerre, fut acquitté par les juges. Voy. § 14. [Reiske.]

16. Κατεγνωκέναι τὰ χρήματα τούτων, les avoir condamnés au payement de l'argent (c.-à-d. de l'argent provenant de la prise et du montant de l'amende). Cf., pour la construction, § 63 : Τέως ἂν ἐκτείσῃ ὅ τι ἂν αὐτοῦ καταγνωσθῇ.

21. Ὑμῖν αὐτοῖς χαρίσασθαι παρὰ τὸ δίκαιον. Si les juges faiblissaient maintenant, on pourrait dire qu'ils cédèrent

μισεῖν καὶ μηδ' ἀνέχεσθαι φωνὴν μήτε τούτου μήτ' ἐκείνου, 755 τοιαῦτα πεπολιτευμένων.

[176] Ἀλλὰ νὴ Δία ταῦτα μόνον τοιοῦτοι γεγόνασιν ἐν οἷς πεπολίτευνται, ἄλλα δ' ἔσθ' ἃ καλῶς διῳκήκασιν· ἀλλὰ καὶ τἄλλ' οὕτω προσεληλύθασι πρὸς ὑμᾶς ὥσθ' ἥκιστ' ἐν οἷς ἀκηκόατ' ἄξιόν ἐστι μισεῖν αὐτούς. Τί γὰρ βούλεσθ' εἴπω; τὰ πομπεῖ' ὡς ἐπεσκευάκασι, καὶ τὴν τῶν στεφάνων καθαίρεσιν, ἢ τὴν τῶν φιαλῶν ποίησιν τὴν καλήν; [177] Ἀλλ' ἐπὶ τούτοις γ', εἰ μηδὲν ἄλλο ἠδίκουν τὴν πόλιν, τρὶς οὐχ ἅπαξ τεθνάναι δικαίως ἄν μοι δοκοῦσιν· καὶ γὰρ ἱεροσυλίᾳ καὶ ἀσεβείᾳ καὶ κλοπῇ καὶ πᾶσι τοῖς δεινοτάτοις εἰσὶν ἔνοχοι. Τὰ μὲν οὖν πόλλ' ὧν λέγων ἐφενάκιζεν ὑμᾶς Ἀνδροτίων παραλείψω· φήσας δ' ἀπορρεῖν τὰ φύλλα τῶν στεφάνων καὶ σαπροὺς εἶναι διὰ τὸν χρόνον, ὥσπερ ἴων ἢ ῥόδων ὄντας, ἀλλ' οὐ χρυσίου, συγχωνεύειν ἔπεισεν. Αἱρεθεὶς δ' ἐπὶ ταῦτα προσείλετο τοῦτον τὸν πάντων τῶν κακῶν κοινωνόν. [178] Κᾆτ' ἐπὶ μὲν ταῖς εἰσφοραῖς τὸν δημόσιον παρεῖναι προσέγραψεν ὡς δὴ δίκαιος ὤν, ὧν ἕκαστος ἀντιγραφεὺς ἔμελλεν ἔσεσθαι τῶν εἰσενεγκόντων· ἐπὶ τοῖς στεφάνοις δ', οὓς κατέκοπτεν, οὐχὶ προσήγαγε ταὐτὸ δίκαιον τοῦτο, ἀλλ' αὐτὸς ῥήτωρ, χρυσοχόος, ταμίας, ἀντιγραφεὺς γέγονεν. [179] Καὶ μὴν εἰ μὲν ἅπαντ' ἠξίους, ὅσα πράττεις τῇ πόλει, σαυτῷ πιστεύειν, οὐκ ἂν ὁμοίως κλέπτης ὢν ἐφωρῶ· νῦν δ' ἐπὶ ταῖς εἰσφοραῖς ὃ δίκαιόν ἐσθ' ὁρίσας, μὴ σοὶ πιστεύειν, ἀλλὰ τοῖς αὐτῆς δούλοις τὴν πόλιν, ὁπότ' ἄλλο τι πράττων καὶ χρήματα κινῶν ἱερά, ὧν ἔνι' οὐδ' ἐπὶ 756 τῆς ἡμετέρας γενεᾶς ἀνετέθη, μὴ προσγραψάμενος τὴν αὐτὴν φυλακὴν ἥνπερ ἐπὶ τῶν εἰσφορῶν φαίνει, οὐκ ἤδη δῆλον δι' ὃ τοῦτ' ἐποίησας; ἐγὼ μὲν οἶμαι. [180] Καὶ μήν,

NC. 3. ταῦτα μὲν, comme dans *Androtion*, Cobet. — 10. δικαίως ἄν μοι τεθνάναι A, F, Y. — 20. προσήγαγεν S.

autrefois à la tentation d'enrichir le fisc, qui les nourrissait, par une condamnation injuste.

3. Ἀλλὰ νὴ Δία.... Les § 176-181 s'accordent presque textuellement avec *Androtion*, § 69-73.

ὦ ἄνδρες Ἀθηναῖοι, καὶ κατὰ παντὸς τοῦ χρόνου σκέψασθ' ὡς καλὰ καὶ ζηλώτ' ἐπιγράμματα τῆς πόλεως ἀνελὼν ὡς ἀσεβῆ καὶ δείν' ἀντεπέγραψεν. Οἶμαι γὰρ ὑμᾶς ἅπαντας ὁρᾶν ὑπὸ τῶν στεφάνων ταῖς χοινικίσιν κάτωθεν γεγραμμένα « οἱ σύμμαχοι τὸν δῆμον ἀνδραγαθίας εἵνεκ' ἐστεφάνωσαν « καὶ δικαιοσύνης » ἢ « οἱ σύμμαχοι ἀριστεῖον τῇ Ἀθηναίᾳ « ἀνέθεσαν » ἢ κατὰ πόλεις « οἱ δεῖνες τὸν δῆμον ἐστεφά- « νωσαν σωθέντες ὑπὸ τοῦ δήμου », οἷον « Εὐβοεῖς ἐλευθε- « ρωθέντες ἐστεφάνωσαν τὸν δῆμον » ἐπεγέγραπτό που, πάλιν « Κόνων ἀπὸ τῆς ναυμαχίας τῆς πρὸς Λακεδαιμο- « νίους », « Χαβρίας ἀπὸ τῆς ἐν Νάξῳ ναυμαχίας ». Τοιαῦτα γὰρ ἦν τὰ τῶν στεφάνων ἐπιγράμματα. [181] Ταῦτα μὲν τοίνυν, ἃ [πρότερον] ζῆλον πολὺν εἶχε καὶ φιλοτιμίαν ὑμῖν, ἠφάνισται καθαιρεθέντων τῶν στεφάνων· ἐπὶ ταῖς φιάλαις δ', ἃς ἀντ' ἐκείνων ἐποιήσαθ' ὑμῖν ὁ πόρνος οὗτος, « Ἀνδροτίωνος ἐπιμελουμένου » ἐπιγέγραπται, καὶ οὗ τὸ σῶμ' ἡταιρηκότος οὐκ ἐῶσιν οἱ νόμοι εἰς τὰ ἱερ' εἰσιέναι, τούτου τοὔνομ' ἐν τοῖς ἱεροῖς ἐπὶ τῶν φιαλῶν γεγραμμένον ἐστίν. Ὅμοιόν γε, οὐ γάρ; τοῦτο τοῖς προτέροις ἐπιγράμμασιν, ἢ φιλοτιμίαν ἴσην ἔχον ὑμῖν. [182] Τρία τοίνυν ἐκ τούτου τὰ δεινότατ' ἄν τις ἴδοι πεπραγμέν' αὐτοῖς. Τὴν μὲν
787 γὰρ θεὸν τοὺς στεφάνους σεσυλήκασιν· τῆς πόλεως δὲ τὸν ζῆλον ἠφανίκασιν τὸν ἐκ τῶν ἔργων, ὧν ὑπομνήματ' ἦσαν

NC. 1. καθ' ἅπαντοσ S et L seuls, ici, non dans *Androtion*. — 5. τὸν δῆμον S et texte de L seuls, comme dans *Androt.* τὸν δῆμον τὸν (ou τῶν) Ἀθηναίων vulg. — 6. ἀθηναίαι S, L[1] dans *Androt.* ἀθηνᾶι mss ici. — 7. οἵτινεσ (pour οἱ δεῖνες) S, L[r], Y, ici, non dans *Androt.* — 13. ζῆλον πρότερον F. πρότερον, qui ne se lit pas dans *Androt.*, est suspect. — εἶχεν S. — 14-15. ἐπὶ ταῖς φιάλαις δὲ F, et tous les mss dans *Androt.* ἐπὶ δὲ ταῖσ φιάλαισ S. L, vulg. — 16. ἐπιμελουμένου S et texte de L seuls. ἐπιμελουμένου ἐποιήθησαν vulg. et tous les mss dans *Androt.* — 20. ἦν, pour ἢ, L. — 21. Var. : τούτων. — 21-22. Des signes de renvoi placés sur τὴν et sur θεὸν par S[1], sans qu'il y ait un γρ. en marge, indiquent peut-être une variante τῆς.... θεοῦ. — 22. τῆς δὲ πόλεως S, L ici, non dans *Androt.* — 24. ὑπομνήματ' A, F, L corrigé. ὑπόμνημα S, L[1]. De même dans *Androt.*

11. Χαβρίας ἀπὸ τῆς ἐν Νάξῳ ναυμαχίας. Cet exemple ne se lit pas dans le texte de l'autre discours.

20. Τρία τοίνυν.... Le § 182 se lit aussi dans *Androt.*, § 174, où il n'est pas de mise.

22-23. Τὸν ζῆλον. Cf. *Cour.*, § 120 : Τῷ μὲν στεφανουμένῳ τὸν αὐτὸν ἔχει ζῆλον ὁ στέφανος, ὅπου ἂν ἀναρρηθῇ.

ὄντες οἱ στέφανοι· τοὺς δ' ἀναθέντας δόξαν οὐ μικρὰν ἀφῄρηνται, τὸ δοκεῖν ὧν ἂν εὖ πάθωσιν ἐθέλειν μεμνῆσθαι. Καὶ τοιαῦτα καὶ τοσαῦτα τὸ πλῆθος κάκ' εἰργασμένοι εἰς τοῦτ' ἀναισθησίας καὶ τόλμης προεληλύθασιν, ὥσθ' ὁ μὲν οἴεται δι' ἐκεῖνον ὑφ' ὑμῶν σωθήσεσθαι, ὁ δὲ παρακάθηται καὶ οὐ καταδύεται τοῖς πεπραγμένοις. [183] [Οὕτω δ' οὐ μόνον εἰς χρήματ' ἀναιδής, ἀλλὰ καὶ σκαιός ἐστιν ὥστ' οὐκ οἶδεν ἐκεῖνο, ὅτι στέφανοι μέν εἰσιν ἀρετῆς σημεῖον, φιάλαι δὲ καὶ τὰ τοιαῦτα πλούτου, καὶ στέφανος μὲν ἅπας, κἂν μικρὸς ᾖ, τὴν ἴσην φιλοτιμίαν ἔχει τῷ μεγάλῳ, ἐκπώματα δ' ἢ θυμιατήρια ἢ τὰ τοιαῦτα κτήματα, ἐὰν μὲν ὑπερβάλλῃ τῷ πλήθει, πλούτου τινὰ δόξαν προσετρίψατο τοῖς κεκτημένοις, ἐὰν δ' ἐπὶ μικροῖς σεμνύνηταί τις, τοσοῦτ' ἀπέχει τοῦ τιμῆς τινὸς διὰ ταῦτα τυχεῖν ὥστ' ἀπειρόκαλος πρὸς ἔδοξεν εἶναι. Οὗτος τοίνυν ἀνελὼν τὰ τῆς δόξης κτήματα τὰ τοῦ πλούτου πεποίηται μικρὰ καὶ ἀνάξι' ὑμῶν. [184] Καὶ οὐδ' ἐκεῖν' εἶδεν, ὅτι πρὸς μὲν χρημάτων κτῆσιν οὐδεπώποθ' ὁ δῆμος ἐσπούδασεν, πρὸς δὲ

NC. 1. ὄντες manque dans F, est biffé dans L. — 4. ἀναισχυντίας F, marge de L. — 6. Je mets entre crochets les §§ 183-186, aussi déplacés ici qu'ils sont bien placés à la fin d'*Androtion*. — 9. φιάλαι δὲ καὶ ἐκπώματα καὶ τὰ τοιαῦτα vulg. — 15. πρὸς ἔδοξεν Dindorf. — 16. τὰ est omis après κτήματα dans les mss, ici, non dans *Androt*. — 17. οὐχ ὑμῶν ἄξια F, comme dans *Androt*. — οἶδεν vulg.

1. Ὄντες, tant qu'elles existaient.

2. Τὸ δοκεῖν...., apposition explicative de δόξα. Ailleurs Démosthène dit τὴν δόξαν τοῦ δοκεῖν, ce qui est moins conforme à notre manière de parler. Cf. les notes sur *Symmories*, § 1 ; *Paix*, § 22.

5. Δι' ἐκεῖνον. Voy. la note sur δι' Ἀνδροτίωνα, § 171.

6. Οὐ καταδύεται, il ne se cache pas de honte. Cf. *Mid.*, § 199 : Κατέδυ καὶ μέτριον παρέσχεν ἑαυτόν.

6-7. Οὕτω δ' οὐ μόνον.... Dans les considérations qui précèdent, Timocrate est associé à Androtion, comme il l'avait été dans le récit des faits et comme cela convient dans un procès directement dirigé contre lui. Mais, à partir d'ici, jusqu'à la fin du § 186, il n'est plus question que d'Androtion, et Timocrate est oublié. Évidemment, nous avons ici deux séries de considérations, qui font en partie double emploi et qui sont plutôt juxtaposées que rattachées entre elles. Ces deux séries de considérations se trouvent dans le texte des deux discours. Les critiques avaient vu que celles du § 182 du présent discours doivent être retranchées du discours contre Androtion, où elles forment le § 74 : elles y ont été évidemment insérées à tort. Mais il me semble tout aussi évident que notre discours a été aussi amplifié très inconsidérément par un morceau parallèle tiré de l'autre. Les § 183-186, placés à la fin du κατὰ Ἀνδροτίωνος, y forment une admirable péroraison ; ici ils ne sont qu'une superfétation des plus déplacées. Voy. *Revue de Philologie*, 1883, p. 12.

δόξης ὡς οὐδὲ πρὸς ἓν τῶν ἄλλων. Τεκμήριον δέ· χρήματα μὲν γὰρ πλεῖστα τῶν Ἑλλήνων ποτὲ σχὼν ἅπανθ' ὑπὲρ φιλοτιμίας ἀνήλωσεν, ὑπὲρ δὲ δόξης εἰσφέρων ἐκ τῶν ἰδίων οὐδένα πώποτε κίνδυνον ἐξέστη. Ἀφ' ὧν κτήματ' ἀθάνατ' αὐτῷ περίεστιν, τὰ μὲν τῶν ἔργων ἡ μνήμη, τὰ δὲ τῶν ἀναθημάτων τῶν ἐπ' ἐκείνοις σταθέντων τὸ κάλλος, προπύλαια ταῦτα, ὁ παρθενών, στοαί, νεώσοικοι, οὐκ ἀμφορίσκοι δύο οὐδὲ χρυσίδες τέτταρες ἢ τρεῖς, ἄγουσ' ἑκάστη μνᾶν, ἅς, ὅταν σοι δοκῇ, πάλιν γράψεις καταχωνεύειν. [185] Οὐ γὰρ ἑαυτοὺς δεκατεύοντες, οὐδ' ἂν καταράσαινθ' οἱ ἐχθροὶ ποιοῦντες, διπλᾶς πράττοντες τὰς εἰσφοράς, ταῦτ' ἀνέθεσαν, οὐδ' οἵοισπερ σὺ χρώμενοι συμβούλοις ἐπολιτεύοντο, ἀλλὰ τοὺς ἐχθροὺς κρατοῦντες, καὶ ἃ πᾶς τις ἂν εὖ φρονῶν εὔξαιτο, τὴν πόλιν εἰς ὁμόνοιαν ἄγοντες, ἀθάνατον κλέος αὑτῶν λελοίπασι, τοὺς ἐπιτηδεύοντας οἷά σοι βεβίωται τῆς ἀγορᾶς εἴργοντες. [186] Ὑμεῖς δ' εἰς τοσοῦτον, ὦ ἄνδρες Ἀθηναῖοι, πρόηχθ' εὐηθείας καὶ ῥαθυμίας ὥστ' οὐδὲ τοιαῦτ' ἔχοντες παραδείγματα ταῦτα μιμεῖσθε, ἀλλ' Ἀνδροτίων ὑμῖν πομπείων ἐπισκευαστής, Ἀνδροτίων, ὦ γῆ καὶ θεοί. Καὶ τοῦτ' ἀσέβημ' ἔλαττον τίνος ἡγεῖσθε; ἐγὼ μὲν γὰρ ἡγοῦμαι δεῖν τὸν εἰς ἱερ' εἰσιόντα καὶ χερνίβων καὶ κανῶν ἀψόμενον, καὶ τῆς πρὸς τοὺς θεοὺς ἐπιμελείας προστάτην ἐσόμενον οὐχὶ τακτὸν ἡμερῶν ἀριθμὸν ἁγνεύειν, ἀλλὰ τὸν βίον ἡγνευκέναι τοιούτων ἐπιτηδευμάτων οἷα τούτῳ βεβίωται.]

[187] Καὶ περὶ μὲν τούτου <τοῦ ἐσκεμμένου> κατὰ σχολὴν

NC. 9. ἅς.... καταχωνεύειν, mots omis ici, non dans *Androt.*, par S, A. — γράψεις dans *Androt.*, γράφεις ici. — 10. ἃ καταράσαιντ' ἂν mss. Voy. *Androt.* NC. — 12. οἱόσπερ Reiske. — 14. S portait d'abord λέγοντες. — 17. πρόηχθε est la bonne leçon conservée par S ici, non dans *Androt.* προήχθητ' vulg. — 21. οἶμαι δεῖν F, comme dans *Androt.* — 23. οὐχὶ προειρημένων ἡμερῶν A. Cf. *Androt.* — 24. βίον ὅλον vulg. — 26. τούτου S seul. τούτων vulg. — J'insère ici τοῦ ἐσκεμμένου. Cf. § 158

26. Τοῦ σκεμμένου κατὰ σχολήν. A entendre l'accusateur, Timocrate prétendait n'avoir rien à craindre, grâce au talent d'Androtion et aux arguments longuement médités par un homme aussi habile. C'est ainsi que la digression sur

ἃ δὴ Τιμοκράτης νῦν ἐρεῖ πολλὰ λέγειν ἔτι πρὸς τού-
τοις ἔχων παύσομαι. Οἶδα δ' ὅτι, ὡς μὲν οὐκ ἀσύμφορος
ὑμῖν ἐστιν ὁ νόμος καὶ παρὰ πάντας τοὺς νόμους εἰσενη-
νεγμένος καὶ κατὰ πάντ' ἀδίκως ἔχων, οὐχ ἕξει λέγειν·
ἀκούω δ' αὐτὸν λέγειν ὡς ἐκτέτισται τὰ χρήματ' Ἀνδρο-
τίωνι καὶ Γλαυκέτῃ καὶ Μελανώπῳ, καὶ ὅτι δεινότατ' ἂν
πάθοι πάντων ἀνθρώπων, εἰ πεποιηκότων ἐκείνων τὰ δίκαια,
ὑπὲρ ὧν αὐτὸς αἰτίαν ἔχει θεῖναι τὸν νόμον, μηδὲν ἧττον 759
αὐτὸς ἁλίσκοιτο. [188] Ἐγὼ δὲ τὸν λόγον ἡγοῦμαι τοῦτον
οὐδὲ καθ' ἓν λέγειν ἐνεῖναι τούτῳ. Εἰ μὲν γὰρ ὑπὲρ τούτων,
οὓς τὰ προσήκοντα φῂς πεποιηκέναι, θεῖναι τὸν νόμον ὁμο-
λογεῖς, κατ' ἐκεῖνο προσήκει σ' ἁλίσκεσθαι φανερῶς, ὅτι μὴ
τιθέναι νόμον, ἐὰν μὴ τὸν αὐτὸν ἐπὶ πᾶσι τοῖς πολίταις,
ἄντικρυς οἱ κύριοι νόμοι λέγουσι, καθ' οὓς οὗτοι δικάσειν
ὀμωμόκασιν. [189] Εἰ δὲ τοῦ πᾶσι συμφέροντος εἵνεκα ταῦτα
νομοθετῆσαι φήσεις, μὴ λέγε τὴν ἔκτισιν τὴν τούτων· οὐδὲν
γὰρ κοινωνεῖ τῷ νόμῳ τῷδε· ἀλλ' ὡς ἐπιτήδειός ἐστιν καὶ
καλῶς ἔχων ὁ νόμος, τοῦτο δίδασκε. Τοῦτο γάρ ἐσθ' ὑπὲρ
οὗ σὺ μὲν εἰσενεγκεῖν φῄς, ἐγὼ δὲ γέγραμμαι τἀναντία

NC. 1. ἃ δὴ Τιμοκράτει συνερεῖ ou ἃ δὲ Τιμοκράτης νῦν ἐρεῖ Dobree. ἃ δὲ Τιμοκράτει συνερεῖ mss. — Deux points sont sûrs et certains : la leçon des manuscrits n'offre pas de sens ; les mots περὶ τούτου doivent être rattachés à πολλὰ λέγειν ἔτι πρὸς τούτοις ἔχων παύσομαι. — 2. Peut-être παύομαι. — 7. τούτων, pour ἐκείνων, F. Blass veut supprimer le démonstratif. — 10. καθ' ἕνα S seul. — εἶναι A, Y. — 14. ἄγουσι texte de S (cf. p. 152, 14 NC.). λέγουσιν reviseur en marge. — 15. ἕνεκα mss. — 16. νομοθετήσας φήσεις A, Y. ἐνομοθέτησας Blass.

Androtion a été amenée au § 158 (τοιούτους λόγους σχολὴν ἄγοντα ἐσκέφθαι κτλ.); après la digression, Diodore fait une nouvelle allusion ironique à l'imprudent propos de Timocrate.

1. Ἃ δὴ Τιμοκράτης νῦν ἐρεῖ. Timocrate se défendra lui-même ; mais les juges sont avertis que tout ce qu'il dira lui a été dicté par son logographe. — Πολλὰ λέγειν ἔτι πρὸς τούτοις ἔχων παύσομαι, j'en pourrais dire beaucoup plus long sur son compte, mais je m'arrête. Cf. *Phil.*, I, § 13 : Ὡς μὲν οὖν δεῖ τὰ προσήκοντα ποιεῖν ἐθέλοντας ὑπάρχειν ἅπαντας ἑτοίμως, ὡς ἐγνωκότων ὑμῶν καὶ πεπεισμένων, παύομαι λέγων· τὸν δὲ τρόπον τῆς παρασκευῆς κτλ.

8. Ὑπὲρ ὧν αὐτὸς αἰτίαν ἔχει θεῖναι τὸν νόμον. Voy. la narration au début du plaidoyer et les allusions des § 59 et 159. Mais cela suffit-il, et peut-on retrancher sans inconvénient les § 110-154, dans lesquels l'accusateur insiste sur les vrais motifs qui ont dicté la loi de Timocrate ?

11. Οὓς τὰ προσήκοντα φῂς (tu prétends) πεποιηκέναι. L'accusateur ne l'accorde pas.

19. Γέγραμμαι τἀναντία φάσκων, j'ai dénoncé ta loi en soutenant le contraire.

τας εἰσπράττειν, αἱρουμένων εἰκότως ὑμῶν τοὺς ὀφείλοντας εἰσπράττειν, ταῖς ὑποσχέσεσιν κατέχων καὶ διὰ τὸν καιρὸν ὃς ἦν τότ' ἔχων ἐξουσίαν, τοῖς μὲν κειμένοις νόμοις περὶ τούτων οὐκ ᾤετο δεῖν χρῆσθαι οὐδ', εἰ μὴ τούτους ἐνόμιζεν ἱκανούς, ἑτέρους τιθέναι, ψηφίσματα δ' εἶπεν ἐν ὑμῖν δεινὰ καὶ παράνομα, δι' ὧν ἠργολάβει, προσαγωγεῖ τούτῳ χρώμενος τῶν λημμάτων. [162] Καὶ πολλὰ τῶν ὑμετέρων κέκλοφεν μετὰ τούτου, γράψας τοὺς ἕνδεκα καὶ τοὺς ἀποδέκτας καὶ τοὺς ὑπηρέτας ἀκολουθεῖν μεθ' αὐτοῦ. Εἶτ' ἔχων τούτους ἦγεν ἐπὶ τὰς ὑμετέρας οἰκίας, καὶ σύ, ὦ Τιμόκρατες, συνηκολούθεις, μόνος τῶν συναρχόντων δέκ' ὄντων. 751 Καὶ μηδεὶς ὑπολαμβανέτω με λέγειν ὡς οὐ χρῆν εἰσπράττειν τοὺς ὀφείλοντας. Χρῆν γάρ. Ἀλλὰ πῶς; ὡς ὁ νόμος ἀγορεύει, τῶν ἄλλων ἕνεκα· τοῦτο γάρ ἐστι δημοτικόν. Οὐ γὰρ τοσοῦτον, ὦ ἄνδρες Ἀθηναῖοι, πέντε ταλάντων ὑμῖν, ὧν οὗτοι τότ' εἰσέπραξαν, τεθέντων ὠφέλησθε, ὅσον βέβλαφθε τοιούτων ἐθῶν εἰς τὴν πολιτείαν εἰσαγομένων. [163] Εἰ γὰρ θέλετ' ἐξετάσαι τίνος εἵνεκα μᾶλλον ἄν τις ἕλοιτ' ἐν δημοκρατίᾳ ζῆν ἢ ἐν ὀλιγαρχίᾳ, τοῦτ' ἂν εὕροιτε προχειρότατον, ὅτι πάντα πραότερ' ἐν τῇ δημοκρατίᾳ. Ὅτι μὲν τοίνυν τῆς ὅπου βούλεσθ' ὀλιγαρχίας πολλῷ ἀσελγέστερα καὶ δεινότερ' ἐποίουν οὗτοι, παραλείψω· ἀλλὰ παρ' ἡμῖν πότε πώποτε δεινότατ' ἐν τῇ πόλει γέγονεν; εὖ οἶδ' ὅτι

NC. 8. μετὰ τοῦτο S[1] par correction, et L[1] avant correction. — 10. τουτουσὶ S, L[1], F,. — 10. ὦ est omis dans A. — 13. ὁ νόμος κελεύει F, comme *Androt.*, § 51. — 15. ὑμῖν. Variante ὑμεῖς. — 18. θέλετ' S et L ici et *Androt.*, *ib.* ἐθέλοιτ' vulg. — ἕνεκα mss. — 20. πραότερα S et L[1]. πραότερά ἐστιν vulg., comme *Andr.* — ἐν τῇ S, L. ἐν A, F, et *Andr.* — 21. ὅποι mss ici, A, F dans *Androt.* — πολλῷ m'est suspect. — 22. ἀλλ' ἃ F et, par correction, L. — δεινότατα τὰ S, L[1].

6. Προσαγωγεῖ, agent chargé de procurer, d'attirer. Ce mot, qui par hasard ne se retrouve pas dans ce que nous avons conservé des auteurs attiques, se prenait, je crois, dans le sens fâcheux d'entremetteur.

8. Τοὺς ἀποδέκτας. Les dix Apodectes étaient les receveurs des revenus publics et se trouvaient chargés, en cette qualité, d'inscrire sur leurs registres les débiteurs du fisc. Cf. Bœckh, *Staatshaushaltung*, p. 214 sqq.

11. Δέκα ὄντων. Ils étaient dix, en comptant Androtion et Timocrate.

15. Πέντε ταλάντων. Dans *Androtion*, § 44, le montant de l'arriéré que les commissaires firent rentrer est évalué à sept talents.

ἐπὶ τῶν τριάκονθ' ἅπαντες ἂν εἴποιτε. [164] Τότε τοίνυν, ὡς ἔστιν ἀκούειν, οὐδείς ἐστιν ὅστις ἀπεστερεῖτο τοῦ σωθῆναι, ὅστις ἑαυτὸν οἴκοι κρύψειεν, ἀλλ' αὐτὸ τοῦτο κατηγοροῦσι τῶν τριάκοντα, ὅτι τοὺς ἐκ τῆς ἀγορᾶς ἀδίκως ἀπῆγον. Οὗτοι τοίνυν τοσαύτην ὑπερβολὴν ἐποιήσαντ' ἐκείνων τῆς αὐτῶν πονηρίας, ὥστ' ἐν δημοκρατίᾳ πολιτευόμενοι τὴν ἰδίαν οἰκίαν ἑκάστῳ δεσμωτήριον καθίστασαν, τοὺς ἕνδεκ' ἄγοντες ἐπὶ τὰς οἰκίας. [165] Καίτοι, ὦ ἄνδρες Ἀθηναῖοι, τί οἴεσθ' ὁπότ' ἄνθρωπος πένης (ἢ καὶ πλούσιος, πολλὰ δ' ἀνηλωκὼς καί τιν' ἴσως τρόπον εἰκότως οὐκ εὐπορῶν ἀργυρίου), μὴ μόνον εἰς τὴν ἀγορὰν φοβοῖτ' ἐμβαλεῖν, ἀλλὰ μηδ' οἴκοι μένειν ἀσφαλὲς ἡγοῖτο, ὁ δὲ τούτων αἴτιος Ἀνδροτίων εἴη, ὃν οὐδ' ὑπὲρ αὑτοῦ δίκην ἐᾷ λαβεῖν τὰ πεπραγμένα καὶ βεβιωμένα, μή τί γ' ὑπὲρ τῆς πόλεως [εἰσπράττειν εἰσφοράς]; [166] Καίτοι εἴ τις ἔροιτ' αὐτὸν ἢ σέ, 752
ὦ Τιμόκρατες, τὸν ἐπαινέτην τούτων καὶ συνεργόν, τὰς εἰσφορὰς πότερον τὰ κτήματ' ἢ τὰ σώματ' ὀφείλει, τὰ κτήματα φήσαιτ' ἄν, εἴπερ ἀληθῆ λέγειν βούλοισθε· ἀπὸ γὰρ τούτων εἰσφέρομεν. Τίνος οὖν ἕνεκ', ὦ κάκιστοι πάντων ἀνθρώπων, ἀφέντες τὸ τὰ χωρία δημεύειν καὶ τὰς οἰκίας, καὶ ταῦτ' ἀπογράφειν, ἐδεῖτε καὶ ὑβρίζετε πολίτας ἀνθρώπους καὶ τοὺς ταλαιπώρους μετοίκους, οἷς ὑβριστικώτερον ὑμεῖς ἢ τοῖς οἰκέταις τοῖς ὑμετέροις αὐτῶν ἐχρῆσθε; [167] Καὶ μὴν εἰ θέλετε σκέψασθαι παρ' ὑμῖν αὐτοῖς, ὦ ἄνδρες δικασταί, τί δοῦλον ἢ ἐλεύθερον εἶναι διαφέρει, τοῦτο

NC. 3. κατηγοροῦμεν F, comme dans *Androt.* — 5. ἐκείνων est omis dans A, Y. — 9. ὁπότ' ἂν S, L, comme F dans *Androt.* — 9-10. πολλ' ἀνηλωκὼς S, L, comme F dans *Androt.* — 12. ἂν ἀσφαλὲσ S, L, F. — ἡι τοῦτο, pour ἡγοῖτο, qui est noté en marge, S[1] et L[1] seuls. — 14-15. J'écarte, avec Herwerden, εισπράττειν εισφορας, mots parasites qui ne sont pas dans *Androt.* — 22. ἐδεῖτε complété par l'un des deux reviseurs, S[1] avait laissé un blanc entre ε et τε. — 24. αὐτῶν vulg. et reviseur de S. οὕτως S[1] et L[1]. — ἔχρησθε S et L[1]. κέχρησθε vulg. 25. — θέλοιτε un ms. Cf. *Androt.* — σκέψασθε S, L, A, Y

11-12. Μὴ μόνον.... ἀλλὰ μηδ' οἴκοι μένειν ἀσφαλὲς ἡγοῖτο. On peut trouver que la période a gagné à la suppression des longs détails qui se trouvaient dans la partie correspondante (§ 55) de l'autre plaidoyer.

μέγιστον ἂν εὕροιτε, ὅτι τοῖς μὲν δούλοις τὸ σῶμα τῶν ἀδικημάτων ἁπάντων ὑπεύθυνόν ἐστιν, τοῖς δ' ἐλευθέροις ὕστατον τοῦτο προσήκει κολάζειν. Οἱ δὲ τοὐναντίον εἰς τὰ σώμαθ', ὥσπερ ἀνδραπόδοις, ἐποιήσαντο τὰς τιμωρίας. [168] Οὕτω δ' ἀνίσως καὶ πλεονεκτικῶς ἔσχε πρὸς ὑμᾶς Ἀνδροτίων ὥστε τὸν μὲν αὑτοῦ πατέρ' ᾤετο δεῖν, δημοσίᾳ δεθέντ' ἐπὶ χρήμασιν ἐν τῷ δεσμωτηρίῳ, μήτ' ἀποδόντα ταῦτα μήτε κριθέντ' ἀποδρᾶναι, τῶν δ' ἄλλων πολιτῶν τὸν μὴ δυνάμενον τὰ ἑαυτοῦ θεῖναι οἴκοθεν εἰς τὸ δεσμωτήριον ἀχθέντ' ὑφ' ἑαυτοῦ δεδέσθαι. [169] Καὶ Τιμοκράτης τῶν μὲν πολλῶν ἡμῶν τόθ', ὅτε τὴν διπλασίαν εἰσέπραττεν, οὐδ' ἂν παρ' ἑνὸς λαβεῖν ἠθέλησεν ἐγγυητάς, μὴ ⟨ὅτι⟩ μέχρι τῆς ἐνάτης πρυτανείας, ἀλλ' οὐδὲ μιᾶς ἡμέρας, ἀλλ' ἢ διπλᾶ τὰ χρήματ' ἔδει καταβάλλειν ἢ παραχρῆμα δεδέσθαι· παρεδίδου δ' οὗτος τοῖς ἕνδεκα τὸν οὐχ ὠφληκότ' ἐν τῷ
753 δικαστηρίῳ. Νῦν δ' ὅπως ὧν ἂν ὑμεῖς καταγνῶτ' ἄδετοι περιίασιν, ὑπεύθυνον αὐτὸν ποιήσας νόμον εἰσενεγκεῖν ἐτόλμησεν.

[170] Ἀλλ' ὅμως κἀκεῖνα καὶ τάδε φήσουσιν ὑπὲρ ὑμῶν πράττειν. Εἶτα ταῦθ' ὑμεῖς ἀναδέξεσθε [ὑπὲρ ὑμῶν πε-

NC. 5. ἔσχεν S. — 10. ὑπ' αὐτοῦ vulg. — 12. ὅτι inséré par Cobet. — 13. ἀλλα μιᾶς S et L[1] seuls. — 15. οὐχ manque dans S et L[1] seuls. ⟨καὶ⟩ τὸν οὐχ Cobet. — 17. περιΐωσιν A, Y. — 20. ἐφ' ἑαυτοὺς ἀναδέξεσθε F, comme *Androt.*, § 64. ἀνέξεσθε A, Y. — J'écarte les mots ὑπὲρ ὑμῶν πεπρᾶχθαι, qui se lieraient mieux à ἀποδέξεσθε qu'à ἀναδέξεσθε.

2-3. Τοῖς δ' ἐλευθέροις ὕστατον τοῦτο προσήκει κολάζειν. Dans *Androt.*, § 55, on lit : τοῖς δ' ἐλευθέροις, κἂν τὰ μέγιστ' ἀτυχῶσιν, τοῦτό γ' ἔνεστι σῶσαι. « Intellexit se antea nimium dixisse, quia « tot liberi cives capite plectebantur. » [Cobet.]

3. Οἱ δὲ τοὐναντίον εἰς τὰ σώματ(α)... Ces mots sont plus clairs dans l'autre discours, où ils se trouvent précédés du membre de phrase : εἰς χρήματα γὰρ τὴν δίκην παρὰ τούτων προσήκει λαμβάνειν. Y a-t-il une lacune ici ?

5. Ἀνίσως est plus juste que αἰσχρῶς dans le passage correspondant

9-10. Εἰς τὸ δεσμωτήριον ἀχθέντ' ὑφ' ἑαυτοῦ δεδέσθαι. Plus expressif que εἰς τὸ δεσμωτήριον ἕλκεσθαι, *Androt.*, § 56

10-11. Τῶν μὲν πολλῶν ἡμῶν. Ces mots semblent demander l'antithèse ῥήτορες, qui ne se lit cependant point plus bas après νῦν δέ.

15. Τὸν οὐχ ὠφληκότα, des citoyens qui n'avaient pas été condamnés. Avant un participe, l'article désigne l'espèce, non l'individu.

19. Ὑπὲρ ὑμῶν πράττειν (infinitif de l'imparfait). Cf. § 111.

20 sqq. Εἶτα ταῦθ'. En comparant *Androt.*, § 64, on verra combien ce morceau

πρᾶχθαι], καὶ τὰ τῆς τούτων θρασύτητος καὶ πονηρίας ἔργα πράως οἴσετε; ἀλλὰ μισεῖν ὀφείλετε τοὺς τοιούτους, ὦ ἄνδρες Ἀθηναῖοι, μᾶλλον ἢ σῴζειν. Τὸν γὰρ ὑπὲρ τῆς πόλεως πράττοντά τι καὶ πράων ὑμῶν τευξόμενον τὸ τῆς πόλεως ἦθος ἔχοντα δεῖ φαίνεσθαι. [171] Τοῦτο δ' ἐστὶν τί; τοὺς ἀσθενεῖς ἐλεεῖν, τοῖς ἰσχυροῖς καὶ δυναμένοις μὴ ἐπιτρέπειν ὑβρίζειν, οὐ τοὺς μὲν πολλοὺς ὠμῶς μεταχειρίζεσθαι, κολακεύειν δὲ τὸν ἀεί τι δύνασθαι δοκοῦντα. Ὃ σὺ ποιεῖς, ὦ Τιμόκρατες· δι' ἃ πολλῷ μᾶλλον ἂν εἰκότως μὴ θελήσαντες ἀκοῦσαι σοῦ θάνατον καταψηφίσαινθ' οὗτοι ἢ δι' Ἀνδροτίων' ἀφείησαν.

[172] Ὅτι τοίνυν οὐδὲ τὴν εἴσπραξιν αὐτὴν ὑπὲρ ὑμῶν πεποίηνται, καὶ τοῦτ' αὐτίκα δὴ μάλ' ὑμῖν δῆλον ποιήσω. Εἰ γάρ τις ἔροιτ' αὐτοὺς πότερ' αὐτοῖς δοκοῦσιν ἀδικεῖν μᾶλλον τὴν πόλιν οἱ γεωργοῦντες καὶ φειδόμενοι, διὰ παιδοτροφίας δὲ καὶ οἰκεῖ' ἀναλώματα καὶ λειτουργίας ἑτέρας ἐλλελοιπότες εἰσφοράν, ἢ οἱ τὰ τῶν ἐθελησάντων εἰσενεγκεῖν χρήματα καὶ τὰ παρὰ τῶν συμμάχων κλέπτοντες καὶ ἀπολλύντες, οὐκ ἂν εἰς τοῦτο δήπου τόλμης, καίπερ ὄντες ἀναιδεῖς, ἔλθοιεν, ὥστε φῆσαι τοὺς τὰ ἑαυτῶν μὴ εἰσφέροντας μᾶλλον ἀδικεῖν ἢ τοὺς τὰ κοίν' ὑφαιρουμένους. [173] Τίνος οὖν ἕνεκ', ὦ Τιμόκρατες καὶ Ἀνδροτίων, ἐτῶν ὄντων πλειόνων ἢ τριάκοντα ἀφ' οὗ ὅ γ' ἕτερος ὑμῶν πολι- 754
τεύεται, καὶ ἐν τούτῳ τῷ χρόνῳ πολλῶν μὲν στρατηγῶν ἠδικηκότων τὴν πόλιν, πολλῶν δὲ ῥητόρων, οἳ παρὰ τουτοισὶ κέκρινται, ὧν οἱ μὲν τεθνᾶσιν ἐφ' οἷς ἠδίκουν, οἱ δ'

NC. 8 αἰεὶ *vulgo*, Blass. — ἃ σὺ A, Y — 9. μηδὲ A. — 11. ἀφείησαν Dindorf. ἀφίεσαν mss. — 14. πότερ' Benseler. πότεροι mss. — 17. εἰσφορὰν S et L dans *Androt.*, § 65. Ici εἰσφορὰσ S et L[1] seuls, τὰς εἰσφορὰς vulg. — 18. τὰ, avant παρὰ, est omis dans S et L seuls.

a gagné à être repris par l'orateur. — Ὑμεῖς ἀναδέξεσθε : prendrez-vous la responsabilité de ces actes, en admettant qu'ils aient été faits dans votre intérêt?

4. Καὶ πράων ὑμῶν τευξόμενον, et qui veut trouver en vous des juges indulgents.

10-11. Δι' Ἀνδροτίων(α), à cause du talent d'Androtion, qui lui a composé son plaidoyer : cf. § 158. Ces mots sont opposés à μὴ θελήσαντες ἀκοῦσαι.

12. Ὅτι τοίνυν.... Les paragraphes 172-173 sont tirés, à peu de chose près, d'*Androtion*, § 65-66.

23. Ὅ γ' ἕτερος ὑμῶν : Androtion.

ὑποχωρήσαντες ᾤχοντο καταγνόντες αὐτῶν, οὐδενὸς πώποτε τούτων ἐξητάσθη κατήγορος ὑμῶν οὐδέτερος, οὐδ' ἀγανακτῶν ὤφθη ὑπὲρ ὧν ἡ πόλις πάσχοι, ἀλλ' ἐνταῦθ' ἐφάνηθ' ἡμῶν κηδόμενοι, οὓ πολλοὺς ἔδει κακῶς ποιῆσαι; [174] Βούλεσθ', ὦ ἄνδρες Ἀθηναῖοι, τὸ τούτων αἴτιον ἐγὼ ὑμῖν εἴπω; ὅτι τούτων μὲν μετέχουσιν ὧν ἀδικοῦσιν ὑμᾶς τινες, ἀπὸ δὲ τῶν εἰσπραττομένων ὑφαιροῦνται· δι' ἀπληστίαν δὲ τρόπων διχόθεν καρποῦνται τὴν πόλιν. Οὔτε γὰρ ῥᾷον πολλοῖς καὶ τὰ μίκρ' ἀδικοῦσιν ἀπεχθάνεσθαι ἢ ὀλίγοις καὶ μεγάλα, οὔτε δημοτικώτερον δήπου τὰ τῶν πολλῶν ἀδικήμαθ' ὁρᾶν ἢ τὰ τῶν ὀλίγων. Ἀλλὰ τοῦτ' αἴτιον οὑγὼ λέγω. [175] Δεῖ τοίνυν ὑμᾶς ταῦτα λογισαμένους, καὶ μεμνημένους ὧν ἂν ἕκαστος ἁμάρτη, κολάζειν, ὅταν λάβητέ τινα, καὶ μὴ τὸν χρόνον, εἰ πολύς ἐστ' ἀπ' ἐκείνου, σκοπεῖν, ἀλλ' εἰ ταῦτ' ἐποίουν. Ὡς εἰ νῦν πράως οἴσετ' ἐφ' οἷς τότ' ἠγανακτεῖτε, δόξετ' ὀργιζόμενοι κατεγνωκέναι τὰ χρήματα τούτων, οὐκ ἀδικούμενοι. Τῶν μὲν γὰρ ὀργιζομένων ἐστὶν ὀξέως τι κακὸν τὸν λελυπηκότ' ἐργάσασθαι, τῶν δὲ ἀδικουμένων, ὅταν ποθ' ὑφ' αὑτοῖς λάβωσι τὸν ἠδικηκότα, τότε τιμωρήσασθαι. Οὔκουν δεῖ δοκεῖν, νῦν μαλακισθέντας, τότε τῶν ὀμωμοσμένων ὅρκων ἀμελήσαντας ὑμῖν αὐτοῖς χαρίσασθαι παρὰ τὸ δίκαιον, ἀλλὰ

NC. 3. πάσχοι Bekker. πάσχει S, L, F. ἔπασχεν vulg. — 7. ὑφαιροῦνται F, Y. ὑφηροῦντο S, L[1]. Cf. *Androt.* — 8-9. καὶ τὰ μικρὰ dans *Androt.* καὶ κατὰ μικρὰ mss. ici. καὶ μικρὰ Reiske. — 12. λογισαμένους S, L. λογιζομένους A, F, B, Y. — 18-19. ὑπ' αὐτοῖσ mss.

1. Καταγνόντες αὐτῶν. Ces mots ne sont pas dans l'autre discours.

4. Κηδόμενοι répond à κηδεμὼν ὢν dans *Androt.*

6. Ὅτι τούτων μὲν.... Ce passage, jusqu'à la fin du paragraphe, a été à tort inséré dans *Androt.*, § 67. — Μετέχουσιν ὧν ἀδικοῦσιν ὑμᾶς τινες, ils ont leur part des profits que certaines gens font à vos dépens.

8. Ῥᾷον, plus facile à porter, moins odieux.

14. Ἀπ' ἐκείνου : sous-ent. τοῦ χρόνου ὅτε ἕκαστος ἥμαρτεν. [Reiske.] L'ambassade d'Androtion et consorts, et les faits rapportés au § 12, sont déjà anciens.

15. Τότ(ε) : quand Euctémon, poursuivi παρανόμων à cause du décret qu'il avait fait porter contre les détenteurs d'une prise faite par un navire de guerre, fut acquitté par les juges. Voy. § 14. [Reiske.]

16. Κατεγνωκέναι τὰ χρήματα τούτων, les avoir condamnés au payement de l'argent (c.-à-d. de l'argent provenant de la prise et du montant de l'amende). Cf., pour la construction, § 63 : Τέως ἂν ἐκτείσῃ ὅ τι ἂν αὐτοῦ καταγνωσθῇ.

21. Ὑμῖν αὐτοῖς χαρίσασθαι παρὰ τὸ δίκαιον. Si les juges faiblissaient maintenant, on pourrait dire qu'ils cédèrent

μισεῖν καὶ μηδ' ἀνέχεσθαι φωνὴν μήτε τούτου μήτ' ἐκείνου, 755
τοιαῦτα πεπολιτευμένων.

[176] Ἀλλὰ νὴ Δία ταῦτα μόνον τοιοῦτοι γεγόνασιν ἐν οἷς πεπολίτευνται, ἄλλα δ' ἔσθ' ἃ καλῶς διῳκήκασιν· ἀλλὰ καὶ τἄλλ' οὕτω προσεληλύθασι πρὸς ὑμᾶς ὥσθ' ἥκιστ' ἐν οἷς ἀκηκόατ' ἄξιόν ἐστι μισεῖν αὐτούς. Τί γὰρ βούλεσθ' εἴπω; τὰ πομπεῖ' ὡς ἐπεσκευάκασι, καὶ τὴν τῶν στεφάνων καθαίρεσιν, ἢ τὴν τῶν φιαλῶν ποίησιν τὴν καλήν; [177] Ἀλλ' ἐπὶ τούτοις γ', εἰ μηδὲν ἄλλο ἠδίκουν τὴν πόλιν, τρὶς οὐχ ἅπαξ τεθνάναι δικαίως ἄν μοι δοκοῦσιν· καὶ γὰρ ἱεροσυλίᾳ καὶ ἀσεβείᾳ καὶ κλοπῇ καὶ πᾶσι τοῖς δεινοτάτοις εἰσὶν ἔνοχοι. Τὰ μὲν οὖν πόλλ' ὧν λέγων ἐφενάκιζεν ὑμᾶς Ἀνδροτίων παραλείψω· φήσας δ' ἀπορρεῖν τὰ φύλλα τῶν στεφάνων καὶ σαπροὺς εἶναι διὰ τὸν χρόνον, ὥσπερ ἴων ἢ ῥόδων ὄντας, ἀλλ' οὐ χρυσίου, συγχωνεύειν ἔπεισεν. Αἱρεθεὶς δ' ἐπὶ ταῦτα προσείλετο τοῦτον τὸν πάντων τῶν κακῶν κοινωνόν. [178] Κᾆτ' ἐπὶ μὲν ταῖς εἰσφοραῖς τὸν δημόσιον παρεῖναι προσέγραψεν ὡς δὴ δίκαιος ὤν, ὧν ἕκαστος ἀντιγραφεὺς ἔμελλεν ἔσεσθαι τῶν εἰσενεγκόντων· ἐπὶ τοῖς στεφάνοις δ', οὓς κατέκοπτεν, οὐχὶ προσήγαγε ταὐτὸ δίκαιον τοῦτο, ἀλλ' αὐτὸς ῥήτωρ, χρυσοχόος, ταμίας, ἀντιγραφεὺς γέγονεν. [179] Καὶ μὴν εἰ μὲν ἅπαντ' ἠξίους, ὅσα πράττεις τῇ πόλει, σαυτῷ πιστεύειν, οὐκ ἂν ὁμοίως κλέπτης ὢν ἐφωρῶ· νῦν δ' ἐπὶ ταῖς εἰσφοραῖς ὃ δίκαιόν ἐσθ' ὁρίσας, μὴ σοὶ πιστεύειν, ἀλλὰ τοῖς αὐτῆς δούλοις τὴν πόλιν, ὁπότ'
ἄλλο τι πράττων καὶ χρήματα κινῶν ἱερά, ὧν ἔνι' οὐδ' ἐπὶ 756
τῆς ἡμετέρας γενεᾶς ἀνετέθη, μὴ προσγραψάμενος τὴν αὐτὴν φυλακὴν ἥνπερ ἐπὶ τῶν εἰσφορῶν φαίνει, οὐκ ἤδη δῆλον δι' ὃ τοῦτ' ἐποίησας; ἐγὼ μὲν οἶμαι. [180] Καὶ μήν,

NC. 3. ταῦτα μὲν, comme dans *Androtion*, Cobet. — 10. δικαίως ἄν μοι τεθνάναι A, F, Y. — 20. προσήγαγεν S.

autrefois à la tentation d'enrichir le fisc, qui les nourrissait, par une condamnation injuste.

3. Ἀλλὰ νὴ Δία.... Les § 176-181 s'accordent presque textuellement avec *Androtion*, § 69-73.

ὦ ἄνδρες Ἀθηναῖοι, καὶ κατὰ παντὸς τοῦ χρόνου σκέψασθ' ὡς καλὰ καὶ ζηλώτ' ἐπιγράμματα τῆς πόλεως ἀνελὼν ὡς ἀσεβῆ καὶ δείν' ἀντεπέγραψεν. Οἶμαι γὰρ ὑμᾶς ἅπαντας ὁρᾶν ὑπὸ τῶν στεφάνων ταῖς χοινικίσιν κάτωθεν γεγραμμένα « οἱ σύμμαχοι τὸν δῆμον ἀνδραγαθίας εἵνεκ' ἐστεφάνωσαν « καὶ δικαιοσύνης » ἢ « οἱ σύμμαχοι ἀριστεῖον τῇ Ἀθηναίᾳ « ἀνέθεσαν » ἢ κατὰ πόλεις « οἱ δεῖνες τὸν δῆμον ἐστεφά- « νωσαν σωθέντες ὑπὸ τοῦ δήμου », οἷον « Εὐβοεῖς ἐλευθε- « ρωθέντες ἐστεφάνωσαν τὸν δῆμον » ἐπεγέγραπτό που, πάλιν « Κόνων ἀπὸ τῆς ναυμαχίας τῆς πρὸς Λακεδαιμο- « νίους », « Χαβρίας ἀπὸ τῆς ἐν Νάξῳ ναυμαχίας ». Τοιαῦτα γὰρ ἦν τὰ τῶν στεφάνων ἐπιγράμματα. [181] Ταῦτα μὲν τοίνυν, ἃ [πρότερον] ζῆλον πολὺν εἶχε καὶ φιλοτιμίαν ὑμῖν, ἠφάνισται καθαιρεθέντων τῶν στεφάνων· ἐπὶ ταῖς φιάλαις δ', ἃς ἀντ' ἐκείνων ἐποιήσαθ' ὑμῖν ὁ πόρνος οὗτος, « Ἀνδροτίωνος ἐπιμελουμένου » ἐπιγέγραπται, καὶ οὗ τὸ σῶμ' ἡταιρηκότος οὐκ ἐῶσιν οἱ νόμοι εἰς τὰ ἱέρ' εἰσιέναι, τούτου τοὔνομ' ἐν τοῖς ἱεροῖς ἐπὶ τῶν φιαλῶν γεγραμμένον ἐστίν. Ὅμοιόν γε, οὐ γάρ; τοῦτο τοῖς προτέροις ἐπιγράμμασιν, ἢ φιλοτιμίαν ἴσην ἔχον ὑμῖν. [182] Τρία τοίνυν ἐκ τούτου τὰ δεινότατ' ἄν τις ἴδοι πεπραγμέν' αὐτοῖς. Τὴν μὲν
787 γὰρ θεὸν τοὺς στεφάνους σεσυλήκασιν· τῆς πόλεως δὲ τὸν ζῆλον ἠφανίκασιν τὸν ἐκ τῶν ἔργων, ὧν ὑπομνήματ' ἦσαν

NC. 1. καθ' ἅπαντοσ S et L seuls, ici, non dans *Androtion*. — 5. τὸν δῆμον S et texte de L seuls, comme dans *Androt.* τὸν δῆμον τὸν (ou τῶν) Ἀθηναίων vulg. — 6. ἀθηναίαι S, L[1] dans *Androt.* ἀθηνᾶι mss ici. — 7. οἵτινεσ (pour οἱ δεῖνες) S, L[1], Y, ici, non dans *Androt.* — 13. ζῆλον πρότερον F. πρότερον, qui ne se lit pas dans *Androt.*, est suspect. — εἶχεν S. — 14-15. ἐπὶ ταῖς φιάλαις δὲ F, et tous les mss dans *Androt.* ἐπὶ δὲ ταῖσ φιάλαισ S, L, vulg. — 16. ἐπιμελουμένου S et texte de L seuls. ἐπιμελουμένου ἐποιήθησαν vulg. et tous les mss dans *Androt.* — 20. ἦν, pour ἢ, L. — 21. Var. : τούτων. — 21-22. Des signes de renvoi placés sur τὴν et sur θεὸν par S[1], sans qu'il y ait un γρ. en marge, indiquent peut-être une variante τῆς.... θεοῦ. — 22. τῆς δὲ πόλεως S, L ici, non dans *Androt.* — 24. ὑπομνήματ' A, F, L corrigé. ὑπόμνημα S, L[1]. De même dans *Androt.*

11. Χαβρίας ἀπὸ τῆς ἐν Νάξῳ ναυμαχίας. Cet exemple ne se lit pas dans le texte de l'autre discours.

20. Τρία τοίνυν.... Le § 182 se lit aussi dans *Androt.*, § 174, où il n'est pas de mise.

22-23. Τὸν ζῆλον. Cf. *Cour.*, § 120 : Τῷ μὲν στεφανουμένῳ τὸν αὐτὸν ἔχει ζῆλον ὁ στέφανος, ὅπου ἂν ἀναρρηθῇ.

ὄντες οἱ στέφανοι· τοὺς δ' ἀναθέντας δόξαν οὐ μικρὰν ἀφῄρηνται, τὸ δοκεῖν ὧν ἂν εὖ πάθωσιν ἐθέλειν μεμνῆσθαι. Καὶ τοιαῦτα καὶ τοσαῦτα τὸ πλῆθος κάκ' εἰργασμένοι εἰς τοῦτ' ἀναισθησίας καὶ τόλμης προεληλύθασιν, ὥσθ' ὁ μὲν οἴεται δι' ἐκεῖνον ὑφ' ὑμῶν σωθήσεσθαι, ὁ δὲ παρακάθηται καὶ οὐ καταδύεται τοῖς πεπραγμένοις. [183] [Οὕτω δ' οὐ μόνον εἰς χρήματ' ἀναιδής, ἀλλὰ καὶ σκαιός ἐστιν ὥστ' οὐκ οἶδεν ἐκεῖνο, ὅτι στέφανοι μέν εἰσιν ἀρετῆς σημεῖον, φιάλαι δὲ καὶ τὰ τοιαῦτα πλούτου, καὶ στέφανος μὲν ἅπας, κἂν μικρὸς ᾖ, τὴν ἴσην φιλοτιμίαν ἔχει τῷ μεγάλῳ, ἐκπώματα δ' ἢ θυμιατήρια ἢ τὰ τοιαῦτα κτήματα, ἐὰν μὲν ὑπερβάλλῃ τῷ πλήθει, πλούτου τινὰ δόξαν προσετρίψατο τοῖς κεκτημένοις, ἐὰν δ' ἐπὶ μικροῖς σεμνύνηταί τις, τοσοῦτ' ἀπέχει τοῦ τιμῆς τινὸς διὰ ταῦτα τυχεῖν ὥστ' ἀπειρόκαλος πρὸς ἔδοξεν εἶναι. Οὗτος τοίνυν ἀνελὼν τὰ τῆς δόξης κτήματα τὰ τοῦ πλούτου πεποίηται μικρὰ καὶ ἀνάξι' ὑμῶν. [184] Καὶ οὐδ' ἐκεῖν' εἶδεν, ὅτι πρὸς μὲν χρημάτων κτῆσιν οὐδεπώποθ' ὁ δῆμος ἐσπούδασεν, πρὸς δὲ

NC. 1. ὄντες manque dans F, est biffé dans L. — 4. ἀναισχυντίας F, marge de L. — 6. Je mets entre crochets les §§ 183-186, aussi déplacés ici qu'ils sont bien placés à la fin d'*Androtion*. — 9. φιάλαι δὲ καὶ ἐκπώματα καὶ τὰ τοιαῦτα vulg. — 15. πρὸς ἔδοξεν Dindorf. — 16. τὰ est omis après κτήματα dans les mss, ici, non dans *Androt.* — 17. οὐχ ὑμῶν ἄξια F, comme dans *Androt.* — οἶδεν vulg.

1. Ὄντες, tant qu'elles existaient.

2. Τὸ δοκεῖν...., apposition explicative de δόξα. Ailleurs Démosthène dit τὴν δόξαν τοῦ δοκεῖν, ce qui est moins conforme à notre manière de parler. Cf. les notes sur *Symmories*, § 1 ; *Paix*, § 22.

5. Δι' ἐκεῖνον. Voy. la note sur δι' Ἀνδροτίωνα, § 171.

6. Οὐ καταδύεται, il ne se cache pas de honte. Cf. *Mid.*, § 199 : Κατέδυ καὶ μέτριον παρέσχεν ἑαυτόν.

6-7. Οὕτω δ' οὐ μόνον.... Dans les considérations qui précèdent, Timocrate est associé à Androtion, comme il l'avait été dans le récit des faits et comme cela convient dans un procès directement dirigé contre lui. Mais, à partir d'ici, jusqu'à la fin du § 186, il n'est plus question que d'Androtion, et Timocrate est oublié. Évidemment, nous avons ici deux séries de considérations, qui font en partie double emploi et qui sont plutôt juxtaposées que rattachées entre elles. Ces deux séries de considérations se trouvent dans le texte des deux discours. Les critiques avaient vu que celles du § 182 du présent discours doivent être retranchées du discours contre Androtion, où elles forment le § 74 : elles y ont été évidemment insérées à tort. Mais il me semble tout aussi évident que notre discours a été aussi amplifié très inconsidérément par un morceau parallèle tiré de l'autre. Les § 183-186, placés à la fin du κατὰ Ἀνδροτίωνος, y forment une admirable péroraison ; ici ils ne sont qu'une superfétation des plus déplacées. Voy. *Revue de Philologie*, 1883, p. 12.

δόξης ὡς οὐδὲ πρὸς ἓν τῶν ἄλλων. Τεκμήριον δέ· χρήματα μὲν γὰρ πλεῖστα τῶν Ἑλλήνων ποτὲ σχὼν ἅπανθ' ὑπὲρ φιλοτιμίας ἀνήλωσεν, ὑπὲρ δὲ δόξης εἰσφέρων ἐκ τῶν ἰδίων οὐδένα πώποτε κίνδυνον ἐξέστη. Ἀφ' ὧν κτήματ' ἀθάνατ' αὐτῷ περίεστιν, τὰ μὲν τῶν ἔργων ἡ μνήμη, τὰ δὲ τῶν ἀναθημάτων τῶν ἐπ' ἐκείνοις σταθέντων τὸ κάλλος, προπύλαια ταῦτα, ὁ παρθενών, στοαί, νεώσοικοι, οὐκ ἀμφορίσκοι δύο οὐδὲ χρυσίδες τέτταρες ἢ τρεῖς, ἄγουσ' ἑκάστη μνᾶν, ἅς, ὅταν σοι δοκῇ, πάλιν γράψεις καταχωνεύειν. [185] Οὐ γὰρ ἑαυτοὺς δεκατεύοντες, οὐδ' ἂν καταράσαινθ' οἱ ἐχθροὶ ποιοῦντες, διπλᾶς πράττοντες τὰς εἰσφοράς, ταῦτ' ἀνέθεσαν, οὐδ' οἵοισπερ σὺ χρώμενοι συμβούλοις ἐπολιτεύοντο, ἀλλὰ τοὺς ἐχθροὺς κρατοῦντες, καὶ ἃ πᾶς τις ἂν εὖ φρονῶν εὔξαιτο, τὴν πόλιν εἰς ὁμόνοιαν ἄγοντες, ἀθάνατον κλέος αὑτῶν λελοίπασι, τοὺς ἐπιτηδεύοντας οἷά σοι βεβίωται τῆς ἀγορᾶς εἴργοντες. [186] Ὑμεῖς δ' εἰς τοσοῦτον, ὦ ἄνδρες Ἀθηναῖοι, πρόηχθ' εὐηθείας καὶ ῥᾳθυμίας ὥστ' οὐδὲ τοιαῦτ' ἔχοντες παραδείγματα ταῦτα μιμεῖσθε, ἀλλ' Ἀνδροτίων ὑμῖν πομπείων ἐπισκευαστής, Ἀνδροτίων, ὦ γῆ καὶ θεοί. Καὶ τοῦτ' ἀσέβημ' ἔλαττον τίνος ἡγεῖσθε; ἐγὼ μὲν γὰρ ἡγοῦμαι δεῖν τὸν εἰς ἱέρ' εἰσιόντα καὶ χερνίβων καὶ κανῶν ἀψόμενον, καὶ τῆς πρὸς τοὺς θεοὺς ἐπιμελείας προστάτην ἐσόμενον οὐχὶ τακτὸν ἡμερῶν ἀριθμὸν ἁγνεύειν, ἀλλὰ τὸν βίον ἡγνευκέναι τοιούτων ἐπιτηδευμάτων οἷα τούτῳ βεβίωται.]

[187] Καὶ περὶ μὲν τούτου ⟨τοῦ ἐσκεμμένου⟩ κατὰ σχολὴν

NC. 9. ἅς.... καταχωνεύειν, mots omis ici, non dans *Androt.*, par S, A. — γράψεις dans *Androt.*, γράφεις ici. — 10. ἃ καταράσαιντ' ἂν mss. Voy. *Androt.* NC. — 12. οἱόσπερ Reiske. — 14. S portait d'abord λέγοντες. — 17. πρόηχθε est la bonne leçon conservée par S ici, non dans *Androt.* προήχθητ' vulg. — 21. οἶμαι δεῖν F, comme dans *Androt.* — 23. οὐχὶ προειρημένων ἡμερῶν A. Cf. *Androt.* — 24. βίον ὅλον vulg. — 26. τούτου S seul. τούτων vulg. — J'insère ici τοῦ ἐσκεμμένου. Cf. § 158

26. Τοῦ σκεμμένου κατὰ σχολήν. A entendre l'accusateur, Timocrate prétendait n'avoir rien à craindre, grâce au talent d'Androtion et aux arguments longuement médités par un homme aussi habile. C'est ainsi que la digression sur

ἃ δὴ Τιμοκράτης νῦν ἐρεῖ πολλὰ λέγειν ἔτι πρὸς τούτοις ἔχων παύσομαι. Οἶδα δ' ὅτι, ὡς μὲν οὐκ ἀσύμφορος ὑμῖν ἐστιν ὁ νόμος καὶ παρὰ πάντας τοὺς νόμους εἰσενηνεγμένος καὶ κατὰ πάντ' ἀδίκως ἔχων, οὐχ ἕξει λέγειν· ἀκούω δ' αὐτὸν λέγειν ὡς ἐκτέτισται τὰ χρήματ' Ἀνδροτίωνι καὶ Γλαυκέτῃ καὶ Μελανώπῳ, καὶ ὅτι δεινότατ' ἂν πάθοι πάντων ἀνθρώπων, εἰ πεποιηκότων ἐκείνων τὰ δίκαια, ὑπὲρ ὧν αὐτὸς αἰτίαν ἔχει θεῖναι τὸν νόμον, μηδὲν ἧττον 759 αὐτὸς ἁλίσκοιτο. [188] Ἐγὼ δὲ τὸν λόγον ἡγοῦμαι τοῦτον οὐδὲ καθ' ἓν λέγειν ἐνεῖναι τούτῳ. Εἰ μὲν γὰρ ὑπὲρ τούτων, οὓς τὰ προσήκοντα φῂς πεποιηκέναι, θεῖναι τὸν νόμον ὁμολογεῖς, κατ' ἐκεῖνο προσήκει σ' ἁλίσκεσθαι φανερῶς, ὅτι μὴ τιθέναι νόμον, ἐὰν μὴ τὸν αὐτὸν ἐπὶ πᾶσι τοῖς πολίταις, ἄντικρυς οἱ κύριοι νόμοι λέγουσι, καθ' οὓς οὗτοι δικάσειν ὀμωμόκασιν. [189] Εἰ δὲ τοῦ πᾶσι συμφέροντος εἵνεκα ταῦτα νομοθετῆσαι φήσεις, μὴ λέγε τὴν ἔκτισιν τὴν τούτων· οὐδὲν γὰρ κοινωνεῖ τῷ νόμῳ τῷδε· ἀλλ' ὡς ἐπιτήδειός ἐστιν καὶ καλῶς ἔχων ὁ νόμος, τοῦτο δίδασκε. Τοῦτο γάρ ἐσθ' ὑπὲρ οὗ σὺ μὲν εἰσενεγκεῖν φῂς, ἐγὼ δὲ γέγραμμαι τἀναντία

NC. 1. ἃ δὴ Τιμοκράτει συνερεῖ ou ἃ δὲ Τιμοκράτης νῦν ἐρεῖ Dobree. ἃ δὲ Τιμοκράτει συνερεῖ mss. — Deux points sont sûrs et certains : la leçon des manuscrits n'offre pas de sens ; les mots περὶ τούτου doivent être rattachés à πολλὰ λέγειν ἔτι πρὸς τούτοις ἔχων παύσομαι. — 2. Peut-être παύομαι. — 7. τούτων, pour ἐκείνων, F. Blass veut supprimer le démonstratif. — 10. καθ' ἕνα S seul. — εἶναι A, Y. — 14. ἄγουσι texte de S (cf. p. 152, 14 NC.). λέγουσιν reviseur en marge. — 15. ἕνεκα mss. — 16. νομοθετήσας φήσεις A, Y. ἐνομοθέτησας Blass.

Androtion a été amenée au § 158 (τοιούτους λόγους σχολὴν ἄγοντα ἐσκέφθαι κτλ.) ; après la digression, Diodore fait une nouvelle allusion ironique à l'imprudent propos de Timocrate.

1. Ἃ δὴ Τιμοκράτης νῦν ἐρεῖ. Timocrate se défendra lui-même ; mais les juges sont avertis que tout ce qu'il dira lui a été dicté par son logographe. — Πολλὰ λέγειν ἔτι πρὸς τούτοις ἔχων παύσομαι, j'en pourrais dire beaucoup plus long sur son compte, mais je m'arrête. Cf. *Phil.*, I, § 13 : Ὡς μὲν οὖν δεῖ τὰ προσήκοντα ποιεῖν ἐθέλοντας ὑπάρχειν ἅπαντας ἑτοίμως, ὡς ἐγνωκότων ὑμῶν καὶ πεπεισμένων, παύομαι λέγων· τὸν δὲ τρόπον τῆς παρασκευῆς κτλ.

8. Ὑπὲρ ὧν αὐτὸς αἰτίαν ἔχει θεῖναι τὸν νόμον. Voy. la narration au début du plaidoyer et les allusions des § 69 et 159. Mais cela suffit-il, et peut-on retrancher sans inconvénient les § 110-154, dans lesquels l'accusateur insiste sur les vrais motifs qui ont dicté la loi de Timocrate ?

11. Οὓς τὰ προσήκοντα φῂς (tu prétends) πεποιηκέναι. L'accusateur ne l'accorde pas.

19. Γέγραμμαι τἀναντία φάσκων, j'ai dénoncé ta loi en soutenant le contraire.

τας εἰσπράττειν, αἱρουμένων εἰκότως ὑμῶν τοὺς ὀφείλοντας εἰσπράττειν, ταῖς ὑποσχέσεσιν κατέχων καὶ διὰ τὸν καιρὸν ὃς ἦν τότ' ἔχων ἐξουσίαν, τοῖς μὲν κειμένοις νόμοις περὶ τούτων οὐκ ᾤετο δεῖν χρῆσθαι οὐδ', εἰ μὴ τούτους ἐνόμιζεν ἱκανούς, ἑτέρους τιθέναι, ψηφίσματα δ' εἶπεν ἐν ὑμῖν δεινὰ καὶ παράνομα, δι' ὧν ἠργολάβει, προσαγωγεῖ τούτῳ χρώμενος τῶν λημμάτων. [162] Καὶ πολλὰ τῶν ὑμετέρων κέκλοφεν μετὰ τούτου, γράψας τοὺς ἕνδεκα καὶ τοὺς ἀποδέκτας καὶ τοὺς ὑπηρέτας ἀκολουθεῖν μεθ' αὑτοῦ. Εἶτ' ἔχων τούτους ἦγεν ἐπὶ τὰς ὑμετέρας οἰκίας, καὶ σύ, ὦ Τιμόκρατες, συνηκολούθεις, μόνος τῶν συναρχόντων δέκ' ὄντων.
751 Καὶ μηδεὶς ὑπολαμβανέτω με λέγειν ὡς οὐ χρῆν εἰσπράττειν τοὺς ὀφείλοντας. Χρῆν γάρ. Ἀλλὰ πῶς; ὡς ὁ νόμος ἀγορεύει, τῶν ἄλλων ἕνεκα· τοῦτο γάρ ἐστι δημοτικόν. Οὐ γὰρ τοσοῦτον, ὦ ἄνδρες Ἀθηναῖοι, πέντε ταλάντων ὑμῖν, ὧν οὗτοι τότ' εἰσέπραξαν, τεθέντων ὠφέλησθε, ὅσον βέβλαφθε τοιούτων ἐθῶν εἰς τὴν πολιτείαν εἰσαγομένων. [163] Εἰ γὰρ θέλετ' ἐξετάσαι τίνος εἵνεκα μᾶλλον ἄν τις ἕλοιτ' ἐν δημοκρατίᾳ ζῆν ἢ ἐν ὀλιγαρχίᾳ, τοῦτ' ἂν εὕροιτε προχειρότατον, ὅτι πάντα πρᾳότερ' ἐν τῇ δημοκρατίᾳ. Ὅτι μὲν τοίνυν τῆς ὅπου βούλεσθ' ὀλιγαρχίας πολλῷ ἀσελγέστερα καὶ δεινότερ' ἐποίουν οὗτοι, παραλείψω· ἀλλὰ παρ' ἡμῖν πότε πώποτε δεινότατ' ἐν τῇ πόλει γέγονεν; εὖ οἶδ' ὅτι

NC. 8. μετὰ τοῦτο S[1] par correction, et L[1] avant correction. — 10. τουτουσὶ S, L[1], F,. — 10. ὦ est omis dans A. — 13. ὁ νόμος κελεύει F, comme *Androt.*, § 51. — 15. ὑμῖν. Variante ὑμεῖς. — 18. θέλετ' S et L ici et *Androt.*, *ib.* ἐθέλοιτ' vulg. — ἕνεκα mss. — 20. πρᾳότερα S et L[1]. πρᾳότερά ἐστιν vulg., comme *Andr.* — ἐν τῇ S, L. ἐν A, F, et *Andr.* — 21. ὅποι mss ici, A, F dans *Androt.* — πολλῷ m'est suspect. — 22. ἀλλ' ἃ F et, par correction, L. — δεινότατα τὰ S, L[1].

6. Προσαγωγεῖ, agent chargé de procurer, d'attirer. Ce mot, qui par hasard ne se retrouve pas dans ce que nous avons conservé des auteurs attiques, se prenait, je crois, dans le sens fâcheux d'entremetteur.

8. Τοὺς ἀποδέκτας. Les dix Apodectes étaient les receveurs des revenus publics et se trouvaient chargés, en cette qualité, d'inscrire sur leurs registres les débiteurs du fisc. Cf. Bœckh, *Staatshaushaltung*. p. 214 sqq.

11. Δέκα ὄντων. Ils étaient dix, en comptant Androtion et Timocrate.

15. Πέντε ταλάντων. Dans *Androtion*, § 44, le montant de l'arriéré que les commissaires firent rentrer est évalué à sept talents.

ἐπὶ τῶν τριάκονθ' ἅπαντες ἂν εἴποιτε. [164] Τότε τοίνυν, ὡς ἔστιν ἀκούειν, οὐδείς ἐστιν ὅστις ἀπεστερεῖτο τοῦ σωθῆναι, ὅστις ἑαυτὸν οἴκοι κρύψειεν, ἀλλ' αὐτὸ τοῦτο κατηγοροῦσι τῶν τριάκοντα, ὅτι τοὺς ἐκ τῆς ἀγορᾶς ἀδίκως ἀπῆγον. Οὗτοι τοίνυν τοσαύτην ὑπερβολὴν ἐποιήσαντ' ἐκείνων τῆς αὐτῶν πονηρίας, ὥστ' ἐν δημοκρατίᾳ πολιτευόμενοι τὴν ἰδίαν οἰκίαν ἑκάστῳ δεσμωτήριον καθίστασαν, τοὺς ἕνδεκ' ἄγοντες ἐπὶ τὰς οἰκίας. [165] Καίτοι, ὦ ἄνδρες Ἀθηναῖοι, τί οἴεσθ' ὁπότ' ἄνθρωπος πένης (ἢ καὶ πλούσιος, πολλὰ δ' ἀνηλωκὼς καί τιν' ἴσως τρόπον εἰκότως οὐκ εὐπορῶν ἀργυρίου), μὴ μόνον εἰς τὴν ἀγορὰν φοβοῖτ' ἐμβαλεῖν, ἀλλὰ μηδ' οἴκοι μένειν ἀσφαλὲς ἡγοῖτο, ὁ δὲ τούτων αἴτιος Ἀνδροτίων εἴη, ὃν οὐδ' ὑπὲρ αὐτοῦ δίκην ἐᾷ λαβεῖν τὰ πεπραγμένα καὶ βεβιωμένα, μή τί γ' ὑπὲρ τῆς πόλεως [εἰσπράττειν εἰσφοράς]; [166] Καίτοι εἴ τις ἔροιτ' αὐτὸν ἢ σέ, 752
ὦ Τιμόκρατες, τὸν ἐπαινέτην τούτων καὶ συνεργόν, τὰς εἰσφορὰς πότερον τὰ κτήματ' ἢ τὰ σώματ' ὀφείλει, τὰ κτήματα φήσαιτ' ἄν, εἴπερ ἀληθῆ λέγειν βούλοισθε· ἀπὸ γὰρ τούτων εἰσφέρομεν. Τίνος οὖν ἕνεκ', ὦ κάκιστοι πάντων ἀνθρώπων, ἀφέντες τὸ τὰ χωρία δημεύειν καὶ τὰς οἰκίας, καὶ ταῦτ' ἀπογράφειν, ἐδεῖτε καὶ ὑβρίζετε πολίτας ἀνθρώπους καὶ τοὺς ταλαιπώρους μετοίκους, οἷς ὑβριστικώτερον ὑμεῖς ἢ τοῖς οἰκέταις τοῖς ὑμετέροις αὐτῶν ἐχρῆσθε; [167] Καὶ μὴν εἰ θέλετε σκέψασθαι παρ' ὑμῖν αὐτοῖς, ὦ ἄνδρες δικασταί, τί δοῦλον ἢ ἐλεύθερον εἶναι διαφέρει, τοῦτο

NC. 3. κατηγοροῦμεν F, comme dans *Androt.* — 5. ἐκείνων est omis dans A, Y. — 9. ὁπότ' ἂν S, L, comme F dans *Androt.* — 9-10. πολλ' ἀνηλωκὼς S, L, comme F dans *Androt.* — 12. ἂν ἀσφαλὲσ S, L, F. — ἧι τοῦτο, pour ἡγοῖτο, qui est noté en marge, S[1] et L[1] seuls. — 14-15. J'écarte, avec Herwerden, εἰσπράττειν εἰσφορας, mots parasites qui ne sont pas dans *Androt.* — 22. ἐδεῖτε complété par l'un des deux reviseurs, S[1] avait laissé un blanc entre ε et τε. — 24. αὐτῶν vulg. et reviseur de S. οὕτως S[1] et L[1]. — ἔχρησθε S et L[1]. κέχρησθε vulg. 25. — θέλοιτε un ms. Cf. *Androt.* — σκέψασθε S, L, A, Y

11-12. Μὴ μόνον.... ἀλλὰ μηδ' οἴκοι μένειν ἀσφαλὲς ἡγοῖτο. On peut trouver que la période a gagné à la suppression des longs détails qui se trouvaient dans la partie correspondante (§ 56) de l'autre plaidoyer.

μέγιστον ἂν εὕροιτε, ὅτι τοῖς μὲν δούλοις τὸ σῶμα τῶν ἀδικημάτων ἁπάντων ὑπεύθυνόν ἐστιν, τοῖς δ' ἐλευθέροις ὕστατον τοῦτο προσήκει κολάζειν. Οἱ δὲ τοὐναντίον εἰς τὰ σώμαθ', ὥσπερ ἀνδραπόδοις, ἐποιήσαντο τὰς τιμωρίας. [168] Οὕτω δ' ἀνίσως καὶ πλεονεκτικῶς ἔσχε πρὸς ὑμᾶς Ἀνδροτίων ὥστε τὸν μὲν αὑτοῦ πατέρ' ᾤετο δεῖν, δημοσίᾳ δεθέντ' ἐπὶ χρήμασιν ἐν τῷ δεσμωτηρίῳ, μήτ' ἀποδόντα ταῦτα μήτε κριθέντ' ἀποδρᾶναι, τῶν δ' ἄλλων πολιτῶν τὸν μὴ δυνάμενον τὰ ἑαυτοῦ θεῖναι οἴκοθεν εἰς τὸ δεσμωτήριον ἀχθέντ' ὑφ' ἑαυτοῦ δεδέσθαι. [169] Καὶ Τιμοκράτης τῶν μὲν πολλῶν ἡμῶν τόθ', ὅτε τὴν διπλασίαν εἰσέπραττεν, οὐδ' ἂν παρ' ἑνὸς λαβεῖν ἠθέλησεν ἐγγυητάς, μὴ ⟨ὅτι⟩ μέχρι τῆς ἐνάτης πρυτανείας, ἀλλ' οὐδὲ μιᾶς ἡμέρας, ἀλλ' ἢ διπλᾶ τὰ χρήματ' ἔδει καταβάλλειν ἢ παραχρῆμα δεδέσθαι· παρεδίδου δ' οὗτος τοῖς ἕνδεκα τὸν οὐκ ὠφληκότ' ἐν τῷ
753 δικαστηρίῳ. Νῦν δ' ὅπως ὧν ἂν ὑμεῖς καταγνῶτ' ἄδετοι περιίασιν, ὑπεύθυνον αὐτὸν ποιήσας νόμον εἰσενεγκεῖν ἐτόλμησεν.

[170] Ἀλλ' ὅμως κἀκεῖνα καὶ τάδε φήσουσιν ὑπὲρ ὑμῶν πράττειν. Εἶτα ταῦθ' ὑμεῖς ἀναδέξεσθε [ὑπὲρ ὑμῶν πε-

NC. 5. ἔσχεν S. — 10. ὑπ' αὐτοῦ vulg. — 12. ὅτι inséré par Cobet. — 13. ἀλλὰ μιᾶς S et L^1 seuls. — 15. οὐχ manque dans S et L^1 seuls. ⟨καὶ⟩ τὸν οὐκ Cobet. — 17. περιΐωσιν A, Y. — 20. ἐφ' ἑαυτοὺς ἀναδέξεσθε F, comme *Androt.*, § 64. ἀνέξεσθε A, Y. — J'écarte les mots ὑπὲρ ὑμῶν πεπρᾶχθαι, qui se lieraient mieux à ἀποδέξεσθε qu'à ἀναδέξεσθε.

2-3. Τοῖς δ' ἐλευθέροις ὕστατον τοῦτο προσήκει κολάζειν. Dans *Androt.*, § 55, on lit : τοῖς δ' ἐλευθέροις, κἂν τὰ μέγιστ' ἀτυχῶσιν, τοῦτό γ' ἔνεστι σῶσαι. « Intellexit se antea nimium dixisse, quia « tot liberi cives capite plectebantur. » [Cobet.]

3. Οἱ δὲ τοὐναντίον εἰς τὰ σώματ(α)... Ces mots sont plus clairs dans l'autre discours, où ils se trouvent précédés du membre de phrase : εἰς χρήματα γὰρ τὴν δίκην παρὰ τούτων προσήκει λαμβάνειν. Y a-t-il une lacune ici ?

5. Ἀνίσως est plus juste que αἰσχρῶς dans le passage correspondant

9-10. Εἰς τὸ δεσμωτήριον ἀχθέντ' ὑφ' ἑαυτοῦ δεδέσθαι. Plus expressif que εἰς τὸ δεσμωτήριον ἕλκεσθαι, *Androt.*, § 56

10-11. Τῶν μὲν πολλῶν ἡμῶν. Ces mots semblent demander l'antithèse ῥήτορες, qui ne se lit cependant point plus bas après νῦν δέ.

15. Τὸν οὐκ ὠφληκότα, des citoyens qui n'avaient pas été condamnés. Avant un participe, l'article désigne l'espèce, non l'individu.

19. Ὑπὲρ ὑμῶν πράττειν (infinitif de l'imparfait). Cf. § 111.

20 sqq. Εἶτα ταῦθ'. En comparant *Androt.*, § 64, on verra combien ce morceau

πρᾶχθαι], καὶ τὰ τῆς τούτων θρασύτητος καὶ πονηρίας ἔργα πράως οἴσετε; ἀλλὰ μισεῖν ὀφείλετε τοὺς τοιούτους, ὦ ἄνδρες Ἀθηναῖοι, μᾶλλον ἢ σῴζειν. Τὸν γὰρ ὑπὲρ τῆς πόλεως πράττοντά τι καὶ πράων ὑμῶν τευξόμενον τὸ τῆς πόλεως ἦθος ἔχοντα δεῖ φαίνεσθαι. [171] Τοῦτο δ' ἐστὶν τί; τοὺς ἀσθενεῖς ἐλεεῖν, τοῖς ἰσχυροῖς καὶ δυναμένοις μὴ ἐπιτρέπειν ὑβρίζειν, οὐ τοὺς μὲν πολλοὺς ὠμῶς μεταχειρίζεσθαι, κολακεύειν δὲ τὸν ἀεί τι δύνασθαι δοκοῦντα. Ὃ σὺ ποιεῖς, ὦ Τιμόκρατες· δι' ἃ πολλῷ μᾶλλον ἂν εἰκότως μὴ θελήσαντες ἀκοῦσαι σοῦ θάνατον καταψηφίσαιντο' οὗτοι ἢ δι' Ἀνδροτίων' ἀφείησαν.

[172] Ὅτι τοίνυν οὐδὲ τὴν εἴσπραξιν αὐτὴν ὑπὲρ ὑμῶν πεποίηνται, καὶ τοῦτ' αὐτίκα δὴ μάλ' ὑμῖν δῆλον ποιήσω. Εἰ γάρ τις ἔροιτ' αὐτοὺς πότερ' αὐτοῖς δοκοῦσιν ἀδικεῖν μᾶλλον τὴν πόλιν οἱ γεωργοῦντες καὶ φειδόμενοι, διὰ παιδοτροφίας δὲ καὶ οἰκεῖ' ἀναλώματα καὶ λειτουργίας ἑτέρας ἐλλελοιπότες εἰσφορὰν, ἢ οἱ τὰ τῶν ἐθελησάντων εἰσενεγκεῖν χρήματα καὶ τὰ παρὰ τῶν συμμάχων κλέπτοντες καὶ ἀπολλύντες, οὐκ ἂν εἰς τοῦτο δήπου τόλμης, καίπερ ὄντες ἀναιδεῖς, ἔλθοιεν, ὥστε φῆσαι τοὺς τὰ ἑαυτῶν μὴ εἰσφέροντας μᾶλλον ἀδικεῖν ἢ τοὺς τὰ κοίν' ὑφαιρουμένους. [173] Τίνος οὖν ἕνεκ', ὦ Τιμόκρατες καὶ Ἀνδροτίων, ἐτῶν ὄντων πλειόνων ἢ τριάκοντα ἀφ' οὗ ὅ γ' ἕτερος ὑμῶν πολι- 754 τεύεται, καὶ ἐν τούτῳ τῷ χρόνῳ πολλῶν μὲν στρατηγῶν ἠδικηκότων τὴν πόλιν, πολλῶν δὲ ῥητόρων, οἳ παρὰ τουτοισὶ κέκρινται, ὧν οἱ μὲν τεθνᾶσιν ἐφ' οἷς ἠδίκουν, οἱ δ'

NC. 8 αἰεὶ *vulgo*, Blass. — ἃ σὺ A, Y — 9. μηδὲ A. — 11. ἀφείησαν Dindorf. ἀρίεσαν mss. — 14. πότερ' Benseler. πότεροι mss. — 17. εἰσφορὰν S et L dans *Androt.*, § 65. Ici εἰσφορὰσ S et L[1] seuls, τὰς εἰσφορὰς vulg. — 18. τὰ, avant παρὰ, est omis dans S et L seuls.

a gagné à être repris par l'orateur. — Ὑμεῖς ἀναδέξεσθε : prendrez-vous la responsabilité de ces actes, en admettant qu'ils aient été faits dans votre intérêt?

4. Καὶ πράων ὑμῶν τευξόμενον, et qui veut trouver en vous des juges indulgents.

10-11. Δι' Ἀνδροτίων(α), à cause du talent d'Androtion, qui lui a composé son plaidoyer : cf. § 158. Ces mots sont opposés à μὴ θελήσαντες ἀκοῦσαι.

12. Ὅτι τοίνυν.... Les paragraphes 172-173 sont tirés, à peu de chose près, d'*Androtion*, § 65-66.

23. Ὅ γ' ἕτερος ὑμῶν : Androtion.

ὑποχωρήσαντες ᾤχοντο καταγνόντες αὐτῶν, οὐδενὸς πώποτε τούτων ἐξητάσθη κατήγορος ὑμῶν οὐδέτερος, οὐδ' ἀγανακτῶν ὤφθη ὑπὲρ ὧν ἡ πόλις πάσχοι, ἀλλ' ἐνταῦθ' ἐφάνηθ' ἡμῶν κηδόμενοι, οὗ πολλοὺς ἔδει κακῶς ποιῆσαι; [174] Βούλεσθ', ὦ ἄνδρες Ἀθηναῖοι, τὸ τούτων αἴτιον ἐγὼ ὑμῖν εἴπω; ὅτι τούτων μὲν μετέχουσιν ὧν ἀδικοῦσιν ὑμᾶς τινες, ἀπὸ δὲ τῶν εἰσπραττομένων ὑφαιροῦνται· δι' ἀπληστίαν δὲ τρόπων διχόθεν καρποῦνται τὴν πόλιν. Οὔτε γὰρ ῥᾷον πολλοῖς καὶ τὰ μίκρ' ἀδικοῦσιν ἀπεχθάνεσθαι ἢ ὀλίγοις καὶ μεγάλα, οὔτε δημοτικώτερον δήπου τὰ τῶν πολλῶν ἀδικήμαθ' ὁρᾶν ἢ τὰ τῶν ὀλίγων. Ἀλλὰ τοῦτ' αἴτιον οὑγὼ λέγω. [175] Δεῖ τοίνυν ὑμᾶς ταῦτα λογισαμένους, καὶ μεμνημένους ὧν ἂν ἕκαστος ἁμάρτῃ, κολάζειν, ὅταν λάβητέ τινα, καὶ μὴ τὸν χρόνον, εἰ πολύς ἐστ' ἀπ' ἐκείνου, σκοπεῖν, ἀλλ' εἰ ταῦτ' ἐποίουν. Ὡς εἰ νῦν πράως οἴσετ' ἐφ' οἷς τότ' ἠγανακτεῖτε, δόξετ' ὀργιζόμενοι κατεγνωκέναι τὰ χρήματα τούτων, οὐκ ἀδικούμενοι. Τῶν μὲν γὰρ ὀργιζομένων ἐστὶν ὀξέως τι κακὸν τὸν λελυπηκότ' ἐργάσασθαι, τῶν δὲ ἀδικουμένων, ὅταν ποθ' ὑφ' αὐτοῖς λάβωσι τὸν ἠδικηκότα, τότε τιμωρήσασθαι. Οὔκουν δεῖ δοκεῖν, νῦν μαλακισθέντας, τότε τῶν ὀμωμοσμένων ὅρκων ἀμελήσαντας ὑμῖν αὐτοῖς χαρίσασθαι παρὰ τὸ δίκαιον, ἀλλὰ

NC. 3. πάσχοι Bekker. πάσχει S, L, F. ἔπασχεν vulg. — 7. ὑφαιροῦνται F, Y. ὑφηροῦντο S, L[1]. Cf. *Androt.* — 8-9. καὶ τὰ μικρὰ dans *Androt.* καὶ κατὰ μικρὰ mss. ici. καὶ μικρὰ Reiske. — 12. λογισαμένους S, L. λογιζομένους A, F, B, Y. — 18-19. ὑπ' αὐτοῖσ mss.

1. Καταγνόντες αὐτῶν. Ces mots ne sont pas dans l'autre discours.

4. Κηδόμενοι répond à κηδεμὼν ὢν dans *Androt.*

6. Ὅτι τούτων μὲν.... Ce passage, jusqu'à la fin du paragraphe, a été à tort inséré dans *Androt.*, § 67. — Μετέχουσιν ὧν ἀδικοῦσιν ὑμᾶς τινες, ils ont leur part des profits que certaines gens font à vos dépens.

8. Ῥᾷον, plus facile à porter, moins odieux.

14. Ἀπ' ἐκείνου : sous-ent. τοῦ χρόνου ὅτε ἕκαστος ἥμαρτεν. [Reiske.] L'ambassade d'Androtion et consorts, et les faits rapportés au § 12, sont déjà anciens.

15. Τότ(ε) : quand Euctémon, poursuivi παρανόμων à cause du décret qu'il avait fait porter contre les détenteurs d'une prise faite par un navire de guerre, fut acquitté par les juges. Voy. § 14. [Reiske.]

16. Κατεγνωκέναι τὰ χρήματα τούτων, les avoir condamnés au payement de l'argent (c.-à-d. de l'argent provenant de la prise et du montant de l'amende). Cf., pour la construction, § 63 : Τέως ἂν ἐκτείσῃ ὅ τι ἂν αὐτοῦ καταγνωσθῇ.

21. Ὑμῖν αὐτοῖς χαρίσασθαι παρὰ τὸ δίκαιον. Si les juges faiblissaient maintenant, on pourrait dire qu'ils cédèrent

μισεῖν καὶ μηδ' ἀνέχεσθαι φωνὴν μήτε τούτου μήτ' ἐκείνου, 755 τοιαῦτα πεπολιτευμένων.

[176] Ἀλλὰ νὴ Δία ταῦτα μόνον τοιοῦτοι γεγόνασιν ἐν οἷς πεπολίτευνται, ἄλλα δ' ἔσθ' ἃ καλῶς διῳκήκασιν· ἀλλὰ καὶ τἄλλ' οὕτω προσεληλύθασι πρὸς ὑμᾶς ὥσθ' ἥκιστ' ἐν οἷς ἀκηκόατ' ἄξιόν ἐστι μισεῖν αὐτούς. Τί γὰρ βούλεσθ' εἴπω; τὰ πομπεῖ' ὡς ἐπεσκευάκασι, καὶ τὴν τῶν στεφάνων καθαίρεσιν, ἢ τὴν τῶν φιαλῶν ποίησιν τὴν καλήν; [177] Ἀλλ' ἐπὶ τούτοις γ', εἰ μηδὲν ἄλλο ἠδίκουν τὴν πόλιν, τρὶς οὐχ ἅπαξ τεθνάναι δικαίως ἄν μοι δοκοῦσιν· καὶ γὰρ ἱεροσυλίᾳ καὶ ἀσεβείᾳ καὶ κλοπῇ καὶ πᾶσι τοῖς δεινοτάτοις εἰσὶν ἔνοχοι. Τὰ μὲν οὖν πόλλ' ὧν λέγων ἐφενάκιζεν ὑμᾶς Ἀνδροτίων παραλείψω· φήσας δ' ἀπορρεῖν τὰ φύλλα τῶν στεφάνων καὶ σαπροὺς εἶναι διὰ τὸν χρόνον, ὥσπερ ἴων ἢ ῥόδων ὄντας, ἀλλ' οὐ χρυσίου, συγχωνεύειν ἔπεισεν. Αἱρεθεὶς δ' ἐπὶ ταῦτα προσείλετο τοῦτον τὸν πάντων τῶν κακῶν κοινωνόν. [178] Κᾆτ' ἐπὶ μὲν ταῖς εἰσφοραῖς τὸν δημόσιον παρεῖναι προσέγραψεν ὡς δὴ δίκαιος ὤν, ὧν ἕκαστος ἀντιγραφεὺς ἔμελλεν ἔσεσθαι τῶν εἰσενεγκόντων· ἐπὶ τοῖς στεφάνοις δ', οὓς κατέκοπτεν, οὐχὶ προσήγαγε ταὐτὸ δίκαιον τοῦτο, ἀλλ' αὐτὸς ῥήτωρ, χρυσοχόος, ταμίας, ἀντιγραφεὺς γέγονεν. [179] Καὶ μὴν εἰ μὲν ἅπαντ' ἠξίους, ὅσα πράττεις τῇ πόλει, σαυτῷ πιστεύειν, οὐκ ἂν ὁμοίως κλέπτης ὢν ἐφωρῶ· νῦν δ' ἐπὶ ταῖς εἰσφοραῖς ὃ δίκαιόν ἐσθ' ὁρίσας, μὴ σοὶ πιστεύειν, ἀλλὰ τοῖς αὐτῆς δούλοις τὴν πόλιν, ὁπότ' ἄλλο τι πράττων καὶ χρήματα κινῶν ἱερὰ, ὧν ἔνι' οὐδ' ἐπὶ 756 τῆς ἡμετέρας γενεᾶς ἀνετέθη, μὴ προσγραψάμενος τὴν αὐτὴν φυλακὴν ἥνπερ ἐπὶ τῶν εἰσφορῶν φαίνει, οὐκ ἤδη δῆλον δι' ὃ τοῦτ' ἐποίησας; ἐγὼ μὲν οἶμαι. [180] Καὶ μὴν,

NC. 3. ταῦτα μὲν, comme dans *Androtion*, Cobet. — 10. δικαίως ἄν μοι τεθνάναι A, F, Y. — 20. προσήγαγεν S.

autrefois à la tentation d'enrichir le fisc, qui les nourrissait, par une condamnation injuste.

3. Ἀλλὰ νὴ Δία.... Les § 176-181 s'accordent presque textuellement avec *Androtion*, § 69-73.

ὦ ἄνδρες Ἀθηναῖοι, καὶ κατὰ παντὸς τοῦ χρόνου σκέψασθ' ὡς καλὰ καὶ ζηλώτ' ἐπιγράμματα τῆς πόλεως ἀνελὼν ὡς ἀσεβῆ καὶ δείν' ἀντεπέγραψεν. Οἶμαι γὰρ ὑμᾶς ἅπαντας ὁρᾶν ὑπὸ τῶν στεφάνων ταῖς χοινικίσιν κάτωθεν γεγραμμένα « οἱ σύμμαχοι τὸν δῆμον ἀνδραγαθίας εἵνεχ' ἐστεφάνωσαν « καὶ δικαιοσύνης » ἢ « οἱ σύμμαχοι ἀριστεῖον τῇ Ἀθηναίᾳ « ἀνέθεσαν » ἢ κατὰ πόλεις « οἱ δεῖνες τὸν δῆμον ἐστεφά- « νωσαν σωθέντες ὑπὸ τοῦ δήμου », οἷον « Εὐβοεῖς ἐλευθε- « ρωθέντες ἐστεφάνωσαν τὸν δῆμον » ἐπεγέγραπτό που, πάλιν « Κόνων ἀπὸ τῆς ναυμαχίας τῆς πρὸς Λακεδαιμο- « νίους », « Χαβρίας ἀπὸ τῆς ἐν Νάξῳ ναυμαχίας ». Τοιαῦτα γὰρ ἦν τὰ τῶν στεφάνων ἐπιγράμματα. [181] Ταῦτα μὲν τοίνυν, ἃ [πρότερον] ζῆλον πολὺν εἶχε καὶ φιλοτιμίαν ὑμῖν, ἠφάνισται καθαιρεθέντων τῶν στεφάνων· ἐπὶ ταῖς φιάλαις δ', ἃς ἀντ' ἐκείνων ἐποιήσαθ' ὑμῖν ὁ πόρνος οὗτος, « Ἀνδροτίωνος ἐπιμελουμένου » ἐπιγέγραπται, καὶ οὗ τὸ σῶμ' ἡταιρηκότος οὐκ ἐῶσιν οἱ νόμοι εἰς τὰ ἱερ' εἰσιέναι, τούτου τοὔνομ' ἐν τοῖς ἱεροῖς ἐπὶ τῶν φιαλῶν γεγραμμένον ἐστίν. Ὅμοιόν γε, οὐ γάρ; τοῦτο τοῖς προτέροις ἐπιγράμμασιν, ἢ φιλοτιμίαν ἴσην ἔχον ὑμῖν. [182] Τρία τοίνυν ἐκ τούτου τὰ δεινότατ' ἄν τις ἴδοι πεπραγμέν' αὐτοῖς. Τὴν μὲν
757 γὰρ θεὸν τοὺς στεφάνους σεσυλήκασιν· τῆς πόλεως δὲ τὸν ζῆλον ἠφανίκασιν τὸν ἐκ τῶν ἔργων, ὧν ὑπομνήματ' ἦσαν

NC. 1. καθ' ἅπαντοσ S et L seuls, ici, non dans *Androtion*. — 5. τὸν δῆμον S et texte de L seuls, comme dans *Androt.* τὸν δῆμον τὸν (ou τῶν) Ἀθηναίων vulg. — 6. ἀθηναίαι S, L[1] dans *Androt.* ἀθηνᾶι mss ici. — 7. οἵτινεσ (pour οἱ δεῖνες) S, L[f], Y, ici, non dans *Androt.* — 13. ζῆλον πρότερον F. πρότερον, qui ne se lit pas dans *Androt.*, est suspect. — εἶχεν S. — 14-15. ἐπὶ ταῖς φιάλαις δὲ F, et tous les mss dans *Androt.* ἐπὶ δὲ ταῖσ φιάλαισ S, L, vulg. — 16. ἐπιμελουμένου S et texte de L seuls. ἐπιμελουμένου ἐποιήθησαν vulg. et tous les mss dans *Androt.* — 20. ἦν, pour ἢ, L. — 21. Var. : τούτων. — 21-22. Des signes de renvoi placés sur τὴν et sur θεὸν par S[1], sans qu'il y ait un γρ. en marge, indiquent peut-être une variante τῆς.... θεοῦ. — 22. τῆς δὲ πόλεως S, L ici, non dans *Androt.* — 24. ὑπομνήματ' A, F, L corrigé. ὑπόμνημα S, L[1]. De même dans *Androt.*

11. Χαβρίας ἀπὸ τῆς ἐν Νάξῳ ναυμαχίας. Cet exemple ne se lit pas dans le texte de l'autre discours.

20. Τρία τοίνυν.... Le § 182 se lit aussi dans *Androt.*, § 174, où il n'est pas de mise.

22-23. Τὸν ζῆλον. Cf. *Cour.*, § 120 : Τῷ μὲν στεφανουμένῳ τὸν αὐτὸν ἔχει ζῆλον ὁ στέφανος, ὅπου ἂν ἀναρρηθῇ.

ὄντες οἱ στέφανοι· τοὺς δ' ἀναθέντας δόξαν οὐ μικρὰν ἀφῄρηνται, τὸ δοκεῖν ὧν ἂν εὖ πάθωσιν ἐθέλειν μεμνῆσθαι. Καὶ τοιαῦτα καὶ τοσαῦτα τὸ πλῆθος κάκ' εἰργασμένοι εἰς τοῦτ' ἀναισθησίας καὶ τόλμης προεληλύθασιν, ὥσθ' ὁ μὲν οἴεται δι' ἐκεῖνον ὑφ' ὑμῶν σωθήσεσθαι, ὁ δὲ παρακάθηται καὶ οὐ καταδύεται τοῖς πεπραγμένοις. [183] [Οὕτω δ' οὐ μόνον εἰς χρήματ' ἀναιδής, ἀλλὰ καὶ σκαιός ἐστιν ὥστ' οὐκ οἶδεν ἐκεῖνο, ὅτι στέφανοι μέν εἰσιν ἀρετῆς σημεῖον, φιάλαι δὲ καὶ τὰ τοιαῦτα πλούτου, καὶ στέφανος μὲν ἅπας, κἂν μικρὸς ᾖ, τὴν ἴσην φιλοτιμίαν ἔχει τῷ μεγάλῳ, ἐκπώματα δ' ἢ θυμιατήρια ἢ τὰ τοιαῦτα κτήματα, ἐὰν μὲν ὑπερβάλλῃ τῷ πλήθει, πλούτου τινὰ δόξαν προσετρίψατο τοῖς κεκτημένοις, ἐὰν δ' ἐπὶ μικροῖς σεμνύνηταί τις, τοσοῦτ' ἀπέχει τοῦ τιμῆς τινὸς διὰ ταῦτα τυχεῖν ὥστ' ἀπειρόκαλος πρὸς ἔδοξεν εἶναι. Οὗτος τοίνυν ἀνελὼν τὰ τῆς δόξης κτήματα τὰ τοῦ πλούτου πεποίηται μικρὰ καὶ ἀνάξι' ὑμῶν. [184] Καὶ οὐδ' ἐκεῖν' εἶδεν, ὅτι πρὸς μὲν χρημάτων κτῆσιν οὐδεπώποθ' ὁ δῆμος ἐσπούδασεν, πρὸς δὲ

NC. 1. ὄντες manque dans F, est biffé dans L. — 4. ἀναισχυντίας F, marge de L. — 6. Je mets entre crochets les §§ 183-186, aussi déplacés ici qu'ils sont bien placés à la fin d'*Androtion*. — 9. φιάλαι δὲ καὶ ἐκπώματα καὶ τὰ τοιαῦτα vulg. — 15. πρὸς ἔδοξεν Dindorf. — 16. τὰ est omis après κτήματα dans les mss, ici, non dans *Androt.* — 17. οὐχ ὑμῶν ἄξια F, comme dans *Androt.* — οἶδεν vulg.

1. Ὄντες, tant qu'elles existaient.

2. Τὸ δοκεῖν...., apposition explicative de δόξα. Ailleurs Démosthène dit τὴν δόξαν τοῦ δοκεῖν, ce qui est moins conforme à notre manière de parler. Cf. les notes sur *Symmories*, § 1 ; *Paix*, § 22.

5. Δι' ἐκεῖνον. Voy. la note sur δι' Ἀνδροτίωνα, § 171.

6. Οὐ καταδύεται, il ne se cache pas de honte. Cf. *Mid.*, § 199 : Κατέδυ καὶ μέτριον παρέσχεν ἑαυτόν.

6-7. Οὕτω δ' οὐ μόνον.... Dans les considérations qui précèdent, Timocrate est associé à Androtion, comme il l'avait été dans le récit des faits et comme cela convient dans un procès directement dirigé contre lui. Mais, à partir d'ici, jusqu'à la fin du § 186, il n'est plus question que d'Androtion, et Timocrate est oublié. Évidemment, nous avons ici deux séries de considérations, qui font en partie double emploi et qui sont plutôt juxtaposées que rattachées entre elles. Ces deux séries de considérations se trouvent dans le texte des deux discours. Les critiques avaient vu que celles du § 182 du présent discours doivent être retranchées du discours contre Androtion, où elles forment le § 74 : elles y ont été évidemment insérées à tort. Mais il me semble tout aussi évident que notre discours a été aussi amplifié très inconsidérément par un morceau parallèle tiré de l'autre. Les § 183-186, placés à la fin du κατὰ Ἀνδροτίωνος, y forment une admirable péroraison ; ici ils ne sont qu'une superfétation des plus déplacées. Voy. *Revue de Philologie*, 1883, p. 12.

δόξης ὡς οὐδὲ πρὸς ἓν τῶν ἄλλων. Τεκμήριον δέ· χρήματα μὲν γὰρ πλεῖστα τῶν Ἑλλήνων ποτὲ σχὼν ἅπανθ' ὑπὲρ φιλοτιμίας ἀνήλωσεν, ὑπὲρ δὲ δόξης εἰσφέρων ἐκ τῶν ἰδίων οὐδένα πώποτε κίνδυνον ἐξέστη. Ἀφ' ὧν κτήματ' ἀθάνατ' αὐτῷ περίεστιν, τὰ μὲν τῶν ἔργων ἡ μνήμη, τὰ δὲ τῶν ἀναθημάτων τῶν ἐπ' ἐκείνοις σταθέντων τὸ κάλλος, προπύλαια ταῦτα, ὁ παρθενὼν, στοαὶ, νεώσοικοι, οὐκ ἀμφορίσκοι δύο οὐδὲ χρυσίδες τέτταρες ἢ τρεῖς, ἄγουσ' ἑκάστη μνᾶν, ἃς, ὅταν σοι δοκῇ, πάλιν γράψεις καταχωνεύειν. [185] Οὐ γὰρ ἑαυτοὺς δεκατεύοντες, οὐδ' ἂν καταράσαινθ' οἱ ἐχθροὶ ποιοῦντες, διπλᾶς πράττοντες τὰς εἰσφορὰς, ταῦτ' ἀνέθεσαν, οὐδ' οἵοισπερ σὺ χρώμενοι συμβούλοις ἐπολιτεύοντο, ἀλλὰ τοὺς ἐχθροὺς κρατοῦντες, καὶ ἃ πᾶς τις ἂν εὖ φρονῶν εὔξαιτο, τὴν πόλιν εἰς ὁμόνοιαν ἄγοντες, ἀθάνατον κλέος αὑτῶν λελοίπασι, τοὺς ἐπιτηδεύοντας οἷά σοι βεβίωται τῆς ἀγορᾶς εἴργοντες. [186] Ὑμεῖς δ' εἰς τοσοῦτον, ὦ ἄνδρες Ἀθηναῖοι, πρόηχθ' εὐηθείας καὶ ῥᾳθυμίας ὥστ' οὐδὲ τοιαῦτ' ἔχοντες παραδείγματα ταῦτα μιμεῖσθε, ἀλλ' Ἀνδροτίων ὑμῖν πομπείων ἐπισκευαστής, Ἀνδροτίων, ὦ γῆ καὶ θεοί. Καὶ τοῦτ' ἀσέβημ' ἔλαττον τίνος ἡγεῖσθε; ἐγὼ μὲν γὰρ ἡγοῦμαι δεῖν τὸν εἰς ἱερ' εἰσιόντα καὶ χερνίβων καὶ κανῶν ἁψόμενον, καὶ τῆς πρὸς τοὺς θεοὺς ἐπιμελείας προστάτην ἐσόμενον οὐχὶ τακτὸν ἡμερῶν ἀριθμὸν ἁγνεύειν, ἀλλὰ τὸν βίον ἡγνευκέναι τοιούτων ἐπιτηδευμάτων οἷα τούτῳ βεβίωται.]

[187] Καὶ περὶ μὲν τούτου <τοῦ ἐσκεμμένου> κατὰ σχολὴν

NC. 9. ἅς.... καταχωνεύειν, mots omis ici, non dans *Androt.*, par S, A. — γράψεις dans *Androt.*, γράφεις ici. — 10. ἃ καταράσαιντ' ἂν mss. Voy. *Androt.* NC. — 12. οἱόσπερ Reiske. — 14. S portait d'abord λέγοντες. — 17. πρόηχθε est la bonne leçon conservée par S ici, non dans *Androt.* προήχθητ' vulg. — 21. οἶμαι δεῖν F, comme dans *Androt.* — 23. οὐχὶ προειρημένων ἡμερῶν A. Cf. *Androt.* — 24. βίον ὅλον vulg. — 26. τούτου S seul. τούτων vulg. — J'insère ici τοῦ ἐσκεμμένου. Cf. § 158

26. Τοῦ σκεμμένου κατὰ σχολήν. A entendre l'accusateur, Timocrate prétendait n'avoir rien à craindre, grâce au talent d'Androtion et aux arguments longuement médités par un homme aussi habile. C'est ainsi que la digression sur

ἃ δὴ Τιμοκράτης νῦν ἐρεῖ πολλὰ λέγειν ἔτι πρὸς τούτοις ἔχων παύσομαι. Οἶδα δ' ὅτι, ὡς μὲν οὐκ ἀσύμφορος ὑμῖν ἐστιν ὁ νόμος καὶ παρὰ πάντας τοὺς νόμους εἰσενηνεγμένος καὶ κατὰ πάντ' ἀδίκως ἔχων, οὐχ ἕξει λέγειν· ἀκούω δ' αὐτὸν λέγειν ὡς ἐκτέτισται τὰ χρήματ' Ἀνδροτίωνι καὶ Γλαυκέτῃ καὶ Μελανώπῳ, καὶ ὅτι δεινότατ' ἂν πάθοι πάντων ἀνθρώπων, εἰ πεποιηκότων ἐκείνων τὰ δίκαια, ὑπὲρ ὧν αὐτὸς αἰτίαν ἔχει θεῖναι τὸν νόμον, μηδὲν ἧττον 789
αὐτὸς ἁλίσκοιτο. [188] Ἐγὼ δὲ τὸν λόγον ἡγοῦμαι τοῦτον οὐδὲ καθ' ἓν λέγειν ἐνεῖναι τούτῳ. Εἰ μὲν γὰρ ὑπὲρ τούτων, οὓς τὰ προσήκοντα φῂς πεποιηκέναι, θεῖναι τὸν νόμον ὁμολογεῖς, κατ' ἐκεῖνο προσήκει σ' ἁλίσκεσθαι φανερῶς, ὅτι μὴ τιθέναι νόμον, ἐὰν μὴ τὸν αὐτὸν ἐπὶ πᾶσι τοῖς πολίταις, ἄντικρυς οἱ κύριοι νόμοι λέγουσι, καθ' οὓς οὗτοι δικάσειν ὀμωμόκασιν. [189] Εἰ δὲ τοῦ πᾶσι συμφέροντος εἵνεκα ταῦτα νομοθετῆσαι φήσεις, μὴ λέγε τὴν ἔκτισιν τὴν τούτων· οὐδὲν γὰρ κοινωνεῖ τῷ νόμῳ τῷδε· ἀλλ' ὡς ἐπιτήδειός ἐστιν καὶ καλῶς ἔχων ὁ νόμος, τοῦτο δίδασκε. Τοῦτο γάρ ἐσθ' ὑπὲρ οὗ σὺ μὲν εἰσενεγκεῖν φῄς, ἐγὼ δὲ γέγραμμαι τἀναντία

NC. 1. ἃ δὴ Τιμοκράτει συνερεῖ ou ἃ δὲ Τιμοκράτης νῦν ἐρεῖ Dobree. ἃ δὲ Τιμοκράτει συνερεῖ mss. — Deux points sont sûrs et certains : la leçon des manuscrits n'offre pas de sens ; les mots περὶ τούτου doivent être rattachés à πολλὰ λέγειν ἔτι πρὸς τούτοις ἔχων παύσομαι. — 2. Peut-être παύομαι. — 7. τούτων, pour ἐκείνων, F. Blass veut supprimer le démonstratif. — 10. καθ' ἕνα S seul. — εἶναι A, Y. — 14. ἄγουσι texte de S (cf. p. 152, 14 NC.). λέγουσιν reviseur en marge. — 15. ἕνεκα mss. — 16. νομοθετήσας φήσεις A, Y. ἐνομοθέτησας Blass.

Androtion a été amenée au § 158 (τοιούτους λόγους σχολὴν ἄγοντα ἐσκέφθαι κτλ.); après la digression, Diodore fait une nouvelle allusion ironique à l'imprudent propos de Timocrate.

1. Ἃ δὴ Τιμοκράτης νῦν ἐρεῖ. Timocrate se défendra lui-même ; mais les juges sont avertis que tout ce qu'il dira lui a été dicté par son logographe. — Πολλὰ λέγειν ἔτι πρὸς τούτοις ἔχων παύσομαι, j'en pourrais dire beaucoup plus long sur son compte, mais je m'arrête. Cf. *Phil.*, I, § 13 : Ὡς μὲν οὖν δεῖ τὰ προσήκοντα ποιεῖν ἐθέλοντας ὑπάρχειν ἅπαντας ἑτοίμως, ὡς ἐγνωκότων ὑμῶν καὶ πεπεισμένων, παύομαι λέγων· τὸν δὲ τρόπον τῆς παρασκευῆς κτλ.

8. Ὑπὲρ ὧν αὐτὸς αἰτίαν ἔχει θεῖναι τὸν νόμον. Voy. la narration au début du plaidoyer et les allusions des § 59 et 159. Mais cela suffit-il, et peut-on retrancher sans inconvénient les § 110-154, dans lesquels l'accusateur insiste sur les vrais motifs qui ont dicté la loi de Timocrate ?

11. Οὓς τὰ προσήκοντα φῂς (tu prétends) πεποιηκέναι. L'accusateur ne l'accorde pas.

19. Γέγραμμαι τἀναντία φάσκων, j'ai dénoncé ta loi en soutenant le contraire.

φάσκων, κρῖναι δὲ προσήκει τουτουσί. Καίτοι καὶ τοῦτ' οὐκ ἀπορήσαιμ' ἂν δεῖξαι, πάντα μᾶλλον ἢ κατὰ τοὺς νόμους πεποιημένους τὴν ἔκτισιν ἐκείνους τὴν τῶν χρημάτων· ἀλλὰ μὴ περὶ τούτων ὑμῶν οἰσόντων τὴν ψῆφον, τί δεῖ ταῦτα λέγοντ' ἐνοχλεῖν με νυνί;

[190] Οἶμαι τοίνυν αὐτὸν οὐδ' ἐκείνων ἀφέξεσθαι τῶν λόγων, ὡς δείν' ἂν πάθοι, εἰ γράψας ὅπως Ἀθηναίων μηδεὶς δεθήσεται αὐτὸς πείσεταί τι κακόν, καὶ ὅτι τοὺς νόμους ὡς πραοτάτους καὶ μετριωτάτους εἶναι ὑπὲρ τῶν ἀδυνάτων μάλιστ' ἐστίν. Πρὸς δὴ τοὺς τοιούτους λόγους βέλτιον προακηκοέναι μικρὰ πάντας ὑμᾶς, ἵν' ἧττον ἐξαπατᾶσθε. [191] Ὅταν μὲν γὰρ λέγῃ, ὅπως μηδεὶς δεθήσεται Ἀθηναίων, μὴ λανθανέτω ψευδόμενος ὑμᾶς. Οὐ γὰρ τοῦτο τέθεικεν, ἀλλ' ὅπως
760 ὑμεῖς ἄκυροι τῶν προστιμημάτων ἔσεσθε· καὶ τὴν μεθ' ὅρκου καὶ λόγου καὶ κρίσεως ψῆφον ἐνηνεγμένην ἀνάδικον καθίστησιν. Μὴ δὴ ταῦθ' ὑμῖν τῶν ἐκ τοῦ νόμου ῥημάτων ἐκλέξας λεγέτω, ἃ φιλανθρωπότατ' ἐστὶν ἀκοῦσαι· ἀλλ' ὅλον δεικνύτω τὸν νόμον ἑξῆς, καὶ τὰ συμβαίνοντ' ἐξ αὐτοῦ σκοπεῖν ἐάτω. Εὑρήσετε γὰρ ταῦτ' ὄνθ' ἃ ἐγὼ λέγω, καὶ οὐχ ἃ φησιν οὗτος. [192] Ἀλλὰ μὴν πρός γε τὸ τοῖς πολλοῖς συμφέρειν τοὺς νόμους πράους καὶ μετρίους εἶναι τάδε χρὴ σκοπεῖν.

NC. 2. ἀπορήσαιμεν (accent aigu sur ε gratté) ἂν S, F. — 3. αὐτοὺς F. Cf. p. 153, 7. — 7. μηδεὶς Ἀθηναίων F. — 10-11. ἀκηκοέναι S seul. — 12. μηδεὶς Ἀθηναίων δεθήσεται F, comme l. 7. — Dobree proposait d'insérer θεῖναι après Ἀθηναίων. — 13. Blass veut supprimer ὑμᾶς. — τοῦτ' ἔθηκεν A, Y. — 14. γενήσεσθε F. — 19. ὄντα omis entre ταυτ et α dans S seul. — 21. τὰ δὲ χρήματα σκοπεῖν, avant correction par le reviseur, S[1].

2. Πάντα μᾶλλον ἢ κατὰ τοὺς νόμους. Le versement fait après coup par Androtion et consorts était évidemment insuffisant, au dire de l'accusateur. Ils se contentèrent de restituer les sommes qu'ils détenaient, au lieu de payer le double et même, pour une certaine partie, le décuple. Cf. § 15.

6. Οὐδ' ἐκείνων ἀφέξεσθαι τῶν λόγων... C'était là, sans doute, un des arguments les plus forts de la défense.

9. Τῶν ἀδυνάτων, les faibles, les petites gens. Cf. § 135.

11-12. Ὅταν μὲν.... Ἀθηναίων, quand il dira ces mots : ὅπως μηδεὶς δεθήσεται Ἀθηναίων. [G.-H. Schæfer.] Voy. cependant NC. — Ὑμᾶς dépend de λανθανέτω.

13. Τοῦτο équivaut à διὰ τοῦτο. [G.-H. Schæfer.]

14. Ἄκυροι τῶν προστιμημάτων. Cf. § 2.

15. Ἀνάδικον καθίστησιν, il la fait reviser par un autre jugement. Ce point a été touché aux § 55 et 78.

21. Τάδε se rapporte à ce qui suit. « Pour ce qui est de l'assertion que la

Ἔστιν, ὦ ἄνδρες Ἀθηναῖοι, δύ' εἴδη περὶ ὧν εἰσιν οἱ νόμοι κατὰ πάσας τὰς πόλεις· ὧν τὸ μέν ἐστιν, δι' ὧν χρώμεθ' ἀλλήλοις καὶ συναλλάττομεν καὶ περὶ τῶν ἰδίων ἃ χρὴ ποιεῖν διωρίσμεθα καὶ ζῶμεν ὅλως τὰ πρὸς ἡμᾶς αὐτούς, τὸ δέ, ὃν τρόπον δεῖ τῷ κοινῷ τῆς πόλεως ἕν' ἕκαστον ἡμῶν χρῆσθαι, ἂν πολιτεύεσθαι βούληται καὶ φῇ κήδεσθαι τῆς πόλεως. [193] Ἐκείνους μὲν τοίνυν τοὺς νόμους, τοὺς περὶ τῶν ἰδίων, ἠπίως κεῖσθαι καὶ φιλανθρώπως ὑπὲρ τῶν πολλῶν ἐστιν· τούσδε δὲ τοὺς περὶ τῶν πρὸς τὸ δημόσιον τοὐναντίον, ἰσχυρῶς καὶ χαλεπῶς ἔχειν ὑπὲρ ὑμῶν ἐστιν· οὕτω γὰρ ἂν ἥκισθ' οἱ πολιτευόμενοι τοὺς πολλοὺς ὑμᾶς ἀδικοῖεν. Ὅταν δὴ τούτῳ τῷ λόγῳ χρῆται, ἐπὶ ταῦτ' ἀπαντᾶτε, ὅτι τοὺς νόμους οὐκ ἐκείνους τοὺς ὑπὲρ ὑμῶν πράους ποιεῖ, ἀλλὰ τούσδ' οἳ τοῖς πολιτευομένοις φόβον παρέχουσιν.

[194] Πολλὰ δ' ἂν τις ἔχοι λέγειν, εἰ καθ' ἕκαστον ὧν ἐρεῖ δεικνύναι βούλοιτο φενακισμοῦ καὶ παρακρούσεως ἕνεκα ῥηθησόμενα. Ἀλλὰ τὰ μὲν πολλὰ παρήσω, κεφάλαιον δ' ὑμῖν ὃ μνημονεύσετ' ἐρῶ. Σκοπεῖτ' ἐν ἅπασι τοῖς λόγοις, 761
ὁπόσους ἂν λέγῃ, εἴ τι δυνήσεται τοιοῦτον εἰπεῖν, δι' οὗ διδάξει ὡς ἔστι δίκαιον τὸν τιθέντα νόμον ταὐτὰ προστάξαι περὶ τῶν παρεληλυθότων καὶ [πρότερον] τέλος ἐσχηκότων καὶ περὶ τῶν μελλόντων γενήσεσθαι· πάντων γὰρ ὄντων αἰσχρῶν καὶ δεινῶν τῶν γεγραμμένων ἐν τῷ νόμῳ, τοῦτο δεινότατον καὶ μάλιστα παράνομον γέγραπται. [195] Εἰ δὲ μήθ' οὗτος μήτ' ἄλλος μηδεὶς τοῦτο δυνήσεται δεῖξαι, εἰδέναι χρὴ σα-

NC. 1. περι ων οι νομοι κειται variante notée en marge par S[4]. — 2. καθ' ἁπάσασ S, F. — 5. ἕνα ἕνα ἕκαστον S. — 9. πρὸς τὸ δημόσιον προσιόντων F. — 11. τοὺς πολλοὺς ὑμῶν A, Y. — 18. ὧν F. — μνημονεύετε A. — 21. πρότερον est omis dans A, Y. — 24-25. εἰ δὲ τοῦτο μήθ'.... μηδεὶς δυνήσεται vulg. — 25. εἰδέναι χρὴ καὶ συνιέναι vulg.

douceur des lois est dans l'intérêt du grand nombre, voici ce qu'il faut considérer. »

2. Ὧν τὸ μέν ἐστιν.... Construisez ὧν (εἰδῶν) τὸ μέν ἐστι (περὶ οὗ εἰσιν οἱ νόμοι) δι' ὧν χρώμεθ' ἀλλήλοις.

9. Τῶν πρὸς τὸ δημόσιον. L'article τῶν est au neutre, comme dans τῶν ἰδίων.

12. Ἐπὶ ταῦτ' ἀπαντᾶτε, ayez recours à cette réponse, faites face à cet argument par l'objection que.... Cf. *Mid.*, § 24 et § 151, avec les notes.

23-24. Τοῦτο δεινότατον καὶ μάλιστα παράνομον γέγραπται. Ce point a été

φῶς φενακιζομένους, καὶ λογίζεσθαι πρὸς ὑμᾶς αὐτοὺς ἐκ τίνος ποτ' ἐπῆλθε τούτῳ τοιαῦτα νομοθετεῖν. Οὐ προῖκ', ὦ Τιμόκρατες, πόθεν; οὐδ' ὀλίγου δὴ τοῦτον ἔθηκας τὸν νόμον· οὐδεμίαν γὰρ ἂν εἰπεῖν ἔχοις ἄλλην πρόφασιν, δι' ἣν τοιοῦτον ἐπήρθης εἰσενεγκεῖν νόμον, ἢ τὴν σαυτοῦ θεοῖς ἐχθρὰν αἰσχροκέρδειαν· οὔτε γὰρ συγγενὴς οὔτ' οἰκεῖος οὔτ' ἀναγκαῖος ἦν σοι τούτων οὐδείς. [196] Οὐδ' ἐκεῖν' ἂν ἔχοις εἰπεῖν, ὡς ἐλεήσας δεινὰ πάσχοντας ἀνθρώπους εἵλου διὰ ταῦτα βοηθεῖν αὐτοῖς· οὔτε γὰρ τὰ τούτων πολλοστῷ χρόνῳ μόλις ἄκοντας, ἐν τρισὶν ἐξελεγχθέντας δικαστηρίοις, κατατιθέναι, τοῦθ' ἡγήσω [τὸ] δεινὰ πάσχειν εἶναι· ποιεῖν γάρ ἐστι τοῦτό γε δεινά, καὶ παροξύνειε μᾶλλον ἄν τινα μισεῖν ἢ προτρέψειεν ἐλεεῖν· οὔτ' ἄλλως πρᾶος καὶ φιλάνθρωπος σύ τις τῶν ἄλλων διαφόρως ὢν ἐλεεῖς αὐτούς. [197] Οὐ γάρ ἐστι τῆς αὐτῆς ψυχῆς Ἀνδροτίωνα μὲν καὶ Μελάνωπον καὶ Γλαυκέτην

NC. 1. φενακιζομένους ὑμᾶς vulg. — 3. οὐδ' ὀλίγου δὴ A, Y. οὐδ' ὀλίγου δεῖ S, vulg., ce qui ne semble pas de mise après πόθεν. — 5. θεοισεχθρίαν, comme dans *Androt.*, § 59, Cobet. — 6. αἰσχροκερδίαν S. — οἰκεῖος οὔτε συγγενὴς vulg. — 7. οὔτ' ἐκεῖν' S, F, Y. — 9. τὰ S, A, Y. τὸ τὰ vulg. — 11. τὸ est de trop. [Cobet.] — ἐστιν S. — 12. παροξύνειν S. — 14. διαφόρως Lambin. διάφορος mss. διαφερόντως Cobet. — γρ. διάφορος ὥστε ελεειν αυτους reviseur en marge de S. — 15. Γλαυκέτην καὶ Μελάνωπον vulg.

développé dans les §§ 72-74. Voyez aussi § 43-44.

1. Φενακιζομένους s'accorde avec ὑμᾶς, sujet sous-entendu de εἰδέναι.

3. Πόθεν, d'où viendrait? Parenthèse familière. Cf. § 157. — Οὐδ' ὀλίγου, ni pour peu d'argent.

6-7. Ἀναγκαῖος indique un lien quelconque, soit de parenté (συγγένεια), soit d'amitié (οἰκειότης).

9. Τὰ τούτων : ce qui appartient au peuple, représenté par l'assemblée judiciaire. [Reiske.] — Πολλοστῷ χρόνῳ, après un temps beaucoup plus long (plusieurs fois aussi long) que le délai légal. Si πολλοστὸν μέρος se dit d'une petite fraction, l'adjectif garde jusque dans cette locution (G.-H. Schæfer l'a fait observer) son sens premier : il indique, en effet, que le tout se divise en un grand nombre de parties.

10. Ἐν τρισὶν.... δικαστηρίοις. Faut-il croire, avec A. Schæfer, que Démosthène prend ici le mot δικαστήριον dans un sens plus large et qu'il entend le Conseil des Cinq-Cents, l'assemblée populaire et l'Héliée ? Cf. § 9. Une telle impropriété d'expression me semble difficile à admettre. Je crois qu'il faut entendre une condamnation judiciaire par trois sections réunies. Il est vrai qu'on lit δικαστηρίοιν δυοῖν au § 9. Mais les orateurs ne se piquent pas d'être exacts : ils usent largement de l'hyperbole mensongère. Cf. *Aristog.*, I, 28. — Κατατιθέναι équivaut à εἰ καταθήσουσι, § 197. Aucun versement n'était encore fait quand Timocrate proposait sa loi.

11. Ποιεῖν. Par la place qu'il occupe en tête de la phrase, ce verbe est énergiquement opposé à πάσχειν.

ἐλεεῖν, ἃ κλέψαντες εἶχον εἰ καταθήσουσι, τουτωνὶ δὲ τοσούτων ὄντων καὶ τῶν ἄλλων πολιτῶν, ὧν ἐπὶ τὰς οἰκίας 762 ἐβάδιζες σὺ τοὺς ἕνδεκα καὶ τοὺς ἀποδέκτας ἔχων καὶ τοὺς ὑπηρέτας, μηδένα πώποτ' ἐλεῆσαι, ἀλλὰ θύρας ἀφαιρεῖν καὶ στρώμαθ' ὑποσπᾶν καὶ διάκονον, εἴ τις ἐχρῆτο, ταύτην ἐνεχυράζειν· ἃ σὺ πάντ' ἐποίεις ἐνιαυτὸν ὅλον μετ' Ἀνδροτίωνος. [198] Πολλῷ γὰρ δήπου σχετλιώτερ' ἐπάσχεθ' ὑμεῖς, κ⟨οὐ⟩ πολὺ μᾶλλον ἂν εἰκότως ἠλέεις τούτους, οἳ δι' ὑμᾶς, ὦ κατάρατε, τοὺς λέγοντας οὐδ' ὁτιοῦν εἰσφέροντες παύονται· καὶ οὐκ ἀπόχρη τοῦτο, ἀλλὰ καὶ διπλᾶ πράττονται, καὶ ταῦθ' ὑπὸ σοῦ καὶ Ἀνδροτίωνος, οἳ μίαν εἰσφορὰν οὐδεπώποτ' εἰσενηνόχατε. [199] Τηλικοῦτο τοίνυν ἐφρόνησεν οὗτος, ὡς ἄρ' οὐδὲ δίκην τούτων οὐδεμίαν δώσων, ὥστε μόνος δέκα τῶν συναρχόντων ὄντων κοινῇ τὸν λόγον ἐγγράψαι μετ' Ἀνδροτίωνος ἐτόλμησεν. Προῖκα γάρ, οὐδὲν ὠφελούμενος, ὑμῖν Τιμοκράτης ἀπεχθάνεται καὶ νόμους εἰσφέρει

NC. 4. ὑφαιρεῖν S, F, Y. — 5. στρωμα S seul. — ἤ τισ S, A, F. — 8. J'écris κοὐ pour καί. Les copistes n'ont pas compris l'ironie. — 11. ὑπό τε σοῦ A, Y. — μίαν εἰσφορὰν μίαν S. J'aimerais à supprimer εἰσφοράν.

1-2. Τουτωνὶ δὲ τοσούτων ὄντων. L'orateur aime à supposer qu'il y a parmi les juges et dans l'assistance des citoyens qui ont à se plaindre de Timocrate.

3. Τοὺς ἕνδεκα καὶ τοὺς ἀποδέκτας.... Les faits auxquels l'orateur fait allusion sont racontés plus haut aux §§ 160-166. Il faut cependant remarquer que, là, Timocrate est accusé de mauvais traitements infligés aux personnes mêmes, tandis qu'ici on lui reproche seulement d'avoir opéré des saisies odieuses. Cette différence s'explique-t-elle par les besoins de l'antithèse ? S'apitoyer sur des voleurs obligés de faire restitution, dépouiller sans pitié du nécessaire des gens dont tout le tort est d'être pauvres !

5. Στρώμαθ' ὑποσπᾶν, « stragulas « corporibus ipsis incubantibus subtra- « here. » [Reiske.] — Διάκονον, εἴ τις ἐχρῆτο, ταύτην ἐνεχυράζειν. L'orateur parle de pauvres gens qui n'ont qu'une servante pour les servir, et chez lesquels il n'y a rien à saisir que les portes, la literie et cette domestique. Le scholiaste a tort de chercher un autre sens au verbe χρῆσθαι : c'est qu'il veut identifier la διάκονος avec les courtisanes mentionnées dans *Androt.*, § 57. Dareste croit qu'on enlevait les portes pour pénétrer dans les demeures et qu'on fouillait les lits pour trouver l'argent caché.

7. Δήπου : ironique. — Ὑμεῖς. L'accusateur confond Timocrate avec ses amis et complices.

9-10. Οὐδ' ὁτιοῦν.... παύονται, n'ont pas un moment de répit. [G.-H. Schæfer.]

10. Διπλᾶ πράττονται. Cf. § 185 : Διπλᾶς πράττοντες τὰς εἰσφοράς.

14. Μόνος δέκα τῶν συναρχόντων ὄντων. Cf. § 162. — Τὸν λόγον ἐγγράψαι, inscrire le montant de ses exactions sur les registres publics et présenter son compte aux magistrats contrôleurs. Wayte cite Eschine, *Ctésiph.*, § 20 : Ἐγγράφειν πρὸς τοὺς λογιστὰς ὁ νόμος κελεύει λόγον καὶ εὐθύνας.

15. Προῖκα γάρ.... Ironie.

πᾶσιν ἐναντίους, τὸ τελευταῖον δὲ καὶ αὑτοῦ νόμῳ προτέρῳ· ὄν, μὰ τὴν Ἀθηνᾶν, οὐδ' ὑμᾶς οἴομαι λανθάνειν.

[200] Ὃ τοίνυν ἔμοιγε δοκεῖ μάλιστ' ἄξιον ὀργῆς εἶναι, φράσω καὶ οὐκ ἀποτρέψομαι, ὅτι ταῦτ', ὦ ἄνδρες Ἀθηναῖοι, πράττων ἐπ' ἀργυρίῳ, καὶ προῃρημένος ὡς ἀληθῶς μισθαρνεῖν, οὐκ εἰς ἃ καὶ συγγνώμην ἀκούσας ἄν τις ἔσχε, ταῦτ' ἀναλίσκει. Ταῦτα δ' ἐστὶν τί; ὁ πατὴρ, ὦ ἄνδρες δικασταὶ, ὁ τούτου τῷ δημοσίῳ ὀφείλει· καὶ οὐκ ὀνειδίζων ἐκείνῳ λέγω, ἀλλ' ἀναγκαζόμενος· καὶ οὗτος ὁ χρηστὸς περιορᾷ. [201] Καίτοι ὅστις μέλλων κληρονομήσειν τῆς ἀτιμίας, ἂν ἐκεῖνός τι πάθῃ, μὴ οἴεται δεῖν ἐκτεῖσαι, ἀλλὰ κερδαίνειν, ὃν ἐκεῖνος ζῇ χρόνον, ἀξιοῖ τοῦτο τὸ κέρδος, τίνος ἂν ὑμῖν
763 ἀποσχέσθαι δοκεῖ; Καὶ τὸν μὲν πατέρ' οὔτ' ἐλεεῖς οὔτε δεινά σοι δοκεῖ πάσχειν, εἰ σοῦ λαμβάνοντος καὶ χρηματιζομένου ἀπὸ τῶν εἰσφορῶν ὧν εἰσέπραττες, ἀπὸ τῶν ψηφισμάτων ὧν γράφεις, ἀφ' ὧν εἰσφέρεις νόμων, διὰ μικρὸν ἀργύριον μὴ μετέχει τῆς πόλεως, ἑτέρους δ' ἐλεῆσαί τινας φῄς; [202] Ἀλλὰ, νὴ Δία, τὴν ἀδελφὴν καλῶς διῴκηκεν. Ἀλλ' εἰ καὶ μηδὲν ἄλλ' ἠδίκει, κατὰ τοῦτ' ἄξιός ἐστ' ἀπολωλέναι· πέπρακεν γὰρ αὐτὴν, οὐκ ἐκδέδωκεν. Τῶν γὰρ ὑμετέρων ἐχθρῶν ἑνὶ, Κερκυραίῳ τινὶ τῶν νῦν ἐχόντων τὴν πόλιν,

NC. 2. Je rétablis ὂν, leçon de S et de quelques autres mss. ὃ vulg. — οἶμαι vulg. — 3. ὀργῆς ἄξιον vulg. — 4. ἀποτρέψομαι S seul. ἀποκρύψομαι vulg. Cf. § 104 NC. — 6. ἔσχεν S. — 6-7. τοῦτ' ἀναλίσκει Dobree. — ἐστὶν S. — 15. ἀπὸ ψηφισμάτων S. — 16. διὰ μικρὸν ἀργυρίδιον Cobet, comme dans Aristophane, *Plut.*, 147. — 19. ἠδικήκει F.

1. Αὑτοῦ νόμῳ προτέρῳ. Allusion au § 62.

2. Ὃν.... λανθάνειν. L'orateur pense que les juges savent à quoi s'en tenir au sujet de Timocrate et de sa vénalité. On écrit généralement ὅ, et on fait dire à Démosthène que les juges n'ignorent pas que Timocrate n'est pas, comme législateur, conséquent avec lui-même. C'est trop insister sur un détail et perdre de vue la pensée principale.

7. Ταῦτ' ἀναλίσκει = εἰς ταῦτα ἀναλίσκει. Ταῦτα est le corrélatif de ἅ.

10. Κληρονομήσειν τῆς ἀτιμίας. Cf. *Androt.*, § 34.

11. Κερδαίνειν, ὃν ἐκεῖνος ζῇ χρόνον, ἀξιοῖ τοῦτο τὸ κέρδος. Timocrate veut profiter de l'argent aussi longtemps que possible, en ne payant la dette de son père qu'après la mort de ce dernier, et quand l'*atimie* l'atteindrait lui-même.

18. Τὴν ἀδελφὴν καλῶς διῴκηκεν, il administra bien les affaires de sa sœur. Dindorf rapproche Isée, *Hér. d'Apollodore*, § 6 : Αὐτὸν δ' ἐκεῖνον οὕτω διῴκησεν ἐπιτροπεύων ὥστε τριῶν αὐτῷ ταλάντων δίκην ὀφλεῖν.

20. Τῶν γὰρ ὑμετέρων ἐχθρῶν.... τὴν πόλιν. Cet homme appartenait au parti

καταλύοντι παρ' αὐτῷ, ὅτε δεῦρο πρεσβεύοι, καὶ βουληθέντι λαβεῖν αὐτὴν (ἐξ οὗ δὲ τρόπου, παραλείψω) λαβὼν ἀργύριον δέδωκεν· καὶ νῦν ἐστιν ἐν Κερκύρᾳ. [203] Ὅς οὖν τὴν μὲν ἀδελφὴν ἐπ' ἐξαγωγῇ, φησὶ μὲν ἐκδοῦναι, πέπρακε δὲ τῷ ἔργῳ, τὸν δ' αὑτοῦ πατέρ' οὕτω γηροτροφεῖ, κολακεύει δὲ καὶ μισθοῦ γράφει καὶ πολιτεύεται, τοῦτον ὑμεῖς λαβόντες οὐκ ἀποκτενεῖτε; δόξετ' ἄρ', ὦ ἄνδρες Ἀθηναῖοι, κρίσεις βούλεσθαι καὶ πράγματ' ἔχειν, ἀλλ' οὐκ ἀπηλλάχθαι τῶν πονηρῶν.

[204] Καὶ μὴν ὅτι μὲν προσήκει πάντας κολάζειν τοὺς ἀδικοῦντας, εὖ οἶδ' ὅτι πάντες ἄν, εἴ τις ἔροιτο, φήσαιτε· ὅσῳ δὲ μάλιστα τοῦτον, ὃς νόμον εἰσενήνοχεν ἐπὶ βλάβῃ τοῦ πλήθους, ἐγὼ πειράσομαι διδάξαι. Τῶν μὲν γὰρ κλεπτῶν καὶ λωποδυτῶν καὶ τὰ τοιαῦτα κακουργούντων ἕκαστος πρῶτον μὲν ὡς ἀληθῶς τὸν ἐντυχόντ' ἀδικεῖ καὶ οὐκ ἂν οἷός τ' εἴη πάντας ἐκδύειν οὐδὲ τὰ πάντων ὑφελέσθαι, εἶτα καταισχύνει τὴν αὑτοῦ δόξαν καὶ τὸν βίον μόνον. [205] Εἰ δέ τις εἰσφέρει νόμον ἐξ οὗ τοῖς ὑμᾶς βουλομένοις ἀδικεῖν ἡ πᾶσ' ἐξουσία καὶ ἄδεια γενήσεται, οὗτος ὅλην ἀδικεῖ τὴν πόλιν 764 καὶ καταισχύνει πάντας· νόμος γὰρ αἰσχρὸς ὅταν κύριος ᾖ, τῆς πόλεως ὄνειδός ἐστι τῆς θεμένης, καὶ βλάπτει πάντας ὅσοι περ ἂν αὐτῷ χρῶνται. Τὸν οὖν καὶ βλάπτειν ὑμᾶς καὶ δόξης ἀναπιμπλάναι φαύλης ἐπιχειροῦντα, τοῦτον οὐ τιμωρήσεσθε λαβόντες; καὶ τί φήσετε; [206] Γνοίη δ' ἄν τις οὕτω μάλισθ' ἡλίκα πράγματα συσκευάσας γέγραφεν αὐτόν, καὶ

NC. 1. ὁπότε Cobet. — 3. δέδωκεν S seul. ἔδωκε vulg. — κορκύραι S seul. — 4. ἐπεξεγαγωγῇ φήσει S.

aristocratique qui l'emporta dans l'île de Corcyre en 361 et la fit sortir de l'alliance athénienne. Cf. Diodore XV, 95; A. Schæfer, I, p. 133.

1. Ὅτε δεῦρο πρεσβεύοι, quand il venait (toutes les fois qu'il venait) en ambassade ici.

4. Ἐπ' ἐξαγωγῇ.... ἀπέδοτο, il la vendit à l'étranger. Cf. *Aristog.* I, § 55; Hérodote, VII, 156 : Τούτους ἐς τὰς Συρακούσας ἀπέδοτο ἐπ' ἐξαγωγῇ ἐκ Σικελίης.

8. Ἀπηλλάχθαι, être débarrassés, vous débarrasser une bonne fois.

12. Ὅσῳ δὲ μάλιστα. Voy. la note sur ὅσῳ γὰρ ἑτοιμότατα, *Olynth.* II, 12.

18-19. Ἡ πᾶσα ἐξουσία καὶ ἄδεια. Cf. *Ambass.*, § 76 : Ἡ πᾶσ' ἀπάτη καὶ τέχνη.

23. Ἀναπιμπλάναι se dit de la communication par contagion.

25. Συσκευάσας. Ce verbe se dit sou-

ταῦθ' ὡς ὑπεναντία τῇ καθεστώσῃ πολιτείᾳ, εἰ λογίσαιθ' ὅτι πάντες, ὅταν που καταλύοντες τὸν δῆμον πράγμασιν ἐγχειρῶσι νεωτέροις, τοῦτο ποιοῦσι πρῶτον ἁπάντων, ἔλυσαν τοὺς πρότερον νόμῳ δι' ἁμαρτίαν τινὰ ταύτην ὑπέχοντας τὴν δίκην. Πῶς οὖν οὐκ ἄξιος οὗτος, εἰ δυνατὸν, τρὶς, οὐχ ἅπαξ ἀπολωλέναι, ὃς εἷς ὢν καὶ οὐ δήπου μέλλων καταλύσειν ὑμᾶς, ἀλλὰ τοὐναντίον αὐτὸς ἐν ὑμῖν, ἂν τὰ δίκαια καὶ τὰ προσήκοντα ποιῆτ', ἀπολεῖσθαι, ὅμως ἐμιμήσατο τοῦτο τἀδίκημα, καὶ διὰ τοῦ νόμου λύειν ἠξίωσεν οὓς δέδεκεν τὰ δικαστήρια, γράψας ἀναιδῶς, εἴ τινι προστετίμηται δεσμοῦ κἂν τὸ λοιπόν τινι προστιμήσητε, τοῦτον ἀφεῖσθαι. [208] Καὶ μὴν εἰ αὐτίκα δὴ μάλα κραυγὴν ἀκούσαιτε πρὸς τῷ δικαστηρίῳ, εἶτ' εἴποι τις ὡς ἀνέῳκται τὸ δεσμωτήριον, οἱ δὲ δεσμῶται φεύγουσιν, οὐδεὶς οὔτε γέρων οὔτ' ὀλίγωρος οὕτως ὅστις οὐχὶ βοηθήσειεν ἂν καθ' ὅσον δύναται. Εἰ δὲ δή τις εἴποι παρελθὼν ὡς ὁ τούτους ἀφείς ἐστιν οὑτοσὶ, οὐδὲ λόγου τυχὼν εὐθὺς ἂν ἀπαχθεὶς θανάτῳ ζημιωθείη. [209] Νῦν τοίνυν ἔχετ', ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτον, ὃς οὐχὶ λάθρα
19 πεποίηκε τοῦτο, ἀλλὰ φενακίσας καὶ παρακρουσάμενος ὑμᾶς
765 νόμον τέθεικε φανερῶς, ὃς οὐκ ἀνοίγνυσι τὸ δεσμωτήριον,

NC. 1. ἐλογίσατο, pour εἰ λογίσαιτο, S. — 2. πάντεσ ὅταν που καταλύοντεσ τὸν δῆμον S seul. πάντες οἱ καταλύοντες τὸν δῆμον ὅταν vulg. Peut-être πάντες οἳ ἄν. — 3-4. ἔλυσαν τοὺς ὅρκους et, plus bas, ὑπέχοντες A. — 5. εἰ δυνατόν ἐστι vulg. — 6-8. καταλύσειν et, plus bas, ἀπολεῖσθαι A, Y. καταλύειν et ἀπολέσθαι S, vulg. — 11. τινι προστιμήσητε S, F. προστιμηθῇ, comme dans la loi, § 20, A, Y. — 12. ἀκούσαιτε Reiske. ἀκούσεται S. εἴτις.... ἀκούσειε (ἀκούσαι) *Traité du Sublime*, XV, 9, et F. — 14. οὐδεὶς οὕτως, οὔτε γέρων οὔτε νέος, ὀλίγωρός ἐστιν ου οὐδείς.... οὕτως ἐστὶν *Sublime* et F. — 16. ἀφείσ S, et *Sublime*. ἀφιείς vulg. — οὗτός (οὑτοσί) ἐστιν *Sublime* et F. — 17. ἂν εὐθὺς F, Blass. — 19. πεποίηκεν S. — ὑμᾶς est omis dans S, F — 20. ἔθηκε S seul. — ἀνοίγνυσι μόνον A, F.

vent de machinations et d'intrigues. — Αὐτόν. Entendez τὸν νόμον.

2. Καταλύοντες τὸν δῆμον, cherchant à renverser la démocratie. Cf. διδόναι, chercher à donner, offrir, *Symm.*, § 26; *Ambass.*, § 166 et *passim*.

4-5. Ταύτην.... τὴν δίκην, c.-à-d. la peine de l'emprisonnement.

11. Προστιμήσητε. Le texte de la loi portait προστιμηθῇ (cf. § 30, 70); l'orateur se sert d'une autre tournure pour mieux faire sentir aux juges que l'accusé méprise leurs décisions.

12. Καὶ μὴν εἰ αὐτίκα δὴ μάλα.... L'auteur du *Traité du Sublime* (XV, 9) cite ce passage comme exemple de la ῥητορικὴ φαντασία. Tandis que l'argumentation, dit-il, persuade l'auditeur, l'imagination, mêlée à propos à l'argumentation, le subjugue. Καταχιρναμένη ταῖς πραγματι-

ἀλλὰ καθαιρεῖ, προσπεριείληφε δὲ καὶ τὰ δικαστήρια. Τίς γὰρ ἢ τούτων ἢ ἐκείνων χρεία, ὅταν οἷς τετίμηται δεσμοῦ λύωνται, κἂν τὸ λοιπὸν τιμήσητέ τῳ, μηδὲν ὑμῖν ᾖ πλέον;

[210] Δεῖ τοίνυν ὑμᾶς κἀκεῖνο σκοπεῖν, ὅτι πολλοὶ τῶν Ἑλλήνων πολλάκις εἰσὶν ἐψηφισμένοι τοῖς νόμοις χρῆσθαι τοῖς ὑμετέροις, ἐφ' ᾧ φιλοτιμεῖσθ' ὑμεῖς, εἰκότως· ὃ γὰρ εἰπεῖν τινά φασιν ἐν ὑμῖν, ἀληθὲς εἶναί μοι δοκεῖ, ὅτι τοὺς νόμους ἅπαντες ὑπειλήφασιν, ὅσοι σωφρονοῦσι, τρόπους τῆς πόλεως. Χρὴ τοίνυν σπουδάζειν ὅπως ὡς βέλτιστοι δόξουσιν εἶναι, καὶ τοὺς λυμαινομένους καὶ διαστρέφοντας αὐτοὺς κολάζειν, ὡς εἰ καταρρᾳθυμήσετε, τῆς φιλοτιμίας τε ταύτης ἀποστερήσεσθε καὶ κατὰ τῆς πόλεως δόξαν οὐ χρηστὴν ποιήσετε. [211] Καὶ μὴν εἰ Σόλωνα καὶ Δράκοντα δικαίως ἐπαινεῖτε, οὐκ ἂν ἔχοντες εἰπεῖν οὐδετέρου κοινὸν εὐεργέτημ' οὐδὲν πλὴν ὅτι συμφέροντας ἔθηκαν καὶ καλῶς ἔχοντας νόμους, δίκαιον δήπου καὶ τοῖς ὑπεναντίως τιθεῖσιν ἐκείνοις ὀργίλως ἔχοντας καὶ κολάζοντας φαίνεσθαι. Οἶδα δὲ Τιμοκράτην, ὅτι τὸν νόμον εἰσενήνοχε τοῦτον οὐχ ἥκισθ' ὑπὲρ αὑτοῦ· πολλὰ γὰρ ἡγεῖτο πολιτεύεσθαι παρ' ὑμῖν ἄξια δεσμοῦ.

[212] Βούλομαι τοίνυν ὑμῖν κἀκεῖνο διηγήσασθαι, ὅ φασί ποτ' εἰπεῖν Σόλωνα κατηγοροῦντα νόμον τινὸς οὐκ ἐπιτήδειον θέντος. Λέγεται γὰρ τοῖς δικασταῖς αὐτὸν εἰπεῖν, ἐπειδὴ τἆλλα κατηγόρησεν, ὅτι νόμος ἐστὶν ἁπάσαις, ὡς ἔπος εἰπεῖν, ταῖς πόλεσιν, ἐάν τις τὸ νόμισμα διαφθείρῃ, θάνατον τὴν

NC. 1. ἀλλὰ καὶ F. — καθαίρει S. — 8-9. τῆς πόλεως εἶναι vulg. — 9. ὡς est omis après ὅπωσ dans S, F. — 11. καταραιθυμήσετε S. — 16. ὑπεναντίους A, Y. — τεθεῖσιν S seul.

καῖς ἐπιχειρήσεσιν, οὐ πείθει μόνον τὸν ἀκροατήν, ἀλλὰ δουλοῦται.

4. Δεῖ τοίνυν ὑμᾶς κἀκεῖνο.... On a vu au § 5 une considération assez analogue.

8-9. Τοὺς νόμους.... τρόπους τῆς πόλεως, de la cité, d'une cité. La pensée est générale. [Reiske.]

11. Τῆς φιλοτιμίας ταύτης équivaut à τούτου ἐφ' ᾧ φιλοτιμεῖσθε. Métonymie : voy. la note sur *Olynth.* I, § 3.

14. Οὐκ ἂν ἔχοντες εἰπεῖν, sans avoir à alléguer.

16. Ἐκείνοις dépend de ὑπεναντίως; ceux qui font des lois dans un esprit contraire à Dracon et à Solon, à l'opposé des grands législateurs.

21-22. Κατηγοροῦντα νόμον τινός.... θέντος. Le génitif τινός est séparé du participe qui le gouverne. Cet ordre des mots est conforme à l'usage.

24. Ἐάν τις τὸ νόμισμα.... εἶναι.

ζημίαν εἶναι. Ἐπερωτήσας δ' εἰ δίκαιος αὐτοῖς καὶ καλῶς
Quant aux documents insérés dans ce discours, leur authenticité a été contestée par F. Franke, *De legum formulis quæ in Dem. Aristocr. reperiuntur* (Meisen, 1848), et plusieurs savants, Dindorf

dans son édition, Philippi dans son livre *Der Areopag und die Epheten* (Berlin, 1874), lui ont donné raison. La question n'a de l'intérêt que pour les lois des paragraphes 28 et 53 : là seulement les documents donnent quelques clauses dont il n'est pas question dans le texte de l'orateur. Ces additions sont en partie confirmées par d'autres témoignages ; il est vrai qu'il s'y trouve aussi des choses extrêmement obscures pour nous ; mais est-ce là une raison d'accuser l'arbitraire d'un faussaire? De pareilles obscurités sont plutôt une marque d'authenticité ; pour ma part, je ne comprendrais pas qu'on les eût inventées de gaîté de cœur. Pour tout le reste, les documents s'accordent avec les textes de loi fondus par Démosthène dans la suite de son discours, ou ne s'en écartent que pour de menus détails de rédaction. Quand l'accord est textuel, on vous dit qu'un document qui fait double emploi doit venir d'un interpolateur copiant servilement et sans nécessité ; quand il y a de petites divergences, on prétend que le faussaire s'est trahi par des modifications arbitraires, on s'ingénie à les trouver mauvaises. Par le fait, ces divergences ou n'ont rien de choquant, ou se justifient pleinement, et toute cette méthode critique, quelque peu impatientante, tient à une opinion préconçue sur l'origine des documents dans Démosthène.

ΚΑΤΑ

ΑΡΙΣΤΟΚΡΑΤΟΥΣ

ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ[1]

Χαρίδημον τὸν Ὠρείτην, ἡγούμενον ξενικοῦ καὶ στρατηγοῦντα παρὰ Κερσοϐλέπτῃ τῷ Θρᾴκης βασιλεῖ, πολίτην σφῶν αὐτῶν Ἀθηναῖοι ἐποιήσαντο, τὰ μὲν γεγονότα χρήσιμον αὐτοῖς, τὰ δὲ προσδοκῶντες ἔτι μᾶλλον γενήσεσθαι. Περὶ τούτου ψήφισμα ἔγραψεν Ἀριστοκράτης ἐν τῇ βουλῇ τοιοῦτον· ἐάν τις ἀποκτείνῃ Χαρίδημον, ἀγώγιμος ἔστω ἐξ ἁπάσης τῆς Ἀθηναίων συμμαχίδος· ἐὰν δέ τις τὸν ἀγόμενον ἀφέληται ἢ πόλις ἢ ἰδιώτης, ἔκσπονδος ἔστω. Τούτου κατηγορεῖ τοῦ ψηφίσματος Εὐθυκλῆς, τῷ Δημοσθένους λόγῳ χρώμενος, καὶ φησὶ πρῶτον μὲν παράνομον εἶναι τὸ ψήφισμα, ὅτι κρίσιν ἀναιρεῖ καὶ δικαστήρια, καὶ τὴν τιμωρίαν ἀπὸ 619 τῆς αἰτίας γεγραμμένην ἔχει, δεύτερον δὲ μὴ συμφέρειν τοῖς Ἀθηναίοις τοιαύτην Χαριδήμῳ δοῦναι δωρεάν· ἀπολοῦμεν γάρ, φησί, διὰ ταύτης Χερρόνησον. Τὸ δὲ ὅπως ὁ λόγος δείξει. Ἐξετάζει δὲ καὶ τὴν τοῦ προσώπου ποιότητα, λέγων οὐκ εἶναι δωρεῶν ἄξιον τὸν Χαρίδημον, καὶ ταῦτα τοιούτων.

ΕΤΕΡΑ ΥΠΟΘΕΣΙΣ.

Ἡ Εὔϐοια μία νῆσος καταντικρὺ τῆς Ἀττικῆς, διήκουσα διὰ

1. **Les Arguments manquent dans S et A. Ils sont donnés d'après les autres manuscrits, surtout d'après le *Vindobonensis* LXX.**

τῆς Βοιωτίας καὶ τῆς Φωκίδος μέχρι τῶν Ἀφετῶν· Ἀφεταὶ δὲ τῆς Θετταλίας τόπος. Ἴσμεν δὲ ὅτι χωρία πολλὰ εἶχεν ἡ Εὔβοια. Ἔστι δὲ ἐν τῇ Εὐβοίᾳ χωρίον Ὠρεός· τοῦ Ὠρεοῦ δὲ ὁ πολίτης Ὠρείτης. Ὠρείτης οὖν τις Χαρίδημος ξεναγὸς ἦν τῶν Ἀθηναίων. Ξεναγὸς δέ ἐστιν, ὅτε τις στράτευμα ξένων ὑπέρ τινος ἄλλου τρέφει. Διὰ τοῦτο οὖν καὶ οὗτος ἐλέγετο ξεναγὸς, ἐπειδὴ στράτευμα ξένων ἔτρεφεν ὑπὲρ συμμαχίας τῶν Ἀθηναίων. Ἦν οὖν τῶν μὲν Ἀθηναίων ξεναγὸς, γαμβρὸς δὲ Κότυος τοῦ τῶν Θρᾳκῶν βασιλέως καὶ στρατηγός. Ὁ δὲ Κότυς παρέλαβέ ποτε τὴν Χερρόνησον τὴν Ἀθηναίων οὖσαν. Καὶ τελευτήσας κατέλιπεν υἱὸν Κερσοβλέπτην, ὃς μετά τινων δύο, Βηρισάδου καὶ Ἀμαδόκου, τὴν βασιλείαν ἐμερίσατο. Εἶχε δὲ στρατηγὸν ὁ μὲν Κερσοβλέπτης ὡς συγγενῆ τὸν Χαρίδημον, ὁ δὲ Βηρισάδης τινὰ Ἀθηνόδωρον, Ἀθηναῖον φύσει, Ἀλωπεκῆθεν· ὁ δὲ Ἀμάδοκος δύο στρατηγοὺς εἶχε, Σίμωνα καὶ Βιάνορα. Ἰδίᾳ τοίνυν ἕκαστος τῶν βασιλέων ἤθελε χάριν τοῖς Ἀθηναίοις ποιήσασθαι διὰ τὸ ἔχειν αὐτοὺς εἰς συμμαχίαν εὐμε-
620 νεῖς, καὶ συμβουλεύσαντος τοῦ Χαριδήμου δοῦναι κοινῇ τοῖς Ἀθηναίοις τὴν Χερρόνησον ἐπείσθησαν οἱ βασιλεῖς καὶ δεδώκασι. Τοῦτο γνόντες οἱ Ἀθηναῖοι τὸν Χαρίδημον ἐστεφάνωσαν ὡς εὐεργέτην αὐτῶν χρυσῷ στεφάνῳ, καὶ θετὸν πολίτην αὐτὸν ἐποιήσαντο. Γνοὺς δὲ ὁ Χαρίδημος ὅτι φιλοῦσιν αὐτὸν ἐδήλωσεν αὐτοῖς διά τινος Ἀριστομάχου ὡς, ἂν ποιήσωσιν ἀσφάλειαν αὐτῷ περὶ τῆς τοῦ σώματος φυλακῆς καὶ ὅτι οὐκ ἐπιβουλεύεται, δίδωσιν αὐτοῖς τὴν Ἀμφίπολιν, ἀφαιρούμενος αὐτὴν ἐκ τοῦ Φιλίππου. Ἀριστοκράτης οὖν τις Ἀθηναῖος εὖ ὑπειλημμένος ἔγραψε τοιοῦτο ψήφισμα· ὁ φονεύων Χαρίδημον ἀγώγιμος ἔστω, τοῦτ' ἔστιν ἀκτέος ἐπὶ τὸ κολασθῆναι· ἐὰν δέ τις, φησὶν, ἀφέληται τὸν ἀγώγιμον ἢ πόλις ἢ ἰδιώτης καὶ ὡς εἰπεῖν ἀντιλάβηται αὐτοῦ, ἔκσπονδος ἔστω τῶν Ἀθηναίων. Εὐθυκλῆς δέ τις Θριάσιος τὸν δῆμον ἐπελάβετο τοῦ ψηφίσματος ὡς κακῶς ἔχοντος, ὡς παρανόμου καὶ ἀσυμφόρου καὶ γεγραμμένου ἀνδρὶ ἀναξίῳ. Οὗτος λαβὼν παρὰ τοῦ Δημοσθένους τὸν λόγον, χρυσίον παρασχὼν, κατηγόρει τοῦ Ἀριστοκράτους. Ὁρῶν οὖν ὁ ῥήτωρ τὴν ἁπλῆν ὑπόθεσιν ἰσχύουσαν μὲν τῷ νομίμῳ, κινδυνεύουσαν δὲ διὰ τὸ προτιμᾶσθαι τὸ συμφέρον

22. Ἀριστομάχου Taylor. Ἀριστοδήμου mss.

25. εὖ ὑπειλημμένος Vind. ὑπειλημμένος vulg. L'auteur veut-il dire que les commentateurs supposaient avec raison qu'Aristocrate était Athénien? La conjecture εὐεργέτης ὑπειλημμένος (Vœmel, Dindorf) ne se justifie guère par le § 6.

29. Θριάσιος H. Wolf. Θάσιος vulg. — Un Athénien aurait dit τὸν δῆμον.

τῆς ἀξίας ἑκάστου τῶν λαμβανόντων πολλάκις, καὶ μάλιστα ὅταν στρατηγοὶ τυγχάνωσι καὶ ἐπίδοξοι καὶ τὴν πόλιν εὐεργετῶσιν, οἷος ὁ Χαρίδημος ὁ Κερσοβλέπτου στρατηγὸς ὁ ἀδελφὴν αὐτοῦ ἔχων καὶ διὰ τὸ δόξαι ἐν τοῖς κατὰ τὴν Χερρόνησον εὖ ποιεῖν Ἀθηναίους αἱρεθεὶς στρατηγὸς αὐτῆς τῆς πόλεως, ἑτέραν ἐξεῦρεν ὑπόθεσιν ἐκ τῆς οἰκείας δεινότητος, ἣν ἐπιπλέκων ταράττει τὸν ἀκροατήν, φάσκων γεγράφθαι τὸ ψήφισμα ἐπὶ Χερρονήσῳ τῆς 621
πόλεως σχήματι. Ὡς οὖν ὄντα ἀμφοτέρων, τοῦ τε Κερσοβλέπτου καὶ τοῦ δήμου τῶν Ἀθηναίων, βουλόμενος τοῦτον ἀποτυχεῖν τῆς δωρεᾶς Δημοσθένης τὴν κατὰ τὴν Χερρόνησον ὑπόθεσιν ἐπέθηκεν, εἰς ὑποψίαν ἄγων τοὺς ἀκούοντας, καὶ φάσκων ἐξ ἐπιβουλῆς Ἀριστοκράτην γεγραφέναι τὸ ψήφισμα, ἵνα μηδενὸς τῶν βασιλέων ἀναιροῦντος αὐτὸν φόβῳ τῆς πόλεως περιποιήσῃ Κερσοβλέπτῃ πάλιν Χερρόνησον. Τοσαῦτα περὶ τῆς ὑποθέσεως.

Μηδεὶς ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, νομίσῃ μήτ' ἰδίας ἔχθρας ἐμὲ μηδεμιᾶς ἕνεχ' ἥκειν Ἀριστοκράτους κατηγορήσοντα τουτουί, μήτε μικρὸν ὁρῶντά τι καὶ φαῦλον ἁμάρτημ' ἑτοίμως οὕτως ἐπὶ τούτῳ προάγειν ἐμαυτὸν εἰς ἀπέχθειαν, ἀλλ' εἴπερ ἄρ' ὀρθῶς ἐγὼ λογίζομαι καὶ σκοπῶ, ὑπὲρ τοῦ Χερρόνησον ἔχειν ὑμᾶς ἀσφαλῶς καὶ μὴ παρακρουσθέντας ἀποστερηθῆναι πάλιν αὐτῆς, περὶ τούτου μοί ἐστιν ἅπασ' ἡ σπουδή. [2] Δεῖ δὴ πάντας ἡμᾶς, εἰ βούλεσθ'

NC. 16. ἐμὲ manque dans A. Denys d'Halicarnasse, *De Compos. verb.*, ch. xxv, place με après νομίσῃ. Hermogène, III, p. 68 W., s'accorde avec S. — 18. S portait peut-être προσάγειν avant les grattages qu'on y remarque. — 20. περὶ τοῦ τὴν Χερρόννησον ἔχειν ὑμᾶς Denys, à en juger par son analyse métrique ; les éditions de Denys portent Χερρόνησον, par un seul N, et ἔχειν ἀσφαλῶς ὑμᾶς. Rufus, III, p. 450 W., donne aussi περί. Mais Hermogène, III, p. 79, s'accorde avec nos manuscrits. — 21. περὶ τούτου τοίνυν ἐστί μοι ἅπασα σπουδή dans Denys.

13. Κερσοβλέπτῃ Bekker. Κερσοβλέπτης mss.

15-16. Μήτ' ἰδίας ἔχθρας.... μηδεμιᾶς. Contrairement à l'usage athénien, l'accusateur déclare ici qu'il n'est mû par aucun motif personnel. Voy. les exordes des deux discours précédents.

18. Ἑτοίμως οὕτως, avec l'empressement que vous voyez. Οὕτως est déterminé par ἑτοίμως ; placé avant ἑτοίμως, il le déterminerait. — Ἐπὶ τούτῳ. Ces mots résument le membre de phrase μικρὸν ὁρῶντά τι καὶ φαῦλον ἁμάρτημα. — Προάγειν ἐμαυτόν, me mettre en avant.

20-22. Ὑπὲρ τοῦ.... ἔχειν ὑμᾶς, afin que vous possédiez ; περὶ τοῦ.... serait « au

ὀρθῶς περὶ τούτων μαθεῖν καὶ κατὰ τοὺς νόμους δικαίως κρῖναι τὴν γραφήν, μὴ μόνον τοῖς γεγραμμένοις ἐν τῷ ψηφίσματι ῥήμασιν προσέχειν, ἀλλὰ καὶ τὰ συμβησόμεν' ἐξ αὐτῶν σκοπεῖν. Εἰ μὲν γὰρ ἦν ἀκούσασιν εὐθὺς εἰδέναι τὰ
622 κεκακουργημένα, τὴν ἀρχὴν ἴσως ἂν οὐκ ἐξηπάτησθε·
6 [3] ἐπειδὴ δὲ τοῦθ' ἕν ἐστι τῶν ἀδικημάτων, τὸ τοῦτον τὸν τρόπον καὶ λέγειν καὶ γράφειν ἐνίους ὃν ἂν ἥκισθ' ὑμεῖς ὑπίδοισθέ τι καὶ φυλάξαισθε, προσήκει μὴ πάνυ θαυμάζειν, εἰ καὶ τοῦτο τὸ ψήφισμ' ἡμεῖς οὕτω γεγραμμένον ἐπιδείξομεν ὥστε δοκεῖν μὲν Χαριδήμῳ φυλακήν τινα τοῦ σώματος διδόναι, ὡς ἀληθῶς δὲ τὴν δικαίαν καὶ βέβαιον φυλακὴν Χερρονήσου τῆς πόλεως ἀποστερεῖν.

[4] Εἰκότως δ' ἄν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ προσέχοιτέ μοι τὸν νοῦν καὶ μετ' εὐνοίας ἀκούσαιθ' ἃ λέγω. Ἐπειδὴ γάρ, οὐχὶ τῶν ἐνοχλούντων ὑμᾶς οὐδὲ τῶν πολιτευομένων καὶ πιστευομένων παρ' ὑμῖν ὤν, πρᾶγμα τηλικοῦτόν φημι δείξειν πεπραγμένον, ἄν, ὅσον ἐστὶν ἐν ὑμῖν, συναγωνίσησθέ μοι καὶ προθύμως ἀκούσητε, τοῦτό τε σώσετε καὶ ποιήσετε μὴ

NC. 3. προσέχειν S seul. προσέχειν τὸν νοῦν vulg. — 5. Après ἐξηπατησθε un espace blanc de six lettres environ dans S. — 8. ὑπίδοισθ' ἔτι vulg. — 9-10. δείξομεν Blass, *Rhein. Mus.*, XXXIII, p. 499. — χαριδημωι S, avec un grattage qui me fait croire qu'il y avait d'abord χαριδημον. — 11. J'ai corrigé la leçon τὴν ὡς ἀληθῶς δὲ δικαίαν, qui fausse l'antithèse. — βέβαιον A et Dindorf. βεβαίαν S, vulg. Cf. *Timocr.*, § 37. — 17. ἐὰν mss.

sujet de la possession ». Dans le membre de phrase suivant, περί suffisait, l'intention de l'orateur étant assez indiquée par μοί ἐστιν.... ἡ σπουδή. — Les mots μοί ἐστιν se prononçaient sans hiatus. Dans le texte des poètes dramatiques on écrit μοὐστίν.

4. Ἀκούσασιν εὐθὺς εἰδέναι. L'ordre des mots εὐθὺς ἀκούσασιν εἰδέναι serait plus conforme à l'usage, et je ne sais s'il ne conviendrait pas de le rétablir.

11. Δικαίαν a ici son sens habituel. Le moyen de garantir (φυλακή) à la ville la possession de la Chersonèse que l'orateur a en vue, et qu'il exposera au § 8, est conforme à la justice, tandis que la sauvegarde (φυλακή) que l'on veut donner à Charidème est injuste.

12. Τῆς πόλεως ἀποστερεῖν. L'usage semble demander τὴν πόλιν ἀποστερεῖν, et c'est ainsi que Dobree proposait d'écrire.

13. Προσέχοιτε.... ἀκούσαιτε. L'optatif de l'aoriste alterne avec l'optatif du présent, sans qu'il y ait lieu de faire à ce sujet des distinctions subtiles.

15. Τῶν ἐνοχλούντων ὑμᾶς. Ce sont les gens qui importunent le peuple en parlant à chaque instant, en s'imposant avec une certaine impudence. Cf. *Mid.*, § 189 ; *Amb.*, § 206 : Οὐδὲν γὰρ πώποτ' οὔτ' ἠνώχλησα οὔτε μὴ βουλομένους ὑμᾶς βεβίασμαι.

17. Συναγωνίσησθε est expliqué par προθύμως ἀκούσητε.

18. Τοῦτό τε σώσετε. Entendez σώ-

κατοκνεῖν, ἐάν τίς τι καὶ ἡμῶν οἴηται δύνασθαι ποιῆσαι τὴν πόλιν ἀγαθόν. Οἰήσεται δὲ, ἂν μὴ χαλεπὸν εἶναι νομίζῃ τὸ παρ' ὑμῖν λόγου τυχεῖν. [5] Νῦν δὲ πολλοῖς τοῦτο φοβουμένοις, λέγειν μὲν ἴσως οὐ δεινοῖς, βελτίοσι δ' ἀνθρώποις τῶν δεινῶν, οὐδὲ σκοπεῖν ἐπέρχεται τῶν κοινῶν οὐδέν. Ἐγὼ γοῦν (ὀμνύω τοὺς θεοὺς ἅπαντας) ἀπώκνησ' ἄν, εὖ ἴστε, καὶ αὐτὸς τὴν γραφὴν ταύτην ἀπενεγκεῖν, εἰ μὴ πάνυ τῶν αἰσχρῶν ἐνόμιζον εἶναι νῦν μὲν ἡσυχίαν ἄγειν καὶ σιωπῆσαι, πρᾶγμ' ἀλυσιτελὲς τῇ πόλει κατασκευάζοντας ὁρῶν τινας ἀνθρώπους, πρότερον δ', ὅτ' ἔπλευσα τριηραρχῶν εἰς Ἑλλήσποντον, εἰπεῖν καὶ κατηγορῆσαί τινων οὓς ἀδικεῖν ὑμᾶς ἡγούμην.

[6] Οὐκ ἀγνοῶ μὲν οὖν ὅτι τὸν Χαρίδημον εὐεργέτην εἶναί τινες τῆς πόλεως οἴονται· ἐγὼ δὲ, ἄν περ ἃ βούλομαί 623
τε καὶ οἶδα πεπραγμέν' ἐκείνῳ δυνηθῶ πρὸς ὑμᾶς εἰπεῖν, οἴομαι δείξειν οὐ μόνον οὐκ εὐεργέτην, ἀλλὰ καὶ κακονούστατον ⟨ὄντ'⟩ ἀνθρώπων ἁπάντων καὶ πολὺ τἀναντί' ἢ προσῆκεν ὑπειλημμένον. [7] Εἰ μὲν οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτο μέγιστον Ἀριστοκράτης ἠδίκει, τὸ τοιούτου, οἷον ἐγώ φημι δείξειν τὸν Χαρίδημον ὄντα, τοσαύτην πεποιῆσθαι πρόνοιαν ἐν τῷ ψηφίσματι, ὥστ' ἰδίαν παρὰ τοὺς νόμους, ἄν τι πάθῃ, τιμωρίαν αὐτῷ δεδωκέναι, ταῦτ' ἂν ἤδη λέγειν πρὸς ὑμᾶς ἐπεχείρουν, ἵν' εἰδῆτε πολλοῦ δεῖν

NC. 1. τις καὶ.... τι ποιῆσαι vulg. — 2. δε.αν S. δ' ἐὰν vulg. — Blass supprime εἶναι. — 5-6. εγωγ' ουν S, vulg. — 8. ἀγαγεῖν A par correction, F. — Cobet veut retrancher καὶ σιωπῆσαι. — 9. πρᾶγμα λυσιτελὲς S[1], F. — 10. οτεπλευσαι S. — 11. En marge de S un obel isolé. — 16-17. Après κακονούστατον j'ai inséré ὄντ', pour que l'orateur n'ait pas l'air de dire le contraire de ce qu'il veut dire. — ανθρωπον S. 23. Dobree demandait ἵν' ᾔδειτε, ce qui serait en effet plus régulier.

σετε τὴν φυλακὴν Χερρονήσου, ἣν τῆς πόλεως ἀποστεροῦσιν.

1. Καὶ ἡμῶν, c.-à-d. τῶν μὴ πολιτευομένων.

4. Βελτίοσι δ' ἀνθρώποις τῶν δεινῶν. Les orateurs habiles sont souvent dénigrés par les clients du jeune Démosthène. Cf. *Androt.*, § 37, et *passim*.

7-8. Πάνυ τῶν αἰσχρῶν équivaut à πάνυ αἰσχρόν.

10. Τριηραρχῶν. Probablement dans la campagne dont il sera question aux § 165-168.

14. Ἃ βούλομαι : sous-ent. εἰπεῖν.

17-18. Ἢ προσῆκεν : sous-ent. ὑπειλῆφθαι. L'orateur dit que la réputation de Charidème est bien différente de ce qu'elle devrait être.

24-1. Πολλοῦ δεῖν ἄξιον ὄντα τυχεῖν, qu'il est tant s'en faut digne d'obtenir.

ἄξιον ὄντα τυχεῖν τοῦ ψηφίσματος αὐτὸν τουτουί. Νυνὶ δ' ἕτερον τούτου μεῖζον διὰ τοῦ ψηφίσματος ἔστ' ἀδίκημα, ὃ δεῖ πρότερον καὶ μαθεῖν ὑμᾶς καὶ φυλάξασθαι.

[8] Ἀνάγκη δ' ἐστὶ πρῶτον ἁπάντων εἰπεῖν καὶ δεῖξαι τί ποτ' ἐστὶ τὸ Χερρόνησον ὑμᾶς ἀσφαλῶς ἔχειν πεποιηκός· διὰ γὰρ τοῦ μαθεῖν τοῦτο καὶ τἀδίκημα σαφῶς ὄψεσθε. Ἔστι τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτο, τὸ τελευτήσαντος Κότυος Βηρισάδην καὶ Ἀμάδοκον καὶ Κερσοβλέπτην τρεῖς ἀνθ' ἑνὸς γενέσθαι Θρᾴκης βασιλέας· συμβέβηκε γὰρ ἐκ τούτου, αὐτοῖς μὲν ἀντιπάλους εἶναι τούτους, ὑμᾶς δ' ὑπέρχεσθαι καὶ θεραπεύειν. [9] Τοῦτο τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, βουλόμενοί τινες παῦσαι, καὶ καταλῦσαι μὲν τοὺς ἑτέρους βασιλέας, παραδοῦναι δ' ἑνὶ τῷ Κερσοβλέπτῃ τὴν ἀρχὴν ἅπασαν, διαπράττονταί σφισι τοῦτο γενέσθαι τὸ προβούλευμα, τῷ μὲν ἀκοῦσαι κεχωρισμένοι τοῦ τι τοιοῦτον δοκεῖν διαπράξασθαι, τῷ δ' ἔργῳ πάντων μάλιστα τοῦτο περαίνοντες, ὡς ἐγὼ διδάξω. [10] Ἐπειδὴ γὰρ ἑνὸς τελευτήσαντος
624 τῶν βασιλέων, Βηρισάδου, παραβὰς τοὺς ὅρκους καὶ τὰς συνθήκας, ἃς μεθ' ὑμῶν ἐποιήσατο, Κερσοβλέπτης ἐξέφερεν πόλεμον πρός τε τοὺς Βηρισάδου παῖδας καὶ πρὸς Ἀμά-

NC. 6. τὸ ἀδίκημα ὅ φημι vulg. — 15. κεχωρισμένοι Feliciano. κεχωρισμένον mss. En conservant cette leçon, on pourrait écrire plus bas περαῖνον. [Reiske.] — τουτὶ S.

La locution πολλοῦ δεῖν porte sur ἄξιον et équivaut à ἥκιστα. [G.-H. Schæfer.]

2-3. Ὃ δεῖ πρότερον.... μαθεῖν ὑμᾶς. Il est vrai que l'orateur a déjà indiqué ce point dès le début du discours ; mais il s'agit maintenant de le faire bien comprendre (μαθεῖν). Ces mots ont fourni à M. W. Herz (*De Demosth. Aristocrateæ prima parte*, Halle, 1878) son argument le plus plausible en faveur de la thèse que nous nous trouvons en présence de deux rédactions de l'exorde : la rédaction définitive, § 1-3, et la première rédaction, abandonnée par l'auteur, § 4-7. Mais cet argument n'est pas décisif.

10. Ὑπέρχεσθαι, s'approcher avec déférence.

15. Τῷ μὲν ἀκοῦσαι, à entendre les termes du décret. Quant au datif de l'infinitif, cf. Euripide, *Iph. Aul.*, 338 : Τῷ δοκεῖν μὲν οὐχὶ χρῄζων, τῷ δὲ βούλεσθαι θέλων.

18-19 Τὰς συνθήκας. Pour plus de détails, cf. § 170.

19. Ἐξέφερεν πόλεμον, se disposait à faire la guerre. Cf. § 179.

20. Τοὺς Βηρισάδου παῖδας. Comme l'orateur nous apprend au § 163 que Kersoblepte et ses frères étaient encore très jeunes à la mort de leur père, on en a conclu que Bérisade, déjà père à cette époque, n'était pas fils de Kotys. Quant à Amadokos, nous savons, par le témoignage positif de Théopompe chez Harpo-

δοκον, εὔδηλον ἦν ὅτι τοῖς μὲν Βηρισάδου παισὶν Ἀθηνόδωρος βοηθήσοι, τῷ δ' Ἀμαδόκῳ Σίμων καὶ Βιάνωρ· ὁ μὲν γὰρ Βηρισάδου κηδεστής, οἱ δὲ Ἀμαδόκου γεγόνασιν. [11] Ἐσκόπουν οὖν τίν' ἂν τρόπον ἡσυχίαν μὲν ἔχειν ἀναγκασθεῖεν οὗτοι, ἐρήμων δ' ὄντων ἐκείνων ὁ Κερσοβλέπτη πράττων τὴν ἀρχὴν Χαρίδημος ἀσφαλῶς πάντα καταστρέψαιτο..... Εἰ πρῶτον μέν, ἄν τις αὐτὸν ἀποκτείνῃ, ψήφισμ' ὑμέτερον γένοιτο, ἀγώγιμον εἶναι· δεύτερον δέ, εἰ χειροτονηθείη στρατηγὸς ὑφ' ὑμῶν [Χαρίδημος]. [12] Οὔτε γὰρ ὑμετέρῳ στρατηγῷ προχείρως ἐναντία θήσεσθαι τὰ ὅπλ' ἔμελλεν ὁ Σίμων οὐδ' ὁ Βιάνωρ, πολῖται γεγενημένοι καὶ ἄλλως ἐσπουδακότες πρὸς ὑμᾶς· ὁ δὲ δὴ γένει πολίτης Ἀθηνόδωρος οὐδὲ βουλεύσεσθαι· οὔτε τὴν διὰ τοῦ ψηφίσματος αἰτίαν ὑποδύσεσθαι, ἣ πρόδηλος ἦν ἐπ' ἐκείνους ἥξουσ', εἴ τι πάθοι Χαρίδημος. Ἐκ δὲ τούτου τοῦ τρόπου τῶν μὲν ἐρήμων ὄντων βοηθῶν, αὐτοῖς δ' ἀδείας δοθείσης,

NC. 4. μὲν est omis dans S, Y. — 6-7. καταστρέψατο S[1], καταστρέψαιτο ancien reviseur. — 7. Avant εἰ, il y a une lacune déjà remarquée par H. Wolf. — Cobet transpose les mots ἄν τις αὐτὸν ἀποκτείνῃ après γένοιτο. Cela serait beaucoup plus clair. — 9. Χαρίδημος est supprimé par Dobree et Cobet. — 13. βουλευσασθαι S, Y. — J'ai écrit οὔτε τὴν pour οὐδὲ τὴν, et j'ai mis un point en haut avant ces mots.

cration, qu'il était fils d'un autre Amadokos, sans doute le roi des Odryses dont parle Xénophon, *Hellén.*, IV, VIII, 26.

5. Οὗτοι. Athénodore, Simon et Bianor. — Ἐκείνων. Amadokos et les enfants de Bérisade.

6. Πράττων équivaut à κατασκευάζων. Cf. *Cour.*, § 293 : Ἠναντιῶσθαι τῇ κατὰ τῶν Ἑλλήνων ἀρχῇ πραττομένῃ.

8. Ἄν τις αὐτὸν ἀποκτείνῃ. Ces mots font partie de la teneur du décret, mais, placés comme ils sont, ils induisent le lecteur en erreur et prêtent à un faux sens. Voy. NC.

12. Ὁ δὲ δὴ γένει πολίτης Ἀθηνόδωρος. Clérouque attique dans l'île d'Imbros, Athénodore joua un certain rôle comme chef de soldats mercenaires dans la Thrace, où il devint, comme on voit ici, beau-frère d'Amadokos et où il fonda une ville (Isocrate, *Paix*, § 24). Plus tard, il fut pris par les Macédoniens. Alexandre lui rendit la liberté sur les instances de Phocion (Plut., *Phoc.*, 18. Élien, *V. H.*, I, 25). [Weber.] Un décret rendu en son honneur par la ville de Kios sur la Propontide n'est pas sans analogie avec le décret d'Aristocrate en faveur de Charidème. Voy. Waddington, *Inscr. de Grèce et d'Asie Mineure*, V, n° 1140.

13-14. Οὔτε τὴν.... αἰτίαν ὑποδύσεσθαι. Ce membre de phrase est coordonné à οὔτε.... ἐναντία θήσεσθαι τὰ ὅπλα, et se rapporte, ainsi que la suite le montre, aux trois personnages qui viennent d'être nommés. Ils ne voudront ni faire la guerre à Charidème (Athénodore n'en aura pas même la pensée), ni se laisser commettre dans un attentat contre sa vie.

16. Τῶν μέν. Amadokos et les enfants de Bérisade. C'est aux mêmes que se rapporte plus loin le démonstratif ἐκείνους.

ῥᾳδίως ἐκβαλεῖν ἐκείνους καὶ κατασχήσειν τὴν ἀρχήν. [13] Καὶ ὅτι ταῦθ' οὕτως ᾤοντο καὶ τοῦτ' ἦν τὸ κατασκεύασμ' αὐτοῖς, τὰ πραχθέντ' αὐτὰ κατηγορεῖ. Ἅμα γὰρ τῷ πολέμῳ τε ἐνεχείρουν αὐτοὶ καὶ πρὸς ὑμᾶς ἧκεν Ἀριστόμαχος πρεσβευτὴς παρ' αὐτῶν ὁ Ἀλωπεκῆθεν οὑτοσί, ὅς ἄλλα τ' ἐδημηγόρει παρ' ὑμῖν ἐπαινῶν καὶ διεξιὼν τὸν
625 Κερσοβλέπτην καὶ τὸν Χαρίδημον, ὡς φιλανθρώπως ἔχουσι πρὸς ὑμᾶς, [14] καὶ μόνον ἀνθρώπων ἂν ἔφη Χαρίδημον Ἀμφίπολιν κομίσασθαι τῇ πόλει δύνασθαι, καὶ παρῄνει στρατηγὸν χειροτονῆσαι. Ἡτοίμαστο δ' αὐτοῖς τοῦτο τὸ προβούλευμα καὶ προδιῴκητο, ἵν' εἰ πεισθείητε ἐκ τῶν ὑποσχέσεων καὶ τῶν ἐλπίδων ἃς ὑπέτεινεν ὁ Ἀριστόμαχος, εὐθὺς ἐπικυρώσειεν ὁ δῆμος καὶ μηδὲν ἐμποδὼν εἴη. [15] Καίτοι πῶς ἂν τεχνικώτερον ἢ κακουργότερον συμπαρεσκεύασαν ἄνθρωποι, ὅπως οἱ μὲν ἐκπεσοῦνται τῶν βασιλέων, εἷς δ', ὃν αὐτοὶ βούλονται, πᾶσαν ὑφ' αὑτῷ ποιήσεται τὴν ἀρχήν, ἢ τοὺς μὲν τοῖν δυοῖν βοηθήσαντας ἂν εἰς φόβον καὶ συκοφαντίας εὐλάβειαν καθιστάντες, [ἣν εἰκὸς προσδοκᾶν ἐκείνους ἐφ' ἑαυτοὺς ἐλθεῖν ἂν διὰ τοῦ ψηφίσματος τουτουί,] τῷ δ' ἑνὶ πράττοντι τὴν ἀρχὴν καὶ

NC. 1. ἐκβάλλειν S, Y. — 7. τὸν κερσοβλέπτην S seul. τόν τε Κερσοβλέπτην vulg. — 9. χαρίσασθαι, pour κομίσασθαι, F. — 10. τουτὶ Blass. — 13. κυρώσειεν Blass. — 15. ἄνθρωποι G.-H. Schæfer, Dindorf. — 16. ὑφ' ἑαυτῷ F. ὑφ' αὐτὸν S, A. Weber a fait observer que le datif est conforme à l'usage de Démosthène. — 18-20. ἣν εἰκὸς.... τουτουί, interpolation tirée du § 12 et reconnue par Dobree. Elle est encore plus complète dans les mss qui ajoutent εἴ τι πάθοι Χαρίδημος. — 20. Dobree voulait τῷ δὲ τῷ ἑνί : cacophonie inutile.

2. Ταῦτα est le régime de ᾤοντο, sans qu'il soit nécessaire de sous-entendre ἔσεσθαι. Cf. *Cour.*, § 229 : Ὃ πάντες ᾤοντο. [Weber.]

4. Τῷ πολέμῳ : la guerre entreprise par Kersoblepte et Charidème contre les autres princes thraces.

5. Οὑτοσί. Aristomaque est désigné par ce démonstratif, non comme présent, mais comme un personnage connu, avec une nuance de dédain. Cf. § 111 et 121.

6. Διεξιών se complète par ὡς φιλανθρώπως ἔχουσι πρὸς ὑμᾶς.

9. Ἀμφίπολιν κομίσασθαι. Recouvrer Amphipolis, c'était, on le sait par les Philippiques et par les discours sur l'Ambassade, le plus cher désir des Athéniens et le plus constamment déçu.

11. Προδιῴκητο se dit d'une intrigue concertée d'avance.

14. Τεχνικώτερον ἢ κακουργότερον, avec plus d'art ou plus de rouerie. L'affaire fut exécutée suivant toutes les règles de l'intrigue.

17. Τοῖν δυοῖν. La part de Bérisade était restée indivise après sa mort. Cf. § 8 : Τρεῖς ἀνθ' ἑνός.... βασιλέας.

20. Ἑνί est gouverné par πράττοντι τὴν ἀρχήν.

πάντα τἀναντία τοῖς ὑμῖν συμφέρουσι κατασκευάζοντι τοσαύτην ἐξουσίαν διδόντες τοῦ ταῦτ' ἀδεῶς πράττειν; [16] Οὐ τοίνυν μόνον ἐκ τούτων δῆλόν ἐσθ' ὅτι τούτων ἕνεκ' ἐρρήθη τὸ προβούλευμα ὧν λέγω, ἀλλὰ καὶ ἐκ τοῦ ψηφίσματος αὐτοῦ μαρτυρία τίς ἐστιν εὐμεγέθης. « Ἂν γὰρ ἀποκτείνῃ τις Χαρίδημον » γράψας, καὶ παραβὰς τὸ τί πράττοντα εἰπεῖν, πότερ' ἡμῖν συμφέροντα ἢ οὔ, γέγραφεν εὐθὺς « ἀγώγιμον ἐκ τῶν συμμάχων εἶναι. » [17] Οὐκοῦν τῶν μὲν ἐχθρῶν ὁμοίως ἡμῖν τε κἀκείνῳ οὐδέποτ' εἰς τοὺς ἡμετέρους ἥξει συμμάχους οὐδείς, οὔτ' ἀποκτείνας ἐκεῖνον οὔτε μή, ὥστ' οὐ κατὰ τούτων γέγραφε ταύτην τὴν τιμωρίαν. Τῶν δ' ἡμετέρων μὲν φίλων, ἐκείνου δ', ὅταν ἐγχειρῇ 626 τι πράττειν ἐναντίον ἡμῖν, ἐχθρῶν, τούτων δή τίς ἐστιν ὁ τοῦτο τὸ ψήφισμα φοβηθεὶς ἂν καὶ φυλαξάμενος μὴ δι' ἀνάγκην ἡμῖν εἰς ἔχθραν ἐλθεῖν. Ἔστι τοίνυν οὗτος Ἀθηνόδωρος, Σίμων, Βιάνωρ, οἱ Θρᾴκης βασιλεῖς, ἄλλος ὅστις ἂν εἰς εὐεργεσίας μέρος καταθέσθαι βούλοιτο τὸ πράττειν ὑπεναντί' ἐκεῖνον ἐγχειροῦνθ' ὑμῖν ἐπισχεῖν.

[18] Ὧν μὲν τοίνυν ἕνεκ' ἐρρήθη τὸ προβούλευμα, ἵνα κυρώσειεν ὁ δῆμος ἐξαπατηθείς, καὶ δι' ἃ τὴν γραφὴν

NC. 8-9. οὐκ οντων μὲν S[1], corrigé par le reviseur. — 13. τι, avant πράττειν, est omis dans S, Y. — ὑμῖν S, vulg. — 13-14. δη τις ἐστι et φοβηθεισ ἀν, leçons d'un autre ms (γρ. ἐν αλλωι) notées en marge par le reviseur de S. ἄν τις ἐστὶν (ἄν τις εἴη éditions avant Bekker) et φοβηθεὶς mss. — 14. φυλαξόμενος A, F. — 15. δια μηδεμίαν αναγκην εισ εχθρὰν ημῖν ελθειν var. en marge de S. — 16. ἄλλοσ τισ S[1], corrigé par le reviseur. — 19-1. Cobet écarte les deux membres de phrase ἵνα.... ἐξαπατηθείς et βουλόμενοι κωλῦσαι.

2. Τοσαύτην ἐξουσίαν διδόντες est suivi de l'infinitif précédé de l'article. Ἐξουσίαν διδόντες tout court, sans τοσαύτην, gouvernerait simplement l'infinitif. Cf. § 67.

5. Εὐμεγέθης ne se trouve pas ailleurs, je crois, employé au figuré, comme ici. Cf. Euripide, *Iph. Aul.*, 595 : Εὐμήκεις τύχας.

6-7. Καὶ παραβὰς.... ἢ οὔ, ayant négligé d'ajouter, au milieu de quelle entreprise, utile ou nuisible à nos intérêts (on aurait tué Charidème).

8. Ἐκ τῶν συμμάχων. Le décret ne pouvait viser que les pays alliés ; ailleurs Athènes n'eût pas été obéie. Mais l'accusateur, avec une habileté consommée, se fait de cette restriction naturelle et obligée une arme contre l'accusé.

14. Δι' ἀνάγκην, forcément, malgré lui.

15. Οὗτος se réfère à ὁ τοῦτο τὸ ψήφισμα φοβηθεὶς ἄν, mots qui désignent, non un individu, mais une classe d'individus.

17-18. Τὸ.... ἐπισχεῖν. Il faut faire une petite pause après τὸ, car cet article se rattache à ἐπισχεῖν, infinitif qui gouverne les mots ἐκεῖνον ἐγχειροῦντα πράττειν ἐναντία ὑμῖν.

19-20. Ἵνα κυρώσειεν ὁ δῆμος ἐξαπατη-

ἐποιησάμεθα ἡμεῖς ταυτηνί, βουλόμενοι κωλῦσαι, ταῦτ' ἐστὶν, ὦ ἄνδρες Ἀθηναῖοι. Δίκαιον δ' ἐστὶν ἴσως ἔμ' ὑπεσχημένον τρί' ἐπιδείξειν, ἓν μὲν ὡς παρὰ τοὺς νόμους τὸ ψήφισμ' εἴρηται, δεύτερον δ' ὡς ἀσύμφορόν ἐστι τῇ πόλει, τρίτον δ' ὡς ἀνάξιός ἐστι τυχεῖν τούτων ᾧ γέγραπται, πάντων αἵρεσιν ὑμῖν δοῦναι τοῖς ἀκουσομένοις, τί πρῶτον ἢ τί δεύτερον ἢ τί τελευταῖον βουλομένοις [ἀκούειν] ὑμῖν ἐστιν. [19] Ὅ τι δὴ βούλεσθ', ὁρᾶτε, ἵνα τοῦτο λέγω πρῶτον ὑμῖν. Περὶ τοῦ παρανόμου βούλεσθε πρῶτον; τοῦτο τοίνυν ἐροῦμεν. Ἃ δὴ δέομαί τε καὶ ἀξιῶ παρὰ πάντων ὑμῶν τυχεῖν, δίκαι', ὥς γ' ἐμαυτὸν πείθω· μηδεὶς ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, τῷ διεψεῦσθαι τοῦ Χαριδήμου καὶ [νομίζειν] εὐεργέτην εἶναι φιλονικῶν δυσχερέστερον τοὺς περὶ τῶν νόμων λόγους ἀκούσῃ μου, μηδ' ἀποστερήσῃ διὰ τοῦτο μήθ' ἑαυτὸν τοῦ θέσθαι τὴν ψῆφον εὔορκον μήτ' ἐμὲ τοῦ διδάξαι περὶ πάντων ὑμᾶς ὡς βούλομαι, ἀλλὰ ποιησάσθω τὴν

NC. 4-5. ἐστι est omis après ἀνάξιος (non après ἀσύμφορον) dans A.— ὧν γέγραπται F, vulgate avant Taylor. — 5-6. πάντων S, Y. ἁπάντων τούτων vulg. —Dobree voulait τί.... τί. Cobet : καὶ τί.... καὶ τί. — 7. J'écarte ἀκούειν : cf. *Cour.*, 11, NC. ὑμῖν ἐστιν ἀκούειν vulg. ὑμῖν ἐστιν ἀκοῦσαι Hermogène, III, p. 199 W. — 10. τε omis dans S seul. — 11. ὡς ἐμαυτὸν vulg. — 12. J'écarte νομίζειν, qui fait double emploi avec φιλονικῶν. On pourrait aussi supprimer καί. — 13. φιλονεικῶν mss. — 14. ἡμῶν ἀκούσῃ vulg.

θείς. Après κυρώσειεν il faut, avec Reiske, sous-entendre αὐτά, corrélatif de ὧν. On se proposait de faire sanctionner par le peuple les conséquences implicitement contenues dans le décret et que les auteurs de la motion avaient en vue. Si κυρώσειεν avait pour régime sous-entendu αὐτό, c.-à-d. τὸ προβούλευμα, comme on croit généralement, ce membre de phrase contiendrait l'explication de ὧν ἕνεκα et n'expliquerait rien. La traduction : « pourquoi le projet de décret a été lu, pourquoi l'on a voulu vous le faire sanctionner » élude la difficulté et ne répond pas au texte. Cf. NC.

1. Βουλόμενοι κωλῦσαι. Ici encore il faut sous entendre αὐτά.

2. Ὑπεσχημένον. L'orateur se réfère à l'acte d'accusation. [Scholiaste.] Cet acte avait été lu par le greffier avant que l'accusateur prît la parole. Cf. Eschine, *Timarque*, § 1.

3. Ἓν μέν, pour πρῶτον μέν. Cf. *Dionysod.*, § 21. [Weber.]

5. Ὧι γέγραπται. Ces mots indiquent le sujet de ce membre de phrase.

6-7. Ἢ τί.... ἢ τί équivaut ici à καὶ τί.... καὶ τί. Les auteurs grecs ne s'expriment pas toujours avec une justesse rigoureuse. Voy. la note sur *Réformes*, § 1.

8. Ὅ τι δὴ βούλεσθ(ε).... L'accusateur feint de laisser les juges maîtres de la disposition d'un discours dont l'ordre est arrêté d'avance. C'est là un artifice familier aux orateurs. On rapproche *Mid.*, § 130.

10-11. Ἃ δή, une chose que.... Cette phrase est l'antécédent de μηδείς.... ἀκούσῃ. Cf. *Lept.*, § 152.

12-13. Εὐεργέτην εἶναι φιλονικῶν, soutenant obstinément que Charidème a bien

ἀκρόασιν ὡδί — καὶ σκοπεῖσθ' ὡς δίκαι' ἐρῶ — · [20] ὅταν 627
μὲν λέγω περὶ τῶν νόμων, ἀφελὼν ὅτῳ τὸ ψήφισμα εἴρηται καὶ ποίῳ τινί, σκοπείσθω πότερον παρὰ τοὺς νόμους ἢ κατ' αὐτοὺς εἴρηται, καὶ μηδὲν ἄλλο· ὅταν δ' ἐλέγχω τὰ πεπραγμένα καὶ διεξίω τὸν τρόπον ὃν πεφενάκισθ' ὑπ' αὐτοῦ, τὰς πράξεις σκοπείσθω, πότερον γεγονυίας ἢ ψευδεῖς ἐρῶ· [21] ὅταν δ' ἐξετάζω περὶ τοῦ συμφέρειν ἢ μὴ τῇ πόλει ταῦτα ψηφίσασθαι, πάντα τἄλλ' ἀφεὶς τοὺς λογισμοὺς ὁράτω τοὺς περὶ τούτων, πότερ' ὀρθῶς ἔχοντας ποιοῦμαι ἢ οὔ. Ἂν γὰρ τοῦτον ἔχοντες τὸν τρόπον ἀκροάσησθέ μου, αὐτοί τ' ἄρισθ' ἃ προσήκει συνήσετε, χωρὶς ἕκαστα σκοποῦντες καὶ οὐχ ἅμα πάνθ' ἀθρό' ἐξετάζοντες, κἀγὼ ῥᾷσθ' ἃ βούλομαι δυνήσομαι διδάξαι. Ἔσονται δὲ βραχεῖς περὶ πάντων οἱ λόγοι.

[22] Λαβὲ δὴ τοὺς νόμους αὐτοὺς καὶ λέγε, ἵν' ἐξ αὐτῶν ἐπιδεικνύω τούτων τὸ παράνομον.

ΝΟΜΟΣ [ΕΚ ΤΩΝ ΦΟΝΙΚΩΝ ΝΟΜΩΝ ΤΩΝ ΕΞ ΑΡΕΙΟΥ ΠΑΓΟΥ].

« Δικάζειν δὲ τὴν βουλὴν τὴν ἐν Ἀρείῳ πάγῳ φόνου καὶ τραύματος ἐκ προνοίας καὶ πυρκαϊᾶς καὶ φαρμάκων, ἐάν τις ἀποκτείνῃ δούς. »

NC. 2. μὲν γὰρ A. — 3-4. σκοπείσθω.... εἴρηται S. En marge, du reviseur, la variante: περι του παρα τους νομους ἢ κατα τους νόμους εἴρηται σκοπεισθω. Cette leçon, qui se retrouve, avec des variantes, dans A et F, serait acceptable si on supprimait εἴρηται. — 5. πεφαινάκισθε S. — 10. ἀκροᾶσθε vulg. — 11. τε ῥᾶστα A. — ἕκαστον A. — 17. Dans S le mot ΝΟΜΟΣ est seul en lettres onciales rouges. Le reste du titre est, suivant Dindorf, une addition tirée du § 51.

mérité d'Athènes. Ce membre de phrase participial est coordonné à τῷ διεψεῦσθαι τοῦ Χαριδήμου.

2. Ἀφελών. Voy. la note sur *Cherson.*, § 1. Ce participe se rattache à σκοπείσθω.

4-6. Ὅταν δ' ἐλέγχω.... τὰς πράξεις σκοπείσθω.... Ce point avait été le troisième de la partition au § 18. Pour le besoin de l'antithèse, l'orateur le place ici immédiatement après le premier point

16. Τούτων se rattache à αὐτῶν. N'écoutez pas les éditeurs qui construisent τὸ παράνομον τούτων (d'Aristocrate et consorts).

20. Les mots ἐκ προνοίας portent aussi sur φόνου. La locution τραῦμα ἐκ προνοίας doit s'entendre d'une blessure faite avec intention de tuer.

[23] Ἐπίσχες. Ἠκούσατε μὲν τοῦ τε νόμου καὶ τοῦ ψηφίσματος, ὦ ἄνδρες Ἀθηναῖοι· ὡς δ' ἂν μοι δοκεῖτε τοὺς περὶ τοῦ παρανόμου λόγους αὐτοὺς ῥᾷστα μαθεῖν, τοῦθ' ὑμῖν φράσω· εἰ σκέψαισθ' ἐν τίνι τάξει ποτ' ἐστὶν ὑπὲρ οὗ τὸ ψήφισμ' εἴρηται, πότερα ξένος ἢ μέτοικος ἢ πολίτης
628 ἐστίν. Εἰ μὲν δὴ μέτοικον φήσομεν, οὐκ ἐροῦμεν ἀληθῆ, εἰ δ' αὖ ξένον, οὐχὶ δίκαια ποιήσομεν· τὴν γὰρ τοῦ δήμου δωρειάν, ἐν ᾗ πολίτης γέγονεν, κυρίαν αὐτῷ δίκαιόν ἐστιν εἶναι. Ὡς ὑπὲρ πολίτου τοίνυν, ὡς ἔοικε, ποιητέον τοὺς λόγους. [24] Θεάσασθε δὴ πρὸς Διὸς ὡς ἁπλῶς καὶ δικαίως χρήσομαι τῷ λόγῳ, ὅς εἰς μὲν ταύτην τίθεμαι τὴν τάξιν αὐτὸν ἐν ᾗ πλείστης ἂν τυγχάνοι τιμῆς, ἃ δ' οὐδ' ἡμῖν τοῖς γένει πολίταις ἐστὶν, οὐδ' ἐκείνῳ δεῖν οἶμαι γενέσθαι παρὰ τοὺς νόμους. Τίν' οὖν ἐστι ταῦτα; ἃ νυνὶ γέγραφεν οὑτοσί. Γέγραπται γὰρ ἐν μὲν τῷ νόμῳ τὴν βουλὴν δικάζειν φόνου καὶ τραύματος ἐκ προνοίας καὶ πυρκαϊᾶς καὶ φαρμάκων, ἐάν τις ἀποκτείνῃ δούς. [25] Καὶ προειπὼν ὁ θεὶς τὸν νόμον « ἐὰν ἀποκτείνῃ, » κρίσιν πεποίηκεν ὅμως, οὐ πρότερον τί χρὴ πάσχειν τὸν δεδρακότα εἴρηκεν, καλῶς, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦθ' ὑπὲρ εὐσεβείας ὅλης τῆς πόλεως προϊδών.

12. NC. οὐχ ἡμῖν Dobree, à tort. Voy. la note explicative. — 17. προσειπὼν S.

1-2. Τοῦ ψηφίσματος. La lecture de l'acte d'accusation (voy. la note sur ὑπεσχημένον, § 18) ne pouvait se faire sans celle du décret accusé.

2. Ὡς δ' ἄν μοι δοκεῖτε.... τοῦθ' ὑμῖν λέξω · εἰ σκέψαισθε. La même tournure dans *Ambass.*, § 4.

3. Αὐτούς : par opposition aux considérations préliminaires que l'orateur va présenter.

4-5. Ὑπὲρ οὗ τὸ ψήφισμ' εἴρηται, l'homme en faveur duquel le décret a été proposé.

8. Ἐν ᾗ, en vertu de laquelle. Cf. la note sur ἔν γε τοῖς παρ' ὑμῖν νόμοις ἐξέσται, *Lept.*, § 158.

12-13. Ἃ δ' οὐδ' ἡμῖν...., οὐδ' ἐκείνῳ.... Démosthène dit : J'accorde que Charidème est naturalisé citoyen, mais des priviléges que ne possèdent pas même les citoyens-nès, il ne faut pas les lui accorder non plus. Hermogène cite deux fois ce passage (III, p. 329 et p. 432 Walz), comme un exemple de rouerie cachée sous l'apparence de la moderation équitable (ἐπιείκεια). Il va jusqu'à dire : πανουργῶν καὶ πολίτην ἐργαζόμενος τὸν Χαρίδημον, ἵνα αὐτῷ ἰσχύῃ ὁ περὶ τῶν νόμων λόγος. C'est là une exagération qui repose sur une erreur. Si Charidème avait été étranger, les faveurs exceptionnelles qu'on voulait lui décerner n'en auraient pas été moins illégales, elles l'eussent été doublement.

16. Τὴν βουλήν : sous-ent. τὴν ἐν Ἀρείῳ πάγῳ, comme cela est dit expressément dans le document ci-dessus.

20. Ὑπὲρ εὐσεβείας ὅλης τῆς πόλεως. Cf. Antiphon, *Chor.*, § 88 : Φονέα τὸν μὴ αἴτιον ψηφισθῆναι ἁμαρτία καὶ ἀσέβειά

Πῶς; οὐκ ἔνεστιν ἅπαντας ἡμᾶς εἰδέναι τίς ποτ' ἐστὶν ὁ ἀνδροφόνος. Τὸ μὲν δὴ τὰ τοιαῦτ' ἄνευ κρίσεως πιστεύειν, ἄν τις ἐπαιτιάσηται, δεινὸν ἡγεῖτο, δεῖν δ' ὑπελάμβανεν, ἐπειδήπερ ἡμεῖς τιμωρήσομεν τῷ πεπονθότι, πεισθῆναι καὶ μαθεῖν ἡμᾶς διδασκομένους ὡς δέδρακεν· τηνικαῦτα γὰρ εὐσεβὲς ἤδη κολάζειν εἰδόσιν εἶναι, πρότερον δ' οὔ. [26] Καὶ ἔτι πρὸς τούτῳ διελογίζετο, ὅτι πάντα τὰ τοιαῦτ' ὀνόματα, οἷον ἐάν τις ἀποκτείνῃ, ἐάν τις ἱεροσυλήσῃ, ἐάν τις προδῷ, καὶ τὰ τοιαῦτα πάντα πρὸ μὲν τοῦ κρίσιν γενέσθαι αἰτιῶν ὀνόματ' ἐστίν, ἐπειδὰν δὲ κριθείς τις ἐξελεγχθῇ, τηνικαῦτ' ἀδικήματα γίγνεται. Οὐ δὴ δεῖν ᾤετο τῷ τῆς αἰτίας ὀνό- 629 ματι τιμωρίαν προσγράφειν, ἀλλὰ κρίσιν. Καὶ διὰ ταῦτα, ἄν τις ἀποκτείνῃ τινά, τὴν βουλὴν δικάζειν ἔγραψεν, καὶ οὐχ, ἅπερ ἂν ἁλοίη, εἶναι. [27] Ὁ μὲν δὴ τὸν νόμον τιθεὶς οὕτως, ὁ δὲ τὸ ψήφισμα γράφων πῶς; « Ἐάν τις ἀποκτείνῃ, » φησίν, « Χαρίδημον. » Τὴν μὲν δὴ προσηγορίαν τοῦ πάθους τὴν αὐτὴν ἐποιήσατο, « ἄν τις ἀποκτείνῃ » γράψας, ἥνπερ ὁ τὸν νόμον τιθείς· μετὰ ταῦτα δ' οὐκέτι ταὐτά, ἀλλ' ἀνελὼν τὸ δίκην ὑπέχειν ἀγώγιμον εὐθὺς ἐποίησεν, καὶ παραβὰς τὸ διωρισμένον ἐκ τοῦ νόμου δικαστήριον, ἄκριτον τοῖς ἐπαιτιασαμένοις παρέδωκεν ὅ τι ἂν βούλωνται χρῆσθαι τὸν οὐδ' εἰ πεποίηκέ πω φανερόν. [28] Καὶ

NC. 1. τί A. — 6. πότερον S[1]. — 7. τοῦτο A. — 9. κρίσιν S seul. τὴν κρίσιν vulg. — 10-11. εξελεχθηι et γίνεται S. — 14. ἀν αλῶι εἶναι S seul. ἀν ἁλῶ παθεῖν εἶπεν reviseur en marge, A, Y. ἂν ἁλῷ, παθεῖν χρὴ εἶπεν vulg. Ce sont là des conjectures. J'ai écrit ἁλοίη, en supprimant la virgule après ἅπερ.

ἐστιν εἴς τε τοὺς θεοὺς καὶ εἰς τοὺς νόμους. [Weber.]

4. Ἡμεῖς. Tous les citoyens sont responsables de ce qui se fera en vertu de la loi votée par eux.

6. Εἰδόσιν se rattache à κολάζειν, « punir en connaissance de cause, » et n'est point superflu, comme on l'a prétendu.

13-14. Οὐχ, ἅπερ ἂν ἁλοίη, εἶναι, le législateur n'a pas anticipé sur le verdict en traitant de réels les délits dont le prévenu pourra être convaincu. Le verbe ἁλίσκεσθαι gouverne le génitif; mais on sait que les pronoms jouissent d'une certaine liberté de construction et se mettent souvent à l'accusatif.

19. Ἀγώγιμον. Il s'agit de savoir si ce mot contient en effet tout ce que l'accusateur y met ici et aux § 31-32. Scholiaste : Ἀγώγιμον· οἱ μὲν εἰρήκασιν ἐπὶ κρίσει, ὁ δὲ ῥήτωρ ἐκ τῆς ἀσαφείας εἰς ὃ ἐβούλετο μετήγαγεν, ἐπὶ θανάτῳ λέγων. Voy. la *Notice*.

22. Τὸν οὐδ' εἰ πεποίηκε φανερόν. Il n'est pas besoin d'ajouter ὄντα. Cf. *Timocr.*, § 74 : Τοὺς μηδ' εἰ κρίσεως

λαβοῦσιν ἐκείνοις ἐξέσται στρεβλοῦν, αἰκίσασθαι, χρήματα πράξασθαι. Καίτοι πάντα ταῦτ' ἀπείρηκεν ἄντικρυς καὶ σαφῶς ὁ κάτωθεν νόμος μηδὲ τοὺς ἡλωκότας καὶ δεδογμένους ἀνδροφόνους ἐξεῖναι ποιεῖν. Λέγε δ' αὐτοῖς αὐτὸν τὸν νόμον τὸν μετὰ ταῦτα.

ΝΟΜΟΣ.

« Τοὺς δ' ἀνδροφόνους ἐξεῖναι ἀποκτείνειν ἐν τῇ ἡμεδαπῇ καὶ ἀπάγειν, ὡς ἐν τῷ ⟨α'⟩ ἄξονι ἀγορεύει, λυμαίνεσθαι δὲ μή, μηδὲ ἀποινᾶν, ἢ διπλοῦν ὀφείλειν ὅσον ἂν καταβλάψῃ. Εἰσφέρειν δ' ἐ⟨ς⟩ τοὺς ἄρχοντας,

NC. 3. ἑαλωκότασ S, ici et partout. — 8. μεδαπῆι S[1], η avant μ ajouté au-dessus de la ligne par le reviseur. Lisait-on τῇ μεδαπῇ? — α' avant ἄξονι, a été inséré par Cobet. — 10. δ' ἐς Schelling, *De Solonis legibus*, p. 68. δὲ mss. En conservant cette leçon, on explique difficilement le datif τῷ βουλομένῳ, et l'on est forcé de prendre εἰσφέρειν, contrairement à l'usage, dans le sens de εἰσάγειν. Enfin, l'obligation imposée aux magistrats de porter une affaire devant l'audience ne doit pas précéder la détermination du tribunal compétent, mais la suivre.

ἄξιον ἐργάσονταί τι δήλους. [Weber.]

3. Ὁ κάτωθεν νόμος. On peut voir dans Harpocration les savantes niaiseries de Didyme au sujet d'une locution qui est cependant la plus simple du monde. Ὁ κάτωθεν νόμος équivaut à ὁ νόμος ὁ μετὰ ταῦτα, Taylor l'a vu. Disons toutefois que l'orateur ne se réfère pas seulement à la liste des lois remise au greffier ; il indique quelque chose de plus officiel, l'acte d'accusation, publiquement exposé et remis au magistrat, dans lequel les lois violées se trouvaient énumérées en regard du décret incriminé (παραγεγραμμένοι). Philippi (*Der Areopag*, p. 343) n'aurait pas dû réhabiliter une des interprétations de Didyme.

7. Ἀποκτείνειν καὶ ἀπάγειν. L'homme qui avait été convaincu judiciairement d'homicide (cf. § 29) devait quitter le pays. Sinon, il était permis de le tuer et aussi (ou bien) de le traîner devant le magistrat pour qu'il subît la peine capitale. Cf. Platon, *Lois*, IX, p. 871, D : Ἐὰν δέ τις ἐπιβῇ τούτων τῆς τοῦ φονευθέντος χώρας, ὁ προστυχὼν πρῶτος τῶν οἰκείων τοῦ ἀποθανόντος ἢ καὶ τῶν πολιτῶν ἀνατὶ κτεινέτω ἢ δήσας τοῖς ἄρχουσι τῶν τὴν δίκην κρινάντων κτεῖναι παραδότω. Voy. Philippi, *ibid.*, p. 132.

7-8. Ἐν τῇ ἡμεδαπῇ. Franke prétendait que cette locution était tirée du § 35, mais n'était pas de mise dans la loi. Or cette locution s'est retrouvée dans l'inscription qui reproduit le πρῶτος ἄξων (*C. I. Att.*, I, n° 61, l. 30).

8. Ἐν τῷ ⟨α'⟩ ἄξονι. Les mots qu précèdent sont tirés de la première table des lois de Solon et conformes à l'ancienne législation de Dracon. Le législateur les reproduit pour y ajouter des prescriptions humaines, favorables à l'homicide. Ce législateur est-il Solon lui-même, se référant dans une de ses autres tables à la loi de Dracon qu'il avait consignée dans la première table ? Ou bien la présente loi est-elle postérieure à Solon? Philippi est de ce dernier avis, et, en effet, on peut douter que Solon ait soumis ce délit au jugement de l'Héliée.

9-10. Ἢ διπλοῦν ὀφείλειν ὅσον ἂν κα-

ὧν ἕκαστοι δικασταί εἰσιν, τῷ βουλομένῳ. Τὴν δ' ἡλιαίαν διαγιγνώσκειν. »

[29] Ἠκούσατε μὲν τοῦ νόμου, σκέψασθε δ', ὦ ἄνδρες Ἀθηναῖοι, καὶ θεωρήσατε ὡς καλῶς καὶ σφόδρ' εὐσεβῶς ἔθηκεν ὁ τιθεὶς τὸν νόμον. Τοὺς ἀνδροφόνους φησίν. Πρῶτον μὲν δὴ τοῦτον ἀνδροφόνον λέγει, τὸν ἡλωκότα ἤδη τῇ ψήφῳ. Οὐ γάρ ἐστ' οὐδεὶς ὑπὸ ταύτῃ τῇ προσηγορίᾳ, 630 πρὶν ἂν ἐξελεγχθεὶς ἁλῷ. [30] Ποῦ τοῦτο δηλοῖ; ἔν τε τῷ προτέρῳ νόμῳ καὶ τούτῳ. Ἐν μὲν γὰρ ἐκείνῳ γράψας « ἐάν τις ἀποκτείνῃ », τὴν βουλὴν δικάζειν εἶπεν, ἐν δὲ τούτῳ τὸν ἀνδροφόνον προσειπὼν, ἃ χρὴ πάσχειν εἴρηκεν· οὗ μὲν γὰρ ἦν αἰτία τὸ πρᾶγμα, τὴν κρίσιν εἴρηκεν.

NC. 1-2. ηλιαναγινώσκειν S[1], αι et δι ajoutés dans l'interligne par le reviseur.

ταϐλάψῃ. Démosthène ne mentionne pas cette clause, mais elle est conforme à ce que nous savons d'ailleurs de la législation attique, et ne doit pas être suspectée. Cependant Kœhler a tort de l'insérer dans l'inscription citée ci-dessus. Deux lettres conservées sur la pierre (ON) ne suffisent pas pour justifier un complément que Philippi juge avec raison déplacé. Je vais plus loin que ce dernier : je n'admets pas même que les mots λυμαίνεσθαι δὲ μὴ, μηδὲ ἀποινᾶν aient fait partie de la loi de Dracon.

1. Εἰσφέρειν δ(ὲ).... τῷ βουλομένῳ (sous-ent. ἐξεῖναι), et qu'il soit permis à qui voudra de porter l'affaire devant les magistrats compétents. Cette affaire est évidemment, non la poursuite du meurtrier, qui incombait exclusivement à la famille de la victime, mais la poursuite de celui qui maltraitait indûment un homme coupable d'homicide. Weber l'a bien compris. Quant aux mots, ils ont été diversement expliqués, et ils offrent en effet quelque difficulté. Mais ce n'est pas une raison d'attribuer à un faussaire une formule qui se retrouve dans un document du discours *Contre Macartatos*. On y lit, au § 71 : Τὰς δὲ δίκας εἶναι περὶ τούτων πρὸς τοὺς ἄρχοντας, ὧν ἕκαστοι δικασταί εἰσιν, et un peu plus bas la locution équivalente : Οἱ ἄρχοντες, πρὸς οὓς ἂν ᾖ ἡ δίκη. Il me semble évident qu'il ne faut pas entendre les neuf Archontes, mais prendre ἄρχοντες dans le sens général de « magistrats ». Si le législateur avait voulu distinguer entre les attributions judiciaires de chacun des neuf Archontes, il aurait dit ἕκαστος ; le pluriel ἕκαστοι indique un sujet collectif, un collège de juges. Et par juges, δικασταί, il faut entendre ici les magistrats chargés d'instruire le procès et de présider l'audience. C'est à ces magistrats, en effet, que les anciennes lois attiques attribuent τὸ δικάζειν, tandis qu'elles disent διαγιγνώσκειν des jurés, ceux qu'on appelle ordinairement δικασταί. Reste un point obscur. Pourquoi le législateur n'indique-t-il pas nettement l'autorité compétente ? On peut répondre qu'elle variait suivant la nature du délit, maltraiter la personne (λυμαίνεσθαι) ou la rançonner (ἀποινᾶν). Mais cette explication ne peut s'appliquer à la loi citée dans le Πρὸς Μακάρτατον. Le législateur s'abstenait-il de préciser, afin que sa loi pût subsister, quand même les attributions des magistrats viendraient à être modifiées ? Enfin, pour ce qui est du verbe εἰσφέρειν, comme on disait de l'auteur d'une motion εἰσφέρειν νόμον, δόγμα, ψήφισμα, il n'est pas impossible que l'on ait dit, à une certaine époque, de l'accusateur εἰσφέρειν δίκην.

9. Τῷ προτέρῳ νόμῳ. Cf. § 22.

οὗ δ' ὁ ἁλοὺς ἔνοχος τῷ προσρήματι τούτῳ καθέστηκεν, τὴν τιμωρίαν ἔγραψεν. Περὶ μὲν δὴ τῶν ἡλωκότων ἂν λέγοι. Λέγει δὲ τί; « ἐξεῖναι ἀποκτείνειν καὶ ἀπάγειν. » [31] Ἆρ' ὡς αὐτόν; ἢ ὡς ἂν βούληταί τις; πολλοῦ γε καὶ δεῖ. Ἀλλὰ πῶς; « ὡς ἐν τῷ ⟨α'⟩ ἄξονι εἴρηται, » φησίν. Τοῦτο δ' ἐστὶν τί; ὃ πάντες ἐπίστασθ' ὑμεῖς. Οἱ θεσμοθέται τοὺς ἐπὶ φόνῳ φεύγοντας κύριοι θανάτῳ ζημιῶσαί [εἰσι], καὶ τὸν ἐκ τῆς ἐκκλησίας πέρυσι πάντες ἑωρᾶθ' ὑπ' ἐκείνων ἀπαχθέντα. Ὡς τούτους οὖν ἀπάγειν λέγει. [32] Διαφέρει δὲ τί τοῦτο τοῦ ὡς αὐτὸν ἄγειν; ὅτι ὁ μὲν ἀπάγων, ὦ ἄνδρες Ἀθηναῖοι, ὡς τοὺς θεσμοθέτας τοὺς νόμους κυρίους ποιεῖ τοῦ δεδρακότος, ὁ δ' ὡς αὐτὸν ἄγων ἑαυτόν. Ἔστι δ' ἐκείνως μέν, ὡς ὁ νόμος τάττει, δοῦναι δίκην, οὕτω δέ, ὡς ὁ λαβὼν βούλεται. Πλεῖστον δὲ δήπου διαφέρει τὸν νόμον κύριον τῆς τιμωρίας ἢ τὸν ἐχθρὸν γίγνεσθαι. [33] « Λυμαίνεσθαι δέ », φησί, « μή, μηδὲ ἀποινᾶν. » Ταῦτα δ' ἐστὶν τί; τὸ μὲν δὴ μὴ λυμαίνεσθαι, γνώριμον οἶδ' ὅτι πᾶσιν μὴ μαστιγοῦν, μὴ δεῖν, μὴ τὰ τοιαῦτα ποιεῖν λέγει, τὸ δὲ μηδ' ἀποινᾶν μὴ χρήματα πράττεσθαι· τὰ γὰρ ἄποινα χρήματ' ὠνόμαζον οἱ παλαιοί.
631 [34] Ὁ μὲν δὴ νόμος οὕτως τὸν ἀνδροφόνον καὶ τὸν ἡλωκότ' ἤδη διώρισεν ὡς κολαστέον καὶ οὔ· τὴν τοῦ πεπονθότος εἰπὼν πατρίδα, καὶ περὶ τοῦ μηδέν' ἄλλον τρόπον

NC. 5. α' inséré par Cobet. — 7. εἰσι écarté par Blass. — 11. Blass retranche Ἀθηναῖοι. — 20. τὰ γὰρ ἄποινα.... οἱ παλαιοί. Cette explication, écartée par Dobree comme inutile et peu exacte, se défend assez par l'antithèse γνώριμον οἶδ' ὅτι πᾶσιν.

5. Εἴρηται. La loi porte ἀγορεύει. L'orateur a mis un équivalent pour ne pas dire « ἀγορεύει », φησίν.

8. Τὸν ἐκ τῆς ἐκκλησίας.... ἑωρᾶτε.... ἀπαχθέντα. Hellénisme pour τὸν ἐν τῇ ἐκκλησίᾳ ἑωρᾶτε ἐκεῖθεν ἀπαχθέντα. Cf. *Ol.*, I, § 15 : Τὸν ἐκεῖθεν πόλεμον δεῦρ' ἥξοντα ; *ib.*, § 27 : Τῶν ἐκ τῆς χώρας λαμβάνειν ; et *passim*. — Ἀπαχθέντα, traîné au supplice, dont l'exécution regardait les Onze, οἱ ἕνδεκα. Cf. *Timocrate*, § 113.

20. Τὰ γὰρ ἄποινα χρήματ' ὠνόμαζον οἱ παλαιοί, les anciens désignaient par le terme ἄποινα de l'argent. Cette traduction fait comprendre l'emploi de l'article. On pourrait dire aussi τὰ ἄποινα ἐπὶ χρήμασιν ὠνόμαζον. Dindorf rapproche Xénophon, *Memor.*, III, xiv, 7 : Ἔλεγε δὲ καὶ ὡς τὸ εὐωχεῖσθαι ἐν τῇ Ἀθηναίων γλώττῃ ἐσθίειν καλοῖτο. C'est donc à tort que Reiske écrivait τὰ γὰρ χρήματα ἄποινα d'après Théon, *Progymn.*, IV, 15, p. 186 W.

22-23. Τὴν τοῦ πεπονθότος εἰπὼν πατρίδα. Cette périphrase de ἐν τῇ ἡμεδαπῇ

ἢ τοῦτον μηδ' ἄλλοθι πλὴν ἐνταῦθ' ἄντικρυς εἴρηκεν. Ὁ δὲ τὸ ψήφισμα γράφων, πολλοῦ γε δεῖ, διώρισεν, ὅς γε πάντα τούτοις τἀναντί' εἴρηκεν· γράψας γὰρ « ἐάν τις ἀποκτείνῃ Χαρίδημον », « ἀγώγιμος ἔστω », φησίν [πανταχόθεν]. [35] Τί λέγεις; τῶν νόμων οὐδὲ τοὺς ἡλωκότας διδόντων ἀπάγειν πλὴν ἐν τῇ ἡμεδαπῇ, σὺ γράφεις ἄνευ κρίσεως τιν' ἀγώγιμον ἐκ τῆς συμμαχίδος πάσης; καὶ οὐδ' ἐν τῇ ἡμεδαπῇ ἄγειν κελευόντων τῶν νόμων, σὺ δίδως ἄγειν πανταχόθεν; Καὶ μὴν ἕν γε τῷ ποιεῖν ἀγώγιμον πάνθ' ὅσ' ἀπείρηκεν ὁ νόμος δέδωκας, χρήματα πράξασθαι, ζῶντα λυμαίνεσθαι, κακοῦν, ἔχοντ' αὐτὸν ἀποκτιννύναι. [36] Πῶς οὖν ἄν τις μᾶλλον ἐλεγχθείη παράνομ' εἰρηκὼς ἢ πῶς δεινότερ' ἂν γράφων ἢ τοῦτον τὸν τρόπον; ὃς δυοῖν ὑποκειμένων ὀνομάτων, κατὰ μὲν τῶν ἐν αἰτίᾳ « ἐάν τις ἀποκτείνῃ », κατὰ δὲ τῶν ἡλωκότων, « ἐάν τις ἀνδροφόνος ᾖ », ἐν μὲν τῇ προσηγορίᾳ τὸ τοῦ τὴν αἰτίαν ἔχοντος ἔλαβες ὄνομα, τὴν δὲ τιμωρίαν, ἣν οὐδὲ κατὰ τῶν ἐξεληλεγμένων διδόασιν οἱ νόμοι, ταύτην κατὰ τῶν ἀκρίτων ἔγραψας, καὶ τὸ μέσον τούτων ἐξεῖλες. Μέσον γάρ ἐστιν αἰτίας καὶ ἐλέγχου κρίσις, ἣν οὐδαμοῦ γέγραφεν οὗτος ἐν τῷ ψηφίσματι.

[37] Λέγε τοὺς ἐφεξῆς νόμους.

NC. 2. καὶ δεῖ A. — 4-5. J'écarte πανταχόθεν, mot qui est à sa place plus bas. On peut voir les termes de la loi au § 91. Il ne convient pas que l'orateur cite ces termes moins exactement qu'il ne les interprétera tantôt en disant ἐκ τῆς συμμαχίδος πάσης. — 9. πανταχόθεν est omis dans S, F, Y. Ce mot, absolument nécessaire ici, aura été oublié et inséré par mégarde dans l. 5. — 11. κακοῦν était suspect à Reiske. Mais les orateurs aiment τὸ ἓν πολλὰ ποιεῖν. — 12. ἐλεχθείη S[1]. — 14. ὃσ, fait par grattage de ὤσ, S. ὢς Y. — ὑποκειμένοιν ὀνομάτοιν Dindorf. — τὸν S[1]. — ἐν αἰτίᾳ ὄντων A. — 15. κατὰ τῶν δ' Blass. — 17. [ἔλαβες ὄνομα] Blass. — 18. οὐδὲ [κατὰ] τῶν Blass.

fait supposer qu'on lisait dans une des clauses précédentes de la loi : ἐάν τις Ἀθηναῖον κτείνῃ. Cf. § 37.

8. Ἄγειν. On voit que l'orateur distingue entre le mot vague et général ἄγειν, et le composé ἀπάγειν, qui, dans la langue du droit attique, veut dire traîner devant un magistrat.

11. Αὐτόν est le sujet, non le régime, de ἀποκτιννύναι.

16. Ἐν μὲν τῇ προσηγορίᾳ, en nommant, en qualifiant la personne visée par la loi. Cf. § 27, et προσειπών, § 30.

20. Μέσον γάρ ἐστιν.... Il faut changer de ton en lisant cette explication, qui s'adresse aux juges.

ΝΟΜΟΣ.

« Ἐὰν δέ τις τὸν ἀνδροφόνον κτείνῃ ἢ αἴτιος ᾖ φόνου,
632 ἀπεχόμενον ἀγορᾶς ἐφορίας καὶ ἄθλων καὶ ἱερῶν Ἀμφικτυονικῶν, ὥσπερ τὸν Ἀθηναῖον κτείναντα, ἐν τοῖς αὐτοῖς ἐνέχεσθαι, διαγιγνώσκειν δὲ τοὺς ἐφέτας. »

Τουτονὶ δεῖ μαθεῖν ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν νόμον τί ποτ' ἐβούλεθ' ὁ θείς· ὄψεσθε γὰρ ὡς ἅπαντ' εὐλαβῶς διώρισε καὶ νομίμως. [38] « Ἐάν τις ἀποκτείνῃ τὸν ἀνδροφόνον, » φησίν, « ἢ αἴτιος ᾖ φόνου, ἀπεχόμενον ἀγορᾶς ἐφορίας καὶ ἄθλων καὶ ἱερῶν Ἀμφικτυονικῶν, ὥσπερ τὸν Ἀθηναῖον κτείναντ', ἐν τοῖς αὐτοῖς ἐνέχεσθαι, διαγιγνώσκειν δὲ τοὺς ἐφέτας. » Τί δὴ ταῦτ' ἐστίν; ἐκεῖνος ᾤετο τὸν πεφευγότ' ἐπ' αἰτίᾳ φόνου καὶ ἡλωκότα, ἐάνπερ ἅπαξ ἐκφύγῃ καὶ σωθῇ, εἴργειν μὲν τῆς τοῦ παθόντος πατρίδος δίκαιον εἶναι, κτείνειν δ' οὐχ ὅσιον πανταχοῦ. Τί σκοπῶν; ὅτι καὶ τοὺς δεῦρο πεφευγότας, ἐὰν ἡμεῖς τοὺς ἑτέρωσ' ἀποκτιννύωμεν, ἀποκτενοῦσιν ἕτεροι. [39] Εἰ δὲ τοῦτ' ἔσται, ἡ μόνη λοιπὴ τοῖς ἀτυχοῦσιν ἅπασι σωτηρία διαφθαρήσεται. Ἔστι δ' αὕτη τίς; ἐκ τῆς τῶν πεπονθότων μεταστάντα εἰς τὴν τῶν μηδὲν ἠδικημένων ἀδεῶς μετοικεῖν. Ἵνα δὴ μὴ τοῦτ' ᾖ μηδ' ἀπέραντοι τῶν ἀτυχημάτων αἱ τιμωρίαι

NC. 2. δέ est omis dans S, Y. — 7. θειοσ S[1], ce semble. — 11. Herwerden supprime ἐν. Cf. § 41. — 15. πανταχοῦ A. απανταχου S, vulg. — 21. ἀδικημάτων A(non S), Reiske, Dindorf.

2. Les fragments de cette loi ont été reconnus par Kœhler dans les lignes 25-29 de l'inscription déjà plusieurs fois citée.

4. Τὸν Ἀθηναῖον κτείναντα. Τὸν porte sur Ἀθηναῖον : c'est l'article générique. Cf. § 41, 89, 220. [G.H. Schæfer.]

5. Τοὺς ἐφέτας. On voit que Solon, tout en attribuant généralement à son Aréopage l'homicide prémédité, laissa pour ce cas subsister les juges indiqués par Dracon. Cf. Philippi, *l. c.*, p. 130.

6. Τουτονὶ.... τὸν νόμον. Ces accusatifs dépendent de ὁ θείς.

16. Τοὺς ἑτέρωσε : sous-ent. πεφευγότας.

18. Τοῖς ἀτυχοῦσιν. Il s'agit de ceux qui ont commis un homicide, soit volontairement, soit involontairement. Qu'ils fussent plus ou moins coupables, les Grecs les considéraient comme des malheureux à plaindre. Cf. *Androt.*, § 55.

21. Τῶν ἀτυχημάτων αἱ τιμωρίαι.

γίγνωνται, ἔγραψεν « ἐάν τις τὸν ἀνδροφόνον κτείνῃ ἀπεχόμενον », φησίν, « ἀγορᾶς ἐφορίας ». Τί τοῦτο λέγων; τῶν ὁρίων τῆς χώρας· ἐνταῦθα γάρ, ὥς γ' ἐμοὶ δοκεῖ, τἀρχαῖα συνῄεσαν οἱ πρόσχωροι παρά θ' ἡμῶν καὶ τῶν ἀστυγειτόνων, ὅθεν ὠνόμακεν « ἀγορὰν ἐφορίαν ». [40] Καὶ πάλιν « ἱερῶν Ἀμφικτυονικῶν ». Τί δήποτε καὶ τούτων ἀπέκλεισε τὸν ἀνδροφόνον; ὅσων τῷ παθόντι ζῶντι μετῆν, τούτων εἴργει τὸν δεδρακότα, πρῶτον μὲν τῆς πατρίδος καὶ 633 τῶν ἐν ταύτῃ πάντων καὶ ὁσίων καὶ ἱερῶν, τὴν ἐφορίαν ἀγορὰν ὅρον προσγράψας ἧς εἴργεσθαί φησιν, εἶτα τῶν ἱερῶν τῶν ἐν Ἀμφικτύοσιν· καὶ γὰρ τούτων, εἴπερ ἦν Ἕλλην ὁ παθών, μετῆν αὐτῷ. Καὶ « ἄθλων ». Διὰ τί; ὅτι κοινοὶ πᾶσίν εἰσιν οἱ κατὰ τὴν Ἑλλάδ' ἀγῶνες, κατὰ δὲ τὴν πάντων μετουσίαν μετῆν καὶ τούτων τῷ πεπονθότι· καὶ τούτων οὖν ἀπεχέσθω. [41] Τούτων μὲν δὴ τὸν εἰργασμένον εἴργει. Ἂν δ' ἔξω τούτων κτείνῃ τις αὐτὸν ἄλλοθι, τὴν αὐτὴν ὑπὲρ αὐτοῦ δίκην δέδωκεν ἥνπερ ἂν τὸν Ἀθηναῖον κτείνῃ. Τὸν

NC. 9. ἐν αὐτῇ A. — 12. Entre καὶ et ἄθλων environ deux lettres grattées dans S. — 13. κατὰ τὴν δὲ πάντων Blass. — 16. ἄλλοθι S seul. ἢ ἄλλοθι που A, F. Puisqu'il faut supprimer ἢ, il n'y a pas de raison de conserver που.

On a dit que les deux termes juraient ensemble, et qu'il fallait nécessairement τῶν ἀδικημάτων. Mais la leçon de S et de la plupart des manuscrits, conforme à l'expression τοῖς ἀτυχοῦσιν, qu'on vient de lire, n'a rien qui puisse choquer, si on veut se rendre compte du sens attaché ici au mot τιμωρίαι. En effet, il ne s'agit pas de peines infligées par un tribunal, mais de ce qui était permis au vengeur.

2. Φησίν est ajouté après ἔγραψεν, afin d'insister sur les termes qui vont être expliqués. — Τί τοῦτο λέγων; et qu'entend-il par là? — On lit dans Harpocration : Ἐφορία· ἡ ἐπὶ τῶν ὅρων γινομένη προαγόρευσις, ὡς Δημοσθένης διδάσκει ἐν τῷ κατ' Ἀριστοκράτους καὶ Θεόφραστος ἐν γ' Νόμων. La même explication est répétée par Photios et Suidas. On croit généralement qu'Harpocration prend ἐφορία pour un substantif. Cela serait fort étrange, puisqu'il se réfère à l'interprétation de Démosthène, et qu'il est absurde de faire dire au législateur « s'abstenant de proclamation sur la frontière. » Je soupçonne que le lexicographe trouva dans Théophraste la locution ἐφορία προαγόρευσις. On pourrait donc écrire γινομένη <ἀγορὰ ἢ> προαγόρευσις.

8. Πρῶτον μὲν τῆς πατρίδος.... ἱερῶν. L'article de loi cité ne le dit pas expressément, mais cela est sous-entendu et se trouvait, sans doute, expliqué dans un article précédent.

13. Οἱ κατὰ τὴν Ἑλλάδ' ἀγῶνες. Démosthène semble entendre non seulement les grands jeux panhelléniques, mais tous les jeux qui se faisaient en Grèce.

17. Δίκην δέδωκεν ne veut pas dire ici « il a reçu le châtiment, » mais « il a accordé la satisfaction, » « il a permis de châtier l'agresseur. »

γὰρ φυγάδα τὸ τῆς πόλεως οὐ προσεῖπεν ὄνομα, ἧς οὐκ ἔστι μετουσία αὐτῷ, ἀλλὰ τὸ τοῦ πράγματος ᾧ κατέστησεν αὐτὸν ἐκεῖνος ἔνοχον· καὶ διὰ ταῦτ' « ἄν τις ἀποκτείνῃ » φησὶ « τὸν ἀνδροφόνον ». Εἶτ' εἰπὼν ὧν εἰργόμενον; ἐπὶ τῷ τὴν τιμωρίαν νομίμως ἐπιθεῖναι τὸ τῆς πόλεως ὄνομ' ὠνόμασεν, « τοῖς αὐτοῖς ἐνεχέσθω καθάπερ ἂν τὸν Ἀθηναῖον « ἀποκτείνῃ » γράψας, ἀνομοίως, ὦ ἄνδρες Ἀθηναῖοι, τῷ τουτὶ τὸ ψήφισμ' εἰρηκότι. [42] Καίτοι πῶς οὐχὶ δεινὸν εἰ, οἷς ὁ νόμος δέδωκεν, ἐὰν ὧν εἶπον εἴργωνται, μετ' ἀσφαλείας ζῆν φυγοῦσιν, τούτους ἐκδότους τις εἶναι γράφει, καὶ ἀφαιρεῖται τὸ τῆς συγγνώμης ὠφέλιμον, ὃ τοῖς ἀτυχοῦσιν ὑπάρχειν εἰκὸς παρὰ τῶν ἔξω τῶν ἐγκλημάτων ὄντων, ὅτῳ ποτὲ τῶν πάντων ἀπόκειται ἄδηλον ὄν, μὴ προδήλου τῆς ἐπιούσης τύχης οὔσης ἑκάστῳ; Καὶ νυνὶ τὸν ἀποκτείναντα Χαρίδημον, ὄντως ἂν ἄρα τοῦτο γένηται, ἐὰν ἀνταποκτεί-
634 νωσί τινες λαβόντες ἔκδοτον, πεφευγότα καὶ τῶν νομίμων εἰργόμενον, [43] ἔνοχοι μὲν αὐτοὶ ταῖς φονικαῖς δίκαις ἔσονται, ἔνοχος δὲ σύ· καὶ γὰρ « ἄν τις αἴτιος ᾖ » γέγραπται,

NC. 1. οὐ τὸ τῆς πόλεως προσειπεῖν A. — 1-2. Peut-être ἧς οὐκ ἔστιν αὐτῷ μετουσία. — 4. επειπων S, Y. — 7. ἀνόμοιος ὤν A, F. J'ai mis une virgule avant ἀνομοίως. — 9. ὧν εἶπεν F. — 13. ὄν, après ἄδηλον, est omis dans S seul. — 15. <τὸν> Χαρίδημον Blass.

1. Τὸ τῆς πόλεως οὐ προσεῖπεν ὄνομα équivaut à οὐκ ἐκάλεσε πολίτην, οὐκ ἐκάλεσεν Ἀθηναῖον.

3. Ἄν τις ἀποκτείνῃ, φησὶ, τὸν ἀνδροφόνον. L'orateur a laissé échapper un pentamètre. [Reiske.]

4. Εἰργόμενον dépend de ἄν τις ἀποκτείνῃ.

7. Γράψας se rapporte à la citation qui précède.

10. Ἐκδότους, livrés, proscrits. Cf. § 85.

11. Τὸ τῆς συγγνώμης ὠφέλιμον n'est pas une simple périphrase pour τὴν συγγνώμην. Cette indulgence est avantageuse pour tout le monde, personne (l'orateur va le dire tout à l'heure) n'étant sûr de n'avoir pas un jour besoin de cette indulgence, s'il lui arrivait de devenir homicide sans le vouloir.

12. Παρὰ τῶν ἔξω τῶν ἐγκλημάτων ὄντων, de ceux qui sont en dehors des griefs. Cette locution à double sens veut dire ici « ceux qui n'ont aucun sujet de plainte, » et équivaut à παρὰ τῶν μηδὲν ἠδικημένων (§ 39), c.-à-d. les habitants des autres pays.

13. Ἀπόκειται a pour sujet τὸ τῆς συγγνώμης ὠφέλιμον. Ce verbe se dit de ce qu'on met en réserve pour l'avenir. Cf. Xénophon, *Anab.*, II, III, 15 : Αἱ βάλανοι τῶν φοινίκων.... τοῖς οἰκέταις ἀπέκειντο; *ib*, VII, VII, 46 : Εὔνοιαν δεῖν ἀπόκεισθαι τούτῳ. Comparez aussi le verbe synonyme ἀποτίθεσθαι et le substantif ἀποθήκη.

16. Τῶν νομίμων εἰργόμενον, s'abstenant des lieux et des actes que la loi lui interdit.

ἔσει δ' αἴτιος τὴν διὰ τοῦ ψηφίσματος ἐξουσίαν δεδωκώς. Οὐκοῦν εἰ μὲν ἐάσομεν ὑμᾶς τούτων συμβάντων, οὐ καθαροῖς οὖσιν ὁμοῦ διατρίψομεν· εἰ δ' ἐπέξιμεν, οἷς ἐγνώκαμεν αὐτοὶ τἀναντία πράττειν ἀναγκασθησόμεθα. Ἆρά γε μικρὸν ἢ τὸ τυχόν ἐστιν ὑπὲρ οὗ δεῖ λῦσαι τὸ ψήφισμ' ὑμᾶς;

[44] Λέγε δὴ τὸν μετὰ ταῦτα νόμον.

ΝΟΜΟΣ.

« Ἐάν τίς τινα τῶν ἀνδροφόνων τῶν ἐξεληλυθότων, ὧν τὰ χρήματα ἐπίτιμα, πέρα ὅρου ἐλαύνῃ ἢ φέρῃ ἢ ἄγῃ, τὰ ἴσα ὀφείλειν ὅσα περ ἂν ἐν τῇ ἡμεδαπῇ δράσῃ. »

Ἄλλος οὗτος, ὦ ἄνδρες Ἀθηναῖοι, νόμος ἀνθρωπίνως καὶ καλῶς κείμενος, ὃν παραβὰς οὗτος ὁμοίως φανήσεται. [45] Ἐάν τίς τινα τῶν ἀνδροφόνων, φησὶ, τῶν ἐξεληλυθότων, ὧν τὰ χρήματα ἐπίτιμα. Τῶν ἐπ' ἀκουσίῳ φόνῳ λέγει μεθεστηκότων. Τῷ τοῦτο δῆλον; τῷ τε « ἐξεληλυθότων » εἰπεῖν, ἀλλὰ μὴ « φευγόντων », καὶ τῷ διορίζειν ὧν τὰ χρήματα ἐπίτιμα· τῶν γὰρ ἐκ προνοίας δεδήμευται τὰ ὄντα. Περὶ μὲν δὴ τῶν ἀκουσίων ἂν λέγοι. [46] Λέγει δὲ τί;

NC. 3. συνδιατρίψομεν A, F. — 5. [ἐστιν] Blass. — 6. μεταυτα S seul. — 8. τινα, après τισ (d'abord τίσ), manque dans S, ici, non l. 13. — 9. ἢ φέρῃ, mots suspects, ici et l. 1 de la page suivante. [Herwerden.] — 10. ὀφείλει S. — 16. φευγόντων S, A. πεφευγότων vulg.

2. Εἰ μὲν ἐάσομεν ὑμᾶς, si nous vous laissons tranquilles, si nous ne vous poursuivons pas.

2-3. Οὐ καθαροῖς οὖσιν ὁμοῦ διατρίψομεν. Le contact des impurs souille, et les conséquences de cette souillure peuvent être des plus graves pour le peuple tout entier. C'est ce qui fait dire à l'orateur ἆρά γε μικρὸν ἢ τὸ τυχόν ἐστιν;

9. Τὰ χρήματα ἐπίτιμα. Les termes ἐπίτιμος (jouissant des droits du citoyen) et ἄτιμος (privé de ces droits) se disent au propre des personnes, mais s'appliquent aussi par extension aux biens. Les biens confisqués sont ἄτιμα; non confisqués, ils sont ἐπίτιμα. Harpocration (s. v. ὅτι) : Ὅτι οἱ ἁλόντες ἐπ' ἀκουσίῳ φόνῳ ἐξουσίαν εἶχον εἰς διοίκησιν τῶν ἰδίων, Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους ὑποσημαίνει καὶ Θεόφραστος ἐν τῷ ιγ' τῶν Νόμων δηλοῖ. — Ἢ φέρῃ, ou qu'il le dépouille de ses biens. Ces mots reviennent au commencement du § 46; cependant l'orateur n'en tient pas compte en commentant la loi, et on s'en passerait volontiers. Voy. NC.

15-16. Ἐξεληλυθότων.... φευγόντων. S'il est vrai que le premier de ces deux termes ne s'applique qu'aux homicides involontaires, le second peut se dire indifféremment des volontaires et des involontaires.

ἐὰν πέρα ὅρου, φησίν, ἐλαύνῃ ἢ φέρῃ ἢ ἄγῃ. Τοῦτο δέ ἐστιν τί, τὸ πέρα ὅρου; ἔστι πᾶσιν ὅρος τοῖς ἀνδροφόνοις τῆς τοῦ παθόντος εἴργεσθαι πατρίδος. Ἐκ μὲν δὴ ταύτης 635 δίδωσιν ἐλαύνειν καὶ ἄγειν, πέρα δ' οὐκ ἐᾷ τούτων οὐδέτερον ποιεῖν. Ἐὰν δέ τις παρὰ ταῦτα ποιῇ, τὴν αὐτὴν ἔδωκεν ὑπὲρ αὐτοῦ δίκην ἥνπερ ἂν εἰ μένοντ' ἠδίκει [οἴκοι], γράψας « ταὐτὰ ὀφείλειν ἅπερ ἂν οἴκοι δράσῃ ». [47] Εἰ δή τις ἔροιτ' Ἀριστοκράτην τουτονί (καὶ μὴ νομίσητ' εὔηθες τὸ ἐρώτημα) πρῶτον μὲν εἰ οἶδεν εἴ τις ἀποκτενεῖ Χαρίδημον ἢ καὶ ἄλλως πως τελευτήσει, οὐκ ἄν, οἶμαι, φαίη. Θήσομεν τοίνυν ἀποκτενεῖν. Πάλιν οἶσθ', ἑκὼν ἢ ἄκων, καὶ ξένος ἢ πολίτης ὁ τοῦτο ποιήσων ἔσται; οὐκ ἔνεστ' εἰπεῖν ὡς οἶσθα. [48] Οὐκοῦν ταῦτά γε δήπου προσῆκε γράψαι, « ἐάν τις ἀποκτείνῃ » γράφοντα, « ἄκων » ἢ « ἑκών », « ἀδίκως » ἢ « δικαίως », « ξένος » ἢ « πολίτης », ἵν' ὅτῳ ποτὲ τοὔργον ἐπράχθη, τούτῳ τὰ ἐκ τῶν νόμων ὑπῆρχε δίκαια, μὴ μὰ Δί' αὐτὸ τὸ τῆς αἰτίας ὄνομ' εἰπόντα « ἀγώγιμος ἔστω » προσγράψαι. Τίνα γὰρ σὺ λέλοιπας ὅρον τῷ γράμματι τούτῳ, τοῦ νόμου σαφῶς οὑτωσὶ λέγοντος μὴ πέρα ὅρων ἐλαύνειν, ὃς πανταχόθεν δίδως ἄγειν; [49] Ὁ νόμος δ' οὐκ ἄγειν τῶν ὅρων πέρα, ἀλλ' οὐδ' ἐλαύνειν ἐᾷ. Ἐκ δὲ

NC. 4. τούτων δε οὐδ' ἕτερον S. — 6. Blass écarte avec raison le mot inutile οἴκοι, qui fait un hiatus. — 7. ταῦτα S, A. — 11. αποχτεινειν S seul. — 13. γράψαι S, A, F, Y. προσγράψαι (évidemment une correction) depuis Reiske. Mais ce composé est à sa place quelques lignes plus bas; διορίσαι προσῆκεν conviendrait mieux. — 16. ὑπῆρχεν S. — 21. οὐκ S seul. οὐ μόνον οὐκ vulg. — ἐλαύνειν τῶν ὅρων πέρα et ἄγειν ἐᾷ mss. J'ai transposé les infinitifs. Voy. la note explicative.

6. Ἔδωκεν ὑπὲρ αὐτοῦ δίκην est dit ici du législateur, comme au § 41. — Μένοντ(α), qui a le droit de rester dans le pays, qui n'est pas exilé. Le verbe μένειν, sans autre détermination, est ainsi opposé à φεύγειν dans le document inséré *Timocr.*, § 149.

7. Οἴκοι est substitué par l'orateur à ἐν τῇ ἡμεδαπῇ. Cf. § 28, avec la note.

8-9. Καὶ μὴ νομίσητ' εὔηθες τὸ ἐρώτημα. La première question, prise en elle-même, est en effet niaise, mais elle sert à amener les autres.

11. Πάλιν οἶσθ(α), ensuite, sais-tu? De la question indirecte, l'orateur passe vivement à la question directe.

13. Γράψαι. Voy. NC.

17. Αὐτὸ τὸ τῆς αἰτίας ὄνομ(α), rien que le nom du fait incriminé, c.-à-d. ἐάν τις ἀποκτείνῃ.

18-19. Τῷ γράμματι τούτῳ, à cette expression, c.-à-d. à ἀγώγιμος ἔστω. [Weber.]

20-21. Ὁ νόμος δ' οὐκ ἄγειν τῶν ὅρων πέρα, ἀλλ' οὐδ' ἐλαύνειν. Forcer un homicide, un fugitif, de quitter l'asile

τοῦ σοῦ ψηφίσματος ὁ βουλόμενος ἄξει τὸν ἄκοντ' ἀπεκτονότα, ἔκδοτον λαβών, εἰς τὴν τοῦ παθόντος βίᾳ [πατρίδα]. Ἆρ' οὐ πάντα συγχεῖς τἀνθρώπινα, καὶ ἀφαιρεῖ τὴν πρόφασιν μεθ' ἧς ἢ καλόν ἐστιν ἕκαστον τῶν ἔργων ἢ αἰσχρόν; [50] Ὁρᾶτε γὰρ ὡς ἐπὶ πάντων, οὐκ ἐπὶ τῶν φονικῶν μόνον, οὕτω τοῦτ' ἔχει. « Ἄν τις τύπτῃ τινὰ », φησίν, « ἄρχων χειρῶν ἀδίκων », ὡς, εἴ γ' ἠμύνατο, οὐκ ἀδικεῖ. « Ἄν τις κακῶς ἀγορεύῃ », « τὰ ψευδῆ » προσέθηκεν, ὡς, εἴ γε τἀληθῆ, προσῆκον. « Ἄν τις ἀποκτείνῃ ἐκ προνοίας », 636 ὡς, εἴ γε ἄκων, οὐ ταὐτόν. « Ἄν τις καταβλάψῃ τινὰ ἑκὼν ἀδίκως. » Πανταχοῦ τὴν πρόφασιν βεβαιοῦσαν τὸ πρᾶγμα εὑρήσομεν. Ἀλλ' οὐ σοί, ἀλλ' ἁπλῶς, « ἄν τις ἀποκτείνῃ Χαρίδημον, ἀγέσθω », κἂν ἄκων, κἂν δικαίως, κἂν ἀμυνόμενος, κἂν ἐφ' οἷς διδόασιν οἱ νόμοι, κἂν ὁπωσοῦν.

[51] Λέγε τὸν μετὰ ταῦτα νόμον.

NC. 1. Blass supprime ὁ βουλόμενος. — 2. πατρίδα. J'écarte ce mot. Car βίᾳ serait mal placé entre παθόντος et πατρίδα. — 3. τὰ ἀνθρώπεια A. — 7. εἴ γε. Dans S εἰ première main sur grattage. De même l. 8, mais non l. 10. — 9. On aimerait mieux ἄν τις τρώσῃ. — 12. La variante παρὰ σοὶ est indiquée par l'ancien reviseur de S. σὺ A.

qu'il avait trouvé, s'appelait ἐλαύνειν; l'en arracher et le conduire dans le pays où il subira le châtiment, s'appelait ἄγειν. On voit que ce dernier terme en dit plus que l'autre et que j'ai eu raison de modifier la leçon des manuscrits (Voy. NC). Dans les *Héraclides* d'Euripide, le roi d'Athènes refuse de laisser emmener (ἄγειν) les suppliants qui lui demandent protection; alors le héraut d'Eurysthée lui demande en second lieu de les chasser hors de son territoire pour qu'il puisse les emmener ensuite (σὺ δ' ἐξόριζε, κᾆτ' ἐκεῖθεν ἄξομεν, v. 257). Sans s'emparer d'eux, le héraut obtiendrait ainsi ce qu'il avait obtenu à Trachis et en d'autres pays d'où il était parvenu à les chasser (ἤλαυνες ἱκέτας, v. 196). — Quant à la leçon οὐ μόνον οὐκ, qui ferait prévoir dès le premier membre de phrase la gradation qui va suivre, elle ne vaut pas celle du meilleur manuscrit. On a rapproché Xénophon, *Mém.* II, III, 8 : Τὸν πειρώμενον ἐμὲ ἀνιᾶν οὐκ ἂν δυναίμην οὔτ' εὖ λέγειν οὔτ' εὖ ποιεῖν, ἀλλ' οὐδὲ πειράσομαι, et d'autres passages.

2. Βίᾳ, placé avec force à la fin de la phrase, se rapporte évidemment à ἄξει.

3-4. Τὴν πρόφασιν, non « le prétexte, » mais « le motif qu'on peut alléguer, » ou simplement « le motif. » Thucydide, I, XXIII, 6, oppose τὴν ἀληθεστάτην πρόφασιν à αἱ ἐς τὸ φανερὸν λεγόμεναι αἰτίαι.

6-7. Φησίν, dit le législateur, dit la loi. — Ἄρχων χειρῶν ἀδίκων, en portant à tort les premiers coups. Il s'agit de la δίκη αἰκίας. Les citations qui suivent se rapportent à la δίκη κακηγορίας, la γραφὴ φόνου, la δίκη βλάβης.

9. Ἄν τις ἀποκτείνῃ ἐκ προνοίας. Il est fort étrange de citer la loi sur l'homicide parmi les parallèles à la loi sur l'homicide. [Weber.] Cf. NC.

11. Τὴν πρόφασιν βεβαιοῦσαν τὸ πρᾶγμα, le motif (l'intention) détermine la chose, c.-à-d. la nature du délit.

12. Οὐ σοί, « non à tes yeux, » sous-ent. ἡ πρόφασις βεβαιοῖ τὸ πρᾶγμα.

ΝΟΜΟΣ.

« Φόνου δὲ δίκας μὴ εἶναι μηδαμοῦ κατὰ τῶν τοὺς φεύγοντας ἐνδεικνύντων, ἐάν τις κατίῃ ὅποι μὴ ἔξεστιν. »

Ὁ μὲν νόμος ἐστὶν οὗτος Δράκοντος, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ οἱ ἄλλοι δὲ, ὅσους ἐκ τῶν φονικῶν νόμων παρεγραψάμην· δεῖ δ' ἃ λέγει σκέψασθαι. Κατὰ τῶν ἐνδεικνύντων φησὶ τοὺς κατιόντας ἀνδροφόνους ὅποι μὴ ἔξεστι δίκας φόνου μὴ εἶναι. Ἐνταυθὶ δύο δηλοῖ δίκαια, ἃ παρ' ἀμφότερ' οὗτος εἴρηκε τὸ ψήφισμα, ὅτι τ' ἐνδεικνύναι δίδωσι τὸν ἀνδροφόνον καὶ οὐκ αὐτὸν ἀγώγιμον οἴχεσθαι λαβόντα, καὶ ὅτι, ἐὰν κατίῃ τις ὅποι μὴ ἔξεστι, καὶ αὐτὸ τοῦτο δίδωσιν, οὐχ ὅπου βούλεταί τις. [52] Οὐκ ἔξεστι δὲ ποῖ; ἐξ ἧς ἂν φεύγῃ τις πόλεως. Ποῦ καὶ σφόδρα σαφῶς τοῦτο δηλοῖ; ἐάν τις κατίῃ, φησίν. Τοῦτο δ' οὐκ ἔστ' ἐπενεγκεῖν ἄλλῃ πόλει πλὴν ἣν ἂν φεύγῃ τις· ὅθεν γὰρ μηδ' ἐξέπεσέν τις τὴν ἀρχήν, οὐκ ἔνι δήπου κατελθεῖν εἰς ταύτην. Ὁ μὲν τοίνυν νόμος ἔνδειξιν δέδωκεν, καὶ ταύτην, ἂν κατίῃ ὅποι

NC. 9. ειρηκεν S. — 12. J'ai écrit οὐχ ὅπου pour οὐχ ὅποι. Ce dernier mot, répété par erreur du membre de phrase précédent, ne serait de mise que s'il y avait οὐχ ὅποι οὐδὲν κωλύει. — 15. Après πόλει, le reviseur de S ajoute τουνομα.

2. Μηδαμοῦ, nulle part, devant aucun tribunal. Les accusations d'homicide étaient portées, suivant la diversité des cas, devant des tribunaux différents. Le mot μηδαμοῦ n'a rien d'étrange, quoi qu'on en ait dit; mais on s'explique plus difficilement pourquoi le législateur insère dans sa loi un article qui s'entend de reste. Taylor répond que cet article faisait sans doute suite au texte cité § 37.

6. Κατὰ τῶν ἐνδεικνύντων. Tout le monde comprend pourquoi l'orateur, en examinant la loi qui vient d'être lue, intervertit l'ordre des mots. Cette différence, dont on a abusé pour accuser le prétendu faussaire, est au contraire une preuve de l'authenticité du document.

8. Ἃ παρ' ἀμφότερα. Inversion. Cf. μηδὲν δι' ἕτερον (Isocrate, *Panath.*, 23) et autres exemples cités par Krüger, *Gr. gr.*, 68, 4, 2. Ajoutez qu'ici le mot placé en tête est un relatif.

10. Αὐτόν se réfère au sujet de οἴχεσθαι λαβόντα ἀγώγιμον. L'antithèse l'indique assez.

11-12. Ἐὰν.... βούλεταί τις. Construisez : καὶ αὐτὸ τοῦτο δίδωσιν (cela même, il ne l'accorde que) ἐὰν κατίῃ τις ὅποι μὴ ἔξεστι, οὐχ ὅπου βούλεταί τις (ἐνδεικνύναι).

14. Τοῦτο δ' οὐκ ἔστ' ἐπενεγκεῖν, ce terme (κατιέναι) ne peut s'appliquer. Cf. Platon, *Polit.*, p. 307, B : Τὸ τῆς κοσμιότητος ὄνομα ἐπιφέρομεν αὐτοῖς ξύμπασιν.

15. Ἣν ἂν φεύγῃ τις. Cf. Aristophane, *Gren.*, 1165 : Φεύγων ἀνὴρ ἥκει τε καὶ κατέρχεται.

μὴ ἔξεστιν · ὁ δὲ « ἀγώγιμος ἔστω » γέγραφεν κἀντεῦθεν ὅποι φεύγειν οὐδεὶς κωλύει νόμος.

[53] Λέγ' ἄλλον νόμον.

ΝΟΜΟΣ. 637

« Ἐάν τις ἀποκτείνῃ ἐν ἄθλοις ἄκων, ἢ ἐν ὁδῷ καθελὼν ἢ ἐν πολέμῳ ἀγνοήσας, ἢ ἐπὶ δάμαρτι ἢ ἐπὶ μητρὶ ἢ ἐπ' ἀδελφῇ ἢ ἐπὶ θυγατρὶ, ἢ ἐπὶ παλλακῇ ἣν ἂν ἐπ' ἐλευθέροις παισὶν ἔχῃ, τούτων ἕνεκα μὴ φεύγειν κτείναντα. »

Πολλῶν, ὦ ἄνδρες Ἀθηναῖοι, νόμων ὄντων, παρ' οὓς εἴρηται τὸ ψήφισμα, παρ' οὐδένα μᾶλλον ἢ παρὰ τοῦτον τὸν ἀνεγνωσμένον νῦν εἴρηται. Διδόντος γὰρ τοῦ νόμου σαφῶς οὑτωσὶ καὶ λέγοντος ἐφ' οἷς ἐξεῖναι κτεῖναι, οὗτος ἅπαντα παρεῖδε ταῦτα, καὶ γέγραφεν, οὐδὲν ὑπειπὼν ὅπως

NC. 6. ἢ ἐπὶ μητρὶ : mots omis dans S seul. — 10. τουτονί A.

5. Ἐν ὁδῷ καθελών. Si ces mots sont obscurs, ce n'est pas là une raison d'accuser la licence d'un faussaire, tant s'en faut. Il est vrai que rien n'y répond dans le texte de Démosthène; mais il se peut que les copistes aient omis avant πάλιν, ἂν (§ 55) une autre phrase commençant par les mêmes mots; il n'est pas absolument impossible non plus que l'orateur se soit dispensé d'expliquer ce qu'il ne comprenait pas. Harpocration cite ces mots aux articles καθελών, ὁδός, et ἢ ἐν ὁδῷ. Dans ce dernier endroit, il les tourne par ἔν τινι ἐνέδρᾳ καταβαλών, « l'ayant terrassé dans une embûche. » Il n'est pas prouvé que ὁδός ait jamais eu le sens de λόχος ou ἐνέδρα; mais pour ce qui est de καθελών, Bergk (dans *Philologus*, XXXII (1872), p. 669-673) a justifié l'interprétation du lexicographe par Platon, *Protag.*, p. 343, C : Εἰ καθέλοι τοῦτο τὸ ῥῆμα ὥσπερ εὐδοκιμοῦντα ἀθλητὴν καὶ περιγένοιτο αὐτοῦ. Il faut sans doute rapporter, avec Reiske, ἀγνοήσας aux deux membres de phrase : aussi avons-nous effacé la virgule après καθελών. Je ne pense pas qu'il s'agisse du cas de légitime défense, et je ne puis approuver Bergk qui voulait retrouver la présente loi dans l'inscription déjà souvent citée. Voici comment il essayait d'en rétablir les lignes 33-34 : ['Εάν τις ἀδίκων ἄρχον]τα χει[ρ]ῶ[ν ἐν ὁδῷ καθελὼν ἢ ἐν πολέμῳ ἀγνοήσας ἢ ἐν ἀέθλοις] ἀέκων κτεί[νῃ....

7-8. Ἐπὶ παλλακῇ ἣν ἂν ἐπ' ἐλευθέροις παισὶν ἔχῃ. Cela implique des stipulations, un contrat de concubinage. Cf. Isée, *Hér. de Pyrrhus*, § 39 : Οἱ ἐπὶ παλλακίᾳ διδόντες τὰς ἑαυτῶν πάντες πρότερον διομολογοῦνται περὶ τῶν δοθησομένων ταῖς παλλακαῖς.

8. Μὴ φεύγειν. Dans les cas précités, l'homicide n'a pas besoin de quitter le pays. Démosthène dira ὥρισεν οὐκ ἀδικεῖν, ἀθῷον ποιεῖ, φησὶν εἶναι καθαρόν, tournures plus générales, qui ne doivent pas faire suspecter le présent document.

12. Λέγοντος ἐφ' οἷς ἐξεῖναι κτεῖναι est dit comme λέγοντος ἐξεῖναι κτεῖναι ἐπὶ τοῖσδε. L'infinitif est conservé, quoique la proposition soit relative. Cf. § 60, et *passim*.

13-4. Γέγραφεν, οὐδὲν ὑπειπών, ὅπως

ἄν τις ἀποκτείνῃ, τὴν τιμωρίαν. [54] Καίτοι σκέψασθ' ὡς ὁσίως καὶ καλῶς ἕκαστα διεῖλεν ὁ ταῦτ' ἐξ ἀρχῆς διελών. Ἄν τις ἐν ἄθλοις ἀποκτείνῃ τινὰ, τοῦτον ὥρισεν οὐκ ἀδικεῖν. Διὰ τί; οὐ τὸ συμβὰν ἐσκέψατο, ἀλλὰ τὴν τοῦ δεδρακότος διάνοιαν. Ἔστι δὲ αὕτη τίς; ζῶντα νικῆσαι καὶ οὐκ ἀποκτεῖναι. Εἰ δ' ἐκεῖνος ἀσθενέστερος ἦν τὸν ὑπὲρ τῆς νίκης ἐνεγκεῖν πόνον, ἑαυτῷ τοῦ πάθους αἴτιον ἡγήσατο, διὸ τιμωρίαν οὐκ ἔδωκεν ὑπὲρ αὐτοῦ. [55] Πάλιν « ἂν ἐν πολέμῳ », φησὶν, « ἀγνοήσας », καὶ τοῦτον εἶναι καθαρόν. Καλῶς· εἰ γὰρ ἐγώ τινα τῶν ἐναντίων οἰηθεὶς εἶναι διέφθειρα, οὐ δίκην ὑπέχειν, ἀλλὰ συγγνώμης τυχεῖν δίκαιός εἰμι. « Ἢ ἐπὶ δάμαρτι », φησὶν, « ἢ ἐπὶ μητρὶ ἢ ἐπ' ἀδελφῇ ἢ θυγατρὶ, ἢ ἐπὶ παλλακῇ ἣν ἂν ἐπ' ἐλευθέροις παισὶν ἔχῃ »· καὶ τὸν ἐπὶ τούτων τινὶ κτείναντα ἀθῷον ποιεῖ, πάντων γ' ὀρθότατ', ὦ ἄνδρες Ἀθηναῖοι[, τοῦτον ἀφιείς]. [56] Τί δήποτε; ὅτι ὑπὲρ ὧν τοῖς πολεμίοις μαχόμεθα, ἵνα μὴ πάσχωσιν ὑβριστικὸν μηδ' ἀσελγὲς μηδὲν, **638** ὑπὲρ τούτων καὶ τοὺς φιλίους, ἐὰν παρὰ τὸν νόμον εἰς αὐτοὺς ὑβρίζωσι καὶ διαφθείρωσιν, ἔδωκεν ἀποκτεῖναι. Ἐπειδὴ γὰρ οὐ γένος ἐστὶ φιλίων καὶ πολεμίων, ἀλλὰ τὰ πραττόμεν' ἐξεργάζεται τούτων ἑκάτερον, τοὺς ἐχθρὰ ποιοῦντας ἐν ἐχθροῦ μέρει κολάζειν ἀπέδωκεν ὁ νόμος. Οὐκοῦν δεινὸν, εἰ τοσούτων ὄντων ἐφ' οἷς τοὺς ἄλλους

NC. 2. ε[ξαρ]χησ, les trois lettres ξαρ ajoutées de première main à la fin de la ligne, S. — 7. αὑτὸν ἑαυτῷ avant Bekker. — 13. ἢ θυγατρι S, F, Y. ἢ ἐπὶ θυγατρὶ vulg. — 14. τούτων τινὶ F. τούτων τινα, l'α de première main sur un grattage de trois lettres environ, S. τούτων τινὰ A. τούτων τῳ Y. — 15-16. J'ai écarté τοῦτον ἀφιείς. — 18. φιλίους Bekker. φίλους mss. — 20. φίλων A, Y.

ἄν τις ἀποκτείνῃ, τὴν τιμωρίαν, sans rien spécifier, il a prescrit de punir l'homicide, quelles qu'en fussent les circonstances. [G. H. Schæfer.]

3. Ἄν τις ἐν ἄθλοις ἀποκτείνῃ τινά. Il s'agit de deux athlètes luttant l'un contre l'autre. Le cas de la seconde tétralogie d'Antiphon est tout différent, et ne tombe pas sous la présente loi.

6-7. Ἀσθενέστερος.... ἐνεγκεῖν équivaut à ἀσθενέστερος ἢ ὥστε ἐνεγκεῖν. [G. H. Schæfer.]

10. Τῶν ἐναντίων. Ce génitif dépend directement de εἶναι, non de τινά.

18-19. Εἰς αὐτούς. Le masculin αὐτούς est amené par la tournure générale de la phrase. [G. H. Schæfer.]

20. Γένος, race, espèce naturelle.

ἔξεστιν ἀποκτιννύναι, μόνον ἀνθρώπων ἐκεῖνον μηδ' ἐπὶ τούτοις ἐξέσται [ἀποκτεῖναι]. [57] Φέρ', ἂν δέ τι συμβῇ τοιοῦτον οἷον ἴσως ἤδη τῳ καὶ ἄλλῳ, ἀπαλλαγῇ μὲν ἐκ Θρᾴκης, ἐλθὼν δ' εἰς πόλιν οἰκῇ που, τῆς μὲν ἐξουσίας μηκέτι κύριος ὢν δι' ἧς πολλὰ ποιεῖ τῶν ἀπειρημένων ὑπὸ τῶν νόμων, τοῖς δ' ἔθεσι καὶ ταῖς ἐπιθυμίαις ταῦτ' ἐπιχειρῶν πράττειν, ἄλλο τι ἢ σιγῶντα δεήσει Χαρίδημον ἐᾶν αὐτὸν ὑβρίζειν; οὐ γὰρ ἀποκτεῖναί γ' ἀσφαλὲς οὐδὲ τιμωρίαν λαβεῖν ἣν δίδωσιν ὁ νόμος, διὰ τὸ ψήφισμα τουτί. [58] Καὶ μὴν εἴ τις ἐκεῖν' ὑπολαμβάνει, « ποῦ δὲ γένοιτ' ἂν ταῦτα; » τί κωλύει κἀμὲ λέγειν « τίς δ' ἂν ἀποκτείνειεν Χαρίδημον »; Ἀλλὰ μὴ τοῦτο σκοπῶμεν· ἀλλ' ἐπειδήπερ ἐστὶ τὸ φεῦγον ψήφισμα οὐκ ἐπ' ἤδη γεγενημένῳ τινὶ πράγματι, ἀλλ' ἐπὶ τοιούτῳ ὃ μηδ' εἰ γενήσεται μηδεὶς οἶδεν, τὸ μὲν τοῦ μέλλοντος ἔσεσθαι κοινὸν ἀμφοῖν ὑπαρχέτω, πρὸς δὲ τοῦθ' ὑποθέντες ἀνθρωπίνως τὰς ἐλπίδας οὕτω σκοπῶμεν, ὡς τάχ' ἄν, εἰ τύχοι, καὶ τούτων κἀκείνων συμβάντων. [59] Λύσασι μὲν τοίνυν τὸ ψήφισμα, ἂν ἄρα συμβῇ τι παθεῖν ἐκείνῳ, εἰσὶν αἱ κατὰ τοὺς νόμους

NC. 1. αποκτεινυναι S. — 2. ἀποκτεῖναι écarté avec Blass. — 4. οιχεῖ, l'ει sur grattage, le circonflexe du reviseur, S. — 11. ἀποκτείνειεν Westermann. ἀποκτεῖναι mss. — 17. οὑτωσὶ vulg. — 19-1. Dans S il y avait d'abord, ce semble, εἰσιεναι κατὰ.... τιμωριαν.

4. Πόλιν, une cité, une communauté de citoyens gouvernée par des lois, et non par le bon plaisir d'un monarque. C'est ainsi que πολιτεία équivaut à δημοκρατία. Voy. les notes sur *Rhod.*, § 20, et *Phil.*, II, § 25. Le § 138 de notre discours (Dobree l'a fait remarquer) est le meilleur commentaire du présent passage. Il en résulte que εἰς πόλιν ne doit pas être pris ici pour εἰς Ἀθήνας, explication de Westermann, qui ne s'accorde guère avec l'indéfini που.

10. Ὑπολαμβάνει, objecte. Voy. la note sur *Androt.*, § 10.

10-11. Ποῦ δὲ γένοιτ' ἂν ταῦτα, et comment cela arriverait-il ?

13. Τὸ φεῦγον ψήφισμα, le décret poursuivi en justice. Cf. *Cour.*, § 56 : Ἃ μὲν διώκει τοῦ ψηφίσματος.

15-16. Τὸ μὲν τοῦ μέλλοντος ἔσεσθαι κοινὸν ἀμφοῖν ὑπαρχέτω, pour ce qui est de l'avenir, mettons qu'il se prête également aux hypothèses de l'accusateur et de l'accusé.

16. Πρὸς δὲ τοῦθ' ὑποθέντες ἀνθρωπίνως τὰς ἐλπίδας, et formant en conséquence (c.-à-d. conformément à cette incertitude) nos prévisions comme il convient à des êtres d'une intelligence bornée.

17. Οὕτω est l'antécédent de ὡς.

18-19. Ἂν.... παθεῖν ἐκείνῳ, s'il arrive que Charidème soit tué. C'est l'hypothèse d'Aristocrate.

ὑπὲρ αὐτοῦ τιμωρίαι· ἐῶσι δὲ, ἂν ἄρ' ἐκεῖνος ζῶν ἀδικῇ
639 τινα, ἀνῄρηται τοῖς ὑβριζομένοις ἡ μετὰ τῶν νόμων δίκη. Ὥστε πανταχῇ καὶ ἐναντίον ἐστὶ τοῖς νόμοις τὸ ψήφισμα καὶ λῦσαι συμφέρει.

[60] Λέγε τὸν μετὰ ταῦτα νόμον.

ΝΟΜΟΣ.

« Καὶ ἐὰν φέροντα ἢ ἄγοντα βίᾳ ἀδίκως εὐθὺς ἀμυνόμενος κτείνῃ, νηποινεὶ τεθνάναι. »

Ἄλλα ταῦτ' ἐφ' οἷς ἔξεστι κτεῖναι. Ἐὰν ἄγοντα ἢ φέροντα βίᾳ ἀδίκως εὐθὺς ἀμυνόμενος κτείνῃ, νηποινεὶ τεθνάναι κελεύει. Θεάσασθε πρὸς Διὸς ὡς εὖ· τῷ μὲν, ὑπειπὼν, ἐφ' οἷς ἐξεῖναι κτείνειν, προσγράψαι τὸ « εὐθὺς » ἀφεῖλε τὸν τοῦ βουλεύσασθαί τι κακὸν χρόνον· τῷ δὲ « ἀμυνόμενος » γράψαι δηλοῖ τῷ πάσχοντι διδοὺς τὴν ἐξουσίαν, οὐκ ἄλλῳ τινί. Ὁ μὲν δὴ νόμος εὐθὺς ἀμυνομένῳ δέδωκεν ἀποκτιννύναι, ὁ δ' οὐδὲν εἴρηκεν ἀλλ' ἁπλῶς, « ἐάν τις ἀποκτείνῃ », [κἂν δικαίως,] κἂν ὡς οἱ νόμοι διδόασιν. [61] Ἀλλὰ νὴ Δία συκοφαντοῦμεν τὸ πρᾶγμα· τίνα γὰρ οἴσει ἢ ἄξει βίᾳ ἀδίκως Χαρίδημος; Πάντας ἀνθρώπους. Ἴστε γὰρ δήπου τοῦθ', ὅτι πάντες οἱ στράτευμ' ἔχοντες, ὧν ἂν οἴωνται κρείττους ἔσεσθαι,

NC. 3. ἐστιν S. — 11. κελεύει est écarté par Dobree et Cobet. — 15. νόμοσ S seul. νόμος διὰ ταῦτα vulg. — 16. αποκτεινυναι S. — 17. κἂν δικαίως, omis par S, F, Y, est à sa place au § 76. — 21. στρατεύματ' vulg. — ἔχοντες οὗτοι A.

1-2. Ἂν.... ζῶν ἀδικῇ τινα. C'est l'hypothèse de l'accusateur. Ζῶν est ajouté pour faire antithèse à παθεῖν τι.

11. Τεθνάναι. Le verbe θνήσκειν sert en quelque sorte de passif à ἀποκτείνειν, comme κεῖσθαι à τιθέναι. Le législateur ordonne que cet homicide reste impuni, νηποινεὶ τεθνάναι κελεύει.

11-12. Τῷ porte sur προσγράψαι. — Ὑπειπών, ayant dit d'abord. Cf. *Cour.*, § 60 : Τοσοῦτον ὑπειπών. Aristophane, *Guêpes*, 55 : Ὀλίγ' ἄττ' ὑπειπὼν πρῶτον. Thucydide, I, xxxv, 5 : Ὥσπερ ἐν ἀρχῇ ὑπείπομεν. — Ἐφ' οἷς ἐξεῖναι. Cf. § 53, avec la note.

14. Δηλοῖ.... διδούς, il fait voir qu'il accorde. Hellénisme.

16. Οὐδὲν.... ἀλλ(ά), rien que. Cf. Sophocle, *Œd. R.*, 1333 : Ἔπαισε δ' αὐτόχειρ νιν οὔτις ἀλλ' ἐγὼ τλάμων.

ἄγουσι καὶ φέρουσι χρήματ' αἰτοῦντες. Εἶτ' οὐ δεινόν, ὦ γῆ καὶ θεοί, καὶ φανερῶς παράνομον, οὐ μόνον παρὰ τὸν γεγραμμένον νόμον, ἀλλὰ καὶ παρὰ τὸν κοινὸν ἁπάντων ἀνθρώπων, τὸν ἄγοντ' ἢ φέροντα βίᾳ τἄμ' ἐν πολεμίου μοίρᾳ μὴ ἐξεῖναι ἐμοὶ ἀμύνεσθαι, εἴ γε μηδὲ τοῦτον τὸν τρόπον ἐξέσται Χαρίδημον ἀποκτεῖναι, ἀλλ', ἐὰν ἀδικῶν ἄγῃ καὶ φέρῃ βίᾳ τά τινος ληζόμενος, ἀγώγιμος ὁ κτείνας ἔσται, τοῦ νόμου διδόντος, ἐὰν ἐπὶ τούτοις, ἀθῷον εἶναι;

[62] Λέγε τὸν μετὰ ταῦτα νόμον.

ΝΟΜΟΣ. 640

« Ὃς ἂν ἄρχων ἢ ἰδιώτης αἴτιος ᾖ τὸν θεσμὸν συγχυθῆναι τόνδε, ἢ μεταποιήσῃ αὐτόν, ἄτιμον εἶναι καὶ παῖδας [ἀτίμους] καὶ τὰ ἐκείνου. »

Ἠκούσατε μὲν τοῦ νόμου λέγοντος ἄντικρυς, ὦ ἄνδρες Ἀθηναῖοι, « ὃς ἂν ἄρχων ἢ ἰδιώτης αἴτιος ᾖ τὸν θεσμὸν συγχυθῆναι τόνδε, ἢ μεταποιήσῃ αὐτόν, ἄτιμος ἔστω καὶ οἱ παῖδες καὶ τὰ ἐκείνου ». Ἆρ' οὖν μικρὰν ἢ φαύλην πρόνοιαν ἔχειν ὑμῖν ὁ θεὶς τὸν νόμον δοκεῖ, ὅπως κύριος ἔσται καὶ μήτε συγχυθήσεται μήτ' αὖ μεταποιηθήσεται; Ἀλλ' Ἀριστοκράτης οὑτοσὶ μικρὰ φροντίσας αὐτοῦ μετα-

NC. 5. μοι A. μ' Blass. — 13. ἀτίμους est écarté par Taylor, G. H. Schæfer et Dindorf. — 14. μὲν manque dans A. — 15-16. Cobet demande αἴτιος ᾖ τοῦ τὸν θεσμὸν συγχυθῆναι.

1. Ἄγουσι καὶ φέρουσι χρήματ' αἰτοῦντες, ils pillent sous couleur de demander des contributions. Les procédés des conducteurs de troupes mercenaires sont spirituellement exposés dans *Cherson.*, 24-26; l'orateur s'y sert aussi du terme προσαιτεῖ.

4-5. Ἐν πολεμίου μοίρᾳ, comme ἐν ἐχθροῦ μέρει, § 56. — Ἐμοὶ ἀμύνεσθαι. Hiatus.

8. Τοῦ νόμου διδόντος, tandis que la loi accorde. — Ἐὰν ἐπὶ τούτοις : sousent. κτείνῃ.

11. Τὸν θεσμόν, cette législation. Cette clause se rapporte évidemment, non à un des articles énumérés plus haut, mais à l'ensemble des lois sur l'homicide. Θεσμός était un vieux mot dont se servait Dracon; plus tard νόμος devint le terme usuel. De là vient sans doute l'usage de parler des θεσμοί de Dracon et des νόμοι de Solon, distinction faite par Andocide (*Mystères*, § 81), mais qui n'a rien de rigoureux. — Συγχυθῆναι, être infirmée, violée. Cf. Euripide, *Suppl.*, 311 : Νόμιμά τε πάσης συγχέοντας Ἑλλάδος.

13. Καὶ τὰ ἐκείνου. Voy. la note sur χρήματα ἐπίτιμα, § 45.

ποιεῖ καὶ συγχεῖ. Τί γὰρ ἄλλ' ἐστὶν τὸ μεταποιεῖν ἢ ὅταν ἔξω τῶν τεταγμένων δικαστηρίων καὶ ὅρων, ὧν εἴργεσθαι δεῖ, διδῷ τις τὰς τιμωρίας, καὶ τὸ λόγου τυχεῖν ἀναιρῶν ἐκδότους ποιῇ; τί δ' ἄλλο τὸ συγχεῖν ἢ ὅταν ἐξῆς οὑτωσὶ πάντα τἀναντία τῶν ἐν τοῖς νόμοις τις γεγραμμένων γράφῃ;

[63] Οὐ τοίνυν τούτους μόνον τοὺς νόμους, ὦ ἄνδρες Ἀθηναῖοι, παραβέβηκεν, ἀλλὰ καὶ ἄλλους πολλοὺς οὓς οὐ παραγεγράμμεθα διὰ τὸ πλῆθος. Ἀλλ' ἐν κεφαλαίῳ λέγω· ὁπόσοι νόμοι περὶ τῶν φονικῶν δικαστηρίων εἰσὶν, καλεῖσθαι λέγοντες ἢ μαρτυρεῖν ἢ διόμνυσθαι τοὺς ἀγωνιζομένους ἢ ἄλλ' ὁτιοῦν προστάττοντες, πάντας ὑπερβέβηκε τούτους καὶ πᾶσιν ἐναντίον εἴρηκε τὸ ψήφισμα τουτί. Οὐ γὰρ οὐ κλῆσις, οὐ κρίσις, οὐ μαρτυρία συνειδότος, οὐ διωμοσία, ἀλλ' ἀπ' αἰτίας εὐθὺς ἡ τιμωρία γέγραπται, καὶ ταῦθ' ἣν ἀπαγορεύουσιν οἱ νόμοι, τί ἂν ἄλλο τις εἴποι; [64] Καίτοι ταῦτα πάντ' ἐπὶ πέντε δικαστηρίοις γίγνεται προστεταγμένα τοῖς νόμοις.
641 Νὴ Δί', εἴποι τις ἄν, ἀλλὰ ταῦτα μὲν οὐδενός ἐστ' ἄξια οὐδὲ δικαίως εὑρημένα, ἃ δ' ἔγραψεν

NC. 2-3. ὧν εἴργεσθαι δεῖ est écarté par Dobree. — 5. Cobet supprime le mot τις qu'il déclare mal placé. On peut être d'un autre avis. — 14. οὐ κρίσις. Ces mots, écartés par Reiske et la plupart des éditeurs, se lisent dans tous les manuscrits et dans les Λέξεις de la Bibliothèque de Patmos, publiées par Sakkélion dans *Bull. de corr. Hell.*, 1877, p. 137. — 15. καὶ ταῦθ' Blass. καὶ αὕτη mss.

2. Τῶν τεταγμένων δικαστηρίων. Ce point sera développé dans les paragraphes suivants.

2-3. Ὅρων ὧν εἴργεσθαι δεῖ. Cf. § 16.

10-11. Καλεῖσθαι, ou προσκαλεῖσθαι, se dit de l'accusateur qui cite l'accusé. Μαρτυρεῖν se dit généralement des témoins; Weber pense que ce verbe veut dire ici « produire des témoins. » Διόμνυσθαι désigne le serment prêté par les deux parties (οἱ ἀγωνιζόμενοι). On cite Lysias, *Théomneste*, I, 11 : Ὁ μὲν γὰρ διώκων ὡς ἔκτεινε διόμνυται, ὁ δὲ φεύγων ὡς οὐκ ἔκτεινεν.

14. Οὐ κρίσις. Un point aussi essentiel ne pouvait être omis, quand on reproche à Aristocrate de passer sans intermédiaire de l'accusation au châtiment. Je conserve donc, avec Weber, ces deux mots qui ont disparu des derniers textes. Les convenances de l'oreille ont dicté à l'orateur un ordre des mots qui ne répond pas à l'ordre des choses. — Μαρτυρία συνειδότος. Cf. *Contre Stéphanos*, II, § 6 : Ἃ ἂν εἰδῇ τις καὶ οἷς ἂν παραγένηται πραττομένοις, ταῦτα μαρτυρεῖν κελεύουσιν (οἱ νόμοι).... ἀκοὴν δ' οὐκ ἐῶσι ζῶντος μαρτυρεῖν.

16. Καίτοι. Cette conjonction sert ici à insister sur un nouveau point plutôt qu'à faire une objection. Cf. Platon, *Gorg.*, p. 452, E : Τὸ πείθειν οἷόν τ' εἶναι τοῖς λόγοις.... Καίτοι ἐν ταύτῃ τῇ δυνάμει δοῦλον μὲν ἕξεις τὸν ἰατρόν....

οὗτος, δίκαια καὶ καλά· ἀλλὰ τοὐναντίον τούτου μὲν τοῦ ψηφίσματος οὐκ οἶδ' εἴ τι δεινότερον γέγονεν πώποτ' ἐν ὑμῖν, τούτων δὲ τῶν πάντων ὁπόσ' ἐστὶν δικαστήρι' ἐν ἀνθρώποις οὐδὲν οὔτε σεμνότερον οὔτε δικαιότερον φανήσεται. Βούλομαι δ' εἰπεῖν διὰ βραχέων ἃ καὶ ζῆλόν τινα καὶ τιμὴν φέρει τῇ πόλει ῥηθέντα καὶ ἡδίους ἔσεσθ' ἀκούσαντες. Ἄρξομαι δ' ἐντεῦθεν ὅθεν μάλιστα μαθήσεσθε, ἐπὶ τὴν δωρειὰν ἐπανελθὼν ἣ τῷ Χαριδήμῳ δέδοται.

[65] Ἡμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, Χαρίδημον ἐποιησάμεθα πολίτην, καὶ διὰ τῆς δωρειᾶς ταύτης μετεδώκαμεν αὐτῷ καὶ ἱερῶν καὶ ὁσίων καὶ νομίμων καὶ πάντων ὅσων περ αὐτοῖς μέτεστιν ἡμῖν. Πολλὰ μὲν δὴ παρ' ἡμῖν ἐστι τοιαῦθ' οἷ' οὐχ ἑτέρωθι, ἓν δ' οὖν ἰδιώτατον πάντων καὶ σεμνότατον, τὸ ἐν Ἀρείῳ πάγῳ δικαστήριον, ὑπὲρ οὗ τοσαῦτ' ἔστιν εἰπεῖν καλὰ παραδεδομένα καὶ μυθώδη, καὶ ὧν αὐτοὶ μάρτυρές ἐσμεν, ὅσα περὶ οὐδενὸς ἄλλου δικαστηρίου· ὧν ὡσπερεὶ δείγματος εἵνεχ' ἄξιόν ἐστιν ἓν ἢ δύ' ἀκοῦσαι. [66] Τοῦτο μὲν τοίνυν τὰ παλαιά, ὡς ἡμῖν ἀκούειν παραδέδοται· ἐν μόνῳ τούτῳ τῷ δικαστηρίῳ δίκας φόνου θεοὶ καὶ δοῦναι καὶ λαβεῖν ἠξίωσαν καὶ δικασταὶ γενέσθαι δι-

NC. 1. καλά· ἀλλὰ par correction du reviseur, καλὰ ἄλλα (ce dernier mot est ajouté après coup à la fin de la ligne) S[1]. — 1-2. μὲν ψήφισμα A. — 6. ηδείουσ S. — 8. δωρεὰν mss, ici et ailleurs. — 13. εστιν S. — 14. ἰδιαίτατον, αι sur grattage, S. — 17. Blass supprime περί. — 18. ἕνεκα mss.

1. Τούτου fait corps avec τοῦ ψηφίσματος, et n'équivaut pas à τοῦ Ἀριστοκράτους.

3. Τούτων δέ : sous-ent. τῶν δικαστηρίων. Il faut faire une petite pause après ces mots, qui dépendent des comparatifs σεμνότερον et δικαιότερον, tandis que τῶν πάντων (« parmi tous ») dépend de οὐδέν.

6-7. Ἡδίους ἔσεσθε ἀκούσαντες, vous aurez plaisir à l'entendre. Au positif, il faudrait dire ἡδέα ὑμῖν ἔσται ἀκούειν ou ἡδέως ἀκούσεσθε. Le comparatif admet la construction personnelle. On rapproche ἀκούοντες αὐτῶν βελτίους ἔσεσθε, *Nécre*, § 89.

12. Καὶ ἱερῶν καὶ ὁσίων. Ces mots disent tout, le reste est ajouté par accumulation oratoire.

14. Ἓν δ' οὖν, mais une chose assurément. Cf. Krüger, *Gramm. gr.*, 69, 52, 2.

19. Τοῦτο μὲν.... τὰ παλαιά, et d'abord voici les faits anciens. Il ne faut pas prendre τὰ παλαιά adverbialement : car cette phrase est résumée plus bas par καὶ τὰ μὲν δὴ παλαιὰ ταῦτα. [G. H. Schæfer.]

ενεχθεῖσιν ἀλλήλοις, ὡς λόγος λαβεῖν μὲν Ποσειδῶν' ὑπὲρ Ἁλιρροθίου τοῦ υἱοῦ παρ' Ἄρεως, δικάσαι δ' Εὐμενίσιν καὶ Ὀρέστῃ τοὺς δώδεκα θεούς. Καὶ τὰ μὲν δὴ παλαιὰ ταῦτα· τὰ δ' ὕστερον, τοῦτο μόνον τὸ δικαστήριον οὐχὶ
642 τύραννος, οὐχ ὀλιγαρχία, οὐ δημοκρατία τὰς φονικὰς δίκας ἀφελέσθαι τετόλμηκεν, ἀλλὰ πάντες ἀσθενέστερον ἂν τὸ δίκαιον εὑρεῖν ἡγοῦνται περὶ τούτων αὐτοὶ τοῦ παρὰ τούτοις εὑρημένου δικαίου. Πρὸς δὲ τούτοις τοιούτοις οὖσιν, ἐνταυθὶ μόνον οὐδεὶς πώποτ' οὔτε φεύγων ἁλοὺς οὔτε διώκων ἡττηθεὶς ἐξήλεγξεν ὡς ἀδίκως ἐδικάσθη τὰ κριθέντα.
[67] Ταύτην τοίνυν τὴν φυλακὴν καὶ τὰς ἐν ταύτῃ νομίμους τιμωρίας παραβὰς ὁ γράφων τὸ ψήφισμα τοδὶ ζῶντι μὲν ἐξουσίαν γέγραφεν τῷ Χαριδήμῳ ποιεῖν ὅ τι ἂν βούληται, παθόντος δέ τι τοῖς οἰκείοις συκοφαντίαν δέδωκεν. Σκέψασθε γὰρ οὑτωσί. Ἴστε δήπου τοῦθ' ἅπαντες, ὅτι ἐν Ἀρείῳ πάγῳ, οὗ δίδωσιν ὁ νόμος καὶ κελεύει τοῦ φόνου δικάζεσθαι, πρῶτον μὲν διομεῖται κατ' ἐξωλείας αὐτοῦ καὶ γένους καὶ οἰκίας ὅ τιν' αἰτιώμενος εἰργάσθαι τι τοιοῦτον, εἶτ'

NC. 1. ποσειδῶν' Blass. ποσειδῶν S, vulg. ποσειδῶ A. — 2. αλλιροθιου S, A. — δ' ευμενισιν S. — 3. τοὺς δώδεκα θεούς Hermogène, III, p. 313 W. οἱ δώδεκα θεοί mss de Démosthène. — 9. ενταυθοι S et vulg. Cf. § 51.

1. Ἀλλήλοις est gouverné par δικασταὶ γενέσθαι. — Λαβεῖν μὲν (sous-entendez δίκας) Ποσειδῶν (α) ὑπὲρ Ἁλιρροθίου.... παρ' Ἄρεως. C'était là l'ancienne légende attique sur la première origine du tribunal de la colline d'Arès. On la lit dans Euripide, *Électre*, 1258 sqq. Eschyle s'en écarte pour le besoin de son drame.

3. Τοὺς δώδεκα θεούς. Euripide, *Or.*, 1650, suit la même tradition. Eschyle avait ses raisons de faire établir dès l'abord, par la déesse d'Athènes, le conseil des Aréopagites.

4-5. Οὐχὶ τύραννος, οὐχ ὀλιγαρχία, οὐ δημοκρατία : c.-à-d. ni Pisistrate et ses fils, ni les Quatre-cents et les Trente, ni Éphialte et Périclès. On sait, en effet, que ces derniers, tout en réduisant les prérogatives de l'Aréopage, lui laissèrent le jugement des meurtriers.

6-7. Τὸ δίκαιον εὑρεῖν : locution consacrée. Cf. Dinarque, *Contre Dém.*, § 6 : Ἡ τῶν ἐκ προνοίας φόνων ἀξιόπιστος οὖσα βουλὴ τὸ δίκαιον καὶ τἀληθὲς εὑρεῖν.

9. Οὐδεὶς πώποτε.... Lycurgue, *Léocrate*, § 12, fait le même éloge hyperbolique de l'Aréopage : Καὶ παρ' αὐτοῖς ὁμολογεῖσθαι τοῖς ἁλισκομένοις δικαίαν ποιεῖσθαι τὴν κρίσιν.

13. Ἐξουσίαν γέγραφεν τῷ Χαριδήμῳ : en mettant hors la loi quiconque attenterait à sa vie pour quelque motif que ce fût.

14. Συκοφαντίαν, *calumniarum ansas*. [H. Wolf.]

17. Διομεῖται κατ' ἐξωλείας αὐτοῦ καὶ γένους καὶ οἰκίας. Telle était la formule de ce serment solennel. Cf. Antiphon, *Hérode*, § 11.

οὐδὲ τὸν τυχόντα τρόπον τοῦτο ποιήσει, [68] ἀλλ' ὃν οὐδεὶς ὄμνυσιν ὑπὲρ οὐδενὸς ἄλλου, στὰς ἐπὶ τῶν τομίων κάπρου καὶ κριοῦ καὶ ταύρου, καὶ τούτων ἐσφαγμένων ὑφ' ὧν δεῖ καὶ ἐν αἷς ἡμέραις καθήκει, ὥστε καὶ ἐκ τοῦ χρόνου καὶ ἐκ τῶν μεταχειριζομένων ἅπαν, ὅσον ἔσθ' ὅσιον, πεπρᾶχθαι. Καὶ μετὰ ταῦθ' ὁ τὸν τοιοῦτον ὅρκον ὀμωμοκὼς οὔπω πεπίστευται, ἀλλ' ἐὰν ἐξελεγχθῇ μὴ λέγων ἀληθῆ, τὴν ἐπιορκίαν ἀπενεγκάμενος τοῖς αὑτοῦ παισὶ καὶ τῷ γένει πλέον οὐδ' ὁτιοῦν ἕξει. [69] Ἂν δὲ δόξῃ τὰ δίκαι' ἐγκαλεῖν καὶ ἕλῃ τὸν δεδρακότα τοῦ φόνου, οὐδ' οὕτω κύριος γίγνεται τοῦ ἁλόντος, ἀλλ' ἐκείνου μὲν οἱ νόμοι κύριοι κολάσαι καὶ οἷς προστέτακται, τῷ δ' ἐπιδεῖν διδόντα δίκην ἔξεστιν, 643
ἣν ἔταξεν ὁ νόμος, τὸν ἁλόντα, πέρα δ' οὐδὲν τούτου. Καὶ τῷ μὲν διώκοντι ὑπάρχει ταῦτα, τῷ δὲ φεύγοντι τὰ μὲν τῆς διωμοσίας ταὐτά, τὸν πρότερον δ' ἔξεστιν εἰπόντα λόγον μεταστῆναι, καὶ οὔθ' ὁ διώκων οὔθ' οἱ δικάζοντες οὔτ' ἄλλος ἀνθρώπων οὐδεὶς κύριος κωλῦσαι. [70] Τί δήποτ', ὦ ἄνδρες Ἀθηναῖοι, τοῦθ' οὕτως ἔχει; ὅτι οἱ

NC. 1. τὸν τυχόντα τινα ορχον τοῦτο ποιήσει S, A, Y. τοῦτον vulg. Mais on ne dit pas ὅρκον ποιεῖν, et il ne s'agit plus de la formule du serment, mais de la manière dont il était prêté. J'ai donc écrit τὸν τυχόντα τρόπον. Le τοῦτο des meilleurs manuscrits est un indice de la vraie leçon. — 12. ἔξεστι S. — 14. [ὑπάρχει] Blass. — 18. οἱ, après οτι, ajouté dans S au-dessus de la ligne par l'ancien reviseur, ce semble.

1. Ὃν : sous-ent. τρόπον.

2. Στὰς ἐπὶ τῶν τομίων. On est tenté de traduire « debout sur la chair découpée. » Cependant on lit dans Antiphon, *l. c.*, § 12, ἁπτομένους τῶν σφαγίων, ce qui semble indiquer que l'accusateur se tenait près des victimes immolées et les touchait de la main. — Κάπρου καὶ κριοῦ καὶ ταύρου : comme les *suovetaurilia* des Romains. Cf. Homère, *Od.*, XI, 131 : Ἀρνειὸν ταῦρόν τε συῶν τ' ἐπιβήτορα κάπρον, sacrifice qu'Ulysse doit offrir à Poseidon.

4. Ἐκ τοῦ χρόνου, du côté du temps, par rapport au temps.

7-8. Τὴν ἐπιορκίαν.... ἕξει. Il en résulte que la loi s'en remettait aux dieux de la punition de ce parjure.

10. Τοῦ φόνου : génitif gouverné par ἕλῃ.

11. Ἐκείνου .... κύριοι κολάσαι : construction expliquée à propos de *Phil.* II, 3.

12. Οἷς προστέτακται : autre sujet de κύριοί (εἰσιν), coordonné à οἱ νόμοι.

12-13. Ἐπιδεῖν διδόντα δίκην..... τὸν ἁλόντα, assister au châtiment du condamné. Les mots ἣν ἔταξεν ὁ νόμος ont leur portée : l'orateur insiste sur l'idée que tout est réglé par la loi, rien n'est laissé à l'arbitraire. — Τούτου dépend de πέρα.

15-16. Τὸν πρότερον.... λόγον. Dans les causes de ce genre, l'accusateur et l'accusé prenaient, l'un et l'autre, deux fois la parole. On le voit par les *Tétralogies* d'Antiphon.

ταῦτ' ἐξ ἀρχῆς τὰ νόμιμα διαθέντες, οἵτινές ποτ' ἦσαν, εἴθ' ἥρωες εἴτε θεοί, οὐκ ἐπέθεντο τοῖς ἀτυχήσασιν, ἀλλ' ἀνθρωπίνως ἐπεκούφισαν, εἰς ὅσον εἶχε καλῶς, τὰς συμφοράς. Ταῦτα μέντοι πάνθ' οὕτω καλῶς καὶ νομίμως ἔχοντα ὁ γράφων τὸ ψήφισμα τουτὶ παραβεβηκὼς φαίνεται· ἓν γὰρ οὐδ' ὁτιοῦν ἔνι τούτων ἐν τῷ ψηφίσματι τῷ τούτου.

Καὶ πρῶτον μὲν παρ' ἑνὸς τούτου δικαστηρίου καὶ [παρὰ] τοὺς γεγραμμένους νόμους καὶ τἄγραφα νόμιμα τὸ ψήφισμ' εἴρηται. [71] Δεύτερον δ' ἕτερον δικαστήριον τὸ τῶν ἀκουσίων φόνων φανήσεται συγχέων, τὸ ἐπὶ Παλλαδίῳ, καὶ τοὺς παρὰ τούτῳ νόμους παραβαίνων. Καὶ γὰρ ἐνταῦθ' ὑπόκειται πρῶτον μὲν διωμοσία, δεύτερον δὲ λόγος, τρίτον δὲ γνῶσις τοῦ δικαστηρίου, ὧν οὐδέν ἐστιν ἐν τῷ τούτου ψηφίσματι. Ἂν δ' ἁλῷ καὶ δοχῇ τοὔργον εἰργάσθαι, οὔθ' ὁ διώκων τοῦ δεδρακότος κύριος, οὔτ' ἄλλος οὐδεὶς πλὴν ὁ νόμος. [72] Τί οὖν ὁ νόμος κελεύει; τὸν ἁλόντ' ἐπ' ἀκουσίῳ φόνῳ ἔν τισιν εἰρημένοις χρόνοις ἀπελθεῖν τακτὴν ὁδὸν καὶ
644 φεύγειν, ἕως ἂν αἰδέσηταί τινα τῶν ἐν γένει τοῦ πεπονθότος.

NC. 2. ἀτυχήμασιν mss. J'ai écrit ἀτυχήσασιν, à cause du membre de phrase suivant. Herwerden avait proposé τοῖς ἀδικήσασιν. — 8. παρ ενοσ τούτου δικαστηρίου S. παρ' ἑνὸς τούτου τοῦ δικαστηρίου A. παρ' ἓν τοῦτο τὸ δικαστήριον vulg. — παρά a été d'abord écarté par Reiske. — 9. νόμους, après γεγραμμένους, est omis dans S. — και ἄγραφα S. — 19 αἰδέσηταί τινα mss. et Harpocration. αἰδέσηταί τις marge de Lambin. τις αὐτὸν Sauppe. ἀρέσηταί τινα Weidner. Ces conjectures sont insuffisantes, il faudrait quelque chose comme γνῶμα τῶν ἐν γένει. Cf. Eschyle, *Ag.* 1352 : Τοιούτου γνώματος κοινωνὸς ὤν. — πεπονθότοσ, θό ajouté par l'ancien reviseur, S.

2. Ἥρωες est plus magnifique que ἄνθρωποι. Les grands hommes de la haute antiquité jouissaient d'honneurs héroïques.

2-3. Οὐκ ἐπέθεντο, ne s'acharnaient pas. Le verbe, étant au moyen, n'a pas le sens d'ajouter. — Τοῖς ἀτυχήσασιν. Voy. § 39 avec la note. Ce datif porte aussi sur ἐπεκούφισαν τὰς συμφοράς.

8. Παρ' ἑνὸς τούτου δικαστηρίου.... τοὺς.... νόμους équivaut à ἓν τοῦτό ἐστιν δικαστήριον οὗ παρὰ τοὺς νόμους. Ainsi s'explique l'absence de l'article après τούτου.

9. Ἄγραφα νόμιμα. Entendez les traditions religieuses de l'Aréopage qui n'avaient pas été comprises dans la législation écrite. Il ne s'agit pas ici des lois inscrites dans la conscience humaine.

10-11. Τὸ τῶν ἀκουσίων φόνων. Cela implique que l'Aréopage connaissait des cas d'homicide volontaire. L'orateur a négligé de le dire expressément.

18. Εἰρημένοις.... τακτήν : deux participes synonymes, qui signifient ce qui est ordonné, défini, par la coutume et la loi.

19. Φεύγειν, vivre en exil. — Αἰδέσηται. C'est le terme consacré pour dési-

Τηνικαῦτα δ' ἥκειν δέδωκεν ἔστιν ὃν τρόπον, οὐχ ὃν ἂν τύχῃ, ἀλλὰ καὶ θῦσαι καὶ καθαρθῆναι καὶ ἄλλ' ἄττα διήρηκεν ἃ χρὴ ποιῆσαι, ὀρθῶς, ὦ ἄνδρες Ἀθηναῖοι, πάντα ταῦτα λέγων ὁ νόμος. [73] Καὶ γὰρ τὸ τῶν ἀκουσίων ἐλάττω τὴν τιμωρίαν ἢ τῶν ἑκουσίων τάξαι δίκαιον, καὶ τὸ, παρασχόντ' ἀσφάλειαν ἀπελθεῖν, οὕτω προστάττειν φεύγειν ὀρθῶς ἐστιν ἔχον, καὶ τὸ τὸν κατιόνθ' ὁσιοῦν καὶ καθαίρεσθαι νομίμοις τισί, καὶ τὸ τοὺς νόμους κυρίους ἁπάντων εἶναι, καὶ πάντα ταῦτ' ἔχει καλῶς. Ταῦτα τοίνυν ἅπαντα δικαίως οὕτω διορισθένθ' ὑπὸ τῶν ἐξ ἀρχῆς νομοθετησάντων παρέβη γράφων τὸ ψήφισμ' οὑτοσί.

Ταῦτα μὲν δὴ δύο τηλικαῦτα καὶ τοιαῦτα δικαστήρια καὶ νόμιμ' ἐκ παντὸς τοῦ χρόνου παραδεδομένα οὕτως ἀναιδῶς ὑπερπεπήδηκεν· [74] τρίτον δ' ἕτερον πρὸς τούτοις δικαστήριον, ὃ πάντων ἁγιώτατα τούτων ἔχει καὶ φρικωδέστατα, ἄν τις ὁμολογῇ μὲν κτεῖναι, ἐννόμως δὲ φῇ δεδρακέναι. Τοῦτο δ' ἐστὶν τὸ ἐπὶ Δελφινίῳ. Δοκοῦσι γάρ μοι, ὦ ἄνδρες δικασταί, ζητῆσαι τοῦτο πρῶτον ἁπάντων οἱ περὶ τούτων ἐν ἀρχῇ τὰ δίκαι' ὁρίσαντες, πότερ' οὐδένα χρὴ

NC. 3. διήρηκεν Dobree. διειρτηκεν mss. Cf. διεῖλεν, § 54. — ορθῶσ, au-dessus de ουθ' ωσ, S. — 5-6. και το, fait par grattage de και τοι, S. — 6. ἀσφάλιαν S[1]. — 18. ἄνδρες Ἀθηναῖοι vulg.

gner le pardon accordé à l'homicide. Les Grecs confondaient dans αἰδώς les deux sentiments du respect et de la pitié; les mendiants s'appellent αἰδοῖοι dans l'*Odyssée*, et la pierre impitoyable d'Ixion y est λᾶας ἀναιδής. Mais αἰδέσηταί τινα τῶν ἐν γένει n'est guère admissible. Ceux qui écrivent αἰδέσηταί τις se conforment à l'usage de la langue, d'après lequel αἰδέσασθαι veut dire « pardonner, » non « obtenir le pardon, » sans se conformer à la coutume attique. Car il ne suffisait pas du pardon d'un membre de la famille de la victime, il fallait le consentement unanime de tous les proches parents. Αἰδέσασθαι δὲ, ἂν μὲν πατὴρ ᾖ ἢ ἀδελφὸς ἢ ὑῆς, ἅπαντας, ἢ τὸν κωλύοντα κρατεῖν, dit la loi du *C. I. A.*, I, 61, ainsi que le document dans *Macartatos*, § 57, où les mots ἐὰν δέ, avant αἰδέσασθαι, proviennent de l'erreur du copiste, qui avait d'abord sauté cette clause pour passer à la clause suivante.

1. Ἥκειν équivaut à κατιέναι, rentrer dans le pays. Cf. Eschyle, *Choéph.* 3 : Ἥκω γὰρ ἐς γῆν τήνδε καὶ κατέρχομαι.

6. Οὕτω « ensuite seulement » résume la locution complexe παρασχόντ' ἀσφάλειαν ἀπελθεῖν. Voy. la note sur *Olynth.* II, 7 : Τὴν γὰρ ἑκάστων ἄνοιαν ἀεὶ προσλαμβάνων, οὕτως ηὐξήθη.

9. Καὶ πάντα ταῦτα, tout cela aussi.

13. Ἐκ παντὸς τοῦ χρόνου παραδεδομένα. Euripide dit, avec plus de solennité encore, πατρίους παραδοχὰς ἅς θ' ὁμήλικας χρόνῳ κεκτήμεθα, *Bacch.*, 201.

17. Τὸ ἐπί : prononcez τοὐπί.

φόνον ὅσιον εἶναι νομίζειν ἤ τινά γ' ἔσθ' ὅσιον νομιστέον, λογιζόμενοι δ' ὅτι μητέρ' Ὀρέστης ἀπεκτονὼς ὁμολογῶν θεῶν δικαστῶν τυχὼν ἀποφυγγάνει, νομίσαι δίκαιόν τιν' εἶναι φόνον· οὐ γὰρ ἂν τά γε μὴ δίκαια θεοὺς ψηφίσασθαι. Ὡς δὲ τοῦτ' ἐνόμισαν, γράφουσιν ἤδη καὶ διορίζουσι σαφῶς ἐφ' οἷς ἐξεῖναι ἀποκτιννύναι. [75] Ἀλλ' οὐχ οὗτος οὐδὲν 645 ἀφεῖλεν, ἀλλ' ἁπλῶς, ἐάν τις ἀποκτείνῃ Χαρίδημον, κἂν δικαίως, κἂν ὡς οἱ νόμοι διδόασιν, ἔκδοτον ποιεῖ. Καίτοι πᾶσίν εἰσι πράγμασι καὶ λόγοις δύο προσθῆκαι, ἡ τοῦ δικαίου καὶ ἀδίκου· ἃς ἅμα μὲν τὸ αὐτὸ πρᾶγμ' οὐδὲν ἂν δύναιτο σχεῖν οὐδὲ λόγος οὐδείς (πῶς γὰρ ἂν δίκαι' ἅμα ταὐτὰ καὶ μὴ γένοιτο;) τὴν ἑτέραν δ' ἕκαστον ἔχον δοκιμάζεται, κἂν μὲν τὴν ἄδικον φανῇ, πονηρὸν κρίνεται, ἂν δὲ τὴν δικαίαν, χρηστὸν καὶ καλόν. Σὺ τοίνυν οὐδετέραν προσέθηκας τούτων, « ἄν τις ἀποκτείνῃ » γράφων· ἀλλ' ἀόριστον εἰπὼν αὐτὴν τὴν αἰτίαν, καὶ μετὰ ταῦτ' εὐθὺς προσγράψας ἀγώγιμον εἶναι, τρίτον τουτὶ δικαστήριον καὶ τὰ τούτου νόμιμα παραβεβηκὼς φαίνει.

[76] Τέταρτον τοίνυν ἄλλο πρὸς τούτοις τὸ ἐπὶ Πρυτανείῳ. Τοῦτο δ' ἐστὶν, ἐὰν λίθος ἢ ξύλον ἢ σίδηρος ἤ τι τοιοῦτον ἐμπεσὸν πατάξῃ, καὶ τὸν μὲν βαλόντ' ἀγνοῇ τις, αὐτὸ δ' εἰδῇ καὶ ἔχῃ τὸ τὸν φόνον εἰργασμένον, τούτοις ἐνταῦθα λαγχάνεται. Εἰ τοίνυν τῶν ἀψύχων καὶ μὴ μετε-

NC. 1. φόνον δίκαιον εἶναι Blass. — ἔσεσθ' A. — 2-3. εὐμενῶν θεῶν, Aristide, IX, p. 345 W. — 6. αποκτεινυναι S. — 6. οὐδὲν ἀφεῖλεν m'est suspect. — 11. Je ne voudrais pas supprimer οὐδείς avec Blass. — 12. την δ' ἑτεραν δ' S[1], le premier δ pointé et biffé par le reviseur. — 14. ουδ ἑτέραν S. — 20. ἐστι τί A. Peut-être τούτου δ' ἐστίν ou τούτου τόδ' ἐστίν. — 23. λαγχάνει A, noté en marge par le reviseur de S.

2. Λογιζόμενοι δ' ὅτι μητέρ' Ὀρέστης ἀπεκτονώς. Ce raisonnement est imaginé par Démosthène, comme il l'indique lui-même par les mots δοκοῦσι γάρ μοι. Une tradition rapportée par Pausanias, I, xxviii, 10, et Pollux, viii, 119, faisait remonter plus haut le tribunal du Delphinion : Thésée y aurait été jugé et acquitté après avoir tué ses cousins, les Pallantides rebelles.

6. Ἐφ' οἷς ἐξεῖναι. Cf. § 53, avec la note.

9. Πᾶσίν εἰσι πράγμασι καὶ λόγοις δύο προσθῆκαι, tout ce que l'on fait et tout ce que l'on dit peut recevoir deux attributs, deux qualifications.

13. Τὴν ἄδικον φανῇ : sous-ent. ἔχον.

16. Αὐτήν, seule.

20-23. Τοῦτο δ' ἐστίν. Ces mots ne sauraient avoir le sens de ἐστὶν δὲ τόδε. Il

χόντων τοῦ φρονεῖν οὐδέν ἐσθ' ὅσιον, τοιαύτην ἔχον αἰτίαν, ἐᾶν ἄκριτον, ἤ που τόν γ' ἀδικοῦντα μὲν οὐδὲν, ἐὰν τύχῃ, θήσω δ' ἀδικοῦντα, ἀλλ' ἄνθρωπόν γ' ὄντα καὶ μετειληφότα [τῇ τύχῃ] τῆς αὐτῆς ἡμῖν φύσεως, ἀνόσιον καὶ δεινὸν ἄνευ λόγου καὶ ψήφου ποιεῖν ἔκδοτον ἐπ' αἰτίᾳ τοιαύτῃ.

[77] Ἔτι τοίνυν πέμπτον δικαστήριον ἄλλο θεάσασθ' οἷον ὑπερβέβηκε, τὸ ἐν Φρεαττοῖ. Ἐνταῦθα γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, κελεύει δίκας ὑπέχειν ὁ νόμος, ἐάν τις ἐπ' ἀκουσίῳ φόνῳ πεφευγὼς, μήπω τῶν ἐκβαλόντων αὐτὸν ἠδεσμένων, αἰτίαν ἔχῃ ἑτέρου φόνου ἑκουσίου. Καὶ οὐχ, ὅτι 646
δεῦρ' οὐχ οἷόν τ' ἐλθεῖν αὐτῷ, παρεῖδεν αὐτὸν ὁ ταῦθ' ἕκαστα τάξας, οὐδ', ὅτι καὶ πρότερόν τι τοιοῦτον ἐποίησε, καὶ δὴ τὴν ὁμοίαν ἐποιήσατο πιστὴν αἰτίαν κατ' αὐτοῦ, [78] ἀλλὰ τό τ' εὐσεβὲς εὗρεν ὅπως ἔσται, κἀκεῖνον οὐκ ἀπεστέρησε λόγου καὶ κρίσεως. Τί οὖν ἐποίησεν; ἤγαγε τοὺς δικάσοντας οἷ προσελθεῖν οἷόν τ' ἐκείνῳ, τῆς χώρας ἀποδείξας τόπον τιν' ἐν Φρεαττοῖ καλούμενον, ἐπὶ θαλάττῃ. Εἶθ' ὁ μὲν ἐν πλοίῳ προσπλεύσας λέγει, τῆς γῆς οὐχ

NC. 4. τῇ τύχῃ : mots écartés par Taylor. — 7. ἄλλο, omis dans S seul, se lit dans Harpocration, art. Ἐν Φρεαττοῖ. — 8. φρεαιτου S[1], ici et plus bas. — 10. εκβαλλόντων S[1]. — 11. καὶ ουδιότι (le premier ι en surcharge) S, Y. καὶ ουδ' (χ dans l'interligne) F. On voit que la leçon οὐδ' ὅτι (qui est à sa place un peu plus bas) a été corrigée soit en οὐ διότι, soit en οὐχ ὅτι.

faut donc avouer que, si la leçon est bonne (cf. NC.), il y a ici une certaine négligence, et presque un double emploi : arrivé à la fin de la phrase, l'orateur a l'air d'en avoir oublié le commencement, et il termine par τούτοις ἐνταῦθα λαγχάνεται, « la plainte contre ces objets est reçue (portée) devant ce tribunal. » La locution δίκην λαγχάνειν τινί est fréquente; le passif se lit rarement. On cite *Contre Conon*, § 28 : Πρὸ τοῦ τὴν δίκην ληχθῆναι et Lysias, *Or.* XVII, 8. — Du reste, les objets condamnés subissaient l'exil, c'est-à-dire ils étaient portés en dehors des frontières. Cf. Eschine, *Contre Ctés.*, § 244.

2. Ἐᾶν ἄκριτον. L'orateur s'exprime avec justesse; en effet, la religion ne permettait pas de laisser sans jugement les objets qui avaient causé mort d'homme. Mais, pour que son subtil raisonnement fût juste, il aurait dû dire que la religion ne permettait pas de condamner ces objets sans jugement à l'exil, ὑπερορίζειν ἄκριτον. Il a reculé devant le ridicule d'une pareille assertion. — Ἦ που, à plus forte raison. — Ἐὰν τύχῃ, si tel est son cas, peut-être.

11. Ἑκουσίου. Quelques grammairiens disent à tort φόνου ἀκουσίου.

15. Τό τ' εὐσεβές. Venger le meurtre était un devoir religieux.

ἁπτόμενος, οἱ δ' ἀκροῶνται καὶ δικάζουσιν ἐν τῇ γῇ· κἂν μὲν ἁλῷ, τὴν ἐπὶ τοῖς ἑκουσίοις φόνοις δίκην ἔδωκεν, δικαίως, ἐὰν δ' ἀποφύγῃ, ταύτης μὲν ἀθῷος ἀφίεται, τὴν δ' ἐπὶ τῷ πρότερον φόνῳ φυγὴν ὑπέχει. [79] Τίνος οὖν ποθ' εἵνεκα ταῦθ' οὕτω διεσπούδασται; ἴσον ἡγεῖτ' ἀσέβημ' ὁ ταῦτα διαιρῶν τόν τ' ἀδικοῦντ' ἐᾶν καὶ τὸν ἀναίτιον ἐκδιδόναι πρὸ δίκης. Καίτοι εἰ περὶ τῶν ἀνδροφόνων τῶν ἤδη κεκριμένων τοσαύτη σπουδή, ὅπως λόγου καὶ κρίσεως καὶ πάντων ὁπόσ' ἐστὶ δίκαια τεύξονται περὶ τῶν ὕστερον αἰτιῶν, ἦ που περί γε τοῦ μήθ' ἡλωκότος μήτ' ἐγνωσμένου πότερον δέδρακεν ἢ οὒ καὶ πότερ' ἄκων ἢ ἑκών, πάνδεινον γράφειν ὡς ἐκδοτέον τοῖς ἐγκαλοῦσιν.

[80] Ἔτι τοίνυν ἐστὶν ἕκτη τιμωρία πρὸς ἁπάσαις ταύταις, ἣν ὁμοίως παραβὰς γέγραφεν τὸ ψήφισμ' οὑτοσί. Εἰ πάντα ταῦτά τις ἠγνόηκεν, ἢ καὶ παρεληλύθασιν οἱ χρόνοι ἐν οἷς ἔδει τούτων ἕκαστα ποιεῖν, ἢ δι' ἄλλο τι οὐχὶ
647 βούλεται τούτους τοὺς τρόπους ἐπεξιέναι, τὸν ἀνδροφόνον δ' ὁρᾷ περιιόντα ἐν τοῖς ἱεροῖς καὶ κατὰ τὴν ἀγοράν, ἀπάγειν ἔξεστιν εἰς τὸ δεσμωτήριον, οὐκ οἴκαδ' οὐδ' ὅποι βούλεται,

NC. 4. δίκην ὑπέχει A. Dobree et Cobet veulent ὑπέχει tout court. Mais φυγήν se recommande par le sens et par l'euphonie. — 5. ἕνεκα mss. — 7. On se passerait volontiers des mots πρὸ δίκης. Taylor demandait τὸν ἐναίτιον. — 8. γίγνεται σπουδή, ou σπουδὴ γίνεται vulg. — 9. εστιν S. — 10. περὶ τοῦ γε Blass. — 12. τοῖς ἐγκαλοῦσιν αὐτοῖς πρὸ δίκης vulg. — 18. περιοντα S, ici et ailleurs. Nous conservons l'orthographe moins autorisée, pour plus de clarté.

7-8. Τῶν ἤδη κεκριμένων, reconnus tels par un jugement.

10. Μήθ' ἡλωκότος, n'ayant subi aucune condamnation antérieure. Telle est, du moins, l'interprétation suggérée par l'ensemble de ce passage.

15. Οἱ χρόνοι. On suppose qu'il s'agit de cinq ans, délai habituel de la prescription.

18-19. Ἀπάγειν.... εἰς τὸ δεσμωτήριον, traîner en prison, évidemment en remettant le prévenu aux Onze. On a un exemple de cette ἀπαγωγή tardive dans le discours de Lysias contre Agoratos. L'affaire se plaidait devant les Héliastes, comme une cause criminelle ordinaire, sans les antiques formalités prescrites pour les poursuites d'homicide. Cf. Philippi, *Der Areopag.*, p. 102 sqq., où les points obscurs de cette partie de la législation attique sont discutés. Déjà du temps de la guerre du Péloponnèse le Mitylénéen accusé du meurtre d'Hérode fut traduit devant l'Héliée comme malfaiteur, κακοῦργος (Antiphon, V, § 9). — La procédure indiquée ici par Démosthène comme légale est bien de celles qui éludent la législation de Dracon et sautent par-dessus (ὑπερπεπήδηκεν) les antiques tribunaux.

19. Οὐκ οἴκαδ' οὐδ' ὅποι βούλεται. Cf. § 31.

ὥσπερ σὺ δέδωκας. Κἀνταῦθ' ἀπαχθεὶς οὐδ' ὁτιοῦν, πρὶν ἂν κριθῇ, πείσεται, ἀλλ' ἐὰν μὲν ἁλῷ, θανάτῳ ζημιωθήσεται, ἐὰν δὲ μὴ μεταλάβῃ τὸ πέμπτον μέρος τῶν ψήφων ὁ ἀπαγαγών, χιλίας προσοφλήσει. [81] Ἀλλ' οὐχ οὗτος ἔγραψε ταῦτα, ἀλλὰ τὸν μὲν ἀθῷον αἰτιάσασθαι, τὸν δ' ἄκριτον παραχρῆμ' ἐκδίδοσθαι. Ἐὰν δέ τις ἀνθρώπων ἢ καὶ ὅλη πόλις τοσούτοις νομίμοις ἀναιρουμένοις ὅσοις ἐγὼ διεξελήλυθα, καὶ τοσούτοις δικαστηρίοις καταλυομένοις ὅσοις εἴρηκα, ἃ θεοὶ κατέδειξαν καὶ μετὰ ταῦτ' ἄνθρωποι χρῶνται πάντα τὸν χρόνον, βοηθήσῃ, καὶ τὸν ὑβριζόμενον καὶ παρανομούμενον ἀφέληται, ἔκσπονδον ἔγραψεν εἶναι, καὶ οὐδὲ τούτῳ λόγον οὐδὲ κρίσιν πεποίηκεν, ἀλλὰ καὶ τοῦτον εὐθὺς ἄνευ κρίσεως κολάζει. Πῶς ἂν ἢ δεινότερον γένοιτ' ἢ παρανομώτερον τούτου ψήφισμα;

[82] Ἆρά τις ἡμῖν ἔτι λοιπός ἐστι νόμος; δεῖξον. Οὑτοσί. Λέγε τοῦτον.

ΝΟΜΟΣ.

« Ἐάν τις βιαίῳ θανάτῳ ἀποθάνῃ, ὑπὲρ τούτου τοῖς προσήκουσιν εἶναι τὰς ἀνδροληψίας, ἕως ἂν ἢ δίκας τοῦ

KC. 5. ἔγραψεν S. — αἰτιᾶσθαι Cobet. — 11. ἐξέληται Blass.

4. Χιλίας προσοφλήσει. Cela n'a rien de particulier; dans toutes les causes publiques cette amende était infligée à l'accusateur qui n'obtenait pas la cinquième partie des suffrages.

5. Ἀθῷον, sans s'exposer à payer une amende.

6. Ἐὰν δέ τις.... Le texte correspondant du décret est cité au § 91.

11. Ἔκσπονδον εἶναι équivaut à εἴργεσθαι τῆς ὑμετέρας συμμαχίας, § 139.

12. Λόγον, parole, défense.

15. Οὑτοσί, celle-ci, dis-tu. [Dareste.]

18. Ἀνδροληψίας, otages, évidemment à prendre en dehors de l'Attique, dans le pays où le meurtre aura été commis. Cf. § 84, et *Etym. Magn.*, p. 101, 54 : Ἀνδροληψία· ἐγκλήματος εἶδος. Ἐὰν ἔξω τῆς Ἀττικῆς ἀνὴρ Ἀθηναῖος τελευτήσῃ καὶ μὴ ἐκδιδῶσιν οἱ ἐν ἐκείνῃ τῇ πόλει ὄντες τὸν δοκοῦντα ἐν τῇ αἰτίᾳ εἶναι, ἐφεῖτο ἐκ τοῦ νόμου τρεῖς τῶν ἐκείνης πολιτῶν ἄγειν εἰς Ἀθήνας δίκην ὑφέξοντας τοῦ φόνου· καὶ τοῦτο ἀνδρολήψιον καλεῖται. — Weber pense que nous avons ici un fragment des lois sur les otages. Cependant Démosthène, § 86, semble compter la présente loi parmi les νόμοι φονικοί. Si on demande pourquoi l'orateur n'a pas placé cette loi plus haut, avant la digression sur les tribunaux attiques, quand il examinait les lois sur l'homicide violées par Aristocrate, nous répondons que cette loi diffère des autres par son caractère en quelque sorte international.

19-1. Δίκας τοῦ φόνου ὑπόσχωσιν. Quelle espèce de satisfaction devait don-

φόνου ὑπόσχωσιν ἢ τοὺς ἀποκτείναντας ἐκδῶσιν. Τὴν δὲ ἀνδροληψίαν εἶναι μέχρι τριῶν, πλέον δὲ μή. »

Πολλῶν, ὦ ἄνδρες Ἀθηναῖοι, καλῶς ἐχόντων νόμων οὐκ οἶδ' εἴ τινος ἧττον οὗτος ἔχει καλῶς καὶ δικαίως ὁ
648 νόμος. Σκέψασθε γὰρ ὡς νομίμως καὶ σφόδρ' ἀνθρωπίνως κεῖται. [83] « Ἐάν τις βιαίῳ θανάτῳ ἀποθάνῃ, » φησίν. Πρῶτον μὲν δὴ τοῦτο προσγράψας τὸ « βιαίῳ », σύμβολον πεποίηκεν, ᾧ γιγνώσκομεν ὅτι, ἂν ἀδίκως, λέγει. « Ὑπὲρ τούτου » φησὶ « τοῖς προσήκουσιν εἶναι τὰς ἀνδροληψίας, ἕως ἂν ἢ δίκας τοῦ φόνου ὑπόσχωσιν ἢ τοὺς ἀποκτείναντας ἐκδῶσιν. » Σκοπεῖσθ' ὡς καλῶς. Πρότερον μὲν ὑποσχεῖν δίκας ἀξιοῖ, μετὰ ταῦτα δὲ, ἂν τοῦτο μὴ βούλωνται, προσέταξεν ἐκδοῦναι· ἐὰν δὲ μηδέτερον τούτων ἐθέλωσι, « τὸ ἀνδρολήψιόν » φησιν « εἶναι μέχρι τριῶν, πλέον δὲ μή. » Παρὰ τοίνυν ὅλον τοῦτον τὸν νόμον εἴρηται τὸ ψήφισμα. [84] Πρῶτον μὲν γὰρ, « ἐάν τις ἀποκτείνῃ » γράφων, οὐ προσέγραψεν ἀδίκως οὐδὲ βιαίως οὐδ' ὅλως οὐδέν. Εἶτα πρὸ τοῦ δίκην ἀξιῶσαι λαβεῖν εὐθὺς ἔγραψεν ἀγώγιμον εἶναι. Πρὸς δὲ τούτοις ὁ μὲν νόμος, ἐὰν μήτε δίκας ὑπόσχωσι παρ' οἷς ἂν τὸ πάθος γένηται, μήτε τοὺς δεδρακότας ἐκδιδῶσιν, κελεύει κατὰ τούτων εἶναι μέχρι τριῶν τὸ ἀνδρολήψιον· [85] ὁ δὲ τούτους μὲν ἀθῴους παρῆκε, καὶ οὐδὲ λόγον πεποίηται περὶ αὐτῶν οὐδένα, τοὺς δὲ τὸν ἤδη πεφευ-

NC. 1-2. Peut-être τὸ δὲ ἀνδρολήψιον, comme on lit dans le texte de Démosthène. — 4-5. ὁ νόμος : mots écartés par Cobet. — 7. τὸ βιαίως, S, F, Y. — 8. λέγει Dindorf. λέγῃ mss. — 20-21. ἐκδῶσι Herwerden.

ner la cité dans laquelle le meurtre avait été commis? Nous l'ignorons.

4-5. Οὗτος.... ὁ νόμος. Quant à l'arrangement des mots, comparez τουτονὶ δεῖ μαθεῖν ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν νόμον, § 37.

8. Ἂν ἀδίκως, sous-ent. ἀποθάνῃ. Le βίαιος θάνατος est opposé à la mise à mort par les moyens légaux dans Platon, *Rép*. VIII, p. 566, B : Ἐὰν δὲ ἀδύνατοι ἐκβάλλειν αὐτὸν ὦσιν ἢ ἀποκτεῖναι διαβάλλοντες τῇ πόλει, βιαίῳ δὴ θανάτῳ ἐπιβουλεύουσιν ἀποκτιννύναι λάθρᾳ.

14. Τὸ ἀνδρολήψιον. D'après Weber, la forme neutre désigne le droit de prendre des otages, la forme féminine, ἀνδροληψία, l'acte, la prise des otages.

24. Οὐδὲ λόγον πεποίηται περὶ αὐτῶν οὐδένα. Le décret d'Aristocrate s'occupe uniquement du pays où le meurtrier pourra chercher un asile, non du pays où le meurtre aura été commis. Comme la loi des otages ne regarde que ce dernier pays, Aristocrate n'avait pas à en tenir compte, et je ne vois pas en quoi son décret put violer cette loi. Les choses sont

γότα (θήσω γὰρ οὕτω) κατὰ τὸν κοινὸν ἁπάντων ἀνθρώπων νόμον, ὃς κεῖται τὸν φεύγοντα δέχεσθαι, ὑποδεξαμένους ἐκσπόνδους εἶναι γράφει, ἐὰν μὴ τὸν ἱκέτην ἔκδοτον διδῶσιν. Οὐκοῦν καὶ τῷ μὴ προσθεῖναι πῶς ἐὰν ἀποκτείνῃ, καὶ τῷ μηδεμίαν κρίσιν εἰπεῖν, καὶ τῷ μὴ δίκας αἰτεῖν, καὶ τῷ πανταχόθεν διδόναι λαβεῖν, καὶ τῷ τοὺς ὑποδεξαμένους, ἀλλὰ μὴ παρ' οἷς ἂν τὸ πάθος γένηται κολάζειν, καὶ πᾶσιν 649
οὑτωσὶ φανερῶς καὶ παρὰ τοῦτον εἴρηκε τὸν νόμον.

[86] Λέγε δὴ τὸν ἐφεξῆς.

ΝΟΜΟΣ.

« Μηδὲ νόμον ἐπ' ἀνδρὶ ἐξεῖναι θεῖναι, ἐὰν μὴ τὸν αὐτὸν ἐπὶ πᾶσιν Ἀθηναίοις. »

Ἔστι μὲν οὐκέτι τῶν φονικῶν ὅδ' ὁ νῦν ἀνεγνωσμένος νόμος, ὦ ἄνδρες δικασταί, οὐδ' ὁτιοῦν δ' ἧττον ἔχει καλῶς, εἴπερ καὶ ἄλλος τις. Ὥσπερ γὰρ τῆς ἄλλης πολιτείας ἴσον μέτεστιν ἑκάστῳ, οὕτως ᾤετο δεῖν καὶ τῶν νόμων ἴσον μετέχειν πάντας ὁ θεὶς αὐτόν, καὶ διὰ ταῦτ' ἔγραψεν « μηδὲ νόμον ἐπ' ἀνδρὶ ἐξεῖναι θεῖναι, ἐὰν μὴ τὸν αὐτὸν ἐφ' ἅπασιν Ἀθηναίοις. » Ὁπότε τοίνυν τὰ ψηφί-

NC. 2. ὑποδεξαμένους déjà Feliciano. τοὺς ὑποδεξαμένους S, vulg., et encore Bekker. — 13. ὅδε νῦν S. — 14. ιττον S[1]. — 19. ὅτε τοίνυν Blass.

admirablement brouillées par l'accusateur.

3. Ἔκδοτον διδῶσιν, pour ἐκδιδῶσιν, en insistant sur l'idée quelque peu odieuse de livrer. On rapproche Lycurgue, *Léocr.* § 85 : Ἔκδοτον τὴν θρεψαμένην καὶ τὰ ἱερὰ τοῖς πολεμίοις παρέδοσαν.

4. Πῶς, c.-à-d. δικαίως ou ἀδίκως.

5. Τῷ μηδεμίαν κρίσιν εἰπεῖν, en ne prescrivant aucun jugement. Τῷ μὴ δίκας αἰτεῖν, en se dispensant de demander justice (aux autorités du pays où le crime a été commis), c.-à-d. en n'ordonnant pas de demander justice.

5-6. Τῷ πανταχόθεν διδόναι λαβεῖν (c.-à-d. λαβεῖν τὸν ἀποκτείναντα, non λαβεῖν δίκας), en permettant de saisir le prévenu partout (de l'arracher de partout, πανταχόθεν).

15-17. Ὥσπερ γάρ.... μετέχειν πάντας. On a vu la même considération au sujet de la même loi dans *Timocrate*, § 59.

19. Ὁπότε τοίνυν ... Voilà un raisonnement extrêmement subtil, mais qui repose, ce me semble, sur un paralogisme. Que le décret d'Aristocrate soit contraire à la législation d'Athènes, je le veux bien; mais qu'il soit illégal, parce qu'il confère à un individu des honneurs qu'il n'accorde pas à tous les citoyens, une telle assertion méconnaît la différence entre les lois et les décrets.

σματα δεῖν κατὰ τοὺς νόμους ὁμολογεῖται γράφειν, ὁ γράφων ἰδίᾳ τι Χαριδήμῳ τοιοῦτον ὃ μὴ πᾶσι καὶ ὑμῖν ἔσται, σαφῶς παρὰ τοῦτον ἂν εἰρηκὼς εἴη τὸν νόμον. Οὐ γὰρ δήπου, ἃ μηδὲ νομοθετεῖν ἔξεστι, ταῦτ' ἐν ψηφίσματι γράψας τις ἔννομ' ἂν εἰρηκὼς εἴη.

[87] Λέγε τὸν μετὰ ταῦτα νόμον. Ἦ οὗτοι πάντες εἰσίν;

ΝΟΜΟΣ.

« Ψήφισμα δὲ μηδὲν μήτε βουλῆς μήτε δήμου νόμου χυριώτερον εἶναι. »

Κατάθου. Πάνυ μιχρὸν ὑπείληφά μοι τὸν λόγον, ὦ ἄνδρες δικασταὶ, καὶ ῥᾴδιον εἶναι περὶ τοῦ παρὰ τοῦτον εἰρῆσθαι τὸν νόμον τὸ ψήφισμα. Ὃς γὰρ ὑπαρχόντων τοσούτων νόμων πάντας ὑπερϐὰς τούτους γέγραφεν καὶ κατέκλεισεν ἴδιον πρᾶγμα ψηφίσματι, τοῦτον τί τις ἄλλο ποιεῖν φήσει πλὴν ψήφισμα νόμου χυριώτερον ἀξιοῦν εἶναι;

650 [88] Βούλομαι τοίνυν ὑμῖν καὶ ἓν ἢ δύο ψηφίσματα δεῖξαι τῶν γεγραμμένων τοῖς ὡς ἀληθῶς εὐεργέταις τῆς πόλεως, ἵν' εἰδῆθ' ὅτι ῥᾴδιόν ἐστι γράφειν τὰ δίκαια, ὅταν αὐτοῦ τις ἕνεκα τούτου γράφῃ, τοῦ τιμῆσαί τινα καὶ μεταδοῦναι τῶν ἡμῖν ὑπαρχόντων, καὶ μὴ διὰ τοῦ ταῦτα δοκεῖν ποιεῖν βούληται κακουργεῖν καὶ παρακρούεσθαι. Λέγε τὰ ψηφίσματα ταυτί.' Ἀλλ' ἵνα μὴ μακρὸν ἀκούειν ὑμῖν ᾖ,

NC. 2. πασιν S. — 3. παρὰ τοῦτον S. καὶ παρὰ τοῦτον A, F. Les deux leçons sont admissibles. — 14. γέγραφεν S seul. γέγραφέ τι vulg. — 16. ποιεῖν est omis dans B. — 22. ὑμῖν A, F. — 24. μακρὸν ὑμῖν ἀκούειν A.

9-10. Ψήφισμα δὲ μηδὲν... χυριώτερον εἶναι. L'authenticité de la formule et particulièrement des mots μήτε βουλῆς μήτε δήμου, qui ne sont pas répétés par l'orateur, ressort d'Andocide, *Mystères*, § 89.

13. Τὸν νόμον τὸ ψήφισμα : mots rapprochés à dessein.

15. Κατέκλεισεν... ψηφίσματι renferma un privilège dans un décret. Le paragraphe précédent (γράφων ἴδιόν τι Χαριδήμῳ) sert de commentaire à ces mots.

22-23. Μεταδοῦναι τῶν ἡμῖν ὑπαρχόντων. Les décrets que l'orateur va citer ont donc été rendus pour honorer des étrangers. Mais Charidème était déjà naturalisé Athénien.

ἐξ ἑκάστου τῶν ψηφισμάτων αὐτὸ τοῦτ' ἐξείλεκται, περὶ οὗ τούτου κατηγορῶ. Λέγε.

ΨΗΦΙΣΜΑΤΑ.

[89] Ὁρᾶθ' ὅτι πάντες, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν αὐτὸν τρόπον γεγράφασιν. « Ἔστω », φησὶν, « ὑπὲρ αὐτοῦ ἡ αὐτὴ τιμωρία καθάπερ ἂν τὸν Ἀθηναῖον ἀποκτείνῃ », κυρίους μὲν ἐῶντες τοὺς περὶ τούτων ὑπάρχοντας ὑμῖν νόμους, σεμνοὺς δ' ἀποφαίνοντες, οἵ γ' ἐν δωρειᾶς ἐποιήσαντο τάξει τὸ τούτων μεταδοῦναι. Ἀλλ' οὐχ Ἀριστοκράτης, ἀλλὰ προπηλακίζει μὲν καθ' ὅσον δύναται τούτους (ὥς γοῦν οὐδενὸς ἀξίων ὄντων ἴδιόν τι γράφειν ἐπεχείρησε), μικρὰν δ' ἀποφαίνει κἀκείνην τὴν δωρειὰν ᾗ τὴν πολιτείαν δεδώκατε τῷ Χαριδήμῳ. Ὃς γὰρ, ὡς ἀγαπώντων τοῦθ' ὑμῶν καὶ προσοφειλόντων χάριν αὐτῷ, γέγραφεν καὶ πρὸς φυλάττειν ὑμᾶς ἐκεῖνον, ὅπως ἀδεῶς ὅ τι ἂν βούληται ποιῇ, πῶς οὐ τοῦθ' ὃ λέγω διαπράττεται;

[90] Οὐχ ἀγνοῶ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι ὡς μὲν οὐ παρὰ τοὺς νόμους φανερῶς γέγραφεν τὸ ψήφισμ' Ἀρι-

NC. 4. ὦ manque dans S seul. — 11. ἀξίων ὄντων vulg. ἀξίων S seul, ὄντων ἀξίων A. Le parallèle d'un passage aussi douteux que *Lept.* § 47 ne suffit pas pour justifier l'omission du participe. — 12. ἐν ᾗ A, Y. Cf. § 23. — 13. ὡς οὐχ ἀγαπώντων H. Wolf. — 14. πρὸς φυλάττειν Dindorf. προσφυλάττειν vulg. προσέτι φυλάττειν A. — 15. ποιῇ, omis avant πῶσ, a été ajouté à la fin de la ligne entre les deux colonnes par le reviseur de S. — 15-16. πωσοτοῦθ' S[1]. — 18. γέγραφε S.

5-6. Ἔστω.... τὸν Ἀθηναῖον ἀποκτείνῃ. On trouve une formule équivalente dans un décret du peuple rendu plusieurs années après le présent procès. C'est le ψήφισμα rendu en faveur d'Arybbas, prince des Molosses, expulsé par Philippe de Macédoine. Voy. *C. Inscr. Att.* II, n° 115, l. 34 : Ἐὰν δέ τις Ἀρύββαν βιαίῳ θανάτῳ ἀποκτείνῃ ἢ τῶν παίδων τινὰ τῶν Ἀρύββου, εἶναι τὰς αὐτὰς τιμωρίας αἵπερ καὶ ὑπὲρ τῶν ἄλλων εἰσὶν Ἀθηναίων.

7. Ἐῶντες. L'orateur revient au pluriel, malgré φησίν, formule de citation, dont le sens premier s'est émoussé.

8-9. Ἐν δωρειᾶς ἐποιήσαντο τάξει, ils ont mis au rang d'une récompense, d'une faveur.

10. Τούτους; c.-à-d. τοὺς νόμους.

13. Ὡς ἀγαπώντων τοῦθ' ὑμῶν, comme si le droit de cité accordé à Charidème était une chose qui vous fût chère à vous (non à lui). Il faut insister sur ὑμῶν en lisant cette phrase.

14. Φυλάττειν. Cf. § 83 : Χαριδήμῳ φυλακήν τινα τοῦ σώματος διδόναι.

651 στοκράτης οὐχ ἕξει δεῖξαι, ὃ δὲ δεινότατον πάντων ἐστὶν, τὸ μηδεμίαν χρίσιν ἐν παντὶ ποιῆσαι τῷ ψηφίσματι τοιαύτης αἰτίας, τοῦθ' ὑφαιρεῖσθαι πειράσεται. Ἐγὼ δὲ περὶ αὐτοῦ τούτου πολλὰ μὲν λέγειν οὐκ οἶμαι δεῖν, ἐκ δὲ τοῦ ψηφίσματος αὐτοῦ δείξω σαφῶς οὐδ' αὐτὸν τοῦτον ἡγούμενον εἶναι κρίσιν οὐδεμίαν τῷ τὴν αἰτίαν ἔχοντι. [91] Γέγραφεν γὰρ « ἐάν τις ἀποκτείνῃ Χαρίδημον, ἀγώγιμος ἔστω, ἐὰν δέ τις ἀφέληται ἢ πόλις ἢ ἰδιώτης, ἔκσπονδος ἔστω, » οὐκ ἐὰν μὴ παράσχῃ εἰς κρίσιν τὸν ἀφαιρεθέντα, ἀλλ' ὅλως εὐθύς. Καίτοι εἴ γ' ἐδίδου κρίσιν καὶ μὴ ἀφῃρεῖτο, τότ' ἂν προσέγραψεν κατὰ τῶν ἀφελομένων τὴν τιμωρίαν ὁπότ' εἰς τὴν κρίσιν μὴ παρέσχον ὃν ἐξείλοντο.

[92] Οἶμαι τοίνυν αὐτὸν κἀκεῖνον ἐρεῖν τὸν λόγον, καὶ σφόδρα ταύτῃ ζητήσειν ἐξαπατᾶν ὑμᾶς, ὡς ἄκυρόν ἐστι τὸ ψήφισμα· προβούλευμα γάρ ἐστιν, ὁ νόμος δ' ἐπέτεια κελεύει τὰ τῆς βουλῆς εἶναι ψηφίσματα, ὥστε κἂν αὐτοῦ νῦν ἀποψηφίσησθε, ἥ γε πόλις φλαῦρον οὐδὲν πείσεται κατὰ τὸ ψήφισμα τοῦτο. [93] Ἐγὼ δὲ πρὸς ταῦτ' οἶμαι δεῖν ὑμᾶς ἐκεῖν' ὑπολαμβάνειν, ὅτι τὸ ψήφισμα τοῦθ' οὗτος ἔγραψεν οὐχ ἵν' ὄντος ἀκύρου μηδὲν ἀηδὲς ὑμῖν συμβῇ (τὴν ἀρχὴν γὰρ ἐξῆν αὐτῷ μὴ γράφειν, εἴ γε τὸ βέλτιστον τῇ πόλει σκοπεῖν ἐβούλετο), ἀλλ' ἵν' ἐξαπατηθέντων ὑμῶν διαπράξαιντό τινες τἀναντία τοῖς ὑμῖν συμφέρουσιν. Οἱ δὲ γραψάμενοι καὶ χρόνους ἐμποιήσαντες καὶ δι' οὓς ἄκυρόν ἐστιν, ἡμεῖς ἐσμέν. Ἄτοπον δὴ γένοιτ' ἂν, εἰ ὧν ἡμῖν χά-

NC. 3-4. δ' ὑπὲρ τούτου Blass. — 4. οιομαι S. — 6. γέγραφε S. — 10. ἡ μὴ S, F. — 12. ἀφείλοντο A. — 13. οιομαι S. — 15. επέτια S. — 17-18. κατα τοῦτο τὸ ψήφισμα S. — 25. ἡμεῖσ μὲν S[1].

3. Τοῦθ' ὑφαιρεῖσθαι πειράσεται. Quoi qu'en dise Démosthène, ce n'était pas là escamoter le chef d'accusation le plus grave; Aristocrate pouvait, ce semble, soutenir avec raison que la rédaction de son décret n'excluait nullement la mise en jugement du prévenu (τοῦ τὴν αἰτίαν ἔχοντος).

15. Ἐπέτεια. Les décrets du conseil des Cinq-Cents étaient périmés s'ils n'avaient pas été confirmés par un décret du peuple dans le cours de l'année.

24. Χρόνους ἐμποιήσαντες, qui ont entravé le décret par des ajournements. Cf. la note sur χρόνους ἐμποιῆτε, *Phil.* III, § 71.

ριν εἰκὸς ὑπάρχειν, ταῦτα τούτοις εἰς σωτηρίαν ὑπάρξειεν. [94] Ἔτι τοίνυν οὐδ' ἁπλοῦν τοῦθ' οὕτως ἐστὶν, ὥς τις 652 οἴεται. Εἰ μὲν γὰρ μηδεὶς ἄλλος ἦν ὅστις ἔμελλεν ὁμοίως τούτῳ τῶν συμφερόντων ὑμῖν ὀλιγωρήσας γράφειν, ἴσως ἂν ἦν τοῦτο· νῦν δ' ὄντων οὐκ ὀλίγων, οὐχὶ καλῶς ἔχει μὴ λῦσαι τὸ ψήφισμ' ὑμῖν. Τίς γὰρ οὐ γράψει θαρρῶν πάλιν, ἡνίκ' ἂν ᾖ τοῦτ' ἀποπεφευγός; τίς δ' οὐκ ἐπιψηφιεῖ; τίς δὲ γράψεται; Οὐ τοίνυν τοῦτο σκεπτέον, εἰ τοῦτ' ἔστιν ἄκυρον τοῖς χρόνοις, ἀλλ' ἐκεῖνο, ὅτι τῇ περὶ τούτου ψήφῳ, νῦν ἐὰν ἀποψηφίσησθε, τοῖς ἀδικεῖν βουλομένοις αὖθις ὑμᾶς ἄδειαν δώσετε.

[95] Οὐ τοίνυν οὐδ' ἐκεῖνό μ', ὦ ἄνδρες Ἀθηναῖοι, λέληθεν, ὅτι ἁπλῆν μὲν οὐδὲ δικαίαν οὐδ' ἡντινοῦν ἀπολογίαν Ἀριστοκράτης ἕξει λέγειν, παραγωγὰς δὲ τοιαύτας τινὰς ἐρεῖ, ὡς ἄρα πολλὰ τοιαῦτ' ἤδη γέγονε ψηφίσματα πολλοῖς. Ἔστι δ' οὐδὲν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτο σημεῖον τοῦ τοῦτον ἔννομ' εἰρηκέναι· πολλαὶ γὰρ προφάσεις εἰσὶν δι' ἃς πολλάκις ὑμεῖς ἐξηπάτησθε. [96] Οἷον εἴ τι τῶν ἡλωκότων ψηφισμάτων παρ' ὑμῖν μὴ ἐγράφη, κύριον ἂν δήπουθεν ἦν· καὶ μὴν παρὰ τοὺς νόμους γ' ἂν εἴρητο. Καὶ εἴ τί γε γραφὲν ἢ καθυφέντων τῶν κατηγόρων ἢ μὴ δυνηθέντων μηδὲν διδάξαι ἀπέφυγεν, καὶ τοῦτ' οὐδὲν κωλύει παράνομον εἶναι. Οὐκ ἄρ' εὐορκοῦσιν οἱ δικάσαντες αὐτό; ναὶ. Πῶς; ἐγὼ διδάξω. Γνώμῃ τῇ δικαιοτάτῃ δικάσειν ὀμωμόκασιν, ἡ δὲ

NC. 5. ἂν ἦν τοῦτο S seul. ἂν ἧττον ἦν τοῦτο F, Y. ἂν ἧττον ἦν δεινόν vulg. et Sopatros dans Walz V, p. 36. ἂν φορητὸν ἦν τοῦτο Dindorf. — 7. ἡνικα ηι S. — 9. ἐκεῖνο ὁρᾶν F. — 10. βουλομένοις S. βουλησομένοις vulg. — 14. δέ τινας τοιαύτας A. — 15. τοαῦτ' S[1]. — γέγονεν S. — 19. ἡμῖν S, F. — 20. τι γέγραφεν, l'accent du reviseur, S. τι γραφέν γ' Blass. — 21. Le premier η est barré et pointé dans S.

4-5. Ἴσως ἂν ἦν τοῦτο, il en serait peut-être ainsi, c.-à-d. l'affaire serait aussi simple (ἁπλοῦν), qu'elle le paraît au premier abord et sans danger pour l'avenir. Cf. Τάχ' ἂν τόδ' ἦν, Eschyle, *Sept*, 663.

7. Ἐπιψηφιεῖ, le mettra aux voix, comme président de l'assemblée.

14. Παραγωγάς, des arguments qui induisent en erreur (παράγει).

19. Ἐγράφη, avait été poursuivi comme illégal. C'est l'aoriste passif, non de γράφειν, mais de γράφεσθαι.

21. Καθυφέντων, ayant molli dans l'accusation.

23. Οὐκ ἄρ' εὐορκοῦσιν οἱ δικάσαντες αὐτό. Tout en infirmant la chose jugée, l'orateur se défend d'attaquer les juges. — Ναί, si.

τῆς γνώμης δόξα ἀφ' ὧν ἂν ἀκούσωσι παρίσταται· ὅτε τοίνυν κατὰ ταύτην ἔθεντο τὴν ψῆφον, εὐσεϐοῦσιν. [97] Πᾶς γὰρ ὁ μήτε δι' ἔχθραν μήτε δι' εὔνοιαν μήτε δι' ἄλλην
653 ἄδικον πρόφασιν μηδεμίαν παρ' ἃ γιγνώσκει θέμενος τὴν ψῆφον εὐσεϐεῖ· εἰ γὰρ ἠγνόησέν τι διδασκόμενος, τοῦ μὴ συνεῖναι δίκην οὐκ ὀφείλει δοῦναι· ἀλλ' εἴ τις εἰδὼς ἐκείνους προδέδωκεν ἢ ἐξαπατᾷ, οὗτός ἐστ' ἔνοχος τῇ ἀρᾷ. Διόπερ καταρᾶται καθ' ἑκάστην ἐκκλησίαν ὁ κῆρυξ, οὐκ εἴ τινες ἐξηπατήθησαν, ἀλλ' εἴ τις ἐξαπατᾷ λέγων ἢ βουλὴν ἢ δῆμον ἢ τὴν ἡλιαίαν. [98] Μὴ δὴ τοῦθ' ὑμῖν ἐᾶτε λέγειν, ὡς γέγονεν, ἀλλ' ὡς ἔστι δίκαιον γίγνεσθαι, μηδ' ὡς ἕτεροι δικάσαντες ἐκύρωσαν ἐκεῖνα, ἀλλ' ὑμᾶς αὐτοὺς ἀξιοῦτε διδάσκειν ὡς δικαιότερ' ἡμῶν περὶ τοῦδε λέγουσιν. Εἰ δὲ τοῦτο μὴ δυνήσονται, οὐχὶ καλῶς ἔχειν ὑμῖν ἡγοῦμαι τὴν ἑτέρων ἀπάτην κυριωτέραν ποιήσασθαι τῆς ὑμετέρας αὐτῶν γνώμης. [99] Ἔτι τοίνυν ἔμοιγε δοκεῖ καὶ σφόδρ' ἀναιδὴς ὁ τοιοῦτος εἶναι λόγος, ὡς γέγονεν καὶ πρότερόν τισιν ἄλλοις τοιαῦτα ψηφίσματα. Οὐ γὰρ εἴ τι πώποτε μὴ κατὰ τοὺς νόμους ἐπράχθη, σὺ δὲ τοῦτ' ἐμιμήσω, διὰ τοῦτ' ἀποφυγεῖν σοι προσήκει, ἀλλὰ τοὐναντίον πολὺ μᾶλλον ἁλίσκεσθαι διὰ ταῦτα. Ὥσπερ γάρ, εἴ τις ἐκείνων ἥλω, σὺ τάδ' οὐκ ἂν ἔγραψας, οὕτως, ἂν σὺ νῦν ἁλῷς, ἄλλος οὐ γράψει.

[100] Ὡς μὲν τοίνυν οὐ παρὰ πάντας τοὺς νόμους φα-

NC. 6. οφιλει S[1]. — 6-7. ἐκεῖνο προύδωκεν A.

1. Ἡ δὲ τῆς γνώμης δόξα, l'opinion, la conception, sur laquelle repose le jugement. [Reiske.]

2. Κατὰ ταύτην, c.-à-d. κατὰ τὴν τῆς γνώμης δόξαν.

5. Εἰ γὰρ ἠγνόησέν τι διδασκόμενος, si son ignorance tient à la manière dont on lui a exposé l'affaire.

6-7. Ἐκείνους προδέδωκεν est dit de l'accusateur qui trahit les juges en prévariquant. Ἐξαπατᾷ est dit du défenseur qui les trompe dans l'intérêt de sa cause.

8. Καταρᾶται.... ὁ κῆρυξ. C'est l'imprécation rappelée dans *Ambass.*, § 70; *Cour.*, § 282.

9. Ἐξαπατᾷ λέγων, trompe par ses discours. Cf. la parodie de cette proclamation dans Aristophane, *Thesmoph.*, 343 : Ἐάν τις ἐξαπατᾷ ψευδῆ λέγων.

18-23. Οὐ γὰρ εἴ τι πώποτε.... ἄλλος οὐ γράψει. Cf. *Androt.*, § 7, où les mêmes considérations sont présentées dans les mêmes termes, ou peu s'en faut.

24. Ὡς μὲν οὖν.... Nous passons à la seconde partie du discours, la discussion de la question politique.

νερῶς γέγραφε τὸ ψήφισμ' Ἀριστοκράτης, οὐκ οἶμαι λέγειν αὐτὸν ἕξειν· ἤδη δέ τιν' εἶδον, ὦ ἄνδρες Ἀθηναῖοι, γραφὴν ἀγωνιζόμενον παρανόμων τοῖς νόμοις μὲν ἁλισκόμενον, ὡς δὲ συμφέρονθ' ὑμῖν γέγραφεν λέγειν ἐπιχειροῦντα, καὶ ταύτῃ βιαζόμενον, εὐήθη μὲν, οἶμαι, μᾶλλον δ' ἀναιδῆ λόγον. [101] Εἰ γὰρ καὶ κατὰ τἄλλα πάντα συμφέρει τὰ 654 εἰρημένα, ᾗ γ' ὀμωμοκότας κατὰ τοὺς νόμους δικάσειν ὑμᾶς ἀξιοῖ κυροῦν ἃ μηδ' αὐτὸς ἔχει δικαίως δεῖξαι γεγραμμένα, ἀσύμφορ' ἂν εἴη, εἴπερ τὸ εὐορκεῖν περὶ πλείστου πᾶσίν ἐστι ποιητέον· οὐ μὴν ἀλλ' ἔχει τιν' ὅμως ἡ ἀναίδει' αὕτη λόγον. Τούτῳ τοίνυν οὐδ' οὗτος ἐνέσται πρὸς ὑμᾶς ὁ λόγος· οὕτω γὰρ σφόδρ' ἐναντίον ὂν τοῖς νόμοις τὸ ψήφισμα μᾶλλον ἀσύμφορόν ἐστιν ἢ παράνομον.

[102] Βούλομαι δ' ἤδη καὶ τοῦθ' ὑμῖν ἐπιδεικνύναι. Ἵνα δ' ὡς διὰ βραχυτάτου λόγου δῆλον ὃ βούλομαι ποιήσω, παράδειγμά τι γνώριμον πᾶσιν ὑμῖν ἐρῶ. Ἴσθ' ὅτι συμφέρει τῇ πόλει μήτε Θηβαίους μήτε Λακεδαιμονίους ἰσχύειν, ἀλλὰ τοῖς μὲν Φωκέας ἀντιπάλους, τοῖς δ' ἄλλους τινὰς εἶναι· ἐκ γὰρ τοῦ ταῦθ' οὕτως ἔχειν ἡμῖν ὑπάρχει μεγίστοις οὖσιν ἀσφαλῶς οἰκεῖν. [103] Τοῦτο τοίνυν νομίζετε ταὐτὸ καὶ τοῖς Χερρόνησον οἰκοῦσι τῶν πολιτῶν συμφέρειν, μηδέν' εἶναι

NC. 6. συμφέροι A. — 8. δεῖξαι δικαίως A. — 9. ἀσύμφορα A. ἀσύμφορον S, vulg. — 10. εστιν S. — 12. ὁ est omis dans S. — 14. δ' ὑμῖν καὶ τοῦτ' A. — 16. πᾶσι γνώριμον A. — 20. ταυτὸν τοίνυν.... τοῦτο A. — 21. οιχουσιν S.

5-6. Εὐήθη.... λόγον. Ces mots sont une apposition à ὡς δὲ συμφέρονθ' ὑμῖν γέγραφεν, et dépendent, à ce titre, de λέγειν ἐπιχειροῦντα.

6-7. Τὰ εἰρημένα ne diffère pas de τὰ γεγραμμένα.

7. Ἧι, en tant que.

10. Ἔχει τιν(ὰ).... λόγον, peut se soutenir, se défendre.

16-17. Συμφέρει.... ἰσχύειν. C'était une espèce d'axiome politique familier à tout le monde. Οὐδ' ἂν εἷς ἀντείποι, ὡς οὐ συμφέρει τῇ πόλει καὶ Λακεδαιμονίους ἀσθενεῖς εἶναι καὶ Θηβαίους. C'est ainsi que s'exprime Démosthène dans la harangue *Pour les Mégalopolitains* (§ 4), prononcée peu de temps avant le présent plaidoyer. Les Thébains luttaient alors contre Phaÿllos et les Phocidiens (on était en pleine guerre Sacrée), les Lacédémoniens étaient contenus par l'Arcadie et la Messénie.

20-21. Τοῖς Χερρόνησον οἰκοῦσι τῶν πολιτῶν. La Chersonèse était habitée par des colons (κληροῦχοι) athéniens; la ville de Sestos et son territoire avaient été répartis entre eux depuis peu de temps. Cf. A. Schæfer, I, p. 402.

τῶν Θρᾳκῶν ἰσχυρόν· ἡ γὰρ ἐκείνων πρὸς ἀλλήλους ταραχὴ καὶ ὑποψία φρουρὰ Χερρονήσου μεγίστη τῶν πασῶν ἐστι καὶ βεβαιοτάτη. Τὸ τοίνυν ψήφισμα τουτὶ τῷ μὲν ἡγουμένῳ τῶν Κερσοβλέπτου πραγμάτων ἀσφάλειαν διδόν, τοῖς δὲ τῶν ἑτέρων βασιλέων στρατηγοῖς φόβον καὶ δέος μή τιν' αἰτίαν ἔχωσι παριστάν, τοὺς μὲν ἀσθενεῖς, τὸν δ' ἕν' ὄντ' ἰσχυρὸν καθίστησιν. [104] Ἵνα δὲ μὴ πάνυ θαυμάζητ' εἰ τὰ παρ' ὑμῖν ψηφίσματα τηλικαύτην ἔχει δύναμιν, γεγονὸς καὶ ὃ πάντες ἐπίστασθε πρᾶγμ' ὑμᾶς ὑπομνήσω. Ὅτε 655 Μιλτοκύθης ἀπέστη Κότυος, συχνὸν ἤδη χρόνον ὄντος τοῦ πολέμου, καὶ ἀπηλλαγμένου μὲν Ἐργοφίλου, μέλλοντος δ' Αὐτοκλέους ἐκπλεῖν στρατηγοῦ, ἐγράφη τι παρ' ὑμῖν ψήφισμα τοιοῦτον, δι' οὗ Μιλτοκύθης μὲν ἀπῆλθε φοβηθεὶς καὶ νομίσας ὑμᾶς οὐ προσέχειν αὐτῷ, Κότυς δ' ἐγκρατὴς τοῦ τ' ὄρους τοῦ ἱεροῦ καὶ τῶν θησαυρῶν ἐγένετο. Καὶ γάρ τοι μετὰ ταῦτ', ὦ ἄνδρες Ἀθηναῖοι, Αὐτοκλῆς μὲν ἐκρίνεθ' ὡς ἀπολωλεκὼς Μιλτοκύθην, οἱ δὲ χρόνοι κατὰ τοῦ τὸ ψήφισμ' εἰπόντος τῆς γραφῆς ἐξεληλύθεσαν, τὰ δὲ πρά-

NC. 2. ἐστιν S. — 6. εχωσιν S. — 8-9. Cobet veut <ἄρτι> γεγονὸς ὃ πάντες. Voy. la note explicative. — 15-16. καὶ γάρ τοι : mots omis dans A.

5. Τῶν ἑτέρων βασιλέων. Cf. § 10 sqq., où cela est exposé plus au long.

6. Τοὺς μέν désigne les autres princes, τὸν δ(ὲ) désigne Kersoblepte, non leurs défenseurs. — Ἕν' ὄντα, seul, sans compétiteur qui puisse le tenir en échec.

8. Γεγονός : un fait qui appartient au passé, non une simple prévision. Cf. § 141.

9-10. Ὅτε Μιλτοκύθης.... Les événements rappelés ici eurent lieu en 362, pendant la guerre que les Athéniens firent à Kotys de Thrace au sujet de la Chersonèse. Miltokythès se révolta contre ce dernier et offrit la Chersonèse aux Athéniens s'ils voulaient le soutenir dans ses prétentions. Mais ils ne surent point profiter de cet incident favorable. Trompés par une dépêche conciliante de Kotys (voy. § 115), ils rendirent un décret qui découragea le prétendant. Ainsi les efforts du général athénien Autoclès furent paralysés d'avance. La guerre tourna mal, le stratège fut mis en jugement, tandis que les auteurs du décret ne furent point inquiétés. Cf. *Contre Polyclès*, § 5 ; A. Schæfer, I, 135.

11. Ἀπηλλαγμένου, privé du commandement.

15. Καὶ τῶν θησαυρῶν. On voit ici que les trésors se trouvaient dans ce centre religieux de la Thrace ; aussi la possession de Ἱερὸν ὄρος équivaut-elle à la possession du pays. Cf. Eschine, *Ambass.*, § 90 : Ἐπέστειλε.... ὅτι Κερσοβλέπτης ἀπολώλεκε τὴν ἀρχὴν καὶ Ἱερὸν ὄρος κατείληφε Φίλιππος.

16. Αὐτοκλῆς.... ἐκρίνετο. On possède quelques fragments (n° 58-68 Blass), assez insignifiants, il est vrai, du discours d'Hypéride κατ' Αὐτοκλέους προδοσίας.

17-18. Οἱ δὲ χρόνοι.... ἐξεληλύθεσαν. Après un an, l'auteur d'une motion n'en était plus responsable personnellement. Cf. la *Notice* de la *Leptinéenne*, p. 5.

γματ' ἀπωλώλει τῇ πόλει. [105] Εὖ τοίνυν ἴσθ' ὅτι καὶ νῦν, εἰ μὴ λύσετε τὸ ψήφισμα τοδί, καὶ τοῖς βασιλεῦσι θαυμαστὴ γενήσεται δι' αὐτὸ ἀθυμία καὶ τοῖς στρατηγοῖς αὐτῶν· ὅλως γὰρ ἡγήσονται παρεῶσθαι μὲν αὐτοί, πρὸς Κερσοβλέπτην δ' ἀποκλίνειν ὑμᾶς. Εἰ δ' ἐκ τοῦ ταῦτα γνῶναι παραχωρήσονται τῆς ἀρχῆς ἐπὶ καιροῦ τινος αὐτοῖς ἐπιθεμένου τοῦ Κερσοβλέπτου, πάλιν ὁρᾶτε τί συμβήσεται. [106] Φέρε γὰρ πρὸς θεῶν, ἂν ἡμᾶς ἀδικῇ Κερσοβλέπτης, ὃ μᾶλλον ἐλπὶς ἢ μὴ δυνηθέντα ποιῆσαι, οὐκ ἐπ' ἐκείνους ἴμεν καὶ δι' ἐκείνων ἀσθενῆ ποιεῖν αὐτὸν ζητήσομεν; Ἂν οὖν εἴπωσιν ἡμῖν ὅτι « ὑμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, οὐ μόνον « ἡμῖν ἀδικουμένοις οὐκ ἐβοηθήσατε, ἀλλὰ καὶ φόβον, ἂν « ὑπὲρ ὑμῶν αὐτῶν ἀμυνώμεθα, θαυμαστὸν παρεστήσατε, « ψήφισμα ποιησάμενοι, τὸν ἐναντία τοῖς ὑμῖν συμφέρουσι « καὶ ἡμῖν πράττοντ' ἄν τις ἀποκτείνῃ, ἀγώγιμον εἶναι· « οὔκουν ἐστὲ δίκαιοι βοηθοὺς καλεῖν ἡμᾶς, ἐφ' οἷς καὶ περὶ 656 « ὑμᾶς αὐτοὺς καὶ περὶ ἡμᾶς κακῶς ἐβουλεύσασθε, » εἰπέ μοι, ταῦτ' ἐὰν λέγωσιν, οὐ δικαιότερ' ἡμῶν ἐροῦσιν; ἔγωγ' οἶμαι.

[107] Καὶ μὴν οὐδ' ἐκεῖνό γ' ἔστιν εἰπεῖν, ὅτι νὴ Δί' εἰκό-

NC. 1. ἀπολώλει S. — 2. λυσητε S, A, F, Y. — 4. παρεῶσθαι variante notée en marge de S par le reviseur. παρεωρᾶσθαι texte de S, vulg. Cf. *Olynth.* II, 19, NC. — 9. ἐλπὶς αὐτὸν A. — δυνηθέντ' ἂν ποιῆσαι Cobet. — 10. πάλιν ἀσθενῆ A, F. — 11. ὅτι S, F. πρὸς ταῦτα ἐκεῖνοι vulg. — ὑμεῖς δὲ A, F. — 12-13. φόβον ἀνυπέρβλητον καὶ θαυμαστόν Y. Cette variante se trouve combinée avec la leçon φόβον ἂν ὑπὲρ ὑμῶν (ἡμῶν vulg.) αὐτῶν ἀμυνώμεθα dans A et à la marge de S. — 20. ἔνεστιν A.

3. Δι' αὐτὸ ἀθυμία. Hiatus.

7. Πάλιν ὁρᾶτε, voyez encore. Πάλιν ne porte pas sur συμβήσεται, ni, comme veut Blass, sur ἐπιθεμένου.

9. Ὃ.... ποιῆσαι. Construisez ὃ μᾶλλον ἐλπίς (ἐστι) [on peut s'attendre] ποιῆσαι (αὐτὸν) ἢ μὴ (ποιῆσαι), δυνηθέντα [lorsqu'il en a le pouvoir].

9-10. Οὐκ ἐπ' ἐκείνους ἴμεν, ne nous adresserons-nous pas à eux?

13. Ὑπὲρ ὑμῶν αὐτῶν, dans votre propre intérêt.

17. Εἰπέ μοι. Tournure familière. Cf. *Phil.*, I, § 10, avec la note. Dans tout ce morceau, la puissance oratoire se dissimule sous les formes de la bonhomie. La prosopopée de *Cherson.*, § 35-36, n'a pas le même caractère. C'est la même figure transposée dans le ton de la grande éloquence.

20. Καὶ μὴν.... Les partisans de Kersoblepte alléguaient que ce roi avait rendu la Chersonèse aux Athéniens. C'est cet argument que l'orateur va réfuter.

τως ἐφεναχίσθητε καὶ παρεκρούσθητε. Εἰ γὰρ μηδὲν εἴχετε τῶν ἄλλων λογίσασθαι, μηδ' ἐφ' ὑμῶν αὐτῶν οἷοί τ' ἦτε ταῦτα συνεῖναι, ἦν ἰδεῖν παράδειγμ' Ὀλυνθίους τουτουσί, οἵ τί πεποιηκότος αὐτοῖς Φιλίππου πῶς αὐτῷ χρῶνται; Ἐκεῖνος ἐκείνοις Ποτείδαιαν οὐχὶ τηνικαῦτ' ἀπέδωκεν, ἡνίκ' ἀποστερεῖν οὐκέθ' οἷός τ' ἦν, ὥσπερ ὑμῖν Κερσοβλέπτης Χερρόνησον· ἀλλὰ πρὸς ὑμᾶς πολεμῶν χρήματα πόλλ' ἀναλώσας, ἑλὼν καὶ δυνηθεὶς ἂν αὐτὸς ἔχειν, εἴπερ ἐβουλήθη, παρέδωκεν, καὶ οὐδ' ἐπεχείρησεν ἄλλο ποιεῖν οὐδέν. [108] Ἀλλ' ὅμως ἐκεῖνοι, τέως μὲν ἑώρων αὐτὸν τηλικοῦτον ἡλίκος ὢν καὶ πιστὸς ὑπῆρχεν, σύμμαχοί τ' ἦσαν καὶ δι' ἐκεῖνον ἡμῖν ἐπολέμουν· ἐπειδὴ δ' εἶδον μείζω τῆς πρὸς αὐτοὺς πίστεως γιγνόμενον, τοσοῦτ' ἀπέχουσι τοῦ ψηφίσασθαι, ἄν τις ἀποκτείνῃ τινὰ τῶν ἐκείνῳ συγκατεσκευακότων τὴν ἀρχήν, ἐκ τῶν ἑαυτῶν συμμάχων ἀγώγιμον εἶναι, [109] ὥσθ' ὑμᾶς, οὓς ἴσασιν ἁπάντων ἀνθρώπων ἥδιστ' ἂν καὶ τοὺς ἐκείνου φίλους καὶ αὐτὸν τὸν Φίλιππον ἀποκτείναντας, φίλους πεποίηνται, φασὶ δὲ καὶ συμμάχους ποιήσεσθαι. Εἶτ' Ὀλύνθιοι μὲν ἴσασι τὸ μέλλον προορᾶν, ὑμεῖς δ' ὄντες Ἀθηναῖοι ταὐτὸ τοῦτ' οὐχὶ ποιήσετε; ἀλλ'

NC. 1. εφαιναχισθητε S. — 4. κέχρηνται A. — 5. ποτειδαιαν (ί au-dessus de ει) S. — 10. τέως est la leçon des mss. — 10-11. τηλικοῦτον αὐτὸν A. — και πιστοσ S, F, Y. πιστὸς vulg. — 12. μειζον S. — 19. ἴσασιν S.

1-2. Εἰ.... λογίσασθαι, quand même vous n'auriez eu d'autre raisonnement à faire. Τῶν ἄλλων n'est pas opposé à ταῦτα, et la traduction « si enim in ceteris rebus omnibus cæcutiretis » est erronée.

3. Ὀλυνθίους τουτουσί. Voy. la note sur Ὠρείταις τουτοισί, *Phil.*, IX, 12. Dans les deux passages il s'agit d'événements encore présents à toutes les mémoires.

5. Ποτείδαιαν ἀπέδωκεν. En 356. Cf. la *Notice* de la 1re *Olynthienne*, p. 109.

7-8. Πολεμῶν.... ἀναλώσας ἑλών, ayant pris la ville après avoir dépensé beaucoup (d'argent, de peine, d'hommes) en vous faisant la guerre. Les participes qui précèdent sont subordonnés à ceux qui suivent.

10. Ὅμως. Ce « néanmoins » ne porte pas sur la première partie de la période (τέως μέν....), mais sur la seconde (ἐπειδὴ δέ....), ou, pour parler plus exactement, il porte sur l'ensemble de la période.

12-13. Μείζω τῆς πρὸς αὐτοὺς πίστεως, trop puissant pour qu'ils puissent se fier à lui. Ἡ πρὸς αὐτοὺς πίστις est le gage qu'il leur donne, la confiance qu'il leur inspire. Cf. Dinarque, *Philoclès*, § 18 : Ἀνεῖλε πᾶσαν τὴν γεγενημένην αὐτῷ πρὸς ὑμᾶς πίστιν.

18. Φίλους πεποίηνται. Cette paix venait d'être conclue ; le traité d'alliance (φασὶ δὲ καὶ συμμάχους ποιήσειν) ne se réalisa qu'en 349.

20. Ὄντες Ἀθηναῖοι. Cf. *Phil.*, II, 26-27, où Démosthène s'étonne qu'un peuple

αἰσχρὸν τοὺς ⟨τῷ⟩ περὶ πραγμάτων ἐπίστασθαι βουλεύσασθαι δοκοῦντας προέχειν ἧττον Ὀλυνθίων τὸ συμφέρον εἰ- 657
δότας ὀφθῆναι.

[110] Ἀκούω τοίνυν αὐτὸν καὶ τοιοῦτόν τιν' ἐρεῖν λόγον, οἷον καὶ πρότερόν ποτ' Ἀριστόμαχος παρ' ὑμῖν ἐδημηγόρει, ὡς οὐκ ἔστιν ὅπως ποτὲ Κερσοβλέπτης αἱρήσεται Χερρόνησον ἀποστερεῖν ἐπιχειρῶν ἐχθρὸς ὑμῖν εἶναι· οὐδὲ γὰρ εἰ λάβοι καὶ κατάσχοι, λυσιτελήσειν αὐτῷ. Ἐκ μέν γ' ἐκείνης οὐκ ἔστιν ὑπὲρ τριάκοντα τάλαντ' ἡ πρόσοδος μὴ πολεμουμένης, εἰ πολεμήσεται δὲ, οὐδέν· ἐκ δὲ τῶν ἐμπορίων, ἃ τότ' ἂν κλεισθείη, πλεῖν ἢ διακόσια [τάλαντά ἐστιν ἡ πρόσοδος]· ὥστε τί βουλόμενος μικρὰ λαμβάνειν καὶ πολεμεῖν ἂν ἕλοιτο, ἐξὸν τὰ πλείω καὶ φίλος εἶναι, θαυμάζειν φήσουσιν. [111] Ἐγὼ δ' οὐκ ἀπορῶ μὲν εἰπεῖν πόλλ', ἅ μοι δοκεῖ μᾶλλον ἄν τις ἰδὼν ἀπιστεῖν εἰκότως ἢ τούτοις πιστεύων ἐκεῖνον ἐᾶν μέγαν γίγνεσθαι· οὐ μὴν ἀλλ' ὃ μάλιστα πρόχειρον ἔχω, τοῦτ' ἐρῶ. Ἴστε δήπου Φίλιππον, ἄνδρες Ἀθηναῖοι, τουτονὶ τὸν Μακεδόνα, ᾧ πολὺ δήπου μᾶλλον ἐλυσιτέλει τὰς ἐξ ἁπάσης Μακεδονίας προσόδους ἀδεῶς λαμβάνειν ἢ μετὰ κινδύνων τὰς ἐξ Ἀμφιπόλεως, καὶ χρῆσθαι φίλοις αἱρετώτερον ἦν αὐτῷ τοῖς πατρικοῖς ὑμῖν ἢ Θετταλοῖς, οἳ τὸν πατέρ' αὐτοῦ ποτ' ἐξέβαλον. [112] Ἄνευ γὰρ

NC. 1. τοὺς τῷ H. Wolf. τοὺς mss. Cobet aimerait mieux supprimer προέχειν. — 4. αὐτοὺς A. — 11. πλεῖν Dindorf. πλέον mss. — διακόσια S, F. τριακόσια vulg. — 11. [τάλαντά ἐστιν ἡ πρόσοδος] Blass. — 12. ὥστε η (ει dans l'interligne) S. — λαμβάνων πολεμεῖν A. — 17. ὦ ἄνδρες vulg. — 18. τὸν Μακεδόνα : mots écartés par Herwerden.

aussi intelligent que les Athéniens ne montre pas plus de prévoyance que les gens de Messène ou d'Argos.

1. Ἐπίστασθαι βουλεύσασθαι. Démosthène n'évite pas ces assonances, qui nous choquent. Cf. *Symm.*, § 2, NC.

5. Ἀριστόμαχος : l'agent de Charidème dont il a été question au § 13.

8-9. Οὐκ ἔστιν. Passage du discours indirect au discours direct.

11. Τότ(ε) : c.-à-d. en cas de guerre.

13. Τὰ πλείω : sous-ent. λαμβάνειν.

15. Μᾶλλον ἄν porte sur ἀπιστεῖν, et ἰδών se rattache à ἅ.

18-19. Ὧι πολὺ δήπου μᾶλλον ἐλυσιτέλει. Quoi qu'en dise l'orateur, Philippe entendait bien l'intérêt de son pays et savait ce qu'il faisait en occupant Amphipolis, qui était la clef de la Thrace, et en gagnant la Thessalie, qui devint plus tard comme une partie intégrante de la Macédoine.

21-22. Θετταλοῖς, οἵ.... ἐξέβαλον. Diodore, XIV, 92, dit, au contraire, que les

τούτου κἀκεῖν' ἔστιν ἰδεῖν· ὑμεῖς μέν, ὦ ἄνδρες Ἀθηναῖοι, οὐδένα προυδώκατε πώποτε τῶν φίλων, Θετταλοὶ δ' οὐδένα πώποθ' ὅντιν' οὔ. Ἀλλ' ὅμως οὕτως ἐχόντων τούτων μικρὰ λαμβάνειν καὶ τοὺς ἀπίστους φίλους καὶ τὸ κινδυνεύειν ἀντὶ τοῦ μετ' ἀσφαλείας ζῆν ὁρᾶτε προῃρημένον αὐτόν. [113] Τί δή ποτ' αἴτιον; οὐ γὰρ δὴ λόγον γε τὸ πρᾶγμα
658 οὑτωσὶ πρόχειρον ἔχει. Ὅτι, ὦ ἄνδρες Ἀθηναῖοι, δυοῖν ἀγαθοῖν ὄντοιν πᾶσιν ἀνθρώποις, τοῦ μὲν ἡγουμένου καὶ μεγίστου πάντων, τοῦ εὐτυχεῖν, τοῦ δὲ ἐλάττονος μὲν τούτου, τῶν δ' ἄλλων μεγίστου, τοῦ καλῶς βουλεύεσθαι, οὐχ ἅμ' ἡ κτῆσις παραγίγνεται τοῖς ἀνθρώποις, οὐδ' ἔχει τῶν εὖ πραττόντων οὐδεὶς ὅρον οὐδὲ τελευτὴν τῆς τοῦ πλεονεκτεῖν ἐπιθυμίας· δι' ὅπερ πολλοὶ πολλάκις μειζόνων ἐπιθυμοῦντες τὰ παρόντ' ἀπώλεσαν. [114] Καὶ τί δεῖ Φίλιππον λέγειν ἤ τιν' ἄλλον; ἀλλ' ὁ πατὴρ αὐτὸς ὁ Κερσοβλέπτου Κότυς, ἡνίκα μὲν στασιάζοι πρός τινας, πρέσβεις πέμπων ἅπαντα ποιεῖν ἕτοιμος ἦν, καὶ τότ' ᾐσθάνεθ' ὡς ἀλυσιτελὲς τὸ τῇ πόλει πολεμεῖν· ἐπειδὴ δ' ὑφ' αὑτῷ τὴν Θρᾴκην ἔχοι, κατελάμβανε τὰς πόλεις, ἠδίκει, μεθύων ἐπαρῴνει, μάλιστα μὲν εἰς αὑτόν, εἶτα καὶ εἰς ἡμᾶς, τὴν χώραν ἐποιεῖθ' ἑαυτοῦ,

NC. 12. ὅρον ἢ τελευτην S seul. — 16. πέμπων πρὸς ἡμᾶς A. — 18. εἶχε H. Wolf et beaucoup d'éditeurs. — 19. Weidner veut écarter μεθύων. — 20. ὑμᾶσ S, A.

Thessaliens rétablirent Amyntas sur son trône. Mais il est difficile de récuser, pour un événement de ce genre, le témoignage de Démosthène. Amyntas fut deux fois expulsé, et les Thessaliens ont pu changer de politique dans l'intervalle de six ans. Cf. A. Schæfer, II, p. 6.

2-3. Θετταλοὶ δ' οὐδένα πώποθ' ὅντιν' οὔ. Par une espèce d'assimilation, οὐδένα ὅντινα est mis pour οὐδείς ἐστιν ὅντινα. Hermogène (III, p. 288 W.) cite cette tournure parmi celles qui embellissent le discours en s'écartant de ce qui est usuel (ἔτι σχήματα καλλωπίζει πως καὶ τὰ καινοπρεπῆ). — Quant à la mauvaise foi proverbiale des Thessaliens, voy. *Olynth.*, I, 22, avec la note.

7-8. Δυοῖν ἀγαθοῖν ὄντοιν. Ces génitifs ne sont pas absolus, mais dépendent de ἡ κτῆσις. — De ces deux biens, bonheur et prudence, le premier, qui ne dépend pas de l'homme, prime le second ; mais comme bonheur ôte d'ordinaire prudence, il se tourne par là en son contraire. On voit qu'en fin de compte prudence reprend le rang qui lui est dû.

18. Ἐπειδὴ δ' ὑφ' αὑτῷ τὴν Θρᾴκην ἔχοι. Kotys avait été maître de la Thrace avant la révolte de Miltokythès ; il le redevint après avoir étouffé cette révolte, et les alternances de domination reconnue et disputée ont pu se renouveler plusieurs fois sous son règne. L'optatif ἔχοι est donc aussi admissible que plus haut στασιάζοι ; il n'y a pas lieu d'y substituer εἶχε.

19. Μεθύων ἐπαρῴνει.... Les éditeurs citent les extravagances et les crimes

τὸ πρᾶγμ' ἀμήχανον ἦν. Τῶν γὰρ ὑπὲρ τοῦ πλεονεκτεῖν ἐπιχειρούντων οἷς οὐ χρὴ οὐ τὰ δυσχερέσταθ' ἕκαστος εἴωθε λογίζεσθαι, ἀλλ' ἃ κατορθώσας διαπράξεται. [115] Ἐγὼ δὴ δεῖν ὑμᾶς οἶμαι τοῦτον τὸν τρόπον βεϐουλεῦσθαι, ὅπως, ἂν μὲν ἃ χρὴ περὶ ὑμῶν γιγνώσκῃ Κερσοϐλέπτης, μηδὲν ὑφ' ὑμῶν ἀδικήσεται, ἂν δ' ἀλόγως ἀδικεῖν ἐπιχειρῇ, μὴ μείζων ἔσται τοῦ δίκην δοῦναι. Ἀναγνώσομαι δ' ὑμῖν τὴν ἐπιστολὴν ἥν, ὅτ' ἀφειστήκει Μιλτοκύθης, Κότυς ἔπεμψεν, καὶ ἣν πᾶσαν ἔχων τὴν ἀρχὴν πέμψας Τιμομάχῳ τὰ χωρί' ὑμῶν ἐξεῖλεν.

ΕΠΙΣΤΟΛΑΙ. 659

[116] Τοῦτ', ὦ ἄνδρες Ἀθηναῖοι, τὸ παράδειγμ' ἑορακότες, ἂν ἐμοὶ πεισθῆτε, κἀκεῖν' εἰδότες, ὅτι Φίλιππος, ὅτε μὲν Ἀμφίπολιν ἐπολιόρκει, ἵν' ὑμῖν παραδῷ, πολιορκεῖν ἔφη, ἐπειδὴ δ' ἔλαϐεν, καὶ Ποτείδαιαν προσαφείλετο, ἐκείνην τὴν πίστιν βουλήσεσθ' ἔχειν, ἥνπερ φασὶ πρὸς Λακεδαιμο-

NC. 5. μηδὲν est ajouté en marge de S par une main ancienne. — 7. δοῦναι δίκην vulg. — 8. αφιστηκει S. — 9. ἣν πᾶσαν Reiske. ἣν ὅτε πᾶσαν mss. — 11. ΕΠΙΣΤΟΛΑΙ Reiske. ΕΠΙΣΤΟΛΗ mss. — 13. ἐμοὶ μὴ S. μὴ est ponctué dans F, remplacé par μὲν dans B, omis dans A et par la plupart des éditeurs. On a vainement essayé de défendre la négation ; l'orateur la désavoue lui-même en disant plus bas ἂν ἐμοὶ χρῆσθε συμβούλῳ. — πείθησθε A, et, ce semble, S avant correction. Cobet écrit πίθησθε, et transpose ce membre de phrase avant ἐκείνην τὴν πίστιν. — 14. ποτειδαιαν (ί au-dessus de ει) S.

commis par Kotys dans l'ivresse, et que raconte Théopompe chez Athénée, XII, p. 531. On peut croire, en effet, que l'orateur fait allusion à ces faits, ainsi qu'à l'ivrognerie proverbiale des Thraces. Il n'en est pas moins vrai que les mots μεθύων ἐπαρῴνει.... εἰς ἡμᾶς sont pris au figuré : les faits rendent la métaphore plus piquante. C'est ainsi que Démosthène dira de Philippe : οἶμαι ἐκεῖνον μεθύειν τῷ μεγέθει τῶν πεπραγμένων (*Phil.*, I, § 49).

9. Τιμομάχῳ. Après Autoklès (§ 104) et Ménon, qui lui succéda, Timomaque fut chargé, en 361, du commandement dans l'Hellespont (cf. *Polyclès*, § 12 sqq.), et ne s'en tira pas mieux. Quant au procès et à l'exil de Timomaque, voy. la note sur *Ambass.*, § 180.

12-14. Κἀκεῖνο... προσαφείλετο. Cette incidente, qui surcharge la période, a été peut-être ajoutée après coup par l'orateur et insérée après ἂν ἐμοὶ πεισθῆτε, au lieu de l'être avant ces mots. Cf. NC. Quant aux faits, voy. la *Notice* sur *Phil.* I, p. 71. — Ἵν(α)... dépend de πολιορκεῖν.

651 στοκράτης οὐχ ἕξει δεῖξαι, ὃ δὲ δεινότατον πάντων ἐστὶν, τὸ μηδεμίαν κρίσιν ἐν παντὶ ποιῆσαι τῷ ψηφίσματι τοιαύτης αἰτίας, τοῦθ' ὑφαιρεῖσθαι πειράσεται. Ἐγὼ δὲ περὶ αὐτοῦ τούτου πολλὰ μὲν λέγειν οὐκ οἶμαι δεῖν, ἐκ δὲ τοῦ ψηφίσματος αὐτοῦ δείξω σαφῶς οὐδ' αὐτὸν τοῦτον ἡγούμενον εἶναι κρίσιν οὐδεμίαν τῷ τὴν αἰτίαν ἔχοντι. [91] Γέγραφεν γὰρ « ἐάν τις ἀποκτείνῃ Χαρίδημον, ἀγώγιμος ἔστω, ἐὰν δέ τις ἀφέληται ἢ πόλις ἢ ἰδιώτης, ἔκσπονδος ἔστω, » οὐκ ἐὰν μὴ παράσχῃ εἰς κρίσιν τὸν ἀφαιρεθέντα, ἀλλ' ὅλως εὐθύς. Καίτοι εἴ γ' ἐδίδου κρίσιν καὶ μὴ ἀφῃρεῖτο, τότ' ἂν προσέγραψεν κατὰ τῶν ἀφελομένων τὴν τιμωρίαν ὁπότ' εἰς τὴν κρίσιν μὴ παρέσχον ὃν ἐξείλοντο.

[92] Οἶμαι τοίνυν αὐτὸν κἀκεῖνον ἐρεῖν τὸν λόγον, καὶ σφόδρα ταύτῃ ζητήσειν ἐξαπατᾶν ὑμᾶς, ὡς ἄκυρόν ἐστι τὸ ψήφισμα· προβούλευμα γάρ ἐστιν, ὁ νόμος δ' ἐπέτεια κελεύει τὰ τῆς βουλῆς εἶναι ψηφίσματα, ὥστε κἂν αὐτοῦ νῦν ἀποψηφίσησθε, ἥ γε πόλις φλαῦρον οὐδὲν πείσεται κατὰ τὸ ψήφισμα τοῦτο. [93] Ἐγὼ δὲ πρὸς ταῦτ' οἶμαι δεῖν ὑμᾶς ἐκεῖν' ὑπολαμβάνειν, ὅτι τὸ ψήφισμα τοῦθ' οὗτος ἔγραψεν οὐχ ἵν' ὄντος ἀκύρου μηδὲν ἀηδὲς ὑμῖν συμβῇ (τὴν ἀρχὴν γὰρ ἐξῆν αὐτῷ μὴ γράφειν, εἴ γε τὸ βέλτιστον τῇ πόλει σκοπεῖν ἐβούλετο), ἀλλ' ἵν' ἐξαπατηθέντων ὑμῶν διαπράξαιντό τινες τἀναντία τοῖς ὑμῖν συμφέρουσιν. Οἱ δὲ γραψάμενοι καὶ χρόνους ἐμποιήσαντες καὶ δι' οὓς ἄκυρόν ἐστιν, ἡμεῖς ἐσμέν. Ἄτοπον δὴ γένοιτ' ἄν, εἰ ὧν ἡμῖν χά-

NC. 3-4. δ' ὑπὲρ τούτου Blass. — 4. οιομαι S. — 6. γέγραφε S. — 10. ἡ μὴ S, F. — 12. ἀφείλοντο A. — 13. οιομαι S. — 15. επέτια S. — 17-18. κατα τοῦτο τὸ ψηφισμα S. — 25. ἡμεῖσ μὲν S[1].

3. Τοῦθ' ὑφαιρεῖσθαι πειράσεται. Quoi qu'en dise Démosthène, ce n'était pas là escamoter le chef d'accusation le plus grave; Aristocrate pouvait, ce semble, soutenir avec raison que la rédaction de son décret n'excluait nullement la mise en jugement du prévenu (τοῦ τὴν αἰτίαν ἔχοντος).

15. Ἐπέτεια. Les décrets du conseil des Cinq-Cents étaient périmés s'ils n'avaient pas été confirmés par un décret du peuple dans le cours de l'année.

24. Χρόνους ἐμποιήσαντες, qui ont entravé le décret par des ajournements. Cf. la note sur χρόνους ἐμποιῆτε, *Phil.* III, § 71.

ριν εἰκὸς ὑπάρχειν, ταῦτα τούτοις εἰς σωτηρίαν ὑπάρξειεν. [94] Ἔτι τοίνυν οὐδ' ἁπλοῦν τοῦθ' οὕτως ἐστὶν, ὥς τις 652 οἴεται. Εἰ μὲν γὰρ μηδεὶς ἄλλος ἦν ὅστις ἔμελλεν ὁμοίως τούτῳ τῶν συμφερόντων ὑμῖν ὀλιγωρήσας γράφειν, ἴσως ἂν ἦν τοῦτο· νῦν δ' ὄντων οὐκ ὀλίγων, οὐχὶ καλῶς ἔχει μὴ λῦσαι τὸ ψήφισμ' ὑμῖν. Τίς γὰρ οὐ γράψει θαρρῶν πάλιν, ἡνίκ' ἂν ᾖ τοῦτ' ἀποπεφευγός; τίς δ' οὐκ ἐπιψηφιεῖ; τίς δὲ γράψεται; Οὐ τοίνυν τοῦτο σκεπτέον, εἰ τοῦτ' ἔστιν ἄκυρον τοῖς χρόνοις, ἀλλ' ἐκεῖνο, ὅτι τῇ περὶ τούτου ψήφῳ, νῦν ἐὰν ἀποψηφίσησθε, τοῖς ἀδικεῖν βουλομένοις αὖθις ὑμᾶς ἄδειαν δώσετε.

[95] Οὐ τοίνυν οὐδ' ἐκεῖνό μ', ὦ ἄνδρες Ἀθηναῖοι, λέληθεν, ὅτι ἁπλῆν μὲν οὐδὲ δικαίαν οὐδ' ἡντινοῦν ἀπολογίαν Ἀριστοκράτης ἕξει λέγειν, παραγωγὰς δὲ τοιαύτας τινὰς ἐρεῖ, ὡς ἄρα πολλὰ τοιαῦτ' ἤδη γέγονε ψηφίσματα πολλοῖς. Ἔστι δ' οὐδὲν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτο σημεῖον τοῦ τοῦτον ἔννομ' εἰρηκέναι· πολλαὶ γὰρ προφάσεις εἰσὶν δι' ἃς πολλάκις ὑμεῖς ἐξηπάτησθε. [96] Οἷον εἴ τι τῶν ἡλωκότων ψηφισμάτων παρ' ὑμῖν μὴ ἐγράφη, κύριον ἂν δήπουθεν ἦν· καὶ μὴν παρὰ τοὺς νόμους γ' ἂν εἴρητο. Καὶ εἴ τί γε γραφὲν ἢ καθυφέντων τῶν κατηγόρων ἢ μὴ δυνηθέντων μηδὲν διδάξαι ἀπέφυγεν, καὶ τοῦτ' οὐδὲν κωλύει παράνομον εἶναι. Οὐκ ἄρ' εὐορκοῦσιν οἱ δικάσαντες αὐτό; ναί. Πῶς; ἐγὼ διδάξω. Γνώμῃ τῇ δικαιοτάτῃ δικάσειν ὀμωμόκασιν, ἡ δὲ

NC. 5. ἂν ἦν τοῦτο S seul. ἂν ἧττον ἦν τοῦτο F, Y. ἂν ἧττον ἦν δεινόν vulg. et Sopatros dans Walz V, p. 36. ἂν φορητὸν ἦν τοῦτο Dindorf. — 7. ἡνικα ηι S. — 9. ἐκεῖνο ὁρᾶν F. — 10. βουλομένοις S. βουλησομένοις vulg. — 14. δέ τινας τοιαύτας A. — 15. τοαῦτ' S[1]. — γέγονεν S. — 19. ἡμῖν S, F. — 20. τι γέγραφεν, l'accent du reviseur, S. τι γραφέν γ' Blass. — 21. Le premier η est barré et pointé dans S.

4-5. Ἴσως ἂν ἦν τοῦτο, il en serait peut-être ainsi, c.-à-d. l'affaire serait aussi simple (ἁπλοῦν), qu'elle le paraît au premier abord et sans danger pour l'avenir. Cf. Τάχ' ἂν τόδ' ἦν, Eschyle, *Sept*, 663.

7. Ἐπιψηφιεῖ, le mettra aux voix, comme président de l'assemblée.

14. Παραγωγάς, des arguments qui induisent en erreur (παράγει).

19. Ἐγράφη, avait été poursuivi comme illégal. C'est l'aoriste passif, non de γράφειν, mais de γράφεσθαι.

21. Καθυφέντων, ayant molli dans l'accusation.

23. Οὐκ ἄρ' εὐορκοῦσιν οἱ δικάσαντες αὐτό. Tout en infirmant la chose jugée, l'orateur se défend d'attaquer les juges. — Ναί, si.

τῆς γνώμης δόξα ἀφ' ὧν ἂν ἀκούσωσι παρίσταται· ὅτε τοίνυν κατὰ ταύτην ἔθεντο τὴν ψῆφον, εὐσεβοῦσιν. [97] Πᾶς γὰρ ὁ μήτε δι' ἔχθραν μήτε δι' εὔνοιαν μήτε δι' ἄλλην
653 ἄδικον πρόφασιν μηδεμίαν παρ' ἃ γιγνώσκει θέμενος τὴν ψῆφον εὐσεβεῖ· εἰ γὰρ ἠγνόησέν τι διδασκόμενος, τοῦ μὴ συνεῖναι δίκην οὐκ ὀφείλει δοῦναι· ἀλλ' εἴ τις εἰδὼς ἐκείνους προδέδωκεν ἢ ἐξαπατᾷ, οὗτός ἐστ' ἔνοχος τῇ ἀρᾷ. Διόπερ καταρᾶται καθ' ἑκάστην ἐκκλησίαν ὁ κῆρυξ, οὐκ εἴ τινες ἐξηπατήθησαν, ἀλλ' εἴ τις ἐξαπατᾷ λέγων ἢ βουλὴν ἢ δῆμον ἢ τὴν ἡλιαίαν. [98] Μὴ δὴ τοῦθ' ὑμῖν ἐᾶτε λέγειν, ὡς γέγονεν, ἀλλ' ὡς ἔστι δίκαιον γίγνεσθαι, μηδ' ὡς ἕτεροι δικάσαντες ἐκύρωσαν ἐκεῖνα, ἀλλ' ὑμᾶς αὐτοὺς ἀξιοῦτε διδάσκειν ὡς δικαιότερ' ἡμῶν περὶ τοῦδε λέγουσιν. Εἰ δὲ τοῦτο μὴ δυνήσονται, οὐχὶ καλῶς ἔχειν ὑμῖν ἡγοῦμαι τὴν ἑτέρων ἀπάτην κυριωτέραν ποιήσασθαι τῆς ὑμετέρας αὐτῶν γνώμης. [99] Ἔτι τοίνυν ἔμοιγε δοκεῖ καὶ σφόδρ' ἀναιδὴς ὁ τοιοῦτος εἶναι λόγος, ὡς γέγονεν καὶ πρότερόν τισιν ἄλλοις τοιαῦτα ψηφίσματα. Οὐ γὰρ εἴ τι πώποτε μὴ κατὰ τοὺς νόμους ἐπράχθη, σὺ δὲ τοῦτ' ἐμιμήσω, διὰ τοῦτ' ἀποφυγεῖν σοι προσήκει, ἀλλὰ τοὐναντίον πολὺ μᾶλλον ἁλίσκεσθαι διὰ ταῦτα. Ὥσπερ γάρ, εἴ τις ἐκείνων ἥλω, σὺ τάδ' οὐκ ἂν ἔγραψας, οὕτως, ἂν σὺ νῦν ἁλῷς, ἄλλος οὐ γράψει.

[100] Ὡς μὲν τοίνυν οὐ παρὰ πάντας τοὺς νόμους φα-

NC. 6. οφιλει S[1]. — 6-7. ἐκεῖνο προὔδωκεν A.

1. Ἡ δὲ τῆς γνώμης δόξα, l'opinion, la conception, sur laquelle repose le jugement. [Reiske.]

2. Κατὰ ταύτην, c.-à-d. κατὰ τὴν τῆς γνώμης δόξαν.

5. Εἰ γὰρ ἠγνόησέν τι διδασκόμενος, si son ignorance tient à la manière dont on lui a exposé l'affaire.

6-7. Ἐκείνους προδέδωκεν est dit de l'accusateur qui trahit les juges en prévariquant. Ἐξαπατᾷ est dit du défenseur qui les trompe dans l'intérêt de sa cause.

8. Καταρᾶται.... ὁ κῆρυξ. C'est l'imprécation rappelée dans *Ambass.*, § 70; *Cour.*, § 282.

9. Ἐξαπατᾷ λέγων, trompe par ses discours. Cf. la parodie de cette proclamation dans Aristophane, *Thesmoph.*, 343 : Ἐάν τις ἐξαπατᾷ ψευδῆ λέγων.

18-23. Οὐ γὰρ εἴ τι πώποτε.... ἄλλος οὐ γράψει. Cf. *Androt.*, § 7, où les mêmes considérations sont présentées dans les mêmes termes, ou peu s'en faut.

24. Ὡς μὲν οὖν.... Nous passons à la seconde partie du discours, la discussion de la question politique.

νερῶς γέγραφε τὸ ψήφισμ' Ἀριστοκράτης, οὐκ οἶμαι λέγειν αὐτὸν ἕξειν· ἤδη δέ τιν' εἶδον, ὦ ἄνδρες Ἀθηναῖοι, γραφὴν ἀγωνιζόμενον παρανόμων τοῖς νόμοις μὲν ἁλισκόμενον, ὡς δὲ συμφέρονθ' ὑμῖν γέγραφεν λέγειν ἐπιχειροῦντα, καὶ ταύτῃ βιαζόμενον, εὐήθη μέν, οἶμαι, μᾶλλον δ' ἀναιδῆ λόγον. [101] Εἰ γὰρ καὶ κατὰ τἆλλα πάντα συμφέρει τὰ 654 εἰρημένα, ᾗ γ' ὀμωμοκότας κατὰ τοὺς νόμους δικάσειν ὑμᾶς ἀξιοῖ κυροῦν ἃ μηδ' αὐτὸς ἔχει δικαίως δεῖξαι γεγραμμένα, ἀσύμφορ' ἂν εἴη, εἴπερ τὸ εὐορκεῖν περὶ πλείστου πᾶσίν ἐστι ποιητέον· οὐ μὴν ἀλλ' ἔχει τιν' ὅμως ἡ ἀναίδει' αὕτη λόγον. Τούτῳ τοίνυν οὐδ' οὗτος ἐνέσται πρὸς ὑμᾶς ὁ λόγος· οὕτω γὰρ σφόδρ' ἐναντίον ὂν τοῖς νόμοις τὸ ψήφισμα μᾶλλον ἀσύμφορόν ἐστιν ἢ παράνομον.

[102] Βούλομαι δ' ἤδη καὶ τοῦθ' ὑμῖν ἐπιδεικνύναι. Ἵνα δ' ὡς διὰ βραχυτάτου λόγου δῆλον ὃ βούλομαι ποιήσω, παράδειγμά τι γνώριμον πᾶσιν ὑμῖν ἐρῶ. Ἴσθ' ὅτι συμφέρει τῇ πόλει μήτε Θηβαίους μήτε Λακεδαιμονίους ἰσχύειν, ἀλλὰ τοῖς μὲν Φωκέας ἀντιπάλους, τοῖς δ' ἄλλους τινὰς εἶναι· ἐκ γὰρ τοῦ ταῦθ' οὕτως ἔχειν ἡμῖν ὑπάρχει μεγίστοις οὖσιν ἀσφαλῶς οἰκεῖν. [103] Τοῦτο τοίνυν νομίζετε ταὐτὸ καὶ τοῖς Χερρόνησον οἰκοῦσι τῶν πολιτῶν συμφέρειν, μηδέν' εἶναι

NC. 6. συμφέροι A. — 8. δεῖξαι δικαίως A. — 9. ἀσύμφορα A. ἀσύμφορον S, vulg. — 10. εστιν S. — 12. ὁ est omis dans S. — 14. δ' ὑμῖν καὶ τοῦτ' A. — 16. πᾶσι γνώριμον A. — 20. ταυτὸν τοίνυν.... τοῦτο A. — 21. οικουσιν S.

5-6. Εὐήθη.... λόγον. Ces mots sont une apposition à ὡς δὲ συμφέρονθ' ὑμῖν γέγραφεν, et dépendent, à ce titre, de λέγειν ἐπιχειροῦντα.

6-7. Τὰ εἰρημένα ne diffère pas de τὰ γεγραμμένα.

7. Ἧι, en tant que.

10. Ἔχει τιν(ὰ).... λόγον, peut se soutenir, se défendre.

16-17. Συμφέρει.... ἰσχύειν. C'était une espèce d'axiome politique familier à tout le monde. Οὐδ' ἂν εἷς ἀντείποι, ὡς οὐ συμφέρει τῇ πόλει καὶ Λακεδαιμονίους ἀσθενεῖς εἶναι καὶ Θηβαίους. C'est ainsi que s'exprime Démosthène dans la harangue *Pour les Mégalopolitains* (§ 4), prononcée peu de temps avant le présent plaidoyer. Les Thébains luttaient alors contre Phaÿllos et les Phocidiens (on était en pleine guerre Sacrée), les Lacédémoniens étaient contenus par l'Arcadie et la Messénie.

20-21. Τοῖς Χερρόνησον οἰκοῦσι τῶν πολιτῶν. La Chersonèse était habitée par des colons (κληροῦχοι) athéniens; la ville de Sestos et son territoire avaient été répartis entre eux depuis peu de temps. Cf. A. Schæfer, I, p. 402.

τῶν Θρᾳκῶν ἰσχυρόν· ἡ γὰρ ἐκείνων πρὸς ἀλλήλους ταραχὴ καὶ ὑποψία φρουρὰ Χερρονήσου μεγίστη τῶν πασῶν ἐστι καὶ βεβαιοτάτη. Τὸ τοίνυν ψήφισμα τουτὶ τῷ μὲν ἡγουμένῳ τῶν Κερσοβλέπτου πραγμάτων ἀσφάλειαν διδόν, τοῖς δὲ τῶν ἑτέρων βασιλέων στρατηγοῖς φόβον καὶ δέος μή τιν' αἰτίαν ἔχωσι παριστάν, τοὺς μὲν ἀσθενεῖς, τὸν δ' ἕν' ὄντ' ἰσχυρὸν καθίστησιν. [104] Ἵνα δὲ μὴ πάνυ θαυμάζητ' εἰ τὰ παρ' ὑμῖν ψηφίσματα τηλικαύτην ἔχει δύναμιν, γεγονὸς καὶ ὃ πάντες ἐπίστασθε πρᾶγμ' ὑμᾶς ὑπομνήσω. Ὅτε
655 Μιλτοκύθης ἀπέστη Κότυος, συχνὸν ἤδη χρόνον ὄντος τοῦ πολέμου, καὶ ἀπηλλαγμένου μὲν Ἐργοφίλου, μέλλοντος δ' Αὐτοκλέους ἐκπλεῖν στρατηγοῦ, ἐγράφη τι παρ' ὑμῖν ψήφισμα τοιοῦτον, δι' οὗ Μιλτοκύθης μὲν ἀπῆλθε φοβηθεὶς καὶ νομίσας ὑμᾶς οὐ προσέχειν αὐτῷ, Κότυς δ' ἐγκρατὴς τοῦ τ' ὄρους τοῦ ἱεροῦ καὶ τῶν θησαυρῶν ἐγένετο. Καὶ γάρ τοι μετὰ ταῦτ', ὦ ἄνδρες Ἀθηναῖοι, Αὐτοκλῆς μὲν ἐκρίνεθ' ὡς ἀπολωλεκὼς Μιλτοκύθην, οἱ δὲ χρόνοι κατὰ τοῦ τὸ ψήφισμ' εἰπόντος τῆς γραφῆς ἐξεληλύθεσαν, τὰ δὲ πρά-

NC. 2. ἐστιν S. — 6. εχωσιν S. — 8-9. Cobet veut <ἄρτι> γεγονὸς ὃ πάντες. Voy. la note explicative. — 15-16. καὶ γάρ τοι : mots omis dans A.

5. Τῶν ἑτέρων βασιλέων. Cf. § 10 sqq., où cela est exposé plus au long.

6. Τοὺς μέν désigne les autres princes, τὸν δ(ὲ) désigne Kersoblepte, non leurs défenseurs. — Ἕν' ὄντα, seul, sans compétiteur qui puisse le tenir en échec.

8. Γεγονός : un fait qui appartient au passé, non une simple prévision. Cf. § 141.

9-10. Ὅτε Μιλτοκύθης.... Les événements rappelés ici eurent lieu en 362, pendant la guerre que les Athéniens firent à Kotys de Thrace au sujet de la Chersonèse. Miltokythès se révolta contre ce dernier et offrit la Chersonèse aux Athéniens s'ils voulaient le soutenir dans ses prétentions. Mais ils ne surent point profiter de cet incident favorable. Trompés par une dépêche conciliante de Kotys (voy. § 115), ils rendirent un décret qui découragea le prétendant. Ainsi les efforts du général athénien Autoclès furent paralysés d'avance. La guerre tourna mal, le stratège fut mis en jugement, tandis que les auteurs du décret ne furent point inquiétés. Cf. *Contre Polyclès*, § 5 ; A. Schæfer, I, 135.

11. Ἀπηλλαγμένου, privé du commandement.

15. Καὶ τῶν θησαυρῶν. On voit ici que les trésors se trouvaient dans ce centre religieux de la Thrace ; aussi la possession de Ἱερὸν ὄρος équivaut-elle à la possession du pays. Cf. Eschine, *Ambass.*, § 90 : Ἐπέστειλε.... ὅτι Κερσοβλέπτης ἀπολώλεκε τὴν ἀρχὴν καὶ Ἱερὸν ὄρος κατείληφε Φίλιππος.

16. Αὐτοκλῆς.... ἐκρίνετο. On possède quelques fragments (n° 58-68 Blass), assez insignifiants, il est vrai, du discours d'Hypéride κατ' Αὐτοκλέους προδοσίας.

17-18. Οἱ δὲ χρόνοι.... ἐξεληλύθεσαν. Après un an, l'auteur d'une motion n'en était plus responsable personnellement. Cf. la *Notice* de la *Leptinéenne*, p. 5.

γματ' ἀπωλώλει τῇ πόλει. [105] Εὖ τοίνυν ἴσθ' ὅτι καὶ νῦν, εἰ μὴ λύσετε τὸ ψήφισμα τοδί, καὶ τοῖς βασιλεῦσι θαυμαστὴ γενήσεται δι' αὐτὸ ἀθυμία καὶ τοῖς στρατηγοῖς αὐτῶν· ὅλως γὰρ ἡγήσονται παρεῶσθαι μὲν αὐτοί, πρὸς Κερσοβλέπτην δ' ἀποκλίνειν ὑμᾶς. Εἰ δ' ἐκ τοῦ ταῦτα γνῶναι παραχωρήσονται τῆς ἀρχῆς ἐπὶ καιροῦ τινος αὐτοῖς ἐπιθεμένου τοῦ Κερσοβλέπτου, πάλιν ὁρᾶτε τί συμβήσεται. [106] Φέρε γὰρ πρὸς θεῶν, ἂν ἡμᾶς ἀδικῇ Κερσοβλέπτης, ὃ μᾶλλον ἐλπὶς ἢ μὴ δυνηθέντα ποιῆσαι, οὐκ ἐπ' ἐκείνους ἴμεν καὶ δι' ἐκείνων ἀσθενῆ ποιεῖν αὐτὸν ζητήσομεν; Ἂν οὖν εἴπωσιν ἡμῖν ὅτι « ὑμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, οὐ μόνον « ἡμῖν ἀδικουμένοις οὐκ ἐβοηθήσατε, ἀλλὰ καὶ φόβον, ἂν « ὑπὲρ ὑμῶν αὐτῶν ἀμυνώμεθα, θαυμαστὸν παρεστήσατε, « ψήφισμα ποιησάμενοι, τὸν ἐναντία τοῖς ὑμῖν συμφέρουσι « καὶ ἡμῖν πράττοντ' ἄν τις ἀποκτείνῃ, ἀγώγιμον εἶναι· « οὔκουν ἐστὲ δίκαιοι βοηθοὺς καλεῖν ἡμᾶς, ἐφ' οἷς καὶ περὶ 656 « ὑμᾶς αὐτοὺς καὶ περὶ ἡμᾶς κακῶς ἐβουλεύσασθε, » εἰπέ μοι, ταῦτ' ἐὰν λέγωσιν, οὐ δικαιότερ' ἡμῶν ἐροῦσιν; ἔγωγ' οἶμαι.

[107] Καὶ μὴν οὐδ' ἐκεῖνό γ' ἔστιν εἰπεῖν, ὅτι νὴ Δί' εἰκό-

NC. 1. ἀπολώλει S. — 2. λυσητε S, A, F, Y. — 4. παρεῶσθαι variante notée en marge de S par le reviseur. παρεωρᾶσθαι texte de S, vulg. Cf. *Olynth.* II, 19, NC. — 9. ἐλπὶς αὐτὸν A. — δυνηθέντ' ἂν ποιῆσαι Cobet. — 10. πάλιν ἀσθενῆ A, F. — 11. ὅτι S, F. πρὸς ταῦτα ἐκεῖνοι vulg. — ὑμεῖς δὲ A, F. — 12-13. φόβον ἀνυπέρβλητον καὶ θαυμαστόν Y. Cette variante se trouve combinée avec la leçon φόβον ἂν ὑπὲρ ὑμῶν (ἡμῶν vulg.) αὐτῶν ἀμυνώμεθα dans A et à la marge de S. — 20. ἔνεστιν A.

3. Δι' αὐτὸ ἀθυμία. Hiatus.

7. Πάλιν ὁρᾶτε, voyez encore. Πάλιν ne porte pas sur συμβήσεται, ni, comme veut Blass, sur ἐπιθεμένου.

9. Ὃ.... ποιῆσαι. Construisez ὃ μᾶλλον ἐλπίς (ἐστι) [on peut s'attendre] ποιῆσαι (αὐτὸν) ἢ μὴ (ποιῆσαι), δυνηθέντα [lorsqu'il en a le pouvoir].

9-10. Οὐκ ἐπ' ἐκείνους ἴμεν, ne nous adresserons-nous pas à eux?

13. Ὑπὲρ ὑμῶν αὐτῶν, dans votre propre intérêt.

17. Εἰπέ μοι. Tournure familière. Cf. *Phil.*, I, § 10, avec la note. Dans tout ce morceau, la puissance oratoire se dissimule sous les formes de la bonhomie. La prosopopée de *Cherson.*, § 35-36, n'a pas le même caractère. C'est la même figure transposée dans le ton de la grande éloquence.

20. Καὶ μήν.... Les partisans de Kersoblepte alléguaient que ce roi avait rendu la Chersonèse aux Athéniens. C'est cet argument que l'orateur va réfuter.

τως ἐφενακίσθητε καὶ παρεκρούσθητε. Εἰ γὰρ μηδὲν εἴχετε τῶν ἄλλων λογίσασθαι, μηδ' ἐφ' ὑμῶν αὐτῶν οἷοί τ' ἦτε ταῦτα συνεῖναι, ἦν ἰδεῖν παράδειγμ' Ὀλυνθίους τουτουσί, οἵ τί πεποιηκότος αὐτοῖς Φιλίππου πῶς αὐτῷ χρῶνται; Ἐκεῖνος ἐκείνοις Ποτείδαιαν οὐχὶ τηνικαῦτ' ἀπέδωκεν, ἡνίκ' ἀποστερεῖν οὐκέθ' οἷός τ' ἦν, ὥσπερ ὑμῖν Κερσοβλέπτης Χερρόνησον· ἀλλὰ πρὸς ὑμᾶς πολεμῶν χρήματα πόλλ' ἀναλώσας, ἑλὼν καὶ δυνηθεὶς ἂν αὐτὸς ἔχειν, εἴπερ ἐβουλήθη, παρέδωκεν, καὶ οὐδ' ἐπεχείρησεν ἄλλο ποιεῖν οὐδέν. [108] Ἀλλ' ὅμως ἐκεῖνοι, τέως μὲν ἑώρων αὐτὸν τηλικοῦτον ἡλίκος ὢν καὶ πιστὸς ὑπῆρχεν, σύμμαχοί τ' ἦσαν καὶ δι' ἐκεῖνον ἡμῖν ἐπολέμουν· ἐπειδὴ δ' εἶδον μείζω τῆς πρὸς αὐτοὺς πίστεως γιγνόμενον, τοσοῦτ' ἀπέχουσι τοῦ ψηφίσασθαι, ἄν τις ἀποκτείνῃ τινὰ τῶν ἐκείνῳ συγκατεσκευακότων τὴν ἀρχήν, ἐκ τῶν ἑαυτῶν συμμάχων ἀγώγιμον εἶναι, [109] ὥσθ' ὑμᾶς, οὓς ἴσασιν ἁπάντων ἀνθρώπων ἥδιστ' ἂν καὶ τοὺς ἐκείνου φίλους καὶ αὐτὸν τὸν Φίλιππον ἀποκτείναντας, φίλους πεποίηνται, φασὶ δὲ καὶ συμμάχους ποιήσεσθαι. Εἶτ' Ὀλύνθιοι μὲν ἴσασι τὸ μέλλον προορᾶν, ὑμεῖς δ' ὄντες Ἀθηναῖοι ταὐτὸ τοῦτ' οὐχὶ ποιήσετε; ἀλλ'

NC. 1. εφαιναχισθητε S. — 4. κέχρηνται A. — 5. ποτειδαιαν (ί au-dessus de ει) S. — 10. τέως est la leçon des mss. — 10-11. τηλικοῦτον αὐτὸν A. — και πιστοσ S, F, Y. πιστὸς vulg. — 12. μειζον S. — 19. ἴσασιν S.

1-2. Εἰ.... λογίσασθαι, quand même vous n'auriez eu d'autre raisonnement à faire. Τῶν ἄλλων n'est pas opposé à ταῦτα, et la traduction « si enim in ceteris rebus omnibus cæcutiretis » est erronée.

3. Ὀλυνθίους τουτουσί. Voy. la note sur Ὠρείταις τουτοισί, *Phil.*, IX, 12. Dans les deux passages il s'agit d'événements encore présents à toutes les mémoires.

5. Ποτείδαιαν ἀπέδωκεν. En 356. Cf. la *Notice* de la 1[re] *Olynthienne*, p. 109.

7-8. Πολεμῶν.... ἀναλώσας ἑλών, ayant pris la ville après avoir dépensé beaucoup (d'argent, de peine, d'hommes) en vous faisant la guerre. Les participes qui précèdent sont subordonnés à ceux qui suivent.

10. Ὅμως. Ce « néanmoins » ne porte pas sur la première partie de la période (τέως μέν....), mais sur la seconde (ἐπειδὴ δέ....), ou, pour parler plus exactement, il porte sur l'ensemble de la période.

12-13. Μείζω τῆς πρὸς αὐτοὺς πίστεως, trop puissant pour qu'ils puissent se fier à lui. Ἡ πρὸς αὐτοὺς πίστις est le gage qu'il leur donne, la confiance qu'il leur inspire. Cf. Dinarque, *Philoclès*, § 18 : Ἀνεῖλε πᾶσαν τὴν γεγενημένην αὐτῷ πρὸς ὑμᾶς πίστιν.

18. Φίλους πεποίηνται. Cette paix venait d'être conclue ; le traité d'alliance (φασὶ δὲ καὶ συμμάχους ποιήσειν) ne se réalisa qu'en 349.

20. Ὄντες Ἀθηναῖοι. Cf. *Phil.*, II, 26-27, où Démosthène s'étonne qu'un peuple

αἰσχρὸν τοὺς ⟨τῷ⟩ περὶ πραγμάτων ἐπίστασθαι βουλεύσασθαι δοκοῦντας προέχειν ἧττον Ὀλυνθίων τὸ συμφέρον εἰ- 657
δότας ὀφθῆναι.

[110] Ἀκούω τοίνυν αὐτὸν καὶ τοιοῦτόν τιν' ἐρεῖν λόγον, οἷον καὶ πρότερόν ποτ' Ἀριστόμαχος παρ' ὑμῖν ἐδημηγόρει, ὡς οὐκ ἔστιν ὅπως ποτὲ Κερσοβλέπτης αἱρήσεται Χερρόνησον ἀποστερεῖν ἐπιχειρῶν ἐχθρὸς ὑμῖν εἶναι· οὐδὲ γὰρ εἰ λάβοι καὶ κατάσχοι, λυσιτελήσειν αὐτῷ. Ἐκ μέν γ' ἐκείνης οὐκ ἔστιν ὑπὲρ τριάκοντα τάλαντ' ἡ πρόσοδος μὴ πολεμουμένης, εἰ πολεμήσεται δέ, οὐδέν· ἐκ δὲ τῶν ἐμπορίων, ἃ τότ' ἂν κλεισθείη, πλεῖν ἢ διακόσια [τάλαντά ἐστιν ἡ πρόσοδος]· ὥστε τί βουλόμενος μικρὰ λαμβάνειν καὶ πολεμεῖν ἂν ἕλοιτο, ἐξὸν τὰ πλείω καὶ φίλος εἶναι, θαυμάζειν φήσουσιν. [111] Ἐγὼ δ' οὐκ ἀπορῶ μὲν εἰπεῖν πόλλ', ἅ μοι δοκεῖ μᾶλλον ἄν τις ἰδὼν ἀπιστεῖν εἰκότως ἢ τούτοις πιστεύων ἐκεῖνον ἐᾶν μέγαν γίγνεσθαι· οὐ μὴν ἀλλ' ὃ μάλιστα πρόχειρον ἔχω, τοῦτ' ἐρῶ. Ἴστε δήπου Φίλιππον, ἄνδρες Ἀθηναῖοι, τουτονὶ τὸν Μακεδόνα, ᾧ πολὺ δήπου μᾶλλον ἐλυσιτέλει τὰς ἐξ ἁπάσης Μακεδονίας προσόδους ἀδεῶς λαμβάνειν ἢ μετὰ κινδύνων τὰς ἐξ Ἀμφιπόλεως, καὶ χρῆσθαι φίλοις αἱρετώτερον ἦν αὐτῷ τοῖς πατρικοῖς ὑμῖν ἢ Θετταλοῖς, οἳ τὸν πατέρ' αὐτοῦ ποτ' ἐξέβαλον. [112] Ἄνευ γὰρ

NC. 1. τοὺς τῷ H. Wolf. τοὺς mss. Cobet aimerait mieux supprimer προέχειν. — 4. αὐτοὺς A. — 11. πλεῖν Dindorf. πλέον mss. — διακόσια S, F. τριακόσια vulg. — 11. [τάλαντά ἐστιν ἡ πρόσοδος] Blass. — 12. ὥστε η (ει dans l'interligne) S. — λαμβάνων πολεμεῖν A. — 17. ὦ ἄνδρες vulg. — 18. τὸν Μακεδόνα : mots écartés par Herwerden.

aussi intelligent que les Athéniens ne montre pas plus de prévoyance que les gens de Messène ou d'Argos.

1. Ἐπίστασθαι βουλεύσασθαι. Démosthène n'évite pas ces assonances, qui nous choquent. Cf. *Symm.*, § 2, NC.

5. Ἀριστόμαχος : l'agent de Charidème dont il a été question au § 13.

8-9. Οὐκ ἔστιν. Passage du discours indirect au discours direct.

11. Τότ(ε) : c.-à-d. en cas de guerre.

13. Τὰ πλείω : sous-ent. λαμβάνειν.

15. Μᾶλλον ἄν porte sur ἀπιστεῖν, et ἰδών se rattache à ἅ.

18-19. Ὧι πολὺ δήπου μᾶλλον ἐλυσιτέλει. Quoi qu'en dise l'orateur, Philippe entendait bien l'intérêt de son pays et savait ce qu'il faisait en occupant Amphipolis, qui était la clef de la Thrace, et en gagnant la Thessalie, qui devint plus tard comme une partie intégrante de la Macédoine.

21-22. Θετταλοῖς, οἵ.... ἐξέβαλον. Diodore, XIV, 92, dit, au contraire, que les

τούτου κἀκεῖν' ἔστιν ἰδεῖν· ὑμεῖς μέν, ὦ ἄνδρες Ἀθηναῖοι, οὐδένα προυδώκατε πώποτε τῶν φίλων, Θετταλοὶ δ' οὐδένα πώποθ' ὅντιν' οὔ. Ἀλλ' ὅμως οὕτως ἐχόντων τούτων μικρὰ λαμβάνειν καὶ τοὺς ἀπίστους φίλους καὶ τὸ κινδυνεύειν ἀντὶ τοῦ μετ' ἀσφαλείας ζῆν ὁρᾶτε προῃρημένον αὐτόν. [113] Τί δή ποτ' αἴτιον; οὐ γὰρ δὴ λόγον γε τὸ πρᾶγμα
658 οὑτωσὶ πρόχειρον ἔχει. Ὅτι, ὦ ἄνδρες Ἀθηναῖοι, δυοῖν ἀγαθοῖν ὄντοιν πᾶσιν ἀνθρώποις, τοῦ μὲν ἡγουμένου καὶ μεγίστου πάντων, τοῦ εὐτυχεῖν, τοῦ δὲ ἐλάττονος μὲν τούτου, τῶν δ' ἄλλων μεγίστου, τοῦ καλῶς βουλεύεσθαι, οὐχ ἅμ' ἡ κτῆσις παραγίγνεται τοῖς ἀνθρώποις, οὐδ' ἔχει τῶν εὖ πραττόντων οὐδεὶς ὅρον οὐδὲ τελευτὴν τῆς τοῦ πλεονεκτεῖν ἐπιθυμίας· δι' ὅπερ πολλοὶ πολλάκις μειζόνων ἐπιθυμοῦντες τὰ παρόντ' ἀπώλεσαν. [114] Καὶ τί δεῖ Φίλιππον λέγειν ἤ τιν' ἄλλον; ἀλλ' ὁ πατὴρ αὐτὸς ὁ Κερσοβλέπτου Κότυς, ἡνίκα μὲν στασιάζοι πρός τινας, πρέσβεις πέμπων ἅπαντα ποιεῖν ἕτοιμος ἦν, καὶ τότ' ᾐσθάνεθ' ὡς ἀλυσιτελὲς τὸ τῇ πόλει πολεμεῖν· ἐπειδὴ δ' ὑφ' αὑτῷ τὴν Θρᾴκην ἔχοι, κατελάμβανε τὰς πόλεις, ἠδίκει, μεθύων ἐπαρῴνει, μάλιστα μὲν εἰς αὑτόν, εἶτα καὶ εἰς ἡμᾶς, τὴν χώραν ἐποιεῖθ' ἑαυτοῦ,

NC. 12. ὅρον ἢ τελευτην S seul. — 16. πέμπων πρὸς ἡμᾶς A. — 18. εἶχε H. Wolf et beaucoup d'éditeurs. — 19. Weidner veut écarter μεθύων. — 20. ὑμᾶσ S, A.

Thessaliens rétablirent Amyntas sur son trône. Mais il est difficile de récuser, pour un événement de ce genre, le témoignage de Démosthène. Amyntas fut deux fois expulsé, et les Thessaliens ont pu changer de politique dans l'intervalle de six ans. Cf. A. Schæfer, II, p. 6.

2-3. Θετταλοὶ δ' οὐδένα πώποθ' ὅντιν' οὔ. Par une espèce d'assimilation, οὐδένα ὅντινα est mis pour οὐδείς ἐστιν ὅντινα. Hermogène (III, p. 288 W.) cite cette tournure parmi celles qui embellissent le discours en s'écartant de ce qui est usuel (ἔτι σχήματα καλλωπίζει πως καὶ τὰ καινοπρεπῆ). — Quant à la mauvaise foi proverbiale des Thessaliens, voy. *Olynth.*, I, 22, avec la note.

7-8. Δυοῖν ἀγαθοῖν ὄντοιν. Ces génitifs ne sont pas absolus, mais dépendent de ἡ κτῆσις. — De ces deux biens, bonheur et prudence, le premier, qui ne dépend pas de l'homme, prime le second ; mais comme bonheur ôte d'ordinaire prudence, il se tourne par là en son contraire. On voit qu'en fin de compte prudence reprend le rang qui lui est dû.

18. Ἐπειδὴ δ' ὑφ' αὑτῷ τὴν Θρᾴκην ἔχοι. Kotys avait été maître de la Thrace avant la révolte de Miltokythès ; il le redevint après avoir étouffé cette révolte, et les alternances de domination reconnue et disputée ont pu se renouveler plusieurs fois sous son règne. L'optatif ἔχοι est donc aussi admissible que plus haut στασιάζοι ; il n'y a pas lieu d'y substituer εἶχε.

19. Μεθύων ἐπαρῴνει.... Les éditeurs citent les extravagances et les crimes

τὸ πρᾶγμ' ἀμήχανον ἦν. Τῶν γὰρ ὑπὲρ τοῦ πλεονεκτεῖν ἐπιχειρούντων οἷς οὐ χρὴ οὐ τὰ δυσχερέσταθ' ἕκαστος εἴωθε λογίζεσθαι, ἀλλ' ἃ κατορθώσας διαπράξεται. [115] Ἐγὼ δὴ δεῖν ὑμᾶς οἶμαι τοῦτον τὸν τρόπον βεβουλεῦσθαι, ὅπως, ἂν μὲν ἃ χρὴ περὶ ὑμῶν γιγνώσκῃ Κερσοβλέπτης, μηδὲν ὑφ' ὑμῶν ἀδικήσεται, ἂν δ' ἀλόγως ἀδικεῖν ἐπιχειρῇ, μὴ μείζων ἔσται τοῦ δίκην δοῦναι. Ἀναγνώσομαι δ' ὑμῖν τὴν ἐπιστολὴν ἥν, ὅτ' ἀφειστήκει Μιλτοκύθης, Κότυς ἔπεμψεν, καὶ ἣν πᾶσαν ἔχων τὴν ἀρχὴν πέμψας Τιμομάχῳ τὰ χωρί' ὑμῶν ἐξεῖλεν.

ΕΠΙΣΤΟΛΑΙ. 659

[116] Τοῦτ', ὦ ἄνδρες Ἀθηναῖοι, τὸ παράδειγμ' ἑορακότες, ἂν ἐμοὶ πεισθῆτε, κἀκεῖν' εἰδότες, ὅτι Φίλιππος, ὅτε μὲν Ἀμφίπολιν ἐπολιόρκει, ἵν' ὑμῖν παραδῷ, πολιορκεῖν ἔφη, ἐπειδὴ δ' ἔλαβεν, καὶ Ποτείδαιαν προσαφείλετο, ἐκείνην τὴν πίστιν βουλήσεσθ' ἔχειν, ἥνπερ φασὶ πρὸς Λακεδαιμο-

NC. 5. μηδὲν est ajouté en marge de S par une main ancienne. — 7. δοῦναι δίκην vulg. — 8. αφιστηκει S. — 9. ἣν πᾶσαν Reiske. ἣν ὅτε πᾶσαν mss. — 11. ΕΠΙΣΤΟΛΑΙ Reiske. ΕΠΙΣΤΟΛΗ mss. — 13. ἐμοὶ μὴ S. μὴ est ponctué dans F, remplacé par μὲν dans B, omis dans A et par la plupart des éditeurs. On a vainement essayé de défendre la négation ; l'orateur la désavoue lui-même en disant plus bas ἂν ἐμοὶ χρῆσθε συμβούλῳ. — πείθησθε A, et, ce semble, S avant correction. Cobet écrit πίθησθε, et transpose ce membre de phrase avant ἐκείνην τὴν πίστιν. — 14. ποτειδαιαν (ί au-dessus de ει) S.

commis par Kotys dans l'ivresse, et que raconte Théopompe chez Athénée, XII, p. 531. On peut croire, en effet, que l'orateur fait allusion à ces faits, ainsi qu'à l'ivrognerie proverbiale des Thraces. Il n'en est pas moins vrai que les mots μεθύων ἐπαρῴνει.... εἰς ἡμᾶς sont pris au figuré : les faits rendent la métaphore plus piquante. C'est ainsi que Démosthène dira de Philippe : οἶμαι ἐκεῖνον μεθύειν τῷ μεγέθει τῶν πεπραγμένων (*Phil.*, I, § 49).

9. Τιμομάχῳ. Après Autoklès (§ 104) et Ménon, qui lui succéda, Timomaque fut chargé, en 361, du commandement dans l'Hellespont (cf. *Polyclès*, § 12 sqq.), et ne s'en tira pas mieux. Quant au procès et à l'exil de Timomaque, voy. la note sur *Ambass.*, § 180.

12-14. Κἀκεῖνο... προσαφείλετο. Cette incidente, qui surcharge la période, a été peut-être ajoutée après coup par l'orateur et insérée après ἂν ἐμοὶ πεισθῆτε, au lieu de l'être avant ces mots. Cf. NC. Quant aux faits, voy. la *Notice* sur *Phil.* I, p. 71. — Ἵν(α)... dépend de πολιορκεῖν.

νίους ποτ' εἰπεῖν Φιλοκράτην τὸν Ἐφιάλτου· [117] καὶ γὰρ ἐκεῖνόν φασιν, ἐξαπατώντων τι τῶν Λακεδαιμονίων καὶ προτεινόντων πίστιν ἥντινα βούλεται λαμβάνειν, εἰπεῖν ὅτι πίστιν ἂν οἴεται γενέσθαι μόνην, εἰ δείξειαν ὅπως, ἂν ἀδικεῖν βούλωνται, μὴ δυνήσονται, ἐπεὶ ὅτι γ' ἀεὶ βουλήσονται εὖ εἰδέναι· ἕως ἂν οὖν δύνωνται, πίστιν οὐκ εἶναι. Ταύτην, ἂν ἐμοὶ χρῆσθε συμβούλῳ, φυλάξετε τὴν πίστιν πρὸς τοῦτον τὸν Θρᾷκα, καὶ μὴ βουλήσεσθ' εἰδέναι τίν' ἄν, εἰ πάσης ἄρξειε Θρᾴκης, πρὸς ὑμᾶς σχοίη γνώμην.

[118] Ὅτι τοίνυν ὅλως οὐδ' ὑγιαινόντων ἐστὶν ἀνθρώπων τοιαῦτα γράφειν ψηφίσματα καὶ διδόναι τισὶ τοιαύτας δωρειάς, καὶ τοῦτ' ἐκ πολλῶν ῥᾴδιον γνῶναι. Ἴστε γὰρ δήπου πάντες, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦθ' ὁμοίως ἐμοί, ὅτι τὸν Κότυν ποτ' ἐκεῖνον ἐποιήσασθε πολίτην, δῆλον ὡς κατ' ἐκεῖνον τὸν χρόνον εὔνουν ἡγούμενοι καὶ φίλον. Καὶ μὴν καὶ χρυσοῖς στεφάνοις ἐστεφανοῦτε, οὐκ ἄν, εἴ γ' ἐχθρὸν ἡγεῖσθε. [119] Ἀλλ' ὅμως, ἐπειδὴ πονηρὸς καὶ θεοῖς ἐχθρὸς ἦν καὶ μεγάλ' ὑμᾶς ἠδίκει, τοὺς ἀποκτείναντας ἐκεῖνον Πύθωνα καὶ Ἡρακλείδην, τοὺς Αἰνίους, πολίτας ἐποιήσασθ' ὡς εὐεργέτας καὶ χρυσοῖς στεφάνοις ἐστεφανώσατε. Εἰ δή, τόθ', ὅθ' ὑμῖν οἰκείως ἔχειν ὁ Κότυς ἐδόκει, ἔγραψέ τις, ἄν

NC. 1. Ἰφικράτην vulg. — εφιάλτου · les lettres του et le point en haut sur grattage, et après ce mot encore trois ou quatre lettres grattées dans S. — 4. δείξαιεν S. — 6. ἕως ἂν.... εἶναι : mots supprimés par Dobree, non sans raison. — 8. τουτονὶ A. — 9. Variante ἄρξας notée en marge par le reviseur de S. — 15. καὶ φίλον, omis avant καὶ μὴν dans S seul. — 21. ποτε S seul.

1. Φιλοκράτην τὸν Ἐφιάλτου. Xénophon, *Hell.*, IV, VIII, 24, raconte qu'il commanda en 390 une flottille athénienne.

5-6. Liez ἐπεὶ εὖ εἰδέναι. Style indirect.

7. Ἂν ἐμοὶ χρῆσθε συμβούλῳ. En résumant la longue période qui précède, l'orateur reprend aussi l'idée exprimée plus haut par les mots ἂν ἐμοὶ πείθησθε. — Φυλάξετε τὴν πίστιν, vous aurez soin de conserver ce gage de confiance.

8. Καὶ μὴ βουλήσεσθε équivaut à καὶ μὴ βούλεσθε. L'indicatif du futur est accompagné de μή à cause du sens impératif de la proposition. Cf. Aristophane, *Plut.*, v. 488 : Μαλακὸν δ' ἐνδώσετε μηδέν ; Krüger, *Gr. Gr.*, 53, 7, 4.

16. Οὐκ ἄν : sous-ent. στεφανοῦντες ou ποιοῦντες τοῦτο.

18. Τοὺς ἀποκτείναντας ἐκεῖνον. D'après Aristote, *Polit.*, V, VIII, 12, ils vengèrent la mort de leur père. Diogène Laërce, III, 46, et d'autres, nous apprennent qu'ils étaient disciples de Platon. Quant à Python, cf. § 127, avec la note.

τις ἀποκτείνῃ Κότυν, ἔκδοτον αὐτὸν εἶναι, πότερ' ἐξέδοτ' 660
ἂν τὸν Πύθωνα καὶ τὸν ἀδελφόν, ἢ παρὰ τὸ ψήφισμα τοῦτο πολίτας ἐποιεῖσθε καὶ ὡς εὐεργέτας ἐτιμᾶτε; [120] Τί δ'; Ἀλέξανδρον ἐκεῖνον τὸν Θετταλόν, ἡνίκ' εἶχε μὲν αἰχμάλωτον δήσας Πελοπίδαν, ἐχθρὸς δ' ὡς οὐδεὶς ἦν Θηβαίοις, ὑμῖν δ' οἰκείως διέκειθ' οὕτως ὥστε παρ' ὑμῶν στρατηγὸν αἰτεῖν, ἐβοηθεῖτε δ' αὐτῷ καὶ πάντ' ἦν Ἀλέξανδρος, πρὸς Διὸς εἴ τις ἔγραψεν, ἄν τις ἀποκτείνῃ Ἀλέξανδρον, ἀγώγιμον εἶναι, ἆρ' ἂν ὧν μετὰ ταῦθ' ὕβρισεν καὶ προυπηλάκισεν ἀσφαλὲς ἦν τῳ παρ' αὐτοῦ δίκην πειρᾶσθαι λαβεῖν; [121] Τί δὲ τἄλλα λέγοι τις ἄν; ἀλλ' ὁ μάλιστα δοκῶν νῦν ἡμῖν ἐχθρὸς εἶναι Φίλιππος οὑτοσί, εἰ τόθ', ὅτ' Ἀργαῖον κατάγοντας λαβὼν τῶν ἡμετέρων τινὰς πολιτῶν ἀφῆκε μὲν αὐτούς, ἀπέδωκε δὲ πάνθ' ὅσ' ἀπώλεσαν αὐτοῖς, πέμψας δὲ γράμματ' ἐπηγγέλλεθ' ἕτοιμος εἶναι συμμαχίαν ποιεῖσθαι καὶ τὴν πατρικὴν φιλίαν ἀνανεοῦσθαι, εἰ τότ' ἠξίωσε τυχεῖν τούτων καί τις ἔγραψε τῶν ἀφεθέντων ὑπ' αὐτοῦ, ἐάν τις ἀποκτείνῃ Φίλιππον, ἀγώγιμον εἶναι, καλήν γ' ὕβριν ἦμεν ἂν ὑβρισμένοι. [122] Ἆρά γ' ὁρᾶτε καὶ καταμανθάνετ', ὦ ἄνδρες Ἀθηναῖοι, ἐφ' ἑκάστου τούτων ἡλίκην ἂν ὠφληκότες ἦτε παράνοιαν, εἴ τι τοιοῦτον ἐτυγχάνετ'

NC. 1. εἶναι ajouté à la fin de la ligne par les reviseurs de S. — πότερα A. πότερον S, vulg. — 6. δοχειῶσ S[1]. — 14. ἀπωλεσεν S. — 16. αναναιουσθαι S. — 21. παρανομίαν ὠφληκότες ἦτε A.

4. Ἀλέξανδρον.... τὸν Θετταλόν. C'est Alexandre de Phères.

7. Πάντ' ἦν Ἀλέξανδρος. On rapproche *Cour.*, § 43 : Πάντ' ἐκεῖνος ἦν αὐτοῖς.

9. Ὧν.... ὕβρισεν καὶ προυπηλάκισεν équivaut à τῶν ὑβρισμάτων καὶ προπηλακισμάτων. Allusion aux déprédations des croiseurs d'Alexandre. Cf. Xénophon, *Hell.*, VI, IV, 35 : Χαλεπὸς μὲν Θετταλοῖς ταγὸς ἐγένετο, χαλεπὸς δὲ Θηβαίοις καὶ Ἀθηναίοις (tour à tour) πολέμιος, ἄδικος δὲ λῃστὴς καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν.

11. Τί δὲ τἄλλα λέγοι τις ἄν; ἀλλ(ά). Tout en passant le reste, il faut cependant parler de Philippe, qui maintenant...

12. Ἀργαῖον : l'un des deux compétiteurs de Philippe. Les Athéniens envoyèrent le stratège Mantias avec des troupes de terre et de mer pour le soutenir. C'est alors, en 359, que Philippe leur fit les gracieuses avances qui sont aussi rapportées par Diodore, XVI, 4.

17. Τούτων : les privilèges qu'Aristocrate demande pour Charidème.

20. Ἐφ' ἑκάστου τούτων : pour chacun des princes nommés, Kotys, Alexandre, Philippe.

21. Ὠφληκότες ἦτε παράνοιαν. Voy., sur ce trope, *Phil.* I, § 42, avec la note.

ἐψηφισμένοι; Ἔστι γὰρ οὐχ ὑγιαινόντων, οἶμαι, ἀνθρώπων οὔθ' ὅταν τιν' ὑπειλήφωσιν φίλον, οὕτω πιστεύειν ὥστ', ἂν ἀδικεῖν ἐπιχειρῇ, τὸ ἀμύνασθαι σφῶν αὐτῶν ἀφελέσθαι, οὔθ' ὅταν ἐχθρόν τιν' ἡγῶνται, οὕτως αὖ μισεῖν ὥστ', ἂν παυσάμενος βούληται φίλος εἶναι, τὸ ποιεῖν ἐξεῖναι ταῦτα κωλῦσαι· ἀλλ' ἄχρι τούτου καὶ φιλεῖν, οἶμαι, χρὴ καὶ μισεῖν, μηδε-
661 τέρου τὸν καιρὸν ὑπερβάλλοντας.

[123] Οὐ τοίνυν ἔγωγ' οὐδ' ἐκεῖν' ἰδεῖν δύναμαι, ὡς οὐχὶ πάντες ἄνθρωποι τούτων ἀξιώσουσι τυχεῖν, ὅσοις πέρ ἐστι καὶ ἡτισοῦν εὐεργεσίας πρόφασις πρὸς ὑμᾶς, εἰ Χαριδήμῳ δώσετε, οἷον, εἰ βούλεσθε, Σίμων, Βιάνωρ, Ἀθηνόδωρος, ἄλλοι μυρίοι. Εἰ μὲν τοίνυν πᾶσι ψηφιούμεθα ταὐτά, λήσομεν, ὡς ἔοικε, μισθοφόρων ἔργον ἀνθρώπων ποιοῦντες τὴν ἑκάστου σωτηρίαν τούτων δορυφοροῦντες· εἰ δὲ τῶν μέν, τοῖς δ' οὔ, δικαίως ἐγκαλοῦσιν οἱ μὴ τυχόντες. [124] Φέρ', ἐὰν δὲ δὴ καὶ Μενέστρατος ὑμᾶς ὁ Ἐρετριεὺς ἀξιοῖ τὰ αὐτὰ καὶ αὐτῷ ψηφίσασθαι, ἢ Φάϋλλος ὁ Φωκεὺς ἤ τις ἄλλος δυνάστης (πολλοῖς δὲ δήπου διὰ καιρούς τινας· πολλάκις φίλοι γιγνόμεθα), πότερον ψηφιούμεθα πᾶσιν ἢ οὔ; ψηφιούμεθα νὴ Δία. Καὶ τί φήσομεν, ὦ ἄνδρες Ἀθηναῖοι, [καλόν,] εἰ

NC. 10. ει τισ οὖν S. — 15. ἐγκαλοῦσιν Cobet. ἐγκαλέσουσιν mss. — 20. καλόν : glose reconnue par Cobet.

5. Τὸ.... κωλῦσαι. Construisez κωλῦσαι τὸ ἐξεῖναι ποιεῖν ταῦτα.

6. Ἀχρὶ τούτου est l'antécédent de μηδετέρου τὸν καιρὸν ὑπερβάλλοντας. La fameuse maxime de Bias, citée par Aristote, *Rhétor.*, II, 13, et Cicéron, *Læl.*, XVI, employée par Sophocle, *Ajax*, 679 sqq., a toujours été jugée excellente en politique dans les rapports internationaux.

11. Σίμων, Βιάνωρ, Ἀθηνόδωρος. Voy. § 10.

13-14. Τὴν ἑκάστου σωτηρίαν τούτων δορυφοροῦντες, nous faisant les gardes du corps de chacun d'eux. On appelait δορυφόροι les gardes mercenaires (μισθοφόροι) des rois et tyrans. Le trope hasardé σωτηρίαν δορυφοροῦντες, pour φυλάσσοντες (cf. §§ 3 et 203), fait vivement ressortir l'odieux du rôle qu'on veut faire jouer au peuple d'Athènes.

15. Ἐγκαλοῦσιν est au futur attique.

16. Μενέστρατος. La ville d'Érétrie, dans l'Eubée, était à cette époque gouvernée par des tyrans. Nous y voyons un peu plus tard Plutarque (*Paix*, § 6, et *passim*), ensuite Clitarque (*Phil.*, III, § 8 et *passim*).

17. Phaÿllos était resté seul à la tête de la Phocide après la mort de son frère Onomarque.

18. Διὰ καιρούς τινας. Les circonstances, plus que les affinités naturelles et les principes politiques, décident des alliances entre les États.

20. Τί φήσομεν, qu'alléguerons-nous ? Cf. *Cherson.*, § 37 : Τί ἐροῦμεν ἢ τί φήσομεν.

τῶν Ἑλλήνων ἐπ' ἐλευθερίᾳ προεστάναι φάσκοντες τοὺς ἰδίᾳ δυνάμεις ἐπὶ τοῖς πλήθεσι κεκτημένους δορυφοροῦντες φανούμεθα; [125] Εἰ γάρ ἐστί τῳ δοτέον τι τοιοῦτον, ὡς ἔγωγ' οὔ φημι, τῷ πρῶτον μὲν μηδὲν ἠδικηκότι πώποτε, δεύτερον δὲ μηδ' ἂν ἀδικεῖν βούληται δυνησομένῳ, ἔπειθ' ὡς ἀληθῶς ὅστις ἅπασιν ἀνθρώποις ἔσται φανερὸς ὑπὲρ τοῦ μή ⟨τι⟩ παθεῖν ταῦθ' εὑρισκόμενος, καὶ οὐκ ἐπὶ τῷ ποιεῖν μετ' ἀδείας ἑτέρους κακῶς, τούτῳ δοτέον. Ὅτι μὲν τοίνυν ὁ Χαρίδημος οὔτε τῶν ἀναμαρτήτων ἐστὶ πρὸς ὑμᾶς οὔτε τῶν ἵνα μή τι πάθῃ ταῦθ' εὑρισκομένων, ἐάσω· ἀλλ' ὡς οὐδὲ πιστὸς εἰς τὸν ἔπειτα χρόνον, ἀκούσατέ μου, καὶ σκοπεῖτ', ἂν ὑμῖν ὀρθῶς ἐξετάζειν δοκῶ.

[126] Ἐγὼ νομίζω, ὦ ἄνδρες Ἀθηναῖοι, ὅσοι μὲν τῶν ἡμετέρων ἐθῶν καὶ νόμων ἐπιθυμηταὶ γενόμενοι πολῖται 662 ἐσπούδασαν γενέσθαι, ἅμα τούτους ἂν τυγχάνειν τούτων καὶ παρ' ἡμῖν οἰκεῖν καὶ μετέχειν ὧν ἐπεθύμησαν. Ὅσους δὲ τούτων μὲν μηδενὸς μήτ' ἐπιθυμία μήτε ζῆλος εἰσέρχεται, τὴν πλεονεξίαν δ' ἀγαπῶσιν, ἣν διὰ τοῦ δοκεῖν

NC. 3. φανούμεθα S seul. φανούμεθα; ἐγὼ μὲν οὐχ ὁρῶ (cf. § 137) ou οὐκ ἔχω vulg. — 4-8. J'ai écrit τῷ πρῶτον μὲν, pour πρῶτον μὲν τῷ. Lambin insérait τῷ après δεύτερον δέ. Cobet supprimait ces deux mots ainsi que, plus bas, τούτῳ δοτέον. — 7. τι παθεῖν Markland. παθεῖν mss. ici, mais non l. 10. — 10. πάθωσι Reiske. — 11. τὸν ἅπαντα χρόνον A. — 15. J'ai écrit, avec Blass, τούτους pour τ' αὐτούς. Il faut *hos*, non *ipsos*. — 16. ὅσους S seul. ὅσοις vulg.

2. Ἐπὶ τοῖς πλήθεσι, contre les peuples, pour opprimer le grand nombre (τὸ πλῆθος) chacun dans sa ville.

3. Εἰ γάρ ἐστί τῳ δοτέον.... C'est la raison de ψηφιούμεθα, νὴ Δία. Si les Athéniens accordent une pareille faveur à un homme qui n'en est digne à aucun égard, il faudra l'accorder à tous ceux qui pourront la demander.

4-8. Τῷ πρῶτον μέν.... Les trois conditions doivent être réunies dans le même homme. La raison le dit assez, et le démonstratif τούτῳ à la fin de la phrase le confirme. Cf. NC.

4. Τῷ μηδὲν ἠδικηκότι : sous-ent. ὑμᾶς.

10. Ἵνα μή τι πάθῃ : au singulier, malgré le pluriel τῶν εὑρισκομένων. L'orateur pense à chacun en particulier. Encore une façon de parler qui nous semble peu régulière ; mais le passage d'un nombre à l'autre est familier aux écrivains de l'époque classique.

15. Ἅμα τούτους ἂν τυγχάνειν τούτων καὶ.... οἰκεῖν répond à ἅμα οὗτοι ἐτύγχανον ἂν τούτων καὶ.... ᾤκουν, ceux-là n'avaient pas plutôt obtenu le droit de cité qu'ils s'établissaient chez nous. Ἂν marque la répétition d'un fait habituel. Cf. *Phil.*, III, § 48, avec la note.

18. Τὴν πλεονεξίαν, l'avantage. Métonymie familière à toutes les langues. Voy. la note sur φιλοτιμία, *Ol.* II, § 3.

ὑφ' ὑμῶν τιμᾶσθαι καρποῦνται, τούτους δ' οἴομαι, μᾶλλον δ' οἶδα σαφῶς, ὅταν ποτὲ μείζονος πλεονεξίας ἑτέρωθεν ἐλπίδα ἴδωσιν, οὐδ' ὁτιοῦν ὑμῶν φροντίσαντας ἐκείνην θεραπεύσειν. [127] Οἷον, ἵν' εἰδῆτε καὶ ὑμεῖς πρὸς ὃ ταῦτ' ἐγὼ βλέπων λέγω, Πύθων οὑτοσί, ὅτε μὲν Κότυν εὐθὺς ἀπεκτονὼς οὐκ ἀσφαλὲς ἡγεῖτ' ἀπελθεῖν ὅποι τύχοι, ἦλθεν ὡς ὑμᾶς καὶ πολιτείαν ᾔτησεν καὶ πάντων ἐποιήσατο πρώτους ὑμᾶς, ἐπειδὴ δ' οἴεται τὰ Φιλίππου πράγματα συμφέρειν αὐτῷ μᾶλλον, οὐδ' ὁτιοῦν ὑμῶν φροντίσας τἀκείνου φρονεῖ. Οὐ γάρ ἐστιν, οὐκ ἔστιν, ὦ ἄνδρες Ἀθηναῖοι, παρὰ τούτοις τοῖς ἐπὶ τῇ τοῦ πλεονεκτεῖν προαιρέσει ζῶσιν οὐδὲν οὔτε βέβαιον οὔθ' ὅσιον, ἀλλὰ δεῖ τούτων, ὅστις εὖ φρονεῖ, φυλαττόμενον περιεῖναι, μὴ προπιστεύσαντα κατηγορεῖν.

[128] Εἰ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, τοὐναντίον ἢ τἀληθὲς ὑπάρχει, θείημεν τὸν Χαρίδημον αὐτὸν καὶ γεγενῆσθαι περὶ ἡμᾶς σπουδαῖον καὶ εἶναι καὶ ἔσεσθαι, καὶ μηδέποτ' ἄλλην γνώμην ἢ ταύτην σχήσειν, οὐδὲν μᾶλλον ἔχει καλῶς ταῦτ' αὐτῷ ψηφίσασθαι. Εἰ μὲν γὰρ ἐπ' ἄλλο τι ταύτην τὴν ἄδειαν ἐλάμβανε, τὴν ἐκ τοῦ ψηφίσματος, ἢ τὰ Κερσοβλέπτου πράγματα, ἧττον ἂν ἦν δεινόν· νῦν δ', ὑπὲρ οὗ

NC. 3. ἡμῶν S, F. — 6. ἡγεῖτο τὸ S seul, Dindorf. — 7. ἐποιεῖτο A. — 14-15. τἀληθὲς ἔχει A. — θίημεν S[1]. — 19. τὴν ἐκ τοῦ ψηφίσματος : mots écartés par Herwerden.

1. Τούτους δέ : opposé à τούτους, p. 241, l. 15, et cette opposition est mise en relief par la répétition de la particule adversative.

5. Πύθων οὑτοσί. Python d'Ænos, dont il a été question au § 119. On voit ici qu'après avoir été reçu à bras ouverts et porté aux nues par les Athéniens (cf. Plutarque, *De se ipso laud.*, XI, ou *Præc. polit.*, XX), il alla servir Philippe. C'est probablement le même qui se distingua par son éloquence dans les ambassades dont le chargeait ce roi et qui est connu sous le nom de Python de Byzance : il a pu obtenir droit de cité dans cette ville. Voy. *Harangues*, p. 239 ; A. Schæfer, II, p. 352 ; Blass, *Att. Bereds.*, II, p. 55. — Κότυν εὐθὺς ἀπεκτονώς, immédiatement après le meurtre de Kotys.

11. Τοῖς ἐπὶ τῇ τοῦ πλεονεκτεῖν προαιρέσει ζῶσιν, ceux qui prennent l'intérêt pour règle de conduite.

13-12. Δεῖ τούτων.... φυλαττόμενον περιεῖναι, οὐ προπιστεύσαντα κατηγορεῖν, avec ces hommes il faut être sur ses gardes et l'emporter ainsi sur leur perfidie, non pas commencer par la confiance pour en venir à des reproches tardifs. L'antithèse est digne de Thucydide.

14. Τοὐναντίον ἢ τἀληθὲς ὑπάρχει : membre de phrase parenthétique.

15. Τὸν Χαρίδημον αὐτόν : par opposition à Kersoblepte, dont l'orateur va s'occuper. [G.-H. Schæfer.]

20. Ἧττον ἂν ἦν δεινόν, il y aurait moins à craindre. Δεδιώς, au § 129, se réfère à δεινόν.

καταχρήσεται τῇ διὰ τοῦ ψηφίσματος πλεονεξίᾳ, οὐκ ἀξιόπιστον οὔθ' ἡμῖν οὔτ' ἐκείνῳ λογιζόμενος [αὐτὸν] εὑρίσκω. 663
[129] Σκέψασθε δ' ὡς δικαίως ἕκαστ' ἐξετάζω, καὶ σφόδρα γ' εἰκότως δεδιώς. Ἐγὼ σκοπῶ Κότυν, ὅτι κηδεστὴς ἦν Ἰφικράτει τὸν αὐτὸν τρόπον ὅνπερ Χαριδήμῳ Κερσοβλέπτης, καὶ τὰ πεπραγμέν' ὁρῶ πολλῷ μείζονα καὶ χάριτος πλείονος ἄξια ὑπὲρ Κότυος Ἰφικράτει ἢ ὑπὲρ Κερσοβλέπτου Χαριδήμῳ. [130] Σκεψώμεθα δ' οὑτωσί. Ἴστε δήπου τοῦτ', ἄνδρες Ἀθηναῖοι, ὅτι χαλκῆς εἰκόνος οὔσης παρ' ὑμῖν Ἰφικράτει καὶ σιτήσεως ἐν πρυτανείῳ καὶ δωρειῶν καὶ τιμῶν ἄλλων, δι' ἃς εὐδαίμων ἐκεῖνος ἦν, ὅμως ἐτόλμησεν ὑπὲρ τῶν Κότυος πραγμάτων ἐναντία τοῖς ὑμετέροις στρατηγοῖς ναυμαχεῖν, καὶ περὶ πλείονος ἐποιήσατο τὴν ἐκείνου σωτηρίαν ἢ τὰς ὑπαρχούσας ἑαυτῷ παρ' ὑμῖν τιμάς· καὶ εἰ μὴ μετριωτέραν ἔσχετε τὴν ὀργὴν ὑμεῖς τῆς ἐκείνου προπετείας, οὐδὲν ἂν αὐτὸν ἐκώλυεν ἀθλιώτατον ἀνθρώπων ἁπάντων εἶναι. [131] Ἀλλ' ὅμως ὁ Κότυς, ὑπ' ἐκείνου σωθεὶς καὶ λαβὼν ἔργῳ τῆς ἐκείνου φιλίας πεῖραν, ἐπειδὴ βεβαίως ἡγήσατο σῶς εἶναι, οὐχ ὅπως ἀποδώσει χάριν ἐσπούδασεν αὐτῷ, καὶ πρὸς ὑμᾶς δι' ἐκείνου τι φιλάνθρωπον ἔπραξεν, ἵνα συγγνώμης ἐπὶ τοῖς πεπραγμένοις τύχῃ, ἀλλὰ πᾶν τοὐναντίον ἠξίου μὲν αὐτὸν συμπολιορκεῖν τὰ λοιπὰ τῶν ὑμετέρων χωρίων, [132] οὐκ ἐθέλοντος δ' ἐκείνου, λαβὼν αὐτὸς τήν τε βαρβαρικὴν δύναμιν καὶ τὴν ὑπ' ἐκείνου

NC. 2. αὐτόν est écarté par Taylor et Dobree. τοῦτον Blass. — 9. ὦ Ἀθηναῖοι A — 12. ἡμετέροισ S. — 13. ποιησασθαι Blass. — 14. παρ' ὑμῶν A. — 16. ἐκώλυεν seul. ἐκώλυσεν vulg. Cf. *Cour. triér.*, § 9.

4. Κηδεστής, *affinis*, désigne aussi bien un beau-père qu'un beau-frère. Iphicrate épousa la fille de Kotys, Charidème épousa la sœur de Kersoblepte. Il ne faut pas abuser des mots τὸν αὐτὸν τρόπον pour mettre en doute des faits qui semblent bien établis. [G.-H. Schæfer.]

11-12. Ὑπὲρ τῶν Κότυος πραγμάτων. Nous ne sommes pas bien instruits de ces faits, mais on voit par la suite du récit de Démosthène, qu'après avoir aidé son beau-père à se défendre contre le rebelle Miltokythès, soutenu par Athènes (cf. § 101), Iphicrate refusa de l'assister dans ses agressions contre les possessions athéniennes.

19. Βεβαίως ἡγήσατο σῶς εἶναι : quand il avait repris Hiéron Oros et les trésors. Cf. § 104.

20-21. Δι' ἐκείνου, par lui, en le chargeant de l'exécution. — Τύχῃ a pour sujet Iphicrate.

συνειλεγμένην, καὶ τὸν Χαρίδημον τοῦτον προσμισθωσάμενος, προσέβαλλε τοῖς ὑμετέροις χωρίοις, καὶ εἰς τοῦτο
664 κατέστησε τὸν Ἰφικράτην ἀπορίας ὥστ' ἀπελθόντ' εἰς Ἄντισσαν οἰκεῖν καὶ πάλιν εἰς Δρῦν, ἡγούμενον ὡς μὲν ὑμᾶς οὐχὶ καλῶς ἔχειν ἐλθεῖν, οὓς ὑστέρους ἐπεποίητο τοῦ Θρᾳκὸς καὶ τοῦ βαρβάρου, παρ' ἐκείνῳ δ' οὐκ ἀσφαλὲς εἶναι μένειν, ὃν οὕτως ὀλιγωροῦνθ' ἑώρα τῆς ἑαυτοῦ σωτηρίας. [133] Ἂν οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ Κερσοβλέπτης ἐκ τῆς τῷ Χαριδήμῳ νῦν ἀδείας κατασκευαζομένης αὐξηθεὶς ὀλιγωρῇ μὲν ἐκείνου, νεωτερίζῃ δέ τι καὶ κινῇ πρὸς ὑμᾶς, ἐξαρκεῖ τοῦθ' ὑμῖν, ἐὰν Χαρίδημος ἐξαπατηθῇ, τὸν Θρᾷκ' ἰσχυρὸν ἐφ' ὑμᾶς αὐτοὺς κατεσκευακέναι; ἐγὼ μὲν οὐκ ἀξιῶ. Καὶ γὰρ ἐκεῖνο νομίζω δίκαιον, εἰ μὲν αἰσθάνεται ταῦτα καὶ προορᾷ Χαρίδημος, εἶθ' ὅπως τοιούτων ψηφισμάτων τεύξεται διαπράττεται, ὡς ἐπιβουλεύοντι μὴ ἐπιτρέπειν αὐτῷ, [134] εἰ δὲ λέληθεν αὐτὸν, ὅσῳ μᾶλλον εὔνουν τις αὐτὸν ὑπείληφεν εἶναι, τοσούτῳ μᾶλλον προϊδέσθαι καὶ ὑπὲρ αὐτοῦ καὶ ὑπὲρ ἐκείνου. Ἔστι γὰρ φίλων ἀγαθῶν οὐ τὰ τοιαῦτα χαρίζεσθαι τοῖς εὔνοις, ἐξ ὧν κἀκείνοις καὶ σφίσιν αὐτοῖς ἔσται τις βλάβη, ἀλλ' ὃ μὲν ἂν μέλλῃ συνοίσειν ἀμφοῖν, συμπράττειν, ὃ δ' ἂν αὐτὸς ἄμεινον ἐκείνου προορᾷ, πρὸς τὸ καλῶς ἔχον τίθεσθαι καὶ μὴ τὴν ἤδη χάριν τοῦ μετὰ ταῦτα χρόνου παντὸς περὶ πλείονος ἡγεῖσθαι. [135] Οὐ τοίνυν οὐδ' ἐκεῖνο

NC. 2. τοῖς ὑμετέροις προσέβαλλε χωρίοις A. — 4. οἰκεῖ S[1]. — 10. τι dans l'interligne de première main S. — 17. Peut-être ὑπὲρ αὐτῶν.

4. Ἄντισσαν. Ville sur la côte occidentale de l'île de Lesbos. — Δρῦν. Harpocration : Δρῦς· Δημοσθένης κατ' Ἀριστοκράτους. Πόλις ἐν Ἠπείρῳ· ἔστι δὲ καὶ ἑτέρα ἐν Θρᾴκῃ, ἧς νῦν ὁ ῥήτωρ μνημονεύει. Ταύτην Θεόπομπος ἐν εἰκοστῇ πέμπτῃ φησὶν ὑπ' Ἰφικράτους κατοικισθῆναι.

5-6. Τοῦ Θρᾳκὸς καὶ τοῦ βαρβάρου. Répétition emphatique de l'article. Cf. *Mid.*, § 152 ; *Amb.*, § 311.

11-12. Ἐξαρκεῖ τοῦθ' ὑμῖν, ἐὰν Χαρίδημος... κατεσκευακέναι, si Charidème est joué, cela compensera-t-il suffisamment à vos yeux le chagrin d'avoir fait le Thrace puissant contre vous-mêmes ? [G.-H. Schæfer.]

14. Εἶτ(α), et après cela, c.-à-d. et malgré cela.

21. Αὐτὸς ἄμεινον ἐκείνου, pour αὐτοὶ ἐκείνων. Le passage du pluriel au singulier n'a rien qui puisse choquer un lecteur des anciens.

21-22. Πρὸς τὸ καλῶς ἔχον τίθεσθαι, tourner à bien.

λογιζόμενος δύναμαι κατιδεῖν, ὡς, εἰ καὶ βάρβαρος καὶ ἄπιστος ὁ Κερσοβλέπτης, ὅμως προνοηθείη γ' ἂν μὴ τὰ τηλικαῦτ' ἀδικῆσαι Χαρίδημον. Ὅταν γὰρ πάλιν ἐξετάσω ἡλίκων Κότυς Ἰφικράτην ἀποστερήσειν μέλλων οὐδὲν ἐφρόντισεν, παντελῶς τούτῳ γ' οὐδὲν ἂν ἡγοῦμαι μελῆσαι 688 τῶν ἀπολουμένων Χαριδήμῳ. [136] Ὁ μέν γ' ἐκεῖνον τιμὰς, σίτησιν, εἰκόνα, πατρίδ' ᾗ ζηλωτὸν αὐτὸν ἐποίησεν, ὀλίγου δέω λέγειν πάνθ' ὧν ἄνευ ζῆν οὐκ ἄξιον ἦν Ἰφικράτει, νομίζων ἀποστερήσειν οὐκ ἐπεστράφη· οὗτος δ' ὡς ἀληθῶς τίνος ἂν καὶ λόγον σχοίη μὴ Χαρίδημον ἀποστερήσῃ; οὐδ' ὁτιοῦν ἐστι γὰρ παρ' ὑμῖν αὐτῷ, οὐ παῖδες, οὐχ εἰκὼν, οὐ συγγενεῖς, οὐχ ἄλλ' οὐδέν. [137] Καὶ μὴν εἰ μήτε φύσει πιστὸς ὁ Κερσοβλέπτης, ἔκ τε τῶν γεγενημένων πρότερον δικαίως ἄπιστος, μηδέν τε τοιοῦτον ὑπάρχει τοῖς πράγμασιν δι' ὃ κἂν παρὰ γνώμην καὶ φύσιν προνοηθείη τι τοῦ Χαριδήμου, τίνος εἵνεκα ἁπλῶς καὶ κομιδῇ τετυφωμένως οὕτως, ἃ βούλεται διαπράξασθαι, συλλάβωμεν αὐτῷ, καὶ ταῦτ' ἐφ' ἡμῖν ὄντα; ἐγὼ μὲν οὐχ ὁρῶ.

[138] Ὅτι τοίνυν, ἄνευ τοῦ τοῖς πράγμασι μὴ συμφέρειν τὸ ψήφισμα, οὐδὲ πρὸς δόξαν συμφέρει τῇ πόλει τοιοῦτον οὐδὲν ἐψηφισμένῃ φαίνεσθαι, καὶ τοῦτο δεῖ μαθεῖν ὑμᾶς.

NC. 7. εἰκόνα Blass. εἰκόνας mss. εἰκόνας σίτησιν A. — 9. οὐχ ἀπεστράφη (mauvaise correction) A. — 10. μὴ Taylor. μη τίνοσ S, vulg. — 11. ἐστὶ γὰρ S, F. γάρ ἐστι vulg. — 16. εἵνεκα S, F. ἕνεκα vulg. — 18. μὲν γὰρ A, F, et reviseur de S. Cf *Timocr.*, § 130, et *passim*. — 19. πράγμασιν S.

3. Πάλιν, de l'autre côté.

6. Τῶν ἀπολουμένων Χαριδήμῳ, de ce que perdra Charidème.

7. Πατρίδ', ᾗ ζηλωτὸν αὐτὸν ἐποίησε, une patrie qui l'avait rendu digne d'envie en le comblant d'honneurs. Cf. § 130 : Τιμῶν.... δι' ἃς εὐδαίμων ἐκεῖνος ἦν.

9. Οὐκ ἐπεστράφη, il n'y eut aucun égard. Cf. *Phil.*, IV, § 9, où ἐπεστράφητε figure à côté de ἐφροντίσατε.

10-12. Οὐδ' ὁτιοῦν.... οὐ παῖδες, οὐχ εἰκὼν, οὐ συγγενεῖς, οὐχ ἄλλ' οὐδέν. Tout en étant amenée par le raisonnement, cette insinuation n'en fait pas moins son effet. On peut remarquer que l'orateur insiste sur οὐ παῖδες, οὐ συγγενεῖς, et qu'il n'insère οὐχ εἰκὼν que pour mettre une certaine suite dans la comparaison avec Iphicrate.

16. Ἁπλῶς καὶ κομιδῇ. Ces deux adverbes portent sur τετυφωμένως οὕτως. « Sic per puram putam stultitiam. » [G.-H. Schæfer.]

17. Ἃ βούλεται διαπράξασθαι, συλλάβωμεν αὐτῷ, καὶ ταῦτα ἐφ' ἡμῖν ὄντα; devons-nous l'aider dans ses entreprises, et encore quand elles sont dirigées contre nous?

19. Ἄνευ, en dehors de, abstraction faite de. Cf. § 112.

Εἰ μὲν γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, πόλιν οἰκοῦντί τῳ καὶ νόμοις πολιτευομένῳ τὸ ψήφισμ' ἐγέγραπτο, δεινὸν ὂν ἧττον ἂν ἦν αἰσχρόν· νῦν δὲ γέγραπται [Χαριδήμῳ] τῷ πόλιν μὲν οὐδ' ἡντινοῦν οἰκοῦντι, Θρᾳκὶ δ' ἀνθρώπῳ [βασιλεῖ] στρατηγοῦντι καὶ διὰ τῆς ἐκείνου βασιλείας πολλοὺς ἀδικοῦντι. [139] Ἴστε γὰρ δήπου τοῦθ', ὅτι πάντες οἱ ξεναγοῦντες οὗτοι πόλεις καταλαμβάνοντες Ἑλληνίδας ἄρχειν ζητοῦσιν, καὶ πάντων, ὅσοι περ νόμοις οἰκεῖν βούλονται τὴν αὑτῶν ὄντες ἐλεύθεροι, κοινοὶ περιέρχονται κατὰ πᾶσαν χώραν, εἰ δεῖ
600 τἀληθὲς εἰπεῖν, ἐχθροί. Ἆρ' οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, καλὸν ἢ πρέπον ὑμῖν τοῦ μὲν εἵνεκα τῆς ἑαυτοῦ πλεονεξίας ἐπιβουλεύσοντος οἷς ἂν τύχῃ τοιαύτην φυλακὴν ἐψηφισμένους φαίνεσθαι, τοῖς δ' ὑπὲρ τῆς ἑαυτῶν ἐλευθερίας ἀμυνουμένοις εἴργεσθαι τῆς ὑμετέρας συμμαχίας προειρηκέναι; [140] ἐγὼ μὲν οὐχ ὑπολαμβάνω τοῦτ' οὔτε καλῶς ἔχειν οὔθ' ὑμῶν ἀξίως. Πῶς γὰρ οὐκ αἰσχρὸν Λακεδαιμονίοις μὲν ἐγκαλεῖν ὅτι τοὺς τὴν Ἀσίαν οἰκοῦντας Ἕλληνας ἔγραψαν ἐξεῖναι δρᾶσαι πᾶν ὅ τι ἂν θέλῃ βασιλεύς, αὐτοὺς δ' ἐκδοῦναι καὶ τοὺς τὴν Εὐρώπην οἰκοῦντας Κερσοβλέπτῃ καὶ πάντας ὅσων περ ἂν οἴηται κρείττων [Χαρίδημος] ἔσεσθαι; Οὐ γὰρ ἄλλο τι ποιεῖ τὸ ψήφισμα τουτί, ὅτε τῷ μὲν ἐκείνου στρατηγῷ οὐ διήρηται τί πρακτέον ἢ μή, πᾶσι δ', ἄν τις ἀμύνηται, τοσοῦτος ἐπήρτηται φόβος.

NC. 3. Je regarde Χαριδήμῳ comme une glose. — 4. βασιλεῖ, glose reconnue par Herwerden. — 9. εἰ δη S[1]. εἶ, au-dessus de η, S[4]. — 11. ἕνεκα mss. — 13. ἀμυνουμένοις Cobet. ἀμυνομένοις mss. — 14. προσειρηκέναι S. — 18. θέλη mss. — 20. J'écarte Χαρίδημος, nom placé avant ἔσεσθαι dans S et vulg., après ἔσεσθαι dans A. La phrase suivante prouve qu'il n'est pas de mise ici. — 21. τὸ ψήφισμα ποιεῖ ἢ τοῦτο· τῷ μὲν γὰρ A. — ὅτε : grattage d'une lettre après ο dans S. οὔγε Y. — 22. διήρηται A. διείρηται S, vulg.

1. Πόλιν οἰκοῦντί τῳ, à un homme établi, fixé dans une cité. Le mot πόλις implique un régime légal, idée exprimée explicitement par νόμοις πολιτευομένῳ.

8-9. Νόμοις.... ἐλεύθεροι, κοινοὶ.... ἐχθροί. Ces mots sont placés avec intention au commencement et à la fin de ces deux membres de phrase. Ἐχθροί surtout, réservé pour la fin de toute la période, est d'un grand effet.

14. Εἴργεσθαι τῆς ὑμετέρας συμμαχίας. Cf. § 91.

17. Ἔγραψαν. Dans le traité d'Antalcide, conclu en 387. Isocrate dira, en se servant presque des mêmes termes, dans son *Panathénaïque*, § 107 : Παρέδωκαν....

[141] Καὶ μὴν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ γεγονός τι πρᾶγμα φράσαι πρὸς ὑμᾶς βούλομαι, δι' οὗ μᾶλλον ἔθ' ὑμῖν γενήσεται δῆλον ὡς σφόδρα δεῖ λῦσαι τὸ ψήφισμα τουτί. Ὑμεῖς ἐποιήσασθ' ἔν τισι καιροῖς καὶ χρόνοις Ἀριοβαρζάνην πολίτην καὶ δι' ἐκεῖνον Φιλίσκον, ὥσπερ νῦν διὰ Κερσοβλέπτην Χαρίδημον. Ὢν δ' ὅμοιος ἐκεῖνος τούτῳ τῇ προαιρέσει τοῦ βίου, διὰ τῆς Ἀριοβαρζάνου δυνάμεως πόλεις κατελάμβανεν Ἑλληνίδας, εἰς ἃς εἰσιὼν πολλὰ καὶ δείν' ἐποίει, παῖδας ελευθέρους ἀδικῶν καὶ γυναῖκας ὑβρίζων, καὶ πάντα ποιῶν ὅσ' ἂν ἄνθρωπος ποιήσειεν ἄνευ νόμων καὶ τῶν ἐν πολιτείᾳ καλῶν τεθραμμένος, εἰς ἐξουσίαν ἐλθών. [142] Ἐν δὴ Λαμψάκῳ τινὲς ἄνθρωποι γίγνονται δύο· Θερσαγόρας ὄνομα τῷ, θατέρῳ δ' Ἐξήκεστος· οἳ παραπλήσια τοῖς παρ' ἡμῖν γνόντες περὶ τῶν τυράννων ἀποκτιννύασι τὸν Φιλίσκον δικαίως, τὴν 667 αὑτῶν πατρίδ' οἰόμενοι δεῖν ἐλευθεροῦν. Εἰ δὴ τῶν τόθ' ὑπὲρ Ἀριοβαρζάνου λεγόντων, ὅτ' ἐμισθοδότει μὲν τοῖς ἐν Περίνθῳ ξένοις, εἶχε δ' ὅλον τὸν Ἑλλήσποντον, μέγιστος δ'

NC. 4. καὶ χρόνοις : mots omis dans A. — 9. ἀδικῶν est écarté par Reiske et Bekker. — 10. ἂν, avant ἄνθρωπος, manque dans S, A. — 12. ὄνομα τῷ est ma conjecture. ὄνομ' αὐτῷ mss. αὐτῶν θατέρῳ, τῷ δ' A. αὐτῶν θατέρῳ, θατέρῳ δ' Herwerden. — 14. τον τυραννον S, A, F. — ἀποκτειννύασι S. — 16. J'ai écrit Ἀριοβαρζάνου pour Φιλίσκου, leçon qui me semble plutôt une correction inconsidérée qu'une erreur de distraction. — 17. εἶχεν S.

πάντας τοὺς τὴν Ἀσίαν οἰκοῦντας, διαρρήδην γράψαντες χρῆσθαι τοῦθ' ὅ τι ἂν αὐτὸς (sc. ὁ βασιλεύς) βούληται.

1. Καὶ γεγονός τι πρᾶγμα : par opposition aux éventualités possibles dont il vient d'être question. Cf. § 104.

4. Καιροῖς καὶ χρόνοις, circonstances et temps. Cf. *Timocrate*, § 15 : Ἀνάγκη πρῶτον ὑπομνῆσαι τοὺς χρόνους ὑμᾶς καὶ τὸν καιρόν. Dans le présent passage, les χρόνοι sont Olympiade CIII, 1 (367 avant J.-C.), les καιροί, la puissance d'Ariobarzane, satrape de Phrygie, qui fit la guerre à d'autres satrapes et bientôt au roi de Perse lui-même. Cf. *Rhodiens*, § 15, avec la note.

5. Φιλίσκον. Cf. § 202.

9. Ἀδικῶν : mot honnête pour βιαζόμενος. La même idée est rendue avec plus de force par ὑβρίζων. [Rebdantz.]

12. Τῷ, étant opposé à θατέρῳ δέ, équivaut à τῷ μέν, et c'est ainsi que se justifie l'emploi démonstratif de l'article. Cf. Platon, *Lois*, III, p. 701, E. Οὐ συνήνεγκεν οὔτε τοῖς οὔτε τοῖς.

13. Τοῖς παρ' ἡμῖν : Harmodios et Aristogiton.

15. Εἰ δή.... Cette supposition est toute pareille à celle qu'on a vue au § 119. Mais là il s'agissait de l'intérêt d'Athènes, ici l'orateur envisage l'honneur d'Athènes.

16-17. Τοῖς ἐν Περίνθῳ ξένοις. Les troupes mercenaires réunies dans cette ville de la Propontide, alors alliée à Athènes, servaient peut-être à contenir Kotys de Thrace. Cf. A. Schæfer, I, p. 86.

ἣν τῶν ὑπάρχων, ἔγραψέ τις ὥσπερ οὗτος νυνὶ, ἐάν τις ἀποκτείνῃ Φιλίσκον, ἀγώγιμον αὐτὸν ἐκ τῶν συμμάχων εἶναι, πρὸς Διὸς θεάσασθ' εἰς ὅσην αἰσχύνην ἂν ἡ πόλις ἡμῶν ἐληλύθει. [143] Ἧκε μὲν γὰρ ὁ Θερσαγόρας καὶ ὁ Ἐξήκεστος εἰς Λέσβον, καὶ ᾤκουν ἐκεῖ· εἰ δ' ἐφήπτετό τις τῶν Φιλίσκου φίλων ἢ παίδων, ἐξεδέδοντ' ἂν ὑπὸ τοῦ ὑμετέρου ψηφίσματος. Πῶς οὖν οὐκ αἰσχρὸν καὶ δεινὸν ἂν ἦτε πεποιηκότες, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ τοὺς μὲν παρ' ὑμῖν τοιοῦτό τι πράξαντας χαλκοῦς ἱστάντες καὶ ταῖς μεγίσταις δωρειαῖς τιμῶντες ἐφαίνεσθε, τοὺς δ' ἑτέρωθί που τὴν αὐτὴν τούτοις διάνοιαν ὑπὲρ τῆς αὑτῶν πατρίδος ἔχοντας ἐκδότους εἶναι κατεψηφισμένοι; Τοῦτο τοίνυν ἐπ' ἐκείνου μὲν, εὖ ποιοῦν, οὐ συνέβη φενακισθεῖσιν ὑμῖν αἰσχύνην ὀφλεῖν· ἐπὶ τούτου δ', ἐὰν ἐμοὶ πίθησθε, φυλάξεσθε. Μὴ γὰρ ὡρισμένου μηδενὸς, ἀλλ' ἁπλῶς « ἄν τις ἀποκτείνῃ Χαρίδημον » γεγραμμένου, τάχ' ἂν, εἰ τύχοι, καὶ τοιοῦτό τι συμβαίη.

[144] Βούλομαι τοίνυν ἤδη καὶ τὰ πεπραγμέν' ἐξετάσαι τῷ Χαριδήμῳ διὰ βραχέων, καὶ δεῖξαι τὴν ὑπερβολὴν τῆς ἀναιδείας τῶν ἐπαινούντων αὐτόν. Ἓν δ' ὑμῖν ἐκεῖν' ὑπισχνοῦ-

NC. 3. ὅσην ἂν αἰσχύνην A. — ὑμων S, F. — 6. εξεδιδοταν S. ἐξεδέδοντ' ἂν [ὑπὸ τοῦ ὑμετέρου ψηφίσματος] Blass. — ἡμετέρου S, A, F. — 8. μὲν ajouté en marge par une main ancienne dans S. — 10. φαινεσθε S. — του τὴν S[1]. — 11. σχόντας Blass. — 12. κατεψηφίζεσθε A. — 14. πίθησθε Cobet. πείθησθε S, vulg. πεισθῆτε A. — 16-17. τοιουτον τι S.

1. Τῶν ὑπάρχων, des satrapes.

4. Ἧκε, placé en tête de la phrase, est suivi de plusieurs noms de personne. Placé après les sujets, le verbe devrait être au pluriel. Cf. Madvig-Hamant, *Synt. grecque*, p. 4. O. Riemann a tiré des inscriptions attiques plusieurs exemples de cet idiotisme (*Rev. de philol.*, 1885, p. 95).

5. Ἐφήπτετο : sous-ent. αὐτῶν.

9-10. Ταῖς μεγίσταις δωρειαῖς. Sur les honneurs décernés aux deux libérateurs et à leurs descendants, voy. *Ambass.* § 280, et *Lept. passim.*

12-14. Τοῦτο.... αἰσχύνην ὀφλεῖν (encourir cette honte) est dit comme τοῦτο ἥδομαι, τοῦτο ἄχθομαι, τοῦτο ἀναγκάζομαι. On regarde généralement αἰσχύνην ὀφλεῖν comme une apposition explicative de τοῦτο. C'est une erreur : τοῦτο se réfère à ce qui précède. — Εὖ ποιοῦν, et c'est bien fait, et cela est fort heureux. Voyez, sur cet idiotisme, *Olynth.* II, § 28; *Mid.*, § 212; *Cour.*, § 231. Le sens premier de la locution s'est tellement effacé qu'elle est appliquée ici, non à une personne, mais à une chose, à un fait.

18. Βούλομαι τοίνυν.... Ici commence le troisième et dernier des points annoncés au § 18, l'indignité de Charidème.

μαι· καί μου μηδεὶς ἀχθεσθῇ τῇ ὑποσχέσει· οὐ μόνον ὑμῖν ἐπιδείξω τῆς φυλακῆς οὐκ ἄξιον ἣν γέγραφεν οὗτος, ἀλλὰ καὶ δίκην δόντ' ἂν δικαίως τὴν μεγίστην, εἴπερ οἱ κακόνοι καὶ φενακίζοντες ὑμᾶς καὶ διὰ παντὸς ἐναντία πράττοντες κο- 668 λάζοιντ' ἂν δικαίως. [145] Ἴσως δέ τισιν λογιζομένοις ὑμῶν ὅτι πρῶτον μὲν πολίτης γέγονεν ἄνθρωπος, εἶτα πάλιν χρυσοῖς στεφάνοις ὡς εὐεργέτης ἐστεφάνωται, θαυμάζειν ἐπελήλυθεν εἰ τὰ τηλικαῦθ' οὕτως ἐξηπάτησθε ῥαδίως. Εὖ τοίνυν ἴστ', ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι ἐξηπάτησθε. Καὶ δι' ἅ γ' εἰκότως τοῦτο πεπόνθατε, ἐγὼ πρὸς ὑμᾶς φράσω. Ὅτι, ὦ ἄνδρες Ἀθηναῖοι, πολλὰ γιγνώσκοντες ὀρθῶς ὑμεῖς οὐ διὰ τέλους αὐτοῖς χρῆσθε. [146] Οἷον τί λέγω; εἴ τις ὑμᾶς ἔροιτο τί πονηρότατον νομίζετε τῶν ἐν τῇ πόλει πάντων ἐθνῶν, οὔτε τοὺς γεωργοὺς οὔτε τοὺς ἐμπόρους οὔτε τοὺς ἐκ τῶν ἀργυρείων οὔτε τῶν τοιούτων οὐδὲν ἂν εἴποιτε, ἀλλ' εἰ τοὺς ἐπὶ μισθῷ λέγειν καὶ γράφειν εἰωθότας εἴποι τις, εὖ οἶδ' ὅτι συμφήσαιτ' ἂν ἅπαντες. Μέχρι μὲν δὴ τούτου καλῶς

NC. 1. οὐ μόνον γὰρ vulg. — 2. Cobet insère ὅνθ' après ἄξιον. — 6. ἄνθρωπος Bekker. ἄνθρωπος mss. — 8-9. δι' ἄττ' εἰκότως Cobet. — φράσω πρὸς ὑμᾶς A. — 12. ἔθνος Cobet. Harpocration lisait déjà ἐθνῶν. — 13. τοὺς γεωργοῦντας A.

1. Τῇ ὑποσχέσει, c.-à-d. τῇ ὑπερβολῇ τῆς ὑποσχέσεως, de ce que cette promesse peut sembler avoir d'excessif.

3. Εἴπερ, si tant est que, s'il est vrai que....

10-11. Οὐ διὰ τέλους αὐτοῖς χρῆσθε, vous n'allez pas jusqu'au bout de votre bon jugement, vous n'y donnez pas de suite pratique.

11. Οἷον τί λέγω équivaut à τί τῶν τοιούτων λέγω : parmi les cas de ce genre, quel est celui que j'ai en vue? Je n'admets pas l'explication de G. H. Schæfer : « Exempli causa : quid vultis vobis dicam? (nam multa sunt quæ commemorem.) » L'orateur ne cite pas un exemple, il précise.

12. Ἐθνῶν. Appliqué à une profession, à une classe de la société, ce terme (race, *natio*) a quelque chose de méprisant. Voy. la note sur *Mid.*, § 131. Cf. Eschyle, *Eum.* 366 : Ζεὺς γὰρ αἱματοσταγὲς, ἀξιόμισον ἔθνος τόδε (ces homicides) λέσχας ἃς ἀπηξιώσατο.

13-14. Τοὺς ἐπὶ μισθῷ λέγειν καὶ γράφειν εἰωθότας. Il ne s'agit pas de ceux qui écrivaient, comme Démosthène, pour les plaideurs et se faisaient payer par eux, mais des politiques vénaux, des orateurs qui faisaient trafic des décrets qu'ils proposaient et soutenaient de leur parole. Ce n'est pas sans malice que Démosthène amène ces orateurs après diverses espèces d'hommes qui vivent de leur travail. Cf. *Aristog.* I, § 82 : Ταῦτα γεωργεῖ, ταῦτ' ἐργάζεται. On rapproche *Cour. trier.* § 21 : Παρὰ γὰρ τῶν λεγόντων, οὓς ἴστ' ἐπὶ μισθῷ τοῦτο πράττοντας, πυνθάνεσθε ποῖόν τιν' ἕκαστον δεῖ νομίζειν, οὐκ αὐτοὶ θεωρεῖτε. Καίτοι πῶς οὐκ ἄτοπον τούτους μὲν αὐτοὺς πονηροτάτους τῶν πολιτῶν νομίζειν, τοὺς δ' ὑπ' αὐτῶν ἐπαινουμένους χρηστοὺς ἡγεῖσθαι; Καὶ γάρ τοι πάντα δι' αὐτῶν ποιοῦνται, κ. τ. λ.

ἐγνώκατε, ἔπειτ' οὐκέτ' ὀρθῶς τὸ λοιπόν. [147] Οὓς γὰρ αὐτοὶ πονηροτάτους νομίζετε πάντων, τούτοις περὶ τοῦ ποῖόν τιν' ἕκαστον χρὴ νομίζειν πεπιστεύκατε· οἱ δ' ὃν ἂν αὐτοῖς λυσιτελῇ, καὶ χρηστὸν καὶ πονηρὸν εἶναί φασιν, οὐχ ὃν ἂν ᾖ δίκαιον καὶ ἀληθές. Ὅπερ πεποιήκασι τὸν Χαρίδημον τοῦτον οἱ ῥήτορες πάντα τὸν χρόνον, ὡς καὶ ὑμεῖς ὁμολογήσετε, ἐπειδὰν ἀκούσητέ μου τὰ πεπραγμέν' αὐτῷ.

[148] Ὅσα μὲν δὴ στρατιώτης ὢν ἐν σφενδονήτου καὶ ψιλοῦ μέρει τὸ ἀπ' ἀρχῆς ἐναντί' ἐστράτευται τῇ πόλει, οὐ τίθημ' ἐν ἀδικήματος μέρει, οὐδ' ὅτι λῃστικόν ποτε πλοῖον ἔχων ἐλῄζετο τοὺς ὑμετέρους συμμάχους, ἀλλ' ἐῶ ταῦτα. Διὰ τί; ὅτι, ὦ ἄνδρες Ἀθηναῖοι, αἱ ἀναγκαῖαι χρεῖαι τοὺς
669 τοῦ τί πρακτέον ἢ μὴ λογισμοὺς ἀναιροῦσιν ἅπαντας, ὥστ' οὐ πάνυ ταῦτ' ἀκριβολογεῖσθαι δεῖ τὸν δικαίως ἐξετάζοντα. Ἀλλ' ὅθεν ἀρξάμενος ξεναγῶν ἤδη καί τινων ἄρχων στρατιωτῶν κακῶς ὑμᾶς ἐποίει, ταῦτ' ἀκούσατέ μου. [149] Οὗτος ἐν μὲν ἁπάντων πρῶτον, μισθωθεὶς ὑπ' Ἰφικράτους καὶ πλεῖν ἢ τρί' ἔτη μισθοφορήσας παρ' ἐκείνῳ, ἐπειδὴ τὸν μὲν Ἰφικράτην ἀποστράτηγον ἐποιήσατε, Τιμόθεον δ' ἐπ' Ἀμφίπολιν καὶ Χερρόνησον ἐξεπέμψατε στρατηγόν, πρῶτον μὲν

NC. 1-2. οὖσ γὰρ, et dans l'interligne ὑμεισ αυτοὶ de la main de l'ancien reviseur, S. — 4. καὶ πονηρὸν καὶ χρηστὸν A. — 5. ὅπερ καὶ F. — 10. ψιλοῦ τάξει Cobet. — 13. ['Αθηναῖοι] Blass. — 15. οὐ μη (μη pointé) S. — 19. πλεῖν Dindorf. πλεῖον vulg. — 21. στρατηγόν est retranché par Cobet.

5. Ὅπερ πεποιήκασι τὸν Χαρίδημον. Le verbe ποιεῖν n'équivaut évidemment pas à πονηρὸν καὶ χρηστὸν φάναι, mais répond à l'idée générale contenue dans ces mots. Ils ont fait à Charidème la réputation qui convenait à leur intérêt.

9-10. Σφενδονήτου καὶ ψιλοῦ. Ce dernier mot n'ajoute rien de nouveau, car les frondeurs font partie des troupes légères. Si l'orateur amplifie l'expression, c'est pour s'arrêter plus longtemps sur le métier vil et méprisé exercé autrefois par Charidème. [Weber.]

10-11. Μέρει.... μέρει. Cf. NC.

13-14. Ἀναγκαῖαι χρεῖαι. C'est ce que Thucydide appelle ἀκούσιαι ἀνάγκαι, III, 82, 2. Il appelle γνώμας ce que Démosthène désigne plus explicitement par les mots τοὺς τοῦ πρακτέον ἢ μὴ λογισμούς.

15-16. Ὅθεν ἀρξάμενος ξεναγῶν ἤδη.... κακῶς ὑμᾶς ἐποίει, depuis le premier mal qu'il vous fit lorsqu'il était déjà chef de troupes mercenaires.

20. Ἰφικράτην.... Τιμόθεον δ(ὲ).... Iphicrate, n'ayant pas réussi à reprendre Amphipolis, fut remplacé dans le commandement par Timothée en 364. Cf. le scholiaste d'Eschine, *Ambass.*, § 31; Diodore, XV, 81.

τοὺς Ἀμφιπολιτῶν ὁμήρους, οὓς παρ' Ἁρπάλου λαϐὼν Ἰφικράτης ἔδωκε φυλάττειν αὐτῷ, ψηφισαμένων ὑμῶν ὡς ὑμᾶς κομίσαι παρέδωκεν Ἀμφιπολίταις· καὶ τοῦ μὴ λαϐεῖν Ἀμφίπολιν τοῦτ' ἐμποδὼν κατέστη. Δεύτερον δὲ, μισθουμένου Τιμοθέου πάλιν αὐτὸν καὶ τὸ στράτευμα, τούτῳ μὲν οὐ μισθοῖ, πρὸς δὲ Κότυν πλέων ᾤχετ' ἔχων τὰς ὑμετέρας τριακοντόρους, ὃν ἀκριϐῶς ᾔδει τῶν ὄντων ἀνθρώπων ἐχθρόταθ' ὑμῖν διακείμενον. [150] Καὶ μετὰ ταῦτ', ἐπειδὴ τὸν πρὸς Ἀμφίπολιν πόλεμον πρότερον πολεμεῖν εἵλετο Τιμόθεος τοῦ πρὸς Χερρόνησον, καὶ οὐδὲν εἶχε ποιεῖν ὑμᾶς ἐκεῖ κακὸν, μισθοῖ πάλιν αὐτὸν Ὀλυνθίοις τοῖς ὑμετέροις ἐχθροῖς [καὶ] τοῖς ἔχουσιν Ἀμφίπολιν κατ' ἐκεῖνον τὸν χρόνον. Καὶ πλέων ἐκεῖσε, ἐκ Καρδίας ἀναχθεὶς, ἵνα τἀναντία τῇ πόλει πολεμῇ, ὑπὸ τῶν ἡμετέρων τριήρων ἥλω. Διὰ τὸν παρόντα δὲ καιρὸν καὶ τὸ δεῖν ξένων ἐπὶ τὸν πόλεμον τὸν ἐπ' Ἀμφίπολιν, ἀντὶ τοῦ δίκην δοῦναι ὅτι οὐκ ἀπεδεδώκει τοὺς ὁμήρους καὶ διότι πρὸς Κότυν ἐχθρὸν ὄνθ' ὑμῖν ηὐτομόλησεν

NC. 4. ἐμπόδιον A. — 9. αμφι || πόλεμον S[1]. — προειλετο A, F. — 12. καὶ a été écarté par Cobet. — 15. δεῖσθαι A, variante notée en marge par le reviseur de S. — 16. αποδεδωκει S. ἀπέδωκε A. — 16. διότι οὐκ A, F.

1. Ἁρπάλου. A. Schæfer suppose (II, p. 13, n. 2) que c'était un oncle du fameux Harpale.

4-5. Μισθουμένου Τιμοθέου, quand Timothée voulait le prendre à sa solde. Voy. les observations sur διδόναι *Symm.*, § 26, πείθειν, *ib.*, § 41, et *passim*.

6-7. Τὰς ὑμετέρας τριακοντόρους. Les navires appartenaient aux Athéniens, mais les troupes, τὸ στράτευμα, étaient à Charidème.

7. Τῶν ὄντων ἀνθρώπων Cf. la note sur *Paix*, § 5.

9. Πρότερον πολεμεῖν εἵλετο. On a vu que Timothée avait été chargé d'opérer dans la Chersonèse et du côté d'Amphipolis. Il se tourna d'abord de ce dernier côté, et, comme Amphipolis faisait alors partie de la ligue olynthienne, Timothée fit la guerre dans la Chalcidique où il réussit à prendre Toroné et Potidée. Un décret athénien de 363 dit très exactement τὸν πόλεμον τὸν πρὸς Χαλκιδέας καὶ Ἀμφίπολιν. Cf. *C. I. A.* II, 1, 55.

10. Καὶ οὐδὲν εἶχε ποιεῖν ὑμᾶς ἐκεῖ κακόν, comme plus bas, ἵνα τἀναντία τῇ πόλει πολεμῇ. Par le fait, Charidème se transportait toujours là où l'on faisait la guerre et où il espérait trouver du service, chez les uns ou les autres, peu lui importait : sa conduite en cette occurrence même prouve bien son indifférence en fait de politique.

13. Καρδίας. Le site de cette ville, qui était la clef de la Chersonèse de Thrace, sera décrit au § 182.

17. Ηὐτομόλησεν. Charidème croyait sans doute n'avoir pas fait acte de déserteur. Il avait été à la solde d'Iphicrate, et il pensait avoir contracté un engagement avec ce général plutôt qu'avec la république.

670 ἔχων τὰς τριακοντόρους, πίστεις δοὺς καὶ λαβὼν ἐστράτευσε μεθ' ὑμῶν. [151] Ὧν δ' ἐκεῖνον δίκαιον ἦν χάριν ὑμῖν ἔχειν οὐκ ἀπολωλότα, τοῦτο παθόντ' ἂν δικαίως, ἀντὶ τούτων ὡς ὀφείλουσ' ἡ πόλις αὐτῷ στεφάνους καὶ πολιτείαν καὶ ἃ πάντες ἐπίστασθε δέδωκεν. Καὶ ὅτι ταῦτ' ἀληθῆ λέγω, τό τε ψήφισμ' ἀνάγνωθί μοι τὸ περὶ τῶν ὁμήρων, καὶ τὴν Ἰφικράτους ἐπιστολὴν καὶ τὴν Τιμοθέου, καὶ μετὰ ταῦτα τὴν μαρτυρίαν ταυτηνί· ὄψεσθε γὰρ οὐ λόγους οὐδ' αἰτίαν, ἀλλ' ἀλήθειαν οὖσαν ὧν λέγω. Λέγε.

ΨΗΦΙΣΜΑ. ΕΠΙΣΤΟΛΑΙ. ΜΑΡΤΥΡΙΑ.

[152] Ὅτι μὲν τοίνυν καὶ τὸ πρῶτον, οὐ πολεμεῖν ὑμῖν ᾤετο, ἐκεῖσ' ἐμίσθωσεν αὑτὸν πολλαχόσ' ἄλλοσε μισθῶσαι παρόν, καὶ μετὰ ταῦθ', ὡς οὐδὲν ἐκεῖ κακὸν εἶχε ποιεῖν ὑμᾶς, ἔπλει δεῦρο πάλιν οὗ τἀναντί' ἔμελλε πράξειν τῇ πόλει, καὶ τοῦ μὴ λαβεῖν Ἀμφίπολιν πάντων οὗτος αἰτιώτατός ἐστιν, ἀκηκόατ' ἐκ τῆς ἐπιστολῆς καὶ τῆς μαρτυρίας. Καὶ τὰ μὲν πρῶτα τοιαῦτ' ἐστὶν τῶν ἔργων τῶν Χαριδήμου,

NC. 1. εστράτευσεν S. — 2. Var. ὧν οὖν ἦν δίκαιον ἐκεῖνον reviseur en marge de S. — 3. ἀντὶ τούτων, entre ως et ὡς est omis dans A. — 4-5. καὶ ἅπανθ' ὅσα ἐπίστασθε A. — 5. δέδωκε S. — 8. λόγον A. — αἰτίας vulg. — 9. λέγε Reiske. λέγε τὴν μαρτυρίαν S. λέγε τὴν ἐπιστολήν vulg. — 10. ΕΠΙΣΤΟΛΑΙ Reiske. ΕΠΙΣΤΟΛΗ mss. 11. πολεμήσειν A. — 12. μισθῶσαι est retranché par Herwerden. — 15. πάντων est omis dans A. — 15-16. αιτιότατοσ S. — ἐπιστολῆς καὶ τοῦ ψηφίσματος vulg.

3. Si ὧν était suivi de ποινὰς οὐ δεδωκότα, la construction serait plus régulière. Οὐκ ἀπολωλότα demanderait plutôt ἀντὶ ὧν. Aussi dans l'apodose la préposition est-elle ajoutée avant τούτων. — Τοῦτο παθόντ' ἂν δικαίως, quand il aurait mérité ce châtiment.

4-5. Ἃ πάντες ἐπίστασθε. Le § 185 est plus explicite à ce sujet.

5. Ὅτι. Sans ellipse ἵν' εἰδῆτ' ὅτι au § 174.

6. Ψήφισμα. Cf. p. 151, l. 2.

6-7. Τὴν Ἰφικράτους ἐπιστολὴν καὶ τὴν Τιμοθέου. La première annonçait évidemment la remise des otages à Charidème, la seconde leur mise en liberté par ce même Charidème. [Weber].

9. Ἀλήθειαν οὖσαν ὧν λέγω équivaut à ἀλήθειαν ἔχοντα ἃ λέγω. Cf. *Onétor*, I, § 34 : Οὐκ ἔχει ἀλήθειαν ταῦτα πιστήν, ἀλλὰ λόγοι ταῦτ' εἰσίν.

11. Οὐ se réfère à ἐκεῖσε.

14. Δεῦρο ne désigne pas, comme d'ordinaire, le lieu où se trouve celui qui parle, mais δεῦρο et ἐκεῖσε sont opposés, comme « par ci par là ». Cf. Aristophane, *Thesm.*, 666 : Καὶ τὰ τῇδε καὶ τὰ δεῦρο πάντ' ἐπισκόπει καλῶς.

16. Ἐκ τῆς ἐπιστολῆς. Entendez la lettre de Timothée. [Weber.]

μετὰ ταῦτα δ' ἄλλα θεάσασθε. [153] Χρόνου γὰρ διελθόντος καὶ τοῦ πολέμου πρὸς Κότυν ὄντος ἤδη, πέμπει πρὸς ὑμᾶς ἐπιστολὴν (μᾶλλον δ' οὐχὶ πρὸς ὑμᾶς, ἀλλὰ πρὸς Κηφισόδοτον· οὕτω σφόδρ' ὑπ' αὐτοῦ γ' οὐδὲν ἂν ἐξαπατηθῆναι τὴν πόλιν ἡγεῖτο, συνειδὼς ἃ πεποίηκεν) ἐν ᾗ Χερρόνησον ὑπέσχετο τῇ πόλει κομιεῖσθαι, πάντα τούτοις τἀναντί' ἐγνωκὼς ποιεῖν. Δεῖ δ' ὑμᾶς τὸ πρᾶγμ', οἷον ἦν, τὸ περὶ τὴν ἐπιστολὴν ἀκοῦσαι (καὶ γάρ ἐστι βραχύ) καὶ θεωρῆσαι τὸν τρόπον τἀνθρώπου, ὡς ὑμῖν ἀπ' ἀρχῆς κέχρηται. 671

[154] Ἐκεῖνος ὡς ἀπόμισθος γίγνεται παρὰ τοῦ Τιμοθέου τότε, ἀπ' Ἀμφιπόλεως ἀναχωρῶν, διαβὰς εἰς τὴν Ἀσίαν, διὰ τὴν σύλληψιν τὴν Ἀρταβάζῳ συμβᾶσαν τόθ' ὑπ' Αὐτοφραδάτου μισθοῖ τὸ στράτευμα καὶ αὑτὸν τοῖς Ἀρταβάζου κηδεσταῖς, λαβὼν δὲ πίστεις καὶ δούς, ὀλιγωρήσας τῶν ὅρκων [καὶ παραβὰς αὐτούς], ἀφυλάκτων ὄντων ὡς ἂν πρὸς φίλον τῶν ἐν τῇ χώρᾳ, καταλαμβάνει Σκῆψιν καὶ Κεβρῆνα

NC. 1. βραχέος διελθόντος, A. διελθόντος βραχέος F. — 4. οὕτως, le σ pointé, S. — οὐδ' ἂν mss. οὐκ ἂν ou οὐδαμῶς ἂν Dobree. J'ai écrit οὐδὲν ἄν. — 5. ἐπεποιήκει Dobree. — 7-8. τὸ περὶ τὴν ἐπιστολήν: mots écartés par Herwerden. — 13. μισθοῦ S¹ τε (c.-à-d. ται) ajouté par S⁴. — 14. ολιγωρισασ S. — 15. καὶ παραβὰς αὐτούς : glose reconnue par Herwerden.

2. Τοῦ πολέμου πρὸς Κότυν ὄντος ἤδη. C'est la guerre mentionnée au § 104.

3. Πρὸς Κηφισόδοτον. Céphisodote fut envoyé comme stratège dans l'Hellespont sous l'archonte Kallimédès, en 360-359. Voy. les scholies d'Eschine, *Amb.*, § 51, éd. Schultz. Il résulte de l'ensemble du récit de Démosthène que Céphisodote n'était pas encore parti d'Athènes quand Charidème lui écrivit

4. Οὕτω σφόδρ(α).... L'orateur tourne la chose très habilement. Mais si Charidème s'adressa à Céphisodote plutôt qu'au peuple, c'est, je crois, parce que les chefs de troupes mercenaires étaient engagés par le stratège et n'avaient affaire qu'à lui.

10. Ἐκεῖνος ὡς.... Pour expliquer l'affaire de la lettre, l'orateur remonte plus haut et reprend les faits à partir du moment où Charidème cessa d'être à la solde de Timothée (ἀπόμισθος γίγνεται). Cela eut lieu, je suppose, au commencement de 363 après la défaite, près d'Amphipolis, d'Alcimaque, lieutenant de Timothée. Cf. le scholiaste d'Eschine, *Amb.*, § 31. Les mots ἀπ' Ἀμφιπόλεως ἀναχωρῶν ne peuvent faire allusion à une autre tentative de Timothée contre cette ville que l'on place, d'après le même scholiaste, en 360-359.

12-13. Διὰ τὴν σύλληψιν τὴν Ἀρταβάζῳ συμβᾶσαν.... Il ne faut pas confondre ces faits avec ceux qui eurent lieu plus tard, en 356, que Diodore raconte XVI, 22, et auxquels Démosthène fait allusion dans *Phil.* I, § 24.

13-14. Τοῖς Ἀρταβάζου κηδεσταῖς. Les deux beaux-frères d'Artabaze seront nommés au § 157.

16. Σκῆψιν καὶ Κεβρῆνα : villes de la Troade au pied du mont Ida dans la petite Phrygie.

καὶ Ἴλιον αὐτῶν. [155] Ἐγκρατὴς δὲ γενόμενος τούτων τῶν χωρίων πρᾶγμ' ἔπαθεν τοιοῦτον, οἷον οὐχ ὅτι στρατηγὸς ἂν [ἠγνόησέ] τις εἶναι φάσκων, ἀλλ' οὐδ' ὁ τυχὼν ἄνθρωπος. Οὐδ' ὁτιοῦν γὰρ χωρίον ἔχων ἐπὶ θαλάττῃ, [οὐδ'] ὅθεν ἂν σιτοπομπίας ηὐπόρησε τοῖς στρατιώταις, οὐδ' αὖ σῖτον ἔχων ἔν τοῖς χωρίοις, ὑπέμεινεν ἐν τοῖς τείχεσιν, καὶ οὐ διαρπάσας ᾤχετ', ἐπειδή γ' ἀδικεῖν ἔγνω. Ὡς δὲ συλλέξας δύναμιν παρῆν ὁ Ἀρτάβαζος, ἀφειμένος παρὰ τοῦ Αὐτοφραδάτου, τῷ μὲν ὑπῆρχεν ἐπισιτισμὸς ἐκ τῆς ἄνωθεν Φρυγίας καὶ Λυδίας καὶ Παφλαγονίας οἰκείας οὔσης, τῷ δ' οὐδ' ὁτιοῦν ἄλλο πλὴν πολιορκία περιειστήκει. [156] Αἰσθόμενος δ' οὗ ἦν κακοῦ καὶ λογισμὸν λαβὼν ὅτι ληφθήσεται, κἂν μηδενὶ τῶν ἄλλων, τῷ γε λιμῷ, εἶδεν, εἴτε δή τινος εἰπόντος εἴτ' αὐτὸς συνείς, ὅτι σωτηρία μόνη γένοιτ' ἂν αὐτῷ, ἥπερ ἅπαντας ἀνθρώπους σῴζει. Ἔστι δ' αὕτη τίς; ἡ ὑμετέρα, ὦ ἄνδρες Ἀθηναῖοι, εἴτε χρὴ φιλανθρωπίαν λέγειν εἴθ' ὅ τι δήποτε. Γνοὺς δὲ τοῦτο πέμπει τὴν ἐπιστολὴν ὑμῖν, ἧς ἄξιόν ἐστιν ἀκοῦσαι, βουλόμενος διὰ τῆς ὑποσχέσεως τοῦ
672 κομιεῖσθαι Χερρόνησον ὑμῖν, καὶ διὰ τοῦ τὸν Κηφισόδοτον δοκεῖν ἐχθρὸν ὄντα τοῦ Κότυος καὶ τοῦ Ἰφικράτους ταῦτα βούλεσθαι, τριήρων εὐπορήσας παρ' ὑμῶν ἀσφαλῶς ἐκ τῆς Ἀσίας ἀποδρᾶναι. [157] Τί δὴ συμβαίνει παραυτά, ὅθεν

NC. 1 τούτων γενόμενος A. — 3. ἠγνόησε : glose reconnue par Dobree. — 4. ἔχων χωρίον A. — οὐδ' écarté par Cobet. — 5. εὐπορησεν S. — 9. ἄνω A. — 11. περιΐστηκει S. — 12. δὲ ajouté par le reviseur dans S.

1. Ἴλιον. Les détails de la surprise de cette ville par Charidème sont rapportés par Énée, *Poliorc.*, 24, et Polyen, *Strateg.*, III, 14. On y voit qu'Athénodore d'Imbros (cf. § 10) combattait contre Charidème en Asie, comme dans la Thrace.

2. Ἂν : sous-ent. ἔπαθεν, comme, au § 154, ὡς ἂν πρὸς φίλον (εἶεν).

7. Ἐπειδή γ' ἀδικεῖν ἔγνω. Aucun scrupule ne pouvait l'empêcher de commettre un excès de plus dans l'intérêt de sa sûreté.

11. Οὐδὲν ἄλλο πλὴν πολιορκία περιειστήκει, pour se ravitailler, il n'avait autour de lui que l'armée qui l'assiégeait. Le tour est frappant comme celui du vers de Sophocle (*Phil.*, 283) : Πάντα δὲ σκοπῶν ηὕρισκον οὐδὲν πλὴν ἀνιᾶσθαι πάρα.

16-17. Εἴθ' ὅ τι δήποτε. L'orateur allait dire εἴτ' εὐήθειαν; sa réticence est à la fois plus convenable et plus piquante.

20. Ἐχθρὸν ὄντα τοῦ Κότυος. Cela suffirait; si l'orateur ajoute καὶ τοῦ Ἰφικράτους, c'est par manière d'explication. Céphisodote était sans doute brouillé avec Iphicrate, et par suite il ne voulait pas de bien au beau-père d'Iphicrate.

ἐξηλέγχθη τὸ πρᾶγμ' ἐπ' αὐτοφώρῳ; ὁ Μέμνων καὶ ὁ Μέντωρ, οἱ κηδεσταὶ τοῦ Ἀρταβάζου, ἄνθρωποι νέοι καὶ κεχρημένοι ἀπροσδοκήτῳ εὐτυχίᾳ τῇ τοῦ Ἀρταβάζου κηδείᾳ, βουλόμενοι τῆς χώρας ἄρχειν εὐθὺς ἐν εἰρήνῃ καὶ τιμᾶσθαι καὶ μὴ πολεμεῖν μηδὲ κινδυνεύειν, πείθουσι τὸν Ἀρτάβαζον τοῦ μὲν τιμωρεῖσθαι τὸν Χαρίδημον ἀφέσθαι, ἀποστεῖλαι δ' ὑπόσπονδον, διδάσκοντες ὡς ὑμεῖς, κἂν ἐκεῖνος μὴ θέλῃ, διαβιβᾶτε καὶ οὐ δυνήσεται κωλύειν. [158] Ὡς δὲ τυγχάνει ταύτης τῆς ἀλόγου καὶ ἀπροσδοκήτου σωτηρίας ὁ Χαρίδημος, διαβὰς εἰς τὴν Χερρόνησον ἐφ' αὑτοῦ διὰ τὰς σπονδάς, τοσούτου ἐδέησεν ἐπελθεῖν τῷ Κότυϊ, γεγραφὼς ὅτι οὐχ ὑπομενεῖ Κότυς αὐτὸν ἐπιόντα, ἢ τὴν Χερρόνησον ὅπως κομιεῖσθ' ὑμεῖς συμπρᾶξαι, ὥστε πάλιν μισθώσας αὐτὸν τῷ Κότυϊ τὰ ὑπόλοιπα τῶν ὑμετέρων χωρίων Κριθώτην καὶ Ἐλαιοῦντ' ἐπολιόρκει.

Καὶ ὅτι ταῦτα, καὶ ἡνίκ' ἔτ' ἦν ἐν τῇ Ἀσίᾳ καὶ τὴν ἐπιστολὴν ἔπεμπε πρὸς ὑμᾶς, ἐγνωκὼς ποιεῖν ἐφενάκιζεν ὑμᾶς, ἀπὸ τῆς διαβάσεως ἣν ἐποιήσατο γνώσεσθε· ἐκ γὰρ Ἀβύδου τῆς τὸν ἅπαντα χρόνον ὑμῖν ἐχθρᾶς, καὶ ὅθεν ἦσαν οἱ Σηστὸν καταλαβόντες, εἰς Σηστὸν διέβαινεν, ὃν εἶχε Κότυς. [159] Καίτοι μὴ νομίζετε μήτ' ἂν τοὺς Ἀβυδηνοὺς αὐτὸν ὑποδέχεσθαι μήτ' ἂν τοὺς ἐν τῷ Σηστῷ, τῆς ἐπιστολῆς ὑμῖν ἐκείνης πεπεμμένης, εἰ μὴ συνῄδεσαν φενακίζοντι αὐτῷ τότε 673

NC. 1. φανερωσ το πρᾶγμ' S seul. La correction marginale qu'indique un signe de renvoi au-dessus de αυτοφωρωι a été omise. — 3. Deux hiatus en trois mots. — 6. ἀφέσθαι Cobet. ἀφεῖσθαι mss αφεισθαι καὶ μὴ πολεμεῖν S, Y. — 11. τοσοῦτ' ἐδέησεν Blass. — 12. [αὐτὸν] Blass. — οπωσ, le π et le σ sur grattage, S. — 15. ελεουντα S et vulg. — 17. τἀναντία ἐγνωκὼς A, F. — 19. χρόνον ⟨θ'⟩ ὑμῖν Blass. — 21. ἣν A. variante notée en marge par le reviseur de S. — 22. μητ' αυτοὺς (i.-e. αὖ τοὺς) ἐν τῷ Σηστῷ A. — 23. αὐτῷ φενακίζοντι A.

1. Μέμνων. Il s'illustra plus tard en servant le dernier Darius contre Alexandre.

9. Ἀλόγου, en dehors de toute prévision raisonnable.

10. Ἐφ' αὑτοῦ, par lui-même, sans le secours des Athéniens. Voy. la note sur *Lept.*, § 54.

14-15. Κριθώτην καὶ Ἐλαιοῦντα. Cette dernière ville se trouvait à la pointe de la Chersonèse, l'autre à l'extrémité opposée, à l'entrée de la Propontide.

19-20. Οἱ Σηστὸν καταλαβόντες. Il s'agit d'Iphiadès d'Abydos et de son parti. Voy. § 176 sq. L'importante ville de Sestos fut reprise par Charès peu de temps avant le présent procès. Cf. Diodore, XVI, 31.

καὶ συνεξηπάτων αὐτοί, βουλόμενοι τοῦ μὲν διαβῆναι τὸ στράτευμ' ὑμᾶς παρέχειν τὴν ἀσφάλειαν, διαβάντος δ', ὅπερ συνέβη δόντος Ἀρταβάζου τὴν ἄδειαν, αὐτοῖς ὑπάρξαι τὴν χρείαν. Ὅτι τοίνυν οὕτω ταῦτ' ἔχει, λέγε τὰς ἐπιστολάς, ἥν τ' ἔπεμψεν ἐκεῖνος καὶ τὰς παρὰ τῶν ἀρχόντων τῶν ἐκ Χερρονήσου· γνώσεσθε γὰρ ἐκ τούτων ὅτι ταῦθ' οὕτως ἔχει. Λέγε.

ΕΠΙΣΤΟΛΗ.

[160] Ἐνθυμεῖσθ' ὅθεν οἳ διέβη, ἐξ Ἀβύδου εἰς Σηστόν. Ἆρ' οὖν οἴεσθ' ἂν ὑποδέξασθαι τοὺς Ἀβυδηνοὺς ἢ τοὺς Σηστίους, εἰ μὴ συνεξηπάτων, ὅτε τὴν πρὸς ὑμᾶς ἔπεμπεν ἐπιστολήν;

Λέγ' αὐτοῖς τὴν ἐπιστολὴν αὐτήν. Καὶ θεωρεῖτ', ὦ ἄνδρες Ἀθηναῖοι, τὰς ὑπερβολὰς ὧν αὐτὸς περὶ αὑτοῦ πρὸς ὑμᾶς ἔγραψεν ἐπαινῶν, καὶ τὰ μὲν ὡς πεποίηκε λέγων, τὰ δ' ὑπισχνούμενος ποιήσειν. Λέγε.

ΕΠΙΣΤΟΛΗ.

[161] Καλά γ', οὐ γάρ; ὦ ἄνδρες Ἀθηναῖοι, τὰ γεγραμμένα καὶ χάριτος πολλῆς ἄξια, — εἴ γ' ἦν ἀληθῆ. Νῦν δ',

NC. 2. παρασχεῖν A. — 5. τῶν, après ἀρχόντων, manque dans S seul. — 7. λέγε manque dans S. — 7. ΕΠΙΣΤΟΛΑΙ vulg. — 16. οἳ est omis dans S. Les éditeurs qui l'omettent, pour ne pas donner raison à la majorité des manuscrits contre S, l'auraient peut-être inséré s'il manquait dans tous les mss. — 10. τοὺσ ἀβυδηνοὺσ S, A. τοὺς Ἀβυδηνοὺς αὐτὸν vulg. Blass veut transposer ἂν après τοὺς Ἀβυδηνούς. — 12. Entre επεμπεν et επιστολήν grattage de trois ou quatre lettres dans S (peut-être τήν, suivant Dübner). — 13. λέγε δ' αὐτοῖς αὐτὴν A. — 15. ἐπαίνων, τὰ μὲν Reiske, Dindorf. — 18. οὐ γάρ, mots ajoutés au-dessus de la ligne par une main ancienne dans S.

3. Ὅπερ συνέβη δόντος Ἀρταβάζου τὴν ἄδειαν. Il faut se souvenir que, suivant l'orateur, il y avait déjà eu accord entre Charidème et ceux qui avaient, avec l'assentiment de Kotys, pris Sestos aux Athéniens, quand Charidème était encore assiégé par Artabaze.

5-6. Τὰς παρὰ τῶν ἀρχόντων τῶν ἐκ Χερρονήσου, les lettres de ceux qui commandaient pour Athènes dans la Chersonèse, particulièrement à Krithote Cf. § 161.

7. Λέγε. L'orateur interrompra le greffier après la lecture de la première lettre.

19. Νῦν δ(έ), mais par le fait, mais en réalité.

ὅτε μὲν τῶν σπονδῶν οὐκ ᾤετο τεύξεσθαι, ταῦτ' ἔγραφεν ἐξαπατῶν· ἐπειδὴ δ' ἔτυχεν, λέγ' οἷ' ἐποίησεν.

ΕΠΙΣΤΟΛΗ.

Οὐκοῦν τοῦ κομιεῖσθαι τὰ ἀπολωλότ' χωρί' ὑποσχομένου [Χαριδήμου] διαβάντος φησὶν ὁ ἄρχων Κριθώτης περὶ τῶν ὑπαρχόντων γεγενῆσθαι μείζους τῶν πρότερον τοὺς κινδύνους. Λέγ' ἐξ ἑτέρας ἐπιστολῆς ἐπιδείξας.

ΕΠΙΣΤΟΛΗ. 674

Λέγ' ἐξ ἑτέρας.

ΕΠΙΣΤΟΛΗ.

[162] Ὁρᾶθ' ὅτι πανταχόθεν τὸ πρᾶγμα μαρτυρεῖται, ὅτι διαβὰς οὐκ ἐπὶ τὸν Κότυν, ἀλλ' ἐφ' ἡμᾶς μετ' ἐκείνου, ἐπορεύετο. Ἔτι τοίνυν ταύτην μόνην ἀνάγνωθί μοι τὴν ἐπιστολήν, τὰς δ' ἄλλας ἔα· δῆλον γάρ που [ὑμῖν] γέγονεν ὡς πεφενάκικεν ὑμᾶς. Λέγε.

ΕΠΙΣΤΟΛΗ.

Ἐπίσχες. Ἐνθυμεῖσθ' ὅτι γράψας μὲν ὡς ἀποδώσει Χερρόνησον, τὰ λοίπ' ἀφελέσθαι μισθώσας αὑτὸν τοῖς ὑμετέροις ἐχθροῖς ἐπεχείρει, γράψας δὲ ὡς Ἀλεξάνδρου πρεσβευσαμένου πρὸς αὐτὸν οὐ προσεδέξατο, τοῖς λησταῖς φαίνεται

NC. 1. μὲν manque dans S. — 3. ΕΠΙΣΤΟΛΗ manque dans S. — 5. J'ai écarté Χαριδήμου. — 7. επειδιξασ S[1]. — 14. ὑμῖν δήπου A. J'aime mieux écarter ὑμῖν. — 20. πρὸσ αὐτὸν οὐ, mots omis après-ου par S[1], et ajoutés en marge par l'ancien reviseur.

1. Τῶν σπονδῶν, la convention conclue avec Artabaze. Cf. § 157 : Ἀποστεῖλαι δ' ὑπόσπονδον.

4-5. Τοῦ κομιεῖσθαι ὑποσχομένου διαβάντος, quand l'homme qui avait promis de vous faire recouvrer les places perdues avait passé le détroit.

6. Τῶν ὑπαρχόντων : opposé à τὰ ἀπολωλότα.

7. Ἐπιδείξας, après me les avoir montrées. L'orateur veut indiquer au greffier la lettre à prendre et le passage à lire. [Reiske.]

11. Τὸ πρᾶγμα, le fait.

19. Ἀλεξάνδρου. Alexandre de Phères. Cf. § 120 et la note.

20. Οὐ προσεδέξατο, il n'avait pas prêté l'oreille à ses ouvertures. Sous-entendez τοὺς λόγους, non τοὺς πρέσβεις.

τοῖς παρ' ἐκείνου ταὐτὰ πράττων. Εὔνους γ', οὐ γάρ; ἁπλῶς ὑμῖν, καὶ οὐδὲν ἂν ἐπιστείλας ψεῦδος οὐδ' ἐξαπατήσας.

[163] Οὐ τοίνυν ἐκ τούτων πω δῆλόν ἐσθ', οὕτω σαφῶς δῆλον ὄν, ὡς οὐδὲν πιστόν ἐσθ' ὧν ἐκεῖνός φησιν [προσποιεῖται] τῇ πόλει προσέχειν, ἀλλ' ἐκ τῶν μετὰ ταῦτα συμβάντων ἔσται φανερώτερον. Τὸν μὲν γὰρ Κότυν, εὖ ποιῶν, ὄντα γ' ἐχθρὸν ὑμῖν καὶ πονηρὸν ἀποκτίννυσιν ὁ Πύθων, ὁ δὲ Κερσοβλέπτης ὁ νυνὶ βασιλεύων μειρακύλλιον ἦν καὶ πάντες οἱ τοῦ Κότυος παῖδες, τῶν δὲ πραγμάτων κύριος διὰ τὴν παρουσίαν καὶ τὸ δύναμιν ἔχειν ὁ Χαρίδημος ἐγεγόνει, ἧκε δὲ Κηφισόδοτος στρατηγῶν, πρὸς ὃν αὐτὸς ἔπεμψε τὴν ἐπιστολὴν ἐκείνην, καὶ αἱ τριήρεις, αἵ, ὅτ' ἦν ἄδηλα τὰ τῆς σωτηρίας αὐτῷ, καὶ μὴ συγχωροῦντος Ἀρταβάζου σῴζειν ἔμελλον αὐτόν. [164] Τί δὴ προσῆκεν, ὦ
675 ἄνδρες Ἀθηναῖοι, τὸν ὡς ἀληθῶς ἁπλοῦν καὶ φίλον, παρόντος μὲν στρατηγοῦ οὐχ ὧν ἐκεῖνος ἔφησεν ἂν αὐτῷ φθονεῖν οὐδενός, ἀλλ' ὃν αὐτὸς ἑαυτοῦ φίλον προείλετο τῶν παρ' ὑμῖν, καὶ πρὸς ὃν τὴν ἐπιστολὴν ἐπεπόμφει, τετελευτηκότος δὲ Κότυος, κύριον δ' ὄντα τῶν πραγμάτων; οὐκ ἀποδοῦναι μὲν τὴν χώραν εὐθέως ὑμῖν, κοινῇ δὲ μεθ' ὑμῶν

NC. 2. οὐδὲν ἐπιστείλας ἂν Blass. — 5. φησὶν S, F. φησὶν ἢ A, Y. φησὶ καὶ vulg. Nous avons deux verbes au choix : j'ai supprimé προσποιεῖται avec Herwerden. — 6. ἀλλ' S seul. ἀλλὰ καὶ vulg. — 8. ἥμιν S. — αποκτείννυσιν S, A. — 12. οὗτος Herwerden. — 16. φίλον ποιῆσαι avant Bekker. — 17. ουχ ων S[1], οὐχ ὃν reviseur. — ἔφησεν ἂν (placé après φθονεῖν αὐτῷ) A. φησεν S, vulg. — 20. τοῦ Κότυος A, F.

1. Εὔνους γ', οὐ γάρ; On a vu la même tournure dans *Androt.*, § 73.

2. Ἁπλῶς, sincèrement, sans faux. — Οὐδὲν ἂν ἐπιστείλας, incapable de rien écrire.

4-5. Οὐ.... δῆλόν ἐσθ', οὕτω σαφῶς δῆλον ὄν. Alliance de mots frappante. Voy. la note sur δεινὸν ὂν οὐ δεινόν ἐστιν, *Cherson.*, § 30.

5. Ὧν (pour ἐκείνων ἃ) ἐκεῖνός φησιν τῇ πόλει προσέχειν. L'accusatif d'un pronom est construit avec un verbe intransitif. Cf. Madvig-Hamant, *Synt. gr.*, § 27.

3. Πύθων. Cf. § 119.

12. Αὐτός, lui-même.

14-15. Καὶ μὴ συγχωροῦντος Ἀρταβάζου, même malgré Artabaze.

17. Οὐχ ὧν ἐκεῖνος ἔφησεν ἂν : non de ceux dont il eût pu dire.

καθιστάναι τὸν βασιλέα τῆς Θρᾴκης, δηλῶσαι δ' ὡς εἶχεν εὐνοϊκῶς ὑμῖν, καιροῦ τοιούτου λαβόμενον; ἔγωγ' ἂν φαίην. [165] Ἆρ' οὖν ἐποίησέ τι τούτων; πολλοῦ γε δεῖ. Ἀλλὰ τὸν μὲν ἅπαντα χρόνον μῆνας ἑπτὰ διήγαγεν ἡμᾶς πολεμῶν, ἐκ προφανοῦς ἐχθρὸς ὢν καὶ οὐδὲ λόγον φιλάνθρωπον διδούς. Καὶ κατ' ἀρχὰς μὲν ἡμῶν δέκα ναυσὶ μόναις εἰς Πέρινθον ὁρμισαμένων, ἀκηκοότων ὅτι πλησίον ἐστὶν ἐκεῖνος, ὅπως συμμίξαιμεν αὐτῷ καὶ περὶ τούτων εἰς λόγους ἔλθοιμεν, ἀριστοποιουμένους φυλάξας τοὺς στρατιώτας ἐπεχείρησε μὲν ἡμῶν τὰ σκάφη λαβεῖν, πολλοὺς δ' ἀπέκτεινε τῶν ναυτῶν, κατήραξε δ' εἰς τὴν θάλατταν ἅπαντας, ἱππέας ἔχων καὶ ψιλούς τινας. [166] Μετὰ ταῦτα δὲ πλευσάντων ἡμῶν, οὐκ ἐπὶ τῆς Θρᾴκης τόπον οὐδέν' οὐδὲ χωρίον (οὐδὲ γὰρ τοῦτό γ' ἂν εἴποι τις « νὴ Δί', ἀμυνόμενος γὰρ ὑπὲρ « τοῦ μὴ παθεῖν ἐποίει τι κακόν » · οὐκ ἔστι τοῦτο · οὐ γὰρ ἤλθομεν οὐδαμοῖ τῆς Θρᾴκης), ἀλλ' ἐπ' Ἀλωπεκόννησον, (ἣ Χερρονήσου μέν ἐστιν καὶ ἦν ὑμετέρα, ἀκρωτήριον δ' ἀνέχον πρὸς τὴν Ἴμβρον ἀπωτάτω τῆς Θρᾴκης, λῃστῶν δ' ἦν μεστὴ καὶ καταποντιστῶν), [167] ἐνταῦθα δ' ἐλθόντων ἡμῶν καὶ πολιορκούντων τούτους, πορευθεὶς διὰ Χερρονή- 676

NC. 3. καὶ δεῖ A, F. — ἄλλον ἅπαντα A. — 4. ἡμᾶς S, vulg. ἡμῖν A. πρὸς ἡμᾶς Cobet. La leçon n'a pas besoin d'être corrigée, mais d'être interprétée. — 7. ὁρμησαμένων A, F, et, avant correction, S. — 11. κατηραξεν S[1], un second ρ ajouté dans l'interligne. κατήρραξεν A. κατέρραξε Y. — 16. οὐδαμοῖ, fait de οὐδαμοῦ par grattage, S. — 20. λαθὼν καὶ πορευθεὶς A.

4. Τὸν μὲν ἅπαντα χρόνον.... Ce μέν n'est pas suivi de δέ. La proposition qui y répond se trouve à la fin du § 167, là où nous arrivons à la convention conclue avec Céphisodote. — Διήγαγεν ἡμᾶς πολεμῶν, il nous amusa en nous faisant la guerre. Alliance de mots. Charidème amusa les Athéniens, non par des négociations, de fausses protestations d'amitié, mais — chose extraordinaire — par des actes d'hostilité. L'expression forte πολεμῶν est justifiée par les mots ἐκ προφανοῦς ἐχθρὸς ὢν καὶ οὐδὲ λόγον φιλάνθρωπον διδούς. Malgré cela, Céphisodote attendait toujours l'accomplissement des promesses de Charidème : de là l'ironique διήγαγεν ἡμᾶς.

8. Περὶ τούτων : sur les points mentionnés au § 164.

9. Ἀριστοποιουμένους. Les soldats étaient sans doute descendus à terre pour préparer leur déjeuner.

17. Les mots ἣ Χερρονήσου μέν ἐστιν expliquent le membre de phrase καὶ ἦν ὑμετέρα. De même il y a une relation causale entre ἀκρωτήριον δ' (sous-ent. ἐστὶν) ἀνέχον. . et λῃστῶν δ' ἦν μεστή.

19-20. Ἐνταῦθα δ' ἐλθόντων ἡμῶν. La période recommence en quelque sorte au

σου πάσης τῆς ὑμετέρας ἡμῖν μὲν προσέβαλλεν, ἐβοήθει δὲ τοῖς λῃσταῖς καὶ καταποντισταῖς. Καὶ πρότερον προσκαθήμενος τὸν ὑμέτερον στρατηγὸν ἔπεισε καὶ ἠνάγκασε μὴ τὰ βέλτισθ' ὑπὲρ ὑμῶν πράττειν, ἢ αὐτὸς ὑπὸ τούτου ἐπείσθη ὧν ὡμολογήκει καὶ ὑπέσχητό τι πρᾶξαι, καὶ γράφει δὴ τὰς συνθήκας ταύτας τὰς πρὸς Κηφισόδοτον, ἐφ' αἷς ὑμεῖς οὕτως ἠγανακτήσατε καὶ χαλεπῶς ἠνέγκατε, ὥστ' ἀπεχειροτονήσατε μὲν τὸν στρατηγόν, πέντε ταλάντοις δ' ἐζημιώσατε, τρεῖς δὲ μόναι ψῆφοι διήνεγκαν τὸ μὴ θανάτου τιμῆσαι. [168] Καίτοι πηλίκην τινὰ χρὴ νομίζειν, ὦ ἄνδρες Ἀθηναῖοι, ταύτην [τὴν] ἀλογίαν, ὅταν τις ἴδῃ διὰ τὰς αὐτὰς πράξεις τὸν μὲν ὡς ἀδικοῦντα κολασθέντα πικρῶς οὕτως, τὸν δ' ὡς εὐεργέτην ἔτι καὶ νῦν τιμώμενον; ὅτι τοίνυν ταῦτ' ἀληθῆ λέγω, τῶν μὲν τῷ στρατηγῷ συμβάντων δήπου μάρτυρες

NC. 4. [ὑπὸ τούτου] Benseler. — 5. τι, avant π, a été ajouté par le reviseur ancien de S. — 6. ταύτας τὰς S. ταύτας vulg. — 9. τοῦ S. — 11. τὴν a été supprimé par Dobree.

moyen de ces mots qui en résument toute la première partie.

2-3. Πρότερον προσκαθήμενος τὸν ὑμέτερον στρατηγὸν ἔπεισε. Il faut remarquer la tournure ironique de ce passage. Charidème fit tant par ses obsessions qu'il persuada à votre général.... Προσκαθήμενος se dit de l'obsession amicale d'un conseiller qui finit par persuader, et se dit aussi de l'obsession hostile de l'assiégeant. Cf. Hérodote, VI, 94 : Πεισιστρατιδέων προσκατημένων (Δαρείῳ) καὶ διαβαλλόντων Ἀθηναίους, et II, 157 : Ψαμμήτιχος.... πόλιν προσκατήμενος ἐπολιόρκεε. Le bon Céphisodote avait longtemps refusé de croire à l'hostilité de Charidème; ce dernier finit par lui persuader, de force, il est vrai (ἔπεισε καὶ ἠνάγκασε), de conclure un traité honteux, plutôt que de se laisser persuader par lui (ce qui eût été plus juste) de tenir ses promesses. Πρότερον veut dire « plus tôt », mais frise quelquefois le sens de « plutôt ». Cf. *Megalop.*, § 5; *Amb.*, § 109.

9. Τρεῖς δὲ.... τὸ μὴ θανάτου τιμῆσαι, il ne s'en fallut que de trois voix que vous ne le condamnassiez à mort. Cf., pour τὸ μή, *Lept.*, § 135; Madvig-Hamant. *Synt. gr.*, 156, 4. — Quant à ce procès, Androtion chez Harpocration, art. Κηφισόδοτος, n'ajoute rien à ce que nous apprend Démosthène. Notre orateur avait pris part personnellement, en qualité de triérarque, à la triste campagne qu'il raconte ici, et il s'était associé, nous ne savons dans quelle mesure, aux accusateurs du stratège (cf. Eschine, *Ctés.*, § 51). Weber et d'autres pensent que le client de Démosthène, Euthyclès, en avait fait autant. Le pronom de la première personne, ἡμεῖς, dont l'accusateur se sert dans ce récit ne le prouve pas absolument; mais les § 5 et 187 donnent quelque apparence à cette conjecture. Je la repousserais cependant si je croyais, avec le même savant, qu'Euthyclès ménage ici Céphisodote et l'excuse plutôt qu'il ne l'accuse. Mais il a méconnu l'ironie qui règne dans tout ce morceau.

10-11. Πηλίκην τινὰ... ταύτην ἀλογίαν, de quelle inconséquence faudra-t-il taxer cette conduite? Ταύτην est dit par assimilation pour τοῦτο.

12. Πικρῶς οὕτως sert à l'antithèse. Il ne s'ensuit pas que l'orateur trouvât la peine trop sévère.

ὑμεῖς ἐστέ μοι· καὶ γὰρ ἐκρίνεθ' ὑμεῖς καὶ ἀπεχειροτονεῖτε καὶ ὠργίζεσθε, καὶ πάντα ταῦτα σύνισθ' ὑμεῖς· τῶν δ' ἐν Περίνθῳ καὶ τῶν ἐν Ἀλωπεκοννήσῳ κάλει μοι τοὺς τριηράρχους μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

[169] Μετὰ ταῦτα τοίνυν, ἐπειδὴ Κηφισόδοτος μὲν ἀπηλλάγη τοῦ στρατηγεῖν, ὑμῖν δ' οὐκ ἐδόκουν καλῶς ἔχειν οὐδὲ δικαίως αἱ πρὸς ἐκεῖνον γραφεῖσαι συνθῆκαι, τὸν μὲν Μιλτοκύθην, τὸν διὰ παντὸς εὔνουν ὑμῖν τοῦ χρόνου, λαβὼν προδοθένθ' ὑπὸ τοῦ Σμικυθίωνος ὁ χρηστὸς οὗτος Χαρίδημος, οὐκ ὄντος νομίμου τοῖς Θρᾳξὶν ἀλλήλους ἀποκτιννύναι, 677 γνοὺς ὅτι σωθήσεται πρὸς Κερσοβλέπτην ἂν ἀχθῇ, παραδίδωσι Καρδιανοῖς τοῖς ὑμετέροις ἐχθροῖς. Κἀκεῖνοι λαβόντες καὶ αὐτὸν καὶ τὸν υἱόν, ἀναγαγόντες εἰς τὸ πέλαγος ἐν πλοίῳ, τὸν μὲν υἱὸν ἀπέσφαξαν, ἐκεῖνον δ' ἐπιδόντα τὸν υἱὸν ἀποσφαττόμενον κατεπόντισαν. [170] Τῶν δὲ Θρᾳκῶν ἁπάντων χαλεπῶς ἐνεγκόντων ἐπὶ τούτοις, καὶ συστραφέντων τοῦ τε Βηρισάδου καὶ τοῦ Ἀμαδόκου, ἰδὼν τὸν καιρὸν τοῦτον Ἀθηνόδωρος, συμμαχίαν ποιησάμενος οἷος ἦν πολεμεῖν. Ἐν φόβῳ δὲ καταστάντος τοῦ Κερσοβλέπτου γράφει [ὁ Ἀθηνόδωρος] συνθήκας, καθ' ἃς ἀναγκάζει τὸν Κερσοβλέπτην ὀμόσαι πρός θ' ὑμᾶς καὶ τοὺς βασιλέας εἶναι μὲν τὴν ἀρχὴν

NC. 11. αποχτεινυναι S. — 15. επειδότα S[1], επιδόντα ancien reviseur. — 19. Après ποιησάμενος l'ancien reviseur de S et la vulgate ajoutent πρὸς τούτους, F τούτοις. — οιοσ S[1], A, Y (déjà préféré par G. H. Schæfer). οἷός τ' ancien reviseur de S, vulg. — 20. [ὁ Ἀθηνόδωρος] Benseler. Ἀθηνόδωρος A. — 21. καθ' ἅς, d'abord oublié après συνθήκασ, a été ajouté par la première main de S. — 22. ἡμασ S, F. — πρὸς τοὺς A.

3-4. Τοὺς τριηράρχους. Comme Démosthène avait été alors triérarque, il a probablement, lui aussi, déposé comme témoin.

9. Μιλτοκύθην. Cf. § 104.

19. Ἀθηνόδωρος : agissant au nom de Bérisade. Cf. § 40. — Οἷος ἦν, il était prêt là.... (sens dérivé du sens premier de cette locution « être homme à faire une chose »). Les Λέξεις tirées par Sakkélion d'un manuscrit de Patmos et publiées dans le *Bulletin de corr. hellén.*, 1877, p. 139, citent les deux variantes Οἷός τε ἦν καὶ οἷος ἦν· τὸ μὲν οἷός τε ἦν, δυνατὸς ἦν· τὸ δὲ οἷος ἦν, ἀντὶ τοῦ ἕτοιμος ἦν καὶ ἐβούλετο. Cf. Harpocration, art. Οἷος εἶ.

22. Εἶναι μὲν τὴν ἀρχὴν κοινὴν τῆς

κοινὴν τῆς Θρᾴκης εἰς τρεῖς διῃρημένην, πάντας δ' ὑμῖν ἀποδοῦναι τὴν χώραν. [171] Ὡς δ' ἐν ἀρχαιρεσίαις ὑμεῖς Χαβρίαν ἐπὶ τὸν πόλεμον τοῦτον κατεστήσατε, καὶ τῷ μὲν Ἀθηνοδώρῳ συνέβη διαφεῖναι τὴν δύναμιν χρήματ' οὐκ ἔχοντι παρ' ὑμῶν οὐδ' ἀφορμὴν τῷ πολέμῳ, τῷ Χαβρίᾳ δὲ μίαν ναῦν ἔχοντι μόνην ἐκπλεῖν, τί ποιεῖ πάλιν οὗτος [ὁ Χαρίδημος] ; Ἃς μὲν ὤμοσε πρὸς τὸν Ἀθηνόδωρον συνθήκας, ἔξαρνος γίγνεται καὶ τὸν Κερσοβλέπτην ἀρνεῖσθαι πείθει, γράφει δ' ἑτέρας πρὸς τὸν Χαβρίαν ἔτι τῶν πρὸς Κηφισόδοτον δεινοτέρας· οὐκ ἔχων δ' ἐκεῖνος, οἶμαι, δύναμιν στέργειν ἠναγκάζετο τούτοις. [172] Ἀκούσαντες δ' ὑμεῖς ταῦτ', ἐν τῷ δήμῳ λόγων ῥηθέντων πολλῶν καὶ τῶν συνθηκῶν ἀναγνωσθεισῶν, οὔτε τὴν Χαβρίου δόξαν αἰσχυνθέντες οὔτε
678 τῶν συναγορευόντων οὐδένα, ἀπεχειροτονήσατε καὶ ταύτας πάλιν τὰς συνθήκας, καὶ ψηφίζεσθε ψήφισμα Γλαύκωνος εἰπόντος ἑλέσθαι [πρέσβεις] δέκ' ἄνδρας ἐξ ὑμῶν αὐτῶν, τούτους δ', ἐν μὲν ταῖς πρὸς Ἀθηνόδωρον συνθήκαις ὁρκίσαι

NC. 1. Il faut peut-être supprimer κοινήν, et écrire κοινῇ δ' pour πάντας δ'. — 5. ἀφορμὴν οὐδεμίαν F. — 6. ποιεῖ πάλιν οὗτος A. πάλιν ποιεῖ οὗτοσ S, vulg. — [ὁ χαρίδημος] Herwerden. — 9. πρὸς Χαβρίαν A. — 13. παραναγνωσθεισῶν A. — 15. ψηφίζεσθε A. εψηφισασθε vulg. et S, mais α sur grattage, d'une main très récente Y avait-il d'abord εψηφισεσθε, mélange des deux leçons ?— 16. J'écarte πρέσβεις avec Cobet. Le même critique écrit ἐξ ὑμῶν ἁπάντων. — 17. ἐν μὲν.... συνθήκαισ S[1], Y. ἂν μὲν ἐμμένῃ ταῖς... υνθήκαις ὁ Κερσοβλέπτης vulg et une main ancienne dans S.

Θρᾴκης εἰς τρεῖς διῃρημένην. L'adjectif κοινήν, n'étant pas précédé de l'article, fait nécessairement partie de l'attribut. Le gouvernement de la Thrace serait donc commun et, en même temps, divisé en trois. J'avoue ne pas comprendre. Cf. NC.

2. Ἐν ἀρχαιρεσίαις.... κατεστήσατε En élisant Chabrias un des dix stratèges ordinaires de l'année, le peuple le chargea en particulier de cette guerre. Rien n'indique que Chabrias fût nommé stratège extraordinaire en dehors des dix. Cf. Hauvette-Besnault, *Les Stratèges athéniens* (1884), p. 90. Je crois que Chabrias partit au commencement d'Olymp. CV, 2, dans l'été de 359. A. Schæfer plaçait cette expédition, ainsi que plusieurs autres faits, un an trop tard

5. Οὐδ' ἀφορμήν équivaut à οὐδ' ἄλλην ἀφορμήν.

10. Οἶμαι porte sur la relation causale entre les deux membres de phrase : « par la raison, je suppose, qu'il n'était pas en force. »

14-15. Καὶ ταύτας πάλιν : de même que le peuple avait cassé le traité conclu par Céphisodote, § 167.

16. Ἐξ ὑμῶν αὐτῶν : et de ne pas s'en remettre uniquement à Athénodore, qui avait naguère fait jurer le traité favorable aux intérêts d'Athènes. [Weber.]

17. Ἐν μὲν ταῖς πρὸς Ἀθηνόδωρον συνθήκαις : il faut faire une petite pause après ces mots, et sous-entendre « si Charidème les reconnaît. »

πάλιν αὐτὸν, εἰ δὲ μὴ, παρὰ μὲν τοῖν δυοῖν βασιλέοιν ἀπολαβεῖν τοὺς ὅρκους, πρὸς δ' ἐκεῖνον ὅπως πολεμήσετε βουλεύεσθαι. [173] Ἐκπεπλευκότων δὲ τῶν πρέσβεων συμβαίνει τοῖς χρόνοις εἰς τοῦθ' ὑπηγμένα τὰ πράγματ' ἤδη, τριβόντων τούτων καὶ οὐδὲν ἁπλοῦν οὐδὲ δίκαιον ὑμῖν ἐθελόντων πρᾶξαι, ὥστ' ἐβοηθοῦμεν εἰς Εὔβοιαν, καὶ Χάρης ἧκεν ἔχων τοὺς ξένους, καὶ στρατηγὸς ὑφ' ὑμῶν αὐτοκράτωρ εἰς Χερρόνησον ἐξέπλει. Οὕτω γράφει πάλιν συνθήκας πρὸς τὸν Χάρητα, παραγενομένου Ἀθηνοδώρου καὶ τῶν βασιλέων, ταύτας αἵπερ εἰσὶν ἄρισται καὶ δικαιόταται. Καὶ ἔργῳ ἑαυτὸν ἐξήλεγξεν ὅτι καιροφυλακεῖ τὴν πόλιν ἡμῶν, καὶ οὐδὲν ἁπλοῦν ἔγνωκε ποιεῖν οὐδ' ἴσον. [174] Εἶθ' ὃν ὁρᾶτ' ἐκ προσαγωγῆς ὑμῖν φίλον, καὶ ὅπως ἂν ὑμᾶς δύνασθαι νομίσῃ, οὕτω πρὸς ὑμᾶς εὐνοίας ἔχοντα, τοῦτον οἴεσθε δεῖν ἰσχυρόν ποτ' ἐᾶσαι γενέσθαι, καὶ ταῦτα δι' ὑμῶν; οὐκ ἄρ' ὀρθῶς ἐγνώκατε.

Ἵνα τοίνυν εἰδῆθ' ὅτι τἀληθῆ λέγω, λαβέ μοι τὴν ἐπιστολὴν ἣ μετὰ τὰς πρώτας συνθήκας ἦλθεν, εἶτα τὴν παρὰ Βηρισάδου· μάλιστα γὰρ οὕτω γνώσεσθε διδασκόμενοι.

NC. 4. τὰ πραγματα (ἤδη δια dans l'interligne de la main du reviseur) τριβοντων . ὑπηγμέν' ἤδη τὰ πράγματα Blass. — 9. παραγενομένου < τοῦ > Ἀθηνοδώρου. Benseler. — 11. ἔργοις Blass. — 12. ισον, et au-dessus οσιον d'une main ancienne, S. — εἶθ' ο‖ρατε S¹. — 13. ἐκ προαγωγῆς Harpocration. — 17. ταῦτ' ἀληθῆ A.

5. Τούτων : Charidème et Kersoblepte.

6. Ἐβοηθοῦμεν εἰς Εὔβοιαν. En 357. C'est la prompte et heureuse expédition mentionnée dans *Cherson.* § 74, et *passim.* Démosthène rappelle ce fait pour expliquer pourquoi on n'envoya point de soldats citoyens dans l'Hellespont. En l'absence de ces derniers, l'arrivée de Charès avec ses mercenaires était une bonne fortune.

7. Αὐτοκράτωρ, muni de pleins pouvoirs pour traiter. Ce terme n'implique aucune magistrature dictatoriale. Cf. Hauvette-Besnault, *l. c.*, p. 78.

8. Συνθήκας. Ce traité rendit aux Athéniens la Chersonèse, sauf la ville de Cardie. Cf. § 181 et Diodore, XVI, 34.

11. Καιροφυλακεῖ, il épie les circonstances où se trouve notre ville, la flatte en attendant le moment favorable pour lui nuire. Cf. *Olynth.*, I, § 7 : Ἐφορμεῖν τοῖς ἑαυτοῦ καιροῖς, *Phil.* I, § 18 : Ἂν ἐνδῷ καιρόν, avec la note.

13. Ἐκ προσαγωγῆς, par contrainte. Harpocration, art. Ἐκ προαγωγῆς (leçon vicieuse)· ἀντὶ τοῦ πρὸς ἀνάγκην καὶ οὐκ ἐκ φύσεως οὐδ' ἁπλοϊκῶς. Cf. Eschyle, *Suppl.* 441 : Γεγόμφωται σκάφος στρέβλαισι ναυτικαῖσιν ὡς προσηγμένον. Platon, *Philèbe*. p. 56, C, nomme parmi les instruments des charpentiers le προσαγώγιον, c.-à-d., d'après son scholiaste, τεκτονικὸν ὄργανον ὃ προσάγοντες εὐθύνουσι τὰ στρεβλὰ ξύλα.

18. Τὰς πρώτας συνθήκας : la con-

679 ΕΠΙΣΤΟΛΗ.

Λέγε καὶ τὴν ἐπιστολὴν τὴν τοῦ Βηρισάδου.

ΕΠΙΣΤΟΛΗ.

[175] Ἡ μὲν τοίνυν συμμαχία τοῖς βασιλεῦσι [τοῖν δυοῖν] τοῦτον τὸν τρόπον μετὰ τὴν παράκρουσιν τὴν διὰ τῶν πρὸς Κηφισόδοτον συνθηκῶν συνεστάθη, ἤδη Μιλτοκύθου μὲν ἀνῃρημένου, Χαριδήμου δ' ἔργῳ φανεροῦ γεγενημένου ὅτι τῆς πόλεως ἐχθρός ἐστιν. Ὃς γὰρ ὃν ᾔδει διὰ παντὸς τοῦ χρόνου πάντων τῶν Θρᾳκῶν εὐνούστατον ὄνθ' ὑμῖν, τοῦτον ἠξίωσ' ὑποχείριον λαβὼν τοῖς ὑμετέροις ἐχθροῖς Καρδιανοῖς ἐγχειρίσαι, πῶς οὐ μεγάλης ἔχθρας δεῖγμα πρὸς ὑμᾶς ἐξέφερεν; Ἃς δὴ τὸν πόλεμον δεδιὼς τὸν πρὸς τοὺς Θρᾷκας καὶ πρὸς Ἀθηνόδωρον ἐποιήσατο συνθήκας μετὰ ταῦθ' ὁ Κερσοβλέπτης, λέγε.

ΣΥΝΘΗΚΑΙ.

[176] Ταῦτα τοίνυν γράψας καὶ συνθέμενος, καὶ τὸν ὅρκον ὃν ὑμεῖς ἠκούσατ' ὀμόσας, ἐπειδὴ τὴν μὲν Ἀθηνοδώρου δύναμιν διαφειμένην εἶδεν, μιᾷ δὲ μόνον τριήρει Χαβρίαν ἥκοντα, οὔτε τὸν Ἰφιάδου παρέδωκεν υἱὸν ὑμῖν οὔτ' ἄλλ' οὐδὲν ὧν ὤμοσεν ἐποίησεν, ἀλλὰ καὶ περὶ τῶν

NC. 1-2. λέγε.... ΕΠΙΣΤΟΛΗ omis dans A. — 4. J'écarte τοῖν δυοῖν avec Bekker. Dindorf supprimait τοῖς βασιλεῦσι. Vulgate : τοῖν βασιλέοιν τοῖν δυοῖν. — 6. ἤδ' ἡ S. — 10. ἠξίωσεν ὑποχείριον A. ὑποχείριον ἠξίωσε S, vulg. — 11. εγχειρησαι S. — 16. ταῦτα mss. ὁ ταῦτα ancienne vulgate. — 17. ἠκούσατ' ὑμεῖς A. — 19. ἡμῖν S

vention de Céphisodote, § 167. En commentant les documents que le greffier va lire, l'orateur reviendra sur les événements qu'il vient d'exposer.

1. 'ΕΠΙΣΤΟΛΗ. A en juger par le § 175, il est probable que cette lettre, dont l'auteur n'est pas nommé, contenait des détails sur la mort de Miltokythès.

19. 'Ιφιάδου : Iphiadès d'Abydos, chef de faction, puis arbitre souverain de la ville (Cf. Aristote, *Pol.* VIII (V), 6). C'est lui, évidemment, qui s'était emparé de Sestos (cf. § 158), comme il fit de Parium (Énée, *Poliorc.*, § 28).

ἄλλων τῶν γεγραμμένων ἐν ταῖς συνθήκαις ἔξαρνος γίγνεται, καὶ γράφει ταύτας τὰς συνθήκας. Λαβέ μοι καὶ λέγε ταυτασί.

ΣΥΝΘΗΚΑΙ.

[177] Ἐνθυμεῖσθ' ὅτι καὶ τέλη καὶ δεκάτας ἠξίου λαμβάνειν, καὶ πάλιν ὡς αὑτοῦ τῆς χώρας οὔσης τοὺς λόγους ἐποιεῖτο, τοὺς δεκατηλόγους ἀξιῶν τοὺς αὑτοῦ τῶν τελῶν κυρίους εἶναι, καὶ τὸν ὅμηρον τὸν υἱὸν τὸν Ἰφιάδου, ὃν ὑπὲρ Σηστοῦ ἔχων ὤμοσε πρὸς τὸν Ἀθηνόδωρον παραδώσειν, οὐδ' ὑπισχνεῖται παραδώσειν ἔτι. Λαβὲ τὸ ψήφισμ' ὃ πρὸς 680
ταῦθ' ὑμεῖς ἐψηφίσασθε. Λέγε.

ΨΗΦΙΣΜΑ.

[178] Ἐλθόντων τοίνυν μετὰ ταῦτα τῶν πρέσβεων εἰς Θρᾴκην, ὁ μὲν Κερσοβλέπτης ὑμῖν ἐπιστέλλει ταυτί, καὶ οὐδ' ὁτιοῦν ὡμολόγει δίκαιον, οἱ δ' ἕτεροι ταυτί. Λέγ' αὐτοῖς.

ΕΠΙΣΤΟΛΗ.

Λέγε δὴ τὴν παρὰ τῶν βασιλέων. Καὶ σκοπεῖτ' εἰ ἄρ' ὑμῖν δοκοῦσι μηδὲν ἐγκαλεῖν.

ΕΠΙΣΤΟΛΗ.

Ἆρά γ' ὁρᾶτε καὶ συνίετ', ὦ ἄνδρες Ἀθηναῖοι, τὴν πονη-

AC. 8. του ἴφιαδου S. — 9. ὡμοσεν S. — 10. ὑπισχειται S[1]. — Ponctuation avant ἔτι dans S. — 19. δοκουσιν S. — 21. ἀρά γ' ὁρᾶτε F. ἆρα ὁρᾶτε A. ὁρᾶτε S. ἀρά γε συνίετε Cobet.

5. Τέλη, « droits », est plus général que δεκάτας, « dimes ». Mais on voit que l'orateur ne distingue guère entre les deux termes.

10. Οὐδ' ὑπισχνεῖται παραδώσειν ἔτι, loin de livrer cet otage aux Athéniens, il ne promet même plus de le faire.

19. Ἐγκαλεῖν : sous-ent. Χαριδήμῳ καὶ Κερσοβλέπτῃ. [Jurin.].

21. Ἆρά γ' ὁρᾶτε καὶ συνίετε. Cf § 122. Ἆρά γ' ὁρᾶτε καὶ καταμανθάνετε.

ρίαν καὶ τὴν ἀπιστίαν, ὡς ἄνω καὶ κάτω; Τὸ πρῶτον ἠδίκει Κηφισόδοτον, πάλιν φοβηθεὶς Ἀθηνόδωρον ἐπαύσατο· αὖθις ἠδίκει Χαβρίαν, πάλιν ὡμολόγει Χάρητι. Πάντ' ἄνω καὶ κάτω [πεποίηκεν], καὶ οὐδὲν ἁπλῶς οὐδὲ δικαίως ἔπραξεν.

[179] Μετὰ ταῦτα τοίνυν ὅσον μὲν χρόνον ἡ ὑμετέρα δύναμις παρῆν ἐν Ἑλλησπόντῳ, κολακεύων καὶ φενακίζων ὑμᾶς διαγέγονεν· ἐπεὶ δ' εἶδε τάχιστα τὸν Ἑλλήσποντον ἔρημον δυνάμεως, εὐθὺς ἐνεχείρει καταλύειν καὶ ἀπαλλάξαι τοὺς δύο τῆς ἀρχῆς καὶ πᾶσαν ὑφ' ἑαυτῷ ποιήσασθαι τὴν ἀρχήν, ἔργῳ πεῖραν ἔχων ὅτι τῶν πρὸς ὑμᾶς οὐδὲν μὴ δυνηθῇ πρότερον λῦσαι, πρὶν ἂν ἐκβάλῃ τούτους. [180] Ἵνα δ' ὡς ῥᾷστα τοῦτο περάνειε, ψήφισμα τοιοῦτο παρ' ὑμῶν εὕρετο, ἐξ οὗ κυρωθέντος ἄν, εἰ μὴ δι' ἡμᾶς καὶ ταύτην τὴν γραφήν, ἠδίκηντο μὲν φανερῶς οἱ δύο τῶν βασιλέων, ἡσυχίαν δ' ἂν ἦγον οἱ στρατηγοῦντες αὐτοῖς, ὁ Βιάνωρ, ὁ
681 Σίμων, ὁ Ἀθηνόδωρος, φοβούμενοι τὴν διὰ τοῦ ψηφίσματος συκοφαντίαν, ὁ δὲ ταύτης τῆς ἐξουσίας ἀπολαύσας καὶ πᾶσαν ὑφ' αὑτῷ λαβὼν τὴν ἀρχὴν ἰσχυρὸς ἂν ἐχθρὸς ὑπῆρχεν ὑμῖν.

NC. 4. J'écarte πεποίηκεν avec Cobet, et je me passerais volontiers de ἔπραξεν. — 9. δυνάμεως est écarté par Cobet. — εὐθὺς ἐγχειρεῖ Blass. — 9-10. καταλύσας καὶ ἀπαλλάξας τοὺς δύο τῆς ἀρχῆς πᾶσαν A. — Dobree voulait, avec raison, retrancher τῆς ἀρχῆς ou écrire ποιήσασθαι τὴν Θρᾴκην. — 13. περανειεν S. — τοιοῦτον après εὕρετο A. — 16. ἂν omis par S[1].

2. Ἐπαύσατο. On ne peut sous-entendre ἀδικῶν Κηφισόδοτον, mais plutôt ἀδικῶν ἡμᾶς, ou ἀδικῶν en général.

3-4. Πάντ' ἄνω καὶ κάτω se dit de la versatilité d'un homme perfide; πάντ' ἄνω καὶ κάτω πεποίηκε s'appliquerait à un homme qui aurait tout mis sens dessus dessous.

8-9. Τὸν Ἑλλήσποντον ἔρημον. Cela arriva vers la fin de la malheureuse guerre d'Athènes contre ses alliés, en 356.

9. Καταλύειν καὶ.... καὶ.... Cette tournure peint bien l'obstination avec laquelle Kersoblepte, dirigé par Charidème, travaillait à l'accomplissement de ses desseins. — Ἀπαλλάξαι, écarter. Cf. Thucydide, I, 129 : Κελεύει αὐτὸν τὴν σατραπείαν παραλαβεῖν Μεγαβάτην ἀπαλλάξαντα. Ce verbe n'a pas toujours le sens de délivrer. — En se reportant au § 10, on verra que la mort de Bérisade ranima alors la convoitise de Kersoblepte et de Charidème.

14. Εἰ μὴ δι' ἡμᾶς, si nous ne l'avions empêché. Cf. *Ambass.*, § 74 : Εἰ μὴ διὰ Λακεδαιμονίους, et *passim*.

17-18. Φοβούμενοι τὴν.... συκοφαντίαν. Cf. § 12 : Οὐδὲ τὴν διὰ τοῦ ψηφίσματος αἰτίαν ὑποδύσεσθαι (ἔμελλεν).

[181] Ἔχει δ' ὁρμητήριον παρὰ πάντα τὸν χρόνον αὐτῷ τετηρημένον τὴν Καρδιανῶν πόλιν, ἣν ἐν ἁπάσαις μὲν ταῖς συνθήκαις ἐξαίρετον αὐτῷ γέγραφεν, τὸ τελευταῖον δὲ καὶ φανερῶς αὐτὴν ἀφείλετο παρ' ὑμῶν. Καίτοι τοῖς ἀπηλλαγμένοις μὲν τοῦ περὶ ἡμῶν τι φρονεῖν ἄδικον, μετὰ πάσης δ' ἀληθείας ἁπλῶς εὐνοεῖν ἡμῖν ᾑρημένοις τί προσῆκεν αὐτοῖς ὁρμητήριον καταλιπεῖν χρήσιμον τοῦ πρὸς ἡμᾶς πολέμου; [182] Ἴστε γὰρ δήπου τοῦτο, οἱ μὲν ἀφιγμένοι σαφῶς, οἱ δ' ἄλλοι τούτων ἀκούοντες, ὅτι τῆς Καρδιανῶν πόλεως ἐχούσης ὡς ἔχει, εἰ γενήσεται τὰ πρὸς τοὺς Θρᾷκας εὐτρεπῆ τῷ Κερσοβλέπτῃ, παρ' ἡμέραν ἔξεστιν αὐτῷ βαδίζειν ἐπὶ Χερρόνησον ἀσφαλῶς. Ὥσπερ γὰρ Χαλκὶς τῷ τόπῳ τῆς Εὐβοίας πρὸς τῆς Βοιωτίας κεῖται, οὕτω Χερρονήσου κεῖται πρὸς τῆς Θρᾴκης ἡ Καρδιανῶν πόλις. Ἣν δν ἔχει τόπον ὅστις οἶδεν ὑμῶν, οὐδ' ἐκεῖν' ἀγνοεῖ, τίνος εἵνεκα καιροῦ περιπεποίηται καὶ διεσπούδασται μὴ λαβεῖν ὑμᾶς. [183] Ὃν οὐ συμπαρασκευάσαι καθ' ὑμῶν αὐτῶν ὀφείλετε, ἀλλὰ κωλῦσαι καθ' ὅσον δυνατὸν, καὶ σκοπεῖν ὅπως μὴ γενήσεται,

NC. 4. αὐτὴν est omis dans A. — [παρ' ὑμῶν] Blass. — 6. προῃρημένοις A. — 7. καταλειπεῖν S. — 13-14. πρὸ τῆς Βοιωτίας et πρὸ τῆς Θρᾴκης A, et Gregorius Corinthius dans Walz, IX, p. 1150. — 15. εινεκα S, vulg. — 18. γενησεται S[1] δυνήσεται reviseur, ce semble (correction marquée aussi dans B).

1. Ἔχει. Le sujet de ce verbe est Kersoblepte ou bien, si l'on veut, Charidème, quoique les faits ici rapportés émanent du roi lui-même. Mais l'orateur confond sans cesse ces deux personnages avec une intention que l'on ne peut méconnaître. Le scholiaste dit, à propos d'un autre endroit (p. 723, l. 11 Dindorf) : Πανταχοῦ δὲ συμπλέκει τὰ πρόσωπα, τό τε τοῦ Χαριδήμου καὶ τοῦ Κερσοβλέπτου, ἵνα γένηται πίστις τῆς διαβολῆς.

3. Τὸ τελευταῖον : dans le traité conclu par Charès, et dont l'orateur lui-même fait cependant l'éloge au § 173.

4. Αὐτήν, en apparence inutile après ἥν, fait de cette phrase une proposition principale. Cf. αὐτῷ, après ᾧ, au § 111.

4-5. Τοῖς ἀπηλλαγμένοις, des hommes qui avaient renoncé.

7-8. Χρήσιμον τοῦ.... πολέμου équivaut à πρὸς πόλεμον. Emploi rare du génitif de relation.

10. Ἐχούσης ὡς ἔχει. On a vu au § 169 que la ville de Cardie était ennemie d'Athènes. — Εὐτρεπῆ se dit des choses dont on peut disposer à son gré.

12. Ὥσπερ γὰρ Χαλκὶς τῷ τόπῳ τῆς Εὐβοίας πρὸς τὴν Βοιωτίαν κεῖται, de même que Chalcis se trouve, par sa position dans l'Eubée, placée par rapport à la Béotie. Τῆς Εὐβοίας se rattache à ὥσπερ et Χερρονησου à οὕτω ; c'est une espèce de génitif partitif par rapport au lieu. On peut comparer la locution ὡς ποδῶν ἔχει. La construction Χαλκὶς τῆς Εὐβοίας n'est pas de mise ici, quoi qu'on en ait dit ; le second membre de phrase le fait assez voir.

16. Ὃν se réfère à καιροῦ.

ἐπεί, ὅτι γ' οὐδ' ἂν ὀντινοῦν καιρὸν παρείη, δεδήλωκεν· Φιλίππου γὰρ εἰς Μαρώνειαν ἐλθόντος ἔπεμψε πρὸς αὐτὸν Ἀπολλωνίδην, πίστεις δοὺς ἐκείνῳ καὶ Παμμένει· καὶ εἰ μὴ κρατῶν τῆς χώρας Ἀμάδοκος ἀπεῖπε Φιλίππῳ μὴ 682 ἐπιβαίνειν, οὐδὲν ἂν ἦν ἐν μέσῳ πολεμεῖν ἡμᾶς πρὸς Καρδιανοὺς ἤδη καὶ Κερσοβλέπτην. Καὶ ὅτι ταῦτ' ἀληθῆ λέγω, λαβὲ τὴν Χάρητος ἐπιστολήν.

ΕΠΙΣΤΟΛΗ.

[184] Ταῦτα μέντοι δεῖ σκοπουμένους ἀπιστεῖν καὶ μὴ τετυφῶσθαι, μηδ' ὡς εὐεργέτῃ προσέχειν τὸν νοῦν. Οὐ γὰρ ὧν ἀναγκαζόμενος φίλος εἶναί φησι, φενακίζων ὑμᾶς, χάριν ἐστὶ δίκαιον ὀφείλειν [Κερσοβλέπτῃ], οὐδ' ὧν μίκρ' ἀναλίσκων ἰδίᾳ καὶ τοῖς στρατηγοῖς καὶ τοῖς ῥήτορσι [Χαρίδημος] διαπράττεται πρὸς ὑμᾶς ἐπαίνους αὐτοῦ γράφεσθαι· ἀλλ' ὧν, ὁσαχοῦ κύριος γέγονε τοῦ πράττειν ὅ τι βούλεται, πανταχοῦ κακῶς ἐπιχειρῶν ἡμᾶς ποιεῖν φαίνεται, τούτων πολὺ μᾶλλον ὀργίζεσθαι προσήκει.

NC. 1. παριη S. — 5. οὐδὲν ἦν et ἡμῖν A. — Dobree demandait τοῦ πολεμεῖν ou τὸ μὴ πολεμεῖν. — 6. κερσοβλεπτηι S. — 7. λαβέ μοι A, F. — 9. μεν S[1], τοι ajouté par une main ancienne. — 12. J'écarte Κερσοβλέπτῃ, avec les éditeurs de Zurich, et aussi (ligne 14) Χαρίδημος. — 16. ὑμᾶς A.

2. Φιλίππου γὰρ εἰς Μαρώνειαν ἐλθόντος.... On place ces faits vers 353. Le Thébain Pammenès alla secourir le satrape rebelle Artabaze avec cinq mille mercenaires (Diodore XVI, 34); Philippe, qui avait autrefois demeuré à Thèbes dans la maison de Pammenès, l'accompagna et prit quelques villes sur la côte de la Thrace. — Apollonidès de Cardie est aussi mentionné dans *Halon.* § 39, comme partisan de Philippe.

4. Ἀμάδοκος ἀπεῖπε Φιλίππῳ.... Ce même Amadokos fut peu de temps après l'allié de Philippe contre Kersoblepte (Cf. Théopompe dans Harpocration : art. Ἀμάδοκος). Ces petits princes rivaux cherchaient à l'emporter les uns sur les autres en se mettant sous le patronage tantôt d'Athènes, tantôt de la Macédoine, et ils travaillèrent ainsi à leur propre ruine.

10-15. Οὐ γὰρ ὧν.... οὐδ' ὧν.... ἀλλ' ὧν.... On n'est pas d'accord sur la manière de construire les deux premiers ὧν; mais la construction du troisième ὧν n'est pas douteuse : il équivaut à ἐκείνων ἅ, et l'accusatif ἅ dépend de κακῶς ποιεῖν ἡμᾶς : c'est l'accusatif de l'idée contenue dans le verbe (comme on dit πόλεμον ποιεῖν). Il faut évidemment expliquer de même les deux premiers relatifs. Construisez donc : οὐ γάρ ἐστι δίκαιον ὀφείλειν χάριν ὧν (c.-à-d. ἐκείνων ἅ) ἀναγκαζόμενος φίλος εἶναί

[185] Οἱ μὲν τοίνυν ἄλλοι πάντες, ὅσοι τι παρ' ὑμῶν εὕρηνται πώποτε, ἐφ' οἷς εὖ πεποιήκασιν ὑμᾶς τετίμηνται, οὗτος δὲ εἷς ἁπάντων τῶν ἄλλων μόνος ἐφ' οἷς ἐγχειρῶν οὐ δεδύνηται κακῶς ποιῆσαι. Καίτοι τῷ τοιούτῳ τὸ δίκης, ἣν ἔδωκε δικαίως ἄν, ἀφεῖσθαι μεγάλη δωρειὰ παρ' ὑμῶν ἦν. Ἀλλ' οὐ ταῦτα δοκεῖ τοῖς ῥήτορσιν, ἀλλὰ πολίτης, εὐεργέτης, στέφανοι, δωρειαὶ, δι' ἃ τούτοις ἰδίᾳ δίδωσιν· οἱ δ' ἄλλοι πεφενακισμένοι κάθησθε, τὰ πράγματα θαυμάζοντες. [186] Τὸ τελευταῖον δὲ νυνὶ καὶ φύλακας κατέστησαν ὑμᾶς ἐκείνου διὰ τοῦ προβουλεύματος τούτου, κεἰ μὴ τὴν γραφὴν ἐποιησάμεθ' ἡμεῖς ταυτηνὶ, καὶ τὸ τοῦ μισθοφόρου καὶ θεραπεύοντος ἐκεῖνον ἔργον ἡ πόλις ἂν διεπράττετο, ἐφρούρει Χαρίδημον. Καλόν γε, οὐ γάρ; ὦ 683
Ζεῦ καὶ θεοὶ, ὃς αὐτός ποτε τοὺς ὑμετέρους ἐχθροὺς μισθὸν λαμβάνων ἐδορυφόρει, τοῦτον ὑφ' ὑμετέρου ψηφίσματος φανῆναι φυλαττόμενον.

[187] Ἴσως τοίνυν ἐκεῖν' ἄν τίς μ' ἔροιτο, τί δήποτε

NC. 4. ποιῆσαι κακῶς A. — 7. Peut-être διᾶσ, avant grattage, S. — διδωσι S. — 9-10. Après φύλακας une main ancienne de S et la vulgate insèrent ἄν. Cobet : κἂν φύλακας. J'ai mieux aimé écrire plus bas κεὶ pour εἰ. Westermann y avait déjà songé. — 11-13. Dobree supprimait les deux articles τὸ τοῦ : il avait tort. Cobet retranchait aussi ἐφρούρει Χαρίδημον, en privant la période de son aiguillon. — 14-15. ἡμετέρους et ἡμετέρου A. — τοῦτον est ajouté à la marge de S par une main ancienne

φησι, φενακίζων ὑμᾶς ce qui équivaut à χάριν τῶν ἀναγκῶν ἃς ἀναγκαζόμενος..., « il n'est pas juste de lui savoir gré des nécessités qui le forcent à vous faire de fallacieuses protestations d'amitié. » Ceux qui lient ἃ φησιν, déchirent la locution φίλος εἶναί φησι, qui fait corps. De même encore il faut construire : οὐδὲ (χάριν ὀφείλειν ἐκείνων ἃ) διαπράττεται, « ni lui savoir gré de ce qu'il se procure à prix d'argent des éloges publics. » Faire dépendre ὧν de ἐπαίνους, c'est affaiblir le sens et s'écarter de l'analogie des deux autres membres de phrase. — Ἰδίᾳ : des largesses qui ne profitent qu'à des particuliers lui font obtenir les éloges du peuple.

5-7. Πολίτης, εὐεργέτης, στέφανοι, δωρειαί (il est fait) citoyen, (proclamé) bienfaiteur (du peuple), des couronnes, (d'autres) faveurs (lui sont décernées). La concision elliptique de l'original est d'une éloquence familière et frappante.

8. Οἱ δ' ἄλλοι πεφενακισμένοι..... θαυμάζοντες. On ajoute tout bas ce que l'orateur ne dit pas expressément « vous êtes là assis, bouche béante, en grands benêts. » Τέως δ' ἀβελτερώτατοι κεχηνότες Μαμμάκυθοι, Μελητίδαι καθῆντο, dit Aristophane, *Gren.*, 989.

11-12. Τὸ τοῦ μισθοφόρου καὶ θεραπεύοντος ἐκεῖνον ἔργον. Il est très vrai qu'on dit sans article ἑταίρων ἔργον ποιεῖν, ἀνάνδρων ἀνθρώπων ἔργον ἐστίν (*Timocr.* § 53), μισθοφόρων ἔργον ἀνθρώπων ποιοῦντες (*Aristocr.* § 123).

ταῦτ' εἰδὼς οὕτως ἀκριϐῶς ἐγὼ καὶ παρηκολουθηκὼς ἐνίοις τῶν ἀδικημάτων εἴασα, καὶ οὔθ' ὅτ' αὐτὸν ἐποιεῖσθε πολίτην οὐδὲν ἀντεῖπον, οὔθ' ὅτ' ἐπῃνεῖτε, οὔθ' ὅλως πρότερον, πρὶν τὸ ψήφισμα τουτὶ γενέσθαι, λόγον ἐποιησάμην οὐδένα. Ἐγὼ δ', ὦ ἄνδρες Ἀθηναῖοι, πρὸς ὑμᾶς ἅπασαν ἐρῶ τὴν ἀλήθειαν. Καὶ γὰρ ὡς ἀνάξιος ᾔδειν, καὶ παρῆν ὅτε τούτων ἠξιοῦτο, καὶ οὐκ ἀντεῖπον· ὁμολογῶ. [188] Διὰ τί; ὅτι, ὦ ἄνδρες Ἀθηναῖοι, πρῶτον μὲν ἀσθενέστερον ἡγούμην ἔσεσθαι πολλῶν ψευδομένων ἑτοίμως περὶ αὐτοῦ πρὸς ὑμᾶς ἕνα τἀληθῆ λέγοντ' ἐμαυτόν· ἔπειθ' ὧν μὲν ἐκεῖνος εὑρίσκετ' ἐξαπατῶν ὑμᾶς, μὰ τὸν Δία καὶ θεοὺς πάντας οὐδενὸς εἰσῄει μοι φθονεῖν, κακὸν δ' οὐδὲν ἑώρων ὑπερφυὲς πεισομένους ὑμᾶς, εἴ τιν' ἠδικηκότα πόλλ' ἀφίετε καὶ προκαλεῖσθέ τι τοῦ λοιποῦ ποιεῖν ὑμᾶς ἀγαθόν· ἐν γὰρ τῷ πολίτην ποιεῖσθαι καὶ στεφανοῦν ταῦτ' ἐνῆν ἀμφότερα. [189] Ἐπειδὴ δ' ὁρῶ προσκατασκευαζόμενόν τι τοιοῦτον, δι' οὗ, ἂν μόνον εὐτρεπίσηται τοὺς ἐνθάδ' ἐξαπατήσοντας ὑμᾶς ὑπὲρ αὐτοῦ, τῶν γ' ἔξω φίλων καὶ βουλομένων ἄν τι ποιεῖν ὑμᾶς ἀγαθὸν κἀκεῖνον κωλύειν ἐναντία πράττειν ὑμῖν, οἷον Ἀθηνόδωρον λέγω, Σίμωνα, Βιάνορα, Ἀρχέβιον τὸν Βυζάντιον, τοὺς
684 Θρᾷκας τοὺς δύο, τοὺς βασιλέας, τούτων μηδενὶ μήτ' ἐναν-

NC. 2. Cobet écarte εἴασα καὶ. — 4. γενέσθαι τουτί et οὐδένα ἐποιησάμην A. — 6. ἀνάξιος S seul. ἀνάξιος ἦν vulg. — 11. τοὺς θεοὺς A. — ἅπαντας A, F. — 12. ἐπῄει A. — 13. ἤ τινα S[1]. — αφείετε S[1], η au-dessus de α reviseur ancien. ἀφίετε vulg. — 13-14. προκαλεῖσθε F, Y, προὐκαλεῖσθε S, vulg. J'ai adopté le présent, comme plus correct. — 16. προκατασκευαζόμενον A. — 17. ὑμᾶς est omis dans A. — 21. βασιλεισ S, A

Mais quelque nombreux que soient les exemples de cette locution, ils ne prouveront jamais que les articles soient de trop dans le présent passage. Il fallait dire ici τὸ.... ἔργον pour indiquer que ces mots sont une apposition à l'exclamation indignée que l'orateur réserve pour la fin ἐφρούρει Χαρίδημον. Quant à τοῦ, inutile avant μισθοφόρων ἀνθρώπων, il est ajouté pour donner à l'adjectif μισθοφόρου et au participe θεραπεύοντος la valeur d'un substantif.

1-2. Παρηκολουθηκὼς ἐνίοις τῶν ἀδικημάτων. Euthyclès avait été sur les lieux quand il servit comme triérarque dans l'Hellespont. Cf. § 5.

3. Ἐπῃνεῖτε. Les exemples de décrets laudatifs (ἔδοξεν ἐπαινέσαι....) abondent.

10. Εὑρίσκετ(ο), il obtenait pour lui.

18. Βουλομένων ἄν, disposés à...., qui voudraient, s'il y avait lieu.

20. Ἀρχέβιον τὸν Βυζάντιον. Probablement le même qui est loué comme partisan d'Athènes dans *Lept.*, § 60.

21-1. Τούτων reprend l'idée de τῶν

τιωθῆναι μήτε κωλύειν ἐκεῖνον ἐξέσται, τηνικαῦθ' ἥκω καὶ κατηγορῶ. [190] Καὶ νομίζω τὸ μὲν, οἷς ἔμελλεν ἐκεῖνος λαβὼν μηδὲν ὑπερμέγεθες τὴν πόλιν βλάψειν, ἀντιλέγειν ἢ κακῶς ἰδίᾳ πεπονθότος ἢ συκοφαντοῦντος εἶναι, τὸ δ', ἐφ' οἷς μέγα πρᾶγμ' ἀλυσιτελὲς τῇ πόλει κατεσκευάζετο, ἐναντιοῦσθαι χρηστοῦ καὶ φιλοπόλιδος ἀνδρὸς ἔργον εἶναι. Διὰ ταῦτ' ἐπ' ἐκείνοις οὐδὲν εἰπὼν νῦν λέγω.

[191] Ἔστι τοίνυν τις αὐτοῖς τοιοῦτος λόγος, δι' οὗ προσδοκῶσι παράξειν ὑμᾶς, ὡς ὁ Κερσοβλέπτης καὶ Χαρίδημος ἴσως ἐναντί' ἔπραττον τῇ πόλει τόθ' ὅτ' ἦσαν ἐχθροί, νῦν δὲ φίλοι καὶ χρησίμους παρέχουσιν ἑαυτούς· οὐ δὴ δεῖν μνησικακεῖν· οὐδὲ γὰρ Λακεδαιμονίους ὅτ' ἐσῴζομεν, οὐκ ἀνεμιμνησκόμεθ' εἴ τι κακῶς ἐποίησαν ἡμᾶς ὄντες ἐχθροί, οὐδὲ Θηβαίους, οὐδ' Εὐβοέας τὰ τελευταῖα νυνί. [192] Ἐγὼ δ' ἡγοῦμαι τοῦτον τὸν λόγον, εἰ μὲν ἔν τινι καιρῷ, βοηθείας γεγραμμένης τῷ Κερσοβλέπτῃ καὶ τῷ Χαριδήμῳ, κωλυόντων ἡμῶν ταύτην, ἔλεγον, ὀρθῶς ἂν λέγεσθαι· εἰ δὲ, τοιούτου μὲν μηδενὸς ὄντος μηδὲ γεγραμμένου, βουλόμενοι δὲ μείζω τοῦ δέοντος ποιῆσαι διὰ τοῦ παρ' ὑμῶν ἄδειαν

KC. 10. τοτε· ὅτ' S. — 10-11. νῦν δὲ S, Y. νῦν δέ γ' εἰσὶ vulg. — 11. δεῖν Cobet. δεῖ mss. — 12. Cobet supprime οὐκ. — 14. τελευταια, ται ajouté dans l'interligne par l'ancien reviseur, S. — 17. ταυτη, et au-dessus ν, S. ταύτη Y. ταῦτ' ἂν A. — 18. Peut-être οὐδενὸς et οὐδὲ

ἔξω φίλων, après la longue incidente. — Μήτ' ἐναντιωθῆναι μήτε κωλύειν ἐξέσται. Cet effet du décret d'Aristocrate a été expliqué au § 12.

10-11. Νῦν δὲ φίλοι : sous-ent. εἰσίν.

12. Οὐδὲ γὰρ.... οὐκ. La négation simple est ajoutée irrégulièrement après la négation composée, par une espèce d'anacoluthe qui donne plus de force à l'expression. Cf. la note sur *Olynth.*, I, 24 : Εἶτ' οὐκ αἰσχύνεσθ' εἰ μηδ' ἃ πάθοιτ' ἄν, εἰ δύναιτ' ἐκεῖνος, ταῦτα ποιῆσαι καιρὸν ἔχοντες, οὐ τολμήσετε. — Quant aux faits, Démosthène les avait lui-même rappelés peu de temps auparavant dans sa harangue pour Mégalopolis, § 14 : Καὶ Λακεδαιμονίους καὶ πρότερον Θηβαίους καὶ τὸ τελευταῖον Εὐβοέας ἔσωσεν ἡ πόλις (Voy. la note). Il les rappellera encore dans *Amb.*, § 75, et dans *Cour.*, § 96-100, mais en se plaçant à des points de vue différents. Dans l'*Ambassade*, il juge qu'Athènes agit conformément à son intérêt en venant au secours d'anciens ennemis; dans la *Couronne*, il fait ressortir la magnanimité de cette politique.

15. Βοηθείας γεγραμμένης, la motion d'un secours ayant été faite.

17. Εἰ δέ : sous-ent. λέγουσι τοῦτον τὸν λόγον.

18. Τοιούτου μὲν μηδενὸς ὄντος μηδὲ γεγραμμένης. Le sens est : « aujourd'hui qu'il n'y a ni circonstance ni proposition pareille. » On s'attendrait donc plutôt à οὐδενὸς... οὐδέ.

λαβεῖν τοὺς ἐκείνου στρατηγούς, [ἐροῦσι,] δεινὰ ποιεῖν αὐτοὺς ἡγοῦμαι. Οὐ γάρ ἐστι δίκαιον, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς τῶν σωθῆναι ζητούντων λόγους πρὸς ὑμᾶς λέγειν ὑπὲρ τῶν ὅπως ἀδικεῖν αὐτοῖς ἐξέσται πραττόντων. [193] Χωρὶς
685 δὲ τούτων, εἰ μὲν ἐχθρὸς ὢν κακῶς ἐποίει, φίλος δὲ φήσας μετεβέβλητο, τάχ' ἂν ταῦτά τις ἤκουεν· ἐπειδὴ δ' οὐ τοιοῦτόν ἐστιν, ἀλλ' ἐξ οὗ φίλος εἶναι προσποιεῖται, ἐκ τούτου πλεῖστα καὶ ὑμᾶς ἐξηπάτηκεν, εἰ μὴ καὶ δι' ἐκεῖνα μισεῖν, διά γε ταῦτ' ἀπιστεῖν δήπου προσήκει. Καὶ μὴν περὶ τοῦ γε μὴ μνησικακεῖν ἔγωγ' ὡδί πως λέγω· ὁ μὲν εἵνεκα τοῦ κακόν τι ποιεῖν τὰ τοιαῦτ' ἐξετάζων μνησικακεῖ, ὁ δ' ὑπὲρ τοῦ μὴ παθεῖν, ἀλλὰ φυλάξασθαι σκοπῶν σωφρονεῖ.

[194] Ἴσως τοίνυν καὶ τοιαύτην τιν' ἐροῦσιν ὑπόνοιαν, ὡς ὡρμηκότα νῦν τὸν ἄνθρωπον φίλον εἶναι καὶ βουλόμενόν τι ποιεῖν ἀγαθὸν τὴν πόλιν εἰς ἀθυμίαν τρέψομεν, εἰ καταψηφιούμεθα, καὶ ποιήσομεν ὑπόπτως ἔχειν πρὸς ἡμᾶς. Ἐγὼ δ', ὦ ἄνδρες Ἀθηναῖοι, θεάσασθ' ὡς ἔχω. Εἰ μετ' ἀληθείας ἁπλῶς ἦν ἡμῖν φίλος καὶ νὴ Δία πάντ' ἀγάθ' ἔμελλεν ἡμᾶς ποιήσειν, οὐδ' ἂν οὕτως ᾤμην δεῖν τοῦτον ἀκούειν τὸν λόγον· οὐδένα γὰρ ἂν νομίζω τοσαῦτ' ἀγαθὰ ποιῆσαι, δι' ὃν ὑμῖν προσήκειν ἐπιορκῆσαι καὶ παρ' ἃ φαίνεται δίκαια τὴν ψῆφον θέσθαι. [195] Ἐπειδὴ δὲ καὶ φενακίζων καὶ

NC. 1. J'ai écarté ἐροῦσι, qui est omis dans A. — 2. ὦ manque dans S. — 4. ἔσται A. — 5. ὢν Χαρίδημος vulg. — φήσας S, Y. φήσας εἶναι vulg. — 6. ταῦτα est omis dans A. — 7. τοιοῦτ' εστιν S. — 8. πλειστα καὶ υμᾶς S, Y. καὶ manque dans A. — 9. δι ἄγε (l'esprit rude de première main) S. — 11. εἵνεκα vulg. ἕνεκα S, A. — 12. τοῦ μὴ vulg. — 18. πάντ' ἀγαθά Dobree et Cobet. πάντα τἀγαθά mss. — ἤμελλεν S. — 19. τοῦτον ᾤμην δεῖν ἀκούειν F.

1. Τοὺς ἐκείνου στρατηγούς, un général qui le sert. Le pluriel généralise, comme notre article indéfini.

5. Ἐχθρὸς ὤν, tant qu'il était ennemi. Φίλος (sous-ent. εἶναι) φήσας, depuis qu'il s'est déclaré ami. L'omission de εἶναι rend l'antithèse plus frappante.

6. Τάχ' ἂν ταῦτά τις ἤκουεν, on écouterait peut-être un pareil langage. Cf. § 194 : Τοῦτον ἀκούειν τὸν λόγον.

8. Καὶ est ici intensif et porte sur le mot qui le précède (πλεῖστα) ou, si l'on veut, sur tout le membre de phrase. Cf. Krüger, *Gr. gr.*, 69, 32, 16. — Δι' ἐκεῖνα : c'-à-d. δι' ἐκεῖνα, ἃ ἐχθρὸς ὢν κακῶς ἐποίει

13. Ὑπόνοιαν se dit de ce que l'on entrevoit et croit deviner.

17. Ὡς ἔχω, en quelle disposition je suis, quel est mon sentiment.

οὐδ' ὁτιοῦν ὑγιὲς πράττων ἐξελέγχεται, δυοῖν ἀγαθοῖν θάτερον ὑμῖν, ἂν καταψηφίσησθε, συμβήσεται· ἢ γὰρ ἐξαπατῶν παύσεται, νομίσας οὐκέτι λανθάνειν, ἢ εἴπερ αὐτῷ βουλομένῳ πρὸς ὑμᾶς ἔστιν οἰκείως ἔχειν ὡς ἀληθῶς, ἀγαθόν τι ποιεῖν πειράσεται, γνοὺς ὅτι τῷ φενακίζειν οὐκέθ' ἃ βούλεται πράξει. Ὥστε καὶ εἰ μηδὲ δι' ἓν τῶν ἄλλων, διὰ τοῦτο καταψηφίσασθαι συμφέρει.

[13] Καὶ περὶ μὲν τούτων ἱκανά· πάνυ δ', ὦ ἄνδρες Ἀθηναῖοι, μετὰ πάσης οἰκειότητος ἐρῶ τἀληθῆ πρὸς ὑμᾶς. Ἐγὼ γὰρ ἐν ταῖς ἐκκλησίαις ὁρῶν ὑμᾶς κατατάττοντάς με καὶ προχειριζομένους ἐπὶ τὴν τούτου κατηγορίαν, ἠχθόμην καὶ μὰ τὸν Δία καὶ πάντας θεοὺς οὐκ ἐβουλόμην. Οὐ γὰρ ἠγνόουν ὅτι ὁ ποιήσας τι τοιοῦτον παρ' ὑμῖν καὶ παθὼν ἀπέρχεται. Εἰ δὲ μὴ τηλικοῦτον ὥστ' εὐθὺς αἰσθέσθαι, ἀλλ' ἐὰν πολλὰ τοιαῦτα ποιῇ καὶ μὴ παύηται, ταχὺ γνώσεται. Ὅμως δ' ἀναγκαῖον ἡγούμην εἶναι πείθεσθαι τοῖς ὑμετέροις βουλήμασιν. [14] Τὰ μὲν οὖν περὶ τῆς ἐνδείξεως καὶ τῶν νόμων δίκαια αὐτόν, ὅπερ πεποίηκεν, Λυκοῦργον ἐρεῖν ἡγούμην, καὶ τοὺς μάρτυρας τῆς πονηρίας τῆς τούτου τοῦτον ἑώρων προσκαλούμενον· ἃ δὲ καὶ λογίζεσθαι τοὺς ὑπὲρ πόλεως καὶ νόμων βουλευομένους προσήκει καὶ
774 σκοπεῖσθαι δεῖ, ταῦτα προῃρούμην εἰπεῖν, καὶ νῦν ἐπὶ ταῦτα πορεύσομαι. Δότε δ', ὦ ἄνδρες Ἀθηναῖοι, δότε καὶ συγχωρήσατέ μοι πρὸς Διός, ὡς πέφυκα καὶ προῄρημαι,

NC. 3. μειζον S, F, Y. — γίγνεται A, F. — 8. πάντας τοὺς θεοὺς A, F. — 9. ὁ, dans l'interligne, l'ancien reviseur de S. — 11-12. γνώσεται Lambin. γνωσθήσεται mss. — 12. εἶναι est omis dans Y. — 13-14. τοῖσ ὑμετέροις βουλήμασιν, mots omis dans S seul, marqués comme variante par le reviseur. — 17-18. Cobet écarte καὶ σκοπεῖσθαι δεῖ. Reiske et Dindorf écrivent ἀεί.

4. Καὶ.... ἱκανά. Cf. *Lettre*, III, § 33 : Καὶ περὶ μὲν τούτων ἱκανά· ἡδέως δ' ἂν ὑμῖν τὴν ἐπ' εὐνοίᾳ καὶ φιλίᾳ μέμψιν ποιησαίμην. M. Blass, qui me signale ce parallèle, y voit l'indice de la même main.

5. Μετὰ πάσης οἰκειότητος, « simpliciter, ut decet amicos et familiares. » [G. H. Schæfer.]

6-7. Ὑμᾶς κατατάττοντάς με... κατηγορίαν. Le peuple nommait des accusateurs d'office dans les causes très graves, des cas de haute trahison, comme dans le procès de l'or d'Harpale; peut-on croire qu'il en ait fait de même pour la cause présente, qui n'était pas une εἰσαγγελία, mais une simple ἔνδειξις? Westermann le niait et en tirait un argument contre l'authenticité du plaidoyer. Mais on ne saurait rien affirmer à ce sujet; il ne me paraît pas même certain qu'il s'agisse d'une nomination officielle. Cf. Platon, *Apol.*, p. 32, B : Καὶ ἑτοίμων ὄντων ἐνδεικνύναι καὶ ἀπάγειν τῶν ῥητόρων, καὶ ὑμῶν κελευόντων καὶ βοώντων.

9. Παθών (sous-ent. τι), antithèse usuelle de ποιήσας τι, désigne ici le mal qu'un accusateur se fait dans l'opinion publique.

13-14. Τὰ.... δίκαια. Voy. § 1.

περὶ τούτων διαλεχθῆναι πρὸς ὑμᾶς· καὶ γὰρ οὐδ' ἂν ἄλλως δυναίμην.

[15] Ἅπας ὁ τῶν ἀνθρώπων βίος, ὦ ἄνδρες Ἀθηναῖοι, κἂν μεγάλην πόλιν οἰκῶσι κἂν μικρὰν, φύσει καὶ νόμοις διοικεῖται. Τούτων δ' ἡ μὲν φύσις ἐστὶν ἄτακτον καὶ ἀνώμαλον καὶ κατ' ἄνδρ' ἴδιον τοῦ ἔχοντος, οἱ δὲ νόμοι κοινὸν καὶ τεταγμένον καὶ ταὐτὸ πᾶσιν. Ἡ μὲν οὖν φύσις, ἂν ᾖ πονηρὰ, πολλάκις φαῦλα βούλεται· διόπερ τοὺς τοιούτους ἐξαμαρτάνοντας εὑρήσετε. [16] Οἱ δὲ νόμοι τὸ δίκαιον καὶ τὸ καλὸν καὶ τὸ συμφέρον βούλονται, καὶ τοῦτο ζητοῦσιν, καὶ ἐπειδὰν εὑρεθῇ, κοινὸν τοῦτο πρόσταγμ' ἀπεδείχθη, πᾶσιν ἴσον καὶ ὅμοιον, καὶ τοῦτ' ἔστι νόμος, ᾧ πάντας πείθεσθαι προσήκει [διὰ πολλὰ, καὶ μάλισθ' ὅτι πᾶς ἐστιν νόμος εὕρημα μὲν καὶ δῶρον θεῶν, δόγμα δ' ἀνθρώπων φρονίμων, ἐπανόρθωμα δὲ τῶν ἑκουσίων καὶ ἀκουσίων ἁμαρτημάτων, πόλεως δὲ συνθήκη κοινὴ, καθ' ἣν πᾶσι προσήκει ζῆν] τοὺς ἐν τῇ πόλει. [17] Ἀλλὰ μὴν ὅτι νῦν

NC. 5. τούτων vulg., variante notée par le reviseur de S. τούτου S. τῶν A. — 5-6. καὶ ἀνώμαλον omis dans S, Y, et dans Hermogène, p. 222. — 7. καὶ τὸ τεταγμένον ταυτὸ πᾶσιν S seul. Le deuxième καὶ manque dans plusieurs mss, mais non dans Hermogène. — 8. βουλεύεται A, F. — 9. ῥαδίως ἐξαμαρτάνοντας Y, reviseur de S. πλεῖστ' ἁμαρτάνοντας A, schol. d'Hermogène, VII, p. 990 W. — 10. τὸ καλὸν καὶ τὸ δίκαιον A. — 12-13. πάντας προσήκει πείθεσθαι F. πάντας ἀνθρώπους προσήκει πείθεσθαι Marcianus dans *Digeste*, I, III, 2. On y lit ce passage depuis τοῦτο ἐστὶν νόμος jusqu'à ἐν τῇ πόλει; mais la traduction latine est interpolée, et on n'en doit pas faire usage pour la critique du texte. — 13-17. διὰ πολλὰ.... προσήκει ζῆν. Je regarde ces lignes comme une très ancienne interpolation : elles sont en partie citées par Hermogène, p. 222 et p. 229. Voyez la note explicative.— 14. δωρον S[1] après grattage. Il y avait peut-être d'abord δώρημα. — θεοῦ *Digeste*. — 17. J'ai écrit τοὺς pour τοῖς, datif amené par l'interpolation.

1-2. Καὶ γὰρ... δυναίμην. Dobree rapprochait *Chers.*, § 24 : Λέξω μετὰ παρρησίας· καὶ γὰρ οὐδ' ἂν ἄλλως δυναίμην. La ressemblance est toute fortuite : ici il ne s'agit pas de franchise.

4. Κἂν μεγάλην πόλιν οἰκῶσι κἂν μικράν. Hermogène (p. 228 et p. 367 W.) fait observer que ces mots tempèrent ce que la pensée générale a d'abstrait et de sévère. Cependant Anaxagore n'avait certainement aucune intention de ce genre quand il écrivait (fr. 6) : Ὅσα ψυχὴν ἔχει, καὶ τὰ μέζω καὶ τὰ ἐλάσσω, νόος κρατέει.

6. Κατ' ἄνδρα, individuellement. — Ἴδιον est au neutre.

8. Τοὺς τοιούτους : c.-à-d. ἐκείνους, ὧν φύσις πονηρά.

13-17. Πᾶς ἐστιν νόμος.... ζῆν. Cette belle définition de la loi est peut-être tirée de l'écrit d'un philosophe. Platon dit dans ses *Lois*, I, p. 644, D : Λογι-

Ἀριστογείτων τοῖς μὲν τῆς ἐνδείξεως δικαίοις ἅπασιν ἥλωκεν, ἕτερος δ' οὐδεὶς ἔστιν ἀνεκτὸς αὐτῷ λόγος, περὶ τούτων ῥᾴδιον διδάξαι. Δυοῖν γὰρ ὄντοιν, ὦ ἄνδρες Ἀθηναῖοι, ὧν ἕνεκα πάντες τίθενται οἱ νόμοι, τοῦ τε μηδένα μηδὲν ὃ μὴ δίκαιόν ἐστι ποιεῖν, καὶ τοῦ τοὺς παραβαίνοντας ταῦτα κολαζομένους βελτίους τοὺς ἄλλους ποιεῖν, ἀμφοτέροις τούτοις οὗτος ἔνοχος ὢν φανήσεται. Ἐπὶ μὲν γὰρ οἷς ἐξ ἀρχῆς παρέβη τοὺς νόμους, τὰ ὀφλήματ' αὐτῷ γέγονεν·
775 ἐπὶ δ' οἷς οὐκ ἐμμένει τούτοις, νῦν ἐπὶ τὴν παρ' ὑμῶν ἄγεται τιμωρίαν, ὥστε μηδεμίαν καταλείπεσθαι πρόφασιν δι' ἣν ἄν τις αὐτὸν ἀφείη. [18] Οὐδὲ γὰρ αὖ τοῦτ' ἔστιν εἰπεῖν, ὡς ἄρ' ἐκ τούτων οὐδὲν ἡ πόλις βλάπτεται. Ἐγὼ γάρ, ὅτι μὲν πάντ' ἀπόλλυται τὰ τῆς πόλεως ὀφλήματ', εἰ τὰ τούτου σοφίσματα προσδέξεσθε, καὶ ὅτι, εἰ ἄρα δεῖ τινὰς ἐκ τῶν ὀφειλόντων ἀφιέναι, τοὺς ἐπιεικεστάτους καὶ βελτίστους καὶ τοὺς ἐπὶ τοῖς ἥκιστα δεινοῖς ὠφληκότας, τούτους ἀφιέναι δεῖ, οὐχὶ τὸν πονηρότατον καὶ πλεῖσθ' ἡμαρτηκότα καὶ

NC. 2. εαλωκεν S. — ουδε | εισ S. — 4. οἱ νόμοι τίθενται A. — 5. εστιν S. — καὶ τουτουσ S[1]. — 11. αφίηι S. — 13. ἀπολεῖται A.

σμός.... ὃς γενόμενος δόγμα πόλεως κοινὸν νόμος ἐπωνόμασται. La présente définition fait ici double emploi avec a définition plus populaire qui précède et, tout à la fois, la contredit quelque peu. En effet, ce qui a été trouvé après des efforts ne peut guère passer pour un don des d eux. On remarquera aussi le mauvais remplissage διὰ πολλὰ καὶ μάλισθ' ὅτι, qui sert de transition, et la répétition ᾧ πάντας πείθεσθαι προσήκει.... καθ' ἣν πᾶσι προσήκει ζῆν. Autant d'indices d'interpolation.

1-2. Τοῖς μὲν.... ἥλωκεν. C'est là ce qui a été fait par Lycurgue (voy. § 14), et Démosthène ne se propose pas d'y revenir. Il faudrait dire en français, en subordonnant cette proposition : « Et maintenant, quand les considérants de la dénonciation ont été tous bien établis, il est facile de montrer qu'Aristogiton ne peut plus rien alléguer de tolérable en sa faveur. »

6-7. Ἀμφοτέροις τούτοις οὗτος ἔνοχος ὢν φανήσεται. En commettant des délits, Aristogiton viola les lois portées pour en détourner les citoyens; en éludant la punition, il annula l'influence salutaire que l'exemple du délit châtié la sur les autres citoyens.

9. Ἐπὶ δ' οἷς οὐκ ἐμμένει τούτοις, parce qu'il se soustrait aux amendes infligées, c.-à-d. parce qu'il s'arroge des droits civiques dont les débiteurs de l'État sont privés.

15. Τοὺς ἐπιεικεστάτους. On en trouvera des exemples au § 86.

17. Οὐχὶ τὸν πονηρότατον καὶ πλεῖσθ' ἡμαρτηκότα. On peut rapprocher *Contre Théocrinès*, § 24 : Προσῆκόν ἐστιν ὅλως μὲν μηδεμίαν συγγνώμην ὑπάρχειν παραβαίνοντι τοὺς νόμους, εἰ δ' ἄρα δεῖ, μὴ τοῖς συνεχῶς οὖσι πονηροῖς μηδὲ τοῖς ἐπ' ἀργυρίῳ τοὺς νόμους προϊεμένοις (οὐ γὰρ εἰκός), ἀλλ' οἵτινες ἂν διὰ τὴν αὐτῶν ἀπραγμοσύνην ἄκοντές τι τῶν γεγραμμένων παραβῶσιν.

δικαιότατ' ὠφληκότα καὶ ἐπὶ τοῖς δεινοτάτοις [19] (τί γὰρ ἂν γένοιτο συκοφαντίας καὶ παρανομίας δεινότερον, ἐφ' οἷς ἀμφοτέροις οὗτος ὤφληκεν), καὶ ὅτι οὐδ' εἰ πᾶσι τοῖς ἄλλοις [ἀφίετε], οὐχὶ τῷ βιαζομένῳ δήπου συγχωρῆσαι προσήκει (ὕβρις γὰρ δὴ τοῦτό γε), καὶ πάντα τὰ τοιαῦτ' ἐάσω· ἀλλ' ὅτι καὶ πᾶς ὁ τῆς πόλεως καὶ τῶν νόμων κόσμος, ὦ ἄνδρες Ἀθηναῖοι, συνταράττεται καὶ διαφθείρεται ⟨τὸ⟩ κατὰ τοῦτον, [καὶ] τοῦτ' οἶμαι σαφῶς ὑμῖν ἐπιδείξειν.

[20] Λέξω δ' οὔτε καινὸν οὔτε περιττὸν οὐδὲν οὔτ' ἴδιον, ἀλλ' ὃ πάντες ὑμεῖς ἴσθ' ὁμοίως ἐμοί. Εἰ γάρ τις ὑμῶν ἐξετάσαι βούλεται τί ποτ' ἐστὶν τὸ αἴτιον καὶ τὸ ποιοῦν τὴν βουλὴν συλλέγεσθαι, τὸν δῆμον εἰς τὴν ἐκκλησίαν ἀναβαίνειν, τὰ δικαστήρια πληροῦσθαι, τὰς ἕνας ἀρχὰς ταῖς νέαις ἑκούσας ὑπεξιέναι, καὶ πάντα δι' ὧν ἡ πόλις οἰκεῖται καὶ σῴζεται γίγνεσθαι, τοὺς νόμους εὑρήσει [τούτων αἰτίους] καὶ τὸ τούτοις ἅπαντας πείθεσθαι, ἐπεὶ λυθέντων γε τούτων, καὶ ἑκάστῳ δοθείσης ἐξουσίας ὅ τι βούλεται ποιεῖν, οὐ 776
μόνον ἡ πολιτεία οἴχεται, ἀλλ' οὐδ' ὁ βίος ἡμῶν τοῦ τῶν θηρίων οὐδὲν ἂν διενέγκαι. [21] Τί γὰρ ἂν τοῦτον αὐτὸν οἴεσθε ποιεῖν λυθέντων τῶν νόμων, ὃς ὄντων κυρίων τοιοῦτός

NC. 1. ἐπὶ δεινοτάτοις A, F. — 3. πᾶσιν S. — 4. ἀφίετε (αφιητε S, ἀφίεται A) a été supprimé par Taylor. — 5. δη πουτο γε S avant grattage. δη που τουτο γε variante notée par le reviseur. — καὶ est omis dans le texte de S, donné par le reviseur. — 6. τῶν sur grattage dans S. — 7. τὸ est dû à Dobree. Cf. § 22. — 8. Nous avons écarté καί. — 14. καὶ est omis dans F. — διοικεῖται S, A, Y. Peut-être κοσμεῖται. Cf. § 24. — 15. τούτων αἰτίους. J'écarte ces mots, qui manquent dans A et dans le texte de F. — 18. οἴχ. ἡ πολ.? — τοῦ pourrait être supprimé. — 20. ποιεῖν F. ποιήσειν S, vulg. Cobet veut qu'on retranche ἄν. On pourrait supprimer l'infinitif. — Les mots ὃς ὄντων κυρίων sont omis, dans S après νόμων. Reviseur : γρ. εἰ κυρίων.

9-10. Λέξω.... οὔτε περιττὸν οὐδὲν οὔτ' ἴδιον. On peut comparer *Phil.*, III, 37 : Τί οὖν ἦν τοῦτο; οὐδὲν ποικίλον, οὐδὲ σοφόν.

10 sqq. Εἰ γάρ τις ὑμῶν ἐξετάσαι βούλεται τίποτ' ἐστίν.... Cette considération est bien du même orateur qui écrit dans la *Midienne*, § 223 : Καὶ γὰρ αὐτὸ τοῦτ' εἰ θέλοιτε σκοπεῖν καὶ ζητεῖν, τῷ ποτ' εἰσὶν ὑμῶν οἱ ἀεὶ δικάζοντες ἰσχυροί.... τῷ τοὺς νόμους ἰσχύειν.

12-13. Εἰς τὴν ἐκκλησίαν ἀναβαίνειν. Le Pnyx était un lieu élevé. Cf. *Cour.*, § 169 : Ὁ δῆμος ἄνω καθῆτο.

13. Τὰ δικαστήρια πληροῦσθαι. La loi prescrivait un nombre plus ou moins grand de juges suivant la nature des causes; les thesmothètes avaient à parfaire ce nombre dans chaque cas, et c'était là une opération assez compliquée. Voy. M. Frænkel, *Die att. Geschworenengerichte*, p. 96 sqq. — Τὰς ἕνας ἀρχάς, les

ἐστιν; Ἐπειδὴ τοίνυν οἱ νόμοι μετὰ τοὺς θεοὺς ὁμολογοῦνται σῴζειν τὴν πόλιν, δεῖ πάντας ὑμᾶς τὸν αὐτὸν τρόπον ὥσπερ ἂν εἰ καθῆσθ' ἐράνου πληρωταὶ, τὸν μὲν πειθόμενον τούτοις ὡς φέροντα τὴν τῆς σωτηρίας φορὰν πλήρη τῇ πατρίδι τιμᾶν καὶ ἐπαινεῖν, τὸν δ' ἀπειθοῦντα κολάζειν. [22] Ἔρανος γάρ ἐστιν πολιτικὸς καὶ κοινὸς πάνθ' ὅσα, ταξάντων τῶν νόμων, ἕκαστος ἡμῶν ποιεῖ. Ὃν ὁ λείπων, ὦ ἄνδρες Ἀθηναῖοι, πολλὰ καὶ καλὰ καὶ σεμνὰ καὶ μεγάλ' ὑμῶν ἀφαιρεῖται καὶ διαφθείρει τὸ καθ' αὑτόν. [23] Ὧν ἓν ἢ δύ' ἐρῶ παραδείγματος ἕνεκα, τὰ γνωριμώτατα. Τὸ τὴν βουλὴν τοὺς πεντακοσίους ἀπὸ τῆς [ἀσθενοῦς] τοιαυτησὶ κιγκλίδος τῶν ἀπορρήτων κυρίαν εἶναι, καὶ μὴ τοὺς ἰδιώτας ἐπεισιέναι· τὸ τὴν ἐξ Ἀρείου πάγου βουλὴν, ὅταν ἐν τῇ βασιλείῳ στοᾷ καθεζομένη περισχοινίσηται, κατὰ πολλὴν ἡσυχίαν ἐφ' ἑαυτῆς εἶναι, καὶ ἅπαντας ἐκποδὼν ἀποχωρεῖν· τὸ τὰς ἀρχὰς ἁπάσας, ὅσας οἱ λαχόντες ἄρχουσιν ὑμῶν, ἅμα τῷ τὸν ὑπηρέτην εἰπεῖν « μετάστητε « ἔξω » [τῶν νόμων] κρατεῖν ἐφ' οἷς εἰσεπέμφθησαν, καὶ

NC. 3. καθῆσθε Cobet. καθῆσθε S. ἐκάθησθε vulg. — 7. τῶν, après ταξάντων, manque dans S. γρ. οσα προσταξαντων των νόμων reviseur. — 11-12. J'ai écarté la glose ἀσθενοῦς en admettant τοιαυτησὶ, leçon de S. ταυτησὶ vulg. γρ. ταυσί (pour ταυτησί) reviseur de S. — 16. Variantes : ὑποχωρεῖν, ἀναχωρεῖν. — 17. ἅμα manque dans A, F. — 18. Je tiens τῶν νόμων, qui provient sans doute de τῷ νόμῳ, pour interpolé.

anciens magistrats, ceux qui ont fait leur temps. L'adjectif ἕνος est vieux et ne s'est conservé que dans certaines locutions, comme ἕνη καὶ νέα, la vieille et la nouvelle lune.

3. Ἐράνου πληρωταί. Harpocration : Εἶεν ἂν οὗτοι οἱ παρ' ἡμῖν καλούμενοι ἐρανάρχαι. Voy. les notes sur *Mid.*, § 101 et 184. Comme la *Midienne* n'a pas été prononcée et ne fut publiée qu'après la mort de Démosthène, celui-ci a pu d'autant plus facilement reprendre ici la belle comparaison du prêt à rendre, appliquée à toute la vie d'un citoyen.

6. Πολιτικὸς καὶ κοινός (civique et public), par opposition aux ἔρανοι proprement dits, qui étaient des cotisations privées. Cf. *Cour.*, § 211 : Τοῖς ἀπόροις πολιτικὴ καὶ κοινὴ βοήθεια χρημάτων.

12. Τῆς τοιαυτησὶ κιγκλίδος. Dans les *Grenouilles* d'Aristophane, le Charcutier renverse cette barrière impudemment : τῷ πρωκτῷ θενὼν τὴν κιγκλίδ' ἐξήραξα (v. 640).

14. Ἐν τῇ βασιλείῳ στοᾷ. On ne sait que par ce passage que le sénat de l'Aréopage se réunissait quelquefois dans le portique du Roi, son président. Il n'y a aucune raison de mettre la chose en doute.

18. Κρατεῖν ἐφ' οἷς équivaut à κρατεῖν ἐκείνων ἐφ' οἷς.

μη<δὲ> τοὺς ἀσελγεστάτους βιάζεσθαι· ἄλλα μυρία. [24] Πάντα γὰρ τὰ σεμνὰ καὶ καλά, [καὶ δι' ὧν ἡ πόλις κοσμεῖται καὶ σῴζεται,] ἡ σωφροσύνη, ἡ πρὸς τοὺς γονέας καὶ τοὺς πρεσβυτέρους ὑμῶν παρὰ τῶν νέων αἰσχύνη, ἡ 777
εὐταξία, τῇ τῶν νόμων προσθήκῃ τῶν αἰσχρῶν περίεστιν, τῆς ἀναισχυντίας, τῆς θρασύτητος, τῆς ἀναιδείας. Ἰταμὸν γὰρ ἡ πονηρία καὶ τολμηρὸν καὶ πλεονεκτικόν, καὶ τοὐναντίον ἡ καλοκαγαθία ἡσύχιον καὶ ὀκνηρὸν καὶ βραδὺ καὶ δεινὸν ἐλαττωθῆναι. Τοὺς νόμους οὖν δεῖ τηρεῖν καὶ τούτους ἰσχυροὺς ποιεῖν τοὺς ἀεὶ δικάζοντας ὑμῶν· μετὰ γὰρ τούτων οἱ χρηστοὶ τῶν πονηρῶν περίεισιν. [25] Εἰ δὲ μή, λέλυται πάντα, ἀνέῳκται, συγκέχυται, τῶν πονηροτάτων καὶ ἀναιδεστάτων ἡ πόλις γίγνεται. Φέρε γὰρ πρὸς θεῶν, εἰ ἕκαστος τῶν ἐν τῇ πόλει τὴν Ἀριστογείτονος τόλμαν καὶ ἀναισχυντίαν λαβών, καὶ διαλογισάμενος ταῦθ' ἅπερ οὗτος, ὅτι ἔξεστι καὶ λέγειν καὶ ποιεῖν μέχρι παντὸς ὅ τι ἂν βούληταί τις ἐν δημοκρατίᾳ, ἐάνπερ τοῦ ποῖός τις εἶναι δόξει [ὁ] ταῦτα ποιῶν ὀλιγωρήσῃ, καὶ οὐδεὶς ἐπ' οὐδενὶ τῶν ἀδικημάτων εὐθὺς αὐτὸν ἀποκτενεῖ· [26] εἰ ταῦτα διανοηθεὶς ὁ μὴ λαχὼν τῷ λαχόντι καὶ ὁ μὴ χειροτονηθεὶς τῷ χειροτονηθέντι ἐξ ἴσου ζητοίη εἶναι καὶ τῶν αὐτῶν μετέχειν, καὶ ὅλως μὴ νέος, μὴ πρεσβύτερος τὰ προσήκοντα πράττοι,

NC. 1. μηδὲ Herwerden. μὴ mss. — 2-3. καὶ δι' ὧν.... σώζεται : glose tirée du § 20 et reconnue par Cobet. — 3. σώζεται, ἡ σωφροσύνη A, F. σωζεται οὗτοι φυλαττουσιν· η σωφροσύνη S, vulg. — ἡ, omis avant πρὸς, est inséré avant παρὰ dans S, deux fois répété dans A. — 6. τομὸν A. — 12. ὁ βίος συγκέχυται A et γρ. S. — 13. μεστὴ γίγνεται A. — 13-14. εἰ ἕκαστοσ S, F. εἰ εἷς ἕκαστος vulg. — 16 μέχρι τινὸς A, F. — 18. ὁ est écarté par Cobet. — 19. ἀποκτενεῖ A, F. ἀποκτείνει S, vulg.

5. Τῇ τῶν νόμων προσθήκῃ, en prenant les lois pour auxiliaires. C'est ainsi que προστίθεσθαί τινα veut dire ποιεῖσθαί τινα σύμμαχον.

9. Δεινὸν ἐλαττωθῆναι, elle ne s'entend que trop à avoir le dessous.

10. Τοὺς ἀεὶ δικάζοντας : sujet des infinitifs qui précèdent.

12. Ἀνέῳκται, tout est ouvert, exposé. Voyez les exemples allégués au § 23.

16. Μέχρι παντός, jusqu'à la dernière limite.

19. Ἀποκτενεῖ dépend de διαλογισάμενος... ὅτι.

20. Λαχὼν... χειροτονηθείς.... Distinction entre les charges conférées soit par le sort, soit par l'élection.

ἀλλὰ πᾶν τὸ τεταγμένον ἐξελάσας ἕκαστος ἐκ τοῦ βίου τὴν ἑαυτοῦ βούλησιν νόμον, ἀρχήν, πάνθ' ὑπολαμβάνοι· εἰ ταῦτα ποιοῖμεν, ἔστι τὴν πόλιν οἰκεῖσθαι; [τί δέ; τοὺς νόμους κυρίους εἶναι; πόσην δ' ἂν οἴεσθε βίαν καὶ ὕβριν καὶ παρανομίαν ἐν ἁπάσῃ τῇ πόλει καθ' ἑκάστην τὴν ἡμέραν γίγνεσθαι καὶ βλασφημίαν ἀντὶ τῆς νῦν εὐφημίας καὶ τάξεως;] [27] Καὶ τί δεῖ λέγειν ὅτι τοῖς νόμοις ἅπαντα
778 κοσμεῖται καὶ τῷ τούτοις πείθεσθαι; ἀλλ' ὑμεῖς αὐτοὶ πάντων ἄρτι κληρουμένων Ἀθηναίων, καὶ πάντων εὖ οἶδ' ὅτι βουλομένων εἰς τουτὶ λαχεῖν τὸ δικαστήριον, μόνοι δικάζεθ' ἡμῖν. Διὰ τί; ὅτι ἐλάχετε, εἶτ' ἀπεκληρώθητε· ταῦτα δ' οἱ νόμοι λέγουσιν. Εἶθ' ὑμεῖς αὐτοὶ κατὰ τοὺς νόμους εἰσεληλυθότες τὸν παρὰ τοὺς νόμους λέγειν ἢ πράττειν τι βιαζόμενον λαβόντες ἀφήσετε; καὶ οὐδεὶς ὑμῶν χολὴν οὐδ' ὀργὴν ἔχων φανήσεται ἐφ' οἷς ὁ βδελυρὸς καὶ

NC. 3. ἔστι S, A, Y. ἔστιν ἔτι vulg. — 3-7. τί δέ;... εἶναι; mots condamnés avec raison par Taylor : si personne n'observe les lois, il est évident que les lois n'ont plus de force. J'étends l'atéthèse jusqu'à la fin du paragraphe. Il y a là une amplification maladroite : car la question ἔστι τὴν πόλιν οἰκεῖσθαι en dit plus que tout le reste. — 10. τουτὶ A, F. τοῦτο S. — 11. δικαζεσθ S seul. — 12. ταῦτα γὰρ A, F. — 15. οὐδὲ ὀργήν. Cobet écarte ces mots, que citent l'auteur du traité Περὶ ὕψους (ch. 27), et Tibère, *Figures*, ch. 14.

8 sqq. Ἀλλ' ὑμεῖς αὐτοί.... Excellent argument *ad hominem*, qui rappelle les considérations de *Mid.*, § 221.

11. Ἐλάχετε, εἶτ' ἀπεκληρώθητε. Pour désigner les citoyens qui jugeraient une cause, une double opération était nécessaire : il fallait tirer au sort, d'abord la section ou les sections où seraient pris les juges, ensuite les noms des juges individuellement. (Voyez Schœmann, *Opusc. acad.*, I, p. 215.) Ici encore Lipsius croit prendre en défaut l'auteur de notre discours. Ce procès, dit-il, était assez important pour que l'on fît siéger une section tout entière, sinon plusieurs : le second tirage, applicable seulement aux petites causes et aux tribunaux moins nombreux, était donc superflu dans le cas présent. Je ne le pense pas. Une section complète devait se composer de 500, ou, pour parler exactement, de 501 membres. Il y avait dix sections; mais comme le nombre total des juges athéniens était très loin d'atteindre le chiffre de cinq mille, chacun d'eux se faisait inscrire dans plusieurs sections (Voy. Max Frænkel, *l. c.*). Si le nombre des citoyens ainsi inscrits dans chaque section avait été juste de 501, et si tous avaient toujours été présents, il eût suffi en effet de désigner la section, et une seconde opération eût été inutile. Mais il fallait prévoir les absences, les maladies, les empêchements, et, pour que l'on fût sûr de trouver à l'occasion dans une section le nombre prescrit par la loi, le nombre des inscrits devait dépasser très sensiblement le chiffre normal. On voit que le second tirage, le ἀποκληρωθῆναι, s'imposait de toute façon.

12. Ταῦτα δ' οἱ νόμοι λέγουσιν, or c'est ce que commandent les lois.

15. Χολὴν οὐδὲ ὀργήν. Sans doute une locution usuelle.

ἀναιδὴς ἄνθρωπος βιάζεται τοὺς νόμους; [28] Ὅς, ὦ μιαρώτατε πάντων τῶν ὄντων ἀνθρώπων, κεκλειμένης σου τῆς παρρησίας οὐ κιγκλίσιν οὐδὲ θύραις, ἃ καὶ παρανοίξειεν ἄν τις, ἀλλὰ τοσούτοις καὶ τηλικούτοις ὀφλήμασιν, καὶ τούτων παρὰ τῇ θεῷ κειμένων, εἰς τὸ ἐντὸς τούτων βιάζει καὶ προσέρχει πρὸς ταὔτ' ἀφ' ὧν ἀπελαύνουσίν σ' οἱ νόμοι· ἀπεσχοινισμένος πᾶσι τοῖς ἐν τῇ πόλει δικαίοις, γνώσει δικαστηρίων τριῶν, ἐγγραφῇ θεσμοθετῶν, ἑτέρᾳ πρακτόρων, τῇ τῆς βουλεύσεως, ἣν αὐτὸς διώκεις,

NC. 1. ἄνθρωποσ S seul. ἄνθρωπος οὑτοσὶ vulg., variante noté par le reviseur de S. — 2. κεκλιμένησ S[1]. κεκλεισμένης A, F. — 3. σοι vulg. — ἐξουσίασ S, Y. Cf. § 30 à la fin. παρρησίας vulg., *Traité du Sublime*, ch. 27; Tibère, *Fig.*, 47; Alexandre, § 14; Isidore de Péluse en deux endroits, que me signale M. Blass, IV, *ep.* 126, et III, 360. — 3-4. καὶ θύραις Isidore. — παρανοίξειεν. « Si quid credimus ἀττικισταῖς « emendandum erit παροίξειεν. » [Cobet.] — 5-6. εἰς τὸ ἐντὸς τούτων vulg. γρ. εἰς το εντοσ. τούτωι reviseur en marge de S. — βιαζηι S seul. — 8. J'ai écrit γνώσει pour γνώσεσι. — τριῶν δικαστηρίων A, F.

1-2. Ὅς, ὦ μιαρώτατε.... L'auteur du Περὶ ὕψους (ch. 27) admire cette apostrophe imprévue et le passage brusque de la troisième à la deuxième personne, τὸ πολυπρόσωπον καὶ ἀγχίστροφον.

2-3. Κεκλειμένης... οὐ κιγκλίσιν οὐδὲ θύραις. Ce beau trope est préparé par la barrière, κιγκλίς, qui garantit le secret de certaines délibérations du sénat (§ 23), comme le trope ἀπεσχοινισμένος (l. 7) l'est par la corde dont s'entoure l'assemblée des Aréopagites, περισχοινίσηται (§ 23).

5. Παρὰ τῇ θεῷ κειμένων équivaut à ἐγγεγραμμένων ἐν ἀκροπόλει (§ 3).

7. Ἀπεσχοινισμένος.... δικαίοις : mots cités avec admiration par Pline, *Epist.*, IX, 26, 9.

8. Γνώσει δικαστηρίων τριῶν. Le mot δικαστήριον doit s'entendre ici comme dans *Timocr.*, § 9 (δικαστηρίοιν δυοῖν εἰς ἕνα καὶ χιλίους ἐψηφισμένων). L'orateur dit qu'Aristogiton fut condamné par une grande assemblée judiciaire composée de trois sections et comptant quinze cents juges. Je soupçonne cependant qu'il n'y avait que deux sections, et que l'orateur s'exprime hyperboliquement, comme dans *Timocrate*, § 196. Quoi qu'il en soit, il s'agit de la γραφὴ παρανόμων victorieusement soutenue contre Aristogiton par Phanostrate et Démosthène. Cf. Harpocration : Γνῶσις ἀντὶ τοῦ κρίσις. Δημοσθένης ἐν τῷ κατ' Ἀριστογείτονος. — La leçon γνώσεσι ne peut guère se concilier avec les faits. Aussi Lipsius en a-t-il tiré un argument pour la thèse qui attribue ce plaidoyer à un faussaire mal informé.

8-9. Ἐγγραφῇ θεσμοθετῶν, ἑτέρᾳ πρακτόρων. Les amendes étaient d'abord enregistrées par les thesmothètes, en leur qualité de présidents du tribunal, ensuite inscrites par les πράκτορες, chargés du recouvrement de l'argent. (Cf. Bœckh, *Staatshaush.*, I, p. 510). Il est vrai que les deux inscriptions équivalaient à une seule; mais on sait que les orateurs savent aggraver ou atténuer les choses par le tour de la parole. Ajoutons une autre explication, qui laisse au mot ἑτέρᾳ toute sa valeur. Aristogiton n'ayant pas payé à la neuvième prytanie, l'amende avait été portée au double. Les πράκτορες durent alors marquer l'augmentation de la dette au moyen d'une autre inscription, ἑτέρᾳ ἐγγραφῇ.

9. Τῇ τῆς βουλεύσεως.... γραφῇ. Voy. § 71, avec la note. Tant qu'Aristogiton n'a pas gagné son procès contre Ariston, il reste inscrit comme débiteur de l'État, et c'est ainsi que la plainte dépo-

τῶν ἰδίων ἐμὲ τῶν τουτουὶ λέγειν, σπουδάσαντας ὑμᾶς ἐξετάσαι διὰ βραχέων εἰς ὅσην αἰσχύνην καὶ ἀδοξίαν προῆχε τὴν πόλιν δημοσίᾳ πάντα τὰ τοιαῦτα θηρία, ὧν μέσος καὶ τελευταῖος καὶ πρῶτός ἐστιν οὗτος. [9] Καὶ τὰ μὲν ἄλλ' ἐάσω· ἀλλ' εἰς τὰς ἐκκλησίας ἀναβαίνουσιν, ἐν αἷς ὑμεῖς γνώμης ἀπόδειξιν, οὐ πονηρίας τοῖς λέγουσιν προτίθετε, τόλμαν καὶ κραυγὴν καὶ ψευδεῖς αἰτίας καὶ συκοφαντίαν καὶ ἀναισχυντίαν καὶ πάντα τὰ τοιαῦτα συνεσκευασμένοι, ὧν οὐκ ἂν εὕροι τις ἐναντιώτερα τῷ βουλεύεσθαι, νομίζω δ' οὐδ' ἂν αἰσχίω. Καὶ τούτοις τοῖς αἰσχροῖς ἁπάντων τῶν τῆς πόλεως καλῶν περίεισι, τῶν νόμων, τῶν προέδρων, τοῦ προγράμματος, τῆς εὐκοσμίας. [10] Εἰ μὲν οὖν ὑμεῖς ταῦτα βούλεσθε καὶ μετὰ τῆς ὑμετέρας γνώμης οὗτοι ταῦτα ποιοῦσιν, ὁδῷ βαδίζει καὶ ἐᾶν δεῖ· εἰ δ' ἐπανορθώσασθαι ταῦτ' ἔτι καὶ νῦν οἴεσθε χρῆναι, καὶ τὰ προειμένα πόρρω καὶ πολὺν ἤδη χρόνον αἰσχρῶς καὶ κακῶς ὑπὸ τούτων διακείμενα βελτίω ποιῆσαι, πάντα τὰ τοιαῦτ' ἔθη παριδόντας ὑμᾶς τήμερον ὀρθῶς δεῖ δικάσαι, [11] τὴν τὰ δίκαι' ἀγαπῶσαν Εὐνομίαν περὶ πλείστου ποιησαμένους, ἢ πάσας

NC. 1. Après λέγειν, dans l'interligne, ἀδικημάτων reviseur de S. — 4. ὧν τὰ μὲν F. — 7. συκοφαντίας A. — 9-10. νομίζω δὲ S, F, Y. Les mots μὰ τοὺς θεούς, ajoutés dans d'autres manuscrits et notés comme variante par le reviseur de S, sont à leur place au § 48. — 10-11. τῶν καλῶν τῶν τῆς πόλεως A, F. — 14. οδῶ βαδίζειν εἂν δεῖ variante notée par le reviseur de S et, comme me fait observer M. Blass, imitée par Libanios, IV, p. 376, 24 : Ἐπιτρέπειν ὁδῷ βαδίζειν. A, F : βαδίζειν καὶ ἐᾶν, mélange des deux leçons. — 15. προειμένα (non προειρημένα) aussi dans S. — 18. δεῖ, avant δικάσαι, manque dans A. Cf. p. 311, 5, N,

3-4. Μέσος καὶ τελευταῖος καὶ πρῶτος. Le mot le plus expressif, πρῶτος, est réservé pour la fin. A cela près, la locution est usuelle. Exemple, Philostrate, *Soph.*, p. 268 : Ὧν πρῶτος καὶ μέσος καὶ τελευταῖος. On peut aussi comparer *Contre Conon*, § 22 : Ἡγεμὼν καὶ πρῶτος καὶ πάντων βδελυρώτατος, ainsi que *Cour.*, § 310 : Οὐ πρῶτος, οὐ δεύτερος... οὐχ ἕκτος, οὐχ ὁποστοσοῦν.

8. Συνεσκευασμένοι, s'étant pourvus.

12. Τοῦ προγράμματος, l'ordre du jour. — Pour l'ensemble de ce passage, cf. § 90, avec la note.

14. Ὁδῷ βαδίζει. Cf. *Symm.*, § 23 : Ἐὰν γὰρ ταῦθ' οὕτως εἰς ὁδὸν καταστῇ. Le contraire serait ὁδοῦ ἐκπεσεῖν. — Le tour général de la période et de la pensée est le même que dans *Phil.*, I, § 4 : Εἰ μὲν οὖν καὶ νῦν λέγειν δικαιότερ' ὑμῖν ἐξαρκεῖ, ῥᾴδιον, καὶ πόνος οὐδεὶς πρόσεστι τῷ πράγματι· εἰ δ' ὅπως τὰ παρόντ' ἐπανορθωθήσεται δεῖ σκοπεῖν....

15. Πόρρω semble équivaloir ici à πόρρω τῆς ὁδοῦ, τοῦ καιροῦ, τοῦ δέοντος.

19. Εὐνομίαν. Voy. Hésiode, *Théog.*, 902 ; Solon, v. 32-49 du morceau cité dans l'*Ambassade*, § 255.

καὶ πόλεις καὶ χώρας σῴζει [, καὶ τὴν ἀπαραίτητον καὶ σεμνὴν Δίκην, ἣν ὁ τὰς ἁγιωτάτας ἡμῖν τελετὰς καταδείξας Ὀρφεὺς παρὰ τὸν τοῦ Διὸς θρόνον φησὶ καθημένην πάντα τὰ τῶν ἀνθρώπων ἐφορᾶν, εἰς αὐτὸν ἕκαστον νομίσαντα βλέπειν, οὕτω ψηφίζεσθαι, φυλαττόμενον καὶ προορώ- 773
μενον μὴ καταισχῦναι ταύτην, ἧς ἐπώνυμός ἐστιν ὑμῶν ἕκαστος ὁ ἀεὶ δικάζειν λαχών, πάντα τὰ ἐν τῇ πόλει καλὰ καὶ δίκαια καὶ συμφέροντα [φυλάττων καὶ] ταύτην τὴν ἡμέραν παρακαταθήκην ἔνορκον εἰληφὼς παρὰ τῶν νόμων καὶ τῆς πολιτείας καὶ τῆς πατρίδος]. [12] Ὡς εἰ μὴ τοῦτον ἕξετε τὸν τρόπον, ἀλλ' ἀπὸ τῆς συνήθους εὐηθείας εἰσεληλυθότες καθεδεῖσθε, φοβοῦμαι μὴ τὸ πρᾶγμ' εἰς τοὐναντίον περιστῇ καὶ δοκοῦντες ἡμεῖς Ἀριστογείτονος κατηγορεῖν

NC. 1. καὶ τὴν ἀπαραίτητον.... J'attribue à un très ancien interpolateur toute cette amplification jusqu'à la fin du § 11. Pour se conformer à ses intentions, il faudrait sans doute supprimer dans le texte primitif les mots ὀρθῶς δεῖ δικάσαι, p. 310, 18, — 2. ὑμῖν S. — 3. φησιν S. — 5. δεῖ ψηφίζεσθαι A. — 7. ὁ ajouté dans l'interligne par l'ancien reviseur de S. — τὰ πάντων τῶν ἐν ταύτῃ τῇ πόλει καλὰ F et reviseur en marge de S. — 8. φυλάττων καὶ S, Y. φυλάττειν vulg. La glose a été écartée par Dobree et Cobet.

1 et suiv. Καὶ τὴν ἀπαραίτητον... τῆς πατρίδος. On chercherait vainement dans ce discours un autre exemple d'une période aussi embarrassée et aussi surchargée. Diké est de trop après Eunomie, et la solennité du ton, l'onction avec laquelle il est parlé du vieil Orphée, tranche avec l'allure générale de ce morceau. Voy. NC.

2-3. Τελετὰς καταδείξας Ὀρφεύς. Dindorf cite à propos Aristophane, *Gren.*, 1032 : Ὀρφεὺς μὲν γὰρ τελετάς θ' ὑμῖν κατέδειξε φόνων τ' ἀπέχεσθαι.

3-4. Παρὰ τὸν τοῦ Διὸς θρόνον... ἐφορᾶν. Platon fait allusion au même morceau Orphique, quand il dit dans les *Lois*, IV, p. 716, A : Θεὸς, ὥσπερ καὶ ὁ παλαιὸς λόγος, ἀρχήν τε καὶ τελευτὴν καὶ μέσα τῶν ὄντων ἁπάντων ἔχων... τῷ δ' ἀεὶ ξυνέπεται Δίκη τῶν ἀπολειπομένων τοῦ θείου νόμου τιμωρός. Proclus, *Theol.*, VI, 8, p. 363, cite ce vers: Τῷ δὲ Δίκη πολύποινος ἐφέσπετο πᾶσιν ἀρωγός. L'Hymne Orphique LXII est trop récent pour faire autorité; mais la même image se trouve déjà dans la Théogonie Hésiodique, v. 258.

5. Οὕτω résume les phrases participiales qui précèdent. Cf. *Olynth.*, II, 7 : Τὴν γὰρ ἑκάστων ἄνοιαν ἀεὶ τῶν ἀγνοούντων αὐτὸν ἐξαπατῶν καὶ προσλαμβάνων, οὕτως ηὐξήθη.

6. Ἐπώνυμος. Le mot δικαστής vient de δίκη.

7. Πάντα τὰ.... καλὰ καὶ δίκαια καὶ συμφέροντα. Ces mots sont tirés du § 16. Voy. aussi § 43.

9. Παρακαταθήκην ἔνορκον εἰληφὼς παρὰ τῶν νόμων.... Plus simplement dans *Mid.*, § 177 : Τοῦτο γάρ ἐσθ' ὃ φυλάττειν ὑμᾶς δεῖ, τοὺς νόμους, τὸν ὅρκον. Ταῦτ' ἔχεθ' ὑμεῖς οἱ δικάζοντες ἀεὶ παρὰ τῶν ἄλλων ὥσπερεὶ παρακαταθήκην. [Dobree.]

11. Ἀπὸ τῆς συνήθους εὐηθείας. L'assonance est-elle voulue? Ἀπό, cf. *Cour.*, § 210 : Ἀπὸ τῆς αὐτῆς διανοίας.... τάς τ' ἰδίας δίκας καὶ τὰς δημοσίας κρίνειν.

ὑμῶν κατηγοροῦντες φανῶμεν· ὅσῳ γὰρ ἂν μᾶλλον ἡμῶν δειξάντων τὴν τούτου πονηρίαν μηδὲν ὑμεῖς φροντίσητε, τοσούτῳ μείζων ἡ καθ' ὑμῶν αἰσχύνη γενήσεται.

[13] Καὶ περὶ μὲν τούτων ἱκανά· πάνυ δ', ὦ ἄνδρες Ἀθηναῖοι, μετὰ πάσης οἰκειότητος ἐρῶ τἀληθῆ πρὸς ὑμᾶς. Ἐγὼ γὰρ ἐν ταῖς ἐκκλησίαις ὁρῶν ὑμᾶς κατατάττοντάς με καὶ προχειριζομένους ἐπὶ τὴν τούτου κατηγορίαν, ἠχθόμην καὶ μὰ τὸν Δία καὶ πάντας θεοὺς οὐκ ἐβουλόμην. Οὐ γὰρ ἠγνόουν ὅτι ὁ ποιήσας τι τοιοῦτον παρ' ὑμῖν καὶ παθὼν ἀπέρχεται. Εἰ δὲ μὴ τηλικοῦτον ὥστ' εὐθὺς αἰσθέσθαι, ἀλλ' ἐὰν πολλὰ τοιαῦτα ποιῇ καὶ μὴ παύηται, ταχὺ γνώσεται. Ὅμως δ' ἀναγκαῖον ἡγούμην εἶναι πείθεσθαι τοῖς ὑμετέροις βουλήμασιν. [14] Τὰ μὲν οὖν περὶ τῆς ἐνδείξεως καὶ τῶν νόμων δίκαια αὐτὸν, ὅπερ πεποίηκεν, Λυκοῦργον ἐρεῖν ἡγούμην, καὶ τοὺς μάρτυρας τῆς πονηρίας τῆς τούτου τοῦτον ἑώρων προσκαλούμενον· ἃ δὲ καὶ λογίζεσθαι τοὺς ὑπὲρ πόλεως καὶ νόμων βουλευομένους προσήκει καὶ
774 σκοπεῖσθαι δεῖ, ταῦτα προῃρούμην εἰπεῖν, καὶ νῦν ἐπὶ ταῦτα πορεύσομαι. Δότε δ', ὦ ἄνδρες Ἀθηναῖοι, δότε καὶ συγχωρήσατέ μοι πρὸς Διός, ὡς πέφυκα καὶ προῄρημαι,

NC. 3. μειζον S, F, Y. — γίγνεται A, F. — 8. πάντας τοὺς θεοὺς A, F. — 9. ὁ, dans l'interligne, l'ancien reviseur de S. — 11-12. γνώσεται Lambin. γνωσθήσεται mss. — 12. εἶναι est omis dans Y. — 13-14. τοῖσ ὑμετέροις βουλήμασιν, mots omis dans S seul, marqués comme variante par le reviseur. — 17-18. Cobet écarte καὶ σκοπεῖσθαι δεῖ. Reiske et Dindorf écrivent ἀεί.

4. Καὶ.... ἱκανά. Cf. *Lettre*, III, § 33 : Καὶ περὶ μὲν τούτων ἱκανά· ἡδέως δ' ἂν ὑμῖν τὴν ἐπ' εὐνοίᾳ καὶ φιλίᾳ μέμψιν ποιησαίμην. M. Blass, qui me signale ce parallèle, y voit l'indice de la même main.

5. Μετὰ πάσης οἰκειότητος, « simpliciter, ut decet amicos et familiares. » [G. H. Schæfer.]

6-7. Ὑμᾶς κατατάττοντάς με... κατηγορίαν. Le peuple nommait des accusateurs d'office dans les causes très graves, des cas de haute trahison, comme dans le procès de l'or d'Harpale; peut-on croire qu'il en ait fait de même pour la cause présente, qui n'était pas une εἰσαγγελία, mais une simple ἔνδειξις? Westermann le niait et en tirait un argument contre l'authenticité du plaidoyer. Mais on ne saurait rien affirmer à ce sujet; il ne me paraît pas même certain qu'il s'agisse d'une nomination officielle. Cf. Platon, *Apol.*, p. 32, B : Καὶ ἑτοίμων ὄντων ἐνδεικνύναι καὶ ἀπάγειν τῶν ῥητόρων, καὶ ὑμῶν κελευόντων καὶ βοώντων.

9. Παθών (sous-ent. τι), antithèse usuelle de ποιήσας τι, désigne ici le mal qu'un accusateur se fait dans l'opinion publique.

13-14. Τὰ.... δίκαια. Voy. § 1.

περὶ τούτων διαλεχθῆναι πρὸς ὑμᾶς· καὶ γὰρ οὐδ' ἂν ἄλλως δυναίμην.

[15] Ἅπας ὁ τῶν ἀνθρώπων βίος, ὦ ἄνδρες Ἀθηναῖοι, κἂν μεγάλην πόλιν οἰκῶσι κἂν μικρὰν, φύσει καὶ νόμοις διοικεῖται. Τούτων δ' ἡ μὲν φύσις ἐστὶν ἄτακτον καὶ ἀνώμαλον καὶ κατ' ἄνδρ' ἴδιον τοῦ ἔχοντος, οἱ δὲ νόμοι κοινὸν καὶ τεταγμένον καὶ ταὐτὸ πᾶσιν. Ἡ μὲν οὖν φύσις, ἂν ᾖ πονηρὰ, πολλάκις φαῦλα βούλεται· διόπερ τοὺς τοιούτους ἐξαμαρτάνοντας εὑρήσετε. [16] Οἱ δὲ νόμοι τὸ δίκαιον καὶ τὸ καλὸν καὶ τὸ συμφέρον βούλονται, καὶ τοῦτο ζητοῦσιν, καὶ ἐπειδὰν εὑρεθῇ, κοινὸν τοῦτο πρόσταγμ' ἀπεδείχθη, πᾶσιν ἴσον καὶ ὅμοιον, καὶ τοῦτ' ἔστι νόμος, ᾧ πάντας πείθεσθαι προσήκει [διὰ πολλὰ, καὶ μάλισθ' ὅτι πᾶς ἐστιν νόμος εὕρημα μὲν καὶ δῶρον θεῶν, δόγμα δ' ἀνθρώπων φρονίμων, ἐπανόρθωμα δὲ τῶν ἑκουσίων καὶ ἀκουσίων ἁμαρτημάτων, πόλεως δὲ συνθήκη κοινὴ, καθ' ἣν πᾶσι προσήκει ζῆν] τοὺς ἐν τῇ πόλει. [17] Ἀλλὰ μὴν ὅτι νῦν

NC. 5. τούτων vulg., variante notée par le reviseur de S. τούτου S. τῶν A. — 5-6. καὶ ἀνώμαλον omis dans S, Y, et dans Hermogène, p. 222. — 7. καὶ τὸ τεταγμένον ταυτὸ πᾶσιν S seul. Le deuxième καὶ manque dans plusieurs mss, mais non dans Hermogène. — 8. βουλεύεται A, F. — 9. ῥαδίως ἐξαμαρτάνοντας Y, reviseur de S. πλεῖστ' ἁμαρτάνοντας A, schol. d'Hermogène, VII, p. 990 W. — 10. τὸ καλὸν καὶ τὸ δίκαιον A. — 12-13. πάντας προσήκει πείθεσθαι F. πάντας ἀνθρώπους προσήκει πείθεσθαι Marcianus dans *Digeste*, I, III, 2. On y lit ce passage depuis τοῦτο ἐστὶν νόμος jusqu'à ἐν τῇ πόλει; mais la traduction latine est interpolée, et on n'en doit pas faire usage pour la critique du texte. — 13-17. διὰ πολλὰ.... προσήκει ζῆν. Je regarde ces lignes comme une très ancienne interpolation : elles sont en partie citées par Hermogène, p. 222 et p. 229. Voyez la note explicative. — 14. δωρον S[1] après grattage. Il y avait peut-être d'abord δώρημα. — θεοῦ *Digeste*. — 17. J'ai écrit τοὺς pour τοῖς, datif amené par l'interpolation.

1-2. Καὶ γὰρ... δυναίμην. Dobree rapprochait *Chers.*, § 24 : Λέξω μετὰ παρρησίας· καὶ γὰρ οὐδ' ἂν ἄλλως δυναίμην. La ressemblance est toute fortuite : ici il ne s'agit pas de franchise.

4. Κἂν μεγάλην πόλιν οἰκῶσι κἂν μικράν. Hermogène (p. 228 et p. 367 W.) fait observer que ces mots tempèrent ce que la pensée générale a d'abstrait et de sévère. Cependant Anaxagore n'avait certainement aucune intention de ce genre quand il écrivait (fr. 6) : Ὅσα ψυχὴν ἔχει, καὶ τὰ μέζω καὶ τὰ ἐλάσσω, νόος κρατέει.

6. Κατ' ἄνδρα, individuellement. — Ἴδιον est au neutre.

8. Τοὺς τοιούτους : c.-à-d. ἐκείνους, ὧν φύσις πονηρά.

13-17. Πᾶς ἐστιν νόμος.... ζῆν. Cette belle définition de la loi est peut-être tirée de l'écrit d'un philosophe. Platon dit dans ses *Lois*, I, p. 644, D : Λογι-

Ἀριστογείτων τοῖς μὲν τῆς ἐνδείξεως δικαίοις ἅπασιν ἥλωκεν, ἕτερος δ' οὐδεὶς ἔστιν ἀνεκτὸς αὐτῷ λόγος, περὶ τούτων ῥᾴδιον διδάξαι. Δυοῖν γὰρ ὄντοιν, ὦ ἄνδρες Ἀθηναῖοι, ὧν ἕνεκα πάντες τίθενται οἱ νόμοι, τοῦ τε μηδένα μηδὲν ὃ μὴ δίκαιόν ἐστι ποιεῖν, καὶ τοῦ τοὺς παραβαίνοντας ταῦτα κολαζομένους βελτίους τοὺς ἄλλους ποιεῖν, ἀμφοτέροις τούτοις οὗτος ἔνοχος ὢν φανήσεται. Ἐπὶ μὲν γὰρ οἷς ἐξ ἀρχῆς παρέβη τοὺς νόμους, τὰ ὀφλήματ' αὐτῷ γέγονεν·
775 ἐπὶ δ' οἷς οὐκ ἐμμένει τούτοις, νῦν ἐπὶ τὴν παρ' ὑμῶν ἄγεται τιμωρίαν, ὥστε μηδεμίαν καταλείπεσθαι πρόφασιν δι' ἣν ἄν τις αὐτὸν ἀφείη. [18] Οὐδὲ γὰρ αὖ τοῦτ' ἔστιν εἰπεῖν, ὡς ἄρ' ἐκ τούτων οὐδὲν ἡ πόλις βλάπτεται. Ἐγὼ γάρ, ὅτι μὲν πάντ' ἀπόλλυται τὰ τῆς πόλεως ὀφλήματ', εἰ τὰ τούτου σοφίσματα προσδέξεσθε, καὶ ὅτι, εἰ ἄρα δεῖ τινὰς ἐκ τῶν ὀφειλόντων ἀφιέναι, τοὺς ἐπιεικεστάτους καὶ βελτίστους καὶ τοὺς ἐπὶ τοῖς ἥκιστα δεινοῖς ὠφληκότας, τούτους ἀφιέναι δεῖ, οὐχὶ τὸν πονηρότατον καὶ πλεῖσθ' ἡμαρτηκότα καὶ

NC. 2. εαλωκεν S. — ουδε ‖ εισ S. — 4. οἱ νόμοι τίθενται A. — 5. εστιν S. — καὶ τούτουσ S[1]. — 11. αφίηι S. — 13. ἀπολεῖται A.

σμὸς.... ὃς γενόμενος δόγμα πόλεως κοινὸν νόμος ἐπωνόμασται. La présente définition fait ici double emploi avec a définition plus populaire qui précède et, tout à la fois, la contredit quelque peu. En effet, ce qui a été trouvé après des efforts ne peut guère passer pour un don des d eux. On remarquera aussi le mauvais remplissage διὰ πολλὰ καὶ μάλισθ' ὅτι, qui sert de transition, et la répétition ᾧ πάντας πείθεσθαι προσήκει.... καθ' ἣν πᾶσι προσήκει ζῆν. Autant d'indices d'interpolation.

1-2. Τοῖς μὲν.... ἥλωκεν. C'est là ce qui a été fait par Lycurgue (voy. § 14), et Démosthène ne se propose pas d'y revenir. Il faudrait dire en français, en subordonnant cette proposition : « Et maintenant, quand les considérants de la dénonciation ont été tous bien établis, il est facile de montrer qu'Aristogiton ne peut plus rien alléguer de tolérable en sa faveur. »

6-7. Ἀμφοτέροις τούτοις οὗτος ἔνοχος ὢν φανήσεται. En commettant des délits, Aristogiton viola les lois portées pour en détourner les citoyens; en éludant la punition, il annula l'influence salutaire que l'exemple du délit châtié la sur les autres citoyens.

9. Ἐπὶ δ' οἷς οὐκ ἐμμένει τούτοις, parce qu'il se soustrait aux amendes infligées, c.-à-d. parce qu'il s'arroge des droits civiques dont les débiteurs dé l'État sont privés.

15. Τοὺς ἐπιεικεστάτους. On en trouvera des exemples au § 86.

17. Οὐχὶ τὸν πονηρότατον καὶ πλεῖσθ' ἡμαρτηκότα. On peut rapprocher *Contre Théocrinès*, § 24 : Προσῆκόν ἐστιν ὅλως μὲν μηδεμίαν συγγνώμην ὑπάρχειν παραβαίνοντι τοὺς νόμους, εἰ δ' ἄρα δεῖ, μὴ τοῖς συνεχῶς οὖσι πονηροῖς μηδὲ τοῖς ἐπ' ἀργυρίῳ τοὺς νόμους προϊεμένοις (οὐ γὰρ εἰκός), ἀλλ' οἵτινες ἂν διὰ τὴν αὑτῶν ἀπραγμοσύνην ἄκοντές τι τῶν γεγραμμένων παραβῶσιν.

δικαιότατ' ὠφληκότα καὶ ἐπὶ τοῖς δεινοτάτοις [19] (τί γὰρ ἂν γένοιτο συκοφαντίας καὶ παρανομίας δεινότερον, ἐφ' οἷς ἀμφοτέροις οὗτος ὦφληκεν), καὶ ὅτι οὐδ' εἰ πᾶσι τοῖς ἄλλοις [ἀφίετε], οὐχὶ τῷ βιαζομένῳ δήπου συγχωρῆσαι προσήκει (ὕβρις γὰρ δὴ τοῦτό γε), καὶ πάντα τὰ τοιαῦτ' ἐάσω· ἀλλ' ὅτι καὶ πᾶς ὁ τῆς πόλεως καὶ τῶν νόμων κόσμος, ὦ ἄνδρες Ἀθηναῖοι, συνταράττεται καὶ διαφθείρεται ⟨τὸ⟩ κατὰ τοῦτον, [καὶ] τοῦτ' οἶμαι σαφῶς ὑμῖν ἐπιδείξειν.

[20] Λέξω δ' οὔτε καινὸν οὔτε περιττὸν οὐδὲν οὔτ' ἴδιον, ἀλλ' ὃ πάντες ὑμεῖς ἴσθ' ὁμοίως ἐμοί. Εἰ γάρ τις ὑμῶν ἐξετάσαι βούλεται τί ποτ' ἐστὶν τὸ αἴτιον καὶ τὸ ποιοῦν τὴν βουλὴν συλλέγεσθαι, τὸν δῆμον εἰς τὴν ἐκκλησίαν ἀναβαίνειν, τὰ δικαστήρια πληροῦσθαι, τὰς ἕνας ἀρχὰς ταῖς νέαις ἑκούσας ὑπεξιέναι, καὶ πάντα δι' ὧν ἡ πόλις οἰκεῖται καὶ σῴζεται γίγνεσθαι, τοὺς νόμους εὑρήσει [τούτων αἰτίους] καὶ τὸ τούτοις ἅπαντας πείθεσθαι, ἐπεὶ λυθέντων γε τούτων, καὶ ἑκάστῳ δοθείσης ἐξουσίας ὅ τι βούλεται ποιεῖν, οὐ 776 μόνον ἡ πολιτεία οἴχεται, ἀλλ' οὐδ' ὁ βίος ἡμῶν τοῦ τῶν θηρίων οὐδὲν ἂν διενέγκαι. [21] Τί γὰρ ἂν τοῦτον αὐτὸν οἴεσθε ποιεῖν λυθέντων τῶν νόμων, ὃς ὄντων κυρίων τοιοῦτός

NC. 1. ἐπὶ δεινοτάτοις A, F. — 3. πᾶσιν S. — 4. ἀφίετε (αφιητε S, ἀφίεται A) a été supprimé par Taylor. — 5. δη πουτο γε S avant grattage. δη πο) τουτο γε variante notée par le reviseur. — καὶ est omis dans le texte de S, donné par le reviseur. — 6. τῶν sur grattage dans S. — 7. τὸ est dû à Dobree. Cf. § 22. — 8. Nous avons écarté καί. — 14. καὶ est omis dans F. — διοικεῖται S, A, Y. Peut-être κοσμεῖται. Cf. § 24. — 15. τούτων αἰτίους. J'écarte ces mots, qui manquent dans A et dans le texte de F. — 18. οἴχ. ἡ πολ.? — τοῦ pourrait être supprimé. — 20. ποιεῖν F. ποιήσειν S, vulg. Cobet veut qu'on retranche ἄν. On pourrait supprimer l'infinitif. — Les mots ὃς ὄντων κυρίων sont omis, dans S après νόμων. Reviseur : γρ. εἰ κυρίων.

9-10. Λέξω.... οὔτε περιττὸν οὐδὲν οὔτ' ἴδιον. On peut comparer *Phil.*, III, 37 : Τί οὖν ἦν τοῦτο; οὐδὲν ποικίλον, οὐδὲ σοφόν.

10 sqq. Εἰ γάρ τις ὑμῶν ἐξετάσαι βούλεται τίποτ' ἐστίν.... Cette considération est bien du même orateur qui écrit dans la *Midienne*, § 223 : Καὶ γὰρ αὐτὸ τοῦτ' εἰ θέλοιτε σκοπεῖν καὶ ζητεῖν, τῷ ποτ' εἰσὶν ὑμῶν οἱ ἀεὶ δικάζοντες ἰσχυροί.... τῷ τοὺς νόμους ἰσχύειν.

12-13. Εἰς τὴν ἐκκλησίαν ἀναβαίνειν. Le Pnyx était un lieu élevé. Cf. *Cour.*, § 169 : Ὁ δῆμος ἄνω καθῆτο.

13. Τὰ δικαστήρια πληροῦσθαι. La loi prescrivait un nombre plus ou moins grand de juges suivant la nature des causes; les thesmothètes avaient à parfaire ce nombre dans chaque cas, et c'était là une opération assez compliquée. Voy. M. Frænkel, *Die att. Geschworenengerichte*, p. 96 sqq. — Τὰς ἕνας ἀρχάς, les

ἐστιν ; Ἐπειδὴ τοίνυν οἱ νόμοι μετὰ τοὺς θεοὺς ὁμολογοῦνται σῴζειν τὴν πόλιν, δεῖ πάντας ὑμᾶς τὸν αὐτὸν τρόπον ὥσπερ ἂν εἰ καθῆσθ' ἐράνου πληρωταί, τὸν μὲν πειθόμενον τούτοις ὡς φέροντα τὴν τῆς σωτηρίας φορὰν πλήρη τῇ πατρίδι τιμᾶν καὶ ἐπαινεῖν, τὸν δ' ἀπειθοῦντα κολάζειν. [22] Ἔρανος γάρ ἐστιν πολιτικὸς καὶ κοινὸς πάνθ' ὅσα, ταξάντων τῶν νόμων, ἕκαστος ἡμῶν ποιεῖ. Ὃν ὁ λείπων, ὦ ἄνδρες Ἀθηναῖοι, πολλὰ καὶ καλὰ καὶ σεμνὰ καὶ μεγάλ' ὑμῶν ἀφαιρεῖται καὶ διαφθείρει τὸ καθ' αὑτόν. [23] Ὧν ἓν ἢ δύ' ἐρῶ παραδείγματος ἕνεκα, τὰ γνωριμώτατα. Τὸ τὴν βουλὴν τοὺς πενταχοσίους ἀπὸ τῆς [ἀσθενοῦς] τοιαυτησὶ κιγκλίδος τῶν ἀπορρήτων κυρίαν εἶναι, καὶ μὴ τοὺς ἰδιώτας ἐπεισιέναι· τὸ τὴν ἐξ Ἀρείου πάγου βουλήν, ὅταν ἐν τῇ βασιλείῳ στοᾷ καθεζομένη περισχοινίσηται, κατὰ πολλὴν ἡσυχίαν ἐφ' ἑαυτῆς εἶναι, καὶ ἅπαντας ἐκποδὼν ἀποχωρεῖν· τὸ τὰς ἀρχὰς ἁπάσας, ὅσας οἱ λαχόντες ἄρχουσιν ὑμῶν, ἅμα τῷ τὸν ὑπηρέτην εἰπεῖν « μετάστητε « ἔξω » [τῶν νόμων] κρατεῖν ἐφ' οἷς εἰσεπέμφθησαν, καὶ

NC. 3. καθῆσθε Cobet. καθῆσθε S. ἐκάθησθε vulg. — 7. τῶν, après ταξάντων, manque dans S. γρ. οσα προσταξαντων των νόμων reviseur. — 11-12. J'ai écarté la glose ἀσθενοῦς en admettant τοιαυτησὶ, leçon de S. ταυτησὶ vulg. γρ. ταυσί (pour ταυτησί) reviseur de S. — 16. Variantes : ὑποχωρεῖν, ἀναχωρεῖν. — 17. ἅμα manque dans A, F. — 18. Je tiens τῶν νόμων, qui provient sans doute de τῷ νόμῳ, pour interpolé.

anciens magistrats, ceux qui ont fait leur temps. L'adjectif ἕνος est vieux et ne s'est conservé que dans certaines locutions, comme ἕνη καὶ νέα, la vieille et la nouvelle lune.

3. Ἐράνου πληρωταί. Harpocration : Εἶεν ἂν οὗτοι οἱ παρ' ἡμῖν καλούμενοι ἐρανάρχαι. Voy. les notes sur *Mid.*, § 101 et 184. Comme la *Midienne* n'a pas été prononcée et ne fut publiée qu'après la mort de Démosthène, celui-ci a pu d'autant plus facilement reprendre ici la belle comparaison du prêt à rendre, appliquée à toute la vie d'un citoyen.

6. Πολιτικὸς καὶ κοινός (civique et public), par opposition aux ἔρανοι proprement dits, qui étaient des cotisations privées. Cf. *Cour.*, § 211 : Τοῖς ἀπόροις πολιτικὴ καὶ κοινὴ βοήθεια χρημάτων.

12. Τῆς τοιαυτησὶ κιγκλίδος. Dans les *Grenouilles* d'Aristophane, le Charcutier renverse cette barrière impudemment : τῷ πρωκτῷ θενὼν τὴν κιγκλίδ' ἐξήραξα (v. 640).

14. Ἐν τῇ βασιλείῳ στοᾷ. On ne sait que par ce passage que le sénat de l'Aréopage se réunissait quelquefois dans le portique du Roi, son président. Il n'y a aucune raison de mettre la chose en doute.

18. Κρατεῖν ἐφ' οἷς équivaut à κρατεῖν ἐκείνων ἐφ' οἷς.

μη⟨δὲ⟩ τοὺς ἀσελγεστάτους βιάζεσθαι· ἄλλα μυρία.
[24] Πάντα γὰρ τὰ σεμνὰ καὶ καλὰ, [καὶ δι' ὧν ἡ πόλις
κοσμεῖται καὶ σῴζεται,] ἡ σωφροσύνη, ἡ πρὸς τοὺς γονέας
καὶ τοὺς πρεσβυτέρους ὑμῶν παρὰ τῶν νέων αἰσχύνη, ἡ 777
εὐταξία, τῇ τῶν νόμων προσθήκῃ τῶν αἰσχρῶν περίεστιν,
τῆς ἀναισχυντίας, τῆς θρασύτητος, τῆς ἀναιδείας. Ἰταμὸν
γὰρ ἡ πονηρία καὶ τολμηρὸν καὶ πλεονεκτικὸν, καὶ τοὐναν-
τίον ἡ καλοκαγαθία ἡσύχιον καὶ ὀκνηρὸν καὶ βραδὺ καὶ
δεινὸν ἐλαττωθῆναι. Τοὺς νόμους οὖν δεῖ τηρεῖν καὶ τούτους
ἰσχυροὺς ποιεῖν τοὺς ἀεὶ δικάζοντας ὑμῶν· μετὰ γὰρ τούτων
οἱ χρηστοὶ τῶν πονηρῶν περίεισιν. [25] Εἰ δὲ μή, λέλυται
πάντα, ἀνέῳκται, συγκέχυται, τῶν πονηροτάτων καὶ
ἀναιδεστάτων ἡ πόλις γίγνεται. Φέρε γὰρ πρὸς θεῶν, εἰ
ἕκαστος τῶν ἐν τῇ πόλει τὴν Ἀριστογείτονος τόλμαν καὶ
ἀναισχυντίαν λαβὼν, καὶ διαλογισάμενος ταῦθ' ἅπερ οὗτος,
ὅτι ἔξεστι καὶ λέγειν καὶ ποιεῖν μέχρι παντὸς ὅ τι ἂν
βούληταί τις ἐν δημοκρατίᾳ, ἐάνπερ τοῦ ποιός τις εἶναι
δόξει [ὁ] ταῦτα ποιῶν ὀλιγωρήσῃ, καὶ οὐδεὶς ἐπ' οὐδενὶ τῶν
ἀδικημάτων εὐθὺς αὐτὸν ἀποκτενεῖ· [26] εἰ ταῦτα διανοηθεὶς
ὁ μὴ λαχὼν τῷ λαχόντι καὶ ὁ μὴ χειροτονηθεὶς τῷ χειρο-
τονηθέντι ἐξ ἴσου ζητοίη εἶναι καὶ τῶν αὐτῶν μετέχειν, καὶ
ὅλως μὴ νέος, μὴ πρεσβύτερος τὰ προσήκοντα πράττοι,

NC. 1. μηδὲ Herwerden. μὴ mss. — 2-3. καὶ δι' ὧν.... σώζεται : glose tirée du § 20 et reconnue par Cobet. — 3. σώζεται, ἡ σωφροσύνη A, F. σωζεται οὗτοι φυλαττουσιν· η σωφροσύνη S, vulg. — ἡ, omis avant πρὸς, est inséré avant παρὰ dans S, deux fois répété dans A. — 6. τομὸν A. — 12. ὁ βίος συγκέχυται A et γρ. S. — 13. μεστὴ γίγνεται A. — 13-14. εἰ ἕκαστοσ S, F. εἰ εἷς ἕκαστος vulg. — 16 μέχρι τινὸς A, F. — 18. ὁ est écarté par Cobet. — 19. ἀποκτενεῖ A, F. ἀποκτείνει S, vulg.

5. Τῇ τῶν νόμων προσθήκῃ, en prenant les lois pour auxiliaires. C'est ainsi que προστίθεσθαί τινα veut dire ποιεῖσθαί τινα σύμμαχον.

9. Δεινὸν ἐλαττωθῆναι, elle ne s'entend que trop à avoir le dessous.

10. Τοὺς ἀεὶ δικάζοντας : sujet des infinitifs qui précèdent.

12. Ἀνέῳκται, tout est ouvert, exposé. Voyez les exemples allégués au § 23.

16. Μέχρι παντός, jusqu'à la dernière limite.

19. Ἀποκτενεῖ dépend de διαλογισάμενος... ὅτι.

20. Λαχὼν... χειροτονηθείς.... Distinction entre les charges conférées soit par le sort, soit par l'élection.

καὶ μόνον οὐ ζυγὰ καὶ στάθμ' ἔχων πάνθ' ὅσα πώποτ' ἔπραξεν ἐπώλει, τί τοῦτον, ὦ μάται', ἀκονᾷς; οὔτε γὰρ μαγείρῳ μαχαίρας οὐδέν ἐστ' ὄφελος δήπουθεν ἥτις μὴ τέμνει, οὔτε τῷ βουλομένῳ δι' αὐτοῦ πᾶσι πράγματα καὶ κακὰ γίγνεσθαι ὁ ταῦτ' ἀποδωσόμενος συκοφάντης οὐδέν ἐστι χρήσιμος. [47] Ἀλλὰ μὴν ὅτι τοιοῦτος οὗτός ἐστιν εἰδότι σοι φράσω. Τὴν καθ' Ἡγήμονος εἰσαγγελίαν μέμνησαι ὡς ἀπέδοτο· τὰς κατὰ Δημάδου γραφὰς οἶσθ' ὡς ἐξέλιπεν. Τὸν ἐλαιοπώλην Ἀγάθωνα (ταυτὶ γὰρ τὰ πρώην) βοῶν καὶ κεκραγὼς καὶ ἰοὺ ἰού, πάντ' ἄνω τε καὶ κάτω ποιῶν ἐν ταῖς ἐκκλησίαις ὡς δέον στρεβλοῦν, λαβὼν ὁτιδήποτε, παρὼν ὅτ' ἠφίετο, ἄφωνος ἐγένετο· τὴν κατὰ Δημοκλέους εἰσαγγελίαν ἀνασείσας ποῖ ἔτρεψεν; ἄλλα μυρία, ὧν ἐμοὶ μὲν ἔργον ἁπάντων [ἐστὶ] μνησθῆναι, σὺ δ' εὖ οἶδ' ὅτι καὶ τὰ ἀντίγραφ' αὐτῶν ἔχεις, ἐργολαβῶν αὐτῷ. [48] Τίς οὖν ὁ τὸν τοιοῦτον σώσων ἢ πονηρὸς ἢ χρηστός; ἢ διὰ τί; τῶν μὲν γὰρ ὁμοίων προδότης, τῶν δὲ χρηστῶν ἐχθρὸς ἐκ φύσεως καὶ γένους ἐστίν· πλὴν εἰ συκοφάντου τις καὶ πονηροῦ σπέρμα καὶ ῥίζαν, ὡσπερανεὶ γεωργὸς, οἴεται δεῖν
785 ὑπάρχειν τῇ πόλει. Τοῦτο δ' οὐ καλὸν, ὦ ἄνδρες Ἀθηναῖοι,

NC. 3. εστιν ωφελοσ S. — 7. ηγεμόνοσ S avant correction. — 8. εξελειπε S[1], A. — 9. ελεοπωλην S. — τὰ manque dans A, F. — καί, avant κεκραγώς, manque dans F. — 10. καὶ ἰοὺ mss. ἰοὺ vulg. Voy. la note explicative. — καὶ πάντ' A. — 14. εστιν n'est que dans S, Y. — εὖ manque dans A, F. — 18. ἐστίν manque dans S seul.

— Μεταβολεύς· ὁ παρὰ τοῦ παλιγκαπήλου ἀγοράζων καὶ μεταπωλῶν. [Gloses de Patmos, publiées par Sakkélion, *l. c.*]

1-2. Πάνθ' ὅσα πώποτ' ἔπραξεν ἐπώλει, il a cherché à vendre tout ce qu'il avait jamais entrepris, toutes les actions qu'il avait intentées, dont il avait menacé.

2. Ἀκονᾷς. Ce trope amène la comparaison qui va suivre. On lit οὐδ' ἐφ' ἑαυτὴν ἀκονῶν τὴν πόλιν au § 9 de la *Lettre* de Démosthène : Περὶ τῆς ἰδίας καθόδου, que Blass juge authentique.

7-8. Ἡγήμονος. C'est peut-être l'orateur du parti philippiste mentionné dans *Cour.*, § 285. — Ἀπέδοτο. C'est là ce qui valut à Aristogiton une des condamnations qui entraînèrent son atimie.

10. Κεκραγὼς καὶ ἰοὺ ἰού. Cette singulière façon de parler ne se justifie pas assez par βοῶνθ' ὡς εἰσαγγελεῖ με καὶ γράψεται καὶ ἰοὺ ἰού (*Amb.* § 209). Il faudrait supprimer καί (cf. NC.) ou transposer καὶ ἰοὺ ιού après ὡς δέον στρεβλοῦν.

11. Avant λαβών, il faut faire une petite pause : c'est ici que commence la seconde partie de la période.

13. Ἀνασείσας, ayant agité, suscité. Cf. Antiphon, *Choreute*, § 43 : Φιλοκράτης γὰρ οὑτοσὶ ἑτέρους τῶν ὑπευθύνων ἔσειε καὶ ἐσυκοφάντει.

19. Ὡσπερανεὶ γεωργός. Cf. Eschyle, *Eum.*, 909 : Καὶ τῶν βροτείων σπερ-

νομίζω δὲ μὰ τοὺς θεοὺς οὐδ' ὅσιον· οὐδὲ γὰρ τοὺς προγόνους ὑπολαμβάνω τὰ δικαστήρια ταῦθ' ὑμῖν οἰκοδομῆσαι, ἵνα τοὺς τοιούτους ἐν αὐτοῖς μοσχεύητε, ἀλλὰ τοὐναντίον ἵν' ἀνείργητε καὶ κολάζητε καὶ μηδεὶς ζηλοῖ μηδ' ἐπιθυμῇ κακίας.

[49] Δυσκατάπαυστον δέ τι κινδυνεύει πρᾶγμ' εἶναι πονηρία. Ὅπου γὰρ Ἀριστογείτων ἐπὶ τοῖς ὡμολογημένοις ἀδικήμασιν κρίνεται καὶ οὐκ ἀπόλωλε πάλαι, τί χρὴ ποιεῖν ἢ λέγειν; Ὃς εἰς τοῦθ' ἥκει πονηρίας ὥστ' ἐνδεδειγμένος ἤδη βοῶν, συκοφαντῶν, ἀπειλῶν οὐκ ἐπαύετο, οἷς μὲν ὑμεῖς τὰ μέγιστ' ἐγχειρίζετε στρατηγοῖς, [ὅτι αὐτῷ ἀργύριον αἰτοῦντι οὐκ ἔδοσαν,] οὐδὲ τῶν κοπρώνων ἂν ἐπιστάτας ἑλέσθαι φάσκων, [50] οὐκ ἐκείνους ὑβρίζων, οὔ (ἐκείνοις μὲν γὰρ ἐξῆν μικρὸν ἀργύριον δοῦσι τούτῳ μὴ ἀκούειν ταῦτα), ἀλλὰ τὴν ὑμετέραν χειροτονίαν προπηλακίζων καὶ τῆς αὑτοῦ πονηρίας ἐπίδειξιν ποιούμενος, τὰς δὲ κληρωτὰς ἀρχὰς σπαράττων, αἰτῶν, εἰσπράττων ἀργύριον, τί κακὸν οὐ παρέχων; τὰ τελευταῖα δὲ ταυτὶ πάντας εἰς ταραχὴν

NC. 3. τούτοισ S seul. — 4. ἐπιθυμει S, A. — 8. ἀδικήμασιν εἶναι A, F. — 11. ἐγχειρίζετε A, F. ενεχειρίζεται S. — 11-12. J'écarte ὅτι... ἔδοσαν, mots suspects à plus d'un titre. — 14. ἀργυρίδιον Cobet. Cf. *Timocr.*, § 201. — 17. αἰτῶν manque dans A. — κακῶν F.

μάτων σωτηρία,‖τῶν δυσσεβούντων δ' ἐκφορωτέρα πέλοις.‖Στέργω γάρ, ἀνδρὸς φιτυποιμένος δίκην,‖τὸ τῶν δικαίων τῶνδ' ἀπένθητον γένος.

4 sqq. Οὐδὲ γὰρ τοὺς προγόνους.... Dobree rapproche *Cour.*, § 123 : Οἰκοδομῆσαι δὲ τοὺς προγόνους ταυτὶ τὰ δικαστήρι' ὑπείληφα, οὐχ ἵνα συλλέξαντες ὑμᾶς εἰς ταῦτ' ἀπὸ τῶν ἰδίων κακῶς τὰ ἀπόρρητα λέγωμεν ἀλλήλους, ἀλλ' ἵνα.... La ressemblance est frappante; mais un faussaire n'imite pas d'une manière aussi originale.

3. Μοσχεύητε. Ce trope est amené par σπέρμα καὶ ῥίζαν : c'est, comme dit Hermogène (III, p. 403, W), un terme de cultivateur (γεωργικόν); le scholiaste d'Hermogène donne cette explication : Μοσχεύειν λέγουσιν οἱ γεωργοὶ τὸ ἐντιθέναι ἀνεστραμμένως τὰ κλήματα ἐν ὀρύγματι γῆς ἐπὶ τῷ ἐκφῦσαι ῥίζας εἶθ' οὕτως ἐμφυτευθῆναι. Le verbe se lit dans Théophraste, *De Caus. Plant.*, I, 2, 1 et *passim*. — Pline le Jeune admire ce passage, *l. c.*

4. Κολάζητε. Encore un terme de jardinage. On disait κολάζειν τὰ δένδρα, *luxuriantia compescere*. Cf. Théophraste, *Hist. plant.* II, 7, 6, et *passim*.

12. Οὐδὲ τῶν κοπρώνων ἂν ἐπιστάτας ἑλέσθαι. L'orateur renchérit sur Eupolis, qui avait dit dans une de ses comédies : Οὓς δ' οὐκ ἂν ᾕρεῖσθ' οὐδ' ἂν οἰνόπτας πρὸ τοῦ ‖ νυνὶ στρατηγοὺς ἔχομεν (Athénée, p. 425 B, cité par Dobree).

17. Σπαράττων, *vellicans*, déchirant, harcelant. Cf. Platon, *Rép.*, VII, p. 539, B : Χαίροντες, ὥσπερ σκυλάκια, τῷ ἕλκειν τε καὶ σπαράττειν τῷ λόγῳ τοὺς πλησίον ἀεί. — Αἰτῶν, εἰσπράττων ἀργύριον. Le § 47 a donné des exemples de ce chantage.

καὶ στάσιν ἐμϐάλλειν ζητήσας, γράμματ' ἐκτιθεὶς ψευδῆ, ὅλως δ' ἐπὶ τῷ πάντων κακῷ πεφυκώς, καὶ πρόδηλος ὢν ὅτι τοιοῦτός ἐστι τῷ βίῳ. Σκοπεῖτε γάρ. [51] Εἰσὶν ὁμοῦ δισμύριοι πάντες Ἀθηναῖοι. Τούτων ἕκαστος ἕν γέ τι πράττων κατὰ τὴν ἀγορὰν περιέρχεται ἤτοι νὴ τὸν Ἡρακλέα τῶν κοινῶν ἢ τῶν ἰδίων. Ἀλλ' οὐχ οὗτος οὐδὲν, οὐδ' ἂν ἔχοι δεῖξαι πρὸς ὅτῳ τὸν βίον ἐστὶ τῶν μετρίων ἢ καλῶν. Οὐχὶ τῶν πολιτικῶν ἀγαθῶν ἐπ' οὐδενὶ τῇ ψυχῇ διατρίϐει·
786 οὐ τέχνης, οὐ γεωργίας, οὐκ ἄλλης ἐργασίας οὐδεμιᾶς ἐπιμελεῖται· οὐ φιλανθρωπίας, οὐχ ὁμιλίας οὐδεμιᾶς οὐδενὶ κοινωνεῖ· [52] ἀλλὰ πορεύεται διὰ τῆς ἀγορᾶς, ὥσπερ ἔχις ἢ σκορπίος, ἠρκὼς τὸ κέντρον, ᾄττων δεῦρο κἀκεῖσε, σκοπῶν τίνι συμφορὰν ἢ βλασφημίαν ἢ κακόν τι προστριψάμενος καὶ καταστήσας εἰς φόϐον ἀργύριον εἰσπράξεται. Οὐδὲ προσφοιτᾷ πρός τι τούτων τῶν ἐν τῇ πόλει κουρείων ἢ μυροπωλίων ἢ

NC. 3. εστιν S. — 6-7. οὐδ' ἂν, après οὐδὲν, manque dans S seul. — 8. τὴν ψυχὴν A, F. — 11. ὥσπερ ὄφις A, F. — 15. μυροπωλειων S.

3. Τῷ βίῳ. Ces mots se rattachent à πρόδηλος ὤν.

3. Ὁμοῦ équivaut, chez les écrivains attiques, à ἐγγύς, dans le sens local (παρῆν ὁμοῦ κλύειν ‖ πολλὴν βοήν, Eschyle, *Perses*, 401), comme avant des noms de nombre (πρὸς τῆς Ἀθηνᾶς, δαιμονᾷς, γεγονὼς ἔτη ‖ τοσαῦθ'; ὁμοῦ γάρ ἐστιν ἑξήκοντά σοι, Ménandre, *Héautontimoroumenos*). Quant au nombre des citoyens athéniens, que les anciens évaluent souvent à vingt mille, voy. Bœckh, *Staatshaush.*, I, p. 51.

7. Τὸν βίον, tous les jours de sa vie. [G. H. Schæfer.]

8. Τῇ ψυχῇ διατρίϐει. Cf. τῇ ψυχῇ τοῦτ' οἶδε, *Mid.*, § 201.

10. Φιλανθρωπίας en dit moins que φιλίας. Elle consiste en une affabilité générale, dans ces marques de bienveillance que l'homme donne à ses semblables.

11-12. Πορεύεται διὰ τῆς ἀγορᾶς.... On peut comparer la manière dont Eschine est décrit dans *Amb.*, § 314 : Διὰ τῆς ἀγορᾶς πορεύεται θοἰμάτιον καθεὶς ἄχρι τῶν σφυρῶν, ἴσα βαίνων Πυθοκλεῖ, τὰς γνάθους φυσῶν. Le portrait est tout différent, mais il semble accuser la même main. — Ὥσπερ ἔχις ἢ σκορπίος. La comparaison d'un sycophante avec un de ces animaux malfaisants est familière aux Attiques. Cf. Eupolis, fr. 231 Kock : Τῆνος αὕτη ‖ πολλοὺς ἔχουσα σκορπίους ἔχεις τε συκοφάντας. Hypéride, fr. 84 Blass : Εἶναι δὲ τοὺς ῥήτορας ὁμοίους τοῖς ὄφεσι· τούς τε γὰρ ὄφεις μισητοὺς μὲν εἶναι πάντας, τῶν δὲ ὄφεων αὐτῶν τοὺς μὲν ἔχεις τοὺς ἀνθρώπους ἐσθίειν, τοὺς δὲ παρείας αὐτοὺς τοὺς ἔχεις κατεσθίειν. — L'imitation latine qu'on lit dans la *Rhétorique à Hérennius*, IV, 50, amplifie l'original grec avec un goût douteux : « Iste quotidie per forum medium « tamquam jubatus draco serpit, denti« bus aduncis, adspectu venenato, spiritu « rabido, circumspectans huc et illuc, si « quem reperiat cui aliquid mali fauci« bus afflare, ore attingere, dentibus in« secare, lingua adspergere possit. »

15-1. Κουρείων... ἐργαστηρίων. On se rencontrait dans ces endroits, en quelque sorte publics, comme dans nos cafés, et on y causait.

τῶν ἄλλων ἐργαστηρίων οὐδὲ πρὸς ἕν· ἀλλ' ἄσπειστος, ἀνίδρυτος, ἄμικτος, οὐ χάριν, οὐ φιλίαν, οὐχ ἄλλ' οὐδὲν ὧν ἄνθρωπος μέτριος γιγνώσκων. Μεθ' ὧν δ' οἱ ζωγράφοι τοὺς ἀσεβεῖς ἐν Ἅιδου γράφουσιν, μετὰ τούτων, μετ' ἀρᾶς καὶ βλασφημίας καὶ φθόνου καὶ στάσεως καὶ νείκους, περιέρχεται. [53] Εἶθ' ὃν οὐδὲ τῶν ἐν Ἅιδου θεῶν εἰκός ἐστι τυχεῖν ἵλεων, ἀλλ' εἰς τοὺς ἀσεβεῖς ὠσθῆναι διὰ τὴν πονηρίαν τοῦ βίου, τοῦτον ὑμεῖς ἀδικοῦντα λαβόντες οὐ μόνον οὐ τιμωρήσεσθε, ἀλλὰ καὶ μειζόνων ἀξιώσαντες δωρειῶν ἀφήσεθ' ὡς τοὺς εὐεργέτας; τίνι γὰρ πώποθ' ὑμεῖς ἔδοτε, ἐὰν ὄφλῃ τι τῷ δημοσίῳ, τοῦτο μὴ καταθέντι τῶν ἴσων μετέχειν; οὐδενί. Μὴ τοίνυν μηδὲ τούτῳ δῶτε νῦν, ἀλλὰ τιμωρήσασθε καὶ παράδειγμα ποιήσατε τοῖς ἄλλοις.

[54] Ἄξιον δ' ἐστὶν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τὰ λοίπ' ἀκοῦσαι· δεινῶν γὰρ ὄντων, οὐ μὲν οὖν ἐχόντων ὑπερβολὴν, ὧν ἠκούσατ' ἄρτι λέγοντος Λυκούργου, τὰ λοίπ' ἐνάμιλλα τούτοις καὶ τῆς αὐτῆς φύσεως εὑρεθήσεται. Πρὸς μὲν γὰρ

NC. 5. νικους S[1]. — 6. των ειναι δ' ου, ce semble, S avant correction. — ἐστιν S. — 10. ὥσπερ A. ἢ Dobree, Dindorf. Peut-être ἢ ὥνπερ. — 12. δῶτε vulg. δότε S, A. — 13. ποιησασθε S, Y. — 15. τὰ λοιπά. Ces mots viennent peut-être de la ligne 17, où ils sont à leur place. Ici on aimerait mieux quelque chose comme περὶ τῶν ἰδίων. — 16. οὐ μὲν οὖν vulg., γρ. S. καὶ οὐχ texte de S.

1-2. Ἄσπειστος, ἀνίδρυτος, ἄμικτος. Cf. Homère, *Il.*, IX, 63 : Ἀφρήτωρ, ἀθέμιστος, ἀ ν έ σ τ ι ό ς ἐστιν ἐκεῖνος. *Leptine*, § 158 : Χέρνιβος εἴργεσθαι... σ π ο ν δ ῶ ν, κρατήρων, ἱερῶν, ἀγορᾶς. Si Démosthène écrit ἄσπονδος πόλεμος dans *Cour.*, § 262, et si ἄσπειστος est rare, il ne faut pas faire de ce vocable un argument contre l'authenticité de ce discours. Il convenait de se servir ici d'un mot semblable à ἀνίδρυτος et à ἄμικτος.

2-3. Ὧν ἄνθρωπος μέτριος... γιγνώσκει équivaut à ἐκείνων ἅ... γιγνώσκει.

7. Εἰς τοὺς ἀσεβεῖς ὠσθῆναι. Ailleurs Démosthène dit qu'il faut condamner à mort l'auteur d'une loi détestable, afin qu'il donne cette loi aux impies dans les Enfers (*Timocr.*, § 104).

10. Ὡς τοὺς εὐεργέτας. Cet emploi de ὡς pour ἢ après le comparatif est défendu par Schœmann, *Redetheile*, p. 232 sqq. — Quant à la pensée, cf. *Théocrinès*, § 47 : Ἀξιοῦν αὐτῷ τηλικαύτην δωρειὰν δίδοσθαι παρ' ὑμῶν ὅσην οὐδ' αἰτῆσαι τετόλμηκεν οὐδεὶς ⟨τῶν εὐεργετῶν ?⟩.

17. Τὰ λοιπά. Cette distinction prouve que le prétendu faussaire n'emprunte aucun fait au plaidoyer de Lycurgue.

18. Τῆς αὐτῆς φύσεως ne veut pas dire « de même nature », mais « partant du même naturel ».

τῷ τὸν πατέρ' ἐν τῷ δεσμωτηρίῳ προδοὺς ἀπελθεῖν ἐξ 787 Ἐρετρίας, ὥσπερ ἠκούσατε Φαίδρου, ἀποθανόνθ' ὁ ἀσεβὴς οὗτος καὶ μιαρὸς οὐκ ἔθαψεν, οὐδὲ τοῖς θάψασι τὴν ταφὴν ἀπέδωκεν, ἀλλὰ καὶ δίκην πρὸς ἔλαχεν. [55] Πρὸς δὲ τῷ τῆς μητρὸς μὴ ἀπεσχῆσθαι τὼ χεῖρε, ὥσπερ ἀρτίως ἠκούσατε τῶν μαρτύρων, καὶ τὴν ἀδελφὴν τὴν ἑαυτοῦ, οὐχ ὁμοπατρίαν μὲν οὖσαν, θυγατέρα δ' ἐκείνης ὁπωσδήποτε γενομένην (ἐῶ γὰρ τοῦτο), ἀλλ' ἀδελφήν γε, ἐπ' ἐξαγωγῇ ἀπέδοτο, ὥς φησι τὸ ἔγκλημα τῆς δίκης ἣν ὑπὲρ τούτων ἔλαχεν αὐτῷ ὁ χρηστὸς ἀδελφὸς οὑτοσὶ, ὁ νῦν συναπολογησόμενος. [56] Πρὸς δὲ τούτοις τοιούτοις οὖσιν ἕτερον δεινὸν, ὦ γῆ καὶ θεοὶ, πρᾶγμ' ἀκούσεσθε. Ὅτε γὰρ τὸ δεσμωτήριον διορύξας ἀπέδρα, τότε πρὸς γυναῖκά τιν' ἔρχεται Ζωβίαν ὄνομα, ᾗ ἐτύγχανεν, ὡς ἔοικε, κεχρημένος ποτέ· καὶ κρύπτει καὶ διασῴζει τὰς πρώτας αὐτὸν ἡμέρας ἐκείνη, ἃς ἐζήτουν καὶ ἐκήρυττον οἱ ἕνδεκα, καὶ μετὰ ταῦτα δοῦσα δραχμὰς ὀκτὼ ἐφόδιον καὶ χιτωνίσκον καὶ ἱμάτιον ἐξέπεμψεν εἰς Μέγαρα. [57] Ταύτην τὴν ἄνθρωπον, τὴν τοιαῦτ' εὐερ-

NC. 4. πρὸς ἔλαχεν Dindorf. προσέλαχεν vulg. — 5. απεσχεισθαι S. ἀποσχέσθαι F. — 6. καὶ (barré et pointé par le reviseur) των μαρτυριων S, Y. — 9. φησιν S. — 14. εοικεχρημενοσ S[1]. — 15. αὐτὸν ἡμέρας F. ἡμέρας αὐτὸν S, vulg.

1-2. Τὸν πατέρα.... ἐξ Ἐρετρίας. Le père d'Aristogiton, Kydimaque, se sauva d'Athènes, où il avait été condamné à mort. Pourquoi fut-il jeté en prison à Érétrie? Peut-être pour cause de dettes que son fils refusa d'acquitter pour lui. Dinarque rappelle ces faits dans son Κατὰ Ἀριστογείτονος, § 8, mais avec moins de détails. Il faut donc renoncer à dire que le prétendu faussaire les doit à Dinarque; ce dernier les a, au contraire, tirés du présent discours.

2. Φαίδρου. Est-ce un des accusateurs, ou un témoin à charge? Dans la guerre lamiaque, un Athénien de ce nom commanda comme stratège (Diodore, XVIII, 11. A. Schæfer, III, 335).

3. Τὴν ταφήν, le prix de la sépulture.

7-8. Ὁπωσδήποτε γενομένην (ἐῶ γὰρ τοῦτο). Cette tournure est familière à Démosthène. Cf. *Cour.*, § 261 : Εἰς τοὺς δημότας ἐνεγράφης ὁπωσδήποτε (ἐῶ γὰρ τοῦτο). Dobree abuse de ce rapprochement en faveur de sa thèse.

8-9. Ἐπ' ἐξαγωγῇ ἀπέδοτο. Cf. *Timocrate*, § 203, avec la note.

9. Τὸ ἔγκλημα τῆς δίκης, la formule de la demande. — Ὑπὲρ τούτων, c.-à-d. ὑπὲρ τῆς πράσεως τῆς ἀδελφῆς (§ 58). Eunomos (ce nom est donné par l'Argument de Libanios) réclamait peut-être la moitié de la somme reçue par Aristogiton. [Dareste.] L'ironique τὴν καλὴν δίκην, § 79, vient à l'appui de cette conjecture.

13 sqq. Πρὸς γυναῖκά τιν' ἀπέδρα.... Ces faits ne se trouvent pas dans Dinarque, et ils sont racontés ici d'une manière supérieure, comme Lysias et Démosthène savent raconter.

γετήσασαν αὐτόν, ὡς πολὺς παρ' ὑμῖν ἔπνει καὶ λαμπρὸς, μεμφομένην τι καὶ τούτων ὑπομιμνήσκουσαν καὶ ἀξιοῦσαν εὖ παθεῖν τὸ μὲν πρῶτον ῥαπίσας καὶ ἀπειλήσας ἀπέπεμψεν ἀπὸ τῆς οἰκίας, ὡς δ' οὐκ ἐπαύεθ' ἡ ἄνθρωπος, ἀλλὰ γυναίου πρᾶγμ' ἐποίει καὶ πρὸς τοὺς γνωρίμους προσιοῦσ' ἐνεκάλει, λαϐὼν αὐτὸς αὐτοχειρίᾳ πρὸς τὸ πωλητήριον [τοῦ μετοικίου] ἀπήγαγεν· καὶ εἰ μὴ κείμενον αὐτῇ τὸ μετοικίον ἔτυχεν, ἐπέπρατ' ἂν διὰ τοῦτον, ᾧ τῆς σωτηρίας [αὐτὴ] αἰτία ἐγεγόνει. [58] Καὶ ταῦθ' ὡς ἀληθῆ λέγω, 788 κάλει μοι τὸν τὴν ταφὴν τοῦ πατρὸς οὐκ ἀπειληφότα, καὶ τὸν τῆς δίκης διαιτητὴν, ἣν ὑπὲρ τῆς πράσεως τῆς ἀδελφῆς ἔλαχεν αὐτῷ οὑτοσὶ, καὶ τὸ ἔγκλημα φέρε. Κάλει δέ μοι πρῶτον πάντων τὸν τῆς Ζωϐίας προστάτην, τῆς ὑποδεξαμένης αὐτὸν, καὶ τοὺς πωλητὰς, πρὸς οὓς ἀπήγαγεν αὐτήν. Ὑμεῖς δ' ἠγανακτεῖτ' ἀρτίως, εἰ τῶν τὸν ἔρανον φερόντων εἰς τὴν σωτηρίαν αὐτῷ κατηγορεῖ. Μιαρὸν, μιαρὸν, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ θηρίον καὶ ἄμικτον. Λέγε τὰς μαρτυρίας.

NC. 1. ημιν S, Y. — λαμπρόσ S seul. λαμπρὸς ἦν vulg. — 2-3. ἀξιοῦσαν ἀντευπαθεῖν Cobet. — 7. τοῦ μετοικίου mis entre crochets par Sauppe et Bekker. — 9. αὐτὴ (αὕτη A) αἰτία vulg. αυτη (d'abord αυτηι) S[1], αἰτία dans l'interligne l'ancien reviseur. J'ai écarté αὐτή. — 12. ὁ χρηστὸς ἀδελφὸς οὑτοσί A et γρ. S. Cf. § 55. — 17. τὸ θηρίον avant le vocatif. A. F. J'aimerais mieux μιαρὸν, ὦ ἄ. Ἀ., μιαρὸν τὸ θ., comme on lit dans Aristide, IX, p. 348 W.

1. Λαμπρός se dit du vent et se rattache très bien à ἔπνει. [G. H. Schæfer.] Trope semblable : Πύθωνι θρασυνομένῳ καὶ πολλῷ ῥέοντι καθ' ὑμῶν, *Cour.*, § 136.

6. Τὸ πωλητήριον, l'endroit où l'on vendait les métèques qui ne payaient pas la capitation.

7. Κείμενον, acquitté et *couché* sur les registres.

13. Προστάτην. « L'orateur n'invoque pas ici le témoignage de Zobia, non parce qu'elle est métèque, mais parce que les femmes ne paraissent pas en justice. C'est pourquoi il appelle le προστάτης ou répondant. Le métèque qui n'avait pas de répondant pouvait être poursuivi par la γραφὴ ἀποστασίου. » [Dareste.]

15. Ἠγανακτεῖτ' ἀρτίως. H. Wolf a déjà compris que Lycurgue avait reproché à Aristogiton de s'être fait l'accusateur d'amis qui s'étaient cotisés dans son intérêt. Or qu'est-ce que cette ingratitude au prix de celle que Démosthène vient de révéler ! Une allusion aussi rapide et aussi efficace prouve à elle seule que ce discours n'est pas d'un faussaire.

16-17. Μιαρὸν, μιαρὸν τὸ θηρίον, ὦ ἄνδρες Ἀθηναῖον, καὶ ἄμικτον. Tournure toute démosthénique. Cf. *Cour.*, § 242 : Πονηρὸν, ὦ ἄνδρες Ἀθηναῖοι, πονηρὸν ὁ συκοφάντης ἀεὶ καὶ πανταχόθεν βάσκανον καὶ φιλαίτιον. Tibère, *De figuris*, § 26, a déjà rapproché les deux passages.

ΜΑΡΤΥΡΙΑΙ.

[59] Τίς οὖν ἱκανὴ κατὰ τοῦ τοσαῦτα καὶ τοιαῦτα πεποιηκότος γένοιτ' ἂν δίκη; τίς ἀξία τιμωρία; θάνατος μὲν γὰρ ἔμοιγε μικρὰ φαίνεται.

[60] Ἓν τοίνυν εἰπὼν ἔτι τῶν ἰδίων αὐτοῦ πονηρευμάτων τὰ λοίπ' ἐάσω. Πρὶν γὰρ ἐξελθεῖν ἐκ τοῦ δεσμωτηρίου, ἐμπεσόντος ἀνθρώπου τινὸς Ταναγραίου πρὸς κατεγγύην, γραμματεῖον ἔχοντος, προσελθὼν καὶ λαλῶν ὁτιδήποθ' ὑφαιρεῖται τὸ γραμματεῖον. Αἰτιωμένου δὲ καὶ δεινὰ ποιοῦντος τἀνθρώπου, καὶ λέγοντος ὅτι οὐδεὶς ἄλλος ὑφῄρηται, εἰς τοῦτ' ἀφικνεῖται βδελυρίας ὥστε τύπτειν ἐπεχείρησε τὸν ἄνθρωπον. [61] Νεαλὴς δὲ καὶ πρόσφατος ὢν ἐκεῖνος περιῆν αὐτοῦ τεταριχευμένου καὶ πολὺν χρόνον ἐμπεπτωκότος. Ὡς δ' εἰς τοῦθ' ἧκεν, ἀπεσθίει τὴν ῥῖνα τἀνθρώπου. Καὶ τότε μὲν περὶ τὴν γεγονυῖαν συμφορὰν ἄνθρωπος γενόμενος ἀπέστη [τοῦ τὸ γραμματεῖον ἐρευνᾶν καὶ ζητεῖν]· ὕστερον δ' εὑρίσκουσι τὸ γραμματεῖον ἐν κιβωτίῳ τινί, οὗ
789 τὴν κλεῖν οὗτος εἶχεν. Καὶ μετὰ ταῦτα ψηφίζονται περὶ

MC. 1. ΜΑΡΤΥΡΙΑΙ manque dans S. — 6. εασω τα λοιπα, avec des signes de transposition, S. — 14. τανανθρωπου S[1]. — 15. ἄνθρωπος avant Bekker. — 16. καὶ ζητεῖν S. Y. ἢ ζητεῖν vulg. Reiske avait rejeté ces mots; j'écarte τοῦ... ζητεῖν. — 17. κιβωτειου, fait de κιβωτιου, S.

5. Ἰδίων est ici le contraire de δημοσίων.

7. Πρὸς κατεγγύην. Mots obscurs. « C'était un métèque, un Béotien de la ville de Tanagre, qui avait cautionné quelque fermier de l'impôt et se trouvait détenu pour le fait d'un autre. Suivant Meier, *De bonis damnatorum*, p. 16, cet homme était détenu « quia vadem judicio « sistendi caussa dare non poterat ». Mais je ne vois pas qu'en droit athénien, on donnât caution en s'obligeant à comparaître en justice. Le *vadimonium* appartient à la procédure romaine. » [Dareste.] Ajoutons que la préposition πρός ne se prête guère à l'explication de Meier. —

8. Γραμματεῖον : sans doute un écrit relatif à ce cautionnement.

12. Νεαλὴς ὁ νεωστὶ ἑαλωκὼς οὗτος ἐλέγετο κατὰ μεταφορὰν τῶν ἰχθύων [Harpocration.] On voit la convenance de l'antithèse τεταριχευμένου « sec, desséché ». Le style est d'un familier qui est bien d'accord avec ce qu'il y a de comique dans les faits racontés.

13-14. Ἐμπεπτωκότος, sous-ent. εἰς τὸ δεσμωτήριον.

15-16. Περὶ τὴν γεγονυῖαν συμφορὰν.... γενόμενος, tout occupé du malheur qui lui était arrivé.

18. sqq. Ψηφίζονται.... μὴ πυρός.... C'est ce que rapporte aussi Dinarque,

αὐτοῦ ταῦθ' οἱ ἐν τῷ οἰκήματι, μὴ πυρός, μὴ λύχνου, μὴ ποτοῦ, μὴ βρωτοῦ μηδενὸς μηδένα τούτῳ κοινωνεῖν [, μηδὲ λαμβάνειν, μηδ' αὐτὸν τούτῳ διδόναι]. [62] Καὶ ὅτι ταῦτ' ἀληθῆ λέγω, κάλει μοι τὸν ἄνθρωπον οὗ τὴν ῥῖν' ὁ μιαρὸς οὗτος ἐσθίων κατέφαγεν.

ΜΑΡΤΥΡΙΑ.

Καλῶν γ' ἔργων ὁ ῥήτωρ δημιουργὸς ὑμῖν γέγονεν. Ἄξιόν γ' ἐκ τοῦ τὰ τοιαῦτα πεποιηκότος στόματος λόγον ἢ συμβουλήν τιν' ἀκοῦσαι. Ἀνάγνωθι δὴ καὶ τουτὶ τὸ καλὸν περὶ αὐτοῦ δόγμα.

ΔΟΓΜΑ.

[63] Εἶτ' οὐκ αἰσχύνεσθ', ὦ ἄνδρες Ἀθηναῖοι, εἰ οἱ μὲν ἐπὶ πονηρίᾳ καὶ τοῖς αἰσχίστοις ἐμπεπτωκότες εἰς τὸ οἴκημα τοσούτῳ τοῦτον ἡγήσαντο ἑαυτῶν εἶναι πονηρότερον ὥστ' ἄμικτον ἑαυτοῖς καταστῆσαι, ὑμεῖς δ' ἐξεληλακότων τῶν νόμων αὐτὸν ἐκ τῆς πολιτείας εἰς ὑμᾶς αὐτοὺς καταμίξετε; τί τῶν πεπραγμένων ἢ βεβιωμένων ἐπαινέσαντες, ἢ τί τῶν πάντων οὐχὶ δυσχεράναντες; οὐκ ἀσεβής; οὐκ ὠμός; οὐκ ἀκάθαρτος; οὐ συκοφάντης;

NC. 1. αὐτοῦ [ταῦτα] Cobet. — 2. μηδένα μηδενὸς F. — τούτων S, Y. — 2-3. μηδὲ λαμβάνειν, μηδ' αὐτὸν τούτῳ διδόναι. J'ai écarté ces mots, qui ne sont évidemment qu'une glose explicative de κοινωνεῖν. — 4. ανθρωπον S seul. ἄνθρωπον αὐτὸν vulg. — 5. οὗτος κατεσθίων κατέφαγε Hermogène, III, p. 236 W. οὗτος ἀπέφαγεν Herwerden. — 8. γ' et τὰ (à la fin d'une ligne) manquent dans S. — 13. αἰσχίστοις vulg. ἐσχάτοισ S, A, Y. — 14. εἶναι omis dans F. — πονηρότατον S seul.

Aristog., § 9, en ajoutant μηδὲ θυσιῶν τῶν γινομένων κοινωνεῖν, amplification qui dénote, ce me semble, l'antériorité de notre discours. Les détails qui précèdent et qui ne se trouvent qu'ici excluent aussi l'idée d'un emprunt fait à Dinarque.

5. Ἐσθίων κατέφαγεν : leçon étrange et qui ressemble à une périphrase explicative de ἀπήσθιεν (§ 61).

8. Τοῦ. Cet article se réfère à στόματος (la même bouche qui dévora un nez parle en public) et je ne sais pourquoi Reiske et Dindorf veulent construire ἐκ στόματος τοῦ (d'un homme qui) πεποιηκότος τὰ τοιαῦτα.

9. Καλόν, honorable.

17. Βεβιωμένων. Cf. *Cour.*, § 265.

12-19. Εἶτ' οὐκ αἰσχύνεσθε.... οὐ συκοφάντης; L'argumentation serrée, ir-

[64] Ἀλλ' ὅμως τοιαῦτα ποιῶν καὶ τοιοῦτος ὢν ἐν ἁπάσαις ἀεὶ βοᾷ ταῖς ἐκκλησίαις « ἐγὼ μόνος [εὔνους] ὑμῖν· « πάντες οὗτοι συνεστᾶσιν· προδέδοσθε· ἡ παρ' ἐμοὶ μόνον « εὔνοια λοιπή. » Βούλομαι δὴ τὴν σφοδρὰν καὶ μεγάλην εὔνοιαν αὐτοῦ ταύτην ἐξετάσαι, πόθεν ἐστὶ καὶ ἐκ τίνος αὐτῷ γεγονυῖα, ἵν' εἰ μέν ἐστι τοιαύτη, χρῆσθ' αὐτῇ καὶ πιστεύητε, εἰ δὲ μή, φυλάττησθε. [65] Πότερον γάρ, ὅτι 790 τοῦ πατρὸς αὐτοῦ θάνατον κατέγνωτε καὶ τὴν μητέρ' [αὐτοῦ] ὀφλοῦσαν ἀποστασίου ἀπέδοσθε, διὰ ταῦτ' αὐτὸν ὑμῖν εὔνουν ὑπολαμβάνετ' εἶναι; ἀλλ' ἄτοπον νὴ τὸν Δία καὶ θεοὺς τοῦτό γε. Εἰ μὲν γὰρ εὔνους ἐστὶν ἐκείνοις καὶ τὸν τῆς φύσεως διασῴζει νόμον, ὃς καὶ ἀνθρώποις καὶ θηρίοις εἷς καὶ ὁ αὐτὸς ἅπασιν ὥρισται, στέργειν τοὺς γονέας, [66] κακόνους ἐστὶ τοῖς ἐκείνους ἀπολωλεκόσιν δῆλον ὅτι καὶ νόμοις καὶ πολιτείᾳ τῇ τούτων· εἰ δὲ μηδὲν τούτων ὑπόλογον ποιεῖται, ἡδέως ἂν εἰδείην τίς ἐστιν ὁ τὴν πρὸς τοὺς γονέας εὔνοιαν ὁρῶν προδεδωκότα τοῦτον, ἣν πρὸς τὸν δῆμον νῦν ἔχειν ὑπισχνεῖται, πιστεύων· ἐγὼ μὲν γὰρ

NC. 2. αιει S. — μόνος εὔνους ὑμῖν S. μόνος ὑμῖν διαμενῶ A. μόνος ἔτι λοιπὸς ὑμῖν F. Je conclus de ces variantes que le texte primitif portait μόνος ὑμῖν. — 3. παρ' ἐμοῦ H. Wolf et d'autres. — 5. ἐκ τίνος ὡς ἀληθῶς A, F. — 6. τοιαυτηι S. — 9. αὐτοῦ est écarté par Herwerden. — αποδοσθε S. — 11. καὶ πάντας θεοὺς vulg. — 12-13. καὶ θηρίοις καὶ ἀνθρώποις A. — εἷς ὁ αὐτὸς A, F. — 14. γονεις S, ici et plus bas. — ἀπολελωκόσι S. — 15. μηδὲν Heindorf. μηδένα mss. — 16. λόγον A. — 17. ὁρῶν εὔνοιαν A. — Ponctuation avant τοῦτον dans S. — 18. νῦν ἔχειν ὑποκρίνεται (ou προσποιεῖται) ἀληθῆ εἶναι πιστεύων Cobet. Peut-être ὑπισχνεῖται, ἔχειν πιστεύων.

résistible, l'accumulation de questions sarcastiques, tout dénote la main de Démosthène. Cf. *Olynth.*, III, § 16 : Τίνα γὰρ χρόνον ἢ τίνα καιρόν.... οὐκ ἐχθρός; οὐκ ἔχων τὰ ἡμέτερα ; οὐ βάρβαρος; οὐχ ὅ τι ἂν εἴποι τις.

2. Ἐγὼ μόνος ὑμῖν, vous n'avez que moi.

3. Συνεστᾶσιν, ils conspirent. Cf. *Androt.* § 37 : Τῶν ἐθάδων καὶ συνεστηκότων ῥητόρων. — Παρ' ἐμοί, le dévouement que je vous garde. Voy. cependant NC.

9. Ὀφλοῦσαν ἀποστασίου, condamnée pour n'avoir pas rempli ses obligations envers son patron (προστάτης), son ancien maître qui l'avait affranchie. Les affranchis condamnés redevenaient esclaves (δεῖ δούλους εἶναι, dit Harpocration), soit de leur ancien maître, soit d'un autre, l'ancien maître touchant le prix de vente. Cf. Schœmann, *Gr. Alt.*, I, p. 372.

11. sqq. Εἰ μὲν γάρ.... Rien ne saurait être plus démosthénique que ce dilemme.

15. Μηδὲν τούτων ὑπόλογον ποιεῖται. Cf. *Pour Phormion*, § 48 : Μηδὲν ὑπόλογον εἶναι. Ce mot est généralement employé comme adjectif. Cf. NC.

18. Ὑπισχνεῖται, il professe. Cf. § 45. Ce verbe se dit souvent de ceux qui pro-

ἀπιστῶ καὶ θεοῖς ἐχθρόν, οὐ μόνον ἀνθρώποις, ὑπολαμβάνω τὸν τῶν γονέων ἀμελοῦντα. [67] Ἀλλὰ νὴ Δί' ὅτι τὰς ἐνδείξεις αὐτοῦ κατεψηφίσασθε, καὶ δὶς εἰς τὸ δεσμωτήριον κατέθεσθε καὶ αὐτὸν καὶ τὸν ἀδελφόν, διὰ ταῦθ' ὑμῖν εὔνους ἐστίν. Ἀλλὰ καὶ τοῦτ' ἄτοπον. Ἀλλ' ὅτι τὴν ἀρχὴν ἣν ἔλαχεν ⟨ἄρχειν⟩ ἀπεδοκιμάσατε; ἀλλ' ὅτι παρανόμων αὐτοῦ κατέγνωτε; ἀλλ' ὅτι πέντε ταλάντων προσετιμήσατε; ἀλλ' ὅτι δακτυλοδεικτεῖτ' ἐπὶ τῷ πονηρότατον τῶν ὄντων ἁπάντων δεικνύναι; [68] ἀλλ' ὅτι τῶν ὑπαρχόντων νόμων καὶ πολιτείας μενόντων οὐκ ἔνι τῶν αἰσχρῶν αὐτῷ τούτων ἀπαλλαγῆναι; Ἀλλὰ διὰ τί [ὑμῖν οὗτος εὔνους ἐστίν]; Ὅτι, φησίν, ἀναιδής ἐστιν. Ὁ δ' ἀναιδὴς ἐκ τίνος ὠνομάσθη τῶν ἄλλων ἀλλ' ἢ ὅταν τὰ μήτ' ὄντα μήτ' ἂν γενόμενα, ταῦτα τολμᾷ λέγειν δι' ἀναισχυντίαν, ὅπερ οὗτος ποιεῖ;

NC. 1. ἀπιστῶ est notre correction. απιστων καὶ θεοις εχθρῶν S, par ancienne correction, αυ των καὶ θεοισ εχθρο S[1]. ἄπιστον καὶ θεοῖς ἐχθρὸν vulg. — 6. J'ai inséré l'infinitif ἄρχειν : car on ne dit pas ἀποδοκιμάζειν ἀρχήν. Cf. § 30; Dinarque, *Aristog.*, § 10. — 8-9. τῶν πολιτῶν ἁπάντων δεικνύναι Cobet. Dobree proposait εἶναι. Peut-être γεγονέναι. — 11. ἀπαλλαγή F. — 11-12. ὑμῖν οὗτοσ εὔνους ἐστίν S. ὑμῖν οὗτός ἐστιν εὔνους F. εὔνους οὗτός εστιν ὑμῖν A. J'ai écarté ces interpolations, qui se trahissent toutes les trois par l'indicatif ἐστίν, de mise dans la phrase ironique du § 67 (l. 4-5), mais non ici.

fessent un art. — Πιστεύων : sous-ent. αὐτὸν ἔχειν. [G. H. Schæfer.]

2-3. Τὰς ἐνδείξεις αὐτοῦ κατεψηφίσασθε, vous l'avez plusieurs fois condamné quand il était poursuivi par voie d' ἔνδειξις (non « vous avez rejeté les dénonciations qu'il avait portées contre d'autres »). Le sens de cette locution ressort d'*Aristog.*, II, § 15.

5-6. Construisez : ἀπεδοκιμάσατε (αὐτὸν) ἄρχειν τὴν ἀρχὴν ἣν ἔλαχεν. La charge dont il avait été jugé indigne était celle d'inspecteur du port marchand. Voy. Dinarque, *Arist.*, § 10 : Ἐμπορίου ἐπιμελητὴς λαχὼν ἀπεδοκιμάσθη ὑπὸ τῶν τότε δικαζόντων ἄρχειν ταύτην τὴν ἀρχήν.

7. Πέντε ταλάντων προσετιμήσατε, après l'avoir déclaré coupable, vous lui avez, par un second vote, infligé une amende de cinq talents. Cependant la propriété des termes semble demander ἐτιμήσατε : car il ne s'agit pas ici d'une peine accessoire.

9. Δεικνύναι, le désigner comme.... Cf. NC.

12. Ἀναιδής. Son grand titre c'est d'être, en sa qualité de chien du peuple (§ 40), un sycophante sans pudeur.

12-13. Ἐκ τίνος... τῶν ἄλλων ἀλλ' ὅταν.... La même tournure se lit deux fois de suite dans *Aristocrate*, § 62 : Τί γὰρ ἄλλ' ἐστὶ τὸ μεταποιεῖν ἢ ὅταν.... Τί δ' ἄλλο τὸ συγχεῖν ἢ ὅταν.... [G. H. Schæfer.]

14. Avant ταῦτα il faut faire une petite pause : car ce démonstratif, ajouté pour donner plus de force au discours, résume les mots τὰ μήτ' ὄντα μήτ' ἂν γενόμενα.

[69] Ἡγοῦμαι τοίνυν καὶ περὶ τῆς ἐνδείξεως, ἅ μοι 791 παραλείπειν ἔδοξε Λυκοῦργος, βέλτιον εἶναι πρὸς ὑμᾶς εἰπεῖν. Ἐγὼ γὰρ οἶμαι δεῖν ὑμᾶς ὥσπερ ἂν εἰ χρέος ἐσκοπεῖτ' ἴδιον, οὕτως ἐξετάσαι τοῦτον καὶ τὰ τουτουὶ τοῦ ἀγῶνος δίκαια. Εἰ τοίνυν τις ὀφείλειν τιν' ᾐτιᾶτο χρήματα, ὁ δ' ἠρνεῖτο, εἰ μὲν ἐφαίνονθ' αἵ τε συνθῆκαι καθ' ἃς ἐδανείσατο κείμεναι καὶ οἱ τεθέντες ὅροι ἑστηκότες, τὸν ἀρνούμενον ἡγεῖσθ' ἂν ἀναιδῆ δηλονότι, εἰ δ' ἀνῃρημένα ταῦτα, τὸν ἐγκαλοῦντα· οὕτω ταῦτα πέφυκεν. [70] Εἰσὶ τοίνυν ὧν Ἀριστογείτων ὀφείλει τῇ πόλει συνθῆκαι μὲν οἱ νόμοι, καθ' οὓς ἐγγράφονται πάντες οἱ ὀφλισκάνοντες, ὅρος δ' ἡ σανὶς ἡ παρὰ τῇ θεῷ κειμένη. Εἰ μὲν οὖν ἀνῄρηται ταῦτα καὶ ἐξαλήλιπται τὸ ὄφλημα, ἡμεῖς ληροῦμεν, μᾶλλον δὲ ψευδόμεθα· εἰ δ' ἔτ' ἔστι καὶ ἔσται τέωσπερ ἂν ἐκτείσῃ καὶ μενεῖ, οὗτος οὐδὲν ἀληθὲς λέγει, ἀλλ' ἀδικεῖ καὶ δεινὰ ποιεῖ τὰ κοινὰ δίκαι' ἀφανίζειν ἐπιχειρῶν. [71] Οὐ γάρ, εἰ μὴ πᾶν ὅσον ὦφλεν ὀφείλει, νῦν ἡ κρίσις οὐδ' ὁ λόγος, ἀλλ' εἰ ὀφείλει. Ἦ δεινά γ' ἂν πάθοιεν οἱ δραχμὴν ἐγγεγραμμένοι μόνην, εἰ, διότι μικρὰ καὶ οὐδὲν ἠδικήκασιν, ἰσχύσει

NC. 2. ἔδοξεν S. — 3. ἐγὼ μὲν γὰρ A, F. — 7. εδανεισαντο S[1], A. — κειμενα S. — 13. ταῦτα, après ἀνῄρηται, manque dans S seul. — εξαληλειπται S. — 14. εἰ δε τισ S. — 15. κείμενα Dobree. Cobet écarte καὶ μενεῖ. — 17. μη τι αν S. — οὐδ' ὁ λόγος ἐστὶν vulg. Ces mots manquent dans A. — 18. ἀλλ' εἰ ὀφείλει, mots omis par S[1], notés comme γρ. par le reviseur. — διὰ δραχμὴν F. διὰ δραχμὴν μίαν A.

1. Περὶ τῆς ἐνδείξεως.... L'orateur ne dit pas que Lycurgue lui a laissé le soin de parler de la *dénonciation* (pour faire ce sens, il faudrait τὰ περὶ τῆς ἐνδείξεως). Il veut seulement ajouter quelques mots à la discussion approfondie de Lycurgue.

3-4. Ὥσπερ ἂν εἰ χρέος ἐσκοπεῖτ' ἴδιον. Cette ingénieuse comparaison a quelque ressemblance avec celle des comptes vérifiés dont se sert Eschine, *Ctésiph.*, § 59, et que rétorque Démosthène, *Cour.*, § 227.

7. Ὅροι : les bornes ou stèles qui se plaçaient sur les propriétés hypothéquées. Cf. *Contre Onétor*, II, 1 et 3.

8. Ἀνῃρημένα se réfère aussi bien à συνθῆκαι qu'à ὅροι. Cf. *Olympiodore*, § 46 : Ἀξιοῦν ἀναιρεῖσθαι τὰς συνθήκας.

12. Παρὰ τῇ θεῷ κειμένη. Cf. § 28.

16-17. Εἰ μὴ πᾶν... ὀφείλει. Aristogiton avait acquitté une partie de l'amende de cinq talents que le procès παρανόμων lui avait attirée (ὅσον ὦφλεν) (cf. § 67); mais il n'avait encore fait que deux payements (καταβολάς), huit autres restaient à faire. Il en est encore débiteur, ὀφείλει. Voy. l'Argument de Libanios.

18. Οἱ δραχμὴν ἐγγεγραμμένοι, qui sont inscrits pour une drachme, comme débiteurs d'une drachme.

19. Μικρὰ καὶ οὐδέν. Cf. μικρὰ καὶ οὐδὲν ἀναλίσκουσι, *Cour.*, § 104. [Dindorf.]

τὸ ὀφείλειν κατ' αὐτῶν· ἐὰν δέ τις μεγάλ' ἠδικηκὼς ᾖ, μίαν θεὶς ἢ δύο καταβολὰς ἐπίτιμος ἔσται. Ἔτι τοίνυν τρί' ἐστὶ τὰ ὀφλήμαθ' ἃ ἐγγέγραπται καὶ ἐφ' οἷς ἐνδέδεικται. Τὰ μὲν δὴ δύ' ἐν ἀπογραφῇ πεποίηται, τὸ δ' ἓν οὐδ' ἀπογέγραπται, ἀλλὰ βουλεύσεως τὸν Ἀλωπεκῆθεν Ἀρίστωνα διώκει. [72] Ναί, φησίν· ἀδίκως γάρ μ' ἐγγέγραφεν. Δεῖ δή σ', ὡς ἔοικεν, δίκην λαβεῖν. Οὐκοῦν ὑποσχεῖν πρῶτον καὶ μεῖναι ἐν οἷς πέπονθας ἀνάγκη· ἢ τίνος λήψει δίκην; εἰ γὰρ ἔξεστί σοι πάντα [ποιεῖν] ἅπερ τοῖς ἄλλοις, τί ἠδίκησαι; 792
[73] Φέρε δὴ πρὸς θεῶν κἀκεῖνο σκέψασθε. Ἂν ἕλῃ τὸν Ἀρίστωνα τῆς βουλεύσεως, τί ἔσται; ἐξαλειφθήσεται νὴ Δία, ὁ δ' ἀντεγγραφήσεται· ταῦτα γὰρ οἱ νόμοι λέγουσιν.

NC. 3. ἐστιν S. — 4. το δ ουν εν οὐδὲ S seul. τὸ δ' ἓν οὐχ vulg. — 6. διωκειν S[1]. — 9. J'écarte ποιεῖν, omis dans le texte de F. — τι ηδικησε S[1].

1. Ἰσχύσει τὸ ὀφείλειν κατ' αὐτῶν, la dette aura son effet à leur détriment, les privera d'une partie de leurs droits politiques. Cf. *Amb.*, § 241 : Ταῦτα (τὰ δίκαια) καὶ κατὰ σοῦ προσήκει... ἰσχύειν.

4. Ἐν ἀπογραφῇ πεποίηται. Aristogiton avait assigné à l'État une terre qui lui appartenait (ἀπογράφει τι εἰς τὸ δημόσιον χωρίον ἑαυτοῦ, dit Libanios dans l'Argument), terre achetée par son frère Eunomos aux conditions que nous avons exposées. Dans cette ἀπογραφή, il avait mentionné deux dettes, mais non la troisième, qu'il contestait. C'est ainsi que j'explique ce passage, en prenant πεποίηται et ἀπογέγραπται au moyen, et en conservant οὐδέ, leçon de S. On entend généralement une transcription (ἀπογραφή) sur les livres des πράκτορες de l'inscription (ἐγγραφή) de la dette qui se trouvait sur l'Acropole. Mais pourquoi l'orateur dirait-il que cette transcription n'est pas faite ? Ce serait une maladresse. Il s'agit de l'accusé dans tous ces membres de phrase ; c'est lui qui est pris à partie.

7 sqq. Οὐκοῦν ὑποσχεῖν πρῶτον.... Voilà bien la sagacité de Démosthène et le tour frappant qu'il sait donner à son argumentation.

11. Βουλεύσεως : Dans son plaidoyer contre Aristogiton, Lycurgue distinguait la γραφὴ ψευδεγγραφῆς, qui s'applique, son nom même l'indique, au cas présent, de la γραφὴ βουλεύσεως, applicable à ceux qui maintenaient dans les registres publics le nom d'un débiteur du fisc qui s'était acquitté. (Voy. Suidas art. Ψευδὴς ἐγγραφή· καὶ γὰρ διαφέροντα τίθησι Λυκοῦργος.) Bœckh, *Seewesen*, p. 537, à propos d'un décret dans lequel le terme de βούλευσις est employé avec propriété, reprochait à l'auteur de notre discours l'ignorance de la législation attique. Mais ne peut-on pas croire que βούλευσις, c'est-à-dire dol ou machination, se prenait aussi dans un sens moins étroit et s'étendait abusivement à la ψευδεγγραφή ? Braun (*l. c.*, p. 36) suppose qu'Aristogiton avait en effet poursuivi Ariston βουλεύσεως et que Lycurgue relevait dans son discours cette impropriété dans l'emploi des termes juridiques. Cela est très probable. Démosthène n'avait aucun besoin de répéter cette observation sans importance pour le raisonnement qu'il fait ici, comme pour celui du § 28. Enfin, nous n'avons plus le plaidoyer de Lycurgue et, quoi qu'on puisse penser de l'auteur de notre discours, on ne contestera pas qu'il n'ait connu ce plaidoyer.

Καλῶς. Πότερον οὖν ἀπὸ ταύτης τῆς ἡμέρας ὁδὶ μὲν ὀφειλήσει τῷ δημοσίῳ, ὁ ἐξαλειφθείς, ἐκεῖνος δ' ἐπίτιμος ἔσται, ὁ ἐγγραφείς; ἐκ γὰρ ὧν νῦν ὅδ' ἀξιοῖ, ταῦτα συμβαίνει. Εἰ γὰρ ὅτ' ἐγγέγραπται μὴ ὀφείλει, ἐπειδὰν ἐξαλειφθῇ, ὀφειλήσει δηλονότι. Ἀλλ' οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν, ἀλλ' ὅταν ἐξαλειφθῇ, τότ' οὐκ ὀφειλήσει· οὐκοῦν νῦν ὀφείλει. [74] Τί δ'; ἂν αὐτὸν ἀποφύγῃ, παρὰ τοῦ κομιεῖται ἡ πόλις ἃ νῦν οὐκ ἐξὸν οὗτος ποιεῖ; πόθεν δ', οἷς οὗτος θανάτου τιμᾶται καὶ δεσμοῦ περιιὼν ἐν τῷ δικαστηρίῳ, οἱ μὲν τὰς ψυχάς, οἱ δὲ τὸ μὴ δεινὰ πεπονθέναι κομιοῦνται; Ὧι γὰρ οὐδὲ τῶν ἴσων οὐδὲ τῶν ἐγκυκλίων δικαίων μετουσίαν διδόασιν οἱ νόμοι, οὗτος τῶν ἀνηκέστων ἑτέροις αἴτιος γίγνεται, οὐκ ὀρθῶς οὐδὲ πολιτικῶς οὐδ' ὡς συμφέρει γιγνομένων τούτων. [75] Ἀλλ' ἔγωγε ταῦθ' ὁρῶν θαυμάζω, τὸ τἄνω κάτω γεγενῆσθαι. τί ποτ' οἴεσθ' εἶναι. Ἐὰν ἡ γῆ μὲν ἄνω, τὰ δ' ἄστρα κάτω γένηται; οὐκ ἔστι τοῦτο γενέσθαι, μηδὲ γένοιτο. Ἀλλ ὅταν, οἷς ἐκ τῶν νόμων μὴ ἔξεστιν, ἐκ τῶν ὑμετέρων βουλήσεων ἐξῇ, ὅταν ἡ μὲν πονηρία τιμᾶται, τὰ χρηστὰ δ' ἀπορρίπτηται, ὅταν τὸ δίκαιον καὶ τὸ συμφέρον ἡττᾶται τοῦ φθόνου, τότ' ἄνω καὶ κάτω πάντα χρὴ νομίζειν τετράφθαι.

[76] Ἤδη τοίνυν τινὰς εἶδον τῶν ἀγωνιζομένων, οἳ τοῖς πράγμασιν αὐτοῖς ἁλισκόμενοι, καὶ οὐκ ἔχοντες ὡς οὐκ

NC. 1. της ἡμέρασ, mots ajoutés en marge de S. — 5. εστιν ταῦτα S. — 7. κομιεῖται S seul. κομιεῖται ταῦθ' vulg. — 14. γιγνομένων τούτων : mots écartés par Bekker. — 17. Dobree voulait ἃ, pour οἷς. Peut-être ὅσ'. — 20. ἄνω κάτω A.

7. Ἂν αὐτὸν ἀποφύγῃ, si Ariston échappe à la poursuite d'Aristogiton.

7-8. Παρὰ τοῦ κομιεῖται ἡ πόλις ἃ..., par qui la ville recouvrera-t-elle, c'est-à-dire se fera-t-elle indemniser de ce que.... [G. H. Schæfer.]

9. Περιιών n'est pas très clair. L'orateur veut-il dire qu'Aristogiton fait adopter par ses intrigues auprès des juges la peine qu'il propose (τιμᾶται) comme accusateur?

11. Ἐγκυκλίων, ordinaires, communs (τῶν συνήθων schol.). Il ne faut pas raffiner sur le sens de ce mot afin de le distinguer de ἴσων.

13. Οὐκ ὀρθῶς οὐδὲ πολιτικῶς οὐδ' ὡς συμφέρει. Dobree a déjà rapproché *Cour.*, § 13 : Οὐδὲ μὰ τοὺς θεοὺς ὀρθῶς ἔχον οὔτε πολιτικὸν οὔτε δίκαιόν ἐστιν.

14. Θαυμάζω a pour complément τί ποτ' οἴεσθε. — Τ(ὰ) ἄνω κάτω. C'est ce que nous appelons le monde renversé.

17. Μὴ ἔξεστιν. Il faut sous-entendre « exercer leurs droits de citoyen ». Cf. NC.

22. Ἤδη τοίνυν τινὰς εἶδον.... Transition familière aux orateurs. Cf. *Aristocr.*,

ἀδικοῦσιν δεῖξαι, οἱ μὲν εἰς τὴν τοῦ βίου μετριότητα καὶ 793
σωφροσύνην κατέφυγον, οἱ δ' εἰς τὰ τῶν προγόνων ἔργα καὶ λητουργίας, οἱ δ' εἰς ἕτερα τοιαῦτα δι' ὧν εἰς ἔλεον καὶ φιλανθρωπίαν τοὺς δικάζοντας ἤγαγον. Τούτῳ δ' οὐδέν' ὁρῶ τῶν τόπων τούτων βάσιμον ὄντα, ἀλλὰ πάντ' ἀπόκρημνα, φάραγγας, βάραθρα. [77] Τί γὰρ ὡς ἀληθῶς ἐρεῖ; ὧν ὁ πατήρ τι πεποίηκε νὴ Δία. Ἀλλὰ κατεγνώκαθ' ὑμεῖς ἐν τουτοισὶ τοῖς δικαστηρίοις αὐτοῦ θάνατον, ὡς πονηροῦ δηλονότι καὶ ἀξίου τεθνάναι. Ἀλλὰ νὴ Δία, εἰ ταῦτ' ἐστὶν αὐτῷ δυσχερῆ τὰ περὶ τὸν πατέρα, εἰς τὸν ἑαυτοῦ βίον καταφεύξεται ὡς σώφρονα καὶ μέτριον. Ποῖον; ὃν ποῦ βεβίωκεν; ὃν μὲν γὰρ ἅπαντες ὑμεῖς ἑοράκατε, οὐκ ἔστι τοιοῦτος. [78] Ἀλλ' ὦ τᾶν, εἰς τὰς λητουργίας ἀποχωρήσεται. Τὰς πότ' ἢ ποῦ γεγονυίας; Τὰς τοῦ πατρός; ἀλλ' οὐκ εἰσίν. Ἀλλὰ τὰς ἑαυτοῦ; φάσεις, ἀπαγωγάς, ἐνδείξεις, οὐχὶ λητουργίας εὑρήσετε. Ἀλλὰ νὴ Δία καὶ χωρὶς τούτων συγγενεῖς πολλοὶ καὶ καλοὶ κἀγαθοὶ παραστάντες αὐτὸν ἐξαιτήσονται. Ἀλλ' οὔτ' εἰσὶν οὔτ' ἐγένοντο πώποτε· πῶς γὰρ τῷ γε μηδ' ἐλευθέρῳ; [79] Πλὴν ἔστι νὴ Δία, ἔστιν ἀδελφός τις οὗτος αὐτῷ, ὁ παρὼν καὶ τὴν καλὴν δίκην αὐτῷ λαχών. Περὶ οὗ τὰ μὲν ἄλλα τί δεῖ λέγειν; ἀδελφὸς δ' ἐστὶ τούτου ὁμομήτριος καὶ ὁμοπάτριος καὶ πρὸς τοῖς ἄλλοις κακοῖς δίδυμος. Οὑτοσί — καὶ τὰ μὲν ἄλλα σιωπῶ, ἀλλ' ἐφ' οἷς ὑμεῖς τὴν μιαρὰν Θεωρίδα, τὴν Λημνίαν, τὴν φαρμα-

NC. 11. ὃν οὐ F, d'après *Amb.*, § 200. — 12. εστιν S. — 13. αλλ οταν S. — 21. εστιν S. — 23. δίδυμοσ οὑτοσὶ, sans ponctuation, S. — καὶ τα μεν S, Y. τὰ μὲν vulg. — 24. Θεοδωρίδα vulg.

§ 100 : Ἤδη δέ τιν' εἶδον, ὦ ἄνδρες Ἀθηναῖοι, γραφὴν ἀγωνιζόμενον παρανόμων τοῖς νόμοις μὲν ἁλισκόμενον....

5-6. Τούτων... βάραθρα. Cité par Pline, *Ep.*, IX, 26, parmi les exemples d'une hardiesse heureuse.

7. Ὧν ὁ πατὴρ πεποίηκέ τι. Le génitif ὧν dépend de τι, arrangement de mots qui n'est pas rare dans Démosthène.

11. Ποῖον; ὃν ποῦ βεβίωκεν. Cf. *Ambass.*, § 200 : Ποῖον οὖν ἐρεῖς βίον ὃν οὐ βεβίωκας, ἐπεὶ ὅ γε βεβιωμένος σοι τοιοῦτος φαίνεται; Il y a ressemblance, mais non imitation servile.

15. Φάσεις, ἀπαγωγάς, ἐνδείξεις. Trois espèces d'accusation, différant par la procédure.

20-21. Τὴν καλὴν δίκην αὐτῷ λαχών. Voy. § 55, avec la note.

22-23. Πρὸς τοῖς ἄλλοις κακοῖς, pour comble de misère.

24. Θεωρίδα. D'après Philochoros, cité

κίδα, καὶ αὐτὴν καὶ τὸ γένος ἅπαν ἀπεκτείνατε, [80] ταῦτα λαβὼν τὰ φάρμακα καὶ τὰς ἐπῳδὰς παρὰ τῆς θεραπαίνης
794 αὐτῆς, ἣ κατ' ἐκείνης τότ' ἐμήνυσεν, ἐξ ἧσπερ ὁ βάσκανος οὗτος πεπαιδοποίηται, μαγγανεύει καὶ φενακίζει, καὶ τοὺς ἐπιλήπτους φησὶν ἰᾶσθαι, αὐτὸς ὢν ἐπίληπτος πάσῃ πονηρίᾳ. Οὗτος οὖν αὐτὸν ἐξαιτήσεται, ὁ φαρμακός, ὁ λοιμός, ὃν ἀποιωνίσαιτ' ἄν τις μᾶλλον ἰδὼν ἢ προσειπεῖν βούλοιτο, ὃς αὐτὸς αὑτῷ θανάτου τετίμηκεν, ὅτε τοιαύτην δίκην ἔλαχεν.

[81] Τί οὖν λοιπόν, ὦ ἄνδρες Ἀθηναῖοι; ἃ κοινὰ νὴ Δία πᾶσιν ὑπάρχει τοῖς ἀγωνιζομένοις παρὰ τῆς τῶν ἄλλων ὑμῶν φύσεως, καὶ οὐδεὶς αὐτὸς ἑαυτῷ ταῦτα φέρει τῶν κρινομένων, ἀλλ' ὑμῶν ἕκαστος ἔχων οἴκοθεν ἔρχεται, ἔλεον, συγγνώμην, φιλανθρωπίαν. Ἀλλὰ τούτων γ' οὐθ' ὅσιον οὔτε θέμις τῷ μιαρῷ τούτῳ μεταδοῦναι. Διὰ τί; ὅτι ὃν ἂν αὐτὸς ἕκαστος νόμον τῇ φύσει κατὰ πάντων ἔχῃ, τούτου τυγχάνειν παρ' ἑκάστου δίκαιός ἐστι καὶ αὐτός. [82] Τίν' οὖν νόμον ὑμῖν ἢ τίνα βούλησιν ἔχειν Ἀριστογείτων κατὰ πάντων δοκεῖ; πότερ' εὐτυχοῦντας ὁρᾶν καὶ ἐν εὐδαιμονίᾳ καὶ χρηστῇ δόξῃ διάγοντας; Καὶ τί ποιῶν ζήσεται; τὰ γὰρ τῶν ἄλλων κακὰ τοῦτον τρέφει. Οὐκοῦν ἐν κρίσεσιν καὶ ἀγῶσι καὶ πονηραῖς αἰτίαις ἅπαντας εἶναι

NC. 4. οὑτοσὶ vulg. — 6. ἐξαιρήσεται Harpocration et d'autres grammairiens. — 7. ἀποιωνίσαιτ' Herwerden. οἰωνίσαιτ' mss. — 8. αὐτῶ F. αυτου S. αὑτῷ G. H. Schæfer, Dindorf. — 16. δῆλος ἢ κατὰ πάντων (ou καθ' ἁπάντων) ἔχων vulg. — 17. ἔστιν S. — 19. πότερ' A. πότερον S, vulg. — 22. κρίσεσι S. — και εν αγωσι S, Y.

par Harpocration, cette femme était une devineresse, condamnée pour impiété. Suivant Plutarque, elle fut accusée par Démosthène lui-même : κατηγόρησε δὲ καὶ τῆς ἱερείας Θεωρίδος, ὡς ἄλλα τε ῥᾳδιουργούσης πολλὰ καὶ τοὺς δούλους ἐξαπατᾶν διδασκούσης, καὶ θάνατον τιμησάμενος ἀπέκτεινεν. (*Dém.*, ch. 14.)

5-6. Ἐπίληπτος πάσῃ πονηρίᾳ, attaqué, infecté, possédé de toute espèce de méchanceté. Jeu de mots sarcastique et intraduisible.

7. Ὃν ἀποιωνίσαιτ' ἄν τις. Quand on avait fait une rencontre de mauvais augure, on se détournait, on cherchait à se préserver de mal par des paroles, des actes, des sacrifices expiatoires.

8. Αὐτὸς αὑτῷ θανάτου τετίμηκεν. En réclamant sa part du prix de vente de sa sœur, le frère d'Aristogiton s'est, en quelque sorte, jugé lui-même digne de mort.

14. Ἀλλὰ τούτων.... Voy. dans la *Midienne*, § 184 sq. un morceau semblable, mais développé d'une autre manière.

βούλεται· ταῦτα γεωργεῖ, ταῦτ' ἐργάζεται. Ὁ δὲ ποῖός τις, ὦ ἄνδρες Ἀθηναῖοι, καλοῖτ' ἂν δικαίως ὁ τρισκατάρατος, ὁ κοινὸς ἐχθρὸς, ὁ πᾶσι δυσμενὴς, ὅτῳ μήτε γῆ φέροι καρπὸν μήτ' ἀποθανόντα δέξαιτο; οὐχ ὁ τοιοῦτος; ἔγωγε νομίζω. [83] Τίνος δὲ συγγνώμης ἢ ποίων ἐλέων οἱ σεσυκοφαντημένοι τετυχήκασι παρὰ τούτου, οἷς οὗτος θανάτου πᾶσιν ἐτιμᾶτ' ἐν τουτοισὶ τοῖς δικαστηρίοις, καὶ ταῦτα πρὶν 795 τὴν πρώτην ψῆφον διενεχθῆναι; καὶ ἐφ' οἷς ὁ βάσκανος οὗτος οὕτως ὠμῶς καὶ πικρῶς εἶχεν, τούτους ὑμῶν οἱ λαχόντες, ὦ ἄνδρες Ἀθηναῖοι, τὰ δίκαια ποιοῦντες ἔσῳζον, [καὶ τοὺς ὑπὸ τούτου συκοφαντουμένους ἀπεψηφίζοντο,] καὶ τὸ πέμπτον μέρος τῶν ψήφων οὐ μετεδίδοσαν τούτῳ. [84] Ἀλλ' ἥ γε τούτου πικρία καὶ μιαιφονία καὶ ὠμότης παρῆν καὶ ἐξητάζετο. Οὐχὶ παιδία, οὐχὶ μητέρας τῶν κρινομένων ἐνίων γραῦς παρεστώσας ὁρῶν οὗτος ἠλέει. Εἶτα σοὶ συγγνώμη; πόθεν ἢ παρὰ τοῦ; ἢ τοῖς σοῖς παιδίοις ἔλεος;

NC. 1. ταῦτα γεωργεῖ, ταῦτ' ἐργάζεται, mots omis après βούλεται, dans A, Y, S[1], ταυτα γεωργειται· ταῦτα εργαζεται, en marge, reviseur de S. — ο δε ποιοσ S[1], δη παμπόνηροσ, dans l'interligne, reviseur. ὁ δὲ τοιοῦτος ποῖος A, schol. d'Hermogène, VII, p. 998, W. ὁ δὲ δὴ παμπόνηρος ἄνθρωπος ποῖος vulg. L'interpolation me semble évidente : elle provient de *Cour.*, § 119. — 3. Entre μητε et γη, dans l'interligne, ζῶντι reviseur de S. — 10. ὦ manque dans S, A. — 11. καὶ.... ἀπεψηφίζοντο : glose reconnue par Dobree. καὶ se lit avant ἀπεψηφίζοντο dans A, F.

1. Ταῦτα γεωργεῖ, ταῦτ' ἐργάζεται. Directement et sans figure au § 51 : οὐ τέχνης, οὐ γεωργίας, οὐκ ἄλλης ἐργασίας οὐδεμιᾶς ἐπιμελεῖται.

1-2. Ὁ δὲ ποῖός τις.... καλοῖτ' ἂν δικαίως ὁ τρισκατάρατος, l'homme de quelle espèce serait appelé à juste titre trois fois maudit? Cf. *Cour.*, § 119 : Ὁ δὲ παμπόνηρος ἄνθρωπος καὶ βάσκανος ὄντως ποῖός τις ἂν εἴη πρὸς θεῶν; οὐχ ὁ τοιοῦτος. *Ib.*, § 282 : Τῷ δ' ὁ κῆρυξ καταρᾶται δικαίως; οὐ τῷ τοιούτῳ;

3-4. Ὅτῳ.... δέξαιτο. C'est là sans doute la formule d'imprécation dont se servait le héraut public. Euripide la varie en faisant dire à Pylade : Μὴ σῶμά μου δέξαιτο κάρπιμον πέδον, || μὴ λαμπρὸς αἰθὴρ πνεῦμα (*Or.*, 1086).

7-8. Πρὶν τὴν πρώτην ψῆφον διενεχθῆναι. Il paraît qu'il était d'usage d'énoncer déjà dans l'acte d'accusation la peine que l'accusateur proposait, si elle n'était pas fixée par la loi. Mais est-ce là une raison d'accuser ici l'ignorance d'un faussaire? Démosthène dit qu'Aristogiton insistait sur la peine dès la première action, quand la culpabilité seule était à discuter : il se sert d'un tour oratoire qui fait de l'effet et qui a l'avantage de rendre plus clair ce qui suit. En effet, dans les causes mentionnées ici les juges acquittèrent simplement après la première action, et la question de pénalité ne fut pas même posée.

13-14. Ἀλλ(ὰ).... ἐξητάζετο. Si Aristogiton avait attendu le résultat du premier vote avant de demander dans son discours la mort du coupable, sa dureté impitoyable n'aurait pas éclaté.

πολλοῦ γε καὶ δεῖ. Σὺ τὸν εἰς ταῦτ’ ἔλεον προδέδωκας, Ἀριστογεῖτον, μᾶλλον δ’ ἀνῄρηκας ὅλως. Μὴ δὴ πρὸς οὓς αὐτὸς ἔχωσας λιμένας καὶ προβόλων ἐνέπλησας, πρὸς τούτους προσορμίζου· οὐ γὰρ δίκαιον.

[85] Εἰ τοίνυν ἀκούσαιτε καὶ τὰς βλασφημίας ἃς κατὰ τὴν ἀγορὰν περιιὼν καθ’ ὑμῶν ἔλεγεν, ἔτι μᾶλλον ἂν αὐτὸν μισήσαιτε, καὶ δικαίως. Φησὶ γὰρ πολλοὺς ὀφείλειν τῷ δημοσίῳ, τούτους δ’ ἅπαντας ὁμοίους ὑπάρχειν ἑαυτῷ. Ἐγὼ δὲ πολλοὺς μὲν εἶναι τοὺς ἠτυχηκότας, εἰ καὶ δύ’ εἰσὶ μόνοι, συγχωρῶ· παντὶ γὰρ πλείους εἰσὶ τοῦ δέοντος, καὶ οὐδένα τῶν ἄλλων ὀφείλειν ἔδει· οὐ μέντοι μὰ τοὺς θεοὺς τούτῳ γ’ ὑπάρχειν ὁμοίους οἴομαι τούτους, οὐδὲ πολλοῦ δεῖ, ἀλλὰ καὶ τοὐναντίον. [86] Οὑτωσὶ δὲ λογίζεσθε Καὶ μή μ’ ὑπολάβητ’, ὦ ἄνδρες Ἀθηναῖοι, ὡς πρὸς ὀφείλοντας ὑμᾶς τῷ δημοσίῳ διαλέγεσθαι· οὔτε γὰρ ἔστιν, μήτε γένοιτο τοῦτο, οὔτ’ ἐγὼ νομίζω. Ἀλλ’ εἴ τῴ τις ἄρ’ ἢ φίλος ἢ
796 γνώριμός ἐστιν ἐν τούτοις, ὡς ὑπὲρ τούτου τοῦτον προσήκει μισεῖν, τοῦτο βούλομαι δεῖξαι. Πρῶτον μὲν ὅτι ἀνθρώπους ἐπιεικεῖς, οἷς ἐγγύαι καὶ φιλανθρωπίαι γίγνονται καὶ ὀφλήματ’ ἴδια, οἷς οὐ πρόσεστι κοίν’ ἀδικήματα, ἠτυχηκέναι δὲ

NC. 2. αριστογειτων S, ici et ailleurs. — 3. ἀνεπλησασ S, Y. — 5. ἀκούσαιτε Reiske. ακουσετε S (d'abord ακουσειτε, ce semble) et vulg. — 7. μισησετε S, A. — και δικαίωσ ἀποκτεινετε (ἀποκτείναιτε) variante note dans S, F, A. — 13. ἀλλὰ πᾶν τοὐναντίον F. ἀλλὰ τοὐναντίον A. — 19-20. καὶ, avant ὀφλήματ', était suspect à H. Wolf. — γρ. οφλήματα δικαια reviseur en marge de S.

1. Τὸν εἰς ταῦτα ἔλεον, c.-à-d. εἰς τὰ σὰ παιδία. Cf. Euripide, *Oreste*, 100 : Αἰδὼς εἰς Μυκηναίους. Thucydide, II, 9 : Φιλία εἰς ἀμφοτέρους ἦν. Andocide, *Myst.*, § 141 : Ἡ εἰς ὑμᾶς εὔνοια.

2 sq. Πρὸς οὓς αὐτὸς ἔχωσας λιμένας.... Trope différent de celui qu'on a vu au § 76, et également admiré par Pline, *l. c.*

10. Παντὶ.... πλείους en dit plus que πολλῷ πλείους : il y en a autant de trop; s'il y en a deux, il y en a deux de trop.

13 sqq. Καὶ μή μ' ὑπολάβητε.... Cette précaution oratoire indique qu'il y avait en effet parmi les juges des débiteurs du fisc. Démosthène entreprend de leur prouver qu'ils ne sont pas intéressés à l'acquittement de l'accusé, que leur cas est tout différent, tout en faisant semblant de croire qu'ils ne se trouvent pas dans ce cas.

17. Ὑπὲρ τούτου : c.-à-d. ὑπὲρ τοῦ φίλου ἢ γνωρίμου. — Τοῦτον : c.-à-d. Ἀριστογείτονα.

19. Οἷς ἐγγύαι καὶ φιλανθρωπίαι γίγνονται, qui se portent caution par bonté d'âme.

19-20. Ὀφλήματ' ἴδια ne veut pas dire ici que ces citoyens doivent à des particuliers; ils doivent au fisc, mais leurs

συμβέβηκεν, εἰς τὴν ὁμοίαν τάξιν ἑαυτῷ καὶ βλασφημίαν ἄγει· οὐκ ὀρθῶς οὐδὲ προσηκόντως. [87] Οὐ γὰρ ὅμοιόν ἐστιν, Ἀριστογεῖτον, οὐδὲ πολλοῦ δεῖ, γράψαντά [σε] τῶν πολιτῶν τρεῖς ἀκρίτους ἀποκτεῖναι γραφὴν ἁλῶναι παρανόμων καὶ δέον [σε] τεθνάναι [ἐπὶ ταύτῃ] τιμήματος τυχεῖν, καὶ φίλον ἐγγυησάμενον μὴ δύνασθαι ζημίαν ἀπροσδόκητον ἐνεγκεῖν· οὐχ ὅμοιον, οὔ. Ἔπειθ' ὅτι τὴν κοινὴν φιλανθρωπίαν, ἣν ὑμεῖς ἔχετ' ἐκ φύσεως πρὸς ἀλλήλους, οὗτος ἀναιρεῖ καὶ διαφθείρει [τὸ καθ' αὑτόν. Ἴδοιτε δ' ἂν ἐντεῦθεν]. Ὑμεῖς γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, τῇ τῆς φύσεως [πρὸς ἀλλήλους], ὅπερ εἶπον, χρώμενοι φιλανθρωπίᾳ ὥσπερ αἱ συγγένειαι τὰς ἰδίας οἰκοῦσιν οἰκίας, οὕτω τὴν πόλιν οἰκεῖτε δημοσίᾳ. [88] Πῶς οὖν ἐκεῖναι; ὅπου πατήρ ἐστι καὶ υἱεῖς ἄνδρες, τυχὸν δὲ καὶ τούτων παῖδες, ἐνταῦθ' ἀνάγκη πολλὰς καὶ μηδὲν ὁμοίας εἶναι βουλήσεις· οὐ γὰρ τῶν αὐτῶν οὔτε λόγων οὔτ' ἔργων ἐστὶν ἡ νεότης τῷ γήρᾳ. Ἀλλ' ὅμως οἵ τε νέοι πάνθ' ὅσ' ἂν πράττωσιν, ἄνπερ ὦσι μέτριοι, οὕτω ποιοῦσιν ὥστε μάλιστα μὲν πειρᾶσθαι λανθάνειν, εἰ δὲ μή, φανεροί γ' εἶναι τοῦτο βουλόμενοι ποιεῖν· οἵ τε πρεσβύτεροι

NC. 3. γραψαντα δε S[1]. J'écarte σε ici et l. 5. — 4. Après ἀποκτεῖναι, dans l'interligne, l'abréviation de και insérée, ce semble, par le reviseur de S. — 5. J'ai mis entre crochets ἐπὶ ταύτῃ, mots placés avant σε dans A, après σε dans F. Il faut peut-être écrire πέντε ταλάντων τιμήματος. De toute façon, l'orateur devait indiquer que l'amende était considérable : la suite des idées le demande. — 9. διαφθείρει. ἴδοιτε δ' A. διαφθείρει· ὑμεῖσ γὰρ texte de S, γρ. καὶ διαφθείρει το καθ' αὐτον· ἴδοιτε δ' αν (ἴδοιτ' ἂν vulg.) ἐντεῦθεν reviseur. — 10-11. J'ai écarté πρὸς ἀλλήλους, avec F. — 13. εστιν S. — 15.. τὰς βουλήσεις Dobree.

dettes sont d'une nature toute privée, ne tiennent à aucun délit public. — Οἷς οὐ πρόσεστι. Ce second οἷς se réfère, comme le premier, à ἀνθρώπους ἐπιεικεῖς.

3 sqq. Γράψαντα... La proposition est générale. En conservant σε, il faudrait dans le membre de phrase opposé, prendre φίλον pour le sujet de ἐγγυησάμενον, ce qui ne va pas, ou ajouter l'article τόν.

4. Τρεῖς. L'argument de Libanios n'indique qu'un seul, Hiéroclès. Il faut supposer qu'Aristogiton lui associa deux complices.

5. Τιμήματος semble être mis, contrairement à l'usage, pour χρημάτων τιμήματος (§ 92). Mais voyez NC.

7. Ἔπειθ' ὅτι : par référence à πρῶτον μὲν ὅτι, § 86.

15-16. Τῶν αὐτῶν.... λόγων.... ἐστίν. Cf. *Cour.*, § 276 : Οὗτοι πάντες.... εἰσὶν.... τῶν αὐτῶν βουλευμάτων.

17. Ὅσ' ἂν πράττωσιν. Entendez les peccadilles qui sont de leur âge (ἃ φέρει ἡ φύσις).

19. Τοῦτο βουλόμενοι ποιεῖν équivaut à ὅτι ἐβούλοντο λανθάνειν.

πάλιν, ἂν ἄρ' ἴδωσιν ἢ δαπάνην ἢ πότον ἢ παιδιὰν πλείω τῆς μετρίας, οὕτω ταῦθ' ὁρῶσιν ὥστε μὴ δοκεῖν ἑορακέναι. Ἐκ δὲ τούτων γίγνεταί τε πάνθ' ἃ φέρουσιν αἱ φύσεις καὶ καλῶς
797 γίγνεται. [89] Τὸν αὐτὸν τοίνυν τρόπον ὑμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν πόλιν οἰκεῖτε, συγγενικῶς καὶ φιλανθρώπως, οἱ μὲν οὕτως ὁρῶντες τὰ τῶν ἠτυχηκότων ἔργα ὥστε, τὸ τῆς παροιμίας, ὁρῶντας μὴ ὁρᾶν καὶ ἀκούοντας μὴ ἀκούειν, οἱ δ' οὕτω ποιοῦντες ἃ πράττουσιν ὥστ' εἶναι φανεροὶ καὶ φυλαττόμενοι καὶ αἰσχυνόμενοι. Ἐκ δὲ τούτων ἡ κοινὴ καὶ πάντων τῶν ἀγαθῶν αἰτία τῇ πόλει μένει καὶ συνέστηκεν ὁμόνοια. [90] Ταῦτα τοίνυν Ἀριστογείτων τὰ καλῶς οὕτω πεπηγότα τῇ φύσει καὶ τοῖς ἤθεσι τοῖς ὑμετέροις κινεῖ καὶ ἀναιρεῖ καὶ μεταρρίπτει. Καὶ ἃ τῶν ἄλλων τῶν ἠτυχηκότων ἕκαστος ἀψοφητὶ ποιεῖ, ταῦθ' οὗτος μόνον οὐ κώδωνας ἐξαψάμενος διαπράττεται. Οὐ πρύτανις, οὐ κῆρυξ, οὐκ ἐπιστάτης, οὐχ ἡ προεδρεύουσα φυλὴ τούτου κρατεῖν δύναται. [91] Ἐπειδὰν οὖν τις ὑμῶν ἐφ' οἷς οὗτος ἀσελγαίνει λυπηθεὶς εἴπῃ « τουτονὶ ταῦτα ποιεῖν, καὶ ταῦτ' « ὀφείλοντα τῷ δημοσίῳ », « τί δ'; οὐ καὶ ὁ δεῖνα »,

NC. 1-2. ἢ παιδιὰν πλείω τῆς μετρίας, mots omis dans A. — 2. εοραχέναι, changé en εωραχέναι, S. — 6. ὥσπερ τὸ S. ὅπερ τὸ F, B. — 14. οὕτωσ avant correction S. — 15. πρυτανησ S[1]. — 16. προσεδρεύουσα Foucart, *Annuaire de l'Assoc. pour les Études grecques*, 1876, p. 140. — 18. εἴπῃ après ποιεῖν A, F. — τοῦτον S. τουτονὶ δὲ A.

2. Οὕτω ταῦθ' ὁρῶσιν ὥστε μὴ δοκεῖν ὁρᾶν. Cf. Euripide, *Hipp.*, 462 : Πόσους δοκεῖς δὴ κάρτ' ἔχοντας εὖ φρενῶν ‖ νοσοῦνθ' ὁρῶντας λέκτρα μὴ δοκεῖν ὁρᾶν. [Dobree.]

3. Καλῶς, sans troubler la paix de la famille.

6-7. Τὸ τῆς παροιμίας. On a un exemple de cette locution proverbiale dans Plutarque, *Éduc. des enfants*, ch. 18 : Ἔνια τῶν πραττομένων ὁρῶντας μὴ ὁρᾶν καὶ μὴ ἀκούειν ἀκούοντας. [Taylor.]

14. Μόνον οὐ κώδωνας ἐξαψάμενος. Expression énergique, qui a ses analogues dans Démosthène. Voy. *Olynth.*, I, § 2 : Ὁ.... καιρὸς.... μόνον οὐχὶ λέγει φωνὴν ἀφιείς. *Ambass.*, § 47 : Παραδόντες.... Θηβαίοις Φωκέας, μόνον οὐκ ὀπίσω τὼ χεῖρε δήσαντες. *Mid.*, § 105 : Μηδαμῇ ἀφεθῆναι.... καὶ μόνον οὐ προσηλῶσθαι.

15-16. Οὐ πρύτανις.... οὐχ ἡ προεδρεύουσα φυλή. Cf. le § 9 et Eschine, *Ctés.*, § 4 : Τῆς τῶν ῥητόρων ἀκοσμίας οὐκέτι κρατεῖν δύνανται οὔθ' οἱ νόμοι οὔθ' οἱ πρυτάνεις οὔθ' οἱ πρόεδροι οὔθ' ἡ προεδρεύουσα φυλή, τὸ δέκατον μέρος τῆς πόλεως. Aux πρόεδροι d'Eschine répond ici l'ἐπιστάτης, le président des neuf proèdres tirés au sort parmi les sénateurs des neuf tribus qui n'avaient pas la prytanie (voy. la note sur *Mid.*, § 8). De plus, à cette époque, les membres, ou plutôt les cinquante sénateurs, d'une tribu également désignée par le sort étaient chargés de la police de l'assemblée du peuple. Voy. Eschine, *Timarque*, § 33.

φησὶν, « ὀφείλει; » τὸν ἐχθρὸν ἕκαστος ὑπειπὼν τὸν αὑτοῦ. Ὥστε τὴν πονηρίαν τὴν τούτου αἰτίαν εἶναι τῶν βλασφημιῶν, αἳ περὶ τῶν οὐχ ὁμοίων τούτῳ διὰ τοῦτον γίγνονται.

[92] Λοιπὸν τοίνυν ἐστὶν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς ἀπαλλαγῆναι βουλομένοις τούτου, ἀδίκημα σαφὲς καὶ ἐναργὲς ἔχοντας ἐκ τῶν νόμων, μάλιστα μὲν αὐτῷ θανάτου τιμῆσαι, εἰ δὲ μὴ, τοσοῦτον ἀναθεῖναι τίμημα χρημάτων, ὅσον μὴ δυνήσεται φέρειν· ἄλλη γὰρ οὐκ ἔστιν ἀπαλλαγὴ τούτου, σαφῶς ἐπίστασθε. [93] Καὶ γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν μὲν ἄλλων ἀνθρώπων ἄν τις ἴδοι τοὺς μὲν βελτίστους καὶ 798 μετριωτάτους αὐτῇ τῇ φύσει πάντα ποιοῦντας ἑκόντας ἃ δεῖ, τοὺς δὲ χείρους μὲν τούτων, ἔξω δὲ τοῦ πονηροὺς ἄγαν κληθῆναι, τῷ φόϐῳ τῷ πρὸς ὑμᾶς καὶ τῷ τοῖς αἰσχροῖς καὶ λόγοις καὶ ὀνείδεσιν ἀλγεῖν εὐλαϐουμένους ἐξαμαρτάνειν· τοὺς δὲ πονηροτάτους καὶ ἐξαγίστους ὀνομαζομένους τάς γε συμφορὰς σωφρονίζειν λέγουσιν. [94] Οὑτοσὶ τοίνυν Ἀριστογείτων τοσοῦτον ὑπερῆρκεν ἅπαντας ἀνθρώπους πονηρίᾳ ὥστ' οὐδὲ παθὼν ἐνουθετήθη, ἀλλ' ἐπὶ τοῖς αὐτοῖς ἀδικήμασιν καὶ πλεονεκτήμασιν πάλιν εἴληπται. Καὶ τοσούτῳ πλείονος ὀργῆς ἄξιός ἐστι νῦν ἢ πρότερον, ὅσῳ τότε μὲν γράφειν μόνον ᾤετο δεῖν παρὰ τοὺς νόμους, νυνὶ δὲ πάντα ποιεῖν, αἰτιᾶσθαι, λέγειν, διαϐάλλειν, βλασφημεῖν, θανάτου τιμᾶσθαι, εἰσαγγέλλειν, κακολογεῖν τοὺς ἐπιτίμους

NC. 1. ἑκαστον, fait de ἑκάστων, S. — 5. παράδειγμα σαφὲς F. — 7. ἀναθεῖναι texte de S seul. ἐπιθεῖναι vulg., et γρ. du reviseur en marge de S. — 7-8. οὐ δυνήσεται F. — 13. αισχροισ, fait de εχθροισ, S. — 15. τοὺς ἐξαγίστους vulg. — 15-16. τὰσ ‖ συμφορὰσ S. γε est aussi omis dans Y. — 18-19. ἀδικήμασι et πλεονεκτήμασι S. — 20. εστιν S. — 22. διαϐάλλειν S, A. διαϐάλλειν, ἄγειν vulg.

1. Φησίν a pour sujet ἕκαστος. Celui qui fait la réponse n'est pas Aristogiton, mais un citoyen quelconque, à qui l'impudence d'Aristogiton a fourni l'occasion de déchirer un ennemi personnel. [Reiske.] Démosthène fait sentir aux juges qu'il est de l'intérêt des pauvres gens débiteurs du fisc que de tels propos ne trouvent pas à se produire.

5-6. Ἀδίκημα σαφές.... ἐκ τῶν νόμων, quand vous avez à statuer sur un fait clairement et palpablement qualifié de délit par les lois.

15. Ἐξαγίστους. Les éditeurs rapprochent Eschine, *Ctés.*, § 113 : Τὸν λιμένα τὸν ἐξάγιστον καὶ ἐπάρατον.

21-22. Πάντα ποιεῖν ; sous-ent. παρὰ τοὺς νόμους.

αὐτὸς ὀφείλων τῷ δημοσίῳ· τούτου γὰρ οὐδέν ἐστι δεινότερον. [95] Τὸ μὲν οὖν νουθετεῖν τοῦτον μανία· ὃς γὰρ οἷς ὁ δῆμος ἅπας τοὺς ἐνοχλοῦντας ἑαυτὸν νουθετεῖ θορύβοις μηδεπώποθ' ὑπεῖξε μηδὲ διετράπη, ταχύ γ' ἂν φροντίσειε τοῦ παρ' ἑνὸς λόγου. Ἀνίατον, ἀνίατον, ἄνδρες Ἀθηναῖοι, τὸ πρᾶγμ' ἐστὶ τὸ τούτου. Δεῖ δὴ πάντας, ὥσπερ οἱ ἰατροὶ, ὅταν καρκίνον ἢ φαγέδαιναν ἢ τῶν ἀνιάτων τι κακῶν ἴδωσιν, ἀπέκαυσαν ἢ ὅλως ἀπέκοψαν, οὕτω τοῦτο τὸ θηρίον ὑμᾶς ἐξορίσαι, ῥῖψαι ἐκ τῆς πόλεως, ἀνελεῖν, μὴ περιμείναντας τὸ παθεῖν, ὃ μήτ' ἰδίᾳ μήτε δημοσίᾳ γένοιτο, ἀλλὰ προευλαβηθέντας. [96] Ὡδὶ γὰρ ὁρᾶτε. Οὐδένα πώποτ' ἴσως ὑμῶν
799 ἔχις ἔδακεν οὐδὲ φαλάγγιον, μηδὲ δάκοι· ἀλλ' ὅμως ἅπαντα τὰ τοιαῦτα, ἐπὰν ἴδητ', ἀποκτείνετε. Τὸν αὐτὸν τοίνυν τρόπον, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ὅταν συκοφάντην καὶ πικρὸν καὶ ἔχιν τὴν φύσιν ἄνθρωπον ἴδητε, μὴ πόθ' ἕκαστον ὑμῶν δήξεται περιμένετε, ἀλλ' ὁ προστυχὼν ἀεὶ τιμωρησάσθω.

[97] Λυκοῦργος μὲν οὖν τὴν Ἀθηνᾶν ἐμαρτύρετο καὶ τὴν μητέρα τῶν θεῶν, καὶ καλῶς ἐποίει. Ἐγὼ δὲ τοὺς προγόνους τοὺς ὑμετέρους καὶ τὰς ἀρετὰς τὰς ἐκείνων ἀνακαλῶ, ὧν οὐδ' ὁ χρόνος τὴν μνήμην ἠφάνικεν, εἰκότως· ἐπολιτεύοντο γὰρ οὐχὶ τοῖς πονηροτάτοις καὶ συκοφάνταις συνεργεῖν διδόντες ἑαυτούς, οὐδὲ τὸν ἐντὸς τείχους φθόνον ἀσκοῦντες

NC. 4. μηδεπωποτ' ὑπῆξεν S. — φροντισειεν S. φροντίσειέ τι A, F. — 7. τῶν S seul. τῶν ἄλλων vulg. — τι manque dans S, A, Y. — 9-10. περιμείναντας τὸ Cobet. περιμείναντάς τι vulg. — 13. ειδητε ‖ αποκτεινετε S, γρ. ευθὺσ ἀποκτείνετε reviseur en marge, vulg.. — 16-17. τιμωρείσθω vulg. — 19. καλῶς γ' F. — 22. καὶ τοῖς συκοφάνταις F. — 22-23. συνεργοὺς Cobet. Il faut peut-être supprimer συνεργεῖν. Cf. *Cour.*, § 179 : Ἔδωκ' ἐμαυτὸν ὑμῖν, et § 197.

4. Ταχύ γ(ε) : ironique, pour σχολῇ γε. Cf. *Mid.* § 209.

7. Ἡ τῶν ἀνιάτων τι κακῶν. L'idée de ἄλλο ou ἄλλων reste sous-entendue. Cf. *Phil.*, I, 32 : Λήμνῳ καὶ Θάσῳ καὶ Σκιάθῳ καὶ ταῖς ἐν τούτῳ τῷ τόπῳ νήσοις, où la vulgate, interpolée comme ici, porte : ταῖς ἄλλαις ταῖς.

15. Καὶ ἔχιν τὴν φύσιν, d'une nature de vipère. Cf. § 52, avec la note.

21-22. Ἐπολιτεύοντο s'applique ici, non aux hommes politiques, mais à tous les citoyens.

23. Τὸν ἐντὸς τείχους φθόνον. Cf. Isocrate, *Panég.*, § 116 : Ἀντὶ δὲ τοῦ πρὸς ἑτέρους περὶ τῆς χώρας πολεμεῖν ἐντὸς τείχους οἱ πολῖται πρὸς ἀλλήλους μάχονται.

ἐπ' ἀλλήλους, ἀλλὰ καὶ τῶν ῥητόρων καὶ τῶν ἰδιωτῶν τοὺς μὲν σώφρονας καὶ χρηστοὺς τιμῶντες, τοὺς δὲ πονηροὺς καὶ θρασεῖς μισοῦντες καὶ κολάζοντες. Ἐξ ὧν πάντες ἀθληταὶ τῶν καλῶν ἔργων ἐγένοντο.

[98] Ἓν δ' εἰπὼν ἔτι παύσασθαι βούλομαι. Ἔξιτ' αὐτίκα δὴ μάλ' ἐκ τοῦ δικαστηρίου, θεωρήσουσι δ' ὑμᾶς οἱ περιεστηκότες καὶ ξένοι καὶ πολῖται, καὶ κατ' ἄνδρ' εἰς ἕκαστον τὸν παριόντα βλέψονται καὶ φυσιογνωμονήσουσι τοὺς ἀποψηφισαμένους. Τί οὖν [ἐρεῖτε], ὦ ἄνδρες Ἀθηναῖοι, εἰ προέμενοι τοὺς νόμους ἔξιτε, ποίοις προσώποις ἢ τίσιν ὀφθαλμοῖς πρὸς ἕκαστον τούτων ἀντιβλέψεσθ' ; [99] Πῶς δ' εἰς τὸ μητρῷον βαδιεῖσθ', ἄν τι βούλησθ' ; οὐ γὰρ δήπου καθ' ἕν' ὑμῶν ἕκαστος ὡς ἐπὶ κυρίους τοὺς νόμους πορεύσεται, εἰ νῦν μὴ βεβαιώσαντες αὐτοὺς ἔξιθ' ἅπαντες κοινῇ. Πῶς δὲ ταῖς νουμηνίαις εἰς τὴν ἀκρόπολιν ἀναβαίνοντες τἀγαθὰ τῇ πόλει διδόναι καὶ ἕκαστος ἑαυτῷ τοῖς θεοῖς εὔξε- 800
σθε, ὅταν ὄντος τούτου <τοὐνόματος> ἐκεῖ καὶ τοῦ πατρὸς

NC. 7-8. εἰς ἕκαστον τὸν vulg. εἰς ἕκαστον A. εἰσ ἑκαστοσ S. ἕκαστος τὸν Bekker. — 8. φυσιομογνωμονησουσι S. — 8-9. ἀπεψηφισμένους A, comme au § 100. — τί οὖν ἐρεῖτε τί ἐρεῖτε A. J'ai écarté ἐρεῖτε, qui n'est à sa place qu'au § 100. — 10. προσώποισ est omis, après ποιοισ, dans le texte de S et de Y. Faut-il écrire ποίοις ὀφθαλμοῖς? — 11. ἀντιβλέψεσθε F, Cobet. ἀντιβλέψετε S, vulg. Cf. βλέψονται, l. 8. — 12-13. καθ' ἕνα A, F. εἶσ (εἰσ S[1]) καθ' ἕνα S, vulg. — 13. ὡς A. ὥσπερ S, vulg. — 14. εξητε S[1]. — 15. τὴν manque dans A. — 16-17. εὔξεσθε Reiske, Cobet. εὔξεται mss. — 17. J'ai inséré τοὐνόματος après τούτου. — ἐκεῖ, dans l'interligne, reviseur de S. — τοῦ ἀδελφοῦ αὐτοῦ Bekker, Dindorf : à tort.

4. Ἀθληταὶ τῶν καλῶν ἔργων. Théopompe (fr. 249) appelle les hommes dont Philippe aimait à s'entourer ἀδικίας καὶ βδελυρίας ἀθλητάς. On signale de nombreuses imitations de notre passage. Exemple : δικαιότατος ἀθλητὴς τῶν κατὰ σοφίαν πραγμάτων, Philostrate, *Her.*, p. 297.

5. Ἔξιτ' αὐτίκα δὴ μάλ' ἐκ τοῦ δικαστηρίου.... Dans la péroraison de la *Midienne* (§ 221), un morceau semblable par la forme, quoique différent pour les idées, commence ainsi : Αὐτίκα δὴ μάλα, ἐπειδὰν ἀναστῇ τὸ δικαστήριον, εἷς ἕκαστος ὑμῶν....

8. Φυσιογνωμονήσουσι, ils chercheront à connaître par l'examen des visages.

12. Ἄν τι βούλησθε : si vous voulez consulter le texte d'une loi. Le temple de la mère des dieux servait d'archives : on y conservait les lois et les actes publics. Voy. *Ambass.*, § 129 ; Lycurgue, *Leocr.*, § 66 ; Harpocration, art. Μητρῷον.

17. Ὄντος τούτου <τοὐνόματος> ἐκεῖ καὶ τοῦ πατρὸς, quand son nom, accompagné du nom de son père, est inscrit sur l'acropole, et atteste qu'il est débiteur de l'État. Cf. §§ 28 et 70. Le sens de ce passage, déjà rendu dans la traduction

αὐτοῦ τοῦ χρηστοῦ τἀναντία τοῖς ὅρκοις καὶ τοῖς ἐκεῖ γράμμασιν ἐγνωκότες ἦτε; [100] ἢ τί ἐρεῖτ', ὦ ἄνδρες Ἀθηναῖοι, τί ἐρεῖτ', ἄν τις ὑμᾶς ἐρωτᾷ γνωρίσας τοὺς ἀπεψηφισμένους; τί φήσετε; ἀρέσκειν τοῦτον ὑμῖν; καὶ τίς ὁ τοῦτό τολμήσων εἰπεῖν; τίς ὁ τῆς τούτου πονηρίας μετ' ἀρᾶς καὶ κακῆς δόξης κληρονομεῖν βουλησόμενος; [ἀλλ' οὐκ αὐτὸς ἕκαστος ἀποψηφίσασθαι;] οὐκοῦν καταράσεσθε τοῖς ἀποψηφισαμένοις, τοῦτο τὸ πιστὸν ἕκαστος διδοὺς ὡς οὐκ αὐτὸς οὗτός ἐστιν. [101] Καὶ τί δεῖ ταῦτα ποιεῖν, ἐξὸν εὐφημεῖν καὶ ἅπαντας ἅπασι πάντα τἀγάθ' εὔχεσθαι, καὶ ὑμᾶς ὑμῖν αὐτοῖς καὶ τοὺς ἄλλους Ἀθηναίους ἅπαντας ὑμῖν, προσθήσω δὲ καὶ τοὺς ξένους καὶ παῖδας καὶ γυναῖκας; Ἐφῖκται γὰρ, ἐφῖκται πάντων ἡ τούτου κακοπραγμοσύνη, καὶ πᾶσι βουλομένοις ἐστὶν ἀπαλλαγῆναι τῆς τούτου πονηρίας καὶ δίκην δεδωκότ' ἰδεῖν.

NC. 2. ἢ est omis avant τί dans S. τί δ' ἐρεῖτ' A.— ὦ manque dans S, A. — 3-4. ἀποψηφισαμένους vulg., comme au § 98. — 6. βουλόμενος A. — 7. Après ἕκαστοσ, dans l'interligne, φήσει reviseur de S. — αποψηφισεσθε S[1]. καταψηφίσασθαι F. φήσων καταψηφίσασθαι conjecture de Reiske et de Dindorf. J'ai mis entre crochets tout ce membre de phrase. — καταρασασθε S. καταρᾶσθαι F. —8. ἀπεψηφισμένοις A. — 9. ποιεῖν m'est suspect.. — 10. καὶ απαντα ‖ τὰ αγαθα S[1], le σ final de ἁπαντασ et les mots ἅπασι πάντα ajoutés par l'ancien reviseur. — 15. δεδωκότα ἴδειν S seul. δεδωκότα αὐτὸν ἐπιδεῖν vulg. Les mots καὶ.... ἰδεῖν sont omis dans A..

latine d'Hiéronymus Wolf, a été méconnu par les derniers éditeurs : cf. NC. Il est vrai que pour faire ce sens, il fallait ajouter un mot à la leçon des manuscrits. Cf. *Bœotos*, I, § 15 : Ἂν δὲ.... μὴ ἐκτισθῇ τὸ ὄφλημα, τί μᾶλλον οἱ τούτου παῖδες ἔσονται τῶν ἐμῶν ἐγγεγραμμένοι, ὅταν τοὔνομα καὶ ὁ πατὴρ καὶ ἡ φυλὴ καὶ πάντ' ᾖ ταὐτά.

3. Γνωρίσας équivaut à φυσιογνωμονήσας, § 98.

7. Οὐκ (s.-ent. φήσετε) αὐτὸς ἕκαστος ἀποψηφίσασθαι, vous nierez chacun avoir lui-même voté l'acquittement. Cf. NC.

9. Οὗτος, c.-à-d. ὁ ἀποψηφισάμενος. [Reiske.]

12. Τοὺς ξένους. Entendez les étrangers domiciliés à Athènes, les métèques.

ΚΑΤΑ

ΑΡΙΣΤΟΓΕΙΤΟΝΟΣ

Β′

NOTICE

Le second discours n'a rien de la verve et de l'originalité du premier, et il ne peut venir à l'esprit de personne de l'attribuer au même auteur. Il paraît d'ailleurs que, dans les procès de ce genre, la parole n'était pas donnée deux fois aux parties ; et quand même il en aurait été autrement, encore notre discours ne ressemble-t-il pas à une réplique. Il est vrai que ceux qui écrivaient un discours ne le prononçaient pas toujours, et quelqu'un pourrait supposer à la rigueur que Démosthène rédigea le présent plaidoyer à l'usage d'un autre accusateur. Mais ce plaidoyer n'a rien de remarquable, rien qui soit digne du grand orateur : les critiques anciens[1] s'accordent sur ce point avec les modernes.

D'un autre côté, s'il n'y a pas beaucoup à admirer dans ce discours, il n'y a pas beaucoup à reprendre non plus. Il est écrit dans la meilleure langue attique[2], et je ne vois pas d'objection sérieuse qui empêchât de le regarder comme l'œuvre d'un orateur obscur qui aurait parlé en troisième lieu après Lycurgue et Démosthène. On a dit que l'auteur du discours prétend, lui aussi, parler immédiatement après Lycurgue, et cela semble en effet résulter de quelques mots du paragraphe 16 ; mais je ne doute pas que, dans le passage en question, le nom de Lycurgue ne soit interpolé. Un désaccord sur un point secondaire, entre le paragraphe 21 de ce discours et le paragraphe 67 du discours précédent, n'a pas de portée. D'ailleurs ce discours ne nous apprend aucun fait, aucun détail nouveau ; il ne contient que des choses très connues et des considérations générales. Cela se comprend aisément : il ne restait pas autre chose à dire après deux orateurs qui avaient épuisé la matière. Accordons cependant qu'il n'y a rien dans ce discours qu'un rhéteur n'eût pu trouver et que l'opinion de ceux qui n'y voient qu'un exercice d'école est également admissible.

1. Voyez, plus haut, l'argument de Libanios, vers la fin.

2. « Nihil tamen in oratione et stilo inesse video, quod ab Attica dicendi consuetudine deflectat. Nitide omnia et ἀττικιστὶ enuntiata sunt. » Cobet, *Miscell. crit.*, p. 580.

Voici l'analyse du plaidoyer.

La culpabilité d'Aristogiton a été clairement prouvée. Or, les délits des hommes politiques doivent être réprimés avec une sévérité particulière. Dans un navire, si le pilote est en faute, tout l'équipage périclite. Aussi Solon a-t-il voulu que les magistrats et les conseillers du peuple fussent punis plus promptement que les simples citoyens (§ 1-4).

Aristogiton seul est assez impudent pour contester ces principes. Tous les magistrats se soumettent à vos jugements : si vous révoquez un fonctionnaire, si vous excluez un archonte de l'Aréopage, il obéit. De tout temps, les hommes politiques, les Aristide, les Miltiade, les Périclès, se sont inclinés devant vos droits. Ce que n'osaient faire des citoyens qui avaient bien mérité de la patrie, vous le permettriez à cet homme ! Et sans remonter aux anciens, aujourd'hui vous ne trouverez pas un seul homme public qui ait bravé les lois aussi impudemment (§ 4-7).

Les décrets et les lois votés par vous peuvent être invalidés par jugement ; et le bon plaisir d'Aristogiton serait plus fort que la justice ! Tout accusateur qui n'a pas obtenu la cinquième partie des suffrages s'abstient d'intenter désormais des poursuites que la loi lui interdit, et Aristogiton seul met son caprice au-dessus de la loi. Vaincre les ennemis, se laisser vaincre par les lois, là est le salut de la démocratie (§ 8-10).

Aristogiton a lui-même reconnu la justesse de ces principes. quand, après le désastre de Chéronée, il poursuivit comme illégal un décret d'Hypéride. Et cependant ce décret fut porté pour assurer à tous les citoyens l'égalité et la liberté ; tandis qu'Aristogiton réclame aujourd'hui pour lui seul la liberté de faire impunément tout ce qui lui plaît. — Vous avez souvent condamné des particuliers dénoncés pour violation des lois, et vous acquitteriez des gens qui se mêlent de tout et prétendent s'élever au-dessus des autres ! (§ 10-15.)

Aristogiton mériterait-il de jouir d'une impunité exceptionnelle ? On vous a montré son injustice et sa perversité, et il est facile de voir qu'il ne vous est bon à rien. Ceux qu'il accuse sont reconnus innocents ; les décrets qu'il fait voter sont aussitôt rapportés. Il flatte vos passions au lieu de servir vos intérêts. Il met à nu la plaie secrète d'un gouvernement obligé de se déjuger sans cesse (§ 16-18).

Mais, sans doute, il a le mérite d'insulter tout le monde et de vociférer à la tribune comme un forcené. Les gens de cette espèce font que le titre d'homme politique commence à devenir une injure. Si un de vous a un faible pour eux, il n'en trouvera que trop d'autres (§ 19).

Après l'avoir acquitté autrefois, vous l'avez condamné ensuite, ayant reconnu la vanité de ses protestations. Vous seriez impardonnables de vous laisser tromper aujourd'hui par ses promesses. On ne

confie ses intérêts particuliers qu'à des hommes d'une honnêteté éprouvée; on ne veut pas, pour garder ses troupeaux, d'un mauvais chien ; et on prend, pour veiller sur les intérêts publics des gens qui ont le plus grand besoin d'être surveillés eux-mêmes (§ 20-22).

Vos ancêtres eurent le courage de mourir pour la défense des lois, et vous n'auriez pas celui de punir ceux qui les violent! Plusieurs enthymèmes du même genre tendent à prouver que les Athéniens ne peuvent acquitter le prévenu sans donner un démenti à leurs principes et à leur conduite (§ 23-24).

L'illégalité cause les plus grands maux, le respect des lois fait prospérer les cités. L'ordre de l'univers et des choses célestes est réglé par des lois ; punissez les impies qui bravent les lois (§ 25-26).

ΚΑΤΑ

ΑΡΙΣΤΟΓΕΙΤΟΝΟΣ

Β

---

[1] Ὅτι μὲν τοίνυν καὶ ὀφείλει τῷ δημοσίῳ Ἀριστογείτων
οὑτοσὶ καὶ οὐκ ἔστιν ἐπίτιμος καὶ οἱ νόμοι διαρρήδην ἀπα-
γορεύουσιν [ἐν τῷ δήμῳ] μὴ ἐξεῖναι λέγειν τοῖς τοιούτοις,
φανερῶς ἐπιδέδεικται, ὦ ἄνδρες Ἀθηναῖοι· δεῖ δ' ὑμᾶς 801
ἅπαντας μὲν ἀπείργειν καὶ κωλύειν τοὺς παρανομοῦντας,
πολὺ δὲ μάλιστα τοὺς ἐν ταῖς ἀρχαῖς ὄντας καὶ τοὺς πολι-
τευομένους. [2] Διὰ γὰρ τούτους τὰ κοινὰ καὶ βλάπτεσθαι
πέφυκεν, ἐὰν ὦσι φαῦλοι, τὰ μέγιστα, καὶ πάλιν ὠφελεῖ-
σθαι, ἐὰν ὦσιν ἐπιεικεῖς καὶ θέλωσιν ἐμμένειν τοῖς νόμοις.
Ὡς ἐὰν ἅπαξ δῶτε τοῖς ὑπὲρ τῶν κοινῶν ἐγχειροῦσί τι
πράττειν τὸ παρανομεῖν καὶ καταφρονεῖν τῶν ὡρισμένων
δικαίων, ἀναγκαῖόν ἐστιν ἅπαντας ἀπολαύειν τοὺς μετέ-
χοντας τῆς πόλεως. [3] Ὥσπερ γὰρ τῶν ἐν ταῖς ναυσὶν
ἁμαρτημάτων ἃ συμβαίνει περὶ τοὺς πλοῦς, ὅταν μὲν τῶν

NC. 3. ἐν τῷ δήμῳ : **mots omis avec raison dans A, F. — 4.** ἄνδρες δικασταί **F.** ὦ δικασταὶ **(par abréviation) A. Cf. § 15, NC. — 8. J'ai écrit** τὰ μέγιστα, καὶ **pour** καὶ τὰ μέγιστα. **L'orateur doit insister sur le premier membre de phrase. Taylor voulait insérer** μάλιστα **avant** βλάπτεσθαι. — πάλιν **est inséré dans S par une main ancienne. — 10.** τι, **avant** πράττειν, **est omis dans F. — 12. Après** ἀπολάυειν **les mots** τῆς τούτων κακίας **sont ajoutés dans l'interligne par l'ancien reviseur de S, notés comme variante dans F, Y, omis dans A. — 14. J'ai supprimé, avec G. H. Schæfer, la virgule avant** ἅ. **Cobet voulait** ἐπὶ τῶν... ἁμαρτημάτων.

12. Ἀπολαύειν, **en recueillir les fruits. Ce verbe s'applique aux maux comme aux biens. Cf. Isocrate,** ***Paix*****, 81 :** Δέδοικα μή, πειρώμενος ὑμᾶς εὐεργετεῖν, αὐτὸς ἀπολαύσω τι φλαῦρον.

14. Τῶν ἁμαρτημάτων **est gouverné**

ναυτῶν τις ἁμάρτῃ, βραχεῖαν τὴν βλάβην ἤνεγκεν, ὅταν δ' ὁ κυβερνήτης ἀποσφαλῇ, κοινὴν τὴν ἀτυχίαν ἅπασι τοῖς ἐμπλέουσι παρεσκεύασεν, ὡσαύτως τὰ μὲν ἰδιωτῶν ἁμαρτήματα οὐκ εἰς τὸ πλῆθος, εἰς δ' αὐτοὺς ἤνεγκε τὰς βλάβας, τὰ δὲ τῶν ἀρχόντων καὶ πολιτευομένων εἰς ἅπαντας ἀφικνεῖται. [4] Διὸ καὶ τὰς τιμωρίας ὁ Σόλων τοῖς μὲν ἰδιώταις ἐποίησε βραδείας, ταῖς δ' ἀρχαῖς καὶ τοῖς δημαγωγοῖς ταχείας, ὑπολαμβάνων τοῖς μὲν ἐνδέχεσθαι καὶ παρὰ τὸν χρόνον τὸ δίκαιον λαβεῖν, τοῖς δ' οὐκ ἐνεῖναι περιμεῖναι· τὸ γὰρ τιμωρησόμενον οὐχ ὑπέσται τῆς πολιτείας καταλυθείσης.

Καὶ τούτοις τοῖς δικαίοις οὐδεὶς οὕτως οὔτ' ἀναιδὴς οὔθ' ὑπὲρ ὑμᾶς φρονῶν ἐστιν ὅστις ἀντιλέγειν ἐπιχειρήσει, πλὴν Ἀριστογείτονος τουτουὶ καὶ τῆς τούτου πονηρίας. Ἀλλὰ
801 πάσας καὶ τὰς ἀρχὰς καὶ τοὺς πολιτευομένους εὑρήσομεν, ἐπειδὰν ἅπαξ τι καταγνῶθ' ὑμεῖς, τούτοις ἐμμένοντας. [5] Τοῦτο μὲν γὰρ ὅταν ἀποχειροτονηθῶσί τινες τῶν ἐν ταῖς

NC. 2. ἀποσφαλῇ ἢ διαμάρτῃ A, F, Y. — 2-3. ἅπασιν τοις εμπλεουσιν S. ἅπασι τοῖς συμπλέουσι A, F. — κατεσκεύασεν vulg. — 4. ηνεγκεν S. — 5. ἅπαντας ὑμᾶς F. ἅπαντας ὑμῶν (?) A. — 6. Après σολῶν (d'abord σωλων) grattage de huit lettres environ dans S. Le mot βραδείας avait-il été d'abord placé ici? — 9. Avant δικαιον, deux lettres grattées dans S. — εἶναι vulg. — 14. τῆσ‖του S. — πονηρίασ S, A. τόλμης καὶ πονηρίας vulg. — 15. καὶ τὰσ S, A, F. τὰς vulg.

par ἅ. Parmi les fautes qui peuvent être commises à bord, l'orateur distingue celles qui ont de l'influence sur la course du navire.

2. Ἀποσφαλῇ, sous-entendu τῆς ὁδοῦ. Cf. Homère, *Od.* III, 320 : Ὅντινα πρῶτον ἀποσφήλωσιν ἄελλαι ‖ ἐς πέλαγος μέγα τοῖον.

3. Ἰδιωτῶν est ici opposé à τῶν ἀρχόντων καὶ πολιτευομένων, comme dans *Phil.*, IV, § 70.

8. Ταχείας. Tous les magistrats étaient obligés de rendre leurs comptes immédiatement après la cessation de leurs fonctions (c'est ce qu'on appelait εὐθύνη); ils pouvaient même y être astreints au milieu de l'exercice, à chaque nouvelle prytanie. Voy. Schœmann, *Alterth.*, I, p. 432 sq; Gilbert, *Staatsalt.*, I, p. 218.

8-9. Τοῖς μὲν ἐνδέχεσθαι.... τὸ δίκαιον λαβεῖν équivaut à παρ' ἐκείνων μὲν... λαβεῖν ἐνδέχεσθαι. Le démonstratif est construit avec ἐνδέχεσθαι, et plus bas avec ἐνεῖναι, au lieu d'être construit avec λαβεῖν et περιμεῖναι. — Παρὰ τὸν χρόνον est singulièrement dit.

10. Τὸ.... τιμωρησόμενον, un pouvoir capable de punir.

13. Ὑπὲρ ὑμᾶς φρονῶν équivaut à ὑμῶν ὑπερφρονῶν.

15. Πάσας ne s'accorde qu'avec ἀρχάς, mais porte aussi sur πολιτευομένους.

16. Καταγνῶτε : sous-ent. αὐτῶν. — Τούτοις se réfère à l'idée de pluralité contenue dans l'indéfini τι.

17. Ἀποχειροτονηθῶσι. Les fonctionnaires étaient soumis à la ἐπιχειροτονία dans la première assemblée régulière de chaque prytanie. Un vote du peuple

ἀρχαῖς, παραχρῆμα πέπαυνται ἄρχοντες καὶ τοὺς στεφάνους περιῄρηνται· τοῦτο δ' ὅσοις τῶν θεσμοθετῶν εἰς Ἄρειον πάγον οὐκ οἷόν τ' ἐστιν ἀνελθεῖν, παρέντες τὸ βιάζεσθαι στέργουσιν [εἴκοντες] ταῖς ὑμετέραις γνώσεσιν. Καὶ τοῦτ' εἰκότως· ὥσπερ γάρ, ὅταν ἄρχωσι, τοὺς ἰδιώτας οἴονται δεῖν αὐτοῖς πειθαρχεῖν, ὡσαύτως, ὅταν αὐτοὶ ἰδιῶται γένωνται πάλιν, τοῖς τῆς πόλεως ἄρχουσι νόμοις δικαίως ἂν ἀκολουθοῖεν. [6] Ἔτι τοίνυν οἱ πολιτευόμενοι πάντες, ἐκ τῶν παλαιῶν εἰ βούλεσθ' ἀρξάμενοι χρόνων θεωρεῖν, ὡσαύτως φαίνονται εἴκοντες τοῖς ὑμετέροις δικαίοις. Ἀριστείδην μέν γέ φασιν ὑπὸ τῶν προγόνων μετασταθέντα ἐν Αἰγίνῃ διατρίβειν, ἕως ὁ δῆμος αὐτὸν κατεδέξατο, Μιλτιάδην δὲ καὶ Περικλέα ὀφλόντας, τὸν μὲν τριάκοντα, τὸν δὲ πεντήκοντα τάλαντα, ἐκτείσαντας, οὕτω δημηγορεῖν. [7] Ὃ καὶ δεινότατον ἂν εἴη συμβαῖνον, τοὺς μὲν πολλὰ καὶ

NC. 2. οσοι S[1], σ (ou στ) ajouté dans l'interligne par l'ancien reviseur. — 4. στέργουσιν A. στέργουσιν εἴκοντεσ S. στέργουσιν ἐμμένοντες F. J'ai écarté l'interpolation. Cf. l. 10. — 4-5. καὶ ταῦτ' εἰκότως ποιοῦσιν vulg. — 6. οιοντε δειν αυτουσ S — 9-10. Cobet écarte εἰ βούλεσθε et θεωρεῖν, sans motif sérieux. — 10. αὐτοὶ φαίνονται A. φαίνονται καὶ αὐτοὶ F. — 11. μεν γε S, A, Y. μὲν γὰρ vulg. — 13. οφειλοντασ S, Y. — 14. τάλαντα est omis, après πεντήκοντα, dans S et dans le texte de Y. — δημηγορειν· καὶ δεινον αν ειη γε S, Y.

pouvait les suspendre (ἀποχειροτονεῖν) et priver de la couronne, insigne de l'inviolabilité. La destitution ne devenait définitive qu'après jugement. Voyez un exemple dans *Théocrinès*, § 27 sq.

2. Τῶν θεσμοθετῶν. Ce mot est ici pris dans son acception la plus large et comprend les neuf archontes. On sait qu'ils entraient à la fin de leur année dans l'Aréopage, mais seulement après avoir rendu leurs comptes; un verdict (γνῶσις) défavorable les excluait de cette haute cour.

4. Στέργουσιν ταῖς ὑμετέραις γνώσεσιν. Le verbe στέργω se construit quelquefois avec le datif. Ex. Platon, *Grand Hipp.*, p. 295 B : Στέρξω, οἶμαι, ἐγὼ τῇ ἐμῇ τύχῃ.

12. Ὁ δῆμος αὐτὸν κατεδέξατο. On connaît la belle conduite d'Aristide à la bataille de Salamine. Alors le décret d'ostracisme a dû être rapporté par le peuple : fait qu'Hérodote et Plutarque laissent sous-entendu.

13. Τὸν μὲν τριάκοντα. Thucydide, II, 65, 3, n'indique pas le montant de l'amende infligée à Périclès. Plutarque, *Pér.*, ch. 35, dit que les sommes données par les auteurs variaient de quinze à cinquante talents. Cependant le texte de Diodore, XII, 45, porte quatre-vingts talents.

14. Οὕτω reprend avec insistance l'idée de ἐκτείσαντας : c'est seulement après avoir payé l'amende que ces hommes d'État parlaient de nouveau devant le peuple; ou plutôt, ils ne parlaient pas sans l'avoir payée : tout le monde sait, en effet, que Miltiade mourut en prison.

15. Ὃ καὶ δεινότατον ἂν εἴη συμβαῖνον, c.-à-d. εἰ συμβαίνοι. [G. H. Schæfer.] Cf. ὃ καὶ θαυμαστόν ἐστιν, εἴ τις..., *Aristog.*, I, § 31.

μεγάλα ποιήσαντας ὑμᾶς ἀγαθὰ μὴ τυχεῖν ταύτης τῆς δωρειᾶς, ὥστε παρὰ τοὺς νόμους τι τοὺς κειμένους ὑμῖν πρᾶξαι, τὸν δὲ μηδὲν ἀγαθὸν εἰργασμένον, ὑπερπλήθη δ' ἐξημαρτηκότα, τοῦτον οὕτω προχείρως φαίνεσθαι καὶ παρὰ τὸ συμφέρον καὶ τὸ δίκαιον ἐξουσίαν παρ' ὑμῶν τοῦ παρανομεῖν εἰληφότα. Καὶ τί δεῖ λέγειν περὶ τῶν παλαιῶν; ἀλλὰ τοὺς ἐφ' ὑμῶν αὐτῶν ἀναλογίσασθ', εἴ τις οὕτως
803 ἀναιδὴς γέγονεν πώποτε· οὐδένα [γὰρ] ἂν εὕροιτ', εἰ βουλήσεσθ' ἀκριβῶς ἐξετάζειν.

[8] Χωρὶς τοίνυν τούτων, ὅταν τις ψηφίσματος ἢ νόμου γραφὴν ἀπενέγκῃ πρὸς τοὺς θεσμοθέτας, ὁ μὲν νόμος ἢ τὸ ψήφισμ' ἄκυρόν ἐστιν, ὁ δὲ θεὶς ἢ γράψας οὐδὲν ἀναισχυντεῖ βιαζόμενος, ἀλλ' ὅ τι ἂν ὑμεῖς ψηφίσησθε, τούτῳ ἐμμένει, κἂν ᾖ πρῶτος τῷ δύνασθαι λέγειν ἢ πράττειν ἐν ὑμῖν. Καίτοι πῶς οὐκ ἄτοπον, ἃ μὲν ἅπαντες ὑμεῖς συλλεγέντες ἐψηφίσασθε, διὰ τοὺς νόμους ἄκυρ' εἶναι, τὴν δ' Ἀριστογείτονος βούλησιν εἰς τὸ παρανομεῖν κυριωτέραν οἴεσθαι δεῖν τῶν νόμων αὐτῶν καταστῆναι; [9] Πάλιν τοίνυν ὅταν τις ἐπεξιὼν μὴ μεταλάβῃ τὸ πέμπτον μέρος τῶν ψήφων, ἐφ' οἷς

NC. 1. τυχεῖν vulg. μετέχειν S, Y. — 3. μηδὲν S, Y. μηδὲν μὲν vulg. — παμπληθῆ F, variante notée par le reviseur de S. — 4. οὕτωσ S. — 8. ἂν manque dans S, F, γὰρ ἂν dans Y[1]. Je crois qu'il faut lire οὐδέν' ἄν. — 8-9. Variantes βούλεσθε et βούλοισθε. — 12. αχυροσ S seul. — 14. τὸ δύνασθαι vulg. — 16. J'ai rétabli διὰ τοὺς νόμους, leçon de S, A, Y, en mettant la virgule avant ces mots. ἐψηφίσασθε κατὰ τοὺς νόμους vulg., en dépit de la suite des idées et du raisonnement de l'orateur. — 17. οιεσθε S. — 18. καταστῆναι G. H. Schæfer. καταστῆσαι mss.

2. Δωρειᾶς, faveur, privilège.

7. Ἀναλογίσασθε, comptez, remémorez un à un.

11. Γραφήν : la γραφὴ παρανόμων.

12. Θείς se réfère à νόμον, γράψας à ψήφισμα.

13. Ὑμεῖς : les juges en leur qualité de juges, non comme citoyens dans l'assemblée du peuple.

15. Ἅπαντες ὑμεῖς συλλεγέντες : le peuple assemblé, non les juges.

16. Διὰ τοὺς νόμους ἄκυρ(α) εἶναι. L'orateur suit son raisonnement. En effet les juges pouvaient casser pour cause d'illégalité, non seulement les simples propositions, mais aussi les motions déjà converties en décrets du peuple. On en a vu des exemples dans ces plaidoyers mêmes.

19. Ἐφ' οἷς, dans les cas, dans les causes où..., c.-à-d. dans les causes publiques à peu d'exceptions près. Si les quatre cinquièmes des juges acquittaient, l'accusateur devait payer une amende de mille drachmes et perdait le droit d'intenter à l'avenir des poursuites de ce genre.

οἱ νόμοι κελεύουσι τὸ λοιπὸν μὴ γράφεσθαι μηδ' ἀπάγειν μηδ' ἐφηγεῖσθαι, τὸν αὐτὸν τρόπον παρὰ ταῦτ' οὐδεὶς οἴεται δεῖν πράττειν τῶν ἐνόχων ὄντων τούτοις τοῖς ἐπιτιμίοις. Ἀριστογείτονι δ', ὡς ἔοικε, μόνῳ τῶν ἁπάντων οὐδὲν οὔτε δικαστήριον οὔτε νόμος κυριώτερόν ἐστι τῆς αὐτοῦ βουλήσεως. [10] Καὶ ταῦτα πάνθ' οὕτω διαφυλάττουσιν οὐδεπώποθ' οὔθ' ὑμῖν οὔτε τοῖς προγόνοις μετεμέλησεν. Ἔστι γὰρ δημοκρατίας φυλακὴ τῶν μὲν ἐχθρῶν ἢ βουλευομένους ἢ μαχομένους περιεῖναι, τῶν δὲ νόμων ἢ προαιρουμένους ἢ συναναγκαζομένους ἡττᾶσθαι.

Καὶ ταῦθ' ὅτι τοῦτον τὸν τρόπον προσήκει πράττεσθαι, καὶ παρ' αὐτοῦ τούτου συνωμολόγηται. [11] Ὅτε γὰρ Ὑπερείδης ἔγραψε, τῶν περὶ Χαιρώνειαν ἀτυχημάτων τοῖς Ἕλλησι γενομένων καὶ τῆς πόλεως ὑπὲρ αὐτῶν τῶν ἐδαφῶν εἰς κίνδυνον μέγιστον κατακεκλειμένης, εἶναι τοὺς ἀτίμους ἐπιτίμους, ἵν' ὁμονοοῦντες ἅπαντες ὑπὲρ τῆς ἐλευθερίας 804 προθύμως ἀγωνίζωνται, ἐάν τις κίνδυνος τηλικοῦτος καταλαμβάνῃ τὴν πόλιν, τούτου τοῦ ψηφίσματος γραφὴν παρανόμων ἀπενέγκας ἠγωνίζετ' ἐν τῷ δικαστηρίῳ. [12] Καίτοι πῶς οὐ δεινὸν εἰς μὲν τὴν [ὑπὲρ] τῆς πατρίδος σωτηρίαν μηδενὶ τῶν πολιτῶν Ἀριστογείτονα τουτονὶ συγχωρῆσαι τυχεῖν τῆς ἐπιτιμίας, εἰς δὲ τὴν αὑτοῦ παρανομίαν παρὰ πάντων ὑμῶν ἀξιοῦν λαμβάνειν τὴν αὐτὴν δωρειάν ; Καίτοι πολύ γε νομιμώτερον καὶ δικαιότερον [τὸ ψήφισμα] ἐκεῖν'

NC. 1. κελεύουσιν S. — 5. κυριώτεροσ A. — 8. τὸ τῶν vulg. — 12. φανερῶς συνωμολόγηται A, F. — 13. υπεριδησ, avant grattage υπερειδησ, S. — χερωνε:αν S. — 15. τὸν μέγιστον A. — κατακεκλεισμενησ S. — 20. ὑπὲρ avait déjà choqué Reiske. Je le considère comme une glose de εἰς. — 24. τὸ ψήφισμα. J'ai écarté ces mots, qui ne peuvent s'appliquer à la seconde partie de la phrase.

1-2. Γράφεσθαι.... ἀπάγειν.... ἐφηγεῖσθαι. Cf. *Androt.*, § 26.

8-10. Τῶν μὲν ἐχθρῶν ἢ.... ἢ.... περιεῖναι, τῶν δὲ νόμων ἢ.... ἢ.... ἡττᾶσθαι. Antithèse coquettement symétrique.

15-16. Εἶναι τοὺς ἀτίμους ἐπιτίμους, de rendre les droits politiques à ceux qui en avaient été privés. Cf. Lycurgue, *Léocr.*, § 41 ; *Vies des Dix orat.*, p. 849 A, et les beaux fragments de la défense d'Hypéride.

17-18. Ἐάν τις.... καταλαμβάνῃ τὴν πόλιν, s'il arrivait que les citoyens eussent, en effet, à défendre le sol (τὰ ἐδάφη) de la patrie. Cela n'arriva pas, mais on pouvait le craindre alors.

20. Εἰς.... σωτηρίαν, en vue du sa-

ἣν οὔ σὺ νῦν ἀξιοῖς ψηφίσασθαί σοι τουτουσί. [13] Τὸ μὲν γὰρ ἴσον καὶ κοινὸν ἅπασι τοῖς πολίταις ἦν, τὸ δ' ἄνισον καὶ σοὶ μόνῳ τῶν ἐν τῇ πόλει τὴν πλεονεξίαν κατασκευάζον· καὶ τὸ μὲν ὑπὲρ τοῦ μὴ γενέσθαι τὴν εἰρήνην ἐφ' ᾧ θ' ἕνα κύριον τῆς ὅλης πολιτείας καταστῆναι, τὸ δ' ὑπὲρ τοῦ τὰ τουτωνὶ δόγματα καὶ νόμιμα ἐκ παλαιοῦ παραδοθένθ' ὑπὸ τῶν προγόνων σοὶ μόνῳ δεδόσθαι ἐξουσίαν ἀδεῶς παραβαίνοντι καὶ πράττοντι ὅ τι ἂν βουληθῇς. [14] Ἡδέως δ' ἂν ἔγωγ' αὐτὸν ἐρωτήσαιμι πότερ' ἔννομον καὶ δικαίαν ἐποιήσατο τοῦ ψηφίσματος τὴν γραφὴν ἢ τοὐναντίον ἄδικον καὶ παράνομον. Εἰ μὲν γὰρ ἀσύμφορον καὶ τῷ δήμῳ βλαβερὰν, δι' αὐτὸ τοῦτο δικαίως ἂν ἀποθάνοι· εἰ δὲ συμφέρουσαν καὶ τοῖς πολλοῖς ὠφέλιμον, διὰ τί νῦν τἀναντί' οἷς αὐτὸς ἔγραψας ψηφίζεσθαι τούτους ἀξιοῖς; ἀλλ' οὔτ' ἐκεῖνα δίκαια, οὔτε ταῦτ' ἔννομ' οὐδὲ συμφέροντ' ἐστὶν ὑμῖν. [15] Ὁρῶ δ' ὑμᾶς ἔγωγ', ὦ ἄνδρες Ἀθηναῖοι, ταύτην ἔχοντας τὴν
805 γνώμην καὶ περὶ ὑμῶν αὐτῶν· πολλὰς γὰρ ἐνδείξεις ἤδη κατεψηφίσασθ' ἰδιωτῶν ἀνθρώπων. Καίτοι πῶς οὐ δεινὸν ἐφ' ὑμῶν μὲν αὐτῶν ἐξετάζεσθαι ἀκριβῶς τοὺς νόμους, ἐπὶ δὲ τῶν περιεργαζομένων τε καὶ κοινῇ πάντας ἐνοχλούντων καὶ προσποιουμένων ὑπὲρ τοὺς ἄλλους εἶναι ῥᾳθύμως οὕτως ἔχειν;

[16] Οὐ γὰρ δή τινες ὑμῶν οὕτως ἔχουσιν, ὡς προσῆκον

NC. 12. ἀποθάνοις F, vulg. — 16. ὦ δικασταὶ A. ὦ ἄνδρες δικασταὶ F. Cf. § 1, NC. — 20. περιεργαζομένων τι S, Y[1]. — 23. οὕτως ἔχουσι < τὴν γνώμην > Cobet. — προσήκειν S, vulg. προσήκει A, Cobet. J'ai écrit προσῆκον.

lut. Cf. εἰς περιουσίαν, pour s'enrichir, *Olynth.* III, § 26.

1. Ψηφίσασθαί σοι τουτουσί. Les juges ont à rendre un verdict, non un décret : le verbe ψηφίσασθαι s'applique à eux, mais non le substantif ψήφισμα. Voyez p. 301, 24, NC.

4. Ἐφ' ᾧ τε, à la condition que....

7. Δεδόσθαι ἐξουσίαν est suivi du participe παραβαίνοντι. On s'attendrait plutôt à l'infinitif παραβαίνειν.

14. Ἀξιοῖς, après ἀποθάνοι. Passage vif de la troisième à la deuxième personne.

17. Περὶ ὑμῶν αὐτῶν. La plupart des juges étaient de simples citoyens, de bons bourgeois qui n'aspiraient pas à jouer un rôle politique, ἄνθρωποι ἰδιῶται.

23. Οὐ γὰρ δή τινες ὑμῶν, on ne doit pas supposer que quelques-uns de vous.... — Οὕτως ἔχουσιν : sous-ent. γνώμης. Cf. § 22. [G. H. Schæfer.] Voyez aussi *Olynth.* II, § 17 : Πῶς ἔχουσι Φιλίππῳ. — Ὡς προσῆκον. Cf. *Traité avec Alex.* § 28 : Εἰπεῖν ὡς.... ἀφθόνων ὄντων, avec la note. — Le même point est traité dans *Aristog.* I, § 12 sqq.

μὲν ταῦθ' οὕτως ἔχειν ὡς ἐγὼ λέγω, διὰ δὲ τὴν ἐπιείκειαν τὴν Ἀριστογείτονος καὶ τὸ χρήσιμον αὐτὸν ὑμῖν εἶναι περιοπτέον τι καὶ παρανομοῦντ' αὐτόν. Ὅτι μὲν γὰρ πονηρὸς καὶ τὸν τρόπον δεινῶς ἄδικος, ἱκανῶς ὑμῖν, ὡς ἔγωγ' οἶμαι, ἐκ τῶν προειρημένων [Λυκοῦργος] ἐπιδέδειχεν· ὅτι δ' οὐδὲ χρήσιμος, ἐξ αὐτῶν τῶν πολιτευμάτων ἄν τις αὐτοῦ θεωρήσειεν. [17] Τίνα γὰρ παραγαγὼν εἰς τὸ δικαστήριον, ὧν ᾐτίατο, τούτων καὶ ᾕρηκεν [καὶ εἷλεν]; ἢ ποῖον πόρον ὑμῖν πεπόρικεν; ἢ τί ψήφισμα γέγραφεν, ὃ πεισθέντες ὑμεῖς οὐ πάλιν μεταποιῆσαι προείλεσθε; Καὶ γὰρ ταῦτα· οὕτω σκαιός ἐστι καὶ βάρβαρος τὸν τρόπον ὥσθ', ὅταν ὑμᾶς ἴδῃ παροξυνθέντας τι πρός τινας καὶ μᾶλλον τοῦ δέοντος [παρ]οργισθέντας, τηνικαῦτα παρὰ τὴν ὀργὴν ὑμῶν τὰ βουλήματα λαβὼν τοῖς καιροῖς ἐναντιοῦται. [18] Δεῖ δὲ τὸν πολιτευόμενον ὑπὲρ ὑμῶν οὐχὶ τοῖς ἐξαίφνης μετ' ὀργῆς πάθεσιν ὑμῖν συμπίπτουσιν ἐπακολουθεῖν, ἀλλὰ τοῖς λογισμοῖς καὶ τοῖς πράγμασι καὶ τοῖς ὑπάρχουσι καιροῖς· τὰ μὲν γὰρ

NC. 2-3. περιοπτέον Cobet, παροπτέον mss. Je ne sache pas que παρορᾶν se construise avec un participe. — 4. δεινῶσ ne se lit que dans S, à ce qu'il paraît. — 5. ἐκ τῶν προειρημένων ne va pas avec Λυκοῦργος. Il faut choisir, ce me semble. Or, comme les mots ἐκ τῶν προειρημένων sont exigés par l'antithèse, j'ai écarté Λυκοῦργος. Le motif de l'interpolation se comprend aisément. — 5-6. Cobet veut οὐδὲν χρήσιμος. — 6. αὐτοῦ Frohberger, dans *Philologus*, XXIX, p. 634. αὐτὸν mss. — 8. ᾐτίατο recommandé par Dindorf. ᾐτιᾶτο F. αἰτιᾶται S. — τούτων κατηγόρηκεν καὶ εἷλεν S. τούτων ᾕρηκε (εἴρηκε) κατηγορῶν A, F. C'est là une correction violente de la leçon conservée par S Ai-je trouvé ce qui s'y cache?. — 9-10. J'ai écrit ὃ.... μεταποιῆσαι (μεταποῆσαι) pour ᾧ.... μετανοῆσαι. Cobet avait fait remarquer que μετανοῆσαι προείλεσθε n'avait pas de sens. « Quis homo μετανοεῖ ἐκ προαιρέσεως? » — 10. La ponctuation après ταῦτα est due à Dobree. — 11. εστιν S. — 11-13. J'ai mis παροξυνθέντας.... ὀργισθέντας à la place de παροργισθέντας τι πρός τινας (πρός τινος ὀργισθέντας A).... παροξυνθέντας. Cobet avait déjà préféré ὀργισθέντας. Avec ma transposition, on évite la construction insolite ὀργισθῆναι πρός τινα, et on explique plus facilement la faute. — 16. ὑμῶν avant grattage S.

5. Ἐπιδέδειχεν est ici employé intransitivement, comme δείκνυσιν, δηλοῖ, σημαίνει le sont souvent. Citons [Platon], *Epinomis*, p. 989 A : Ὡς ἄρτι σημαίνειν ἐκ τῶν εἰρημένων μοι σφόδρα δοκεῖ.

7-8. Ὧν.... τούτων : tous deux au neutre.

13-14. Παρὰ τὴν ὀργὴν ὑμῶν τὰ βουλήματα λαβών, « vestras, dum ira fervetis, libidines arripiens » [G. H. Schæfer,] — Τοῖς καιροῖς ἐναντιοῦται, il fait le contraire de ce que demandent les circonstances.

ταχὺ μεταπίπτειν εἴθισται, τὰ δὲ διαμένειν καὶ πλείω χρόνον ὑπάρχειν· ὧν οὗτος οὐδὲν ἐνθυμούμενος ἐλέγχει τὰ ἀπόρρητα τῆς πολιτείας, ὥστε ταῦτ' ἀναγκάζεσθαι καὶ
806 κύρια καὶ πάλιν ἄκυρα ποιεῖν. [19] Ἀλλ' ἴσως ὅτι πρὸς ἅπαντας ἀεὶ προαιρεῖται λοιδορεῖσθαι καὶ διαβοᾶσθαι καὶ μέμφεσθαι τὰ λεγόμενα, διὰ ταῦτα περιποιῆσαι νῦν αὐτὸν ἁρμόττει· ἀλλὰ ταῦτά γε νὴ τὴν Ἀθηνᾶν ὄνειδός ἐστιν, ἄνδρες δικασταί, τῇ πόλει γιγνόμεν' ἐπὶ τοῦ βήματος, καὶ διὰ τὰς τούτων ἀπονοίας ἐπονείδιστον ἤδη τὸ πολιτεύεσθαι παρὰ τοῖς ἐπιεικέσιν ὑμῶν ἐστίν. Εἰ δ' οὖν τινὶ τοῦθ' ὑμῶν ἐν ἡδονῇ συμβέβηκεν, οὐκ ἀπορήσετε τῶν τοιαῦτα ποιησόντων, ἐπεὶ καὶ νῦν μεστὸν τὸ βῆμ' ἐστίν. Οὐ γὰρ ἐπιτιμᾶν τοῖς συμβεβουλευμένοις χαλεπόν, ἀλλὰ συμβουλεῦσαι καὶ πεῖσαί τι τῶν δεόντων ὑμᾶς ψηφίσασθαι.

[20] Πρὸς δὲ τούτοις, εἰ μὲν μὴ καὶ πρότερον τοῖς αὐτοῖς τούτοις χρώμενος λόγοις ἐξηπάτησεν ὑμᾶς, ὅτ' ἠγωνίσατο τὴν προτέραν ἔνδειξιν, ἣν μὲν οὐδ' οὕτω δίκαιον παρὰ τοὺς ὑπάρχοντας νόμους τι συγχωρεῖν (οὐ δεῖ γὰρ παρανομεῖν δόντας τισὶ τοὺς ἄλλους κατὰ τοὺς νόμους ἀξιοῦν πράττειν,) οὐ μὴν ἀλλ' ἴσως γ' εὐλογώτερον ἦν τὸ πιστεῦσαι καὶ καταχαρίσασθαι καὶ προέσθαι τι τῶν τοιούτων. [21] Ἐπειδὴ

NC. 1. ηθισται S. — 2. ελέγχεται, avant τὰ, S, γρ. ελέγχει reviseur. — 5. γρ. διαβάλλεσθαι reviseur en marge de S. Les deux καὶ sont omis dans A. καὶ μέμφεσθαι καὶ διασπᾶσθαι F. — 8. τῇ πόλει γιγνόμενα A. τὰ γιγνόμενα τῇ πόλει S, Y. τὰ ajouté dans l'interligne F. — 9. τὰς τῶν τοιούτων A. — 13. τοῖς συμβουλευομένοις A. — 13-14. συμβουλεῦσαί τι καὶ πεῖσαι A, F. καὶ συμβεβουλευσαι καὶ πεῖσαί τι S. — 16. ηγωνήσατο S. ἠγωνίζετο A, F. — 17. οὕτωσ S. — τὸ παρὰ A, F. Cf. l. 20. — 18. τι, inséré après coup par la première main, ce semble, dans S, est omis dans Y. — τὸ παρανομεῖν A.

2-3. Ἐλέγχει τὰ ἀπόρρητα τῆς πολιτείας, il révèle les vices cachés, il met à nu les plaies secrètes du gouvernement. Cf. Tacite, *Histor.*, I, 4 : « Evolgato imperii arcano, posse principem alibi quam « Romæ fieri. »

5. Διαβοᾶσθαι, se renvoyer les cris, crier à l'envi.

6. Μέμφεσθαι τὰ λεγόμενα équivaut à ἐπιτιμᾶν τοῖς συμβεβουλευμένοις à la fin du paragraphe.

8. Γιγνόμεν' ἐπὶ τοῦ βήματος, quand ces choses se font sur la tribune aux harangues. [G. H. Schæfer.]

12-13. Οὐ γὰρ ἐπιτιμᾶν.... χαλεπόν. Dobree rappelait *Olynth.*, I, 16 : Τὸ μὲν οὖν ἐπιτιμᾶν ἴσως φῆσαι τις ἂν ῥᾴδιον καὶ παντὸς εἶναι.

δὲ, τότ' ἀφέντες ἐπὶ ταῖς ὁμολογουμέναις ἐλπίσιν, μικρὸν ὕστερον τὸν αὐτὸν τοῦτον, ὡς πράττοντα καὶ λέγοντα μὴ τὰ ἄριστα τῷ δήμῳ, πάλιν ἐκολάσατε, τίς ὑπολείπεται σκῆψις ὑμῖν ἁρμόττουσα, ἂν νῦν παρακρουσθῆτε; Ὧν μὲν γὰρ ἔργῳ πεῖραν εἰλήφατε, τί δεῖ τοῖς λόγοις πιστεύειν; ὧν δὲ μηδέπω τὴν δοκιμασίαν ἔχετ' ἀκριβῆ παρ' ὑμῖν αὐτοῖς, ἐκ τῶν λεγομένων ἴσως ἀναγκαῖόν ἐστι κρίνειν. [22] Θαυμάζω δ' ἔγωγε τῶν οὕτως ἐχόντων ὥστε τὰ μὲν ἴδια τοῖς ἐκ τῶν παρεληλυθότων χρόνων οὖσιν ἐπιεικέσι, τούτοις παρακατατίθεσθαι, τὰ δ' ἐν τῇ πολιτείᾳ κοινὰ τοῖς 807
ὁμολογουμένως ἐξεληλεγμένοις οὖσι φαύλοις ἐπιτρέπειν. Καὶ κύνα μὲν ἐπὶ ποίμνην ἀγεννῆ καὶ φαῦλον οὐδ' ἂν εἷς ἐπιστήσειε φυλάττειν· ἐπὶ δὲ τοὺς τὰ κοινὰ πράττοντας τοὺς τυχόντας ἀνθρώπους φασὶν ἔνιοι φύλακας δεῖν ἐπιπέμπειν, οἳ προσποιούμενοι μηνύειν τοὺς ἁμαρτάνοντας αὐτοὶ τῆς μεγίστης εἰσὶ φυλακῆς δεόμενοι.

[23] Ὧν, ἐὰν ἔχητε νοῦν, ἐνθυμούμενοι τοὺς μὲν φάσκοντας

NC. 1. ὁμολογουμέναισ S, A, Y. μελλούσαις vulg. — 9. παρελθότων S. παρελθόντων A. — 10-11. παρακατατιθεμένων et ἐπιτρεπόντων A, F (τούτοις ἐπιτρεπόντων A). « Nimirum in aliis libris scriptum fuit : θαυμάζω δ' ἔγωγε τῶν τὰ μὲν ἴδια.... παρακατατιθεμένων κ. τ. λ. » [G. H. Schæfer.] — 12. ποιμνίον F. — 13. επιστήσειεν S. — 14. ἔνιοί τινες δεῖν φύλακας A, F. — 14-15. ἐφιστάνειν F. — 17-1. φάσκοντας τούτω τῶι λόγωι S, Y.

1. Τότ' ἀφέντες. On lit, au contraire, dans le premier discours, § 67, que les deux dénonciations (ἐνδείξεις) dont Aristogiton avait été l'objet, lui valurent d'être condamné et emprisonné. — Ἐπὶ ταῖς ὁμολογουμέναις ἐλπίσιν, sur des espérances données d'une part et acceptées de l'autre.

3. Πάλιν, à cette seconde fois (non « une seconde fois »). Cf. Platon, *Rép.*, VI, p. 577 B : Ἃ τότε ὡς πολλὰ ἐτίθεμεν, πάλιν αὖ κατ' ἰδέαν μίαν ἑκάστου, ὡς μιᾶς οὔσης, τιθέντες. Dans ces passages, πάλιν implique, comme le latin *rursus*, opposition entre la première et la seconde fois.

8-11. Θαυμάζω.... ἐπιτρέπειν. Cf. Isocrate, *Paix*, § 52 : Προσποιούμενοι δὲ σοφώτατοι τῶν Ἑλλήνων εἶναι, τοιούτοις χρώμεθα συμβούλοις ὧν οὐκ ἔστιν ὅστις οὐκ ἂν καταφρονήσειεν, καὶ τοὺς αὐτοὺς κυρίους ἁπάντων τῶν κοινῶν καθίσταμεν οἷς οὐδεὶς ἂν οὐδὲν τῶν ἰδίων ἐπιτρέψειεν. Ὃ δὲ πάντων σχετλιώτατον· οὓς γὰρ ὁμολογήσαιμεν ἂν πονηροτάτους εἶναι τῶν πολιτῶν, τούτους πιστοτάτους φύλακας ἡγούμεθα τῆς πολιτείας εἶναι.

12. Καὶ κύνα.... Cette comparaison rappelle le κύων τοῦ δήμου, *Aristog.* I, § 40.

14-15. Ἐπιπέμπειν, lancer, lâcher sur.... (comme des chiens). Cf. Lysias, Περὶ τοῦ σηκοῦ, § 40 : Τοιούτους (entendez συκοφάντας) ἐπιπέμπουσί μοι.

17-1. Φάσκοντας.... τῷ λόγῳ. La même idée est répétée avec insistance, pour marquer la vanité de la parole. Cf. *Olynth.*, II, § 12 : Ὅπως μὴ λόγους ἐροῦσι μόνον οἱ παρ' ἡμῶν πρέσβεις, ἀλλὰ καὶ ἔργον τι δεικνύειν ἕξουσιν.

τούτους τῷ λόγῳ φιλεῖν ὑμᾶς χαίρειν ἐάσετε, αὐτοὶ δὲ τοῦτ' ἐκ παντὸς τρόπου παραφυλάξετε, ὅπως μηδενὶ δῶτ' ἐξουσίαν ἀκύρους τοὺς νόμους ποιεῖν, ἄλλως τε καὶ τῶν [πολλῶν] ὑπὲρ τοῦ πλήθους καὶ λέγειν καὶ γράφειν δύνασθαι προσποιουμένων. Ὡς πάνδεινόν ἐστιν τοὺς μὲν προγόνους ὑπὲρ τοῦ μὴ καταλυθῆναι τοὺς νόμους ἀποθνήσκειν τολμᾶν, ὑμᾶς δὲ μηδὲ τοὺς ἐξαμαρτάνοντας εἰς αὐτοὺς τιμωρεῖσθαι, καὶ τὸν μὲν γράψαντα τοὺς νόμους Σόλωνα ἐψηφίσθαι χαλκοῦν ἐν ἀγορᾷ στῆσαι, αὐτῶν δὲ τῶν νόμων ὀλιγωροῦντας φαίνεσθαι, δι' οὓς κἀκεῖνον ὑπερβαλλόντως συμβέβηκε τιμᾶσθαι. [24] Πῶς δ' οὐκ ἂν εἴη τὸ συμβαῖνον ἄλογον, εἰ νομοθετοῦντες μὲν ὀργίζεσθε τοῖς πονηροῖς, ἐπ' αὐτοφώρῳ δέ τινας εἰληφότες ἀθῴους ἐάσετε; καὶ τὸν μὲν νομοθέτην ἕν' ὄντα πᾶσιν ὑπὲρ ὑμῶν ἀπεχθάνεσθαι τοῖς φαύλοις, ὑμᾶς δὲ μηδ' ὑπὲρ ὑμῶν αὐτῶν κοινῇ συλλεγέντας ἐπιδείξασθαι μισοῦντας τοὺς πονηρούς, ἀλλ' ὑφ' ἑνὸς ἀνδρὸς πονηρίας ἡττηθῆναι; καὶ θάνατον μὲν ὡρικέναι τὴν ζημίαν,
808 ἐάν τις οὐκ ὄντα νόμον παράσχηται, τοὺς δὲ τοὺς ὄντας εἰς τὴν τῶν οὐκ ὄντων νόμων τάξιν ἄγοντας, τούτους ἀτιμωρήτους περιορᾶν;

[25] Οὕτω δ' ἂν ἀκριβέστατα συνθεωρήσαιτε τὸ τοῖς κειμένοις νόμοις πείθεσθαι ἡλίκον ἀγαθόν ἐστιν, καὶ τὸ

NC. 1-2 ἐάσετε et παραφυλάξετε Cobet. ἐάσατε et παραφυλάξατε mss. — 4. πολλῶν a été écarté par G. H. Schæfer et Dobree, comme provenant de la variante ὑπὲρ τῶν πολλῶν. Ou bien faut-il écrire τῶν φρονεῖν ὑπὲρ τὸ πλῆθος? Cf. § 15. — 7. αὐτοὺς Taylor. ἑαυτοὺσ S. αὑτοὺς vulg. — 8. τιμωρεῖσθαι προελέσθαι vulg. — 9. εψηφισασθε S. — 10. ὀλιγωροῦντασ S seul. οὕτως ὀλιγωροῦντας vulg. — 12. οριζεσθε S[1]. — 13. ἐάσαιτε Cobet. Apsinès, IX, p. 526 W., cite εἰληφότες ἀφήσετε et dit plus loin ἀθῴους ἐᾶν : il avait donc notre leçon au futur. — 15. συλλέγοντασ S seul. — 18. τουσ δε οντασ S, F, Y. τοὺς δὲ τοὺς ὄντας νόμους A. Il suffit d'insérer le second τούς. — 19. τῶν ὥσπερ οὐκ S, Y, Dindorf. ὥσπερ provient sans doute d'une variante ὥσπερ οὐκ ὄντας. — 21. συνθεωρησετε S, A, F, Y.

Lept. § 92 : Ἵν' οὖν μὴ λόγον λέγω μόνον, ἀλλὰ καὶ τὸν νόμον αὐτὸν ὅν φημι δείξω. Les exemples abondent.

7-8. Ὡς πάνδεινον.... τιμωρεῖσθαι. Blass rapproche Lycurgue, *Léocr.*, § 82 : Ὃ καὶ πάντων ἂν εἴη δεινότατον, τοὺς μὲν προγόνους ὑμῶν ἀποθνήσκειν τολμᾶν ὥστε μὴ τὴν πόλιν ἀδοξεῖν, ὑμᾶς δὲ μὴ κολάζειν τοὺς καταισχύναντας αὐτήν.

21. Συνθεωρήσαιτε est opposé à χωρὶς.... θεωρήσαιτε.

καταφρονεῖν καὶ τὸ μὴ πειθαρχεῖν αὐτοῖς ἡλίκον κακόν, εἰ τά τ' ἐκ τοῦ νόμου [ἀγαθὰ] χωρὶς καὶ τὰ διὰ τῆς παρανομίας συμβαίνοντα πρὸ ὀφθαλμῶν ὑμῖν αὐτοῖς ποιησάμενοι θεωρήσαιτε. Εὑρήσετε γὰρ τὴν μὲν τὰ τῆς μανίας καὶ ἀκρασίας καὶ πλεονεξίας, τὸν δὲ τὰ τῆς φρονήσεως καὶ σωφροσύνης καὶ δικαιοσύνης ἔργα διαπραττόμενον. [26] Δῆλον δέ· τῶν γὰρ πόλεων ταύτας ἄριστ' οἰκουμένας ἴδοιμεν ἂν ἐν αἷς ἄριστοι νομοθέται γεγόνασιν· τὰ μὲν γὰρ ἐν τοῖς σώμασιν ἀρρωστήματα τοῖς τῶν ἰατρῶν εὑρήμασι καταπαύεται, τὰς δ' ἐν ταῖς ψυχαῖς ἀγριότητας αἱ τῶν νομοθετῶν ἐξορίζουσι διάνοιαι. Ὅλως δ' οὐδὲν οὔτε σεμνὸν οὔτε σπουδαῖον εὑρήσομεν ὃ μὴ νόμου κεκοινώνηκεν, [27] ἐπεὶ καὶ τὸν ὅλον κόσμον καὶ τὰ θεῖα καὶ τὰς καλουμένας ὥρας νόμος καὶ τάξις, εἰ χρὴ τοῖς ὁρωμένοις πιστεύειν, διοικεῖν φαίνεται. Παρακαλέσαντες οὖν ὑμᾶς αὐτούς, ὦ ἄνδρες Ἀθηναῖοι, βοηθήσατε μὲν τοῖς νόμοις, καταψηφίσασθε δὲ τῶν εἰς τὸ θεῖον ἀσεβεῖν προῃρημένων. Καὶ ταῦτ' ἐὰν πράξητε, τὰ δέοντα ποιήσετε καὶ τὰ κράτιστα ψηφιεῖσθε.

NC. 1. Avant καταφρονειν, trace de grattage dans S. μὴ καταφρονεῖν Y. Il faut peut-être éliminer καταφρονεῖν καὶ τὸ. — καὶ μὴ F. — 2. ἐκ τῶν νόμων ἀγαθά mss. J'ai écarté ἀγαθά et corrigé le pluriel νόμων, qui provient de p. 366, l. 22. — 4. θεωρησετε S, F, Y. θεωρήσατε A. — 5-6. τὸν δὲ et διαπραττόμενον S¹, F, Y. τοὺς δὲ et διαπραττομένους vulg., leçon indiquée par l'ancien reviseur de S. — φρονήσεωσ τε καὶ S, Y. — 11. ουδεν, omis avant οὔτε, ajouté au-dessous de la ligne (c'est la dernière d'une colonne) par S¹. — 12. ευρησαιμεν S. — 15. ὦ omis dans S, A. — 17-18. πραξηιτε S avant grattage.

8-11. Τὰ μὲν γὰρ ἐν τοῖς σώμασιν... διάνοιαι. Cf. Platon, *Gorgias*, p. 464, B, où cependant la médecine a pour pendant la justice, non la législation, que le philosophe considère comme la gymnastique de l'âme, parce qu'elle se propose de conserver la santé, plutôt que de la rétablir.

13. Τὸν ὅλον κόσμον. Le premier discours, tout en développant longuement les bienfaits de la loi, ne perd point de vue la terre et la société humaine. Notre orateur s'élève plus haut, afin de présenter l'accusé comme un impie (εἰς τὸ θεῖον ἀσεβεῖν).

14. Εἰ χρὴ τοῖς ὁρωμένοις πιστεύειν. Il ne faut pas prendre ces mots pour la restriction d'un sceptique : l'orateur ne se défie point du témoignage des sens, il les invoque au contraire comme des témoins irrécusables.

TABLE DES MATIÈRES

ERRATA

P. 76, NC., l. 4-5, lisez : *serait plus clair...* τὸν δὴ εἰσ S, L,

P. 167, l. 4 avant la fin, lisez : *s'attacha à son fils et successeur, Kersoblepte*,

P. 192, l. 11, lisez : πεισθείητ'

PARIS. — IMPRIMERIE A. LAHURE
9, Rue de Fleurus, 9

